# Commentarii ad Homeri Odysseam i

## 1.1 ΠΡΟΟΙΜΙΟΝ.

Πικροὶ τὴν Ὀδύσσειαν καθὰ καὶ τὴν Ἰλιάδα εἰλήχασι λογισταὶ, καὶ μᾶλλον ταύτην ἤ περ ἐκείνην διασπαράττουσι. δίδωσι δὲ λαβὰς ἐκείνοις τὸ καὶ ἐνταῦθα πολὺ τοῦ μυθώδους. καὶ τοῦτο διαβάλλοντες ἐκεῖνοι, συνεκβάλλουσι τῷ μύθῳ καὶ τὴν ἀλήθειαν, διὰ τὸ τοῦ ψεύδους παρένθετον ὑπόπτως ἔχοντες καὶ πρὸς τὴν ἱστορίαν αὐτήν. χρὴ δὲ οὐχ' οὕτω ποιεῖν, ἀλλὰ τὸ ἔργον σκοπεῖν τῆς ποιήσεως, ἐκεῖνο εἰδότας, ὡς ἄρα νόμος τοῖς ποιηταῖς μὴ γυμνὴν τὴν ἱστορίαν ἐκτίθεσθαι, ἀλλὰ μύθοις καταπυκάζειν. ὧν τοὺς μὲν, ὑπ' ἄλλων ἤδη πλασθέντας ἀναλέγονται, τοὺς δὲ καὶ αὐτόθεν προσαναπλάττονται. δέδοται γὰρ κατὰ τοὺς τεχνογράφους τῇ ποιήσει καὶ τερατεύεσθαι, ὡς ἂν ἐκ τούτων 1.1 ἡδονὴν τὲ ἅμα τοῖς ἀκροαταῖς καὶ ἔκπληξιν ἐμποιήσειεν. οὕτω τοίνυν καὶ ὁ ποιητὴς πολλαχοῦ, ὥς φασιν οἱ παλαιοὶ, τοῖς ἱστορουμένοις ὁμολογῶν, παραπλέκει καὶ μύθους. καὶ τοῖς θρυλλουμένοις ἀληθέσι, προστίθησί τι καὶ τῶν οὐκ ἀληθῶν. ἑκὼν ἑαυτῷ ἐνιστῶν τὴν τοῦ ἀδυνάτου γραφήν. καὶ οὐ πάντῃ πρὸς πλάσμα διασκευάζει καὶ μύθους, ἀλλὰ κατ' αὐτὸν φάναι, πολλὰ ψεύδεα λέγει ἐτύμοις ὁμοῖα, ὅθεν ἄν τις οὐδὲ ἴδοιτο. πολλὰ μέντοι καὶ οὐ πάντα ψεύδεται. οὐ γὰρ ἂν ἔτι ἐτύμως ὁμοῖα ἡ ποίησις φθέγγοιτο ἐὰν ψευδῆ πάντα εἴη συνείρουσα. αὐτίκα τῆς Ὀδυσσέως πλάνης τὸ πολὺ, περὶ Σικελίαν γενέσθαι καὶ Ἰταλίαν καὶ ἐπέκεινα τεθρύλληται συμφώνως τῷ ποιητῇ. καὶ τοῦτο δηλοῖ δίχα πολλῶν ἄλλων, καὶ ὁ τῆς ἱστορίας Λατῖνος, καὶ ὁ Αὔσων, οἱ ἐξ Ὀδυσσέως καὶ Κίρκης κατά τινας. οἳ καὶ τῆς ὁμωνύμου αὐτοῖς χώρας ἐκράτησαν, καὶ ἀφ' ἑαυτῶν τὰ ἔθνη ἐκάλεσαν. ὁμολογεῖ δὲ τούτοις καὶ ἡ ἐν Ἰβηρίᾳ πόλις Ὀδύσσεια. καὶ ὁ ἐν παροιμίαις Τεμέσιος ἥρως ὁ βαρύμηνις, εἷς τῶν Ὀδυσσεῖσυμπλευσάντων ἑταίρων, ἐν Τεμέσῃ τῇ Ἰταλικῇ τιμώμενος. καὶ οὕτω μὲν οὐκ ἔστιν ἀμφιβαλεῖν ὅτι ἐκεῖ τὰ πλείω πεπλάνηται Ὀδυσσεύς. ὁ δέ γε ποιητὴς, ἔστιν ἃ τῆς τοῦ Ὀδυσσέως πλάνης καὶ ἐξωκεανίζων φαίνεται, ὡς ἐν τοῖς ἑξῆς φανερῶς δειχθήσεται. φυλάττων μὲν καὶ τὰ τῆς ἱστορίας, προστιθεὶς δὲ καὶ τερατολογίαν ποιητικήν. καὶ ποιήσεως νόμῳ, τὸ ψεῦδος τῇ ἀληθείᾳ παραμιγνύς. καὶ τὰ μὲν διδάσκων, τὰ δὲ ἐκπλήττων ἢ καὶ ψυχαγωγῶν. οὕτω δὲ καὶ τὸν Αἰόλον καὶ τοὺς Κιμμερίους καὶ τὰ κατὰ τὴν Καλυψὼ ἐξ ἱστοριῶν ἀληθῶν ἐρανισάμενος ὡς δειχθήσεται, προσεπιτίθησί τι καὶ τερατολογίας. πῇ μὲν, ἐκτοπίζων τὰ ἱστορούμενα καὶ μετακινῶν αὐτὰ ἐξ ἄλλων τόπων εἰς ἄλλους. πῇ δὲ, τὰς ἰδιότητας τῶν ἱστορουμένων προσαύξων καὶ μετάγων εἰς τὸ παραδοξότερον. ἐκτοπίζων μὲν, ὡς ὅτε τοὺς Κιμμερίους τὸ ἀληθῶς βόρειον ἔθνος, εἰς τοὺς ἑσπερίους τόπους τοὺς πρὸς τῷ Αἵδῃ μετάγει ψευδῶς. καὶ τὴν τῆς Καλυψοῦς δὲ νῆσον, εἰς Ὠκεανὸν μετατίθησι. τὰς δὲ ἰδιότητας ἐπαυξάνων, ὡς ὅτε τοὺς Λαιστρυγόνας ἀγρίους ἄλλως ὄντας, αὐτὸς καὶ ἀνθρωποφαγοῦντας ποιεῖ. καὶ τὸν Αἰόλον δὲ τεχνίτην ὄντα τοῦ πλέειν, ἐγκατακλείειν τοὺς ἀνέμους φησίν. οὐ ψευδόμενος πάντῃ, ἀλλ' ὑπερβάλλων τὸ ἱστορούμενον. ψεῦδος γὰρ ἁπλῶς διόλου τῆς Ὁμήρου καταγνῶναι ποιήσεως, πάντῃ ψευδές. ψεῦδος γὰρ τοιοῦτον, οὐδ' αὐτὸς ἐρεῖ, εἴποι ἂν αὐτός. μάλα γὰρ πεπνυμένος ἐστίν. ἀκούσοι γὰρ ἂν, ὃ καὶ Ὀδυσσεὺς παρὰ τῷ Εὐμαίῳ. τί σε χρὴ τοῖον ἐόντα, μαψιδίως ψεύδεσθαι; ὡς τόγε ἄλλως μὴ μαψιδίως ἀλλ' ἐν δέοντι ψεύσασθαι, ἐπιτηδευτέον ποτὲ καὶ οὐ ψεκτέον τοῖς γε ἐχέφροσι. τὸν γοῦν Αὐτόλυκον, ὅρκῳ κεκοσμῆσθαι φησίν. ὅ ἐστι, τὸ ψευδέσιν ἐντέχνως ὅρκοις σοφίζεσθαι. καὶ αὐτὸν δὲ τὸν Ὀδυσσέα φανερῶς εἰσάγει ψευδόμενον, ἔν τε τοῖς πρὸς τὸν Εὔμαιον τὸν δοῦλον λόγοις, καὶ ἐν ἄλλοις. οὔκουν οὔτε πάντα ψευδόμενον ὑποληπτέον τὸν ποιητὴν, οὔτε μὴν πάντα φθεγγόμενον πρὸς ἀλήθειαν. ἀλλὰ τῷ ἀληθεῖ καὶ ψεύδους τι παραπλέκοντα, καθὰ καὶ τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πολυβίῳ δοκεῖ ὃς τῇ τοῦ· Ὀδυσσέως πλάνῃ καθὰ καὶ τῷ Ἰλιακῷ πολέμῳ μικρά φησι τὸν ποιητὴν προσμυθεύσασθαι. καὶ ταῦτα μὲν οὕτω. Ἠθικωτέρα δὲ τῆς Ἰλιάδος κατὰ τὴν παλαιὰν ἀλήθειαν ἐστὶν ἡ Ὀδύσσεια ὅ ἐστιν, γλυκυτέρα τὲ καὶ ἀφε 1.2 λεστέρα. ἤδη δὲ καὶ ὀξυτέρα διὰ τὰ ἐν φαντασίᾳ ἐπιπολαίου ἀφελείας βάθη τῶν νοημάτων, ὡς οἱ τεχνικοὶ λέγουσι. τοῦτο γάρ ἐστιν ὀξύτης ῥητορικὴ, νοημάτων βαθύτης ἐν ἐπιπολαζούσῃ ἁπλότητι. Ἰστέον δὲ ὅτι πάνυ γλίσχρα τὰ τῆς ὑποθέσεως ἐν τῷ βιβλίῳ τούτῳ, καὶ ἄσπορα, καὶ ὀλιγόϋλα. καὶ εἰ μὴ ὁ ποιητὴς ἐξεύρισκεν, οἷος αὐτὸς, μηχανὰς πλατυσμοῦ τῇ ποιήσει ἄλλοτε ἄλλας, οἷον, τὸν τοῦ Τηλεμάχου πλοῦν. τὴν παρὰ τοῖς Φαίαξι μακρὰν ἀδολεσχίαν. τὰ παρὰ τῷ Εὐμαίῳ λαμπρὰ ψεύσματα καὶ τὰ ἄλλα, ἐν στενῷ κομιδῇ ἔκειτο αὐτῷ τὰ τῆς κατὰ ποίησιν διασκευῆς. Ὁ δ' ἀλλὰ ταῦτα καὶ τοιαῦτα πολλὰ τεχνασάμενος, τὴν στενὴν ἀτραπὸν τῆς τοῦ βιβλίου περιπετείας, εὐρύναι πρὸς πεδιάδα λογογραφίας ἐξίσχυσε. καὶ ὡς ἐκ χειμαῤῥώδους λιβάδος, πλήθοντας ῥητορείας ἐξέῤῥευσε ποταμούς. ὁποῖοι οὐχήκιστα καὶ τὴν Ἰλιάδα περιλιμνάζουσιν. εἰ καί τις Τιμόλαος, ὁ εἴ τε Λαρισσαῖος εἴ τε Μακεδὼν εἴ τε καὶ ἄμφω, λειψυδρίαν οἷον ἐκεῖ καταγνοὺς τοῦ ποιητικοῦ Ὠκεανοῦ, ὠχετήγησε μισγαγκείας τινὸς δίκην, σιέλους ὥσπέρ τινας ἢ μύξας τὰ παρ' ἑαυτοῦ. λέγεται γὰρ ὅτι παρενέβαλε τῇ Ἰλιάδι ἐκεῖνος, στίχον πρὸς στίχον. ἐπιγράψας τὸ σύγγραμμα, Τρωϊκά. οἷον, μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος, ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης. οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε μαρναμένοις ὅ τε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτος. πολλάς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν, Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί. καὶ οὕτω μὲν ὁ εἰρημένος Τιμόλαος τὴν Ὁμηρικὴν Ἰλιάδα, ὡς οἷον ὀνθυλεύσας ἐλίπανε. Τρυφιόδωρος δέ φασιν ἀνάπαλιν αὐτοῦ δραμὼν, Ὀδύσσειαν λειπογράμματον ποιῆσαι ἱστόρηται, ἀπελάσας αὐτῆς τὸ σίγμα. τάχα μὲν, οὕτω τηνάλλως. ἴσως δὲ, καὶ ἵνα μὴ ψελλὸς ὢν, ἀχρειοῖ τὴν λαλιὰν δι' αὐτοῦ. καθὰ καὶ οἱ τραυλίζοντες, ἀπέχονται τοῦ ¯ρ στοιχείου, ἵνα μὴ ὁ τραυλισμὸς αὐτοὺς ἐλέγχῃ. ὅτι δὲ ὁ τοῦ σίγμα ἦχος καὶ ἄλλως λυπεῖν οἶδεν ἀκρόασιν διὰ τὸ συχνὸν τοῦ σιγμοῦ ὅτε στοιβάζεται ὡς ἐν τῷ, ἔσωσά σ' ὡς ἴσασι καὶ ἑξῆς τὸ τοῦ Εὐριπίδου, δηλοῖ καὶ ὁ πρός τινα ἐν διπλασιασμοῖς τοῦ ¯τ ἀττικίζοντα, εἰπὼν, ὡς εὖ γέ σοι ὅτι ἀπήλλαξας ἡμᾶς τῶν σιγμάτων Εὐριπίδου. καὶ ταῦτα μὲν τοιαῦτα. ὁ δὲ τοιοῦτος ποιητής. ὁ λόγῳ πλουτῶν. οὗ φράσαι ἀμείνων οὐδείς. ὁ διασκευάσαι δεινότατος. ὁ διηγήσασθαι πιθανώτατος. ὁ πάσης τῆς ἐν λόγοις τέχνης καθηγητής. ἐξ οὗ οἷά τινος ὠκεανοῦ, πάντες, ποταμοὶ καὶ πᾶσαι λογικῶν μεθόδων πηγαὶ, ὅμως οὐδ' αὐτὸς ἐξέφυγε παρεγγράπτου γραφὴν συγγραφῆς. φασὶ γὰρ Ναυκράτην τινὰ ἱστορῆσαι, ὡς ἄρα Φαντασία γυνὴ Μεμφῆτις, σοφίας ὑποφῆτις, Νικάρχου θυγάτηρ, συντάξασα τόν τε ἐν Ἰλιάδι πόλεμον καὶ τὴν Ὀδυσσέως πλάνην, ἀπέδοτο τὰς βίβλους εἰς τὸ κατὰ Μέμφιν τοῦ Ἡφαίστου ἄδυτον. ἔνθα τὸν ποιητὴν ἐλθόντα, λαβεῖν παρά τινος τῶν ἱερογραμματέων ἀντίγραφα, κἀκεῖθεν συντάξαι τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν. ὅτι δὲ ἢ Αἰγύπτιος ὁ ποιητὴς ἢ εἰς Αἴγυπτον φοιτήσας ἐμαθήτευσε τοῖς ἐκεῖ, ἱστοροῦσι τινές. καὶ ἐν τῷ περὶ τῶν πλαγκτῶν δὲ λόγῳ ἐν τοῖς ἑξῆς τοῦ βιβλίου τούτου τεθήσεταί τις ἱστορία τούτου δηλωτική. σωφροσύνη δὲ τῆς ποιήσεως ταύτης ὁ κεφαλαιωδέστατος σκοπός. καὶ φιλανδρίαν δὲ παιδεύει ἔννομον τὸ βιβλίον τοῦτο, προθέμενον τὴν Πηνελόπην εἰς ἀμφοτέρων ἀρχέτυπον. ἤδη δὲ καὶ ἀδικίας ἀπέχεσθαι ὑποτίθησιν, οἷς τοὺς μνηστῆρας οὐ δίκαια πλημμελοῦντας, ἀπαλλάττεσθαι οὐκ εὖ ἱστορεῖ. ὅσα δὲ καὶ ἄλλα σποράδην ὁ ποιητὴς παιδεύει νόμῳ οἰκείῳ, βιωφελὴς γὰρ πᾶσα ποίησις, τὰ κατὰ μέρος τοῦ βιβλίου διδάξουσιν. ἀναπληροῖ δέ πως καὶ τὴν Ἰλιάδα ἡ βίβλος αὕτη. ἃ γὰρ ὁ ποιητὴς ἐκεῖ ἐνέλιπεν, ἐνταῦθα προσανεπλήρωσε. καὶ ἔστιν ἐνταῦθα δίχα τῶν ἄλλων, Ἀχιλλέως τὲ θάνατον εὑρεῖν τὸν ἐκεῖ σιγηθέντα. καὶ Αἴαντος τοῦ τε μεγάλου καὶ τοῦ Λοκροῦ ἅπερ ἐκεῖ οὐκ ἔγνωμεν. καὶ ἀριστείαν Νεοπτολέμου. καὶ δόλον Ὀδυσσέως ὅτε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τρώων πόλιν κατέδυ. καὶ τὰ κατὰ τὸν δούρειον ἵππον. καὶ ἄλλα ὧν οὐδὲν ἀριδήλως τῇ Ἰλιάδι ἐντέθειται. καὶ ὅλως, καρύκευμά τι τῷ ποιητῇ ἐνταῦθα τὰ τῆς Ἰλιάδος ἐστὶν ἐλλείμματα. ἔσται δὲ ἡμῖν κἀνταῦθα ὡς καὶ ἐν τῇ Ἰλιάδι τῆς μεταχειρίσεως ἡ ἐπιβολὴ, οὐ κατὰ ἐξήγησιν ἧς ἄλλοις ἐμέλησεν, ἀλλὰ κατ' ἐκλογὴν τῶν χρησίμων τοῖς ἐπιτρέχουσι καὶ μὴ ἐν εὐχερεῖ ἔχουσιν ἑαυτοὺς ἐπαφιέναι τῷ τῆς ποιήσεως πλάτει σχολαίτερον. πολλὰ δὲ τῶν τῇ Ὀδυσσείᾳ ἐγκειμένων ἐν ταῖς τοιαύταις παρεκβολαῖς σεσίγηνται, διὰ τὸ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἱκανῶς εἰρῆσθαι περὶ αὐτῶν. ἀρχὴ δὲ τῶν Ὀδυσσειακῶν παρεκβολῶν ἐντεῦθεν. 1.3 ΥΠΟΘΕΣΙΣ ΤΗΣ Α. ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ. Θεῶν ἀγορὰ γίνεται, περὶ τοῦ τὸν Ὀδυσσέα εἰς Ἰθάκην πεμφθῆναι ἀπὸ τῆς Καλυψοῦς νήσου.μεθ' ἣν ἡ Ἀθηνᾶ εἰς Ἰθάκην παραγίνεται πρὸς Τηλέμαχον, ὁμοιωθεῖσα Μέντῃ βασιλεῖ Ταφίων. γενομένης δὲ ὁμιλίας, παραινέσασα ἡ Ἀθηνᾶ Τηλεμάχῳ παραγενέσθαι διὰ τὴν τοῦ πατρὸς ζήτησιν, ἐς Πύλον μὲν πρὸς Νέστορα, εἰς Σπάρτην δὲ πρὸς Μενέλαον, ἀπαίρει ἔμφασιν δοῦσα ὡς θεὸς εἴη, καὶ τῶν μνηστήρων γίνεται εὐωχία. ΟΔΥΣΣΕΙΑΣ Α. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Ὅτι ἡ μὲν Ἰλιὰς, ὡς καὶ ἐν τοῖς ἐκεῖ ἐδηλώθη, ἐκ τόπου τῆς Ἰλίου ἔσχε τὴν ἐπιγραφὴν, ὡς τὰ κακὰ περιέχουσα ὁπόσα ἐν τῷ καιρῷ τῆς μήνιδος περὶ τὴν Ἴλιον συνέπεσον οὐ μόνον τοῖς Ἰλιεῦσιν, ἀλλὰ καὶ μάλιστα τοῖς Ἕλλησι τοῖς μὴ τοσούτοις πρὸ τούτου πίπτουσιν, ὡς καὶ ὁ ποιητὴς ἐπισημαίνεται, λέγων· ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν. εἰ καὶ ἄλλως νόμῳ πολέμου πολλαὶ ἴφθιμοι ψυχαὶ καὶ Τρωϊκῶν ἡρώων εἰς Αἴδου ᾤχοντο. ἡ δὲ Ὀδύσσεια, φανερῶς ἐξ ὡρισμένου προσώπου τοῦ Ὀδυσσέως δηλαδὴ, ἐπιγέγραπται. ὃς μόνος ἐνταῦθα τὴν ὅλην ποίησιν συνιστᾷ. προπαροξύνεται δὲ ἡ λέξις, ὁμοίως τῷ ἱερεὺς ἱέρεια. βασιλεὺς βασίλεια. εἰ καὶ ἄλλως κατὰ λόγον κτητικοῦ παροξύνεσθαι ὤφειλεν. ἠκολούθησε δὲ μάλιστα ὁ τόνος τῆς ῥηθείσης λέξεως, τῷ πατρόκλεια. δολώνεια. καὶ τοῖς ὁμοίοις. περὶ ὧν ἀκριβέστερον ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. (ηερς. 1.) Ὅτι ὁμοιοσχήμων μὲν ἥ τε τῆς Ἰλιάδος εἰς βολὴ καὶ ἡτῆς Ὀδυσσείας, Μοῦσαν τὲ ἐπικαλουμένη, καὶ τὴν κλῆσιν προστακτικῶς σχηματίζουσα. ἐκπέφευγε δὲ ἄλλως πολυτρόπως τὸ τοῦ σχηματισμοῦ ὁμοειδές. ἐκεῖ μὲν γὰρ, ὁ ποιητὴς ἄειδε θεὰ, ἐνταῦθα δὲ ἔννεπε Μοῦσα φησιν. οὐ μόνον τοῖς ῥήμασι ποικιλλόμενος, ἀλλὰ καὶ φράζων σαφέστερον. ὁ γὰρ ἁπλούστερος ἀκροατὴς ζητήσῃ ἂν ἐν τῇ καταρχῇ τῆς Ἰλιάδος, ποίαν Ὅμηρος λέγει θεάν. καὶ ἐὰν Μοῦσαν ἀκούσῃ, πάλιν προσεκζητήσει ποίαν ταύτην ἐκ τῶν ἐννέα. διπλῆν ἀπορίαν προϊσχόμενος. ἐνταῦθα μέντοι ἔννεπε Μοῦσα εἰπὼν ὁ ποιητὴς, καὶ οὕτω τὴν τοῦ ἀκροατοῦ ἐκείνην ζήτησιν ἡμισεύσας, σαφέστερον ἔφρασεν. ἐπεὶ καὶ προσεχέστερον τῷ ποιητικῷ σκοπῷ τὸ Μοῦσα ἤπερ τὸ θεά. ἧς δὴ Μούσης, παράγωγον περιεκτικὸν, τὸ μουσεῖον, καθὰ καὶ τῆς ᾠδῆς, τὸ ᾠδεῖον. καὶ τῆς σχολῆς, τὸ σχολεῖον. εἰ δὲ προιὼν ἐρεῖ, θεὰ θύγατερ Διὸς εἰπὲ καὶ ἡμῖν, σαφήνειαν ἔχει καὶ ἐκεῖ ὁ λόγος διὰ τὸ, θύγατερ Διὸς, ὡς ἐκεῖ ῥηθήσεται. Ἔτι καὶ ἄλλως διαφόρως ἐσχημάτισται τὰ τῶν βιβλίων προοίμια ἐν τῷ, μῆνιν ἄειδε, καὶ, ἄνδρα ἔννεπε. καὶ ἡ διαφορὰ, οὐ μόνον κατὰ τὰ ῥήματα τὸ ἄειδε καὶ τὸ ἔννεπε. καὶ κατὰ τὰ γένη, τὸ μῆνιν καὶ τὸ ἄνδρα, ἀλλὰ καὶ κατὰ τὴν δράσιν καὶ πεῖσιν. ἡ μὲν γὰρ μῆνις ἐκεῖ, δραστική. ἔθηκε γὰρ μυρία ἄλγεα. ὧδε δὲ, ὁ ἀνὴρ πολλὰ ἔπαθεν ἄλγεα. Καὶ σημείωσαι ἐν τούτοις ὅτι ταυτὸν μυρία εἰπεῖν ἄλγεα καὶ πολλὰ, ἢ μάλα πολλά. Ἔτι διαφέρουσι καὶ καθότι ἐκεῖ μὲν, ἄειδε φησὶν ἁπλῶς, ἐνταῦθα δὲ ὡς ὡρισμένως, ἔννεπέ μοι. ἴσθι δὲ ὅτι τὸ μὲν ἄειδε, ἀφορμὴν δέδωκεν εἰς τὸ λέγεσθαι ᾠδὰς τὰ ποιήματα. ἐκ δὲ τοῦ ἔννεπε, ἀρχὴ ἐνδέδοται τοῖς καλοῦσι τοὺς ἡρωικοὺς στίχους, ἔπη. καὶ ἐποποιοὺς, τοὺς ποιητάς. νεωτέρων δὲ ἡ τοῦ ἔπους χρῆσις ἐπὶ τῶν ποιητικῶς μετρούντων. Ὅμηρος γὰρ ὡς δι' ὅλης τῆς αὐτοῦ ποιήσεως φαίνεται, τὸν ἁπλῶς λόγον ἔπος φησίν. οἷον. ποῖόν σε ἔπος φύγε. καὶ τὸ, ἔπεα πτερόεντα. Ὅτι δὲ τὰ ἑξάμετρα οὐ πάνυ ἠξίουν ἔπη καλεῖσθαι, δηλοῖ ὁ ἐν ῥητορικῷ λεξικῷ εἰπὼν ὡς ἀντέκειτο ὁ ἐποποιὸς τῷ μελοποιῷ. καὶ ἡρῷα ἔλεγον οὐκ ἔπη, τὰ ἑξάμετρα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σημείωσαι δὲ ὅτι κἀνταῦθα ὁ ποιητὴς προγράψας θεὰν τῆς ἑαυτοῦ ποιήσεως καθὰ καὶ ἐν Ἰλιάδι, καὶ τῇ ταύτης ἐπικλήσει μουσόληπτος ὑπονοηθεὶς, καὶ φαντάσας θεόφθεγκτα λαλεῖν, ἀφορμὴν ἐνδέδωκε τῷ καλῷ λυρικῷ, γνωματεύσασθαι ὡς ἄρα χρὴ ἀρχομένου ἔργου, πρόσωπον θεῖναι τηλαυγές. οὕτω γὰρ καὶ αὐτὸς Ὅμηρος, τηλαύγειαν τῶν αὐτῶν ποιήσεων προέγραψεν, οἷς τὲ θεῖα πρόσωπα τούτων προλάμπει, καὶ οἷς ἡρωϊκὰς πράξεις τὲ καὶ πάθη καθιστορῆσαι προεξέθετο. Ὅτι ἀνὴρ παρὰ τοῖς παλαιοῖς τετραχῶς, ὁ ἤδη τέλειος τὴν ἡλικίαν. καὶ ὁ συζευχθεὶς γυναικί. καὶ ὁ ἀνδρεῖος. καὶ ὁ φύσει. τουτέστιν ὃν ἐξανάγκης οἶδεν ἡ φύσις ἀντιδιῃρημένον τῇ γυναικί. ἐνταῦθ' οὖν ἐν τῷ ἄνδρα μοι ἔννεπε Μοῦσα, οἱ παλαιοὶ, ἄνδρα, 1.4 τὸν φύσει φασίν. ὡς εἴ τις εἴποι ἄνθρωπον ἄῤῥενα. ἀνδρεῖον δὲ νοῆσαι, οὐ θέλουσι. λέγοντες ὅτι ἐπὶ ἀνθρώπων οὐδέποτε κεῖνται δύο ἀλλεπάλληλα ἐπίθετα δίχα κυρίου ἢ προσηγορικοῦ. τίς γὰρ ἄν ποτε εἴπῃ, σοφὸς δίκαιος ἄνευ κυρίου τοῦ Ἀριστείδης ἢ τοιούτου τινός; τίς δ' ἂν ἐρεῖ, τραχὺς θρασὺς, δίχα προσηγορικοῦ τοῦ ἵππος τυχὸν ἢ Πήγασος; οὕτως οὖν οὐδ' ἐνταῦθα ἀνδρεῖον πολύτροπον ἔστιν εἰπεῖν, διότι οὔτε ἄνθρωπον οὔτε Ὀδυσσέα προσέθηκεν. εἴρηται ὡς ἐπ' ἀνθρώπων οὐ κεῖνται δύο ἐπίθετα, πρὸς διαστολὴν τοῦ ἐπὶ δαιμόνων. ἐπ' ἐκείνων γὰρ, πολλάκις γίνεται στοιβὴ ἐπιθέτων δίχα κυρίου. οἷον, ἐνυαλίῳ ἀνδρειφόντῃ. καὶ, χρυσηλάκατος κελαδεινή. καὶ, ὢ πόποι ἐννοσίγαιε εὐρυσθενές. αἴτιον δὲ, τὸ μονάζειν τὰ θεῖα ἐπίθετα καὶ ἐπὶ ἑνός τινος ὡρισμένου κεῖσθαι προσώπου καὶ διατοῦτο ἀντὶ κυρίων αὐτὰ διωνύμων λογίζεσθαι. τὰ μέν τοι λοιπὰ ἐπίθετα, κοινὰ ὄντα πολλῶν καὶ ἀοριστaίνοντα, οἷον τὸ ὀξύς. ταχύς. ποδώκης. σοφός. δαΐφρων. ἀνδρεῖος. καὶ τὰ τοιαῦτα, οὐ δύνανται ἀλλήλοις ἐπιστοιβασθῆναι δίχα κυρίου ἢ προσηγορικοῦ τοῦ ὁρίζοντος αὐτά. Ὅτι δὲ ἀνὴρ κατὰ πέμπτον σημαινόμενον, καὶ ὁ ἁπλῶς ἄνθρωπος, δῆλον καὶ ἐκ τοῦ, ἔσχατοι ἀνδρῶν. καὶ ἐκ τῶν ἀνδραποδιστῶν καὶ τῶν ἀνδραπόδων καὶ τῶν ἀνδροφόνων. ἐν αὐτοῖς γὰρ, τῷ τοῦ ἀνδρὸς ὀνόματι, πᾶς ἄνθρωπος δηλοῦσθαι δύναται. εἰ καὶ ἄλλως λέγεται ὡς ἐκ μέρους τοῦ ἀνδρὸς, καὶ τὰ λοιπὰ γένη σημαίνεσθαι. παραδείγματα δὲ τῶν προειρομένων τεσσάρων σημαινομένων, ἀρίδηλα παρὰ τοῖς ὑπομνηματισταῖς. οἳ πρὸς ὑπόδειγμα νέου μὲν τελείου δὲ ἀνδρὸς, καὶ τὸν ἀνδρόπαιδα παραδιδόασι. τῷ νεωτάτῳ καὶ πάντῃ ἀτελεῖ ἀποκληρώσαντες τὸν βούπαιδα. Σημείωσαι δὲ ὅτι σιωπᾷ τὸ τοῦ Ὀδυσσέως ἐξ ἀρχῆς ὄνομα ὁ ποιητὴς, ἐξαίρων αὐτὸν σεμνοῖς ἐπιθέτοις καὶ ἐγκωμίοις, καὶ ἀναρτῶν τὸν ἀκροατήν. καὶ ἄλλως δὲ εἰπεῖν, σεμνότερον τοῦ κυρίου κρίνας ὀνόματος, τὸ ἐξ ὧν πολλῶν ἔτλη γνωρίσαι αὐτόν. ἃ καὶ ὡς ἐξαίρετόν τι παράσημον ἦν αὐτῷ. ὡς γὰρ ὁ τυχὸν εἰπὼν ἄνδρα μοι ἔννεπε Μοῦσα ὃς ἀνελὼν Ἕκτορα τά δέ τινα ἐποίησεν ἢ ἔπαθε, τὸν Ἀχιλλέα δηλοῖ, οὕτω καὶ τὸ εἰπεῖν, ἄνδρα μοι ἔννεπε Μοῦσα ὃς τὴν Τροίαν ἑλὼν τοιοῖς δέ τισι περιέπεσε, τὸν Ὀδυσσέα ἐδήλωσε κατ' ἐξοχήν. καὶ διαφέρει καὶ οὕτως ἡ προοιμιακὴ αὕτη ἔννοια, τῆς ἐν Ἰλιάδι. ἐκεῖ μὲν γὰρ, αὐτὸς εὐθὺς ὥρισεν ὁ ποιητὴς πρόσωπον τὸν Ἀχιλλέα οὗ χάριν ἐπικαλεῖται τὴν Μοῦσαν. ἐνταῦθα δὲ ἀορίστως εἰπὼν καὶ μετεωρίσας ἱκανῶς τὸν ἀκροώμενον, ταμιεύεται μετ' ὀλίγα τῇ Μούσῃ τὸ τοῦ Ὀδυσσέως ὄνομα. ἔνθα ἐκεῖνον ἀντίθεον Ὀδυσσέα ἐρεῖ. Τὸ δὲ ἔννεπε, πλεονασμὸν ἔχει τοῦ ἑνὸς νῦ. καὶ δῆλον ἐξ ὧν πολλαχοῦ τὸ ἐνέπω δι' ἑνὸς νῦ ἐκφέρεται, ἀπὸ τῆς ¯ε¯ν προθέσεως καὶ τοῦ ἔπω ἐξ οὗ καὶ τὸ ἔπος. οὕτω καὶ ἀπὸ τοῦ ἐνόθω ἐνόσω τὸ κινῶ, τὸ μὲν ἐνοσίχθων, δι' ἑνὸς ἐκφέρεται νῦ. τὸ δὲ ἐννοσίγαιος, διπλάζει τὸ ἀμετάβολον. δῆλον δὲ ὅτι καιριώτερον ὡς ἐν ποιήσει, τὸ ἄειδε ἤπερ τὸ ἔννεπε. ἀείδειν μὲν γὰρ, τὸ μετὰ μέλους, ὅθεν καὶ ᾠδαὶ τὰ ποιήματα. ἐννέπειν δὲ, καὶ τὸ ἁπλῶς λέγειν, ὡς δηλοῖ μετ' ὀλίγα τὸ, εἰπὲ καὶ ἡμῖν. ταυτὸν ὂν τῷ ἔννεπε. τὸ μέν τοι ψάλλειν, ἀμφοῖν διαφέρει ὡς ἀλλαχοῦ δηλοῦται. Ὅρα δὲ ὅτι τὸ μὲν ἐννέπειν, ἢ ἀντὶ τοῦ ᾄδειν ἢ ἀντὶ τοῦ λέγειν ἁπλῶς κεῖται. τὸ δὲ ἐξ αὐτοῦ ἐνίπτειν καὶ ἐνίσσειν, οὐδέτερον ἐκείνων δηλοῖ, ἀλλ' ἐπίπληξιν καὶ ἄμφω δηλοῦσι, τὴν διὰ λόγων μέντοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴτουν δι' ἐπῶν. Ὅτι τὸ πολύτροπον, ταυτόν ἐστι τῷ, εὐκίνητον. ποικίλον. πολύμητιν. πολύνουν. ἐπιχειρηματικόν. πολύβουλον. πολύστροφον. οὐκ ἐφ' ἑνὸς ἑστῶτα οἷα γεγραμμένην εἰκόνα. τρεπόμενον δὲ πολλὰς ὁδοὺς βουλευμάτων ὡς Ὀδυσσεῖ πρέπει, τῷ πολυμηχάνῳ, τῷ παντοίοις δόλοις κεκοσμημένῳ καθά φησιν ὁ ποιητής. ὡς τόν γε μὴ οὕτω πολύτροπον, ἀλλὰ στρόφιν κατὰ τὴν κωμῳδίαν, καὶ ὡς οἱ μεθ' Ὅμηρον σκώπτουσι πολύποδα, κακίζει ὁ ποιητὴς ἐν οἷς φησὶ μισεῖν ἄνδρα ὃς ἄλλο μὲν κεύθει ἐν φρεσὶν ἄλλο δὲ βάζει. πολύτροπος οὖν, ὁ διὰ πολλὴν ἐμπειρίαν πολύφρων ὡς ὁ ποιητὴς μετ' ὀλίγα ἐρεῖ. καὶ ὡς Εὐριπίδης ἂν εἴποι, ποικιλόφρων. Ἔτι δὲ πολλὰς ὡς ἐῤῥέθη ἀτραποὺς βουλευμάτων τρεπόμενος, οὐ μὲν ὁ πρὸς πολλὰ ἤθη μεταβαλλόμενος καὶ ἄντικρυς εὔριπος ἢ χαμαιλέων τὸ ἦθος. τρόπον γὰρ, οὐκ οἶδε τὸ ἦθος ὁ ποιητής. ὥς τε οὐδ' ἂν λέγοι πολύτροπον, τὸν πολυήθη καὶ τὰ εἴδη διάφορον. καὶ ὁ τὰ μεθ' Ὅμηρον δὲ γράψας, τὴν λέξιν ταύτην ἐπί τε ποικιλίας νοεῖ ὡς ὅτε εἴπῃ αἶσαν πολύτροπον. καὶ ἐπὶ δόλου, ἐν οἷς λέγοι ὑπεροπῆα πολύτροπον. καὶ ἡ Κίρκη δέ που, πολύτροπον τὸν Ὀδυσσέα καλέσει, δόλιον καὶ φρόνιμον βουλομένη προσειπεῖν. Ὅτι δὲ τὸ πολύτροπον, ἐπαινουμένην τινὰ σημαίνει καὶ πολυειδῆ ἐνέργειαν, δηλοῖ καὶ τὸ περὶ ἀηδόνος ὑπὸ τοῦ ποιητοῦ λεχθέν. τὸ, τροπῶσα 1.5 χέει πολυηχέα φωνήν. ἐν γὰρ τῷ, τροπῶσα πολυηχέα φωνὴν, πολύτροπον εἰς ᾠδὴν τὴν ἀηδόνα φησίν. Ἰστέον δὲ ὅτι Ὁμήρου πολύτροπον τὸν Ὀδυσσέα γράψαντος, τῶν τις ὕστερον σκωπτικῶς παρῳδήσας,ἔγραψε τὸ, ἄνδρα μοι ἔννεπε Μοῦσα πολύκροτον, ὅπέρ ἐστι, κακεντρεχῆ καὶ μὴ ἁπλοῦν. δοκεῖ δὲ εἰρῆσθαι ἡ τοιαύτη λέξις, παρὰ τὸ τοῦ κωμικοῦ κρόταλον. ὅθεν καὶ τὸ κροταλίζειν ἐπὶ γέλωτι. Ὅμηρος δὲ τὸ οὕτω γίνεσθαι κρότον τινὰ ὅτε ἅρματα κτυποῦσιν ἀνατρεπόμενα, ἀνακυμβαλιάζειν εἶπεν ἐν τῇ Ἰλιάδι. τῷ δέ γε κωμῳδικῷ κροτάλῳ ἶσον δύναται, καὶ τὸ περίτριμμα, καὶ ἡ παιπάλη, ἔτι δὲ καὶ τὸ ἀπαιόλημα, καὶ ἡ ἀπαιόλη. οὐκ ἀεὶ δὲ οὔτε ὁ κρότος καὶ τὸ κροτεῖν κωμῳδοῖς ἐπιτρέπουσιν, οὔτε ἡ ἁπλῶς παιπάλη. καθὰ οὐδὲ τὸ παιπαλόεν. καὶ εἰσὶ ταῦτα δῆλα ἐκ τῶν πολλαχοῦ χρήσεων. (ηερς. 2 ετ 3.) Ὅτι ἐπαινεῖ τὸν Ὀδυσσέα ὡς μάλα πολλὰ πλανηθέντα καὶ πολλῶν ἰδόντα ἀνθρώπων ἄστεα καὶ νόον γνόντα. ὅ ἐστιν, ἦθος. ἔθος. διαγωγήν. οὗ τῆς πλάνης ἴχνη, μέχρι καὶ τῶν ἐσχάτων τῆς Ἑσπερίας Ἰβηρίας, ὡς ἱστοροῦσιν οἱ παλαιοί. εἴη ἂν οὖν ὁ Ὀδυσσεὺς διὰ ταῦτα, πολυΐστωρ, πολυειδὴς τὴν ἐμπειρίαν. καὶ ὡς εἴρηται, πολίνους, οἷα τοιαῦτα παθὼν καὶ νοῦν τοσοῦτον θύραθεν οἷον εἰσοικισάμενος. ἐπεὶ καὶ τῶν ἡρώων φρονιμωτάτοις οἱ παλαιοὶ ἀπεφαίνοντο, τοὺς ἀποδημήσαντας ἢ πλανηθέντας μακράν. καὶ γὰρ ἐν μεγάλῳ ἐτίθεντο ἐκεῖνοι, πολλῶν ἀνθρώπων ἰδεῖν ἄστεα, καὶ νόον γνῶναι. Ἡρακλῆς οὖν καὶ Διόνυσος κατὰ τὴν ἱστορίαν μακρὰς ἀποδημίας ποιησάμενοι, μεγάλοι ἔδοξαν. σεμνύνεται δέ που καὶ ὁ Νέστωρ διότι μετάπεμπτος ἦλθε τοῖς Λαπίθαις μακρὰν ὁδόν. ἐναβρύνεται δὲ ἐν τοῖς ἑξῆς τῇ πλάνῃ, καὶ ὁ Μενέλαος, ἔνθα καὶ πλείω τοῦ εἰκότος ἀλαζονεύεται. καθάπερ καὶ Ὀδυσσεὺς, τὰ καθ' ἑαυτὸν διηγούμενος. ἀλαζὼν γὰρ ὡς ὁ γεωγράφος φησὶ, πᾶς ὁ πλάνην ἑαυτοῦ ἀφηγούμενος. καὶ ἐν Ἰλιάδι καὶ ὁ ποιητὴς πορίζεται σεμνότητα παραβολῆς, ἐκ τοῦ πολλὴν γῆν ἐπεληλυθότος. λέγων. ὡς δ' ὅτ' ἂν ἀΐξῃ νόος ἀνέρος, καὶ τὰ ἑξῆς. Σημείωσαι δὲ ὅτι πλείω ἐμπειρίαν ὁ ποιητὴς ἐνταῦθα τῷ Ὀδυσσεῖ ἐπιμαρτύρεται ἤπερ ἐν Ἰλιάδι τῷ Νέστορι. ἐκεῖνος μὲν γὰρ, μιᾷ ἐναβρύνεται ὁδῷ τῇ ἐκ τῆς Πύλου εἰς τοὺς Θετταλικοὺς Λαπίθας. Ὀδυσσεὺς δὲ, πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω· πλὴν οὐκ ἤδη τοῦ Νέστορος ἦν ὁ Ὀδυσσεὺς ἐν Ἰλιάδι σοφώτερος, οὔπω γὰρ ἦν τότε τοιοῦτος, ἀλλὰ μετὰ Τροίας ἅλωσιν, γῆν τε μακρὰν ἐπῆλθε, καὶ πολλὴν ἐμπειρίαν συνήγαγεν. οὐ μόνον πλανηθεὶς, ἀλλὰ καὶ πολλὰ καὶ οὐχ' ἁπλῶς πολλὰ, ἀλλὰ καὶ μάλα πολλά. εἴη δ' ἂν ὅμοιος τῷ Ὀδυσσεῖ, καὶ παλαιά τε πολλά τε εἰδώς. καὶ ὃς γήραϊ μὲν κυφὸς ἔην, πολλὰ δὲ ᾔδει. οἷς ἀνάπαλιν ἔχει, ὁ ἄκοσμά τε πολλά τε εἰδώς. Ὅρα δὲ ὅτι τὸ ἔγνω, αἰτιατικῇ συνέταξεν ἀνομοίως τῷ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γνώτην ἀλλήλοιϊν. Ἰστέον δὲ καὶ ὅτι νόον ἐνταῦθα ἐστὶ νοῆσαι, οὐ μόνον τὸ κατὰ νοῦν τινὰ θέμενον ἔθιμον καὶ νόμιμον ἐν ἔθνεσι, καὶ τὸ κατ' ἦθος καὶ διαγωγὴν παρ' αὐτοῖς ἔννουν ἢ ἄλλως φυσικὸν καθ' ὃ χαρακτηρίζονται ἀνδρικοὶ τυχὸν ἢ ἀπόλεμοι· πανοῦργοι ἢ ἁπλοῖ. συνετοὶ ἢ εὐήθεις. φιλόξενοι ἢ ἀπάνθρωποι. λόγιοι ἢ ἑτεροῖοι, ἀλλὰ καὶ αὐτὸν τὸν τοῦ Ὀδυσσέως νοῦν. ἵνα εἴπῃ, ὅτι πολλῶν ἀνθρώπων ὁ Ὀδυσσεὺς ἰδὼν ἄστεα, νόον ἔγνω. τουτέστι μαθὼν, συνήγαγε νοῦν. καὶ οὕτως ἀπέβη τῇ συχνῇ ἱστορίᾳ πολύνους. καὶ ἐστί πως ὅμοιον τοῦτο κατά γε τὴν φράσιν, πρὸς τὸ, μάλιστα δὲ αὐτὸς ἀνέγνω. Ἐνταῦθα δὲ ἰστέον καὶ ὅτι τὸ μὲν πολλῶν ἀνθρώπων, κυριολεκτεῖται καθὰ καὶ τὸ, πολλὰ πλάγχθη. καὶ τὸ, πολλὰ ἄλγεα. διωρισμένου γάρ εἰσι ποσοῦ ὡς καὶ τὸ ἀρσενικὸν αὐτῶν ἑνικὸν ὁ πολλός. οὗ πληθυντικὸν οἱ πολλοί. τὸ δὲ πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα, ἑνὶ μὲν συνεχεῖ ποσῷ ἐπελαλήθη. δηλοῖ δὲ ὅμως καὶ αὐτὸ, πλῆθος μελῶν πεφιλοτιμημένων ταῖς κατὰ τὸν κείμενον τρισὶ διαστάσεσι. Τὸ δὲ πολὺς ἄνθρωπος καὶ εἴτι τοιοῦτον, οὐ κατὰ ταῦτα λέγεται ποσοῦ δίκην, ἀλλὰ ποιότητα ἐμφαίνειν δοκεῖ. καὶ ταύτην, ἢ ἐπαινετὴν ὡς τὸ, ὁ πολὺς τὴν θεολογίαν ταυτὸν δὲ εἰπεῖν περιττὸς κατὰ τὸ, ὁ περιττὸς Ἀριστείδης, ἢ ψεκτὴν ὡς τὸ, οὐ μέγας τις καὶ σοφὸς ταῦτα ἐρεῖ ἀλλὰ ὁ πολὺς ἄνθρωπος. ἤγουν ὁ χυδαῖος. ὁποῖον ἴσως καὶ τὸ, πολλοὶ δέ μιν ἠρήσαντο φορέειν, βασιλῆϊ δὲ κεῖται ἄγαλμα. τοῦτο δὲ ὁ κωμικὸς ἀστειότερον φράσας, τοὺς πολλοὺς εἴτουν τοὺς χύδην διακειμένους ἄνδρας, οὐχ' ἁπλῶς εἶπε πολλοὺς ἀλλὰ πολλοὺς τοῦ βολοῦ, ἐκ μεταφορᾶς δηλαδὴ τῶν εὐτελῶν καὶ εὐώνων εἰδῶν. Ὅτι δὲ τοῖς τοιούτοις ὅλοις πληθυσμός τις ἐμφαίνεται ἀναγκαίως καὶ ὑπὸ τὸ διωρισμένον ἀνάγονται ποσὸν, δῆλον τοῖς ἐφιστῶσιν. ὡς δὲ καὶ νεκροῖς προσφυὲς τὸ, οἱ πολλοὶ, καὶ τὸ, οἱ πλείους, δηλοῖ ὁ εἰπὼν τὸ, ἀπελεύσομαι παρὰ τοὺς πλείονας. ὅ ἐστι θανοῦμαι. πλείονας γὰρ, τοὺς τεθνεῶτας ἐκεῖνος ἔφη. Ὅτι 1.6 ὥσπερ ἐν τῇ Ἰλιάδι εἰπὼν μυρία Ἀχαιοῖς ἔθηκεν ἄλγεα καὶ πολλὰς ἰφθίμους ψυχὰς ἄϊδι προίαψεν, ἐνέφηνε τοῖς ἀκροαταῖς ὡς ἐν προεκθέσεως λόγῳ, ὡς ἔσται αὐτῷ ὕλη τοῦ τῆς ποιήσεως πλατυσμοῦ, τὰ μυρία ἄλγεα καὶ ὁ τῶν πολλῶν θάνατος, οὕτω καὶ νῦν ἐν τῷ, μάλα πολλὰ πλάγχθη καὶ πολλῶν ἀνθρώπων ἴδεν ἄστεα, τὸν τρόπον προεκτίθεται δι' οὗ τὴν ποίησιν πλατυνεῖ. ἡ γὰρ πολύπλανος τοῦ Ὀδυσσέως περίοδος, πλάτος τῇ ποιήσει ἐνδαψιλεύσεται. καὶ ἔστιν ὁ τρόπος, οἷον προέκθεσις, τὸ μέν τοι ἄνδρα μοι ἔννεπε, τὸν τῆς Ὀδυσσείας σκοπὸν προλαλεῖ. ὡς τὸν τῆς Ἰλιάδος, τὸ μῆνιν ἄειδε Ἀχιλλέως. Ὅτι λβὼν ἀφορμὴν κατὰ τοὺς παλαιοὺς ὁ ποιητὴς ἐκ τοῦ πολὺ, ὅπερ ἔγκειται τῇ λέξει τοῦ πολύτροπος, ἐπέμεινε τῇ ὁμοιότητι τοῦ ὀνόματος. εἰπών. πολλὰ ἐπλάγχθη. πολλῶν δὲ ἀνθρώπων ἴδεν ἄστεα. πολλὰ δὲ ἔπαθεν ἄλγεα. Τὸ δὲ πλάγχθη ἀναύξητον ὂν, Ἰαστὶ προήνεκται ὡς φίλον Ὁμήρῳ. χαίροντι μὲν καὶ ταῖς κοιναῖς ῥηματικαῖς αὐξήσεσιν, οὐχήκιστα δὲ καὶ ταῖς ἀναυξέσι τῶν ῥημάτων κινήσεσιν. οἱ δέ γε ὕστερον ἀττικίζοντες, οὐχ ἁπλῶς αὔξειν τοὺς παρῳχημένους οἴδασιν, ἀλλὰ καὶ ἀναδιπλοῦσι τὴν αὔξην ἐν πολλοῖς. ὡς δῆλον ἐκ τοῦ ἠνέῳξε καὶ ἠνώχλησεν. ἔτι δὲ καὶ ἐν τῷ ὠνοματοπεποίηται. καὶ ἐκδεδιητημένος. καὶ ἄλλων μυρίων ὧν μνεία ἐν τοῖς εἰς τὴν Ἰλιάδα γέγονε. τινὲς δὲ, καὶ ἄλλως καινοπραγοῦσιν, αὔξοντες ἐφ' οἷς οὐκ ἐχρῆν. οἷον ἐν τῷ ἤμελλε, καὶ ἠδύνατο, καὶ ἐν τῷ διηκόνησε. τροπὴ γὰρ ἐν τούτοις τοῦ ¯ε εἰς ¯η ἐκ τοῦ ἔμελλον ἐδύνατο διεκόνησεν, ὤγκωσεν εἰς πλέον τὴν συνήθη αὔξησιν. τὸ μέντοι ὤρωρεν, ἑτεροῖόν τι ἐστί. οὐκ αὐξῆσαν αὐτὸ, ἀλλὰ μεταθέμενον τὴν ἔθιμον Ἀττικοῖς παραλήγουσαν τὴν τοῦ ¯ω μεγάλου, εἰς τὴν ἄρχουσαν. καὶ ταῦτα μὲν οὕτω. Τὸ δὲ ὡς ἐῤῥέθη ἐπλάγχθη ἀπὸ τοῦ πλάζω γενόμενον, πλεονασμὸν ἔπαθε τοῦ νῦ διὰ καλλιφωνίαν καὶ ὄγκον ἤχου. ὡς καὶ ἐπὶ τοῦ ἀμφασία ἐγένετο. καὶ ἐπὶ τοῦ ἄμβροτος. καὶ τερψίμβροτος. καὶ τύμπανον. καὶ πίμπλημι. καὶ χρίμπτω. καὶ φαισίμβροτος. καὶ λίγξε βιός. καὶ ἐπὶ τοῦ λαγχάνω. καὶ λέλογχε. καὶ φυγγάνω. θιγγάνω. ἐρυγγάνω. τυγχάνω. καὶ ἐπὶ ἄλλων πολλῶν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑρμηνεία δὲ τοῦ πλάζειν κοινῇ διαλέκτῳ, τὸ πλανᾶν. ὃ κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ ἄλη γίνεται προσθέσει στοιχείων τοῦ ¯π καὶ λάμβδα. ἢ ἀπὸ τοῦ πλαγιάζειν τῆς ὀρθῆς. ἐξ αὐτοῦ δὲ, ὁ πλάνης καὶ ὁ πλανήτης, ἔτι δὲ καὶ ὁ πλάνος. τέχνην αὐτὸς ἔχων τινὰ καὶ τὸ ἀποπλανᾶν τοὺς θεωμένους. ὁποῖοι, Κηφισσόδωρός τις καὶ Παντολέων, ἔτι δὲ καὶ Ματρέας ὁ Ἀλεξανδρεύς. ὃς κατὰ τὴν ἱστορίαν τοῦ Ἀθηναίου, ἔλεγε πρὸς αἴνιγμα, θηρίον τι τρέφειν ὅπερ αὐτὸ ἑαυτὸ ἐσθίει. ὡς καὶ ζητεῖσθαί φησι μέχρι τοῦ νῦν, τὸ Ματρέου θηρίον. τὸ δὲ, ἢ θυμὸν ἴσως ἢ φθόνον δηλοῖ ἢ λύπην ἢ καί τι κωμικώτερον ἐμπαθές. εἰλῆφθαι δὲ δοκεῖ ὁ ῥηθεὶς τοῦ Ματρέου λόγος, ἢ ἐκ τοῦ, ὃν θυμὸν κατέδων, ἢ ἐκ τοῦ πολύποδος ὃς ἑόν ποτε πόδα τένδει. Ὅτι τὸ ἐπεὶ, οὐ μόνον σύνδεσμός ἐστιν αἰτιολογικὸς, ἀλλ' ἐν πολλοῖς καὶ χρονικὸν ἐπίῤῥημα, ὡς καὶ ἐνταῦθα. ἐπεὶ Τροίης πτολίεθρον ἔπερσεν, ἀντὶ τοῦ ἀφ' οὗ. ὅπερ, ἐξ οὗ φησὶν ἐν τῇ Ἰλιάδι ἐν τῷ, ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην. Ὅτι τὴν Τροίαν ἐνταῦθα ἱερὰν καλεῖ, ὡς καὶ ἐν τῇ ¯α τῆς Ἰλιάδος τοῦ Ἠετίωνος πόλιν τὴν Θήβην. τοῦτο δὲ καὶ ἐπ' ἄλλων ποιεῖ πόλεων. καὶ ζητητέον τὴν αἰτίαν ἐν τοῖς γραφεῖσιν ἐκεῖ. ὧδε δὲ, καὶ μῦθός τις ὕπεστι. λέγων, ὑπὸ Ἀπόλλωνος καὶ Ποσειδῶνος κτισθῆναι τὴν Ἴλιον. ὅθεν καὶ ἱερὸν πτολίεθρον Τροίης, ὡς θεόκτιστον λέγεται. θεραπεία δὲ τοῦ μύθου κατὰ Παλαίφατον, ὅτι κειμήλια Ποσειδῶνος τὲ καὶ Ἀπόλλωνος, εἰς ἀνοικισμὸν τῆς Ἰλίου ὑπὸ Λαομέδοντος δεδαπάνητο. διὸ δοκοῦσι, τρόπον τινὰ θητεῦσαι ὁ Ποσειδῶν καὶ ὁ Ἀπόλλων ἐν τῷ τῆς Ἰλίου κτίσματι. τινὲς δὲ οἴονται ὅτι ἀστείως τὸ κοινὸν παντὸς κτίσματος, ὁ μῦθος διὰ σεμνότητα τῇ Τροίᾳ ἐξιδίωσε. παντὶ μὲν γὰρ πολίσματι καὶ ἁπλῶς οἰκοδομήματι, χρεία Ποσειδῶνος τὲ ἤγουν ὑγρότητος δι' ἧς ὁ τίτανος ἢ ὁ πηλὸς ἁρμόσει τοὺς λίθους, καὶ Ἀπόλλωνος ἤτοι θερμότητος ἡλιακῆς τῆς ἐν τῷ περιέχοντι, ὡς ἂν ἐξικμαζόμενον συμπαγείη τὸ κτιζόμενον. ἡ δὲ μυθολογία, τὸ κοινὸν τοῦτο, τῇ Τροίᾳ κατ' ἐξαίρετον ἰδιαζόντως ἀπένειμε. περίφρασις δέ ἐστι τὸ, Τροίης πτολίεθρον. ἀντὶ τοῦ Τροία. Σημείωσαι δὲ καὶ ὅτι τὸ, Τροίης πτολίεθρον ἔπερσεν, ἀρχή ἐστι τῆς τοῦ πτολιπόρθου Ὀδυσσέως συνθέσεως. διὰ γὰρ ταύτην ἐκεῖνος πτολίπορθος ἐπωνόμασται. Ὅτι δὲ αὐτὸς εἷλε τὴν Τροίαν διὰ τῆς τοῦ δουρείου ἵππου μηχανῆς, δῆλον. ἐρεῖ γὰρ ὁ ποιητής. σῇ δ' ἥλω βουλῇ πόλις Πριάμοιο. (ηερς. 4) Ὅτι πόντος κυρίως τὲ καὶ κοινῶς, πᾶν πέλαγος. ὡς δηλοῖ κἀνταῦθα τὸ, πολλά δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα. ἰδίως δὲ πόντος παρὰ τοῖς ὕστερον, καὶ ὁ Εὔξεινος. ἐκπλήττων αὐτὸς τοὺς Ἕλληνας διὰ τὸ ἐκτετοπίσθαι. διό φασι τοὺς ποντικοὺς ἀνθρώπους ἔλεγον εἴπου φαίνοιντο, ἐκ τοῦ πολλοῦ ἥκειν πόντου. ὡς εἴπερ ἔλεγον ἐξ ὀλέ 1.7 θρου. Ὅτι προσφυὲς εἰπεῖν ἐπὶ ἀνθρώπου πολυπλάνου καὶ περιοδευτοῦ, τὸ, μάλα πολλὰ πλάγχθη. πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω. ἴσως δὲ καὶ τὰ ἑξῆς. Μάτρων δὲ ὁ παρῳδὸς ἐξ Ὁμήρου λαβὼν, ἔφη ἐπὶ δείπνου τὸ δεῖπνά μοι ἔννεπε Μοῦσα πολύτροφα καὶ μάλα πολλά. καὶ ἑξῆς ὡς ἐκεῖνος ἐπελέξατο. ἐν οἷς μέμνηται καὶ παρασίτου ὃς σχεδόθεν ἦν φησι πεινῶντι λάρῳ ὄρνιθι ἐοικώς. νῆστις. ἀλλοτρίων εὖ εἰδὼς δειπνοσυνάων. λέγει δ' ἐν τούτοις ἐκεῖνος καὶ τοὺς ἐχίνους, καρηκομόωντας ἀκάνθαις. καὶ τὴν τρίγλην, μιλτοπάρῃον. λάρῳ δ' ἐκεῖνος εἴκασε τὸν παράσιτον, διὰ τὸ πληστεύεσθαι οἷς ἀπληστεύεται. ὡς ἀπὸ τοῦ λαρινεύεσθαι ὅ ἐστι σιτίζεσθαι κατὰ Σώφρονα ὡς παρασημειοῦται Ἀθήναιος. ὅθεν καὶ βόες λαρινοί φησιν ὥσπερ καὶ σύες. αὐτοὶ δὲ καὶ ἄλλως καλοῦνται λαρινοὶ, ἢ ἀπὸ λαρίνης ἠπειρωτικῆς κώμης, ἢ ἀπό τινος Λαρίνου βουκολοῦντος αὐτάς. καὶ οὕτω μὲν ταῦτα. Τὸ δὲ ἴδεν, ἀόριστός ἐστι δεύτερος, ἐξ οὗ καὶ τὸ ἰδεῖν ἀπαρέμφατον. καὶ ἰδὼν μετοχή. Ἄστυ δὲ κοινῶς μὲν, πᾶσα πόλις. ὅθεν καὶ ἀστεῖος κυρίως ἀνὴρ, ὁ ἐξ ἄστεος καὶ μὴ ἀγρότης. Ἀττικοὶ δὲ, ἰδίως οὕτω τὰς Ἀθήνας ὠνόμαζον, κατά τι ἐξαίρετον. ὥσπερ καὶ οἱ Ἀλεξανδρεῖς, πόλιν ἐξαιρέτως τὴν Ἀλεξάνδρειαν.ἔλεγον οὖν Ἀθηναῖοι, καὶ ἀστοὺς καὶ ἀστὰς ἄνδρας τὲ καὶ γυναῖκας, τοὺς ἐξ Ἀθηνῶν. καὶ ἀστὴν ἐλαίαν, τὴν ἐκεῖθεν. καὶ μάλιστα τὴν ἐξ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκροπόλεως τὴν καὶ ἱεράν. (ῃερς. 5.) Ὅτι τὸ ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων ὅ ἐστιν ἀντικαταλλασσόμενος, ἀπὸ μέρους εἴληπται τῶν πάλαι ποτὲ μεσιτευόντων ζώων τοῖς συναλλάγμασι, τουτέστιν ἀπὸ τῶν ἀρνῶν, ἑνὸς εἴδους τῶν τετραπόδων. ἀφ' ὧν καὶ Σοφοκλῆς ἄρνειον φόνον λέγει τὸν τῆς λείας ἁπάσης τῆς συμμίκτου. καὶ ὁ ποιητὴς τὸν Θυέστην ἐν Ἰλιάδι, πολύαρνα ἔφη ἀντὶ τοῦ πολυθρέμμονα. καὶ ἐστὶ κυρίως μὲν ἄρνυσθαι, τὸ, ἄρνα διδόντα ὡς ἐν καταλλαγῇ, ἀντιλαμβάνειν τι ἕτερον χρήσιμον. καταχρηστικῶς δὲ, καὶ τὸ ἁπλῶς ἀντικαταλλάσσεσθαι. ὥσπερ δὲ ἀπὸ τῶν ἀρνῶν τὸ ἄρνυσθαι εἴληπται, οὕτω καὶ ἀπὸ τῶν ὑπὸ τοῖς ζῴοις πώλων, εἴρηται τὸ πωλεῖν. ἀρέσκει δέ τισι καὶ ἀπὸ τῶν ὄνων κατὰ ἔκτασιν τῆς ἀρχούσης, τὸ ὠνεῖσθαι παράγεσθαι. Ὅτι δὲ τίμια ἦσαν τὰ θρέμματα καὶ ἐν αὐτοῖς οἱ παλαιοὶ τὴν κατὰ βίον εἶχον εὐθέτησιν, δῆλον ἐκ τῶν ἱστοριῶν. διὸ καὶ τὴν περιουσίαν, πρόβασιν ἔλεγον διὰ τὸ ἐν ζῴοις περιουσιάζεσθαι τοῖς αὐτόθεν δυναμένοις προβαίνειν. ὥσπερ δὲ τὸ ἄρνυσθαι ἀπὸ τῶν ἀρνῶν καὶ τὸ πωλεῖν ἐκ τῶν πώλων καὶ τὸ ὠνεῖσθαι ἀπὸ τῶν ὄνων ὡς ἐκ μέρους τὸ πᾶν, οὕτω καὶ τῶν γυναικῶν αἱ πολύπροικοι, ἀλφισίβοιαι ἀπὸ τῶν βοῶν, εἴδους ἄλλου τετραπόδων, ἀφ' ὧν καὶ σταθμοί τινες τιμημάτων ἦσαν, τὸ τεσσαράβοιον. τὸ δωδεκάβοιον. τὸ εἰκοσάβοιον. τὸ ἑκατόμβοιον. καὶ ὁ Θηβαϊκὸς δέ που πόλεμος, μήλων γενέσθαι λέγεται τῶν τοῦ Οἰδίποδος. ἔνθα νοεῖται ἀπὸ μέρους τῶν μήλων, τὰ τοῦ Οἰδίποδος ἅπαντα πράγματα. ἄλλοι μέν τοι ἀρνύμενος, φασὶν ἀντὶ τοῦ λαμβάνων καὶ περιποιούμενος, ἀπὸ τοῦ αἴρω. τὴν δὲ τούτου παραγωγὴν, ζήτει ἐν τῷ ἄλφα τῆς Ἰλιάδος ἐν τῷ ἀχνύμενος. περὶ οὗ ἑτεροῖόν τι παραδιδοὺς ὁ καλὸς Ἡρακλείδης, φησὶν ὅτι ἐκ τοῦ δέχω, γίνεται δεχύω. καὶ Δωρικῶς δεχύνω. ἐξ οὗ καὶ καθ' ὑπέρβασιν τοῦ ¯ν, δέχνυμαι. οὕτω καὶ τοῦ ἄχω ἄχομαι, παράγωγον ἀχύω, ὡς ἄνω ἀνύω. Δωριεῖς δὲ ἀχύνω φασί. μεταθέσει δὲ ὁμοίᾳ, γίνεται ἄχνυμαι. ὡς εἰκὸς δὲ, οὕτω καὶ τὰ ὅμοια. Ὅτι πολλὰ ἔπαθεν Ὀδυσσεὺς τήν τε ψυχὴν ἀρνύμενος ἑαυτῷ, καὶ τοῖς ἑταίροις νόστον. ἐκεῖνο μὲν, ὅτι φίλαυτον καὶ φιλόζωον ἐν τοῖς καιρίοις ὁ σπουδαῖος ἄνθρωπος. τὸ δὲ δεύτερον, ὅτι οὐ περιορᾷ ἐν κινδύνοις τοὺς φίλους ὁ σοφός. Ἰστέον δὲ ὅτι πρώτη ἐνταῦθα παράφρασις τῷ ποιητῇ, ἐν τῷ, ἥν τε ψυχὴν, ἤγουν ἰδίαν. ὅπερ ἀνωτέρω ἔφη ὃν κατὰ θυμόν. (ῃερς. 6–7.) Λέγει δὲ καὶ ὡς ἐῤῥύσατο ἂν ἐκείνους, εἰ μὴ αὐτῶν σφετέραις ἀτασθαλίαις ἀπολώλασι νήπιοι, οἳ βόας Ὑπερίονος Ἠελίοιο κατήσθιον. τίνες δὲ οἱ τοῦ Ἡλίου βόες καὶ τίς ἡ τοῦ λόγου τούτου ἀλληγορία, εἰρήσεται ὅτε προϊὼν ὁ λόγος, ἐν Θρινακίᾳ ταῖς τοιαύταις ἐντύχῃ βουσί. Σημείωσαι δὲ ὅτι ἑταίρους Ὀδυσσέως ἐνταῦθα λέγει κατ' ἐξαίρετον, μόνους τοὺς ἐν τῇ ἐκείνου νηῒ, τεσσαράκοντα ὄντας καὶ τέσσαρας. αὐτοὶ γὰρ καὶ τῶν τοῦ Ἡλίου βοῶν ἔφαγον, μόνοι περιλειφθέντες τῷ Ὀδυσσεῖ. καὶ αὐτοὶ μόνοι σωθῆναι ἠδύναντο εἰ μὴ ἔφαγον. οἱ δὲ ἄλλοι, ἐν διαφόροις καὶ τρόποις καὶ τόποις, βιαίως προαπολώλασιν ὡς διηγήσεται ὁ ποιητής. Τὸ δὲ σφετέραις, ἀντωνυμία ἐστὶ τρίτου προσώπου, ἀντὶ τοῦ ταῖς ἐκείνων. καὶ ἀεὶ οὕτω τίθεται. εἰ καὶ Ἡσίοδος ἐπὶ δευτέρου αὐτὸ ἔταξεν, ἐν τῷ σφέτερον πατέρα ὑμνείουσαι ἀντὶ τοῦ ὑμέτερον. Ἰστέον δὲ ὅτι τὸ, αὐτῶν σφετέραις ἀτασθαλίαις, ἀντὶ συνθέτου κεῖται ἀντωνυμίας, τῆς ἑαυτῶν. ἢ ἀντὶ τοῦ σφῶν αὐτῶν. ὁποίαις μάλιστα χαίρει ὁ ποιητὴς οἷα τὰς συνθέτους μὴ εἰδώς. 1.8 Ἀτασθαλία δὲ, οὐ μόνον ἡ ταῖς ἄταις θάλλουσα ἀφροσύνη, ἀλλὰ καὶ ἡ ἐν θαλίαις εἴτουν εὐωχίαις ἄτη ἐκ παροινίας ὥς φησιν Ἀθήναιος. (ῃερς. 8.) Ὅρα δὲ ὅτι ὥσπερ ἐν τῇ Ἰλιάδι, οὕτω καὶ ἐν τῇ Ὀδυσσείᾳ τὸ νηπιοι, προαναφωνούμενον, ἀποτέλεσμα δηλοῖ οὐκ ἀγαθὸν οἷς ἂν ἐπιφωνηθῇ. Ὑπερίων δὲ ἥλιος, ἢ πατρωνυμικῶς ὃ κατὰ Πίνδαρον Ὑπεριονίδης, ἐξ οὗ Ὑπεριονίων ὁ τοῦ Ὑπερίονος υἱὸς καὶ κατὰ συγκοπὴν Ὑπερίων. οὕτω γὰρ αὐτὸν ὁ μῦθος γενεαλογεῖ. ἢ ἐπιθετικῶς, ὁ ὑπὲρ ἡμᾶς ἰών. καὶ ὤφειλεν εἶναι ὑπεριὼν ὀξυτόνως ὡς μετοχικὸν ὄνομα. μετέπεσε δὲ διὰ ἀποφυγὴν συνεμπτώσεως, εἰς καθαρὸν ὄνομα. ὁποῖον καὶ τὸ Ἀμφίων καὶ τὰ τοιαῦτα. οὕτω δὲ καὶ ἐκ τῆς ἐλθὼν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετοχῆς, Εὐέλθων βαρύτονον παρὰ Ἡροδότῳ κύριον ὄνομα. (ηερς. 9.) Ὅτι Ὅμηρος μὲν, ἦμαρ νόστιμον τὸ τῆς οἴκαδε ὑποστροφῆς λέγει. οἱ δὲμεθ' Ὅμηρον, καὶ βρῶμα φασὶ νόστιμον, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. καὶ νόστον δὲ, τὴν ἡδύτητα, διὰ τὸ ἡδὺ τοῦ Ὁμηρικοῦ νόστου. ὅθεν καὶ εὔνοστος, φαῦλον φασὶν ἀγαλμάτιον παρὰ τοῖς μήλωσιν. ἢ ὡς ἐν ἑτέρῳ ῥητορικῷ λεξικῷ κεῖται, εὔνοστος, θεὸς ἐπιμύλιος, δοκοῦσα ἐφορᾶν τὸ μέτρον τῶν ἀλεύρων. (ηερς. 10.) Ὅτι ἐν Ἰλιάδι μὲν αὐτὸς ὁ ποιητὴς ἐν προοιμίοις ὁρίζει πόθεν ἀρκτέον τὴν Μοῦσαν, ὅτι δηλαδὴ ἀπὸ τῆς Ἀχιλλέως μήνιδος, διὰ τὸ ἀόριστον ἐκεῖ τοῦ σκοποῦ τῆς ὑποθέσεως. ἐνταῦθα δὲ διὰ τὸ πάνυ πολλὰ πάθη τῆς πλάνης, τῇ Μούσῃ ἀνατίθησι τὸ ἄρξασθαι ὅθεν ἂν αὐτὴ ἐκ τῶν πολλῶν βούλοιτο, εἰπών. τῶν ἁμόθεν γε θεὰ θύγατερ Διὸς εἰπὲ καὶ ἡμῖν. ὡς ἂν εἴη καὶ οὕτω ποικίλος ἐν τῷ τῶν προοιμίων ἑκατέρων σχηματισμῷ. κατὰ δὲ ἀλληγορίαν, τῇ ἑαυτοῦ γνώσει τὸ πᾶν ἀνατίθησιν. ἣν Μοῦσαν μὲν, συνήθως ὀνομάζει, ὡς ζητητικὴν ἐκ τοῦ μῶ τὸ ζητῶ. θεὰν δὲ, διὰ τὸ ὀξὺ καὶ ταχὺ, ὡς ἀπὸ τοῦ θέειν. θυγατέραν δὲ Διὸς, ὡς νοὸς προβολὴν καὶ ἐνέργειαν, Ζεὺς γὰρ ὁ νοῦς. Σημείωσαι δὲ κἀνταῦθα ὡς καὶ ἐν τῇ Ἰλιάδι, τὴν προσωπικὴν σύστασιν καθ' ἣν ὁ ποιητὴς ἑαυτὸν ὡς πάνυ λόγιον συνιστᾷ. ὡς γὰρ ὁ πλατωνίζειν ἢ δημοσθενίζειν φάμενος ἐμφαίνει θαῤῥεῖν σοφὸς εἶναι κατὰ Πλάτωνα ἢ Δημοσθένην, οὕτω καὶ ὁ θεὰν προκαλεσάμενος ἀείδειν ἢ ἐννέπειν, ἐνθεάζειν οἷον τοῖς λόγοις ἐνέφηνε. Τὸ δὲ ἁμόθεν, δηλοῖ μὲν τὸ ποθὲν καὶ ἀπό τινος ἑνὸς, σχηματίζεται δὲ οὕτως. ἀμὸς λέγεται ὁ εἷς ἢ ὁ τίς, Ἰωνικῶς εἴτε καὶ Δωρικῶς. ἐξ οὗ ἀμόθεν μὲν, τὸ ποθὲν καὶ ἀπό τινος ἑνός. οὐδαμόθεν δὲ, τὸ οὐδέποθεν. εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ κινήσεις ἐκ τοῦ τοιούτου ἀμός. ἔστι γὰρ ἐξ αὐτοῦ κατὰ ἀπόφασιν ἄλλη τις εὐθεῖα, ὁ οὐδαμός. ὃ ταυτόν ἐστι τῷ οὐδέ τις. ἀφ' οὗ παρ' Ἡροδότῳ τὸ οὐδαμοὶ, εὐθεῖα πληθυντική. ἀντὶ τοῦ οὐδέ τινες. καὶ θηλυκὸν οὐδαμάς. ὅθεν γενικὴ, πρὸς οὐδαμῶν ἀνθρώπων. ἐξ οὗ ἐπίῤῥημα μεσότητος τὸ οὐδαμῶς, ἀντὶ τοῦ κατ' οὐδένα τινὰ τρόπον. ἀφ' οὗ τὸ οὐδαμῇ. οἷς ἰσοδύναμα, τὸ μηδαμῶς καὶ τὸ μηδαμῇ καὶ ταῦτα μὲν ἐκ τοῦ οὐδαμὸς ἀῤῥήτου ἑνικοῦ συνθέτου ἀρσενικοῦ ὀνόματος. ἐκ δὲ τοῦ ἀμὸς πρωτοτύπου καὶ ἐκ τῆς πληθυντικῆς αὐτοῦ γενικῆς, τὸ ἀμῶς ἐπίῤῥημα γίνεται, ὅ ἐστι μετρικῶς. ὥσπερ δὲ οὐδαμῶς οὐδαμῇ. καὶ μηδαμῶς μηδαμῇ. καὶ πῶς πῇ. καὶ πάντως πάντη. καὶ ἄλλως ἄλλῃ, οὕτως ἐκ τοῦ ἀμῶς γίνεται ἀμῇ. ἐκ δὲ τούτων τῶν δύο ἤγουν ἐκ τοῦ ἀμῶς καὶ τοῦ ἀμῇ, κατὰ πρόσληψιν διπλῆς συνδετικῆς παραπληρώσεως, συντίθεται τὸ ἁμωσγέπως. καὶ τὸ ἁμηγέπῃ. τουτέστιν ἐπ' ὀλίγον. μετρικῶς. κατὰ ἕνα τινὰ τρόπον. οἷον. ἁμωσγέπως ἥψατο λόγου. ἁμηγέπῃ ἐφιλοσόφησεν ἀντὶ τοῦ κατά τι καὶ ἐπὶ βραχὺ καὶ μετρικῶς. καὶ ὡς εἰπεῖν ἀμόθεν. διὸ καὶ ὁ σοφὸς Θρᾷξ Δημοσθένης ἐν οἷς παρέφρασε τὴν Ὀδύσσειαν, τὸ ἀμόθεν, ἁμηγέπῃ ἡρμήνευσε. Τὸ δὲ καὶ ἡμῖν, ἢ παρέλκον ἔχει τὸ καὶ καθὰ πολλαχοῦ γίνεται, ἢ διὰ τὸ μέλλον εἴρηται. ὡς εἰκὸς ὂν, πολλοὺς μεθ' Ὅμηρον ἐγχειρήσειν τοιούτῳ ἔργῳ. ἴσως δὲ καὶ διὰ τὸ παρῳχημένον, εἴ τις ἀναπολεῖ τὴν προεκτεθειμένην ἱστορίαν, ὅτι δηλαδὴ Αἰγυπτόθεν ἡ λαβὴ τῆς ποιήσεως τῷ Ὁμήρῳ ὡς πρὸ ὀλίγου ἐγράφη. ἵνα λέγῃ ὅτι ὡς ἑτέροις φθάσασα εἶπας, εἰπὲ καὶ ἡμῖν. (ηερς. 11.) Ὅτι τὸ ἔνθα οὐ μόνον τοπικόν ἐστιν ἀλλὰ καὶ χρονικόν. ὡς τὸ ἔνθ' ἄλλοι μὲν πάντες ὅσοι φύγον αἰπὺν ὄλεθρον, ἀντὶ τοῦ τότε. καὶ, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων. Ὅρα δὲ τὸ, πάντες ὅσοι φύγον. ᾧπερ ὅμοιον παρὰ Λυκόφρονι, τὸ, λέξω τὰ πάντα νητρεκῶς, ἅσσα θυμῷ ἔχω. (ηερς. 12.) Ὅτι τὸ εἰς οἶκον, Ἀττικοὶ μὲν, οἴκοι φασὶν ἐπιῤῥηματικῶς κατὰ ἔλλειψιν. τὸ γὰρ ἐντελὲς, ἔνθα εἰσὶν οἱ οἶκοι. ποιηταὶ δὲ, οἶκονδε φασί. τὸ δὲ κοινότερον ἀπ' αὐτοῦ, οἴκαδε. ὡς φυγήνδε φύγαδε. περὶ ὧν καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα εἴρηται. Ὅτι οὐδὲ ἐνταῦθα τὴν ἀρχὴν τῆς τοῦ Ὀδυσσέωσπλάνης, ἀρχὴν τῆς ἑαυτοῦ ποιήσεως Ὅμηρος τίθεται. ἀλλ' ὥσπερ ἐν τῇ Ἰλιάδι, οὕτω καὶ νῦν ἀπὸ τῶν ἐγγὺς τοῦ τέλους ἄρχεται. ἡ γὰρ Καλυψὼ ἀφ' ἧς ποιεῖται ἡ Μοῦσα τοῦ λόγου τὴν καταρχὴν, 1.9 κατάντημα γέγονε τῆς πλάνης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ Ὀδυσσεῖ. εἰς αὐτὴν γὰρ ἐσώθη κελητίζων οἷον ἐπὶ τῆς τρόπεως. τὴν μέντοι ἀρχὴν τῆς τοῦ Ὀδυσσέως πλάνης εὑρήσεις ἐν τῇ ¯ι ῥαψῳδίᾳ ἐν τῷ, Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν. ἐκεῖθεν γὰρ Ὀδυσσεὺς εἰς πλάνην ἐξώκειλεν. (ῃερς. 13.) Ὅτι δύο ταῦτα λέγει ὁποιητὴς διὰ πόθου μάλιστα εἶναι τῷ Ὀδυσσεῖ τήν τε πατρίδα καὶ τὴν σώφρονα γυναῖκα. φησὶ γάρ· νόστου κεχρημένον ἠδὲ γυναικός. οἷα δὲ ἡ τοῦ Ὀδυσσέως καὶ τῆς Πηνελόπης ἀναγωγὴ εἴτουν ἀλληγορία, ἐν τοῖς ἑξῆς εἰρήσεται. Ὅρα δὲ ὅτι ἄλλως χρῆται ὁ ποιητὴς τῇ τε σημασίᾳ καὶ τῇ συντάξει τοῦ κεχρημένος, ἤ περ ἡμεῖς. ἡμεῖς μὲν γὰρ χρῆσθαι φαμὲν, τὸ μεταχειρίζεσθαι, καὶ δοτικῇ πτώσει συντάσσομεν. Ὅμηρος δὲ, τὸν χρῄζοντα κεχρημένον λέγει καὶ γενικῇ συντάσσει τὴν λέξιν. ἀπὸ τοῦ χρηΐζω ἢ χρῄζω κινηθεῖσαν κατὰ ἔλλειψιν τοῦ σίγμα. (ῃερς. 14.) Ὅρα δὲ καὶ τὸ γυναικὸς ἀστείως λεχθὲν πρὸς τὸ ἐφεξῆς, ὁ μὲν γὰρ κεχρημένος ἦν γυναικός. Καλυψὼ μὲν, ἐπὶ τῶν ἐνεσπαρμένων τῇ γῇ καὶ τοῖς φυτοῖς καὶ τοῖς νάμασι φυσικῶν δυνάμεων τίθεται, δι' ὧν αἱ τῶν καρπῶν προθέσεις ἐν καιρῷ γίνονται, κατὰ τὸ νέον φαινομέναι, ἤτοι κατὰ τὸ ἔαρ. ὅθεν καὶ ἡ νύμφη συντέθειται. οἱονεὶ νεόμφη καὶ Αἰολικῶς νύμφη. ὁ δὲ μῦθος καὶ δαιμόνιά τινα νύμφας φησὶ γεωχαρῆ καὶ σωματικώτερα, ὡς καὶ ἐν Ἰλιάδι ἐῤῥέθη. ὁποῖαίτινες αἱ Νηΐδες. καὶ Ἁμαδρυάδες. καὶ Ἁμαμηλίδες. καὶ Ὀρεστιάδες. καὶ Λειμωνιάδεςαί μυθικαί. τοιαύτη τις καὶ ἡ Καλυψὼ κατὰ τὸν μῦθον. ἀλλὰ δὴ καὶ ἡ Κίρκη. ἃς καὶ αὐδήεσσας ὁ ποιητὴς ἐρεῖ. ὅ ἐστιν, ἀνθρωπίνῃ καὶ τῇ κάτω καὶ καθ' ἡμᾶς χρωμένας φωνῇ. τοῦτο γὰρ ἡ αὐδή. καὶ αἱ καθ' ἡμᾶς δὲ νύμφαι, ἐξ ὁμοιότητος τῶν τοιούτων νυμφῶν, τὴν ἐπωνυμίαν εἰλήφασι. καὶ αὐταὶ γὰρ ταπρὶν θαλαμευόμεναι, νέον φαίνονται ὅτε τὸ τῆς ἡλικίας ἔαρ αὐταῖς ἐπανθεῖ. ὅτι μέντοι οὐ μυθικαὶ νύμφαι ἦσαν ἡ Καλυψὼ καὶ ἡ Κίρκη, ἐκ τῶν ἱστοριῶν δῆλόν ἐστιν. εἰ καὶ ὁ ποιητὴς διὰ τερατείαν ἄλλως μυθολογεῖ τὰ περὶ αὐτῶν. δῆλον δὲ ὅτι καὶ συγγενική ποτε λέξις ἐστὶ τὸ νύμφη. ὡς δηλοῖ καὶ τὸ νύμφα φίλη. Ὅτι τὸ δῖα ἡ ἐνδοξοτάτη, διὰ τὸν Δία συντάσσεται ὑπερθετικῶς μετὰ γενικῆς. ἐπεὶ γὰρ ὑπερκεῖσθαι πάντων ἐδόκει ὁ Ζεὺς, διατοῦτο καὶ τὸ δῖος καὶ τὸ δῖα ἐκ τῆς Διὸς γενικῆς γινόμενα, ὑπερθετικὴν σύνταξιν ἔχουσιν ὡς καὶ ἐν τῇ Ἰλιάδι πλατύτερον γέγραπται. Ἰστέον δὲ ὅτι διὰ τὸ ὡς ἐῤῥέθη ὑπεροχικὸν τοῦ Διὸς, οὐ μόνον μέγαν ὁ ποιητὴς αὐτὸν λέγει ὡς ἐν τῷ, Διὸς μεγάλου ἐνιαυτοὶ, καὶ, Διὸς μεγάλοιο ἕκητι, εἰ καὶ κατ' ἄλλον λόγον μείζων ὁ Κρόνος κατὰ τὴν αὐτοῦ ὅς φασι σφαῖραν, ἀλλὰ καὶ ἐπλήθυναν αὐτὸν κατὰ τὴν κλίσιν οἱ μεθ' Ὅμηρον, ὡς Αἴλιος Διονύσιος ἱστορεῖ. Δίες γάρ φησι τὸ πληθυντικὸν τοῦ Διὸς. καὶ δρᾶμα οὕτως ἐπιγέγραπται. καὶ αἱ ἐφεξῆς πτώσεις, Διῶν. καὶ Δισί. καὶ Δίας. Ἔτι ἰστέον ὅτι καθὰ τὸ δῖος οὐ παράγει σύγκρισιν, ἢ ὑπέρθεσιν διὰ τὸ φύσει τῆς λέξεως ὑπεροχικὸν, οὐδεὶς γὰρ λέγει διότερος ἢ διότατος, οὕτως οὐδὲ τὸ ἀγαθὸς, διὰ τὴν ἐν αὐτῷ τοῦ ἄγαν ἐπίτασιν. φησὶ γοῦν Αἴλιος Διονύσιος, ὅτι ἀγαθώτερος καὶ ἀγαθώτατος παρ' οὐδενὶ τῶν Ἑλλήνων κεῖται. (ῃερς. 15.) Ὅτι τὸ γλαφυρὸν κυρίως μὲν, ἐπὶ χειροκμήτου κοιλότητος, οἵαν οἱ λιθοξόοι καὶ οἱ ξοανογλύφοι ἐντυποῦσι, παρὰ τὸ γλάφω τὸ κοιλαίνω γενόμενον, περὶ οὗ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. ἐπὶ δὲ σπηλαίου μεταφορικῶς λέγεται καὶ ἐπὶ νηὸς, διὰ τὸ ἁπλῶς κοῖλον ὃ καὶ τοῖς γλαφομένοις παρέπεται. ἤδη δὲ ἡ λέξις μετῆκται καὶ ἐπὶ νοημάτων. καὶ λέγεται καὶ νοήματα γλαφυρὰ, τὰ ἔχοντά τι βαθὺ, πλὴν μετὰ καὶ χάριτος καὶ διαφανίας τινὸς καὶ λαμπρότητος, ὡς μὴ πάνυ εἶναι διὰ τὸ βάθος σκοτεινά. εἰ δὲ καὶ σπίνου στόμα γλαφυρὸν ἀκούσεις σοφοῦ τινὸς λέγοντος, ἐντεῦθέν ποθεν νόει μετηνέχθαι τὴν λέξιν. ἀλλὰ καὶ ὅτε τις λέγει φρίσσειν τὰ λήϊα γλαφυρὸν, διὰ τὸ ἐπικυρτοῦσθαι τοὺς στάχυας τοῦτο λέγει, καὶ γίνεσθαί τινα οὕτω ὑπ' ἐκείνοις κοιλότητα. Ὅτι δοκεῖ μὲν ἀδιάφορα εἶναι ὁ πόσις τε καὶ ὁ ἀνὴρ, Σοφοκλῆς δὲ ἐν Τραχινίαις ὑπεμφαίνει διαφοράν τινα τῶν λέξεων τούτων ἔνθα δέδοικεν ἡ ὑπέρακμος Δηϊάνειρα, μή ποτε ὁ Ἡρακλῆς αὐτῆς μὲν εἴη πόσις, τῆς δὲ νεωτέρας Ἰώλης ἀνήρ. παρωνόμασται δὲ ἀπὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς πόσεως ὁ πόσις ὡς δοκεῖ τοῖς παλαιοῖς, διὰ τὴν σπερματικὴν ὑγρότητα. ὡς καὶ ὁ ἄρσην, ἀπὸ τοῦ ἄρδειν. καὶ ὁ υἱὸς ἀπὸ τοῦ ὕειν. διὸ καὶ τὸ ὀπυίειν, ἐντεῦθεν αὐτοῖς ἐδόκει παράγεσθαι. οἱονεὶ τὸ διὰ τῆς ὀπῆς ὕειν ὅθεν ὁ υἱός. (ῃερς. 16.) Ὅτι τὸ περιπλομένων ἐνιαυτῶν ἐκ τοῦ περιπελομένων γίνεται ὅ ἐστι γενομένων ἢ περιπολούντων, κατὰ συγκοπήν. Ὅτι δὲ τὸ πέλεσθαι καὶ ἐπὶ τοιούτου λέγεται, δηλοῖ τὸ, ἤματα μακρὰ πέλονται. Ἐνιαυτὸς δὲ ὡς καὶ ἐν Ἰλιάδι ἐδηλώθη, ὁ μακρὸς χρόνος καὶ διατριβὴν ἔχων πολλὴν, παρὰ τὸ ἰαύω τὸ διατρίβω. διὸ καὶ ὁ κωμικὸς ἐπιθετικῶς 1.10 αὐτὸ τίθησιν ἐν τῷ ἐτῶν χρονίους ἐνιαυτούς. Ἰστέον δὲ ὅτι ἀπὸ μὲν τοῦ ἐνιαυτοῦ τὸ ἀπενιαυτίζειν γίνεται. ἀπὸ δὲ τοῦ ἔτους, ἀμφιετίζεσθαι τὸ κατ' ἔτος περιέρχεσθαι, καὶ ἐπίῤῥημα δὲ ἐντεῦθεν παρὰ τοῖς παλαιοῖς ἀμφιετεί. (ῃερς. 17.) Ὅτι τὸ ἐπεκλώσαντο θεοὶ, τροπικῶς ῥηθὲν ὡς ἀπὸ τῶν κλωθομένων εἱρμόν τινα σημαίνει καὶ κύκλον καὶ εἴλησίν τινα καὶ στροφὴν τῶν ἐν γενέσει πραγμάτων, οὐκ ἐχόντων μένειν ἐπὶ τοῦ αὐτοῦ. λαμβάνεται δὲ ἡ λέξις ἐπὶ ἀποβάσει πραγμάτων ἀγαθῶν καὶ μὴ τοιούτων. ἐπικλώθεσθαι γάρ τισι φαμὲν, τά τε χρηστὰ καὶ τὰ μὴ τοιαῦτα. αἱ μέντοι κατακλῶθες ἐοίκασιν ἐπὶ κακοῦ λαμβάνεσθαι. διὸ καὶ βαρείας αὐτὰς ἐπονομάζει ὁ ποιητὴς ἐν τῷ, κλῶθές τε βαρεῖαι. καὶ ὁ τοῦ Ἠξίονος δὲ τροχὸς ᾧ ἐκεῖνος κατὰ τὸν μῦθον συνδεδεμένος εἰλεῖται, τοιοῦτόν τι παραδηλοῖ. κλώσματος γὰρ στροφῇ ἔοικεν ἡ τοῦ τροχοῦ περιδίνησις. (ῃερς. 18.) Ὅτι δὲ καὶ μοῖρα ἡ Κλωθὼ, καὶ ὅτι ἐκεῖθεν ἡ λέξις εἴληπται, οἱ παλαιοὶ δηλοῦσιν. Ὅτι εὐφωνίαν ἐν πολλοῖς τεχνώμενος ὁ ποιητὴς, καὶ ἄλλως μὲν πολλαχοῦ τοῦτο ποιεῖ, ἔστι δὲ ὅτε καὶ διὰ προσθήκης στοιχείου ἢ ἀφαιρέσεως. προσθήκης μὲν, ὡς ἐν τῷ πλάγχθη καὶ τοῖς ὁμοίοις καθὰ προγέγραπται. ἀφαιρέσεως δὲ, ὡς ἐν τῷ πεφυγμένος ἀέθλων. πεφευγμένος γὰρ ὀφείλων εἰπεῖν, ἐξώθησε τὸ ¯ε τῆς διφθόγγου διὰ τὸ εὐφωνότερον. οὕτω καὶ ἐκ τοῦ πεύθω πεύσω πύστης ἡ δι' ἀκοῆς μάθησις. καὶ ἐκ τοῦ κεύθω ἡ κύστης. καὶ ἐκ τοῦ ἐρεύθω, τὸ ἐρυθρὸν καὶ τὸ ἐρύθημα καὶ ἰχθὺς ὁ ἐρυθῖνος, καὶ ἐρυθρόδανον. οὕτω καὶ τὸ ἄφευκτον, ἄφυκτον λέγεται. καὶ τὸ πέπυσμαι πέπευσμαι. καὶ τὸ ψευδηρὸν, ψευδρὸν καὶ ψυδρόν. καὶ τὸ ἄπευστον ἄπυστον. καὶ ἔλευσις ἤλυσις. καὶ εὔτευκτον εὔτυκτον. καὶ τὸ τετεῦχθαι τετύχθαι. καὶ τὸ νευστάζειν νυστάζειν. οὕτω καὶ ἐκ τοῦ τεύχω τέχνη. καὶ τὸ γλυκὺ ἐκ τοῦ γλεῦκος. ὅθεν καὶ γλεῦξις κατὰ Παυσανίαν, οἶνος πολὺ ἕψημα ἔχων, ὁ νῦν φησι σίρινος. ὁ δ' αὐτὸς, καὶ σίραιον οὐδετέρως. Ἀέθλους δὲ, σεμνῶς ὁ ποιητὴς εἶπε τοὺς τοῦ Ὀδυσσέως πόνους καὶ οἷον ἀγῶνας. Ὅτι δὲ καὶ ἐπὶ ἀγωνισμάτων οἶδε τὴν λέξιν κειμένην, πολλαχοῦ φαίνεται. πρός τινα δὲ ἀντίπαλον ἦν ἀεθλεύων ὁ Ὀδυσσεύς. ἢ πάντως, πρὸς τὴν ἀντικειμένην αὐτῷ τύχην. ἐνοήθη δὲ πρός τινων τὸ ἀέθλων, καὶ ἀντὶ τοῦ μόχθων καὶ πόνων, παρὰ τὸ ¯α στερητικὸν καὶ τὸ ἐθέλειν, οὓς οὐκ ἄν τις ἐθέλοι. (ῃερς. .) Ὅτι ἡ τοῦ Ποσειδῶνος ὀργὴ ἣν κατὰ Ὀδυσσέως τρέφει ἵνα πέλαγος μύθου πλατὺ, ἀλληγορίας κυάθῳ μετρήσωμεν, δυστυχίαν παραδηλοῖ τοῦ ἥρωος κατὰ θάλασσαν. τὰ γὰρ περὶ γῆν εὖ ἔχων τύχης, δυστυχῶς εἶχε τῶν κατὰ θάλασσαν. καὶ διατοῦτο δοκεῖ ἀσπερχὲς μενεαίνειν αὐτῷ ὁ τῆς θαλάσσης ἐπιστατῶν Ποσειδῶν. Νέστωρ μέντοι ἐπιτυχὴς τοῦ πλοῦ γενόμενος, οὐ μόνον φίλος Ποσειδῶνος λέγεται, ἀλλὰ καὶ εἰς συγγένειαν αὐτῷ εἰσποιεῖται παρὰ τοῖς ποιηταῖς οἷα σχὼν εὐτυχῶς ὡς εἴρηται τὰ εἰς πλοῦν, ὡς ἐν τῇ γάμμα ῥαψῳδίᾳ ἱστορεῖται. Ἀσπερχὲς δὲ, κατ' ἐπίτασιν τὸ πολυσπερχὲς καὶ ἐντρεχὲς καὶ πολυσπούδαστον. Σοφοκλῆς δὲ αὐτὸ περισπερχὲς λέγει. οὗ ἀρσενικὸν ὁ περισπερχής. καὶ θηλυκὸν ἡ περισπέρχεια. ἐντεῦθεν δὲ καὶ ὁ Πολυσπέρχων κύριον στρατηγοῦ ὄνομα. (ῃερς. 21.) Ὅτι παρασημειοῦνται οἱ παλαιοὶ τὸν ποιητὴν ἐν μὲν Ἰλιάδι πολλαῖς ἐπαναλήψεσι χρήσασθαι. ἐνταῦθα δὲ, μιᾷ τῇ κατὰ τοὺς Αἰθίοπας. ἐν ᾗ φησὶν ὅτι Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας. Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν ἤγουν ἀνθρώπων ὡς προδεδήλωται. ὃ φαίνεται καὶ ἐν τῷ, πατὴρ ἀνδρῶν τε θεῶν τε. χρῆται δὲ τῇ ἐπαναλήψει ἐνταῦθα, εἰς σύστασιν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔθνους. δεικνύων πάνυ πολλὴν ὡς ῥηθήσεται γῆν ἐπέχειν αὐτούς. (ῃερς. 23.) Ἔστι δὲ τὸ μὲν διχθὰ καθὰ καὶ ἐν Ἰλιάδι τὸ τριχθὰ καὶ τετραχθὰ, Δωρικόν. Δωριέων γὰρ, ἡ τοῦ θῆτα ἐν τούτοις ἐπένθεσις. ὡς καὶ ἐν τῷ πονῷ πονήσω πεπόνηκα πέπονα καὶ πλεονασμῷ πέπονθα, πρός τινα ὁμοιότητα τοῦ πέποιθα. οὕτω δὲ καὶ ἐν τῷ μαλακὸς μαλθακός. καὶ χαμαλὴ χθαμαλή. τινῶν δὲ εἰπόντων τὸ αὐτὸ γίνεσθαι καὶ ἐν τῷ ἦσθα, ὁ Ἡρακλείδης οὐκ ἀκούει. δοκεῖ δὲ καὶ ἐκ τοῦ ἔχειν ὅ πέρ ἐστιν ἐξέχειν, κοινῶν μὲν, γενέσθαι ἡ καρυστία ὄχη. πρὸς διαστολὴν δὲ Δωρικῶς, ἡ τοῦ ποταμοῦ ὄχθη καὶ ἐξ αὐτῆς ὄχθος. ἴσως δὲ, καὶ ὁ μόχθος. ὡς ἐκ τοῦ ὀχλεῖν ὁ μοχλός. ὁμοίως καὶ ἐκ τοῦ ἄχος, τὸ ἄχθος καὶ τὰ ἐξ αὐτοῦ. καὶ ἐκ τῆς ὀχῆς δὲ ὅ ἐστι τροφῆς, ὁ παρὰ Ἡσιόδῳ εὐοχθέων. αὐτὸ δὲ, καὶ ἐκ τοῦ ὄχθου γίνοιτο ἄν. καὶ τοιάδε μὲν καὶ ταῦτα. (ῃερς. 24.) Τὸ δὲ ἔσχατοι ἀνδρῶν, ἐφερμηνευτικόν ἐστι τοῦ, τηλόθι ἐόντας. ὥσπερ πάλιν καὶ τὸ, οἱ μὲν δυσομένου ἡλίου, οἱ δὲ ἀνιόντος, διασαφητικόν ἐστι τὸ διχθὰ μεμερίσθαι αὐτούς. Τὸ δὲ νήσῳ ἐν ἀμφιρύτῃ, νῆσος δενδρήεσσα, οὐκ ἐπανάληψις εἶναι δοκεῖ, διότι οὐχ' ὁμοιοπτώτως ἔχει. τὰ γὰρ διὰ μιᾶς λέξεως ἐπαναλαμβανόμενα ταυτότητα δοκεῖ πτώσεως φυλάττειν. καί τοι ἐν τῇ Ἰλιάδι πολλαὶ ἦσαν 1.11 ἐπαναλήψεις ἀνομοιόπτωτοι. διὸ καὶ αὐτὸ εἴη ἂν τάχα ἐπανάληψίς τις. ῥηθήσεται δὲ καὶ μετ' ὀλίγα περὶ αὐτοῦ. Ἐνταῦθα δὲ ὅρα ὡς ἐπίτηδες ὁ ποιητὴς ἄρτι ἐκτοπίζει τὸν Ποσειδῶνα εἰς τοὺς Αἰθίοπας, ἵνα πιθανῶς ἐξαγάγῃ τὸν Ὀδυσσέα τῆς νήσου τῆς Καλυψοῦς, μακρὰν ἀποδημοῦντος καὶ εὐωχουμένου τοῦ Ποσειδῶνος ὃς ἐμενέαινε τῷ Ὀδυσσεῖ. δεισιδαίμονες δὲ ὡς εἰκὸς οἱ Αἰθίοπες. διὸ καὶ ἐν Ἰλιάδι ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν, εἰς ἀμύμονας Αἰθιοπῆας ἔβησαν, καὶ πολλὰς ἡμέρας διήγαγον. (ῃερς. 23.) Ἰστέον δὲ ὅτι τὸ, τοὶ δεδαίαται, ἀντὶ τοῦ οἳ μεμερισμένοι εἰσὶ, Δωρίδι καὶ Ἰάδι μεμέρισται διαλέκτῳ. καὶ ἐστὶν Ἰωνικὸν μὲν, τὸ δεδαίαται κατὰ κανόνα δεδηλωμένον ἐν Ἰλιάδι. Δωριέων δὲ, τὸ τοί. οὗ νοητὴ μὲν, ἄῤῥητος δὲ εὐθεῖα, τός. ὅθεν ἐκβολῇ μὲν τοῦ τα¯υ, ὅς, τὸ κοινόν. ἀπελεύσει δὲ καὶ τοῦ σίγμα, ὅ. μετὰ σφοδρᾶς δηλαδὴ τονικῆς κρούσεως. καὶ εἰσὶν ἄμφω, ἀντωνυμικὰ ἄρθρα. οἷον. ὃς θαλάσσης βένθεα οἶδε. καὶ, ὃ γὰρ βασιλῆϊ χολωθείς. ἀνεθείσης δὲ τῆς ὀξείας τονώσεως, μένει ἄρθρον προτακτικὸν, τὸ ὀξυνόμενον ὡς ἐῤῥέθη ἀντωνυμικὸν ὅ. τοῦ τοίνυν ὡς εἴρηται Δωρικοῦ ἄρθρου τοῦ τὸς, ἀκολουθία πέφηνε κλίσεως, τοῦ. τῷ. τόν. καὶ πληθυντικὰ, τοί. τῶν. τοῖς. τούς. ὁποία καὶ ἡ κίνησις τῆς ληγούσης τοῦ, ἄρτος ἄρτου ἄρτῳ ἄρτον ἄρτοι. καὶ ἑξῆς. αὐτοῦ δὲ τοῦ πρωτοτύπου κλιθέντος οὕτω, ἀναλόγως καὶ τὸ ὃς καὶ τὸ ὃ συνεξηκολούθησαν αὐτῷ. παραδέδοται δὲ καὶ ὅτι τὸ ἄῤῥητον ἄρθρον ἀρσενικὸν τὸ τὸς, ἀπελθόντος τοῦ λήγοντος σίγμα, ἐνεργεῖ Δωρικῶς ὡς προτακτικὸν ἄρθρον. καὶ δῆλον φασὶν, ἐκ τοῦ θάτερος. ὅπερ ἶσόν ἐστι τῷ, ὁ ἅτερος. ἵνα ᾖ, τὸ ἅτερος ἤγουν ὁ εἷς, εἶτα συναλοιφῇ καὶ ἅμα τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, θάτερος. λόγῳ δὲ τοιούτῳ, καὶ θηλυκὴ εὐθεῖα, τὴν ἑτέρα ἤγουν ἡ μία. καὶ κατὰ συναλοιφὴν καὶ ὁμοίαν τροπὴν, θατέρα ἡ ἑτέρα Δωρικῶς. εἰ δὲ τὰ τοιαῦτα Δωρικὰ καὶ ἡ λοιπὴ τούτων ἀνάλογος κίνησις Ἀττικοῖς γέγονε φίλα, καινὸν οὐδὲν εἴ τις ἐνθυμοῖτο καὶ τὸ, ὦ Δάματερ τὸ θαυμαστὸν ὃ κεῖται καὶ παρὰ τῷ κωμικῷ Δωρικὸν μὲν ὂν φιληθὲν δὲ εἰς κοινὴν χρῆσιν τοῖς Ἀττικοῖς. καὶ τοιαῦτα μὲν ταῦτα. Τὸ δὲ διχθὰ, ἐπιῤῥηματικῶς ἔχον κατὰ τὸ τριχθὰ καὶ τετραχθὰ τὰ ἐν τῇ Ἰλιάδι, ἐκ τοῦ δὶς ἐπιῤῥήματος παρῆκται καθὰ καὶ τὸ διχῇ καὶ τὸ δίχα καὶ τὸ δισσεύω καὶ ὅσα τοιαῦτα. δοκεῖ δὲ προϋπάρχειν αὐτῶν, ἡ δι¯α πρόθεσις δηλοῦσά ποτε αὐτὴ καθ' αὐτὴν, δυασμόν τινα. ὡς δῆλον καὶ ἐκ τοῦ διαψάλματος καὶ ἐκ τοῦ διαυλεῖν καὶ ἐκ τοῦ διαφαίνειν. διὸ καὶ συντεθεῖσα μετὰ τοῦ δίχα, ἐπιτείνει τὸ δίχασμα ἐν τῷ διάνδιχα, οἷον. διάνδιχα βουλεύεται. ἤγουν δυάζει τὴν βουλὴν ἐν τῷ ἄλλως καὶ ἄλλως ἀναβουλεύεσθαι. (ῃερς. 22.) Ὅτι ἀπὸ τοῦ αἴθω ἐξ οὗ καὶ ὁ παρὰ τῷ κωμικῷ αἰθὸς καὶ λέων αἴθων καὶ οἶνος αἶθοψ, καὶ οἱ Αἰθίοπες λέγονται, διὰ τὸ ἐπικεκαῦθαι τὴν ὄψιν ὑπὸ τοῦ Ἡλίου. ὅς φασι κατὰ κάθετον ὢν ἐν Αἰθιοπίᾳ, ἐπικαίει πλέον. Καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅτι διχῶς παρὰ τοῖς παλαιοῖς ἡ ἑνικὴ τοῦ ἔθνους εὐθεῖα, Αἰθίοψ τε γὰρ καὶ Αἰθιοπεὺς. καὶ ὅτι καὶ Διὸς ἐπίθετον, αἰθίοψ. ἴσως μὲν, καὶ διά τι ἕτερον. ἴσως δὲ, καὶ διό τι φαίνεται μυθικῶς φιλῶν ἐπιχωριάζειν τῇ Αἰθιοπίᾳ. οὐκ ἀπεικὸς δὲ, καὶ κατ' ἀλληγορίαν οὕτω καλεῖσθαι αὐτὸν, ὡς φαεινόν. παρὰ τὸ αἴθω τὸ λάμπω. ἀφ' οὗ καὶ ὁ αἰθὴρ Ζεὺς. καὶ αἰθρία ἡ κατ' αὐτὸν εὐδία. καὶ τὸ αἴθριον. καὶ ὁ ἀστὴρ δέ. καὶ τὸ ἄστρον. καὶ αἴθυια ὡς εἰκὸς παρὰ Λυκόφρονι Ἀθηνᾶ, ἡ φωσφόρος. (ηερς. 23) Καὶ ὅτι οἱ Αἰθίοπες μεμερισμένοι δίχα οἰκοῦσιν ὡς εἴρηται. οἱ μὲν, δυσομένου ἡλίου. οἱ δὲ, ἀνατέλλοντος. τοῦτο δὲ πολλὴν ἀμφιβολίαν ἐξηγήσεως ἔχει παρὰ τοῖς παλαιοῖς. τοῖς μὲν γὰρ δοκεῖ, δέον εἶναι Αἰθίοπας δέχεσθαι, τοὺς παρ' ὅλην τὴν μεσημβρινὴν ὠκεανίτην γῆν διατείνοντας. καὶ ἀπὸ ἡλίου ἀνίσχοντος, μέχρι δυομένου διήκοντας. οἳ δίχα διῄρηνται φυσικῶς τῷ Ἀραβίῳ ἤτοι Ἐρυθραίῳ κόλπῳ. οἱ μὲν, ἔνθεν κείμενοι τοῦ κόλπου. οἱ δὲ, ἐκεῖθεν. ἀνατολικοί τε, καὶ ἐπὶ θάτερα δυτικοί. μεγίστη γὰρ ἡ Αἰθιοπία, καὶ μείζων φασὶν ἤπερ ἡ πρὸς Βοῤῥὰν ἀπεναντίας Σκυθία. Αἰθιοπία γὰρ καλεῖται, τὰ μεσημβρινὰ πάντα τὰ πρὸς τὸν Ὠκεανὸν ἀπὸ ἀνατολῶν χειμερινῶν παρήκοντα μέχρι δυσμῶν. καὶ ταῦτα μέν τινες. Ἕτεροι δὲ ἀπεναντίας ἥκοντες τοῖς δοξάζουσι παρωκεανίτας καὶ νοτιωτάτους τοὺς Αἰθίοπας εἶναι, μετάγουσιν αὐτοὺς τῇ ἱστορίᾳ καὶ κατάγουσιν ἐπὶ τὰ πρὸς τῇ Αἰγύπτῳ τῆς Λιβύης ἔσχατα βόρεια. ὧν μέμνηται καὶ Ἡρόδοτος, λέγων· Αἰθίοπες οἱ πρόσουροι Αἰγύπτου. καὶ τούτους εἶναι φασὶ τοὺς παρ' Ὁμήρῳ Αἰθίοπας. οἷς ἀκολουθῶν καὶ Ἀρίσταρχος, αὐτοὺς νοεῖ Αἰθίοπας. μεμερισμένους μὲν δίχα, διότι σχίζων τὴν κατ' αὐτοὺς γῆν ὁ Νεῖλος, τοὺς μὲν ἀφίησι δυτικωτέρους κεῖσθαι. τοὺς δὲ ἀφορίζει πρὸς τὸ ἀνατολικώτερον. ἐσχάτους δὲ ἀνδρῶν, δηλαδὴ τῶν ἐν τοῖς βορειοτάτοις μέρεσι τῆς Αἰγύπτου τοῖς περὶ θάλασσαν. καθὰ καὶ 1.12 Αἰσχύλος φησίν· ἔστι πόλις Κάνωβος ἐσχάτη χθονός. καὶ αὐτὸς γὰρ τὴν Κάνωβον, ἐσχάτην χθονὸς λέγει ὡς κειμένην βορειοτάτην ἐν τοῖς πρὸς τῇ θαλάσσῃ μέρεσι Αἰγύπτου. ἀλλ' οὕτω μὲν καὶ οἱ περὶ Ἀρίσταρχον. συντρέχει δὲ τῇ τοιαύτῃ ἐννοίᾳ, καὶ ὁ εἰπὼν ὅτι ἡ Αἰθιοπία ἐπ' εὐθείας κεῖται τῇ Αἰγύπτῳ στενὴ καὶ μακρὰ καὶ ἐπίκλυστος. τὰ μέντοι ἔξω αὐτῆς, ἄνυδρα καὶ σπανίως οἰκούμενα. τὰ μὲν πρὸς ἕω, τὰ δὲ πρὸς δύσιν κείμενα. ὅθεν καὶ δίχα διῄρηνται οἱ Αἰθίοπες. οἱ μὲν δυσομένου ἡλίου, οἱ δ' ἀνιόντος. ἔτι σύμφωνα λέγει καὶ ὁ εἰπὼν, Αἰθίοπας τοὺς ὑπὲρ Αἰγύπτου καὶ Ἄραβας καὶ τοὺς ἀπὸ ἡλίου ἀνατολῶν. λέγων εὐθύτριχας εἶναι. τοὺς δὲ ἐκ Λιβύης, τρίχωμα ἔχειν πάντων οὐλότατον. ὁ δὲ γεωγράφος λέγει καὶ ὅτι, καὶ ἄλλως δὲ οἱ ἀπὸ τῶν στηλῶν καὶ τῆς ἐρυθρᾶς παραπλεύσαντες τῷ Ὠκεανῷ τὴν Λιβύην τὰ τελευταῖα χωρία ἐφ' ἃ πλέοντες ἦλθον, Αἰθιοπικὰ προσηγόρευσαν. ὑπὸ τῆς τοιαύτης οὖν φησὶν ἀκολουθίας ἀχθεὶς καὶ ὁ ποιητὴς ὡς εἰκὸς, δίχα διαιρεῖ τοὺς Αἰθίοπας. τοὺς μὲν πρὸς ἀνατολὴν, τοὺς δὲ πρὸς δύσιν. Ἔτι δὲ, Αἰθίοπες τὴν Λιβύην ἐπελθόντες μέχρι δύσεως, οἱ μὲν, αὐτοῦ ἔμειναν, οἱ δὲ, καὶ τῆς παραλίας κατέσχον πολλήν. ἄλλοι δὲ νοοῦσι τὴν διακεκαυμένην πᾶσαν ζώνην τὴν πρὸς τῷ νότῳ, κατέχεσθαι ὑπὸ Αἰθιόπων μεσολαβοῦντος τοῦ Ὠκεανοῦ. ἑτέρωθεν δὲ αὐτῆς κεῖσθαι δύο εὐκράτους. μίαν μὲν, τὴν καθ' ἡμᾶς ἐν τοῖς νοτίοις ἱστορουμένην καὶ φαινομένην. ἑτέραν δὲ, ἡμῖν ἀνιστόρητον τὴν ἐκεῖθεν ἀντιπέραν τοῦ Ὠκεανοῦ καὶ ὡς εἰπεῖν, ὑπερνότιον. ὅθεν καὶ τοὺς Αἰθίοπας διχῇ μεμερίσθαι λέγουσιν ὑπὸ τοῦ τοιούτου Ὠκεανοῦ. εἴς τε τοὺς παρ' ἡμῖν μεσημβρινοὺς Αἰθίοπας ἐσχάτους ὄντας πρὸς τῷ Ὠκεανῷ, καὶ εἰς τοὺς ὡς εἰκὸς ἀντικρὺ πέραν τοῦ Ὠκεανοῦ. ἐσχάτους καὶ αὐτοὺς κειμένους ἐν τῇ ἑτέρᾳ εὐκράτῳ τῇ ἀθεάτῳ ἡμῖν. ὁ δὲ λόγος οὗτος εἰ καὶ πιθανὸς, ἀλλ' οὖν τερατώδης διὰ τὴν μαθηματικὴν ὑπόθεσιν τῆς ἀντιπέραν εὐκράτου. διὰ ταῦτα τοίνυν τὸ ἔσχατοι ἀνδρῶν, τριχῶς νοεῖται. ἢ διότι παρωκεανῖται κατὰ μεσημβρίαν εἰσὶν οἱ Αἰθίοπες, ὧν ἀοίκητος ἡ ἐπέκεινα διὰ καύματος ὑπερβολὴν. ἢ ἔσχατοι πρὸς τὰ βόρεια τῆς Αἰγύπτου κατὰ Ἀρίσταρχον. ἢ κατὰ τοὺς μαθηματικοὺς, ἔσχατοι διὰ τὸ παρ' ἑκάτερα ὡς εἴρηται κεῖσθαι τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὠκεανοῦ. οἱ μὲν νότιοι, οἱ δὲ ἐκεῖθεν ὡς ἂν εἴποι τις ὑπερνότιοι ὡς ἐν τοιαύτῃ τινὶ καταγραφῇ. Αἰθίοπες ἀντικείμενοι τοῖς καθ' ἡμᾶς μεσημβρινοῖς, οἰκοῦντες ἐν τῇ πέραν εὐκράτῳ κατὰ τοὺς μαθηματικούς. Ὠκεανὸς μεσημβρινὸς, περὶ ὃν ἡ διακεκαυμένη ζώνη. Αἰθίοπες μεσημβρινοὶ πρὸς αὐτῷ Νότῳ ἐν Λιβύῃ ἔσχατοι τῆς ἡμετέρας ἐκεῖ εὐκράτου κατὰ τὸν γεωγράφον. Αἰθίοπες ἕτεροι ἐν τῷ βορειοτάτῳ ἐσχάτῳ τῆς αὐτοῦ Λιβύης τῷ κατὰ Αἴγυπτον καὶ Ἑσπερίαν θάλασσαν ὡς Ἀριστάρχῳ δοκεῖ. Ὅτι δοκεῖ τισὶν ὁ ἐνταῦθα Ὁμηρικὸς Ποσειδῶν πρὸς τοὺς ἀνατολικωτέρους Αἰθίοπας ἀπελθεῖν, διὰ τὸ λέγειν ἐν τοῖς ἑξῆς τὸν ποιητὴν ὅτι ὁ Ποσειδῶν πλέοντα τὸν Ὀδυσσέα εἶδεν ἐκ Σολύμων ὀρέων ἅπερ εἰσὶν ἐκεῖ ἀνατολικώτερα. Ἰστέον δὲ ὅτι εὐλόγως δοκεῖ ὁ Ποσειδῶν τῇ τῶν Αἰθιόπων γῇ χαίρειν. αὐτοὶ μὲν γὰρ, περὶ Λιβύην. ἀπὸ Λιβύων δὲ ἐξ ἀρχῆς κατὰ Ἡρόδοτον τὸ τοῦ Ποσειδῶνος ὄνομα ἦλθεν εἰς Ἕλληνας, καθὰ καὶ τὸ τοῦ Ἡρακλέος. (ῃερς. 25.) Ὅτι ταύρων καὶ ἀρνειῶν ἑκατόμβη τῷ Ποσειδῶνι ἐθύετο καθὰ δηλοῖ καὶ ὁ ποιητὴς ἐνταῦθα, εἰπών. ἀντιόων ταύρων τὲ καὶ ἀρνειῶν ἑκατόμβης. ταύρων μὲν, διὰ τὸ γόνιμον τοῦ ὕδατος τὸ ἐκ τοῦ ἄρδειν, εἴγε καὶ ἄρσην λέγεται ἀνὴρ ὡς προείρηται. ἔτι δὲ καὶ πόσις ὁ αὐτὸς, ὡς γόνιμος, καὶ ἄλλως δὲ, διὰ τὸ τοῦ ὕδατος ἔστιν ὅτε μυκητικὸν καὶ πληκτικὸν τοῦ πελάζοντος καὶ ἑλικτὸν δὲ δίκην κέρατος. ἀρνειῶν δὲ, διὰ τὸ ἐξ αὐτοῦ νεάζον καὶ θαλερόν. καὶ διὰ τὸ οἷον εἰπεῖν, χειρόηθες τῆς γαλήνης καὶ ἁπαλὸν ἐν εὐδίας καιρῷ. Ἰστέον δὲ ὅτι οὐ ταυτὸν δηλοῦσιν οἱ ἄρνες καὶ οἱ ἀρνειοὶ, ἀλλὰ τελειότερόν ἐστι τοῦ ἀρνὸς ὁ ἀρνειὸς ὡς ἐν τοῖς μετὰ ταῦτα δειχθήσεται. διὸ καὶ Ὀδυσσεύς που ἀρνειῷ πηγεσιμάλλῳ εἰκάζεται. καὶ ἀρνειὸς δὲ αὐτὸν σώζει τὸν τηλικοῦτον, ἐκ τοῦ Κύκλωπος. Γίνεται δὲ ὁ ἀρνειὸς, ἐκ τοῦ ἀρνὸς πλεονασμῷ τῆς ¯ε¯ι διφθόγγου. ὡς ἀδελφὸς ἀδελφειὸς καὶ ὅσα τοιαῦτα. περὶ δὲ ἑκατόμβης, ἐν τῇ ¯α τῆς Ἰλιάδος γέγραπται. Ἰστέον δὲ ὡς οὐ μόνον ἑκατόμβαι, ἀλλὰ καὶ τριττύες ἦσαν ὅ ἐστι τριῶν ζῴων θυσίαι, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα φανήσεται. κατὰ δὲ Παυσανίαν, καὶ δωδεκίδες θυσίαι δώδεκα ἱερείων, περὶ οὗ εὑρήσεται ἀλλαχοῦ, ὅτι δωδεκῇ 1.13 δες, σὺν τῷ ¯ι γραπτέον. συνήρηται γάρ φασιν ὡς τὸ Βρισηΐδος Βρισῇδος. Καμηΐδος Καμῇδος καὶ τὰ ὅμοια. Ἐκ δὲ τῆς ἑκατόμβης, καὶ μὴν Ἀττικὸς Ἑκατομβαιὼν, διὰ τὰς ὡς εἰκὸς τότε ἐπιφανεῖς ἑκατόμβας. Ἰστέον δὲ ὅτι πρὸς ὁμοίωσιν ἑκατόμβης τοιαύτης, ἱστόρηταί τις βασιλεὺς Παφλαγὼν πολυφαγῶν, ὃς ἑκατόν φασι πάντα παρετίθετο ἐπὶ τὴν τράπεζαν ἀπὸ βοῶν ἀρξάμενος. καί πως ἑκατόμβην τινὰ οὕτως ἑαυτῷ ἐσχεδίαζεν. εἰ δὲ σκῶμμα τοῖς πολλὰ πίνουσι προσφυὲς τὸ, οἳ πίνουσι μόνον βατράχων τρόπον οὐδὲν ἔθοντες ἤγουν ἐσθίοντες οὗ χρῆσις καὶ ἐν Ἰλιάδι, ἀλλ' ἐκεῖνος ὁ Παφλαγὼν, αὐτὸ μὲν ἐξέφευγε. τὸ δὲ παμφάγος εἶναι, οὐκ ἂν ἔχοι διεκφυγεῖν. Σημείωσαι δὲ ὅτι καθὰ καὶ ἀλλαχοῦ δεδήλωται, καταμόνας ἐκ τῆς ἀντ¯ι προθέσεως γίνεται οὐ μόνον τὸ ἀντιόων, ἀλλὰ καὶ τὸ ἀντιάαν, καὶ ὁ ἀντίος. ἐκ δὲ τούτων, καὶ ἐναντίος. καὶ ἐναντιῶ. λόγῳ δὲ ὁμοίῳ, καὶ ἐκ τῆς περ¯ι προθέσεως, ὁ Πέριμος κύριον. καὶ ἐκ τῆς ἀμφ¯ι, ὁ Ἄμφιος. καὶ ῥῆμα τὸ ἀμφιέζω. καὶ ἐκ τῆς ὑπ¯ο, Ὕπιος ποταμὸς Παφλαγόνος. εἰ δὲ ἐκ τῆς ἀν¯α προθέσεως ὁ Ἄνιος, ἀλλ' αὐτὸ ὑπονοεῖται, ἄλλως γὰρ ἐκ τῆς ἀνίας αὐτὸς παρωνομάσθαι δοκεῖ. οἱ δὲ τὸν Δία ὅπερ ἐστὶν, ἀέρα, ἐθέλοντες ἐτυμολογεῖν παρὰ τὸ δι' αὐτοῦ τὰ κατὰ γῆν διοικεῖσθαι εἰς ὃ δοκεῖ συντελεῖν αὐτοῖς καὶ τὸ, ἐκ Διὸς ἀρχώμεσθα καὶ ἑξῆς τοιοῦτόν τι καὶ αὐτοὶ ἐπὶ τοῦ Διὸς βούλονται νοεῖν, ὡς τῆς δι¯α προθέσεως ὀνομαζούσης αὐτόν. (ῃερς. 27. ετ σθθ.) Ὅτι τὸ ἀθρόοι καὶ ἀθρόα καὶ ἀθρόον, πρὸς διάφορον σημασίαν διαφόρως οἱ Ἀττικοὶ ἐπνευμάτιζον. ἐπὶ μὲν τοῦ αἰφνιδίου, ψιλοῦντες αὐτὸ διὰ τὴν τοῦ ¯α στέρησιν. οἱονεὶ τὸ δίχα θροῦ, τουτέστι θορύβου. ἐπὶ δὲ τοῦ ὁμοῦ, δασύνοντες διὰ τὴν ἄθροισιν. ἀθρόον γὰρ, τὸ ἅμα θρῷ ἤτοι θορύβῳ. ἢ τὸ ἅμα θορὸν ἤγουν πηδῆσαν. τὸ δὲ ἀθροιστικὸν ¯α, δασύνεται. τὸ γοῦν ἁθρόοι ἦσαν, καὶ ἁθρόα πάντ' ἀπέτισεν, ἐδασύνετο Ἀττικῶς τούτῳ τῷ λόγῳ διὰ τὴν ἀθροιστικὴν σημασίαν. οἱ δὲ νῦν ὅπως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἂν ἔχοι, ψιλοῦσιν αὐτὰ διὰ τὸ πρὸ δασέος κεῖσθαι τὸ ¯α. οἱ δ' αὐτοὶ Ἀττικοὶ, καὶ τὸ αὕω ἐπὶ μὲν τοῦ φαίνω, ἐψίλουν ἐξ οὗ καὶ ἠὼς ἡ ἡμέρα. ἐπὶ δὲ τοῦ ξηραίνω, ἐδάσυνον. ἐξ οὗ καὶ τὸ ἀπαφαυάνθην παρὰ τῷ κωμικῷ, ἤτοι ἀπεξηράνθην. καὶ τὸ εἴργω δὲ, ἐπὶ μὲν τοῦ κωλύω, ἐψίλουν. καὶ δῆλον ἐκ τοῦ ἀπεῖρξεν. ἐπὶ δὲ τοῦ ἐγκλείω, ἐδάσυνον. ὡς δηλοῖ τὸ καθεῖρξεν. ὅθεν καὶ δασύνεται καὶ ἡ εἱρκτή. ἐν δὲ ῥητορικοῖς λεξικοῖς φέρεται καὶ ταῦτα. ἐκ τοῦ ἁθρόος, γίνεται ἅθρους. οἷον. ἅθρους ἐπελθὼν ὁ στρατηγὸς, ἤγουν σὺν ὅλῳ τῷ στρατεύματι. καὶ Ἀριστοφάνης. ἑστῶτας ὥσπερ τοὺς ὀρεωκόμους ἅθρους. τοῦτο δὲ, ὁ Ἀσκαλωνίτης ἀξιοῖ περισπᾶν ἀτόπως, ἐπεί φησιν ἡ διαίρεσίς ἐστιν ἁθρόος. ἡ δὲ χρῆσις, παροξύνει. καὶ ζήτει πῶς ἀτόπως. δασύνεται δέ φησιν Ἀττικῶς τὸ ἅθρους καθὰ καὶ τὸ ἁθρεῖν ὅ ἐστι περισκοπεῖν καὶ μετ' ἐπιτάσεως ὁρᾶν. παρὰ δὲ τοῖς παλαιοῖς καὶ τὸ ἄθυρμά φασι διασύνεται. ὡς καὶ ἕνος ὁ ἐνιαυτός. ὅθεν ἄφενος, ὁ ἀπὸ ἐνιαυσίων γεννημάτων πλοῦτος καὶ τὸ ἕννη δὲ καὶ νέα, δασεῖαν τότε εἶχε. καὶ ἡ ἁμίς. καὶ ἡ ἅμαξα. ὅθεν καὶ τὸ καθημαξευμένως ὥς φησιν Αἴλιος Διονύσιος. καὶ θαμάξιον τὸ ἁμάξιον. χαίρουσι γάρ φησι τῇ δασείᾳ οἱ Ἀττικοί. Ὅτι δὲ τὸ Ὁμηρικῶς εἰπεῖν ἀθρόοιπρὸς δήλωσιν διαφόρου σημασίας παροξύνεται, δηλοῖ ὁ παραδοὺς ὡς ἄθροος μὲν ὁ ἀθόρυβος, προπαροξύνεται. ἁθρόος δὲ ὁ συνηθροισμένος, παροξύνεται. Ὅτι πολιτικώτερον ὡς ἐν Ἰλιάδι οὕτω κἀνταῦθα μεταχειριζόμενος Ὅμηρος τὰ δαιμόνια, βουλὰς θεῶν καθίζει ἀνθρωπικώτερον. καὶ πρῶτον τέως ἐνταῦθα ἐν οἷς ὁ Ζεὺς προκάθηται καὶ προλογίζει φιλοσοφῶν ὡς αὐτίκα εἰρήσεται. παιδευτικὰ δὲ καὶ ταῦτα τῶν τοῦ ποιητοῦ, ὡς δέον ὂν μηδὲν ἀπροβουλεύτως καὶ ἀπρονοήτως γίνεσθαι. Ἀστείως δ' ἐνταῦθα τὸ, ἔνθ' ὅγε τέρπετο δαιτὶ παρήμενος, οἱ δὲ δὴ ἄλλοι τοῦ δεῖνος ἐνὶ μεγάροισιν Ὀλυμπίου ἁθρόοι ἦσαν, ῥηθήσεταί ποτε ὅτε πολλῶν τινῶν ἐς μεγάλου τινὸς ἰόντων, εἷς τις γίνεται τοῦ τρυφᾶν. Μέγαρον δὲ ὡς ἐν ῥητορικῷ φέρεται λεξικῷ, οὐ μόνως τὸ κοινῶς, ἀλλὰ καὶ ἰδικῶς μέγαρα, κατάγεια οἰκήματά φησι ταῖν θεαῖν ἤγουν Δήμητρος καὶ Περσεφόνης. Αἴλιος δὲ Διονύσιος φησὶ καὶ ὅτι μάγαρον οὐχὶ μέγαρον, εἰς ὃ τὰ μυστικὰ ἱερὰ κατατίθενται. Ὅτι οὐδ' ἐν τῇ Ὀδυσσείᾳ ὁ ποιητὴς ὥσπερ οὐδ' ἐν τῇ Ἰλιάδι, ἐθέλει μωμοσκόπος εἶναι καὶ σιλλὸς ὅτε μὴ πᾶσα ἀνάγκη. ἀμύμονα γοῦν ὀνομάζει νῦν τὸν ἀτάσθαλον Αἴγισθον ὁ Ὁμηρικὸς Ζεύς, οὐκ ἐκ τῶν ἐκείνου κακῶν λαβὼν τὸ ἐπίθετον, ἀλλ' ἀφ' ὧν ὡς εἰκὸς εἶχε καλῶν. εἶχε δὲ, τὸ εὐγενές. τὸ εὐειδές. τὸ συνετὸν. καὶ εἴ τι που ἄλλο. ἄλλως δὲ, οὐδὲ ἐχρῆν τῷ μεγάλῳ Διῒ φλύαρον ἦθος προσαναπλάσασθαι τὸν ποιητήν. Περὶ δὲ Διὸς οὗ δήλωσις καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα, ῥητέον κἀνταῦθα ὅτι 1.14 πολλαχῶς λαμβάνεται. μυθικός τε γὰρ, καὶ πρὸς ἱστορίαν, ἔτι δὲ καὶ ἀλληγορίαν. οὐ μόνον εἰς εἱμαρμένην ἐκλαμβανόμενος, ἀλλὰ καὶ εἰς νοῦν τόν τε κατ' ἄνθρωπον καὶ τὸν τοῦ κόσμου. καὶ εἰς οὐρανόν. καὶ αἰθέρα. καὶ ἁπλῶς ἀέρα. καὶ εἰς ἥλιον. Καὶ ὅτι τῶν εἰς ε¯υς ὀνομάτων ὑπὲρ μίαν συλλαβὴν ὄντων, μονήρης μένει ὁ Ζεὺς ὡς μονοσύλλαβος. καὶ ὅτι πολλαῖς εὐθείαις παρὰ τοῖς παλαιοῖς ποικίλλεται. Δὶς γὰρ, οὗ γενικὴ Διός. καὶ Ζὴν, καὶ Ζὰν, καὶ Ζὰς, καὶ Ζὴς παρὰ Φερεκύδῃ καὶ Βοιωτικῶς, Ζεὺς καὶ Δάν. καὶ ὅτι τοῦ Ζεὺς, ἔστι καὶ αἰτιατικὴ παρὰ Πολυκράτει τῷ σοφιστῇ μονοσύλλαβος, τὸν Ζεῦν, περισπωμένη κατὰ τὸ λὶς λῖν, καὶ τὰ λοιπὰ τοιαῦτα μονοσύλλαβα. ἐν οἷς καὶ τὸ, τὴν θεῦν Ἄρτεμιν. κράθεν αὐτὸ ἀπὸ τοῦ, τὴν θεόν. (ηερς. 32.) Ὅτι τὸ ὢ πόποι, φανερῶς ἐνταῦθα οὐκ ἐπὶ θρήνου κεῖται, ἐν τῷ, ὢ πόποι οἷον δὴ θεοὺς βροτοὶ αἰτιόωνται, ἀλλὰ σχετλιασμὸν δηλοῖ καὶ ἀγανάκτησιν. εἴρηται δὲ περὶ αὐτοῦ ἐν τῇ ¯α τῆς Ἰλιάδος πλατύτερον. εἰς δὲ τὸ βροτὸς, γράφουσιν οἱ παλαιοὶ ὅτι ὁ οἷον μορτὸς, ἤγουν μεμορμένος καὶ τῇ εἱμαρμένῃ ὑποπεπτωκώς. ὁ δὲ μῦθος, παρὰ τὸν Βρότον παράγει τὴν λέξιν, ὅπερ ἐστὶ μολυσμὸς αἵματος, ἤτοι λύθρον τὸ ἐκ τῶν μυθευομένων γιγάντων. ἄλλως δὲ κοινότερον, παρὰ τὸ ῥέω γίνεται ῥοτὸς ὁ ῥοῇ ὑποκείμενος, καὶ πλεονασμῷ τοῦ ¯β Αἰολικῶς, βροτός. ὁμοίως τῷ, ῥᾴδιον βράδιον. ῥάκος βράκος. ῥόδον βρόδον. ῥίζα βρίζα. ἴσως δὲ, καὶ ῥῶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βρῶ. ἐξ οὗ βρῶσις ἡ οἷον ῥῶσις τῷ ζῶντι. οὕτω δὲ καὶ ῥυτὴρ βρυτὴρ ὁ χαλινός. ὁ δ' αὐτὸς, καὶ τροχίσκον δηλοῖ τὸν καὶ ῥόμβον καλούμενον. ὃν τύπτοντες ἱμᾶσι καὶ στρέφοντες, ἐποίουν δινεῖσθαι καὶ ψόφον ἀποτελεῖν. Εὔπολις δέ φασι, ῥύμβον αὐτὸν εἶπε διὰ τοῦ ¯υ ψιλοῦ. ὁ δὲ διὰ τοῦ ¯ο μικροῦ ῥόμβος, παρεσημειώθη ἐν τοῖς τοῦ περιηγητοῦ. δοκῶν αὐτὸς καί τι ἐργαλεῖον εἶναι τοῦ ὑφαίνειν, ὡς δῆλον ἐκ τοῦ, ἱμάτια πορφυρᾶ καὶ κρόκινα ῥόμβοις ὑφαινόμενα. ζήτει δὲ περὶ αὐτοῦ καὶ ἐν τοῖς κατὰ τὸν Θεόκριτον. (ηερς. 34.) Ὅτι φιλόσοφον διὰ τοῦ Διὸς ὁ ποιητὴς ἀνακινήσας θεώρημα εἰ ἄρα ἐξ εἱμαρμένης αἱ κακώσεις τοῖς ἀνθρώποις, ἢ ὑπὲρ μόρον ἤγουν ὑπὲρ τὴν μοῖραν ἐξ οἰκείας εἰσὶν ἀτασθαλίας, λύει αὐτὸ κατά τινα λόγον ἀντιπαραστάσεως διὰ τοῦ κα¯ι συνδέσμου. λέγων ὡς οὐ καθόλου καὶ ἀδιορίστως τὸ μοιρίδιον αἰτιατέον τῶν κακῶν, ἀλλὰ ῥητέον ὅτι τὰ μὲν τῶν ἐν ἀνθρώποις κακῶν διόθεν εἰσὶν ἤτοι ἐκ τοῦ πεπρωμένου. Ζεὺς γὰρ, καὶ τὸ πεπρωμένον ὡς πολλαχοῦ φαίνεται. οἱ δὲ, καὶ αὐτοὶ βλάπτουσιν ἑαυτοὺς σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχοντες. οἷον. Ἱππόλυτος μὲν οὐ δικαίως ὑπὸ Κύπριδος κακὰ παθών. καὶ Ἡρακλῆς χόλῳ τῆς Ἥρας ἐλαυνόμενος. καὶ Βελεροφόντης κατὰ τὸ γῆρας μελαγχολῶν. καὶ Εὐχήνωρ ἐν Τροίᾳ θνήσκων διὰ τὸ καὶ οἴκαδε ἀνάγκην εἶναι νόσῳ παραπολέσθαι. καὶ Ὀδυσσεὺς ἐν τῇ πλάνῃ μυρία πάσχων κακά. καὶ εἴ τινες ἄλλοι τοιοῦτοι, οὐκ ἐξ οἰκείας ἀτασθαλίας πάσχουσι τὰ κακά. ἐὰν δὲ Αἴγισθος Ἑρμοῦ εἰπόντος μήτε τὸν Ἀγαμέμνονα κτείνειν μήτε μνάασθαι ἄκοιτιν, ἀπειθῇ, γήμας ἄλοχον τῷ βασιλεῖ μνηστὴν καὶ ἀναιρῆται. καὶ οἱ Ὀδυσσέως ἑταῖροι τῶν ἀπειρημένων ἁψάμενοι τοῦ Ἡλίου βοῶν, ἀπόλωνται. καὶ Ἀχιλλεὺς δυνάμενος ἐν Φθίᾳ διάγειν καὶ ἐπὶ μακρὸν ζῆν, εἶτα ἐλθὼν ἐς Τροίαν τελευτᾷ. καὶ Ἀλέξανδρος τὸ μὲν Οἰνώνης λέχος περιφρονήσας τὴν δὲ Ἑλένην ἁρπάσας, πάθοι κακῶς. καὶ Ἐλπήνωρ οἴνῳ βαρούμενος, πέσῃ καὶ ἐκτραχηλισθῇ, ἐξ οἰκείας ἀτασθαλίας οὗτοι πάσχουσιν. Ἰστέον δὲ ὅτι εὐλόγως τὸ σφῇσιν ἀντὶ τοῦ ἰδίαις, τῷ ¯η παραλήγεται, διὰ τὸ σφαῖς εἶναι τὸ προϋποκείμενον, ὁμοίως τῷ αἷς ᾗσι ταῖς ἰδίαις. τὸ μέν τοι σφίσιν ἀντὶ τοῦ αὐταῖς, οὐ καλῶς παρὰ τοῖς μεθ' Ὅμηρον διὰ τοῦ ¯η ἔχει τὴν παραλήγουσαν. Τὸ δὲ ὑπὲρ μόρον, συνθέτως ἐν ἑνὶ μέρει λόγου οἱ ἀκριβέστεροί φασι τῶν παλαιῶν, προπαροξύνοντες διὰ τὴν σύνθεσιν. Ἰστέον δ' ἐνταῦθα καὶ ὅτι τῆς ὑπ¯ερ προθέσεως δηλούσης ἔστιν ὅτε περιττότητα; καὶ τοῦ μόρου λαμβανομένου ποτὲ ἀντὶ τοῦ καθήκοντος, νοεῖται δι' αὐτὰ τὸ, ὑπέρμορον ἄλγεα πάσχειν, καὶ ἀντὶ τοῦ ὑπὲρ τὸ καθῆκον. οὕτω δέ φασι καὶ ὑπερηνορέων, ὁ παρὰ τὸ καθῆκον ἀνδριζόμενος. τῆς ὑπ¯ερ, ἰσοδυναμούσης τῇ παρ¯α ἐν τοῖς τοιούτοις. ὡς καὶ ἐν τῷ, ὑπερβασίαι ἀλεγειναί. καὶ ἐν τῷ ὑπέρμετρον. ἐν μέν τοι τῷ ὑπερβαλλόντως καὶ ἐν τῷ ὑπέρθυμος καὶ ἐν τῷ ὑπερήσει ἀντὶ τοῦ ὑπερακοντίσει καὶ τοῖς ὁμοίοις, οὐ ψεκτὴν ἀλλ' ἐπαινετὴν σημαίνει περιττότητα ἡ ὑπ¯ερ πρόθεσις. (ηερς. 32. ετ σθθ.) Ἐν τούτῳ δὲ τῷ χωρίῳ σημείωσαι τὸ τοῦ λόγου σεμνόν. ἀποφαντικῶς γὰρ ὁ Ζεὺς λαλεῖ καὶ γνωμικώτερον, καὶ μέμφεται τοὺς οὕτως εἰκῇ αἰτιωμένους τὸ θεῖον. εἰπών. ὢ πόποι, οἷον δὴ θεοὺς βροτοὶ αἰτιῶνται, ἐξ ἡμέων γάρ φασι κακὰ ἔμμεναι, καὶ τᾶ ἑξῆς. κεῖται δ' ἐνταῦθα καὶ πίστις τοῦ καθόλου ῥητορικῶς μερικὴ ἐκ παραδείγματος τὸ, ὡς καὶ 1.15 νῦν Αἴγισθος ἐποίησε τό δέ τι. (ηερς. 38.) Ὅτι ὁ πρὸς Διὸς μάλιστα δὲ θεόθεν πεμπόμενος Ἑρμῆς ἐΰσκοπος ἀργειφόντης ὁ τῷ Αἰγίσθῳ ὑποδεικνύων τὰ μέλλοντα, ὁ καθ' ἡμᾶς φυσικὸς λόγος ἐστίν. οὗ πολλάκις παραδεικνύντος τὸ ὑπορωρυγμένον ἡμεῖς τυφλώττοντες, ὅμως περιπίπτομεν καὶ ἀπολλύμεθα. Ὅτι δὲ ὁ Ἑρμῆς εἰς τὸν λόγον ἀλληγορεῖται, οὐδεὶς τῶν περὶ λόγους ἠγνόησεν. ἔστι δὲ τὸ περὶ τούτων Ὁμηρικὸν ῥητὸν, τοιοῦτον. ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς Ἑρμείαν πέμψαντες ἐΰσκοπον ἀργειφόντην, μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄκοιτιν. καὶ τὰ ἑξῆς. Ἰστέον δὲ ὅτι τὸ, προείπομεν πέμψαντες Ἑρμῆν, ὑποβάλλει, μὴ μόνον φυσικὸν λόγον ἀλλὰ καὶ προφορικὸν ὑπονοεῖν τὸν Ἑρμῆν. ἦν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ τοιοῦτος λόγος, ὁ τοῦ ἀοιδοῦ. ὃν Ὅμηρος ἐν τῇ ¯γ ῥαψῳδίᾳ ἐρεῖ. ὃς φύλαξ ὢν τῇ Κλυταιμνήστρᾳ, κατεπῇδε τοῦ Αἰγίσθου ὡς εἰκὸς, ἃ λέγει ἐνταῦθα ὁ Ζεύς. (ῃερς. 39.) Ἄκοιτις δὲ ἣν καὶ ἄλοχον ἀνωτέρω ἔφη, οὐ μόνον ἡ ὁμόκοιτις, ἀλλὰ καὶ ἡ μὴ κοιτασθεῖσα σὺν ἑτέρῳ ἀλλ' ἐκ παρθενίας ληφθεῖσα. (ῃερς. 38.) Ὅρα δὲ καὶ ὅτι θαυμασίως ἐνταῦθα κεῖται τὸ ἐΰσκοπος καὶ τὸ ἀργειφόντης, περὶ οὗ ἐν Ἰλιάδι εἴρηται. οὐ γὰρ ὁ δόλιος Ἑρμῆς ἢ ὁ χθόνιος ἢ ὁ στρόφις ἢ ὁ ἐμπολαῖος ἤτις τοιοῦτος ἐπαίδευε τὸν Αἴγισθον, ἀλλ' ἐΰσκοπος, δι' οὗ προσκοπεῖσθαι εἶχε τὰ μέλλοντα, καὶ ὁ ἀργειφόντης, ὃς ἀργὸν φόνου ὑπετίθει εἶναι τὸν Αἴγισθον καὶ μὴ κτείνειν τὸν Ἀγαμέμνονα. (ῃερς. 40.) Ὅτι ἐν τῷ, ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεταιἈτρείδαο ὁππότ' ἄρ' ἡβήσει τε καὶ ἧς ἱμείρεται αἴης, ὑποδηλοῖ ὁ ποιητὴς τὸν τῆς ἥβης καιρὸν ἀρχὴν εἶναι τοῦ φρονεῖν τὰ βελτίω. τίς δὲ ἡ ἥβη καὶ πόθεν γίνεται, ἐν τοῖς τῆς Ἰλιάδος γέγραπται. ἐν τούτοις δὲ, καὶ ποιητική ἐστι παρίσωσις. πάρισα γὰρ τὸ, Ὀρέσταο Ἀτρείδαο. ἤγουν ὁμοιοκατάληκτα. ἢ ὁμοιοτέλευτα. Αἰολέων δέ εἰσιν αἱ τοιαῦται γενικαὶ ὡς καὶ ἐν τῇ Ἰλιάδι γέγραπται. Φασὶ δὲ οἱ παλαιοὶ, μὴ δεῖν ἐνταῦθα λέγειν ἐκ γὰρ Ὀρέσταο Ἀτρείδαο, ἤτοι τοῦ ἐγγόνου τοῦ Ἀτρέως. ἀλλὰ μᾶλλον,ὅτι ἐξ Ὀρέστου, τίσις τουτέστιν ἐκδίκησις ἔσται τοῦ Ἀτρείδου Ἀγαμέμνονος. λέγουσι γὰρ, τὸν Ὅμηρομὴ σχηματίζειν ἀπὸ πάππου πατρωνυμίαν, εἰ μὴ ὁ πάππος εὐθὺς εἴη Διὸς υἱός. καὶ ὁ λόγος, εὔλογος. ἀπὸ γὰρ προσεχοῦς καὶ ἐγγυτάτω αἰτίου χρὴ γενεαλογεῖν, ὁποῖόν τι ὁ πατήρ. ὁ δὲ πάππος, πόῤῥω αἴτιον. εἰ μέντοι πάνυ ἔνδοξος ὁ πάππος ὡς οἱ ἐκ τοῦ Διὸς, τότε δὴ χαρακτηριστέον καὶ ἐξ αὐτοῦ τὸν ἀπόγονον, οὐχ' ὡς προσεχοῦς αἰτίου ἀλλ' ὡς ἐπιφανεστάτου. ἐνταῦθα δὲ ὁ τοῦ Ὀρέστου πάππος Ἀτρεὺς, οὐκ εὐθὺς ἐκ Διός. Διὸ οὐδ' ἐξ αὐτοῦ τῷ Ὀρέστῃ ἔσται πατρωνυμία. (ῃερς. 41.) Τὸ δὲ ἧς αἴης ἀντὶ τοῦ ἰδίας, συντελεῖ πρὸς τὸ ἀσφαλῶς οἰκείαν λέγειν τὴν πατρίδα. (ῃερς. 43.) Ὅτι τὸ, νῦν δ' ἁθρόα πάντ' ἀπέτισεν, οἰκεῖον λεχθῆναι ἐπὶ τοῦ μίαν μὲν ἀλλὰ μεγάλην δόντος ποινὴν ἐπὶ πολλοῖς κακοῖς προϋπάρξασιν. (ῃερς. 44.) Ἐπὶ δέ τινος ἀξίως ἀπολωλότος, καλὸν εἰπεῖν τὸ, καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ. ὡς ἀπόλοιτο καὶ ἄλλος ὅς τις τοιαῦτά γε ῥέζοι. Σημείωσαι δὲ ὅτι τὸ πάντα ἁθρόα ἀποτίσαι, μετήνεκται παροιμιωδῶς ἐκ τῶν πολλὰ ὀφειλόντων καὶ μὴ κατ' ὀλίγον ἀποτινόντων ἀλλ' ὁμοῦ πάντα καταβαλλομένων βαρέως ἑαυτοῖς. λέγει δὲ Ὅμηρος πάντα, τὴν τοῦ Αἰγίσθου μοιχείαν. τὸ μὴ ὑπακούειν Ἑρμῇ καὶ τοῖς αὐτὸν στείλασι. τὸν τοῦ βασιλέως φόνον. καὶ τἄλλα. ὧν πάντων ἔκτισις, ἡ αὐτοῦ ἀναίρεσις γέγονεν, ἧς ὀφειλέτης ἦν. (ῃερς. 45. ετ σθθ.) Ὅτι οὐκ ἀπαναινόμενος ὁ ποιητὴς τὴν καίριον ταυτολογίαν ὡς ἡ Ἰλιὰς ἔδειξε, ποιῶν δὲ οὕτω καὶ ἐν ταύτῃ τῇ βίβλῳ, πλάττει ἐνταῦθα τὴν Ἀθηνᾶν, προσφωνοῦσαν τὸν πατέρα Δία, στίχῳ πολλαχοῦ καὶ τῆς Ἰλιάδος ἐκπεφωνημένῳ. εἰποῦσαν. ὦ πάτερ ἡμέτερε Κρονίδη. ὕπατε κρειόντων. Δῆλον δὲ ὅτι καθὰ τὸ ἄνερ, οὕτω καὶ τὸ πάτερ μὴ ὀξυνόμενα ὁμοίως ταῖς αὐτῶν εὐθείαις, ἀπὸ Αἰολίδος διαλέκτου ἐμμεμενήκασιν, εἰπεῖν καθ' Ἡρῳδιανόν. εἰκὸς δὲ καὶ τὸ σῶτερ τούτοις συνεκδραμεῖν Αἰολικώτερον. ὁ δὲ Ἡρῳδιανὸς καὶ τὸ θυγατρὸς καὶ θυγατρὶ καθὰ καὶ τὸ γυναικὸς γυναικὶ ὡς ἡμαρτημένα πρὸς ἀναλογίαν παρασημειούμενος, λέγει ὡς οὐδεμία γενικὴ εἰς ¯ο¯ς λήγουσα ὑπὲρ δύο συλλαβὰς, ὀξύτονός ἐστιν. ὁμοίως οὐδὲ δοτικὴ εἰς ¯ι περαιουμένη. σημειῶδες παρ' αὐτῷ, καὶ τὸ θυγατέρος καὶ μητέρος, ὅτι πρὸ μιᾶς τὴν ὀξεῖαν ἔχει καὶ οὐ τρίτην ἀπὸ τέλους κατὰ τὸ δημήτερος. εἰνάτερος. καὶ ἀρσενικὰ, ἐρίηρος. φράτερος. Ὅτι ἔθος τῷ ποιητῇ πολλαχοῦ, ἐκ τῶν παρὰ πόδας ἀφορμῶν ἁπλούστερον λαμβάνειν προοίμια, ὡς οἷα σχεδιάζοντι. καθά περ καὶ ἐνταῦθα τοῦ Διὸς μνησθέντος τῶν κατὰ τὸν Αἴγισθον, αὐτόθεν πορίζεται προοίμιον ἡ ὡς καὶ ἐν Ἰλιάδι κεῖται γλαυκῶπις Ἀθήνη. λέγουσα ὡς καὶ ἀνωτέρω ἔκκειται, ὅτι ἐκεῖνος μὲν ἐοικότι κεῖται ὀλέθρῳ, καὶ ἀπόλοιτο καὶ ἄλλος τοιαῦτα ῥέζων. Ὀδυσσεὺς δὲ διατὶ ἀγαθὸς ὢν, πάσχει τὰ καὶ τά; 1.16 καὶ καλοῦσιν οἱ τεχνικοὶ καὶ τὸ τοιοῦτον, ἀπὸ καιροῦ προοίμιον. Ἰστέον δὲ ὅτι τε τοῦ, ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γλαυκῶπις, ἀρσενικὸν ὁ γλαυκώπης ὁμοίως τῷ, ὁ κυνώπης οὗ κλητικὴ ἐν Ἰλιάδι τὸ, ὦ κυνῶπα. καὶ ὅτι πενταχῶς τὰ παρὰ τὸν ὦπα σχηματίζονται. ἤγουν τὰ μὲν, ἐξ αὐτῆς τῆς εὐθείας ὀξυτόνως. οἷον γλαυκώψ, ὅθεν γλαυκῶπες δράκοντες. εὐώψ, ὅθεν εὐῶπες κόραι παρὰ Λυκόφρονι. λιπαρώψ, οὗ χρῆσις παρὰ Φιλοξένῳ ἐν τῷ, εἰς δ' ἔφερον διπλόοι παῖδες, λιπαρῶπα τράπεζαν. μονώψ, ὅθεν τὸ, μουνῶπα στρατόν. τὰ δὲ, βαρυτόνως. ὁποῖόν τι ὁ Κύκλωψ καὶ ὁ Κέρκωψ καὶ τὰ τοιαῦτα. τὰ δὲ, ἀπὸ τῆς κλίσεως τοῦ ὠπὸς ἐν καταλήξει τῇ εἰς ¯ης. τοιοῦτον δὲ, ὁ κυνώπης καὶ ὁ γλαυκώπης καὶ ὁ ὀξυώπης. οἷον. ἐπεὶ ὁ Διονύσιος οὐκ ἦν ὀξυώπης. οὗ συγκριτικὸν καὶ ὑπερθετικὸν τὸ ὀξυωπέστερος καὶ ὀξυωπέστατος. τὰ δὲ τοῦ τετάρτου τύπου, εἰς ¯ο¯ς ὀξύτονον. οἷον. εἰσωπὸς εὐωπός. σκυθρωπὸς, καὶ τἆλλα. ὁ δέ γε πέμπτος, ἀνάπαλιν προπαροξύνει τὴν τοιαύτην παραγωγήν. οἷον. Μελάνωπος κύριον. ἄνθρωπος τό, τε προσηγορικὸν, καὶ τὸ κύριον. Αἴσωπος. καὶ αὐτὸς γὰρ, παρὰ τὸν ὦπα λέγεται, ἵνα ὥσπερ παρὰ τὸ αἴθω τὸ καίω τὸ ὄπτω ὄψω παρῆκται ὁ Αἰθίοψ ὡς ἐπικεκαυμένος τὴν ὄψιν, οὕτω παρὰ τὸ αἴθω αἴσω τὸ λάμπω ἐξ οὗ καὶ ὁ ἀστὴρ, εἴη ὁ Αἴσωπος ἀντιφραστικῶς. τοῖς δὲ εἰρημένοις προπαροξυτόνοις ἀναλόγως ἔχει καὶ τὸ πρόσωπον καὶ τὸ μέτωπον. σημειωτέον δὲ ἐν τούτοις, ὅτι παρὰ Σοφοκλεῖ τὸ, χρυσώπιδες ἑλλοὶ νήχοντο, ὡς αἱ γλαυκώπιδες ἐκλίθη. καὶ ὅτι εὐῶπες, οὐκ ἐξ ἀνάγκης οἱ καλοὶ ἢ αἱ καλαὶ τοὺς ὦπας, ἀλλὰ καὶ οἱ τοῖς τῶν ὁρώντων ὀφθαλμοῖς τοιοῦτοι. ὡς δῆλον ἐκ τοῦ χρυσὸς καὶ ἄργυρος καὶ τὰ πολλὰ τῶν εὐοφθάλμων τε καὶ σπανίων. τοῦτο δὲ καὶ ἄλλως ἂν νηθείη τῷ ἐνθυμουμένῳ χρύσεον ὄμμα δίκας. καὶ δικαιοσύνας χρύσεον μέτωπον. τὰ ὑπὸ ἄλλων ῥηθέντα ὡς ὁ δειπνοσοφιστὴς ἐκτίθεται. Ἔτι ἰστέον καὶ ὅτι ὡς ἡ γλαυκῶπις, οὕτω καὶ ἡ ἑλικῶπις καὶ ἡ ἐριῶπις καὶ ἡ βοῶπις. (ῃερς. 48.) Ὅτι τὸ ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ, ἀντὶ τοῦ μερίζεται. ὅ περ καὶ μερμηρίζειν λέγεται. τὸ δὲ εἰπεῖν καίεταί μοι τὸ ἦτορ, ἀνοίκειον τῇ Ἀθηνᾷ κατὰ τοὺς παλαιούς. ἐρῶντος γάρ φασι προσώπου ὁ τοιοῦτος λόγος ἐστί. Ὅρα δὲ τὸ ἀμφ' Ὀδυσῆϊ δι' ἑνὸς σίγμα γραφέν. ὥσπερ γὰρ ἐν τῇ Ἰλιάδι, οὕτως καὶ ἐνὈδυσσείᾳ τὸ Ὀδυσσεὺς ποτὲ μὲν διπλῶς σιγματίζεται, ποτὲ δὲ δι' ἑνὸς σίγματος εὑρίσκεται, ἴσως μὲν, διὰ μέτρου ἀνάγκην. ἴσως δὲ καὶ διὰ αἰτίαν ἐχομένην λόγου. ἐπεὶ γὰρ ἐκ τοῦ ὀδύσσω τὸ ὀργίζομαι παράγει αὐτὸ ὁ ποιητὴς οὗ ὁ μέλλων ὀδύσω, διὰ μὲν τὸν ἐνεστῶτα, ἐν τοῖς δυσὶ ¯σ προαχθήσεται. διὰ δὲ τὸν μέλλοντα, ἓν ἕξει ¯σ. ὅτι δὲ καὶ δασύνεται κατά τινας ἡ ἄρχουσα, ἐν τῇ Ἰλιάδι εἴρηται. Τὸ δὲ δαΐφρονι δαίεται ἦτορ, τρόπος ἐτυμολογίας ἐστίν. ἵνα καὶ ἀναπτύσσηται τὸ δαΐφρων διὰ τοῦ δαίεται ἦτορ, καὶ εἰς ταυτὸν ἄγηται ἡ φρόνησις Ἀθηνᾶ, τῷ φρονίμῳ ἀνδρί. καὶ γὰρ καὶ ὁ Ὀδυσσεὺς ὁ συνετὸς, δαίεται τὸ φρονοῦν τῆς ψυχῆς, μερμηρίζων καὶ μεριμνῶν. καὶ Ἀθηνᾶ ὁμοίως δαίεται ἦτορ, πολύβουλος οὖσα. ἢ καὶ ἄλλως, παρηχήσεως τὸ τοιοῦτον σχῆμα ἐστί. καὶ γὰρ τὸ δαΐφρων, ἐκ τοῦ δαίω παράγεται. ᾧ παρακείμενον τὸ δαίεται ἦτορ, παρηχήσεως σχῆμα ἐνέφηνεν. (ῃερς. 49.) Ὅτι ἐπὶ δυστυχοῦς ἀποδήμου οἰκεῖον τὸ, δύσμορος. ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει. λέγει δὲ δύσμορον, τὸν δυστυχῆ. ὃς ἀλλαχοῦ καὶ ἄμμορος καὶ αἰνόμορος λέγεται. ἔτι δὲ καὶ κάμμορος ὅ πέρ ἐστι κακόμοιρος ἢ κακοθάνατος. ὡς δὲ καὶ καρίδας ἐστὶν οὗ ἡ τοιαύτη λέξις σημαίνει, δηλοῖ Ἀθήναιος ἐν τῷ, κάμμοροι καί τι γένος καρίδων, ὑπὸ Ῥωμαίων οὕτω καλούμενον. καὶ ἴσως, ἐντεῦθεν οἱ χυδαῖοι τοὺς καβούρους παρέφθειραν. (ῃερς. 50.) Ὅτι εἰπὼν νήσῳ ἐν ἀμφιρύτῃ ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης, ἐπάγει ἀκατάλληλον εὐθεῖαν. νῆσος δενδρήεσσα. καὶ ὤφειλε μὲν εἰπεῖν, νήσῳ δενδρηέσσῃ ὡς καὶ πρὸ μικροῦ ἐῤῥέθη, κατὰ σχῆμα ἐπαναλήψεως. ἔστι δὲ ἄλλως ὁ λόγος ἀποστατικὸς, ὡς ἀπὸ ἀρχῆς. ἵνα λέγῃ ὅτι νῆσος ἐστὶ δενδρήεσσα. τοιοῦτόν τι καὶ ἐν Ἰλιάδι τὸ, φημὶ κατανεῦσαι τὸν Δία ἀστράπτων ἐπιδέξια. καὶ ἐκεῖ γὰρ, ἀσυνδέτως κατὰ ἀπόστασιν ἄρχεται. οἷον, ἀστράπτων ἦν ὁ Ζεὺς ἐπιδέξια. μάλιστα δὲ τὸ, νῆσος δενδρήεσσα, συναπτέον τῷ, ὀμφαλὸς θαλάσσης. ἵνα λέγῃ ὅτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀμφαλὸς θαλάσσης νῆσος δενδρήεσσα. οὕτω καὶ μετ' ὀλίγα εἰπὼν Κύκλωπος κεχόλωται, καὶ μέλλων ἐπαγαγεῖν ἀντιθέου Πολυφήμου, ὅμως ἤλλαξε τὴν σύνταξιν ὁμοιοπτώτως τῇ ἐπεμβολῇ. Κύκλωπος, ὃν ἀλάωσεν, ἀντίθεον Πολύφημον. Ὅρα δὲ ὅτι ἐν τῷ, νήσῳ ἀμφιρύτῃ, δι' ἑνὸς ¯ρ γράφει τὴν λέξιν ὁ ποιητὴς, διὰ τὸ μέτρον ἀφεὶς τὸν τοῦ ¯ρ διπλασιασμόν. ποιεῖ δὲ τοῦτο καὶ ἐν ἄλλοις πολλοῖς. Τὸ δὲ δενδρήεσσα, οὐχ' ἁπλῶς παρέῤῥιψεν ὁ ποιητὴς, ἀλλὰ προοικονομῶν τὴν κατασκευὴν τῆς σχεδίας ἣν ὁ Ὀδυσσεὺς ἐκ τῶν ἐκεῖ δένδρων 1.17 συμπήξεται. καὶ ἅμα, ἵνα ἡ νῆσος οἰκεία ᾖ μυθικῇ νύμφῃ, ἀλσώδης οὖσα. οὕτω δὲ καὶ τὸ, νήσῳ ἐν ἀμφιρύτῃ παρεσημάνθη, πρὸς πιθανότητα τοῦ ἐπὶ τοσοῦτον ἀφύκτως εἶναι παρὰ τῇ Καλυφοῖ τὸν πολυμήχανον. καλῶς δὲ καὶ τὸ ἀμφιρύτῃ, πρὸς διαστολὴν τῶν χεῤῥονήσων ὁποία καὶ ἡ Πελοπόννησος. ἐκεῖναι γὰρ οὐκ ἀμφίρυτοι. Ἰστέον δὲ ὅτι τὴν μὲν γῆν ὁ μῦθος περί που τὴν Δελφικὴν χώραν λέγει μεσάζεσθαι, ἀετοῖς μετρηθεῖσαν ὑπὸ Διός. διὸ καὶ ὀμφαλὸς καὶ μεσόμφαλον γῆς ὁ πύθιος τόπος ὁ περὶ Δελφοὺς ἐλέγετο. τὸν δὲ ὀμφαλὸν ἤτοι τὸ μεσαίτατον τῆς ἀτλαντικῆς ἢ τῆς ὅλης θαλάσσης, ὁ ποιητὴς εἶναι πλάττει ἐκεῖ ὅπου ἡ νῆσος τῆς μυθικῆς Καλυψοῦς. (ῃερς. 51.) Ὅτι τὴν Καλυψὼ εἰ μὲν βασίλισσα ἦν καὶ νήσου ἐκράτει ἣν καὶ οἱ γεωγραφοῦντες παραδιδόασι, μικρὰ περιεργάζονται οἱ παλαιοί. μεταπλάττουσι δὲ αὐτὴν τῇ ἀλληγορίᾳ εἰς τὸ καθ' ἡμᾶς σῶμα, ὡς συγκαλύπτουσαν ἐντὸς δίκην ἐλύτρου τὸν ψυχικὸν μάργαρον. ἥτις καὶ αὐτὴ κατεῖχε τὸν φιλόσοφον Ὀδυσσέα ὡς ἄνθρωπον ἐνδεδεμένον σαρκί. καὶ μυθικῶς εἰπεῖν, ἐν ἀμφιρύτῃ νήσῳ ὄντα δενδρηέσσῃ ἥτις ὀμφαλός ἐστι θαλάσσης. τουτέστιν ἐν ὑγρῷ σώματι ὄντα καὶ ὡς ἂν ὁ Πλάτων εἴπῃ, ἐπιῤῥύτῳ καὶ ἀποῤῥύτῳ. ἔτι δὲ, ὑλαίῳ καὶ ἀμφιλαφεῖ τοῖς πάθεσι. τοῖς τε ἄλλοις, καὶ τοῖς περὶ γαστέρα καὶ ὀμφαλόν. καὶ οὕτω μὲν Ὀδυσσεὺς δυσαπαλλάκτως εἶχε τῆς εἰρημένης Καλυψοῦς οἷα ὡς εἰκὸς φιλόζωος. Ἑρμοῦ μέντοι ὡς ἐν τοῖς μετὰ ταῦτα αἰνίξεται ὁ ποιητὴς μεσιτεύοντος ὅ ἐστι λόγου, γέγονε τῆς κατὰ τὴν φιλοσοφίαν ποθουμένης πατρίδος, ἤγουν τοῦ νοητοῦ κόσμου. ὅς ἐστι κατὰ τοὺς Πλατωνικοὺς, ψυχῶν πατρὶς ἀληθής. ὁμοίως, γέγονε καὶ τῆς Πηνελόπης φιλοσοφίας, λυθεὶς καὶ ἀπαλλαγεὶς τῆς τοιαύτης Καλυψοῦς. λέλυται γὰρ τρόπον τινὰ τοῦ σώματος ὁ φιλόσοφος, καὶ ἀσχέτως τούτῳ συνέχεται. καὶ ἔστιν οἰκεῖον εἰπεῖν τὴν τοιαύτην Καλυψὼ πρὸς τὸν ἀπόδημον αὐτῆς τῇ διανοίᾳ φιλόσοφον, ὅτι ὁ νοῦς σου παρὼν, ἀποδημεῖ. Ἰστέον μέντοι ὅτι καθ' ἱστορίαν ἦν τις νῆσος Καλυψοῦς. περὶ ἧς ὁ γεωγράφος φησὶν, ὅτι Σόλων ἱστόρησε περὶ τῆς Ἀτλαντίδος νήσου παρὰ τῶν Αἰγυπτίων ἱερέων, φοιτήσας ἐκεῖ. καὶ ἔμαθεν ὅτι ποτὲ οὖσα ἡ νῆσος οὐκ ἐλάττων ἠπείρου τὸ μέγεθος, ὕστερον ἠφανίσθη. καὶ οὐ πλάττει αὐτὴν ὁ ποιητής. (ῃερς. 52.) Τὸν δὲ Ἄτλαντα ὃς πατὴρ εἶναι λέγεται τῆς σωματικῆς Καλυψοῦς καὶ θαλάσσης πάσης βένθεα οἶδε, καὶ κίονας ἔχει αἳ γῆν τε ἐπὶ μέσου συνέχουσιν καὶ οὐρανὸν ἀνέχουσιν, οἱ μὲν, ἀλληγοροῦσι εἰς τὴν ἀκάματον καὶ ἀκοπίατον πρόνοιαν τὴν πάντων αἰτίαν. καὶ ὀλοόφρονα τὸν τοιοῦτον Ἄτλαντα νοοῦσιν, ὡς τὰ ὑπὲρ ὅλων φρονοῦντα ἤγουν τῶν ὅλων φροντιστικόν. διὸ καὶ ὁ Κλεάνθης ὥς φασιν, ἐδάσυνε τὸ ¯ο τῆς ἀρχούσης. καὶ οὐδὲ ἡμεῖς καινοπραγοῦμεν, ψιλοῦντες αὐτό. οἵγε καὶ τὸ Ὄλυμπος λέγοντες γίνεσθαι παρὰ τὸ ὁλολαμπὴς, ὅμως ψιλοῦμεν Αἰολικῶς αὐτὸ καὶ οὐ δασύνομεν. καὶ οὕτω μέν τινες. Ἄλλοι δὲ Ἄτλαντα, τὸν νοητὸν ἄξονα νοοῦσι τὸν διὰ μέσης τῆς γῆς ἐληλαμένον. καὶ ἀπὸ τοῦ βορείου εἰς τὸν νότιον πόλον καθήκοντα. περὶ ὃν ὡς καὶ τῷ Ἀράτῳ δοκεῖ, οὐρανὸς εἱλεῖται. εὐθεῖαν ἀσώματόν τινα ὄντα καὶ ἀόρατον, συνεκτικὴν τοῦ παντός. ὧς συνεχὴς μέν ἐστι κατὰ τὴν ὁλότητα καὶ εἷς. διὸ καὶ Αἰσχύλος ἐν Προμηθεῖ, κίονα εἶπεν ἑνικῶς καὶ οὐ κίονας. ἄλλως δὲ, εἰς δύο διαιρούμενος κατά τε τὸ ὑπόγαιον αὐτοῦ καὶ τὸ ὑπέργειον, κιόνων πέμπει τινὰ ταύτην φαντασίαν. ἐφ' αἷς κίοσιν ἡ γῆ τε οἷον βέβηκε, καὶ οὐρανὸς ὑπανέχεται. τοῦ τοιούτου δὲ Ἄτλαντος θυγάτηρ καθ' ἕτερον τρόπον ὑψηλότερον, ἡ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Καλυψώ. τουτέστι τῆς τοῦ ἄξονος ταύτης ἐννοίας καὶ περὶ αὐτοῦ θεωρίας τὲ καὶ μαθήσεως, τέλος καὶ ἀποτέλεσμα καὶ οἷον εἰπεῖν γέννημα, τὸ τὸν οὐρανὸν τὸν τὴν γῆν τε ἄνωθεν καλύπτοντα ἤτοι σκέποντα καὶ περιέχοντα πάντα ἔσω καὶ σφίγγοντα, τηρεῖν διὰ τῆς τοιούτου ἄξονος μονιμότητος ἐν ταυτότητι κυκλοφορικῆς κινήσεως καὶ κατακαλύψεως καὶ περιοχῆς τοῦ παντός. ταύτῃ δὲ τῇ Καλυψοῖ σύνεστι μὲν ὁ ἀποτελεσματικὸς φιλόσοφος Ὀδυσσεύς. ὁ καὶ Πλειάδας τε Ὑάδας τε θεωρῶν καὶ σθένος Ὠρίωνος κατὰ τὸν ποιητὴν καὶ τὰ ἑξῆς. ποθεῖ δὲ ὅμως μάλιστα καὶ τὴν μεθοδικὴν καὶ κανονικὴν φιλοσοφίαν. ἀφ' ἧς ὡς οἷά τινος πατρίδος ὁρμώμενος, εἰς ταῦτα ἦλθε καὶ εἰς ἐκείνην ἐπανακάμπτειν γλίχεται ἧς χωρὶς οὐκ ἔστι φιλοσοφεῖν. ὅτι δὲ τοιαύτη τις ἡ Πηνελόπη, δῆλον ἔσται ὅτε τὸν ἱστὸν θεωρήσομεν τὸν ὑπ' αὐτῆς ὑφαινόμενόν τε καὶ αὖθις ἀναλυόμενον. καὶ ταῦτα μὲν τοιαῦτα. ἐπεὶ δὲ ὁ τοιοῦτος ἄξων τὸ τοῦ παντὸς μέσον τέμνει, διατοῦτο καὶ τὴν τῆς Καλυψοῦς οἴκησιν ὁ μῦθος ἐν ὀμφαλῷ θαλάσσης ἱδρύει, ἀντὶ τοῦ μέσου τοῦ παντὸς ἤτοι τοῦ κοσμικοῦ λαβὼν τὸν τῆς θαλάσσης ὀμφαλὸν, ἐπειδὴ καὶ ὁ ὀμφαλὸς μεσάζει τὰ ζῳᾶ. διότι δὲ τὸν Ἄτλαντα ἐκεῖ που περὶ τὸν ὁμώνυμον 1.18 Λιβυκὸν τόπον ἤγουν κατὰ τὸ ὄρος τὸν Ἄτλαντα ὁ μῦθος κιονοφοροῦντα ποιεῖ, διατοῦτο καὶ τὴν τῆς Καλυψοῦς νῆσον περὶ τὸ Ἀτλαντικὸν ὁ αὐτὸς ἐκτοπίζει πέλαγος, συμμετακινῶν πιθανῶς τὴν θυγατέρα Καλυψὼ, τῷ γεννησαμένῳ Ἄτλαντι. καὶ οὕτω μὲν τὸν Ἄτλαντα καὶ τοὺς ἀχθοφορουμένους ὑπ' αὐτοῦκίονας εἰς τὸν κοσμικὸν ἔστι μεταλαμβάνειν ἄξονα. ὃν κίονα καὶ ὁ Πλάτων καλεῖ, τὸ ὄνομα παρ' Ὁμήρου λαβών. ἡ δέ γε ἱστορία, Λίβυν ἄνδρα σοφὸν τὰ ἀποτελεσματικὰ τὸν Ἄτλαντα παραδίδωσι, πολλὰ τῶν μελλόντων ἐκ τῆς τῶν οὐρανίων κινήσεως προσημειούμενον καὶ προλέγοντα. ὅθεν καὶ ἀνέχειν τὸν οὐρανὸν ἐμυθεύθη. ὡς οἷα μέχρι καὶ εἰς αὐτὸν οὐρανὸν ἀνήκων τῇ πολυδυνάμῳ σοφίᾳ. ὁ μέντοι περιηγητὴς Διονύσιος ἄλλως ἐμφαίνεται θεραπεύων τὸν μῦθον. λέγων περὶ τὸ Λιβυκὸν ὄρος τὸν Ἄτλαντα, κίονα χάλκεον ἀνέχειν εἰς οὐρανὸν ἀνατρέχοντα, πάνυ πολὺν τὸ ὕψος. διὸ καὶ δοκεῖν ἄχρις οὐρανοῦ ἥκειν. Ἔστι δὲ καὶ ἄλλως, εἰς τὸ ἁπλῶς πολὺ τοῦ κατὰ τὸ Ἀτλαντικὸν ὄρος ὕψους, τὴν κιονικὴν φαντασίαν συμβιβάσασθαι. οὕτω καὶ Πίνδαρος οὐρανίαν κίονα λέγει τὴν Αἴτνην, καὶ ὁ ποιητὴς δὲ ἐν τοῖς ἑξῆς, τὸν τῆς Σκύλλης σκόπελον, οὐρανὸν εὐρανὸν εὐρὺν ἱκάνειν φησί. καὶ Αἰσχύλος δὲ, ἀστρογείτονας τὰς τοῦ Καυκάσου λέγει κορυφάς. καὶ Διόδωρος, ἄκραν τινὰ τῶν Ἄλπεων κορυφὴν τοῦ σύμπαντος ὄρους δοκοῦσαν, οὐρανοῦ ῥάχιν ἱστορεῖ παρὰ τῶν ἐγχωρίων καλεῖσθαι. καὶ τοιαῦτα μὲν καὶ τὰ τῆς ἱστορίας. Ὁ δὲ μῦθος, ἕνα τῶν Τιτάνων εἶναι τὸν Ἄτλαντα βούλεται. ὃς ἐπ' ὀλέθρῳ ἑαυτοῦ ἐπαναστὰς τῷ Διΐ, διὸ καὶ ὀλοόφρων λέγεται, τιμωρίαν κατεκρίθη τὸ τῶν κιόνων ἄχθος. Φασὶ δὲ τὸν Ἡρακλῆ διὰ τὰ χρυσᾶ μῆλα εἰς Λιβύην ἐλθόντα, ὑπελθεῖν τὸν φόρτον διὰ φιλίαν, καὶ διαδέξασθαι τὸν Ἄτλαντα πρὸς βραχύ. εἶτ' αὖθις ἐκείνῳ ἐπιτρέψαι τὰ συνήθη πάσχειν. τὸ δ' ἔστιν, ὅτι τῷ σοφῷ Ἄτλαντι μαθητεύσας ὁ Ἡρακλῆς, προέλεγέ τινα καὶ αὐτὸς τῶν μελλόντων. κἀντεῦθεν ἡ τοῦ ἄχθους ἐμυθεύθη διαδοχή. φησὶ γοῦν Αἰλιανὸς αὐταῖς λέξεσιν οὕτω. λόγος ἔχει, Ἄτλαντι φοιτήσαντα τὸν Ἡρακλέα, σπουδάσαι τὰ οὐρανία. ταῦτά τοι, καὶ συγγεγράφθαι διαδέξασθαι τὸν οὐρανὸν ἐν μέρει. αἰνιξαμένων τῶν συγγραφέων τὴν παράδοσιν τῆς σοφίας τοῦτον τὸν τρόπον. Ὅτι δὲ τὸ ὄρος ὁ Ἄτλας, καὶ πληθυντικῶς προφέρεται Ἄτλαντες ᾧ λόγῳ καὶ ἡ Μάλεια τὸ ὄρος καὶ νῆσος ἡ Κρήτη Μάλειαι καὶ Κρῆται λέγονται. καὶ ὅτι καὶ ὄνομα ἔθνους τῷ τοιούτῳ παροικοῦντος ὄρει οἱ Ἄτλαντες, πολλαχοῦ διαφαίνεται. καὶ ἴσως τοιαύτης ἐννοίας παρὰ τῷ δειπνοσοφιστῇ οἱ Ἄτλαντες ἐν τῷ, περιέτρεχον τὴν ναῦν Ἄτλαντες ἐντὸς, ἑξαπήχεις. εἰ μὴ ἄρα ζώδια εἴτουν ἀνδριάντες ἦσαν αὐτοὶ ἐστηλωμένοι πρὸς μίμησιν Ἄτλαντος. οὗ τῆς κλίσεως ὁ κανὼν, τοιοῦτος καθ' Ἡρῳδιανόν. τὰ παρὰ μετοχὴν εἰς ¯α¯ς δισύλλαβα, διὰ τοῦ ¯ν ¯τ κλίνεται. οἷον. τλὰς, Ἄτλας Ἄτλαντος. φὰς, Περίφας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Περίφαντος. τοιαύτῃ δὲ κλίσει ἐκεῖνος ὑπάγει, καὶ ὅσα δὶς τὸ αὐτὸ σύμφωνον ἔχει. Γίγας Γίγαντος. Μίμας Μίμαντος ὄρος. οὗ μνήσεται Ὅμηρος ἐν τοῖς ἑξῆς. Ἔτι ἰστέον καὶ ὅτι ὁ περὶ Καλυψοῦς καὶ Ἄτλαντος ἐνταῦθα μῦθος, οὐ μόνονἐγείρει τὸ ἀφηγηματικὸν ὕπτιον ὡς τερατώδης, ἀλλὰ καὶ ἄλλον τρόπον ἀφελῶς ἔχει διὰ τὴν Ἀθηνᾶν οὕτως εἰκῇ ἀφηγουμένην τῷ εὖ εἰδότι πατρὶ τὰ κατὰ τὸν Ἄτλαντα. Δῆλον δὲ καὶ ὡς Ἄτλας λέγεται, ἢ πρὸς στέρησιν τοῦ μὴ τάλας εἶναι, ἢ ἐπιτατικῶς ὡς πολύτλας. εἰ δὲ καὶ ἀνεγραμμάτισται ἀπὸ τοῦ τάλας ὁ Ἄτλας, περίεργον μὲν εἰπεῖν οὐ πάντῃ δὲ ὑπόκενον. δῆλον δὲ ὁμοίως καὶ ὅτι τὸ, ὃς θαλάσσης πάσης βένθεα οἶδε καὶ ἑξῆς ἕως τοῦ, ἀμφὶς ἔχουσιν, οὐ μακρὰν θείας ἐννοίας ἐστίν. ὡς δὲ θάλασσα, οὐ μόνον στοιχειακὸν ὄνομα ἦν ἀλλὰ καὶ ἱματίῳ προσυφαίνετο, δῆλον ἐκ τοῦ εἰπόντος. πορφυρᾶς περιβολὰς καὶ ἰοβαφεῖς καὶ ὑακινθίνας καὶ φλογίνας καὶ θαλασσοειδεῖς. ἴσως δὲ καὶ ἀπὸ ἀκτῆς θαλασσίας παρώνυμον ἦν τι φόρημα, ὡς δηλοῖ ὁ γράψας τὸ, φοροῦντες δὲ καὶ ἀκταίας. ἔστι δέ φασι τοῦτο, σπαθητὸν ἰσχύος καὶ κουφότητος χάριν. εἰ μή που ἐκ τοῦ ἄγω τὸ κλῶ ἡ εἰρημένη ἀκταία γίνεται, κατακλῶνται γὰρ τὰ σπαθώμενα. (ῃερς. 50.) Ὅτι δὲ Ὅμηρος ὀμφαλὸν θαλάσσης νοεῖ τὸ μέσον ἀκολούθως τοῖς τολμήσασι γῆς ὀμφαλὸν εἰπεῖν τὸ καὶ μεσόμφαλον γῆς παρὰ Σοφοκλεῖ, δηλοῖ καὶ ὁ μεταβολεὺς Δημοσθένης. εἰπὼν ὡς ἐν νήσῳ ποι ὑπὸ μέσης τῆς θαλάσσης καὶ Ὀδυσσεὺς ἀπειλημένος ἦν ὑπὸ Καλυψοῦς τῆς Ἄτλαντος. ὃν σύ φησιν ὦ Ζεῦ, τήν τε θαλάσσης γνῶσιν ἐξεπίστασθαι, καὶ τὴν οὐρανοῦ καὶ γῆς ἕδραν συνέχειν ἔταξας. (ῃερς. 51.) Ὅτι τὸ, θεά δ' ἐν δώματα ναίει, καινότερον συντέτακται. εἴτε γὰρ εἴποι τις ἐνναίει τὰ δώματα, οὐ πάνυ συνήθης ἡ σύνταξις. εἴτε εἴποι ἐν τὰ δώματα ναίει, Δωρικῶς συντέτακται, ὡς ἔστιν ἐκ τοῦ Πινδάρου μαθεῖν. (ῃερς. 53.) Ὅτι θηλυκῶς λέγει τὰς κίονας κατὰ διάλεκτον 1.19 Ἰωνικήν. ἔστι δὲ τοῦτο καὶ τῶν Ἀττικῶν. μυρία δὲ τοιαῦτά ἐστι παρὰ τοῖς ποιηταῖς. οἳ τὰς βοῦς λέγουσι. καὶ τὰς ἵππους καὶ τὰς ἡμιόνους. καὶ τὰς ἑλλούς. καὶ τὰς κύνας. καὶ τὰς ὄϊς. καὶ ἕτερα. Αἴλιος δὲ Διονύσιος παρασημειούμενός τινα ὅπως κατὰ γένη προφέρονται, φησὶν οὕτω. κακκάβη θηλυκῶς ὁ κάκκαβος. ὃ καὶ παρὰ τῷ Ἀθηναίῳ κεῖται ἐν τῷ, κακκάβα ζέουσα. οὕτω καὶ ἡ ἁρπάγη δι' ἧς ἐκ φρεάτων κάδδους ἀνάγουσιν. ἔτι καὶ ἡ βῶλος. καὶ ἡ ὕαλος. καὶ ἡ φάρυγξ, καὶ ἡ στρύχνος. καὶ ἡ χάραξ τὸ τῆς ἀμπέλου ὑπόστημα. ὁ μέντοι χάραξ ἀρσενικῶς, τὸ χαράκωμα τοῦ στρατοπέδου. ἔτι θηλυκῶς, καὶ ἡ τύλη τὸ φύμα τὸ ἐπὶ τοῦ αὐχένος. καὶ ἡ ὄμφαξ. καὶ ἡ ἄσβολος. καὶ ἡ ψύλλα. καὶ ἡ μείραξ. καὶ ἡ θόλος. καὶ ἡ μήκων. Θουκυδίδης οὖν μήκωνα μεμελιτωμένην φησί. ταῦτα κατὰ γένος θηλυκόν. ἀρσενικῶς δὲ, ὁ χοῦς. ὁ ὄροφος. ὁ θίς. ὁ λιμός. ὁ σκότος. ὁ τάρας. ὁ ἀκράγας. οὐδέτερα δὲ, τὸ νῶτον. τὸ ζυγόν. τὰ ἐπίδεσμα. τὸ στρωματόδεσμον. τὸ θύμον. τὸ σίαλον. τὸ κέδρον. τὰ θεμέλια. τὸ τέμαχος. ἀρσενικὰ δὲ καὶ οὐδέτερα. ὁ τάριχος καὶ τὸ τάριχον. τὰ στάδια καὶ οἱ στάδιοι. δῆλον δὲ ὅτι Ἀττικῶς ταῦτα πάντα. ἐπεὶ καὶ Ἀττικαῖς λέξεσιν ὁ ῥηθεὶς Διονύσιος ἐπεξέρχεται. ἄλλως γὰρ καὶ ἡ θὶς λέγεται. ὅτι καὶ ἡ λιμός. καὶ τὸ σκότος. καὶ ἡ τάρας. καὶ ἡ ἀκράγας καὶ ἕτερα τῶν τοῦ Διονυσίου, ἑτέρως. ὁ χοῦς μέντοι τὸ μέτρον, ἀεὶ ἀρσενικῶς. ὁ δέ γε τῆς γῆς, καὶ θηλυκῶς εὕρηται παρὰ τῷ γεωγράφῳ. (ῃερς. 54.) Ὅτι ἐν τῷ γαῖαν καὶ οὐρανὸν ἔχουσιν, ἐλλέλειπται ἡ ἀν¯α πρόθεσις. ἔστι γὰρ ἀντὶ τοῦ, ἀνέχουσι καὶ ἀναβαστάζουσι. πολλαχοῦ δὲ τοιαῦτα ποιεῖ Ὅμηρος, ὡς καὶ ἐν Ἰλιάδι φαίνεται. Μαλακοῖς καὶ αἱμυλίοις λόγοις ἡ Καλυψὼ τὸν Ὀδυσσέα ἔθελγεν ὅπως Ἰθάκης ἐπιλήσεται. εἶεν δ' ἂν τῆς μὲν ἱστορουμένης Καλυψοῦς αἱμύλιοι λόγοι, οἱ κατὰ ἔρωτα κολακεύοντες. καὶ οὓς ἂν εἴπῃ γυνὴ ἐρῶσα. καὶ διατοῦτο κατὰ τὸν Ἡσίοδον αἱμύλα κωτίλλουσα. τῆς δὲ ἀναγομένης εἰς φιλοζωΐαν σωματικὴν Καλυψοῦς αἱμύλα ῥήματα νοοῖντο ἄν, τὸ ἑαυτοῦ τινα κήδεσθαι. τὸ μὴ τὸν θυμὸν ἔδειν μερίμναις. τὸ τὴν φύσιν, τοῦ ἡδέος μᾶλλον στοχάζεσθαι ἤπερ τοῦ λυπηροῦ. τὸ τὴν ἡδονὴν ἀοχλησίαν εἶναι σαρκός. τὸ μὴ πονεῖν ἄγαν ὡς ἂν εἴη μακρόβιος καὶ μικροῦ καὶ ἀθάνατος. καὶ ὅσα τοιαῦτα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄλλως δὲ, μαλακοὶ καὶ αἱμύλιοι λόγοι, οἱ κολακευτικοὶ καὶ προσηνεῖς. μαλακοὶ μὲν, πρὸς διαστολὴν τῶν ἀπειλητικῶν, σκληροὶ γὰρ ἐκεῖνοι. αἱμύλιοι δὲ κατὰ τοὺς παλαιοὺς, δόλιοι, πιθανοί. πλάνοι. ποικίλοι. καὶ ἄλλως δὲ αἱμύλιοι, οἱ ὡς εἰπεῖν γνήσιοι. καὶ οἵους ἂν εἴποι τις τῶν πρὸς αἵματος. ἢ καὶ ἄλλως αἱμύλιοι, οἱ μὴ ψοφήσαντες εἰκῇ περὶ τὰ τῆς ἀκοῆς πρόθυρα, ἀλλ' ἔσω παρεισδύντες καὶ οἷον ἀψάμενοι αἵματος. ἢ θερμοὶ καὶ ἐνεργοὶ, οὐ μὴν ψυχροὶ καὶ ἄπρακτοι. ὡς ἐκ μεταφορᾶς τῶν ἐναίμων ζῴων ἃ θερμότερα τῶν ἀναίμων εἰσί. παράγωγον δὲ τοῦ αἱμύλος, ὁ αἱμύλιος ὡς δηλοῖ τὸ, αἱμύλα κωτίλλουσα. Τὸ δὲ θέλγειν περὶ οὗ ἀκριβῶς ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐῤῥέθη, οὐδ' ἐνταῦθα ἡδονὴν ἁπλῶς δηλοῖ, ἀλλὰ τὴν οὐκ ἐπ' ἀγαθῷ καὶ ἀπατηλήν. ὡς δηλοῖ τὸ, ἵνα Ἰθάκης ἐπιλήσεται. οὐ γὰρ ἔθελγε τὸν Ὀδυσσέα ἡ Καλυψὼ ἡδέως, ἀλλὰ παρῆγεν οὗ ἐκεῖνος ἐπεθύμει, τοῦ τὴν πατρίδα ἰδεῖν, εἰ καὶ μὴ ἔπειθεν. ὅτι δὲ ἐκ τοῦ τοιούτου θέλγειν οἱ Τελχῖνες, δηλοῦσιν οἱ παλαιοί. παρ' οἷς καὶ θελγῖνες οἱ αὐτοὶ λέγονται. ἐν γοῦν ῥητορικῷ λεξικῷ κατὰ στοιχεῖον προϊόντι, γράφεται. Θελγῖνες, γόητες. φαρμακοί. ἐπίῤῥητον ἄρα τὸ θέλγειν ἐξ οὗ περ οὗτοι παράγονται. (ῃερς. 58.) Ὅτι Ὀδυσσεὺς οὕτω φιλόπατρις ἦν, ὡς καὶ καπνὸν μόνον ἐφίεσθαι ἀποθρώσκοντα νοῆσαι ἧς γαίης, ἤγουν τῆς ἑαυτοῦ γῆς. τουτέστιν εἰ μὴ αὐτῆς Ἰθάκης ἐπιβῆναι μέλλοι, κἂν γοῦν πόῤῥωθέν ποθεν αὐτὴν τεκμήρασθαι οἷς τὰ τοιαῦτα τεκμαίρονται ἄνθρωποι. τεκμαίρονται δὲ ὡς τὰ πολλὰ μακρόθεν, πυρὶ εἴτε καὶ τῷ τοῦ πυρὸς σημείῳ, καπνῷ. ὧν ὁ μὲν καπνὸς, ἐν ἡμέρᾳ μάλιστα χρήσιμος. ὁ δὲ πυρσὸς, τῇ νυκτί. τείχεσι μέν τοι καὶ οἰκημάτων ἐπάρσει, οὐκ ἔστιν ἕκαθεν ἀλλ' ἐκ τῶν ἐγγυτέρω τεκμαίρεσθαι. ὄρους δὲ ὕψος, οὐκ αὐτὴν τὴν πατρίδα πόλιν σημειοῖ μὴ ἄνω αὐτοῦ πεπολισμένην, ἀλλά τινα τῶν πέριξ. Καπνοῦ δὲ παράγωγον τὸ καταπνίζειν ὅ ἐστι θύειν ὡς ἐκ παρακολουθήματος, Ὅμηρος δηλοῖ ἐν τῷ, κάπνισάν τε κατὰ κλισίας. ἐκ τοῦ καπνίζειν δὲ, καπνιστὰ κρέα παρὰ τῷ δειπνοσοφιστῇ. Ὅρα δὲ οἷος τὰ ἐς δυστυχίαν Ὀδυσσεὺς ὁ πηνίκα ἐκ τῆς Αἰόλου νήσου ἐπανιὼν καὶ ἐγγίσας τῇ πατρίδι καὶ ἤδη πῦρ ἀνακαιόμενον βλέπων, ἐπλάγχθη ὀπίσω. Ἰστέον δὲ ὅτι σχῆμα ἔστιν ἐνταῦθα, δηλοῦν ἐκ μέρους τὸ πᾶν. τῷ γὰρ ἡμερινῷ σημείῳ τῷ καπνῷ, δεῖ συνεπινοεῖν καὶ τὸ ἐκ τοῦ πυρὸς νύκτερον σύμβολον. τί γὰρ διαφέρει εἴτε καπνὸν ὁ Ὀδυσσεὺς ἴδοι τὸν ἐν ἡμέρᾳ τὴν Ἰθάκην σημαίνοντα, εἴτε πυρσὸν τὸν ἐν νυκτί; εἰ μὴ ἄρα τοῦ κρείττονος μέμνηται. κάλλιον γὰρ ἐνταῦθα ὁ
1. καπνὸς, ὡς αἱρετωτέρου ὄντος τοῦ ἐν ἡμέρᾳ πλοῦ. ἡ δὲ ἀλληγορία, καπνὸν βούλεται νοεῖν, τὸ ἀνωφορούμενον μὲν σκοτεινὸν δὲ ὅμως τῆς φιλοσόφου γνώσεως καὶ οὔπω λαμπρόν. ὅπερ καὶ αὐτὸ, στερκτόν ἐστιν ὅτε τῷ φιλολόγως διακειμένῳ λογίζεται. εἰ γάρ τινι μὴ τοῦ τελειοτάτου ἐφικέσθαι δυνατὸν, τὸ γοῦν ἀμυδρῶς τῶν προτελείων γενέσθαι, αἱρετόν. καὶ γὰρ καὶ μέλιτος εἰ μὴ κορέσεσθαι οἷόν τε, ἀγαπητὸν οὖν τὸ ἀπογεύσασθαι. Ἰστέον δὲ ὅτι τὸ ἧς γαίης, οἱ ὕστερον οἰκείας φασὶ ἐν ἁπλότητι λέξεως. δηλοῦντες οὕτω, πατρίδα, ὅπερ ἐκ τοῦ οἰκεῖν καὶ τοῦ οἴκου καὶ τοῦ ἐκ τούτων οἰκείου λεχθὲν, πάνυ διαφέρει τοῦ, ἰδίας εἰπεῖν. διόπερ, οὐδεὶς εὕρηται ὥσπερ οἰκείαν, οὕτω καὶ ἰδίαν καταμόνας τὴν πατρίδα εἰπών. Ἰστέον δὲ ὅτι τριῶν τούτων ὄντων αἰτίων γενέσεως τέκνοις, πατρός. μητρός. τόπου. πατρὶ μὲν, παρωνόμασται ἡ πάτρα, πολλαχοῦ κειμένη τῆς ποιήσεως, καὶ τὸ ἐξ αὐτοῦ παρώνυμον ἡ πατρίς. μητρὶ δὲ, οὐχ' ἡ μήτρα τοπικῶς. αὐτὴ γὰρ, μόριον ἀφώρισται τῇ τοῦ ἐμβρύου ἐνοικήσει. ἀλλὰ ἡ μητρὶς ποιητικώτερον. ἔτι δὲ, καὶ ἡ μητρόπολις κάλλιον. οὕτω γάρ τις ἔφη τὰς Θήβας Διονύσου μητρόπολιν ἤγουν πόλιν τῆς ἐκείνου μητρὸς Σεμέλης. τόπου δὲ παρωνυμία, τὸ Ἰθακήσιος. Θηβαῖος. Ἀθηναῖος. καὶ τὰ τοιαῦτα. οὕτω δέ πως ἔχει καὶ τὸ, ὡς ἐῤῥέθη, ἧς γαίης. ὃ περίφρασίς ἐστι τοῦ, οἰκείας. ὅπερ ἐλλειπτικῶς, τὴν γῆν δηλοῖ. ταυτὸν δὲ εἰπεῖν, τὴν, ἢ πάτραν ἢ πατρίδα ἢ μητρόπολιν. Ἔτι σημείωσαι καὶ ὅτι Ὀδυσσεὺς μὲν δίχα ψόγου κληρονομήσας ἔχει τὸ φιλόπατρις εἶναι. Κόδρος δὲ θανάτῳ ἑαυτὸν ἐπιδοὺς ὑπὲρ τῆς τῶν πατριωτῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀθηναίων νίκης ὡς καὶ Λυκόφρων ὑπολαλεῖ, ἐποίησε Κόδρους καλεῖσθαι τοὺς δι' ἀρχαιότητα εὐήθεις. (ηερς. 60.) Ὅτι ἐντρέπεσθαι λέγει, τὸ ἐπιστρέφεσθαι. τοῦτο δὲ καὶ ὀπίζεσθαι λέγεται. ἀφ' οὗ καὶ ὄπις ἡ ἐπιστροφή. ἐκ δὲ τούτου παράγεται τὸ ἐντροπαλίζεσθαι ἐν Ἰλιάδι, ἤτοι ἐν τῷ φεύγειν ἐπὶ τὰ ὀπίσω στρέφεσθαι. δύναται δὲ καὶ ἄλλως νοεῖσθαι τὸ ἐντρέπεσθαι, ἀντὶ τοῦ μετατρέπεσθαι. μεταβάλλεσθαι. Τὸ δὲ ἐντρέπεσθαι ἤγουν ἐπιστρέφεσθαι, ἀλλαχοῦ μετατρέπεσθαι λέγεται. οἷον, οὔτι μετατρέπῃ οὐδ' ἀλεγίζεις. (ηερς. 61.) Ὅτι τὸ τῆς Ἀθηνᾶς ῥητὸν τὸ, Ὀδυσσεὺςἐχαρίζετο ἱερὰ ῥέζων ἐν Τροίῃ τί οὖν οἱ τόσον ὠδύσαο Ζεῦ, παρήχησίς ἐστιν ἢ μᾶλλον ἐτυμολογία ὡς τοῦ Ὀδυσσέως ἐκ τοῦ ὀδύσσω ἐτυμολογουμένου. ἀστεῖος δὲ ὁ λόγος. μονονουχὶ λεγούσης τῆς Ἀθηνᾶς μετὰ βαρύτητος, ὅτι φερωνύμως λέγεται Ὀδυσσεὺς οἷα σοῦ τοῦ Διὸς ὀδυσσομένου αὐτῷ. κἂν ὁ πάππος Αὐτόλυκος Ὀδυσσέα τοῦτον ὠνόμασε, διότι πολλοὶ ἐκείνῳ τῷ Αὐτολύκῳ ὠδύσσαντο. Ἐνταῦθα δὲσημείωσαι ὡς Ἀθηνᾶ μὲν τὸν Ὀδυσσέα οὐκ ἐντελῶς ἐπαινεῖ. Ζεὺς δὲ οἷα τελειότερος πλεῖόν τι μετ' ὀλίγα ἐρεῖ. αὕτη μὲν γὰρ, εὐσεβῆ τὸν Ὀδυσσέα ἔφη. ὁ δὲ Ζεὺς, καὶ ἐπὶ συνέσει αὐτὸν σεμνυνεῖ. Τὸ δὲ ἐν Τροίῃ, ἐπίτασίς ἐστι τοῦ εὐσεβοῦς ἔργου. οὐ γὰρ ἐν Ἰθάκῃ ἔθυεν ἔνθα ἐπλούτει, ἀλλ' ἐπὶ ξένοις. ἔνθα ὡς εἰκὸς, ἐχρῆν φείδεσθαι. (ηερς. 62.) Τὸ δὲ χαρίζετο, ἢ ἀπολύτως νοητέον, ἢ συντακτέον τῷ ἱερά. (ηερς. 64.) Ὅτι τὸ, τέκνον ἐμὸν ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων, εἰ καὶ σκωπτικόν ἐστι τῇ ἐννοίᾳ, τῷ γοῦν σχηματισμῷ ἐπικρύπτει τὴν πολλὴν σφοδρότητα. βούλεται μὲν γὰρ εἰπεῖν, ποῖον λόγον παρέῤῥιψας καὶ οὐδεόντως εἶπας. ὁ δὲ, πάνυ ἀστείως ἐσχημάτισε. ποῖος λόγος ἐξέφυγέ σου τὰ χείλη. ὡς εἴπερ οὐχ' ἑκούσιον ἦν τὸ κακῶς λαληθέν. αἰνίττεται δὲ ὁ ποιητὴς, ὡς ἡ φύσις ἵνα μὴ πτερόεντες ὄντες οἱ λόγοι προπετῶς ἔχοιεν τοῦ στόματος ἐξίπτασθαι, διπλῷ ἕρκει τὴν αὐτῶν διέξοδον ἐστεγάνωσε τῷ τε τῶν ὀδόντων, τῷ τε τῶν χειλέων. καὶ τεῖχος οἷον ἐπὶ τείχει τοῦτο ἐμηχανήσατο. καὶ ὡς δεσμώτας τοὺς λόγους ἐγκατέκλεισεν. ὁ τοίνυν μὴ καίριος λόγος, λέγοιτ' ἂν, τυραννῆσαι τὴν ἔξοδον. καὶ φυγὰς τοῦ τῶν ὀδόντων ἕρκους δεκπεσεῖν. ὅτι δὲ τὸ σιγᾶν ἐγκλεισμῷ λόγου ἔοικε, δηλοῖ καὶ Σοφοκλῆς, εἰπών. εἰ μὴ γλῶσσαν ἐγκλείσοι φόβος. Σημείωσαι δὲ ὅτι τὸ δηλωθὲν βαρὺ τῆς Ἀθηνᾶς ἦθος ἐν τῷ, τί οἱ τόσον ὠδύσσαο, ἀμείβεται ὁ Ζεὺς διὰ τοῦ ῥηθέντος σκώμματος εὐφυῶς. (ηερς. 65.) Ὅτι ὁπηνίκα τις ὀνειδισθείη ὡς ἐπιλησθείς τινος ἐνδόξου, εἴποι ἂν καλῶς, τὸ, πῶς ἂν ἐγὼ ἔπειτα ἀνδρὸς θείοιο λαθοίμην, ὃς τοιόσδε ἢ τοιόσδε ἐστί. Δεῖ δὲ εἰδέναι ὅτι τὸ, πῶς ἂν ἐγὼ τοῦ δεῖνος λαθοίμην, ἐνδιαθετώτερόν ἐστι τοῦ, οὐκ ἂν τοῦ δεῖνος λαθοίμην. τοῦτο μὲν γὰρ, σεμνὸν διὰ τὸ ἀποφαντικῶς ἐξάγεσθαι. ἐκεῖνο δὲ ἰδέας ἀληθοῦς διὰ τὸ τῆς ἐρωτήσεως ἀναντίῤῥητον. (ηερς. 66.) Ὅτι δύο ταῦτα ὁ ποιητὴς τῷ Ὀδυσσεῖ ἐπιμαρτύρεται διὰ τοῦ Διὸς ὡς προδεδήλωται ἀγαθὰ, ὅτι τὲ κατὰ νοῦν περίεστι πάντων ὅ ἐστιν ὑπερέχει, καὶ ὅτι περὶ τὸ θεῖον εὐσεβεῖ. σύνεσις ἄρα καὶ εὐσέβεια μᾶλλον τῶν ἄλλων οἶδε κοσμεῖν τὸν ἄνθρωπον. καὶ ἔστιν ἔπαινος ἀνδρὸς τοιούτου τὸ, ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δὲ ἱερὰ θεῷ ἀθανάτῳ 1.21 ἔδωκεν ὃς οὐρανὸν εὐρὺν ἔχει. ἐν οἷς σημείωσαι ὅτι Ἀθηνᾶ μὲν τὸν Ὀδυσσέα, ἱερὰ ῥέξαι ἁπλῶς εἶπε. Ζεὺς δὲ καὶ τοῦτο ἐπέτεινε. διὸ καὶ θεῖον αὐτὸν εἶπε καὶ περίνοιαν αὐτῷ ἐπεμαρτύρατο. καί πως τῇ Ἀθηνᾷ ἐπισκώπτει οὕτω λήθην εἰ δύο τούτων ἀγαθῶν ἐξαιρέτων ὄντων τῷ Ὀδυσσεῖ, ἐσίγησε τὸ ἓν ἐκείνη ὡς οἷα λαθομένη αὐτοῦ παιδευτικὰ δὲ ταῦτα οὐ μόνον εἰς τὸ μὴ δέον εἶναι τοὺς ἄρχοντας λήθην πάσχειν τῶν εἰς αὐτοὺς χαρίτων, ἀλλὰ καὶ τὸ θεῖον, ἐπίστροφον εἶναι τῶν σπουδαίων ἀνδρῶν. Τὸ δὲ σχῆμα τοῦ περὶ μὲν νόον ἐστὶ βροτῶν, ἐξ Ἰλιάδος παρείλκυσται. ἤγουν ἐκ τοῦ, οἳ περὶ βουλῇ Δαναῶν περὶ δ' ἐστὲ μάχεσθαι. ἐν οἷς ὅρα τὸ περιεῖναι καὶ αἰτιατικῇ καὶ δοτικῇ καὶ ἀπαρεμφάτῳ ῥήματι συντασσόμενον. ὡς δηλοῖ τὸ νόον. καὶ τὸ βουλῇ. καὶ τὸ μάχεσθαι. ὀνόματι καὶ αὐτὸ ἐοικὸς ὡς ἀλλαχοῦ εἴρηται. Σημείωσαι δὲ ὅτι ὁμώνυμον καὶ ὁ νοῦς.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Παυσανίας γοῦν φησὶν ὅτι κέσκος, λιμήν που. ᾧ παράκειται ποταμὸς νοῦς καλούμενος. (ηερς. 68.) Ὅτι Ποσειδῶν γαιήοχος, οὐ μόνον διὰ τὸ ἐπὶ γαίης ὀχεῖσθαι ἢ διὰ τὸ συνέχειν τὴν γαῖαν τῇ ὑγρότητι ὡς ἀλλαχοῦ ἐδηλώθη, ἀλλὰ καὶ ἀπὸ τοῦ ὄχοις γαίειν ὅ ἐστιν ἅρμασι χαίρειν, ἵππιος γὰρ ὁ Ποσειδῶν. Ἰστέον δὲ ὡς Ποσειδάων μὲν, κύριον. Ποσειδεὼν δὲ μηνὸς ὄνομα. ἐκτείνει δὲ ἀεὶ τὴν παραλήγουσαν Αἰολικῶς ὁ Ποσειδάων. ὡς καὶ αἱ γενικαὶ τὸ πυλάων μουσάων νυμφάων καὶ αἱ λοιπαί. Σημείωσαι δὲ ὡς γαιήοχος μὲν, μοναχῶς διὰ διφθόγγου. γεοῦχος δὲ καὶ γηοῦχος, καθ' Ἡρῳδιανὸν μὲν καὶ Δίδυμον, διὰ ¯ε ψιλοῦ παρὰ τὴν ψιλογραφουμένην γέαν ἧς συναίρεμα ἡ γῆ. ἄλλοι δὲ, διὰ τῆς ¯α¯ι διφθόγγου παρὰ τὴν λοιπὴν γαῖαν ἐξ ἧς καὶ ὁ γαιήοχος. Ὅτι τὸ, ἀσκελὲς αἰὲν κεχόλωται, ἢ ἀντὶ τοῦ πάνυ σκληρὸν ἀπὸ τοῦ σκέλλω τὸ ξηραίνω ἐξ οὗ καὶ τὸ σκέλον καὶ ὁ κατεσκληκὼς, καὶ ὁ σκελετός. ἢ καὶ ἄλλως ἀσκελὲς, τὸ ἀμετάβατον καὶ ἀμετακίνητον, ἀπὸ στερήσεως τῶν σκελῶν. ἴσως δὲ, καὶ ἀντὶ τοῦ κατεσπευσμένον. καὶ πολυσπερχές. καὶ οἷον πολυσκελές. κατὰ τὸ, ἥξει καὶ πολύπους καὶ πολύχειρ. τῇ δὲ παραγωγῇ τοῦ σκέλλω σκέλος, ἀνάλογον καὶ τὸ ἔπω ἔπος. βλέπω βλέπος παρὰ τῷ κωμικῷ. ἔθω ἔθος. τρέφω τρέφος, καὶ ἐναλλαγῇ τοῦ ¯τ, βρέφος. (ηερς. 69.) Ὅτι ἐν τῷ, ὀφθαλμοῦ ἀλάωσε, περιττεύει τὸ ὀφθαλμοῦ. κείμενον ἁπλῶς οὕτω διὰ σαφήνειαν. ἄλλως γὰρ, καὶ χωρὶς τοῦ ὀφθαλμοῦ νοεῖται τὸ ἀλάωσεν ἐπὶ τυφλότητος, εἴπερ ἀλαὸς ὁ μὴ λάων ἤγουν ὁ μὴ βλέπων. οὕτω καὶ ἀλλαχοῦ ποιεῖ πολλαχοῦ. ὡς καὶ ἐν τῷ νεκύων κατατεθνειώτων. καὶ ἐκεῖ γὰρ τὸ κατατεθνειώτων, ἐκ περισσοῦ κεῖσθαι δοκεῖ. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἀλάωσεν ὀφθαλμοῦ, κεῖται ἐν ῥητορικῷ λεξικῷ ἀλαωπὸς σύνθετος ὁ ἀφανής. ἢ ὁ τυφλός. ὡς νυκτάλωψ ὁ νύκτωρ ἀλαὸς τοὺς ὦπας. καὶ νυκταλωπῶν ὁ νυστάζων. ἐκ δὲ τοῦ ἀλάωσε, γίνεται ἀλαωτὺς ἡ τύφλωσις. Σημείωσαι δὲ ὅτι Ὅμηρος μὲν ὀφθαλμοῦ Κύκλωπος μνησθεὶς, οὐκ ἐπισημαίνεται εἴτε δυοῖν ποτε ὄντοιν αὐτῷ καὶ θατέρου σβεσθέντος, εἶτα Ὀδυσσεὺς καὶ τὸν λοιπὸν ἠφάνισεν. εἴτε καὶ ἐκ γενετῆς ἕνα εἶχε. Θεόκριτος δὲ ἀκολουθῶν οἷς φησιν Ἡσίοδος περὶ τῶν μυθικῶν Κυκλώπων ὧν ἑκάστῳ κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ, φησὶν ὅτι τῷ Κύκλωπι ἕνα ἔχοντι γλυκὺν ὀφθαλμὸν ᾧ ἑώρα, ὀφρὺς μία ἐξ ἑτέρου ὠτὸς εἰς ἕτερον τέτατο. ὅτι δὲ τὸ Κύκλωψ δριμέως ἤτοι γλυκέως ἐῤῥέθη καὶ θηλυκῶς ἐπὶ ὄψεως, δηλοῖ ὁ εἰπὼν κύκλωπα κόρην. δῆλον δ' ὅτι ὥσπερ τὸ τίπτε ἀντὶ τοῦ, τί ποτε τὰ δύο ψιλὰ κανονικῶς εἰς δύο ἀντίστοιχα δασέα ἔτρεψεν ἐν τῷ, τίφθ' οὕ τ' ἔστητε, ὁμοίῳ λόγῳ καὶ τὸ μόριον ὅθεν τὸ ὀπτικὸν ἅλλεται, ἀντὶ ὀπταλμοῦ, ὀφθαλμὸς ἐῤῥέθη. ὁμοιότης δὲ πρὸς ταῦτα καὶ ἐν τῷ, τέτυπται ἐτύφθη, πέπληκται ἐπλήχθη. καὶ τοῖς ὁμοίοις. τούτοις ἐξηκολούθησε, καὶ τὸ παρὰ Θεοκρίτῳ ἐπιφθύζειν ἀντὶ τοῦ ἐπιπτύειν γοητευτικῶς. ἔτι δὲ, καὶ τὸ φθῶ φθάσω, ἐκ τοῦ πετῶ πτῶ πτάσω. τὸ γὰρ φθάσαν ἤτοι προλαβὸν, ἐκπεπέτασται οἷον δοκεῖ. ὡς δὲ καὶ ἄλλως ψιλὸν εἰς δασὺ ἓν ἀντιστοιχοῦν μεταχωρεῖ ἔτι δὲ καὶ τὸ ἀνάπαλιν, καὶ ἡ Ἰλιὰς ἔδειξεν. Ὅτι τὸ μὲν Κύκλωψ, ἐθνικόν ἐστι τῷ τοῦ Ποσειδῶνος υἱῷ, κύριον δὲ τὸ Πολύφημος. εἰ μὴ ἄρα, ὥσπερ τὸ Αἰγύπτιος ἐν τοῖς ἑξῆς κύριον εὕρηται ὄνομα, οὕτω καὶ τὸ Κύκλωψ ἐξ ἐθνικοῦ εἰς κύριον μετέπεσεν, ἐξιδιωσαμένου τοῦ Πολυφήμου, τὸ κοινόν. ἐπεὶ καθ' Ὅμηρον κράτος ἐστὶν αὐτοῦ μέγιστον πᾶσι Κυκλώπεσσι. καὶ διατοῦτο ἐστὶ διώνυμος ὁ ἀνήρ. ὅπερ οὐκ ἂν ἀφῆκεν ὁ ποιητὴς ἀνερμήνευτον, οἷα εἰωθὼς τὰς διωνυμίας ἐπισημαίνεσθαι, ὡς ἐν Ἰλιάδι ἔγνωμεν ἐπί τε τοῦ Αἰγαίωνος καὶ τοῦ Σκαμάνδρου καὶ ἄλλων. Σημείωσαι δὲ ὅτι εἰς θυμὸν ὁ τοιοῦτος Κύκλωψ ἀλληγορεῖται ὡς ἐν τοῖς μετὰ ταῦτα κατὰ τόπον οἰκεῖον ῥηθήσεται. διὸ καὶ Ποσειδῶνος αὐτὸν τοῦ θαλαττίου ὁ μῦθος γενεαλογεῖ, ὡς ὑγρὸν καὶ εὐκύμαντον εἰς θυμόν. καθά που καὶ τῷ Ἀχιλλεῖ τις ὡς 1.22 ὀργίλῳ προσονειδίζει ὅτι γλαυκὴ δέ σ' ἔτικτε θάλασσα. ἔτι δὲ Ποσειδῶνος υἱὸν αὐτὸν ἡ ἀλληγορικὴ μετάληψις νοεῖ, ἐπεὶ καὶ ὁ Ποσειδῶν οὐσία τίς ἐστιν ὑγρά. καὶ ὁ θυμὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ ζέσις ἐστὶν αἱματηρᾶς ὑγρότητος. (ῃερς. 71.) Θόωσα δὲ μήτηρ αὐτὸν γεννᾷ, διότι θοὸν λέγεται τὸ ὀξὺ ἐξ οὗ καὶ θοῶσαι τὸ ἀποξῦναι. τοιοῦτον δέ τι καὶ ὁ θυμός. ὅθεν καὶ οἱ θυμικοὶ, ὀξεῖς λέγονται. καὶ τὸ εἰς θυμὸν δὲ κινῆσαι, παροξῦναι. ἢ καὶ ἄλλως θοὸν μὲν, τὸ ταχύ. ταχεῖς δὲ δρᾶν καὶ οἱ θυμούμενοι καὶ οὐκ εἰδότες ἀναβολὴν συμβουλῆς. (ῃερς. 72.) Φόρκυνος δὲ θυγάτηρ ἡ τοιαύτη Θόωσα, ἴσως διὰ τὸ φέρεσθαι κυνηδὸν τὸν ἄγαν παρωξυνθέντα. διὸ καὶ ἐν Ἰλιάδι, κυνῶπα τινὰ λέγει θυμούμενον ὁ ποιητής. καὶ κυνὸς ὄμματα ἔχειν φησί. καὶ κύνεον ἀποκαλεῖ. (ῃερς. 73.) Τὸ δὲ ἐν σπηλαίοις γλαφυροῖς τῷ Ποσειδῶνι τὴν Θόωσαν μιγνυμένην γεννᾶν τὸν Κύκλωπα, οὐδὲν ἄλλ' ἢ τὴν τοῦ θυμοῦ γένεσιν δηλοῖ. ἵνα λέγῃ τὴν τῆς καρδίας κοιλότητα, σπὲς γλαφυρὸν, ἐν ᾗ γίνεται ὁ θυμός. ζέσις ὢν τοῦ περὶ καρδίαν αἵματος. ἔνιοι δὲ Κύκλωπα μὲν, τὴν τῶν οὐρανίων νοοῦσι κατάστασιν διὰ τὸ ἐν κύκλοις ὀπτάνεσθαι, ὁποῖος ὁ ζωδιακός. ὁ ἰσημερινός. οἱ τροπικοὶ, καὶ οἱ λοιποί. Θόωσαν δὲ, τὸ θοὸν καὶ ταχὺ τῆς οὐρανίας κινήσεως. διὸ καὶ Φόρκυνος ἡ τοιαύτη Θόωσα τουτέστι φορᾶς ὠκείας. καὶ Ποσειδῶνι μίγνυται, τῷ τῶν ἀναθυμιάσεων αἰτίῳ ὑγρῷ. ἐπεὶ ὡς πολλοὶ νομίζουσιν, ἐξ ἀναθυμιάσεων ὁ οὐρανὸς ἔχει τὸ ἐνδόσιμον τῆς ἀπαύστου κινήσεως. τὸν τοιοῦτον Κύκλωπα ἐκτυφλοῖ ὁ φιλόσοφος Ὀδυσσεὺς, ἤγουν τῆς θέας καὶ θεωρίας αὐτοῦ φιλοσόφως καθικνεῖται καὶ παραγίνεται. Ὅτι ἁλὸς ἀτρυγέτοιο μέδοντα τὸν Φόρκυνα εἰπὼν ὁ ποιητὴς, οὐκ ἀποστερεῖ τὸν Ποσειδῶνα τοῦ εὐρυμέδοντα εἶναι. ὡς οὐδὲ τὸν Ἀγαμέμνονα εὐρυκρείοντα εἰπὼν, ἀφείλετο τοὺς λοιποὺς βασιλεῖς τῶν Ἀργείων, τὸ λέγεσθαι τοιούτους. καὶ Τηλέμαχος δὲ ἐν τοῖς ἑξῆς αὐτὸς ὢν βασιλεὺς μετὰ τὸν πατέρα, πολλοὺς ὅμως εἶναι βασιλεῖς ἐν Ἰθάκῃ φησί. Διατί δὲ ἀτρύγετος λέγεται ἅλς, καὶ ὅτι καὶ ἐπὶ ἀέρος καὶ αἰθέρος ἡ λέξις κεῖται, ἐν τοῖς εἰς τὴν Ἰλιάδα γέγραπται. (ῃερς. 74.) Ὅτι συμβουλευομένῳ οἰκεῖον τὸ, ἀλλ' ἄγεθ' ὑμεῖς οἵδε περιφραζώμεθα πάντες, ὅπως τό δέ τι γένηται. (ῃερς. 75.) Τὸ δὲ, οὐ γάρ τι δυνήσεται ἀντία πάντων ἐριδαίνειν οἶος, χρήσιμον ῥηθῆναι πρὸς τὸν μονοτονοῦντα καὶ πᾶσιν ἀντικαθίστασθαι θέλοντα. (ῃερς. 76.) Ἐν δὲ τῷ ἀλλ' ἄγετε, δῆλον ὅτι οὐ τὴν κοινὴν σημασίαν ἡ λέξις δηλοῖ, ἀλλὰ παρακελευσματικὴν δύναμιν ἔχει. διὸ κἂν εἶπεν ἄγε περιφραζώμεθα, ὀρθῶς ἂν ἔφρασεν. ὡς καὶ ὁ εἰπὼν, φέρετε ποιήσωμεν τόδε, ἢ φέρε ποιήσωμεν. (ῃερς. 77.) Ὅτι ἑρμηνεύων ἐνταῦθα τί ἐστι νόστος, φησί. νόστον ὅπως ἔλθῃσιν ἤγουν ἐπανέλθῃ. εἰπεῖν γὰρ ἓν ἀνθ' ἑνὸς, νόστος ἐστὶν, ἐπανέλευσις εἴτουν ἐπάνοδος εἰς τὰ οἰκεῖα δηλαδή. Ὅτι τὸ μεθήσει τὸν χόλον, οἱ μεθ' Ὅμηρον ἀφήσει φασὶ, πρόθεσιν θέντες ἀντὶ προθέσεως, ἔστι δὲ μεθήσειν, τὸ χαυνώσειν. ἀμελήσειν. ὅθεν καὶ ὁ μεθήμων. καὶ μέθη ἡ χαυνοῦσα τὸν νοῦν. καὶ μέθυ, τὸ ταύτης αἴτιον. (ῃερς. 83.) Ὅτι ἐν τῷ ὅνδε δόμονδε ἀντὶ τοῦ εἰς τὸν ἴδιον δόμον, φαίνεται φανερῶς ὡς οὐκ ἐξ ἀνάγκης τὸ δ¯ε ἀντὶ τῆς ε¯ις προθέσεως λαμβάνεται. ἀλλὰ πολλάκις καὶ περιττόν τι ἐστὶν, ὡς ἐπέκτασις ἢ ὡς παραπλήρωσις. οὐδεὶς γὰρ ἂν εἴποι ὅνδε δόμονδε ἀντὶ τοῦ εἰς τὸν ἴδιον εἰς τὸν δόμον, ἀλλὰ ὁμολογουμένως εἰ μὴ τὰ δύο δ¯ε, ἀλλὰ τὸ ἓν γοῦν ἐπεκτατικόν ἐστι καὶ οὐ λαμβάνεται ἀντὶ προθέσεως. (ῃερς. 84.) Ὅτι τὸ, Ἑρμείαν μὲν ἔπειτα διάκτορον ἀργειφόντην νῆσον ἐς Ὠγυγίην ὀτρύνομενκαὶ ἑξῆς ἕως τοῦ, νόστον Ὀδυσσῆος ταλασίφρονος ὥς κε νέηται, προέκθεσίς ἐστιν ἀναφωνητικὴ τῶν μετὰ ταῦτα, ἐπί τε λόγου εὐκρινείᾳ εὑρημένη, καὶ παραμυθίᾳ τοῦ ἀκροατοῦ. Διάκτορος δὲ ἀργειφόντης, ὁ διάγων τὰς ἀγγελίας καὶ ἐναργῶς καὶ σαφῶς φαίνων τὰ ἐξαγγελλόμενα. ὥσπερ γὰρ φύλαξ φύλακος καὶ ἐξ αὐτοῦ εὐθεῖα ὁ φύλακος ἀνατρεχούσης εἰς εὐθεῖαν τῆς γενικῆς. καὶ Τρὼς Τρωὸς ὁ Τρωός. καὶ δμὼς δμωὸς ὁ δμωός. οὕτω καὶ διάκτωρ διάκτορος ὁ διάκτορος. ἕτεροι δὲ, διάτορόν φασι καὶ πλεονασμῷ τοῦ ¯κ διάκτορον, ἤτοι τορὸν καὶ σαφῆ ἄγγελον. Περὶ δὲ ἀργειφόντου δεδήλωται ἀλλαχοῦ. (ῃερς. 85.) Ὠγυγία δὲ κύριον ὄνομα τῆς κατὰ τὴν Καλυψὼ νήσου. ὠγύγια μέντοι ἁπλῶς οἷον κακὰ ἤ τι ἕτερον, τὰ ἀρχαῖα. ἀπό τινος Ὠγύγου φασὶ βασιλέως ἀρχαίου Θηβῶν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ηερς. 86.) Ἐν τούτοις δὲ καὶ νύμφης εὐπλοκάμου ῥηθείσης τῆς Καλυψοῦς, φασὶν οἱ παλαιοὶ, ὅτι πλοχμὸς μὲν, ἐπὶ ἀνδρῶν ὡς ἐν Ἰλιάδι. οἷον, πλοχμοὶ οἱ χρυσῷ καὶ ἀργύρῳ ἐσφήκωντο. πλόκαμοι δὲ, ἐπὶ γυναικῶν. καὶ ὅρα ὅτι ἄμφω ἐκ τοῦ πλέκω παραγόμενα, ὅμως ἔχουσί τινα διαφοράν. οὕτω δὲ καὶ ἠΰκομος μὲν ἐπὶ γυναικῶν. καρηκομόωντες δὲ ἐπὶ ἀνδρῶν. (ηερς. 87.) Τὸ δὲ νόστον Ὀδυσσῆος ταλασίφρονος ὥς κε νέηται, τρό 1.23 πος ἐτυμολογίας ἐστίν. ἀπὸ τοῦ νέω γὰρ ὁ νόστος γίνεται, πλεονασμῷ τοῦ ¯σ πρὸς διαστολὴν τοῦ ἀνέμου Νότου. οὕτω δὲ μετ' ὀλίγα καὶ τὸ ἔγχος ἐτυμολογῶν, φησί. παλάμῃ δ' ἔχε χάλκεον ἔγχος. ἀπὸ τοῦ ἔχω γὰρ τὸ ἔγχος γίνεται. Τὸ δὲ ταλασίφρων, οἰκείως ἐνταῦθα προσρηθὲν διὰ τὰ μυρία ὅσα ἔτλη ὁ ἥρως καὶ ἔτι δὲ τλήσεται, δηλοῖ μὲν τὸν καὶ ἐν τῇ Ἰλιάδι τλήμονα ἤτοι πολύτλαν. γίνεται δὲ ἀπὸ τοῦ ταλῶ ταλάσω ταλασίφρων. ὡς βλάψω βλαψίφρων. καὶ ὅσα τοιαῦτα. τοῦ δὲ ταλάσω μέλλοντος ἡ χρῆσις, ἐν Ἰλιάδι. ὅθεν καὶ ὁ τάλας γίνεται. καὶ ἡ ταλασία. καὶ τὸ ταλάσιον. καὶ ἡ ταλασιεργία. περὶ ὧν ἐν τοῖς ἑξῆς που ῥηθήσεται. τὸν δὲ ταλασίφρονα τοῦτον ἥρωα, πρὸ βραχέων δαΐφρονα καὶ πολύφρονα εἶπεν. (ηερς. 89.) Ὅτι ὁ προθυμοποιῶν τινα, εἴποι ἂν τὸ, ὄφρα μᾶλλον ἐποτρύνω, καί οἱ μένος ἐν φρεσὶ θείω. (ηερς. 88.) Ὅτι τὸ τὴν Ἀθηνᾶν εἰς Τηλέμαχον κατελθεῖν ἐν Ἰθάκῃ καὶ ὑποβαλεῖν τὰ ποιητέα, τὴν τῆς φυσικῆς φρονήσεως ἐπιδημίαν δηλοῖ. ἥτις ὡς μετὰ ταῦτα ἐρεῖ ὁ ποιητὴς, μένος τῷ Τηλεμάχῳ ἐνῆκε καὶ θάρσος. καὶ νῦν μᾶλλον ἤ περ πρῴην ὡς εἰκὸς ὑπέμνησε τοῦ πατρός. καὶ ὀψέ ποτε ἀναφρονήσαντα, κατὰ τῶν μνηστήρων ἠρέθισε. καὶ εἰς ἀποδημίαν δέουσαν ἔστειλεν. ὀσσόμενον μὲν ἀεὶ ἐν φρεσὶ τὸν πατέρα εἴ ποθεν ἐλθὼν σκεδάσει τοὺς μνηστῆρας. ἄρτι δὲ κατὰ τὸν τῆς Ἀθηνᾶς λόγον, μᾶλλον ἐποτρυνθέντα. καὶ ἀπὸ τοῦ βουλεύεσθαι, εἰς πρᾶξιν παρακινηθέντα. δι' ἧς καὶ περὶ τοῦ πατρὸς ἐνόμισέ τι μαθεῖν. καὶ κλέος ἐσθλὸν σχεῖν ὡς φιλοπάτωρ. ἤδη γὰρ ὁ Τηλέμαχος ἡλικίας ἐπέβη τελειοτέρας, καὶ φρονεῖν ἐχούσης, καὶ οἵα συνιέναι οἷα ὑπὸ τῶν μνηστήρων ἔπασχεν. ἡ δὲ εἰς Σπάρτην καὶ εἰς Πύλον ἀπέλευσις αὐτοῦ, καὶ ἄλλως ἐπιτετήδευται τῷ ποιητῇ εὐμεθόδως, εἰς πλατυσμὸν τῆς τε ποιήσεως, καὶ εἰς διασκευὴν καὶ διατριβὴν λόγου χαρίεσσαν. καὶ εἰς πορισμὸν συχνῆς ἱστορίας ὡς μετὰ ταῦτα φανήσεται. ἔτι δὲ καὶ εἰς πολλὴν ποιητικὴν πιθανότητα. νησιώτης γὰρ ὢν ὁ παῖς καὶ μηδὲν εἰδὼς ἢ φρονῶν ἄξιον τοῦ πατρὸς, μανθάνει ἐν τῇ τοιαύτῃ ἀποδημίᾳ πρὸς τῶν εὖ εἰδότων, πολλὰ καὶ καλὰ τῶν τοῦ Ὀδυσσέως. καὶ ὅτι λόγου μεγάλου ἄξιος ὁ πατὴρ τά τε εἰς φρόνησιν τά τε εἰς πόλεμον. καὶ οὕτως ἐν καιρῷ τῷ πατρὶ πείθεται, εἰς τὴν ἐπικίνδυνον μνηστηροκτονίαν παρακαλοῦντι αὐτόν. Ἰστέον γὰρ ὅτι ἐντεῦθεν ὁ ποιητὴς ἄρχεται τὰ κατὰ τὴν μνηστηροφονίαν τεκταίνεσθαι, καὶ τῆς ἐπ' αὐτῇ πιθανολογίας θεμελίους ἐκ μακροῦ προκαταβάλλεσθαι. αὐτὴ γάρ ἐστι τὸ σκοπιμώτατον τέλος τῆς ποιήσεως ταύτης. καὶ τὸ τῶν πράξεων τοῦ βιβλίου τούτου ἀνδρῶδες καὶ ἡρωϊκὸν, αὐτόθι κεῖται τῷ ποιητῇ. καὶ τρόπον τινὰ, τὰ ἄλλα πάντα δι' αὐτὴν πέπλασται. διὸ καὶ αὐτὴν ἀνύσας ὁ ποιητὴς, συγκαταπαύει καὶ τὸ βιβλίον. ἐπεὶ δὲ ἀπίθανον ἂν ἴσως τισὶ τὸ πρᾶγμα δόξειε πῶς γὰρ Ὀδυσσεὺς ὁ ἄοπλος, ὁ εἷς, τῶν τοσούτων καὶ τοιούτων μνηστήρων περιγενήσεται, πολλαχοῦ τὸ πιθανὸν ἐγκατατίθεται. καὶ οὕτω προκατασκευάζει τὴν μνηστηροκτονίαν, ὥς τε τὸν ἀκροατὴν, καὶ πρὸ τῆς πράξεως ὁμολογῆσαι ἂν δυνατὸν εἶναι καταπραχθῆναι αὐτὴν ὡς καὶ ὑπὸ μόνου ἂν Ὀδυσσέως ἀναιρεθῆναι τοὺς μνηστῆρας, ὀλίγον τι ὄντας ὑπὲρ τοὺς ἑκατὸν, εἴγε καὶ πρὸς τριακοσίους ἀξιόμαχος ἦν ὡς ἐν τοῖς ἑξῆς ἱστορηθήσεται. εἰ δὲ καὶ μὴ μόνος αὐτὸς ἀντικατασταίη τοῖς μνηστῆρσι, καὶ οὐδὲ ἄοπλος ἀλλὰ καὶ μεθύουσιν ἐκείνοις ἐπιτεθείει. εἶεν δὲ καὶ οἱ ὀϊστοὶ φαρμάκῳ ἀνδροφόνῳ κεχρισμένοι ὡς ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ἐρεῖ. ἔχοι δὲ καὶ τὴν Ἀθηνᾶν λίαν πάνυ φρονοῦσαν τὰ ὑπὲρ αὐτοῦ καὶ συμμαχοῦσαν ὡς καὶ τοῦτο δείκνυται, πολλῷ μᾶλλον τὸ ἔργον πιθανῶς ἀνυσθήσεται. οὕτως ἐξ αὐτῆς ἀρχῆς τοῦ βιβλίου τὴν μνηστηροκτονίαν ὡς ἔφαμεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προασφαλιζόμενος ὁ ποιητὴς, ῥᾳδιουργεῖ τὰ εἰς αὐτὴν συντείνοντα. Κἀκεῖνο δὲ ἰστέον ὅτι εἶχε μὲν καὶ ἄλλως οἷα εἰκὸς ὁ ποιητὴς, τὸν ὄλεθρον τῶν μνηστήρων πλάσασθαι ὡς καὶ αὐτὸς πολλαχοῦ ἐμφαίνει. οἷον, διὰ τοῦ ἀμύντοράς ποθεν προκαλέσασθαι. ἢ διὰ τοῦ τοῖς κρατῆρσι φάρμακον ἐμβαλεῖν καὶ οὕτως αὐτοὺς πάντας ὀλέσαι. ἅπερ οἱ μνηστῆρες ἐπὶ Τηλεμάχῳ ὑποπτεύουσιν. οἵγε καὶ ἄλλως, τὴν ὑπὸ τῶν Ἰθακησίων ἐξέλασιν πτοοῦνται διὰ τὴν σφῶν ἀδικίαν. ἀλλ' ὁ ποιητὴς οἷος αὐτὸς, τὸ τερατωδέστερον ἐπελέξατο καὶ ἀληθῶς δυσεξέργαστον. καὶ ὅπερ εὐμεθόδως μελετηθὲν καὶ ἀσφαλῶς πιθανολογηθέν, ἔχοι ἂν ἐξελέγχειν τὴν ἐν λόγοις αὐτοῦ ἀρετήν. Ἔτι ἰστέον καὶ ὅτι Ἀθηνᾶ ἐνταῦθα, καὶ ἡ κατὰ τὴν Ὁμηρικὴν δεινότητα μέθοδός ἐστι, καθ' ἣν ὁ ποιητὴς ἐπινοεῖται τήν τε τῆς Ἀθηνᾶς εἰς Ἰθάκηνκάθοδον καὶ τὰ ἐπ' αὐτῇ, καὶ τὰ κατὰ τὸν Ἑρμῆν ἐπὶ τῇ Καλυψοῖ. Ἰστέον δὲ καὶ ὅτι ὀνειδισθεῖσα ἤδη ἐφ' οἷς ἐλάλησεν ἡ μυθικὴ Ἀθηνᾶ, καὶ ἀκούσασα ὅτι οὐκ ἀγαθὸν ἔπος διέδρα τὰ χείλη αὐτῆς, ἐνταῦθα συστρέφει ἑαυτὴν εἰς νοῦν καὶ ἐντελῶς λαλεῖ ἅπερ χρὴ ποῆσαι τὸν Τηλέμαχον. καὶ μηδενὸς ἀντειπόντος, 1.24 εὐθὺς κατάρχει ἔργου. Σημείωσαι δὲ καὶ ὅτι σχῆμα καὶ ἐνταῦθα προεκθέσεως ἢ προαναφωνήσεως, ἐν οἷς ἡ Ἀθηνᾶ λέγει ὅτι ἀπελεύσομαι εἰς Ἰθάκην καὶ ποιήσω τὰ καὶ τά. ἐπεὶ γὰρ μέγα ἐπεισόδιον μέλλει ποιήσειν ὁ ποιητὴς διὰ τῆς ἐκδημίας τοῦ Τηλεμάχου καὶ παρεκβῆναι εἰς λόγους πολλοὺς, φθάνει προαναφωνῶν καὶ τοῦτο, ἵνα καὶ ὁ ἀκροατὴς ἐλπίζῃ, καὶ αὐτὸς μὴ δόξῃ ἀκαίρως καὶ ἀτέχνως ἀλλ' ἀναγκαίως ποιήσασθαι τὴν προέκβασιν. ἔτι δὲ προεκτίθεται τεχνικῶς, καὶ τὴν μετ' ὀλίγα τοῦ Τηλεμάχου δημηγορίαν, καὶ ὡς ἀπείπῃ τοῖς μνηστῆρσι. καὶ οὕτως εὐσυνόπτως διὰ σαφήνειαν κεφαλαιοῦται τὰ ἐφεξῆς. (ῃερς. 93.) Σημείωσαι δὲ καὶ ὅτι νῦν μὲν, ἁπλῶς ἐκθέμενος ἀπηριθμήσατο, εἰπών. πέμψω ἐς Σπάρτην καὶ εἰς Πύλον. προϊὼν δὲ, καὶ τὴν τάξιν τῶν πραγμάτων ἐκτίθεται. λέγων. πρῶτα μὲν, εἰς Πύλον ἐλθέ. ἐκεῖθεν δ' ἐς Σπάρτην. ὥς τε τὸ πέμψω εἰς Σπάρτην καὶ εἰς Πύλον, σχῆμα ὑστερολογίας ἐστὶν, ἤτοι πρωθύστερον. πρῶτον γὰρ εἰς Πύλον ἦλθε Τελέμαχος εἶτα εἰς Σπάρτην. ὁμοίως πρωθύστερον ἦν, καὶ τὸ, Ἑρμείαν ὀτρύνομεν, αὐτὰρ ἐγὼν Ἰθάκην δ' ἐλεύσομαι. πρῶτον γὰρ Ἀθηνᾶ εἰς Ἰθάκην κάτεισιν, εἶτα Ἑρμῆς εἰς τὴν Καλυψώ. Ἰστέον δὲ ὅτι Ὀδυσσεὺς Τηλέμαχον ωεἰκὸς τὸν παῖδα ὠνόμασεν, ἐκθυόμενος οἷον τὸ δυστυχές. ἵνα δηλαδὴ ἐπειδὴ πόλεμος ἤδη μέγας ὁ κατὰ Τροίαν ἠλπίζετο εἰς ὃν ἐχρῆν ἀπελθεῖν καὶ τὸν Ὀδυσσέα, μὴ διαβαίη χρόνῳ ποτὲ τὰ τῆς τύχης ταύτης καὶ ἐπὶ τὸν υἱὸν, ἀλλ' εἴη τῆλε μάχης, καθ' ἡσυχίαν ζῶν. τάχα δὲ καὶ ἐκ μαντίας γνοὺς ὡς τῆλε χρόνου παραταθήσεται ὁ Ἰλιακὸς πόλεμος, Τηλέμαχον ὠνόμασε τὸν υἱόν. Σημείωσαι δὲ καὶ ὅτι παροιμία ἡ λέγουσα Τηλεμάχου χύτρα ἐπὶ τῶν διὰ πενίαν ἐν ὀσπρίοις ἢ ὅλως εὐτελέσιν ἐδεστοῖς πολυφαγούντων, οὐκ ἐκ τοῦ Ὁμηρικοῦ εἴληπται ἥρωος, ἀλλά τινος Ἀττικοῦ Τηλεμάχου, Ἀχαρνέως τὸν δῆμον. ὅς φασικυάμων χύτραν ἀεὶ σιτούμενος ἦν. (ῃερς. 91.) Ὅτι τὸ κωλύσαι καὶ λόγοις ἀποτρέψασθαι, ἀπειπεῖν λέγεται παρὰ τῷ ποιητῇ. οἷον. πᾶσι μνηστῆρσιν ἀπειπέμεν. λέγεται δέ ποτε ἀπειπεῖν, καὶ τὸ ἐν ἀγῶνι ἢ μάχῃ ἀπαγορεῦσαι καὶ ἀποκαμεῖν. ὅ πέρ ἐστιν ἶσον τῷ ἀπαυδῆσαι καὶ ἀπειρηκέναι καὶ ἀπαγορεῦσαι. ἐν δὲ τῇ Ἰλιάδι, τὸ ἀπειπεῖν ἀπομυθεῖσθαι ὁ Νέστωρ φησίν. (ῃερς. 92.) Ὅτι ἐν τῷ, μῆλ' ἀδινὰ σφάζουσιν, ἐκ μέρους καὶ ἄλλα νοητέον ζῷα. αἶγάς τε ὡς δηλώσει που ὁ Μελάνθιος. καὶ σύας ὡς ἐκ τοῦ Εὐμαίου φανήσεται. ἵνα λέγῃ καὶ νῦν, μῆλα τὰ θρέμματα. ἐξ ὧν καὶ τὸ μηλαφῆσαι. περὶ οὗ φασὶν οἱ παλαιοὶ, ὅτι μηλαφῆσαι, τὸ ψηλαφῆσαι. μή ποτε δὲ ἐπὶ βοσκημάτων, οἷον μῆλα ἀφάσαι ἢ ἀπὸ τοῦ μηλώσασθαι ἤγουν βάψαι. ὅθεν φασὶ καὶ μήλωθρα, τὰ βεβαμμένα ἔρια. Ἀδινὰ δὲ, τὰ πυκνὰ καὶ δαψιλῆ καὶ εἰς κόρον, ἀπὸ τοῦ ἄδην. ἢ ἀπὸ τοῦ ἄδος ἤτοι κόρος. ὡς τὸ, ἄδος τέ μιν ἵκετο θυμόν. ὅτι δὲ οἱ μὲν διπλοῦσι τὸ ¯δ τοῦ ἄδην οἱ δὲ δι' ἑνὸς αὐτὸ γράφουσι, καὶ οἱ μὲν ψιλοῦσιν οἱ δὲ δασύνουσιν, ἡ Ἰλιὰς δηλοῖ. καὶ ὅθεν τὸ ἄδην γίνεται. ἐν δὲ ῥητορικοῖς λεξικοῖς, φέρεται καὶ ταῦτα. ἄδην,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀττικοὶ τὸ δαψιλῶς. ὅθεν καὶ ἀδηφάγοι ἵπποι οἱ τέλειοι. καὶ ἀδηφάγον ἅρμα, διὰ τοὺς κατ' αὐτὸ τελείους ἵππους, καὶ ἄδος, κόρος. πλησμονή. κάματος. ἀφ' οὗ ἀδόλεσχος δι' ἑνὸς ¯δ ὁ καὶ ἀδολέσχης. καὶ ἀδαῖον παρὰ Σώφρονι, τὸ εἰς κόρον ἔργον. ἔτι δὲ, καὶ ὅτι ἀδηφάγοι ἵπποι, οἱ τέλειοι. τοῖς γὰρ πώλοις φησὶν οὐκ ἐδίδοσαν τροφῆς πλῆθος. Λυσίας δὲ, καὶ ναῦν ἀδηφάγον φησὶ, τὴν τὸν μισθὸν λαμβάνουσαν ἐντελῆ. καὶ λύχνους ἀδηφάγους, τοὺς πότας. ὁποῖος ὁ ἐν Νεφέλαις παρὰ τῷ Ἀριστοφάνει. Ὅτι ὥς περ ἑλιξόκερως βοῦς, ὁ στρεβλόκερως παρὰ τοῖς παλαιοῖς, οὕτω καὶ βόες εἰλίποδες, οἱ τοὺς πόδας κατὰ τὴν πορείαν ἑλίσσοντες. Παυσανίας δὲ λέγει, καὶ γυναῖκας εἰλίποδας διὰ τὴν ἔνδεσιν τῶν μηρῶν. Ἕλικες δὲ ὅτι οὐ μόνον βοῶν ἐπίθετον δηλοῦν τοὺς μέλανας ἀλλὰ καὶ ψέλλια σημαίνει ἐστὶν ὅτε καὶ ἐνώτια, δηλοῦται ἀλλαχοῦ. (ῃερς. 93.) Ὅτι ἐν τῷ, πέμψω δ' ἐς Σπάρτην τὲ καὶ ἐς Πύλον ἠμαθόεντα, τινὲς γράφουσιν, πέμψω δ' ἐς Κρήτην τὲ καὶ ἐς Πύλον. οὐκ ἀγαθὴ δὲ ἡ τοιαύτη γραφή. δίδωσι διὸ καὶ δίκας τοῖς παλαιοῖς. Πύλος δὲ, πόλις περὶ τὸ ἑσπέριον τῆς Πελοποννήσου πλευρόν. Ὅτι δὲ τρεῖς ἦσαν Πύλοι. καὶ ὅτι οὐ μόνον θηλυκῶς ἀλλὰ καὶ ἀρσενικῶς λέγεται ὁ Πύλος, ἐν ἄλλοις πλατύτερον γέγραπται. ἐνταῦθα μέντοι ἐπιτροχάδην ἐκεῖνο ἰστέον ὅτι τρεῖς εἰσὶν ἐν Πελοποννήσῳ Πύλοι. ὅθεν καὶ τὸ, ἐστὶ Πύλος πρὸ Πύλοιο, Πύλος γε μέν ἐστι καὶ ἄλλη. εἰσὶ δὲ, ὁ Τριφυλιακός. καὶ ὁ Μεσσηνιακός. καὶ ἄδηλον ἐκ ποίου ὁ Νέστωρ. σπεύδουσι δὲ ὅμως ἕκαστος εἰς πατρίδα ἐγγράφεσθαι τῷ Νέστορι. Δεῖ δὲ εἰδέναι καὶ ὅτι εἰ καὶ ἄλλοι κατὰ γένος ἀρσενικὸν χρῶνται τῷ Πύλῳ, ἀλλ' Ὅμηρος οὐ δοκεῖ οὕτω φράζειν. εἰ γὰρ Πύλον ἠμαθόεντα φησὶν, ἀλλὰ τὸ ἠμαθόεις θηλυκοῦ γένους δοκεῖ. ὁμοίως τῷ, ὑλήεντι 1.25 Ζακύνθῳ. τί δέ ἐστιν ἠμαθόεις καὶ ὡς ποταμοῦ ἐστὶν ὄνομα, ἐν τοῖς εἰς τὴν Ἰλιάδα καὶ αὐτὸ γέγραπται. Σπάρτη δὲ, πόλις ἢ χωρίον Λακωνικόν. ἐκλήθη δὲ οὕτω, ἀπὸ τῶν μυθευομένων μετὰ τοῦ Κάδμου σπαρτῶν ἀνδρῶν. οἳ κατὰ τὴν παλαιὰν ἱστορίαν ἐκεῖ ἐκπεσόντες, Σπάρτην ἀφ' ἑαυτῶν τὴν πόλιν ὠνόμασαν. ἱκανῶς δὲ περὶ αὐτῆς ἐν τοῖς εἰς τὴν Ἰλιάδα γέγραπται. Ἰστέον δὲ ὅτι καὶ εἶδός τι σχοινίου ὀνομάζεται σπάρτη ὡς ὁ κωμικὸς ἐμφαίνει ἐν τοῖς Ὄρνισι. τοῦτο δὲ, ὁ ποιητὴς οὐδετέρως λέγει. καὶ δὴ σπάρτα λέλυνται. (ῃερς. 95.) Ὅτι σχῆμα ἀμφιβολίας τὸ, ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσι. δηλοῖ γὰρ, ἢ ὅπου φήμη ἔχει εἶναι τὸν Ὀδυσσέα, ἢ ὅπως εὔκλεια ἔχοι τὸν Τηλέμαχον ὡς κοπιάσαντα ὑπὲρ τοῦ πατρός. καὶ ἔστι κρείττων αὕτη ἡ ἔννοια. Κλέος δὲ ἐσθλὸν, ἡ εὔκλεια. ὡς εἴ τις εἴπῃ, φήμη ἐσθλή, τὸ μέντοι μὴ ἐσθλὸν, δύσκλειά ἐστιν. οὕτω καὶ ἀοίδιμος, μέσως ἔχει καθὰ καὶ τὸ κλέος, ἕως ἐρεῖ τις ἀείδιμόν τινα ἐπὶ καλοῖς, ἢ ἀοίδιμον ἐπὶ κακοῖς. ἐνταῦθα δὲ ἐμφαίνει καὶ τὸ τῶν πρακτέων ἀμφιῤῥεπὲς ὁ ποιητὴς ἐν τῷ ἤν που ἀκούσῃ νόστον πατρὸς ὁ Τηλέμαχος. οὐ γὰρ οἶδεν ἡ τῆς ἀλληγορίας Ἀθηνᾶ ἡ παρὰ τῷ Τηλεμάχῳ, εἰ ἀποδημήσας, μαθήσεται περὶ τοῦ πατρὸς τί σαφές. (ῃερς. 96.) Ὅτι διασκευάζων ὥς που ἐν Ἰλιάδι οὕτω καὶ ἐνταῦθα ὁ ποιητὴς τὴν σκευὴν τῆς Ἀθηνᾶς, φησίν. ὣς εἰποῦσα, ὑπὸ ποσὶν ἐδήσατο καὶ τὰ ἑξῆς ὡς εὐθὺς φανήσεται. Ἰστέον δὲ ὅτι ἐν τῷ ὑπὸ ποσὶν ἐδήσατο πέδιλα, τὸ ῥῆμα κεῖται, ἀφ' οὗ τὸ ὑπόδημα γίνεται. ἐκ γὰρ τοῦ ὑποδεῖσθαι τὸ ὑπόδημα. ὥσπερ ἐκ τοῦ ἀναδεῖσθαι καὶ διαδεῖσθαι, τὸ ἀνάδημα καὶ τὸ διάδημα. δῆλον δὲ ὡς ἐπὶ ποδῶν μὲν τὸ ὑποδεῖσθαι. ἀναδεῖσθαι δὲ καὶ ἀναδέσμη, ἐπὶ κεφαλῆς. τὸ μέντοι διὰ τοῦ σώματος, διάδημα. Τὰ δὲ ῥηθέντα πέδιλα, καλά φησιν. ἀμβρόσια. χρύσεια. λέγων, καὶ ὅτι αὐτὰ ἔφερον αὐτὴν ἐπί τε ὑγρὴν ἐπί τε ἀπείρονα γαῖαν ἅμα πνοιαῖς ἀνέμου, (ῃερς. 98.) ἤτοι ὁμοίως ἀνέμοις. δηλοῖ δὲ διὰ τούτων ὁ ποιητὴς, τὸ θεῖον καὶ λαμπρὸν καὶ ὀξυκίνητον τῆς φρονήσεως. τὸ θεῖον μὲν, διὰ τοῦ ἀμβρόσια. θεῖον γάρ τι ἀμβροσία ὡς πολλαχοῦ ἐφάνη. διὰ δὲ τοῦ χρύσεια, τὸ λαμπρόν. τὸ δὲ ὀξυκίνητον, διὰ τῆς κατ' ἄνεμον φορᾶς. προϊὼν δὲ καὶ ὡς ὄρνιν αὐτὴν ἐρεῖ διΐπτασθαι. Τὸ δέ γε ὑποδεδέσθαι τὴν Ἀθηνᾶν, τὸ τῆς φρονήσεως εὔοδον καὶ ἀπρόσκοπον ἐν τοῖς πρακτέοις ὑποδηλοῖ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὅρα δὲ ὅτι οὐ φέρεσθαι τὰ πέδιλα λέγει, ἀλλ' αὐτὰ φέρειν καὶ κουφίζειν τὴν Ἀθηνᾶν ὡς οἷον πτερόεντα. καὶ ἔστι τοῦτο, τερατολογία τις ποιητική. ποδήνεμον οἷον ποιοῦσα καὶ τὴν Ἀθηνᾶν. οὕτω δὲ καὶ τὸν Ἀχιλλέα ἐν Ἰλιάδι τεραστείως ἐκούφιζον τὰ ὅπλα φορούμενα. (ῃερς. 97.) Ὅρα δὲ καὶ ὅτι τὸ ἐφ'ὑγρὴν ὅ ἐστιν ἐπὶ θάλασσαν, ἔπεισε τοὺς μεθ' Ὅμηρον, ξηρὰν ὀνομάσαι τὴν γῆν. καὶ τοῦτο μὲν τοιοῦτον. (ῃερς. 97.) Τὸ δὲ τῆς Ἀθηνᾶς ἔγχος ἐγκωμιάζων, ἄλκιμον λέγει ἀκαχμένον ὀξέϊ χαλκῷ. βριθύ. μέγα. στιβαρόν. ᾧ δάμνησι στίχας ἀνδρῶν ἡρώων, τοῖσι τε κοτέσσεται ὀβριμοπάτρη. δηλοῖ δὲ ταῦτα, τὸ ἐνεργὸν καὶ ἀνδρῶδες τῆς Ἀθηνᾶς καὶ δραστήριον. ἔστι δὲ τὸ μὲν ἄλκιμον, μετηγμένον ἀπὸ τοῦ χρωμένου ἀλκίμου προσώπου, εἰς τὸ σκεῦος. ἢ τὸ ἀλκιμοποιόν. ὡς καὶ νωθρὸς νότος, ὁ νωθροποιὸς καὶ καρηβαρικός. καὶ δέος χλωρὸν, τὸ χλωροποιόν. Τὸ δὲ ἀκαχμένον ὀξέϊ χαλκῷ, τὸ λυποῦν τῇ ὀξύτητι τοῦ σιδήρου. ἀκαχεῖν γὰρ τὸ λυπεῖν. ἢ τὸ ἔχον ἀκὴν ἤγουν ἀκωκὴν δι' ὀξέος σιδήρου, ἐντεῦθεν δὲ τὸ ἐστομωμένον νοεῖται. (ῃερς. 100.) Τὸ δὲ βριθὺ καὶ τὸ μέγα καὶ τὸ στιβαρὸν, συγκροτοῦσιν ἄλληλα εἰς θείου ἔγχους σεμνότητα. τούτων δὲ, στιβαρὸν μὲν, τὸ πυκνὸν καὶ στερεὸν, μετενεχθὲν ἀπὸ τῆς καταπεπατημένης γῆς καὶ διατοῦτο πεπυκνωμένης. στείβω γὰρ κυρίως τὸ περιπατῶ καὶ τὸ καταπατῶ. ὡς τὸ, στεῖβον δ' ἐν βόθροισι. καὶ ἐξ αὐτοῦ γίνεται καὶ ἡ στιβάς. ἥτις ἐστὶ κυρίως εὐτελὴς καὶ καταπεπατημένη στρωμνή. (ῃερς. 101.) Τὸ δὲ στίχας, τὸ πολὺ δηλοῖ τῆς ῥωμαλεότητος. οὐ γὰρ στίχα τινὰ μίαν, ἀλλὰ στίχας ἀνδρῶν δάμνησι. τί δὲ ἡ στὶξ δηλοῖ, ἐν Ἰλιάδι κεῖται. Τὸ δὲ ἡρώων, οὐδ' αὐτὸ μάτην πρόσκειται, ἀλλ' ἵνα δείξῃ καὶ δι' αὐτοῦ τὸ ἀνδρεῖον τῆς Ἀθηνᾶς. οὐ γὰρ τοὺς τυχόντας δαμάζει, ἀλλὰ ἥρωας. οἷα τοὺς μὴ τοιούτους περιφρονοῦσα. καθὰ καὶ κύων φασὶν Ἰνδὸς λέοντι ἐπεξιὼν καὶ παρδάλει, λύκους ὑπερορᾷ καὶ ἀλώπεκας. Τὸ δὲ οἷς κοτέσσεται, τὸ κριτικὸν ἐμφαίνει τῆς Ἀθηνᾶς. οὐ γὰρ εἰκῇ καὶ ἁπλῶς μαίνεται κατὰ ἡρώων, ἀλλ' οἷς ἂν διακρινεῖ δέον εἶναι κοτέσεσθαι. δῆλον δὲ ὅτι τὸ κοτῶ κοτέσω, τοῦ ἐγκοτεῖν ἐστὶ τὸ ἁπλοῦν. τὸ δὲ ὀβριμοπάτρη, μυθικῶς μὲν, τὸ τῆς Ἀθηνᾶς ἐμφαίνει ἐξαίρετον. ὅτι δηλαδὴ πατέρα μόνον ἔχει ὄβριμον οὐ μὴν καί τινα μητέρα. διὸ οὐκ ἂν καὶ ἡ Ἀφροδίτη ὀβριμοπάτρη οὕτω λεχθείη. ἀλληγορικῶς μέν τοι ὀβριμοπάτρη Ἀθηνᾶ, ἡ πατέρα 1.26 ὄβριμον ἔχουσα τὸν νοῦν, οἷα φρόνησις. ὄβριμος δὲ πόθεν γίνεται, τὰ εἰς τὴν Ἰλιάδα δηλοῦσι. καὶ νῦν δὲ ῥητέον ὅτι παρὰ τὸ βρ¯ι ἐπιτατικὸν ἐξ οὗ καὶ βριαρὸς ὁ ἰσχυρὸς, γίνεται κατὰ πλεονασμὸν καὶ παραγωγὴν ὄβριμος. ὅθεν καὶ ὀβριμοεργός. ἐκεῖθεν καὶ ὀβρίκαλα παρὰ Αἰσχύλῳ, λεόντων σκυμνία. τὰ δηλαδὴ καὶ ὄβριμα καὶ καλά. ἕτεροι δὲ φασὶν ὅτι τὲ ὄβρια καὶ ὀβρίκαλα λεόντων καὶ λύκων σκυμνία, καὶ ὅτι βρίκελοι διὰ διχρόνου, τὰ μορμολύκεια. Παυσανίας μέντοι περὶ τούτου φησὶν, ὅτι βρίκελα, προσωπεῖα βροτῷ ἴκελα. ἢ βριξὶν ἴκελα. οὕτω δέ φησιν ἔλεγον τοὺς βαρβάρους. ὁ δ' αὐτὸς, καὶ βριμοῦσθαι λέγει τὸ μετά τινος ἀπειλῆς ἐκφοβεῖν. καὶ Αἴλιος δὲ Διονύσιος, βριμοῦται φησὶν ἀντὶ τοῦ ἀπειλεῖ. ἄλλοι δὲ, βριμᾶσθαι φασὶν ἐν δευτέρᾳ συζυγίᾳ τῶν περισπωμένων. ταῦτα δὲ πάντα, ἐκ τοῦ βρ¯ι ἐπιτατικοῦ παράγονται. ὅθεν καὶ ἡ Βριμὼ πεπλασμένον τι δαιμόνιον φοβερόν. ὅτι δὲ Βρίγες καὶ οἱ Φρύγες ἐλέγοντο, δηλοῖ ὁ γεωγράφος. ὡς ἐν τοῖς τοῦ περιηγητοῦ γέγραπται. γεγονότες ἴσως καὶ αὐτοὶ, ἐκ τοῦ βρ¯ι. ὅθεν καὶ Βριάρεως κύριον τετρασυλλάβως. ὁ δ' αὐτὸς, καὶ πεντασυλλάβως, Ὀβριάρεως προσελεύσει τοῦ ¯ο. καὶ τὸ βρίθω δὲ ἀπ' αὐτοῦ παρῆκται. ἀφ' οὗ καὶ τὸ βρῖθος. καὶ ὁ βριθύς. ὃς συντεθεὶς, ἑτεροίας γίνεται καταλήξεως. οὐ γὰρ ὥσπερ τραχὺς ἄτραχυς. ὀξὺς κάτοξυς, οὕτω καὶ βριθὺς ἔμβριθυς ἀλλὰ ἐμβριθής. ὡς ἀπὸ τοῦ βρῖθος, πρὸς ὁμοιότητα τοῦ, ἡδὺς ἀηδὴς διὰ τὸ ἦδος. καὶ γλυκὺς ἀγλευκὴς διὰ τὸ γλεῦκος. καὶ βαρὺς ἀβαρὴς διὰ τὸ βάρος. ἐνθυμητέον δὲ καὶ ὅτι τοῦ, δόρυ βριθὺ, ἑφερμηνευτικά εἰσι τὸ μέγα καὶ τὸ στιβαρόν. δῆλον γὰρ ὅτι τὰ καὶ μεγάλα καὶ στιβαρὰ σώματα, βριθέα εἰσίν. (ῃερς. 103.) Ὅτι δῆμος, τριχῶς παρὰ τοῖς παλαιοῖς. πλῆθός τε γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁπλῶς, καὶ πολιτικὸν σύστημα ἐξ οὗ τὸ δημοκρατεῖσθαι εἴρηται, καὶ τόπος τις ἐν Ἰθάκῃ οὕτω καλούμενος ἔνθα τὰ τοῦ Ὀδυσσέως βασίλεια. φησὶ γοῦν ὡς ἡ τοῦ μύθου Ἀθηνᾶ ἔστη Ἰθάκηςἐν δήμῳ ἐπὶ προθύροις Ὀδυσῆος. δύναται δὲ καὶ ἄλλως τὸ Ἰθάκης ἐν δήμῳ νοηθῆναι, ἀντὶ τοῦ ἐν τοῖς Ἰθακησίοις ὡς καὶ μετ' ὀλίγα ἐρεῖ, Τρώων ἐνὶ δήμῳ, ἤγουν ἐν τοῖς Τρωσί. Τὰ δὲ πρόθυρα, προϊὼν ἑνικῶς λέγει. βῆ δ' ἰθὺς προθύροιο. τοῦτο δὲ καὶ οὐδὸν αὔλειον φησίν. εἰπὼν, ἐνὶ προθύροις Ὀδυσσῆος οὐδοῦ ἐπ' αὐλείου. Τὸ δὲ στῆναι ἐπὶ προθύροις, καὶ θύραις ἐφεστάναι λέγει. φησὶ δέ που καὶ θύρας πρώτας, τὸ πρόθυρον. (ῃερς. 105.) Ὅτι Τάφος, νῆσος μία τῶν Ἐχινάδων νήσων τῶν πρὸς τῷ Ἀχελῴῳ. περὶ ὧν εἴρηται καὶ ἐν τῇ Βοιωτίᾳ καὶ ἐν τοῖς εἰς τὸν περιηγητήν. λησταὶ δὲ οἱ Τάφιοι κατὰ τοὺς παλαιούς. ἐλέγοντο δὲ οἱ αὐτοὶ, καὶ Τηλεβόαι. ἢ διότι ληϊζόμενοι, τῆλε τοὺς βόας ἀπῆγον. ἢ ὅτι οὐ τοῖς πλησιοχώροις μόνον, ἀλλὰ καὶ τοῖς τῆλε καὶ μακρὰν, βοὴν, ἤτοι μάχην συνίστων. ἢ καὶ ὡς εὐρύφωνοι καὶ τῆλε τουτέστι μακρὰν, βοᾶν ἐξισχύοντες. εἰς τούτους Ἀμφιτρύων ὁ τοῦ Ἡρακλέος πατὴρ ἐστρατεύσατο, ληϊσαμένους βόας τῆς γυναικὸς Ἀλκμήνης, ἔχων συστρατευόμενον καί τινα Κέφαλον ἄνδρα φυγάδα ἐξ Ἀθηνῶν. ἀφ' οὗ χρησιμεύσαντός τι ἐν τῷ τότε πολέμῳ, Κεφαλληνία ἐν δυσὶ ¯λ ἡ χώρα ἐκλήθη πρὸς διαστολήν. ἵνα τὸ ἐθνικὸν ὁ Κεφαλλὴν, ἔχοι διαφορὰν πρὸς τὴν ἐν σώματι κεφαλήν. Κεῖται δὲ ὁ Κεφαλλὴν παρὰ Σοφοκλεῖ, ἐν τῷ, ὦ ξεῖνε Κεφαλλήν. ἦρχε δὲ καὶ τῆς Κεφαλληνίας Ὀδυσσεὺς ὡς μετὰ ταῦτα φανήσεται. διὸ καὶ ἄναξ Κεφαλλήνων ὑπὸ τῶν ποιητῶν λέγεται. καὶ οὕτω μὲν ταῦτα. Ὅμηρος δὲ, ναυτικοὺς οἶδε τοὺς Ταφίους τούτους, διὸ φιληρέτμους αὐτοὺς ἐρεῖ ἐν τοῖς ἑξῆς. Ἰστέον δὲ καὶ ὅτι ὁ γεωγράφος ταυτίζων τοὺς Ταφίους καὶ τοὺς Τηλεβόας ἐν τῷ, Τάφιοι οἱ καὶ Τηλεβόαι. εἰπὼν δὲ καὶ ὅτι λῃσταὶ οἱ Τάφιοι καθὰ καὶ οἱ Τηλεβόαι, ὅπερ αὖθις διαφοράν τινα ἐν αὐτοῖς δηλοῖ, φησὶ καὶ αὐτὸς τοὺς Κεφαλληνίους ἢ μᾶλλον Κεφαλλῆνας, ἀπὸ Κεφάλου τοῦ Δηϊονέως κληθῆναι. ὃν ἐξ Ἀθηνῶν φυγάδα παραλαβὼν Ἀμφιτρύων, κατέσχε φησὶ νῆσονκαὶ παρέδωκεν αὐτῷ. ἥτις ἐπώνυμος ἐκείνου γέγονεν. Ὅτι ὁ τῆς ἱστορίας Μέντης Ἀγχιάλοιο πάϊς, ἑταῖρος ἦν τῷ ποιητῇ. ὃν καὶ ἀμειβόμενος τῆς φιλίας ὁ ποιητὴς ὡς καὶ Ἡρόδοτος ἱστορεῖ ἐν τοῖς περὶ Ὁμήρου γενέσεως, τῇ ποιήσει τὲ τὸ αὐτοῦ ὄνομα ἐνέθετο, καὶ τὴν Ἀθηνᾶν αὐτῷ εἴκασεν, ἀποσεμνύνων οὕτως τὸν ἑταῖρον ὡς ἠδύνατο. καὶ ἄλλως μέντοι, οὐκ ἀπιθάνως ὁ ποιητὴς ἐπλάσατο, Τάφιόν τινα Μέντην ἐλθόντα ἐντυχεῖν τῷ Τηλεμάχῳ καὶ εἰπεῖν ἀγαθά. ὃν δὴ Μέντην, καὶ εἰς προσωπεῖον ποιεῖ τῇ Ἀθηνᾷ διὰ τὸ φρονίμως συμβουλεύσασθαι οἷα θεόθεν καταπεμφθέντα. κωλύει γὰρ οὐδὲν, ἐν οὕτω μακρῷ χρόνῳ, εὑρεθῆναί τινα, ἑταῖρον ἀρχαῖον ὄντα τῷ Ὀδυσσεῖ, καὶ τοιαῦτα ὑπὲρ ἐκείνου ποιῆσαι. ὁ δὲ τοῦ τοιούτου Μέντου πατὴρ Ἀγχίάλος, ψιλοῖ φασὶ τὴν παραλήγουσαν ὡς κύριον, καθὰ 1.27 καὶ ὁ παρὰ τοῖς Φαίαξιν Ἐρύάλος. ὁ δὲ ἀγχίάλος τόπος καὶ ἀμφίάλος, δασύνουσι τὸ μέσον ἄλφα κατὰ τοὺς παλαιούς. οὕτω δὲ καὶ ὁ πλησίάλος. οὗ χρῆσις κατὰ τὸν Ἀθήναιον, παρὰ Ποσειδωνίῳ ἐν τῷ, ὥδευον κατὰ τὸ πλησίάλον ταυτόν δ' εἰπεῖν ἀγχίάλον, νικήσαντες τὴν μάχην. περὶ δὲ τοιούτων ἀρχαϊκῶν πνευματισμῶν, ἐν τοῖς εἰς τὴν Ἰλιάδα σαφῶς γέγραπται. δῆλον δὲ ὡς τὸ μὲν κύριον ὁ Ἀγχίάλος καὶ τὸ ἐπίθετον ὁ Ἀγχίάλος τόπος, καὶ πόλις δὲ Θρᾴκης Ἀγχίαλος ἡ καὶ Ἀγχιάλη, πρπαροξύνονται. Ἀγχιαλὸς δέ φασι σχοῖνος πλοίου, ὀξύνεται. Τὸ δὲ Ἀγχιάλοιο, Θετταλικῆς γλώσσης ἔστι, καὶ ὅσα κατ' αὐτό. καθὰ καὶ ἡ Ἰλιὰς ἐδήλωσε. δηλοῖ δ' αὐτὸ, καὶ ὁ γράψας οὕτω. Μίδας Μίδου καὶ Γέτας Γέτου, κοινῶς. Μίδα δὲ καὶ Γέτα Δωρικῶς. οὕτω δὲ καὶ Αἰνείας Αἰνεία. Αἰνείαο δὲ, Βοιωτῶν καὶ ἄλλων Δωριέων. Ἀττικῶν δὲ καὶ Ἰώνων, Μενέλεω, καὶ Αἰνείεω. Θετταλῶν δὲ, καλοῖο.Ὅτι τὸν Ὀδυσσέα μὲν, εἰς φιλόσοφον οἱ παλαιοὶ μεταλαμβάνουσι. τὴν δ' ὑπ' αὐτοῦ διωκομένην Πηνελόπην, εἰς φιλοσοφίαν ἐκλαμβάνονται. οὐ τὴν ἱστορίαν ἐξαφανίζοντες, ἀλλὰ τὸ ταπεινὸν, φιλοσόφως ἀνάγοντες. καὶ χαρακτηρίζοντες ἐκ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ διώκοντος ὅ φασι, τὸ διωκόμενον. ἤγουν ἐκ τοῦ φιλοσόφου Ὀδυσσέως, ὑποδεικνύντες καὶ τὴν ὑπ' αὐτοῦ διωκομένην ἤτοι ποθουμένην γυναῖκα. καὶ φιλοσοφίαν εἶναι ὑπονοοῦντες ἐξ ἐκείνου, καὶ αὐτήν. τοὺς δέ γε μνηστῆρας, ἐραστὰς φιλοσοφίας νοοῦσιν. οἳ πολλοὶ μὲν αὐτὴν μνῶνται, καὶ περὶ τὴν αὐτῆς κτῆσιν πονοῦνται. παρεμφερὲς δέ τι τῷ φιλοσόφῳ μὴ ἔχοντες Ὀδυσσεῖ μὴ δὲ τὸ ἐπαγωγὸν κατ' ἐκεῖνον πλουτοῦντες, αὐτῆς μὲν ἐκπίπτουσιν, ἄλλης δὲ συνουσίας γίνονται, ταῖς θεραπαινίσι πλησιάζοντες, ὅ ἐστι ταῖς λοιπαῖς τῶν τεχνῶν συγγινόμενοι, ὧν τέχνη ἐστὶν ἡ φιλοσοφία καὶ ὡς δέσποινα ὑπερκάθηται. καὶ αὐτοὶ μὲν, οὕτω ταῖς ὑποδεεστέραις ὁμιλοῦσι τέχναις. ἡ δὲ καλλίστη καὶ ἀρχιτέκτων, τῷ Ὀδυσσεῖ τεταμίευται μόνῳ, τῷ ὄντως φιλοσόφῳ. καὶ οὕτω μέχρι τούτου τὴν ἱστορίαν ἀναγαγόντες οἱ παλαιοὶ, τὸ ἐντεῦθεν καταβαίνουσι. καὶ μνηστηροφονίαν, καὶ Τηλεμάχου καὶ Εὐμαίου εὔνοιαν, καὶ θεραπαινίδων θάνατον, καὶ εἴ τι τοιοῦτον, ψιλῇ ἀφιᾶσι τῇ ἱστορίᾳ. οὐχ' ὅτι οὐ δύνανταί τι λαλεῖν καὶ ἐν τούτοις, ἀλλ' ὅτι περιττὸν ἡγοῦνται τοιούτοις ἐναδολεσχεῖν. (ῃερς. 106.) Ὅτι τὸ ἀγήνωρ, οὐ μόνον ἐπὶ ψόγου λαμβάνεται ὅτε καὶ δηλοῖ τὸν θρασὺν καὶ ὑβριστὴν, ἀλλὰ καὶ ἐπὶ ἐπαίνου. ὁπηνίκα τὸν ἀνδρεῖον δηλοῖ, ὡς πολλαχοῦ τῆς Ἰλιάδος εὕρηται. γίνεται δὲ ἀμφότερα ἐκ τοῦ ἄγαν καὶ τοῦ ἠνορέη, τουτέστιν ἀνδρία. διττὸν γὰρ τὸ ἄγαν. τὸ μὲν, καθ' ὑπερβολὴν ὅπερ καὶ ψέγεται. διὸ καὶ παρήγγελται τὸ, μηδὲν ἄγαν. καὶ ἐκ τοῦ τοιούτου ἄγαν, γίνεται ἀγήνωρ ὁ θρασύς. τὸ δὲ, κατὰ μεσότητά ἐστιν ἄγαν, καὶ ἐπαινετόν. ἔστι γάρ ποτε καὶ τῷ λίαν κατὰ τὴν τραγῳδίαν χρᾶσθαι καλῶς. καθ' ὃ σημαινόμενον, λέγομέν τινα ὑπερλίαν σοφόν. καὶ ἐκ τούτου τοῦ ἄγαν, ἀγήνωρ ὁ ἀνδρεῖος, λέγεται. Καὶ ἄλλως δὲ ἀγήνωρ ὁ ἀνδρεῖος, ἀπὸ τοῦ ἄγειν ἄνδρας ἤτοι ἄρχειν ἀνδρῶν. ὥσπερ καὶ λοχαγὸς καὶ στρατηγὸς, ὁ ἄγων λόχον καὶ στρατόν. ἢ καὶ ἀπὸ τοῦ ἄγειν ἄνδρας ἤτοι ληΐζεσθαι. δηλοῖ γὰρ καὶ τοιοῦτόν τι τὸ ἄγειν. οἷον, τὰ μὲν ἦγε, τὰ δὲ ἔφερε παρὰ Ἡροδότῳ. ἐν δὲ τῇ Ἰλιάδι, καὶ κύριον ἦν ὄνομα ὁ Ἀγήνωρ. ἐν ᾗ καὶ Μέντης ἕτερος παρὰ τὸν ἐνταῦθα ἱστόρηται. δῆλον δ' ὅτι καὶ ὑπερήνωρ δύναται ὁ ἀγήνωρ λεχθῆναι. καὶ αὐτὸ, κατ' ἄμφω τὰς ῥηθείσας ἐννοίας, τήν τε ἐπαινετὴν καὶ τὴν ψεκτήν. ὡς δηλοῖ τὸ, κακῶς ὑπερηνορέοντες. διαστελλόμενον πρὸς τοὺς ὡς εἰκός ποτε καὶ εὐλόγως ὑπερηνορέοντας. (ῃερς. 107.) Ὅτι μνηστήρων ἔργον ὅτε μὴ περὶ τραπέζας εἶχον, τοῖς πάντῃ ἀναγκαίως μετ' ὀλίγα εἰρησομένοις περί που τὸ τέλος τῆς δε τῆς ῥαψῳδίας πεσσοῖς, προπάροιθε θυράων θυμὸν τέρπειν. ἔστι δὲ ὅτε, καὶ ἐν τυκτῷ δαπέδῳ γυμνάζεσθαι, ὡς ἐν τοῖς ἑξῆς ὁ ποιητὴς ἐρεῖ. πεττεύουσι δὲ ταυτόν δ' εἰπεῖν κατὰ τὸν μεταβολέα ῥήτορα, διακυβεύονται προπάροιθε τῶν θυρῶν, διὰ δειλίαν. ἵνα μὴ λάθῃ ἐξοδός τις ἢ εἴσοδος μελετωμένη τυχὸν ἐπὶ βλάβῃ αὐτῶν. ὁ δὲ πεσσὸς, παρὰ τὸ πεσεῖν ἐτυμολογεῖται, κατὰ διπλασμὸν τοῦ ¯σ. πεσεῖν δὲ καὶ συμπεσεῖν λέγεται, τὸ κατὰ τύχην συμβῆναί τι. ἐξ οὗ καὶ περιπέτεια, τὸ τυχηρὸν σύμβαμα. ὅτι δὲ ὁ πεσσὸς τύχης ἐστὶν ἄθυρμα καὶ αὐτῇ ἀνάκειται, ἴσασιν οἱ κατακυβευόμενοι. Ἰστέον δὲ ὅτι φανερὰ διαφορά ἐστι κύβων καὶ πεσσῶν παρὰ τοῖς παλαιοῖς. κύβοι μὲν γὰρ, οἱ καταῤῥιπτόμενοι ἑξάπλευροι βόλοι, καὶ οἱονεὶ κατακυβιστῶντες ἐν τῷ βάλλεσθαι. ἐξ ὧν καὶ τὸ κυβικὸν παρωνόμασται σχῆμα. ὁ δὲ πεσσὸς, ἑτεροῖόν τι ἐστίν. Ἡρόδοτος οὖν φανερῶς διαφέρειν δηλοῖ κύβον καὶ πεσσὸν, ἐν οἷς λέγει ὅτι Λυδοὶ τοὺς κύβους εὗρον. καὶ τοὺς ἀστραγάλους. καὶ τὴν σφαῖραν. καὶ ἄλλα παίγνια. πλὴν πεσσῶν. Ἰστέον δὲ καὶ ὡς ποτὲ μὲν, ἐκ μέρους, κύβος ἡ ὅλη διάθεσις τῆς πεδιᾶς. 1.28 ποτὲ δὲ, πεσσός. καὶ ὅτι, βόλια κυβιστῶν τοὺς πεσσοὺς φασὶν οἱ παλαιοί. καὶ ὅτι καὶ πεσσὰ οὐδετέρως οἱ πεσσοί. καὶ ὅτι πεσσὰ, ὁμωνύμως καὶ ἡ γραμμὴ καὶ ἡ ψῆφος. οἷον. καὶ πεσσὰ πεντάγραμμα. καὶ ὅτι πέντε ἦσαν οἷς ἐχρῶντο. καὶ ὅτι ἐπὶ πέντε γραμμαῖς τὰς ψήφους ἐτίθουν. ὧν ἡ μέση, ἱερὰ ἐκαλεῖτο. καὶ ὅτι διὰ τὰς πέντε ταύτας, καὶ πεττεία ἐδόκει κληθῆναι ὡς οἱονεὶ πεντεία τις οὖσα. καὶ ὅτι Παλαμήδης εὑρεῖν αὐτὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγεται. οὗ παρώνυμον τὸ Παλαμήδειον ἀβάκιον. καὶ ὅτι πεσσὸς καὶ πεττὸς, ὁ πίπτων φασὶν ἐν τῷ βάλλεσθαι, ὡς ἐκ τοῦ πέτειν τὸ πίπτειν. καὶ ὅτι πεττεύειν, τὸ ταυλίζειν φασὶ καὶ μετατιθέναι καὶ παίζειν. καὶ ὅτι κύβος, πᾶσα ψῆφος τετράγωνος. καὶ ὅτι λέγοντος Ἡροδότου, ἐπὶ Ἄτυος εὑρεθῆναι διὰ λιμὸν τὰς παιδιὰς, οὐκ ἐξ ἀνάγκης καὶ πεττοὶ συννοοῦνται, οὓς ὁ Παλαμήδης εὗρε. καὶ ὅτι δοκεῖ τὸ κυβεύειν καὶ πεττεύειν, καὶ ἀστραγαλίζειν λέγεσθαι. ὡς ὑπεμφαίνεται ἀπὸ τοῦ, ἀστραγαλίζουσιν ἐν τῇ κατὰ τὴν Ὀδύσσειαν πολιτείᾳ καὶ ὀρχοῦνται καὶ σφαιρίζουσι. καὶ ὅτι συντελεῖ πρὸς τὸ ῥηθὲν, τὸ, ἀστράγαλος, τρία σημαίνει. τὸν ἐν σφυρῷ καὶ τὸν σπόνδυλον ἁπλῶς. καὶ τὸν παιστικὸν ἢ πεσσικὸν βόλον τὸ τοῦ Ἀπίωνος. Καὶ ὅτι κύβος, ὁ κύκλωθεν βάσιν ἔχων. ἢ ὁ κατεστραμμένος. ἐκ τοῦ κυβῶ κυβήσω τὸ καταστρέφω. ὅθεν καὶ κύβιτον. τὸ ὄγκωμα Ῥωμαϊστί. καὶ κυβιστᾶν, τὸ ἐπὶ κεφαλὴν πίπτειν. τῆς δὲ λέξεως τῶν πεσσῶν ἡ ἐν δυσὶ σίγμα γραφὴ, ζητητέα εἰ φυλάσσεται καὶ ἐν τοῖς παρὰ Ἀρχιγένει πεσοῖς. φάρμακα δέ εἰσιν ἰατρικά φασιν ἐκεῖνα, οὐ γνωστὰ εἰ ἐν δυσὶ ¯ς¯σ γράφεται. ὁ δὲ τὰ περὶ Ἑλληνικῆς παιδιᾶς γράψας, διαφορὰν καὶ αὐτὸς εἰδὼς κύβων καὶ πεσσῶν, καὶ παλαιοτάτην εἰπὼν τὴν κυβευτικὴν παιδιὰν, παράγει Σοφοκλέους μὲν ἐκ Παλαμήδους ὁμωνύμου τῷ ἥρωϊ δράματος τὸ, ἐκεῖνος ἐφεῦρε πεσσοὺς κύβους τε τερπνὸν ἀργίας ἄκος. Καὶ Εὐφορίωνος τὸ, πεσσὰ ναυπλιάδαο. λέγει δὲ καὶ ἐν μὲν Ἰλίῳ δείκνυσθαι λίθον ἐφ' οὗ ἐπέσσευον οἱ Ἀχαιοί. ἐν δὲ Ἄργει,τὸν λεγόμενον Παλαμήδους πεσσόν. Καὶ ὅτι Πλάτων τὴν τῶν πεσσῶν εὕρεσιν Αἰγυπτίοις ἀνατίθησιν ἐν Φαίδρῳ. λέγων, αὐτοὺς πρῶτον, ἀριθμὸν καὶ λογισμὸν εὑρεῖν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν. ἔτι δὲ, πεττείαν τε καὶ κυβείαν. καὶ δὴ γράμματα. καὶ ὅτι οἱ τοῦ Πλάτωνος ὑπομνηματισταὶ, οὐ τὴν παρ' Ἕλλησι πεττείαν σημανθῆναι φασὶ ὑπὸ Πλάτωνος, ἀλλὰ τὴν τοῦ λεγομένου πεττευτηρίου. καταγράφεσθαι γάρ τι πλινθίον ὥσπερ ἐν τῇ πεττευτικῇ παιδιῇ δι' οὗ τὰ κινήματα τοῦ ἡλίου καὶ τῆς σελήνης ἔτι δὲ καὶ τὰ ἐλλειπτικὰ, πραγματεύονται οἱ Αἰγύπτιοι. καὶ ὅτι ἐχρῶντο οἱ παλαιοὶ τρισὶ κύβοις. καὶ οὐχ' ὥσπερ οἱ νῦν, δυσί. ὅθεν καὶ παροιμία ἐπὶ τῶν μηδὲν διὰ μέσου κινδυνευόντων, τὸ, ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους. ἀπὸ τοῦ μεγίστου καὶ ἐλαχίστου ἀριθμοῦ ἧς μέμνηται Πλάτων ἐν νόμοις. εἰπών. ἢ τρεῖς κύβους βάλλοντες. τουτέστι τρεῖς μονάδας. κύβον γάρ φασι, διχῶς ἔλεγον. αὐτό τε τὸ ἀναῤῥιπτούμενον, ὅθεν παροιμία τραγικὴ τὸ, ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι, καὶ τὴν ἐν αὐτῷ μονάδα. ὅθεν λυθείη ἄν φησι καὶ τὸ ζητούμενον ἐν τῷ παρὰ Ἀριστοφάνους κωμῳδουμένῳ στίχῳ. βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα, καὶ ἑξῆς. λέγει γὰρ, δύο μονάδας καὶ τέτταρα. ἔκειτο δ' ὁ στίχος ἐν τῷ Εὐριπίδου Τηλέφῳ σὺν ἄλλοις ἰαμβικοῖς, ἔνθα κυβεύοντας τοὺς ἥρωας εἰσήγαγε. περιηρέθη δέ φησιν ὅλον ἐκεῖνο τὸ ἐπεισόδιον, χλευασθέντος ἐπ' αὐτῷ τοῦ ποιήματος. λέγει δὲ ὁ ταῦτα παραδιδοὺς, καὶ ὡς οἱ τῇ παιδιᾷ ταύτῃ χρώμενοι, ἀπὸ τῶν ἐν τοῖς κύβοις τρημάτων, τρηματίται ἐλέγοντο. παράγων καὶ χρῆσιν Σώφρονος τὸ, δειπνήσας ὠστίζεται τοῖς τρηματιζόντεσσι. καὶ ὅτι ἐσπουδάζετο ἡ κυβεία, οὐ μόνον παρὰ Σικελοῖς ἀλλὰ καὶ Ἀθηναίοις. οἳ καὶ ἐν ἱεροῖς ἀθροιζόμενοι, ἐκύβευον. καὶ μάλιστα ἐν τῷ τῆς σκιράδος Ἀθηνᾶς τῷ ἐπὶ σκίρῳ. ἀφ' οὗ καὶ τὰ ἄλλα κυβευτήρια, σκιράφεια ὠνομάζετο. ἐξ ὧν καὶ πάντα τὰ πανουργήματα διὰ τὴν ἐν σκιραφείοις ῥᾳδιουργίαν, σκίραφοι ἐκαλοῦντο. Ἱππῶναξ. τί με σκιράφοις ἀτιτάλλεις; πεποίηνται δέ φησι καὶ προστάται τοῦ οὕτω παίζειν, Ἑρμῆς καὶ Πάν. καθὰ τῆς μουσικῆς, Ἀπόλλων καὶ Μοῦσαι. τοὺς δὲ πεσσοὺς λέγει, ψήφους εἶναι πέντε. αἷς ἐπὶ πέντε γραμμῶν ἔπαιζον ἑκατέρωθεν, ἵνα ἕκαστος τῶν πεττευόντων ἔχῃ τὰς καθ' ἑαυτόν. Σοφοκλῆς. καὶ πεσσὰ πεντάγραμμα καὶ κύβων βολαί. παρετείνετο δέ φησι δι' αὐτῶν, καὶ μέση γραμμή. ἣν ἱερὰν ὠνόμαζον ὡς ἀνωτέρω δηλοῦται, ἐπεὶ ὁ νικώμενος, ἐπ' ἐσχάτην αὐτὴν ἵεται. ὅθεν καὶ παροιμία, κινεῖν τὸν ἀφ' ἱερᾶς, λίθον δηλαδὴ, ἐπὶ τῶν ἀπεγνωσμένων καὶ ἐσχάτης βοηθείας δεομένων. Σώφρων. κινήσω δ' ἤδη καὶ τὸν ἀφ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱερᾶς. Ἀλκαῖος δέ φησιν ἐκ πλήρους, νῦν δ' οὗτος ἐπικρέκει κινήσας τὸν πείρας πυκινὸν λίθον. τοιοῦτον δὲ καὶ παρὰ Θεοκρίτῳ τὸ, τὸν ἀπὸ γραμμᾶς κινήσω λίθον. Διοδώρου 1.29 δέ φησι τοῦ Μεγαρικοῦ ἐνάγοντος τὸν τοιοῦτον λίθον εἰς ὁμοιότητα τῆς τῶν ἄστρων χορείας, Κλέαρχος τοῖς πέντε φησὶ πλάνησιν ἀναλογεῖν. λέγει δὲ καὶ τοὺς ἀστραγάλους οἳ καὶ ἄστριες καὶ ἄστριχοι λέγονταί φησι, πτώσεις ἕκαστον ἔχειν τέσσαρας κατ' ἀντίθετον συγκειμένας ὁμοίως κύβῳ. ἔχουσι δέ φησιν ἀντικείμενα, μονάδα καὶ ἑξάδα, εἶτα τριάδα καὶ τετράδα. ἡ γὰρ δυάς φασι καὶ πεντὰς ἐπὶ κύβων μόνον παραλαμβάνονται ὡς ἐχόντων ἐπιφανείας ἕξ. καὶ ὅτι τῶν κατὰ τοὺς ἀστραγάλους πτώσεων, αἱ μὲν, θεῶν εἰσιν ἐπώνυμοι. αἱ δὲ, ἡρώων. αἱ δὲ, βασιλέων. αἱ δὲ, ἐνδόξων ἀνδρῶν. αἱ δὲ, ἑταιρίδων. λέγεται δέ τις ἐν αὐταῖς φησι καὶ Στησίχορος. καὶ ἑτέρα, Εὐριπίδης. ἔτι λέγει ἐκεῖνος ὁ τὰ περὶ τῆς καθ' Ἕλληνας παιδιᾶς γράψας, καὶ ὅτι τῶν κατὰ τοὺς ἀστραγάλους βόλων, ὁ μὲν τὰ ἓξ δυνάμενος, Κῷος καὶ ἑξίτης ἐλέγετο. ὁ δὲ τὰ ἓν, Χῖος. ἔτι δὲ, καὶ κύων. ὅθεν καί τις παροιμία, Χῖος παραστὰς Κῷον οὐκ ἐάσω. ἧς μέμνηται φησι Στράττις ἐν τῷ, Χῖος παραστὰς, Κῷον οὐκ ἐᾷ λέγειν. Ἔνθα ἐνθυμητέον καὶ τὸ τοῦ κωμικοῦ. πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος ἀλλὰ Κεῖος. καὶ νοητέον ὡς ἢ ἔσφαλται ἡ γραφὴ τοῦ Κεῖος, ἢ ἀλλὰ παρῴδηται ὑπὸ τοῦ κωμικοῦ. περὶ δὲ τοῦ εἰρημένου κυνὸς, κἀκεῖνο λέγει αὐτὸς γραφὲν καὶ ἀλλαχοῦ, ὅτι εἶδός τι κυβείας, καὶ πόλις. ἐν ᾗ ψήφων πολλῶν ἐν διαγεγραμμέναις τισὶ χώραις κειμένων, ἐγίνετο ἀνταναίρεσις. καὶ ἐκαλοῦντο αἱ μὲν γραμμικαὶ χῶραι, πόλεις ἀστειότερον. αἱ δὲ ἀντεπιβουλεύουσαι ἀλλήλαις ψῆφοι, κύνες διὰ τὸ δῆθεν ἀναιδές. Ὅτι δὲ καί τις βόλος ἀστραγαλιστικὸς, κύων ἐκαλεῖτο, προδεδήλωται. Ἔτι ἰστέον καὶ ὅτι κατὰ τὴν τοῦ δειπνοσοφιστοῦ ἱστορίαν, Ῥόδιοί τινες εἰς τοῦτο προέβησαν ἀσελγείας, ὡς καὶ κυβεύειν πρὸς ἀλλήλους περὶ γυναικῶν ἐλευθέρων ἀστραγάλοις, ἐλάττω ἢ πλείω βάλλοντες. ἐπιφανέστατα δέ φησι ταῦτ' ἔπαιζε σὺν ἄλλοις, καὶ Ἡγησίλοχος ὁ προστατεῖν τῆς πόλεως ἀξιῶν. εἰς δὲ τὸ προσεχῶς εἰρημένον ἀβάκιον, σημείωσαι ὡς ὑποκοριστικόν ἐστιν αὐτὸ τοῦ ἄβακος. ὅ ἐστι σανὶς, καὶ φιλοσόφοις μὲν χρήσιμος εἰς διαγράμματα. καὶ πεττευτικὴ δέ. ἡ καὶ σηλία καὶ τηλία ὡς ἐν τοῖς τοῦ κωμικοῦ δηλοῦται καλουμένη παρὰ τὸ σήθειν, καθὰ δηλοῖ τὸ, κυβεύων, εἶτα ὦσεν ὑπὸ τὴν κλίνην τὸν ἄβακα ὡς γράφει Ἀθήναιος. ἐτυμολογίαν δὲ τοιούτου ἄβακος ὃς καὶ κοινολεκτεῖται, ἐν τῷ μεγάλῳ ἔστιν εὑρεῖν ἐτυμολογικῷ. (ῃερς. 108.) Ὅτι οὕτω βίαιοι οἱ μνηστῆρες, ὥστε οὐ μόνον κτείνοντες τοὺς τοῦ Ὀδυσσέως βόας ἀπεχρῶντο τῇ ἐκεῖθεν τροφῇ, ἀλλ' οὐδὲ τῶν βυρσῶν παρεχώρουν τοῖς ὑπηρέταις. φησὶ γοῦν ὅτι ἐπέττευον, ἥμενοι ἐν ῥινοῖσι βοῶν οὓς ἔκτανον αὐτοί. Σημείωσαι δὲ ὅτι ἔχει τι σκώμματος οὗτος ὁ λόγος. ὥσπερ γὰρ Ἡρακλέος ἐγκώμιον τὸ λέοντος ἔχειν δορὰν ὃν ἔκτανεν αὐτὸς, οὕτω ψόγος τῆς τῶν μνηστήρων τρυφῆς ἡ τῶν ῥινῶν τῶν βοῶν χρῆσις οὓς ἔκτανον αὐτοί. (ῃερς. 109.) Ὅτι ἐνδοξότεροι θεραπόντων, οἱ κήρυκες. βασιλικοὶ μὲν γὰρ ἄνδρες καὶ θεῖον γένος οἱ κήρυκες. οἱ δὲ θεράποντες, ἁπλῶς ὑπηρέται εἰσὶ φίλοι, οὐ μὴν κατὰ τοὺς δούλους. οἱ μέντοι γλωσσογράφοι, τοὺς Κρῆτας φασὶ, θεράποντα τὸν ὁπλοφόρον δοῦλον καλεῖν. Ἰστέον δὲ καὶ ὅτι κήρυκα μὲν ὀτρηρὸν οὐ λέγει ὁ ποιητὴς, θεράποντα δὲ πολλαχοῦ καλεῖ ὀτρηρὸν, παρὰ τὸ τρῶ τὸ δειλιῶ, ἢ παρὰ τὸ ὀτρύνω. (ῃερς. 110.) Ὅτι ἐκφράζων ὁ ποιητὴς ἐπιμέλειαν συμποσίου, φησί. κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες, οἱ μὲν, οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ. οἱ δὲ, σπόγγοισι πολυτρήτοισι τραπέζας νίζον καὶ προτίθεντο, ἰδὲ κρέα πολλὰ δατεῦντο. τουτέστι δατέοντο. ἐμέριζον. ἀφ' οὗ ὁ δαιτρός. Καὶ ὅρα εὐτέλειαν συμποσίου καὶ ταῦτα τῶν σπαταλώντων μνηστήρων. τὰ γὰρ καίρια μόνα προτίθενται καὶ οὐδέν τι τῶν περιέργων τῷ συμποσίῳ παρεισκρίνουσι, τοῖς ἀναγκαίοις ἀρκούμενοι. διὸ οὐδὲ ἀκρατοποτεῖν δοκοῦσιν, ὡς οἱ κρητῆρες δηλοῦσιν, οἷς τοὔνομα, ἐκ τοῦ κερᾶν ὁπωσοῦν. διάφορα γὰρ εἴδη κράσεων καὶ Ὅμηρος ἐγίνωσκεν. ὅθεν καὶ τὸν Ἀχιλλέα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐποίησεν εἰπόντα τὸ, ζωρότερον δὲ κέραιε ἢ κέραιρε. οὐκ ἂν πάντως διαστείλαντα εἰ μή τις ἦν καθημερινὴ κρᾶσις ὥς φησιν Ἀθήναιος. ὅτι δὲ ὕστερον οὕτως ὁ ἄκρατος ἐφιλήθη, ὡς καὶ ἀγῶνα τελεῖσθαι ἀκρατοποσίας, καὶ ἔπαθλον δὲ τῷ πλεῖστον πίοντι, δηλοῦσιν αἱ ἱστορίαι τῶν παλαιῶν. αἷς ἐνίσχεται καὶ ὁ μέγας Ἀλέξανδρος, ἀθλοθέτης ἀγώνων τοιούτων προκαθήμενος. λέγεται δὲ καὶ Κλεομένης ὁ Λακεδαιμονίων βασιλεὺς Σκύθαις ὁμιλήσας καὶ ἀκρατοπότης γενόμενος ὡς Ἡρόδοτος ἱστορεῖ, μανῆναι ἐκ μέθης. ἐκ δὲ τοῦ τοιούτου σκυθικοῦ κακοῦ, τὸ ἀκρατέστερον πίνειν, ἐπισκυθίζειν φασὶν οἱ Λάκωνες. εἴη δὲ ἂν τὸ τοιοῦτον πίνειν, ἀχρειοῦν τὴν ἐκ τοῦ οἴνου ὄνησιν, ἀφ' ἧς ἐτυμολογεῖσθαι ὁ οἶνος δοκεῖ. ὃν ὁ ὑπὲρ μέτρον ἐκπιὼν, ἄλλοις τὲ καλεῖται ὀνόμασιν οὐκ ἀγαθοῖς, καὶ ἔξοινος δὲ λέγεται. ὃ, ταυτόν 1.30 ἐστι τῷ, λίαν οἰνωθείς. οὗ θηλυκὸν, ἡ ἐξοινία παρὰ τῷ Ἀθηναίῳ. οἷον. οἱ περὶ Πλάτωνα καὶ Σπεύσιππον, οὐ χάριν ἐξοινίας τὰς συνόδους ἐποιοῦντο. ἀλλ' ἵνα φαίνωνται καὶ τὸ θεῖον τιμῶντες, καὶ φιλικῶς ἀλλήλοις συμπεριφερόμενοι. εἰ δὲ ἔξοινος λέγεται ὡς τὰ πολλὰ ὁ ἀπηλλαγμένος μέθης, ἔχει καὶ αὐτὸ εὐλογίαν διὰ τὴν ¯ε¯κ πρόθεσιν. δηλοῦσαν ποτὲ μὲν, τὸ ἔξω. ὅθεν ὁ νηφάλιος ἔξοινος. ποτὲ δὲ, ἐπίτασιν. ἣν πάσχει ὁ οἴνου ἔμφορτος ἔξοινος. (ῃερς. 111.) Τὸ δὲ ἔμισγον ἐν κρατῆρσιν οἶνον καὶ ὕδωρ, ἀφορμή ἐστι τῆς τοῦ κρατῆρος ἐτυμολογίας. ὡς οὕτω καλουμένου, διὰ τὸ ἐν αὐτῷ τὰ τοιαῦτα συγκερᾶσθαι ἤτοι μίσγεσθαι. ὠνοματοπεποίηται δὲ τὸ μίσγειν. ἐξ οὗ καὶ ἡ ἐν Ἰλιάδι μισγάγκεια. Γοργὸν δὲ σχῆμα τὸ, κήρυκες καὶ θεράποντες οἱ μὲν, ἐποίουν τόδε, οἱ δὲ, τόδε. Ὅρα δὲ τὸ πολύτρητον οἰκειότατον ὂν σπόγγοις ὥσπερ δικτύοις τὸ πολυωπόν. ὅτι δὲ τράπεζα κυρίως, οὐχὶ ἡ ἐπὶ τριῶν ἱσταμένη, ἀλλ' ὡς γράφει Ἀθήναιος ἡ κατὰ τεσσάρων, δηλοῖ καὶ τὸ τῆς λέξεως ἔτυμον. τετράπεζα γὰρ, καὶ συγκοπῇ δι' εὐφωνίαν, τράπεζα. ὥσπερ καὶ τετράδραχμον τέτραχμον κατὰ τοὺς παλαιούς. καὶ φύσησις, φύσις διὰ τὸ ζωτικῷ πνεύματι διαφυσᾶσθαι τὰ ζῶντα. εἰς δὲ τὴν τρίποδα, πέπαικταί τι τοῖς πάλαι. Ἀριστοφάνους γοῦν φαμένου τράπεζαν ἡμῖν φέρε τρεῖς πόδας ἔχουσαν τέτταρας δὲ μὴ ἐχέτω, λέγει ὁ ἐπιταχθεὶς, καὶ πόθεν ἐγὼ τρίπουν τράπεζαν λήψομαι; λέγει δέ φασι καὶ Ἐπίχαρμος, οὕτω. τί δὲ ταδ' ἐστί; δηλαδὴ τρίπους. τί μὰν ἔχει πόδας τέτταρας; οὐκ ἔστι τρίπους ἀλλ' οἶμαι τετράπους, ἔστι δ' ὄνομ' αὐτῇ τρίπους. Κρατῖνος δέ φασι, τρισκελῆ λέγει τὴν τρίπουν. εἰπών. τράπεζαι τρισκελεῖς σφενδάμνιναι. Ἐν τούτοις δὲ ὅρα τὸ τέττορας Δωρικῶς λεχθὲν, οὗ εὐθεῖα κεῖται παρ' Ἡσιόδῳ. καὶ τὸ σφενδάμνιναι. οὗ ἀρσενικὸν, παρὰ τῷ κωμικῷ ἐν τῷ, ἄνδρες μαραθωνομάχοι σφενδάμνινοι. τουτέστι, στερεοὶ κατὰ τὸ ἐκ τῆς σφενδάμνου ξύλον. (ῃερς. 114.) Ὅτι τὸ τετιημένος ἦτορ ἤγουν τετιμωρημένος, λέξις ἐστὶ ποιητικὴ, ἀπὸ ἀῤῥήτου ἐνεστῶτος τοῦ τιῶ τιήσω. τοιοῦτον δὲ καὶ τὸ βεβιημένος. καὶ τὸ λελιημένος ἀντὶ τοῦ ἐπιθυμῶν. Τετιημένος δὲ ἦτορ, ὁ κατὰ ψυχὴν πάσχων. πρὸς διαστολὴν τοῦ κατὰ σῶμα. Ὅτι ἁπλῶς μὲν ὀσσόμενος, ὁ βλέπων, ὀσσόμενος δὲ φρεσὶν ὁ φανταζόμενος τὸ μὴ παρὸν, καὶ κατὰ νοῦν αὐτὸ βλέπων καὶ ἀνειδωλοποιούμενος. ὡς ὁ Τηλέμαχος κάθηται ὀσσόμενος φρεσὶ πατέρα ἐσθλὸν, ἤγουν ὀνειροπολῶν ὡς ὁ παραφραστὴς Δημοσθένης ἡρμήνευσε. καὶ τοῦτο ἦν ἡ εἰς αὐτὸν οὐρανόθεν ἔλευσις τῆς Ἀθηνᾶς. ἐνθουσιάσας γὰρ οἷον, καὶ εἰς προθυμίαν ἔννουν ἀναβακχευθεὶς, ποιήσει τὰ ἐφεξῆς δηλωθησόμενα. Ἰστέον δὲ ὅτι καὶ μαντικὴ λέξις ἔστιν ὅτε τὸ ὄσσεσθαι, ὡς ἐν τῷ κάκ' ὀσσόμενος εἶπον τινές. μάλιστα δὲ τοιαύτη λέξις, τὸ ὀττεύεσθαι. ἐπεὶ καὶ ὄσσα καὶ ὄττα, οἰωνοσκοπία φασὶν ἢ κληδών. Αἰολικῶς δὲ κατὰ Ἡρακλείδην ἔχει τὸ ὄσσεσθαι. τὰ γὰρ εἰς πτ¯ω φησὶ βαρύτονα, οἱ Αἰολεῖς εἰς δύο σίγμα μετατιθέασιν. οἷον. πέπτω πέσσω. ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐῤῥέθη. ὄπτω ὄσσω. ἐνταῦθα δὲ σημείωσαι ὡς εἰ καὶ ἐκ τοῦ ὄπτω γίνεται τὸ ὄσσω, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ κατοπτεύω κατοσσεύω φασὶν οἱ Αἰολεῖς. ὅμοιον δὲ τοῖς ῥηθεῖσι, καὶ τὸ ἐνίπτω ἐνίσσω. καὶ τὸ βλέπω ἐξ οὗ φησι τὸ ἀβλεπτῶ, βλέσσω. ᾧ παρενείροντές φησιν ἰδίῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔθει τὸ ¯υ, παρέσει τοῦ βῆτα, λεύσω φασίν. ἴσως δὲ, καὶ τὸ λίσσω, ἐκ τοῦ λίπτω ἤγουν ἐπιθυμῶ γέγονεν. ἐπιθυμεῖ γάρ πως καὶ ὁ λισσόμενος περί τινος. (ῃερς. 116.) Ὅτι Τηλέμαχος μὲν σμικρολογεῖται περὶ τὰς ἐπὶ τῷ πατρὶ ἐλπίδας οἷα μὴ πεπειραμένος τῶν κατ' ἐκεῖνον. σκέδασις γὰρ μνηστήρων δι' ἐκείνου φαντάζεται, ὡς μέγα καὶ τοῦτο τυγχάνον εἰ ἀνυσθείη. ὁ δὲ, ἐπανελθὼν, οὐ σκεδάσει ἀλλὰ πάντας ἀνελεῖ. Σημείωσαι δὲ ὅτι νῦν μὲν, φαίνεται σκεδῶ καὶ σκεδάζω εἶναι ἀφ' οὗ ἡ σκέδασις. ἑτέρωθι δὲ, κεδῶ δίχα τοῦ σίγμα. ὅθεν παράγωγον τὸ κεδαίω. οὕτω δὲ καὶ σκίδναται καὶ κίδναται. (ῃερς. 1.) Ὅτι ἐφίστασθαι θύραις, τὸ ἁπλῶς ἐπὶ ταῖς θύραις ἑστάναι. λέγεται δὲ πολλάκις καὶ ἐπὶ τῶν ἐπαιτούντων ἡ λέξις. ὅθεν καὶ ἐπιστάτης ὁ ἱκέτης. ἢ προσαίτης. ὡς τὸ, οὐ σύγ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης. λέγεται δὲ τὸ ἐφίστασθαι καὶ ἐπὶ τοῦ προΐστασθαι. ἐξ οὗ καὶ τὸ, ἔργοις ἐπιστατεῖν. καὶ παρὰ Σοφοκλεῖ, ποίμναις ὀρείαις ἐπεστάτουν. (ῃερς. 121.) Ὅτι τὸ τῆς δεξιᾶς χειρὸς ἅπτεσθαι ὅπερ καὶ νῦν πολλοῖς τῶν ἐθνῶν ἐπιχωριάζει, δεῖγμα φιλοφροσύνης ἦν ἀσφαλέστατον. ὅθεν καὶ δεξιοὶ λέγονται οἱ ἀγαθοί. καὶ δεξιοῦσθαι μέχρι νῦν, τὸ φιλοφρονεῖσθαι λέγεται. ἀμέλει ἐν τοῖς ἑξῆς τοῦ Ἀντινόου παιγνιωδῶς ἁψαμένου τῆς τοῦ Τηλεμάχου δεξιᾶς, ἐξέσπασε τὴν χεῖρα ὁ Τηλέμαχος μετὰ θυμοῦ, μὴ ἀνασχόμενος τὸ τίμιον παίζεσθαι. καὶ Ἀχιλλεὺς δὲ λαβὼν ἐπὶ καρπῷ χεῖρα Πριάμου δεξιτερὴν, οὐδέν τι κακὸν τὸν πολέμιον 1.31 γέροντα διατίθεται. Νέστωρ δέ που σχετλιάζων, ἐν πυρὶ γενέσθαι τὰς βουλὰς εὔχεται καὶ τὰς δεξιὰς αἷς ἐπεποίθεισαν Ἕλληνες. ὡς μεγάλου κακοῦ γινομένου, ἐὰν αἱ δεξιαὶ παρορῶνται. λαιᾷ μέντοι χειρὶ, οὐκ ἐξῆν ἅπτεσθαι ἀλλήλων τοὺς φιλομένους. διότι ἐν κακῇ μοίρᾳ οἱ παλαιοὶ ἐτίθεντο τὰ μὴ δεξιά. ὅθεν καὶ τὰ φαῦλα συμπτώματα, λαιὰ καὶ ἐπαρίστερα ἔλεγον. καὶ ἀμφαρίστερον, τὸ ἀμφοτέρωθεν οὐκ αἴσιον. ἀπεναντίας τῷ ἀμφιδεξίῳ. ἄλλως δὲ ὅμως εὐφημότερον κατακιρνῶντες τὴν φαυλότητα τοῦ πράγματος χρηστότητι κλήσεως, ἀριστερά τε ἐκάλουν τὰ λαιὰ ἐκ τοῦ ἀρίστου παρονομάζοντες αὐτά. ὡσαύτως καὶ εὐώνυμα, διὰ τὸ ἀγαθοῦ τυχεῖν ὀνόματος. τοῦ ἀρίστου δηλαδὴ ἐξ οὗ παρονομάζεται τὸ ἀριστερόν. καὶ ἔστι τὸ σχῆμα, εὐφημισμός. ἀγαθῇ κλήσει περιστέλλων τὸ φαῦλον. ὥσπερ καὶ τὰς Ἐριννῦς, Εὐμενίδας διὰ τὸ εὔφημον κατωνόμαζον, καί τοι δυσμενεῖς οὔσας. Ἰστέον δὲ καὶ ὅτι διὰ τὸ τῆς δεξιᾶς καὶ τοῦ κατ' αὐτὴν δεξιώματος εὔφημον, καὶ διότι δεξιόθεν ὡς ἐπὶ πολὺ τοῖς ποδωτοῖς τῶν ζώων ἡ κίνησις, καὶ οἱ παλαιοὶ μετρικοὶ τὴν ἐν τοῖς ἔπεσι πρώτην χώραν ἤγουν τὸν πρῶτον πόδα, δεξιὰν χώραν ἔλεγον. καὶ ὅτι τῶν δεξιῶν χειρῶν ἡ συμβολὴ, ἔοικεν ἐξ Ἑλλήνων ἐπιχωριάσαι τοῖς Λατίνοις μετὰ καὶ ἄλλων μυρίων ἐθῶν. πολλοὶ γὰρ τῶν Ἑλλήνων οἱ μὲν ἑκόντες μετοικήσαντες εἴτουν ἀποικήσαντες, οἱ δὲ καὶ μετὰ τὴν τῆς Ἰλίου ἅλωσιν εἰς τὰ κατὰ τὴν Ἰταλίαν διεκπεσόντες χωρία, τήν τε ἅψιν τῶν δεξιῶν ὡς εἰκὸς διέδωκαν τοῖς ἐκεῖ, καὶ ἄλλων δὲ ἐθῶν Ἑλληνικῶν ἐκείνοις μετέδωκαν. ὧν Ὅμηρος μέμνηται ὁ Ἕλλην σοφός. ὁποῖόν τι καὶ ἡ τῆς διαίτης ἁπλότης καὶ τὸ προπίνειν ἀλλήλοις δεξιουμένους ἐκπώμασι. καὶ τὸ παγγύμνους νύκτωρ καθεύδειν. καὶ τὸ ὑπὸ γυναικῶν λούεσθαι. καὶ τὸ τὰς πολλὰς τῶν γυναικῶν, μὴ ἐθέλειν προφαίνειν τὰ πρόσωπα, ἄντα παρειάων καὶ αὐτὰς ἐχούσας λιπαρὰ κρήδεμνα. καὶ τὸ τοὺς ἄνδρας, χλαίνας ἀμπέχεσθαι τουτέστι μανδοειδῆ περιβλήματα ῥᾴω πρὸς ἀπέκδυσιν μᾶλλον δὲ πρὸς ἀπόθεσιν. διὸ φησί που ὅτι ἀπέθετο χλαῖναν φοινικόεσσαν. ὁμοίως τῷ, ἀπέθετο δὲ ξίφος ὀξὺ ὤμων. ὡσαύτως Ἑλληνικὸν καὶ τὸ, γονυπετοῦντας ἱκετεύειν εἴτε καὶ καθημένους. ὡς Ὀδυσσεὺς παρὰ Αἰόλῳ, ἐπὶ σταθμοῖς ἐπ' οὐδοῦ ἑζόμενος. καὶ τὸ τὸν εὐρυκρείοντα δὲ, μιᾶς τινὸς πόλεως ἄρχειν τοῖς ἄλλοις ἀφιέντα τὰς λοιπὰς, προφανῶς Ἑλληνικόν. ναὶ μὴν καὶ τὸ ἐν δημηγορίαις πάντων καθημένων τῶν συνειλεγμένων, ἕνα τινὰ δημηγορεῖν ἱστάμενον. καὶ τὸ τοῖς δεσπόταις συγκαθῆσθαι τοὺς θεράποντας. ἴσως δὲ καὶ τὸ τὰς κεφαλὰς ἀκατακαλύπτους ἔχειν. οὐδαμοῦ γοῦν ὁ ποιητὴς εὕρηται οὔτε πίλου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσκητοῦ μεμνημένος τοῦ καθ' Ἡσίοδον, οὔτε καυσίας. ἥτις κατὰ τὸν Παυσανίαν πῖλος ἦν πλατὺς, ὃν οἱ Μακεδονικοί φησι βασιλεῖς ἐφόρουν λευκὸν αὐτῷ διάδημα περιειλοῦντες. οὔτε ἄλλου περὶ τὴν κεφαλὴν καλύμματος. ἀλλὰ καὶ τὸν Ὀδυσσέα ἐν τοῖς ἑξῆς εἰς φαλάκρωσιν κωμῳδοῦσιν οἱ μνηστῆρες, ὡς ἐκκειμένης τῆς αὐτοῦ φαλάκρας εἰς θέαν διὰ τὸ τῆς κεφαλῆς δηλαδὴ ἀκατακάλυπτον. οὐ μόνον δὲ ἔθη Ἑλληνικὰ τοῖς ἐκεῖ ἐπεπόλασαν, ἀλλὰ καὶ λέξεις Ἑλληνικαὶ πολλαὶ καὶ μάλιστα Δώριοι ἐναπέμειναν. εἰ καὶ χρόνῳ ὕστερον ἀπηχρειώθησαν τὰ Ἑλληνικὰ ὀνόματα παράκοπα γεγονότα καὶ βάρβαρα. ὡς καὶ περὶ τούτου αὐτοῦ πραγματεῖαι ἀκριβεῖς τισὶ τῶν παλαιῶν ἐκπεπόνηνται. τὸ μέντοι τῶν γυναικῶν ἑλκεσίπεπλον, αἷς ὁ πέπλος ἐν τῷ βαδίζειν ἐφέλκεται διὰ τὸ βαθὺ τοῦ ἱματισμοῦ, εἴη ἂν κλῆρος τοῖς Ἰταλοῖς ἐκ τοῦ Τρωϊκοῦ Αἰνείου. Ἑλληνὶς γὰρ γυνὴ, οὔτε βαθύπεπλος, οὔτε ἑλκεσίπεπλος παρ' Ὁμήρῳ εὕρηται. εἰς δὲ τὸ περὶ δεξιᾶς καὶ τὸ κατ' αὐτὴν σέμνωμα, συντελεῖ τι καὶ ὁ γράψας ὅτι καὶ τὸ δέξασθαι, παρὰ τὴν δεξιὰν ἐλέχθη. φησὶ γὰρ ὅτι λαβεῖν μὲν, τὸ ἀνελέσθαί τι μὴ διδόντος τινός. οἷον. ἀλλὰ σύ γ' ἐν χερσὶ λάβ' αἰγίδα θυσανόεσσαν, δέξασθαι δὲ, τὸ παρά τινος προτεινομένου χειρίσασθαι. καὶ ἐσχημάτισταί φησι, παρὰ τὴν δεξιάν. οἷον. Θέμιστι δὲ καλλιπαρῄῳ δέκτο δέπας. ὃ δὴ καὶ προπόσεως ἴδιον. ἣν ἱστορεῖ Ὅμηρος ἐν ἄλλοις τὲ καὶ ἐν τοῖς περὶ Ἀρήτης καὶ Ὀδυσσέως.(ῃερς. 123.) Ὅτι ἔθος ἦν ἐπιφωνεῖν τοῖς ξενιζομένοις τὸ, χαῖρε ξεῖνε. ἐξ αὐτοῦ δὲ λαβὸν τὴν ἀρχὴν τὸ χαῖρε, προεγράφετο καὶ τῶν ἐπιστολῶν παρὰ τοῖς ὕστερον. οἷον. ὁ δεῖνα τῷ δεῖνι, χαίρειν. Ξένος δὲ ἀεὶ παρὰ τῷ ποιητῇ, ὁ ἀπὸ ξενίας φιλιωθείς. ὅτι δὲ καὶ ὁ ποιῶν τὴν ξενίαν καὶ ὁ πάσχων αὐτὴν, ξένοι ἀλλήλοις ἐλέγοντο, δηλοῦσι σαφῶς οἱ παλαιοί. Ὅτι τὸ φιλεῖν παρὰ τῷ ποιητῇ, καὶ ἐπὶ ξενοδοχικῆς φιλοφροσύνης τίθεται. οἷον. χαῖρε ξεῖνε, παρ' ἄμμι φιλήσεαι. ἀντὶ τοῦ ξενοδοχηθήσῃ φιλικῶς. τοιοῦτον καὶ τὸ, χρὴ ξεῖνον παρεόντα φιλεῖν. (ῃερς. 124.) Ὅτι δεῖπνον ἐνταῦθα, φανερῶς τὸ πρωϊνόν φησιν ἔμβρωμα ἐν τῷ, δείπνου πασσάμενος. διαφέρει δὲ τὸ πάσασθαι τοῦ πάσσειν. τοῦτο μὲν 1.32 γὰρ, ἀντὶ τοῦ γεύσασθαι. ὅθεν καὶ ἄπαστος ὁ ἄγευστος. πάσσειν δὲ, τό, τε ποικίλλειν ὅθεν καὶ ἡ παστὰς, καὶ τὸ ἐπιτιθέναι ἅλας πρὸς ταριχείαν. ἀφ' οὗ καὶ τὰ παστὰ καὶ ἐπίπαστα. περὶ ὧν ἐν τοῖς εἰς τὴν Ἰλιάδα εἴρηται. Ὅτι οὐκ ἀναμένει καιροῦ τριβὴν ὁ Τηλέμαχος, ἀλλὰ ἐθέλει πολυπραγμονῆσαι τὰ κατὰ τὸν ξένον ἅμα τῷ πάσασθαι δείπνου ἐκεῖνον. εὑρεθήσεται δὲ τοιαῦτα καὶ ἐν τοῖς ἑξῆς. εἰ δέ που ἐννέα ἐτρίβοντο ἡμέραι ταῖς ξενικαῖς ἐρωτήσεσιν, ἀλλ' ἐκεῖνα οὐ τοιαῦτα, ὡς ἐν Ἰλιάδι φαίνεται, ὅπου ἐννῆμαρ ξεινίσας ὁ Ἰοβάτης τὸν σεμνὸν Βελλεροφόντην, τῇ δεκάτῃ μετὰ ξενίαν ἤρετο. εἰς ὃ γράφει ὁ Ἀθήναιος τὸ, δοκεῖ γὰρ ἔχειν τι πρὸς φιλοσοφίαν ὁ οἶνος ἑλκυστικὸν, παραθερμαίνων τὴν ψυχὴν καὶ διαχέων. (ῃερς. 125.) Ὅτι ἐν τῷ, ὣς εἰπὼν ἡγεῖτο ἥ δ' ἕσπετο, τὸ ἡγεῖτο, ἀντὶ τοῦ, ἡγεμόνευε. προεπορεύετο. τὸ δὲ ἡγεῖσθαι ἀντὶ τοῦ νομίζειν, σπάνιον παρὰ τοῖς παλαιοῖς. λέγεται δὲ ἐκεῖθεν καὶ ἀφηγεῖσθαι ὁδοῦ, τὸ προάρχειν. καὶ ἐξηγεῖσθαι. ἐν δὲ ῥητορικῷ λεξικῷ, ἡγεῖσθαι, καὶ ἐπὶ γάμου πομπῆς. καὶ προηγητήρ φασιν ἀπ' αὐτοῦ, καὶ προηγητὴς παρ' Ἀττικοῖς, ὁ τοῦ ζεύγους ἡγούμενος ἐν τοῖς γάμοις. ἐλέγετο δέ φασι καὶ ἡγήτρια παλάθη τις, ἡ πρώτη πεμπομένη ἐν ταῖς πομπαῖς. παλάθη δὲ κυρίως ἐλέγετο, ἡ τῶν σύκων ἤτοι τῶν ἰσχάδων ἐπισύνθεσις. (ῃερς. 128.) Ὅτι δουροδόκη ἐστὶ, θήκη δοράτων κιονοειδής. ἢ μάλιστα, εἰς κίονα ἐγγεγλυμμένη, ἐν ᾗ πρὸς ὀρθότητα τὰ δόρατα ἵσταντο. φησὶ γοῦν ὅτι ἔγχος φέρων ἔστησε πρὸς κίονα μακρὴν, δουροδόκης ἔντοθεν ἐϋξόου. κατὰ δὲ ὁμοιότητα ταύτης τῆς λέξεως, τὴν ξυροδόκην εἶπεν ὁ κωμικός. γίνεται δὲ, ἀπὸ τοῦ δέκω ῥήματος Ἰωνικοῦ, ἐξ οὗ καὶ ὁ πανδοκεύς. αἱ δὲ λέξεις, καὶ Ἀττικαί εἰσι διὰ τὴν πρὸς τοὺς Ἴωνας τῶν Ἀθηναίων συγγένειαν. Ἀττικαγοῦν, ἡ ξυροδόκη. καὶ ἡ πανδοκεύτρια. καὶ τὰ τοιαῦτα. (ῃερς. 129.) Ἰστέον δὲ ὅτι καὶ ἐν τῷ βιβλίῳ τούτῳ ἐπὶ ἀψύχων μὲν, τὸ φέρειν τίθησιν. ἐπὶ ἐμψύχων δὲ, τὸ ἄγειν. οἷον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα. καὶ, ἔγχος μὲν ἔστησε φέρων. (ῃερς. 130.) αὐτὴν δ' ἐς θρόνον εἷσεν ἄγων. ἔστι δὲ ἡ παρατήρησις αὕτη ὡς καὶ ἀλλαχοῦ ἐφάνη τῶν ὡς ἐπὶ τὸ πλεῖστον. τὴν γὰρ Ἀθηνᾶν ἔμψυχον οὖσαν, τὰ πέδιλα φέρουσιν ἐπί τε ξηρὰν ἐπί τε ὑγράν. ἔοικεν οὖν μᾶλλον τὸ μὲν ἄγειν λέγεσθαι, ἐπὶ τῶν βαδιζόντων. τὸ δὲ φέρεσθαι, ἐπὶ τῶν ὀχουμένων ἢ βασταζομένων. (ῃερς. 127.) Ὅρα δὲ ὅτι θηλυκῶς καὶ ἐνταῦθα τὴν κίονα εἶπεν, ἐν τῷ, ἔστησε πρὸς κίονα μακρήν. (ῃερς. 129.) Ὅτι ἐν τῷ, ἔνθά περ ἄλλα ἔγχεα Ὀδυσσέως ταλασίφρονος ἵστατο πολλὰ, κυρίως εἴρηται τὸ ταλασίφρονος. ἅμα γάρ τις αἰχμητὴς, ἅμα ταλασίφρων. κάλλους δὲ ἡ ὁμοιοκαταληξία τοῦ ἄλλα καὶ τοῦ πολλὰ, κεῖνται γὰρ ἐν τέλει στίχων. (ῃερς. 130.) Ὅτι εἰ καὶ κυριολεκτεῖ συνήθως ἐν τῷ, αὐτήν δ' ἐς θρόνον εἷσεν ἄγων. καὶ, πῶς δέ σε ναῦται ἤγαγον εἰς Ἰθάκην, ἐπὶ ἐμψύχου γὰρ κεῖται τὸ ἄγειν ὡς καὶ πρὸ βραχέων εἴρηται, ἀλλ' οὐκ ἀεὶ οὕτως ἡ λέξις τίθεται. δίχα γοῦν τῶν ἄλλων, φησὶ καὶ Παυσανίας ὅτι ἄγειν καὶ ὑπάγειν, καὶ ἐπὶ τοῦ πίνειν λέγεται. Αἴλιος δὲ Διονύσιος, φησὶν ἄγημα παρὰ Μακεδόσι, τάγμα ἀπόλεκτον ἱππέων καὶ ὁπλιτῶν. τοῦτο δὲ ἴσως οὐδὲ ἀπὸ τοῦ ἄγειν, ἀλλὰ διὰ τὸ ἀγητὸν εἶναι. δῆλον δὲ ὅτι ἄγειν λέγεται, καὶ τὸ κλᾶν. ὅθεν καὶ ἄγμα τὸ σύντριμμα, καὶ τὸ κατειργασμένον ἔριον, τὸ παρὰ Σοφοκλεῖ ἐν Τραχινίαις κάταγμα. Ὅτι ἐν Ἰλιάδι μὲν, εἶπε καταπετάσας λῖτα ἀντὶ τοῦ σκεπάσας. ἐνταῦθα δέ φησιν, ὑπὸ λῖτα πετάσας καλὸν δαιδάλεον, ἀντὶ τοῦ ὑποπετάσας, ἤτοι ὑφαπλώσας καὶ ὑποθέμενος εἰς καθέδραν. ἔστι δὲ τὸ λῖτα, γένους οὐδετέρου, πτώσεως αἰτιατικῆς ἑνικῆς. οὗ εὐθεῖα, τὸ λιτὸν. λῖτα δὲ, ὕφασμά τι λιτόν. οἷον τυχὸν λίνεον. καί τοι τινὲς, ποικίλον μᾶλλον κατὰ ἀντίφρασιν τὸ λῖτα βούλονται εἶναι, διὰ τὸ τὸν ποιητὴν προσθεῖναι, καλόν. δαιδάλεον. ἔστι δὲ ἡ περιεργία τῆς κλίσεως τοῦ λῖτα, τοιαύτη. λιτόν. λιτοῦ. λιτῷ. καὶ ἐν μεταπλασμῷ, λιτί. ἀπὸ τελικῆς δοτικῆς εἰς τελικὸν τῆς αὐτῆς. οἷον. λιτὶ κάλυψε. καὶ αἰτιατικὴ κατὰ ἀκολουθίαν δῆθεν κλίσεως, λῖτα ἐν ὁμοιότητι τοῦ, βοὶ βόα. ποδὶ πόδα. διὸ καὶ βαρύνεται. πᾶσα γὰρ αἰτιατικὴ ἑνικὴ δισύλλαβος εἰς ¯α λήγουσα, βαρύνεται. ἄλλως γε μὴν διὰ τὸν μεταπλασμὸν, ὀξύνεσθαι ὤφειλεν. οἱ γὰρ μεταπλασμοὶ, μεταβιβάζειν τοὺς τόνους οὐ βούλονται, χωρὶς τοῦ μητιέτης μητίετα Αἰολικοῦ. καί τινων ἄλλων ὀλίγων. Ἰστέον δὲ ὡς ἀεὶ τὸ λιτὶ καὶ τὸ λῖτα, ἐκτείνει τὴν παραλήγουσαν. καὶ ὅτι Ἀθήναιος, παρὰ τῷ ποιητῇ ὃν θαυμασιώτατον καλεῖσθαι λέγει καὶ θειότατον, λῖτα μὲν εἶναί φησι, λευκὰ καὶ μὴ βεβαμμένα ἢ πεποικιλμένα. τὰ περιστρώματα δὲ, ῥήγεα καλὰ πορφύρεα. λέγων καὶ ὡς ἤκμασεν ἡ τῶν ποικίλων ὑφὴ παρὰ Κυπρίοις. ἔνθα ἔντεχνοι περὶ αὐτὰ ὑφάνται ἦσαν ἔνδοξοι, Ἀκεσᾶς καὶ υἱὸς αὐτοῦ Ἑλικὼν, ὡς 1.33 ἐδήλου ἐπίγραμμα ἐν Πυθοῖ ἐπί τινος ἔργου, τοιοῦτον. τεῦξ' Ἑλικὼν Ἀκεσᾶ Σαλαμίνιος. ὧν ἐνὶ χερσὶ, πότνια θεσπεσίην Παλλὰς ἔτευξε χάριν, οἷα δηλαδὴ ἐπιστατοῦσα τῇ ὑφαντικῇ τέχνῃ. Σαλαμίνιος δὲ ὁ ῥηθεὶς Ἑλικὼν, οὐκ ἐκ τῆς Ἑλλαδικῆς ἀλλὰ τῆς κατὰ Κύπρον. Σημείωσαι δὲ καὶ ὅτι εἰπὼν ὁ Ἀθήναιος λῖτα εἶναι πληθυντικῶς λευκὰ καὶ ἑξῆς, βούλεται βαρύτονον εἶναι ὡς ἔοικε τὸ λῖτον, πρὸς διαστολὴν τοῦ ἁπλῶς καὶ κοινοῦ λιτοῦ. ἵνα ᾖ, τὸ λῖτον τοῦ λίτου τῷ λίτῳ. καὶ κατὰ μεταπλασμὸν, λιτί, ὧν πληθυντικὸν, τὰ λῖτα. εἰ δὲ τῆς δοτικῆς τῷ λίτῳ βαρυνομένης, δοκεῖ παραλόγως ὀξύνεσθαι τὸ λιτὶ, ἐνθυμητέον τὸ, ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων. ὡς γὰρ ἐκ τοῦ κλάδῳ ἀναλόγου βαρυτόνου, μετεπλάσθη τὸ κλαδὶ κατὰ κανόνα δισυλλάβων τοιούτων δοτικῶν, οὕτω καὶ ἐκ τοῦ λίτῳ γέγονεν ὁμοιοτόνως τὸ λιτί. (ῃερς. 131.) Δαιδάλεον δὲ, τὸ ποικίλον, ἢ τὸ τεχνικὸν. ἀπὸ τοῦ Κρητικοῦ Δαιδάλου, ἢ ἀπὸ γυναικός τινος Δαιδάλης, ὡς καὶ ἐν Ἰλιάδι γέγραπται. Τί δέ ἐστι μεταπλασμὸς, ἐν τοῖς εἰς τὴν Ἰλιάδα καὶ αὐτὸ εἴρηται. Ὅτι συνήθως ὁ ποιητὴς τὴν ὑπ¯ο πρόθεσιν, δοτικῇ κἀνταῦθα συντάσσει ἐν τῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν, ἤγουν θρῆνυς ἦν ὑπὸ τοῖς ποσί. δύναται δὲ καὶ καθ' ὑπερβατὸν εἶναι, ὅτι θρῆνυς ὑπῆν τοῖς ποσίν. ὅτι δὲ θρῆνυς τὸ ὑπὸ τοῖς ποσὶ τῶν καθημένων.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὅτι παρὰ τὸ θορεῖν ἄνω γίνεται. ἢ κατὰ Ἀθήναιον, ἀπὸ τοῦ θρῆσαι ὅ ἐστι καθίσαι, καὶ ἀλλαχοῦ δηλοῦται. ἔοικε δὲ, παρὰ τὴν θρῆνυν γενέσθαι παρωνύμως καὶ τὸ ναυτικὸν θράνος καὶ θρανίον ὅθεν ὁ θρανίτης ναύτης, καὶ κῶπαι θρανίτιδες, αἱ τῶν θρανιτῶν. (ῃερς. 132.) Ὅτι κλισμὸς, εἶδός τι θρόνου, ὅπερ καὶ ἀνάκλιντρον παρὰ τοῖς ὕστερον λέγεται. ἀντιδιαστέλλεται γὰρ ὁ κλισμὸς τῷ θρόνῳ, διὸ νῦν εἰπὼν, τῷ Μέντῃ τεθῆναι θρόνον τῷ δὲ Τηλεμάχῳ κλισμὸν, σαφέστερον διακρινεῖ ἐν οἷς πρωϊὼν ἐρεῖ, ἕζοντο κατὰ κλισμούς τε θρόνους τε. ὡς ἄλλό τι ὄντος ἴσως κλισμοῦ καὶ ἄλλο θρόνου. ἐρεῖ δέ που καὶ κλισίαν εἶδος θρόνου. ἴσως μὲν, ταυτὸν τῷ κλισμῷ, ἴσως δὲ ἕτερον. Ὅτι ὥσπερ ἐκ τοῦ ὄπισθεν ἀπελθόντος τοῦ ¯σ εὕρηται πολλάκις τὸ ὄπιθεν, οὕτω καὶ ἐνταῦθα τὸ ἔκτοθεν ἐκ τοῦ ἔκτοσθεν, ἐκδραμόντος τοῦ ¯σ διὰ ἀνάγκην μετρικὴν ἐν τῷ, κλισμὸν θέτο ποικίλον ἔκτοθεν ἄλλων. (ῃερς. 133.) Ὅτι ὡς ἐν Ἰλιάδι, οὕτω καὶ ἐν τῇ Ὀδυσσείᾳ, ὀρυγμαδὸς οὐ μόνον συνήθως ὁ κατὰ τὸ ὄρος κτύπος,ἀλλὰ καὶ ὁ ἁπλῶς θόρυβος, τὸν γοῦν ὑπὸ τῶν μνηστήρων γινόμενον ὅμαδον, ὀρυμαγδὸν λέγει. μεταθεὶς τὸ ¯γ ἐκ τῆς προπαραληγούσης εἰς τὴν παραλήγουσαν, οὐ μόνον διὰ τὸ μέτρον, ἀλλὰ καὶ μᾶλλον διὰ τὸ τραχυφωνότερον. (ῃερς. 134.) Ὅτι τὸ, δείπνῳ ἀδήσειεν ἀντὶ τοῦ ἀηδισθῆ, ἀπὸ τοῦ ἀηδοῦς κέκραται. διὸ καὶ ἐκτεταμένον ἔχει τὸ δίχρονον. καὶ ἴσως καὶ τὸ ἄδην ἐπίῤῥημα, ἐξ αὐτοῦ γίνεται. οἷον, εἰωθότες ἔδμεναι ἄδην. ἀπ' αὐτοῦ δὲ καὶ ἆδος ὁ κόρος. ἔστιν οὖν ἀδῆσαι, τὸ ἀηδῶς ἔχειν κατὰ τοὺς δαψιλῶς καὶ εἰς κόρον ἀπολαύσαντας, τὸ μέντοι ἁδεῖν ἀντὶ τοῦ ἀρέσκειν, συστέλλει τὸ ¯α, ὡς μὴ κεκραμένον ἀλλ' ἐκ τοῦ ἥδω συσταλέν. οἷον ὡς ὄφελεν θάνατός μοι ἁδεῖν. Ὅτι τὸ ὑπερφίαλος, μέση λέξις ἐστί. ποτὲ μὲν, τραχεῖαν ὕβριν δηλοῦν ποτὲ δὲ, ἀνειμένην τινὰ καὶ οὐ πάνυ σφοδράν. ὅτε μὲν γάρ που τοὺς Πριαμίδας ὑπερφιάλους καλεῖ ὁ ποιητὴς, τραχὺ ἐκεῖ τὸ τῆς ὕβρεως. βούλεται γὰρ, παρασπονδητὰς εἰπεῖν καὶ ὑπερβαίνοντας τὰς ἱερὰς τῶν ὅρκων φιάλας. ἐνταῦθα δὲ τοὺς μνηστῆρας ὑπερφιάλους λέγων ἐν τῷ, ὑπερφιάλοισι μετελθὼν, οὐκ ἐπὶ τοιαύτης σημασίας τὴν λέξιν τίθησιν, οὐ γὰρ ὑπόκεινται παρασπονδήσαντες οἱ μνηστῆρες. ἀλλὰ λέγοιντ' ἂν ὑπερφίαλοι, ὡς εἴ τις εἴποι, περιττοί. ἢ πάροινοι. ἐκ μεταφορᾶς τῶν μεγάλων φιαλῶν. ἢ τῶν ὑπὲρ τὸ δέον χρωμένων τῇ συμποτικῇ φιάλῃ. ἐν μέντοι τῇ ¯ι ῥαψῳδίᾳ, τοὺς Κύκλωπας φανερῶς ὑπερφιάλους καλεῖ, οὐχ' ὡς ἀσεβεῖς. πῶς γὰρ ἀσεβεῖς οἵγε θεοῖς πεποιθότες ὡς ὁ ποιητὴς λέγει γῆν ᾤκουν ἀρίστην; ἀλλ' ὑπερφιάλους ἐκεῖ λέγει, τοὺς μεγάλους, ὡς ἀρέσκει τοῖς παλαιοῖς. καὶ ὅτε δὲ αὐτοὶ ἑαυτοὺς οἱ μνηστῆρες ὑπερφιάλους καλέσουσιν ἐν τῷ, ὑπερφιάλοις ἡμῖν μετελθὼν, ἔπαινον πάντως ἡ λέξις δηλοῖ. οὐ γὰρ δή που καθ' ἑαυτῶν ἐκεῖνοι λέγουσι. καὶ σημαίνοι ἂν ἡ λέξις τηνικαῦτα, τὸ μέγα καὶ εὐμέγεθες. εἰ μή τις καὶ ἐκεῖ, ἐπὶ παροίνων καὶ ὑβριστῶν τὴν λέξιν θέλει τάττεσθαι ὡς εἰρωνικῶς λεχθεῖσαν ὑπὸ τῶν μνηστήρων, οἷα δῆθεν τοιούτων νομιζομένων τοῖς πολλοῖς. ὅθεν καὶ μετ' ὀλίγα φησὶν ὁ Μέντης, ὅτι ὑβρίζοντες ὑπερφιάλως δοκοῦσι δαίνυσθαι οἱ μνηστῆρες. Τὸ δὲ μετελθὼν, ἀντὶ τοῦ συνελθών. ὥσπερ καὶ πρὸ ὀλίγου, μνηστῆρσι μεθήμενος ἔφη ἀντὶ τοῦ συγκαθήμενος. οὕτω καὶ Ἡσίοδος, μετεῖναι, τὸ συνεῖναι φησίν. (ῃερς. 136.) Ὅτι τραπέζης βασιλικῆς ἀρχαίας ἐκφράζων διάθεσιν ὁ ποιητὴς, 1.34 οὕτω φράζει. χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα καλῇ χρυσείῃ. ἤγουν κατὰ τὸν παραφραστὴν, πρῶτον μὲν κατὰ χειρὸς θεράπαινα ἔφερε χρυσῇ πρόχῳ ὑπὲρ ἀργυρέοιο λέβητος, νίψασθαι. παρὰ δὲ ξεστὴν ἐτάνυσε τράπεζαν, σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα, εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων. δαιτρὸς δὲ, κρειῶν πίνακας παρέθηκεν ἀείρας, παντοίων. παρετίθει δὲ χρύσεα κύπελλα, ὡς αὐτοῦ ἔργον καὶ τοῦτο ὄν. κῆρυξ δ' αὐτοῖς θάμ' ἐπῴχετο οἰνοχεύων. οἵ δ' ἐξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε. Καὶ ὅρα ὅπως ἄλλο τι ἔχει τὸν κλισμὸν καὶ ἄλλο τὸν θρόνον ὡς καὶ πρὸ μικροῦ γέγραπται καὶ ἐν τοῖς ἑξῆς δὲ φανεῖται. Λέγει δὲ ἀμφίπολον, τὴν δούλην ὡς ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰλιάδι. καὶ ζήτει ἐκεῖ. ἔνθα καὶ ὅτι τὸ ἄῤῥεν, ὁ πρόπολος. ἡ χρῆσις παρὰ τῷ κωμικῷ. καὶ ὅτι τύμβος λέγεταί που ἀμφίπολος, ὁ κύκλῳ περιπολούμενος. φασὶ δὲ οἱ παλαιοὶ καὶ ὅτι ὥσπερ ἀμφίπολοι, οὕτω καὶ ἑπέται οἱ θεράποντες παρὰ τὸ ἕπεσθαι ὅπερ ἔοικε τῷ ἀμφιπολεῖν. (ῃερς. 137.) Χέρνιβα δὲ, τὸ κατὰ χειρὸς διδόμενον ὕδωρ. ὅπερ τινὲς παροξυτόνως χερνίβα λέγουσιν ὡς ἀπὸ τῆς χερνὶψ ὀξυτόνου εὐθείας. τὸ δ' αὐτό τινες ὕδωρ, καὶ χειρόνιπτρον φασίν. ὡς δηλοῖ ὁ γράψας ὅτι χειρόνιπτρα, τὸ κατὰ χειρὸς ὕδωρ. καὶ τὸ χέρνιβον, ὁ ἐνταῦθα δηλαδὴ λέβης. ὃν ἡ κοινὴ γλῶσσα, χερνίβιον λέγει. τὸ μέντοι μετάνιπτρον, οὐ τοιοῦτόν τι ἐστὶν, ἀλλὰ κύλιξ ἢ πόσις διδομένη μετὰ νίπτρον ἤτοι μετὰ τὸ νίψασθαι. Πρόχοος δὲ θηλυκῶς, ὁ ξέστης. παρὰ τὸ προχέειν. ὅθεν καὶ τὸ προχοΐδιον, καὶ συναιρέσει προχοίδιον. ὡς βοΐδιον βοίδιον. τὸ ἱμάτιον θοιμάτιον. ῥοΐδιον ῥοίδιον. καὶ ἄλλα δὲ διάφορα, ἐκ τοῦ χέω παράγονται. ὧν ἔστι καὶ ὁ χοεὺς μέτρον τι. οἷον. στέφανον ἕκαστος ἀπέφερε κατὰ τὸ ἐν λίμναις τέμενος τῇ ἱερείᾳ περιθεὶς εἰς τὸν ἑαυτοῦ χοᾶ. οὗ τὸ ἐντελὲς, χοέα. ὡς Πειραιέα Πειραιᾶ. ὁ δ' αὐτὸς χοεὺς, καὶ χοῦς ἐλέγετο ὁμωνύμως τῷ κατὰ γῆν. ὅθεν καὶ δίχουν ποτήριον, τὸ χωροῦν δύο χοᾶς. ἔλεγον δὲ καὶ Ἀθηναίων ἑορτήν τινα Χοᾶς, συναιροῦντες ἐκ τοῦ Χοέας. ὡς δὲ καὶ χοὴ ἐπὶ νεκρῶν ἐκ τοῦ χέειν. καὶ χόανα τὰ ἐν Ἰλιάδι. καὶ ἡ τῶν ποταμῶν δὲ χοῦς. καὶ σύνθετα δὲ, ὁ φυλλοχόος. καὶ ὁ πολύχους, ἀρκεῖ ἐς τόσον εἰπεῖν. ἐν δέ γε τοῖς τοῦ Ἀθηναίου, τοιαῦτα περὶ τῶν εἰρημένων κεῖται. πρόχοος, ἀγγεῖον ἐν ᾧ τὸ ὕδωρ. χέρνιβα δὲ, τὰ εἰς χειρὸς νίμμα καταχεόμενα. οἷς πολλάκις, καί τι προσεδίδοτο καταρτικὸν χειρῶν. κατὰ τὸ, δότω τις δεῦρο ὕδωρ καὶ σμῆμα ὥς φησιν Ἀντιφάνης. τὸ δὲ μετὰ τὴν κάθαρσιν καταπεσὸν ὑγρὸν, ἀπόνιπτρον ἐκαλεῖτο, ἤγουν χειρῶν καὶ ποδῶν ἀπόνιμμα. ἴσως δέ φησι καὶ τὴν λεκάνην οὕτως ἔλεγον ἐν ᾧ τρόπῳ καὶ τὸ χειρόνιπτρον. Ἰδίως δέ φασι καλεῖται παρ' Ἀττικοῖς ἀπόνιμμα, ἐπί τε χοῶν νεκρικῶν καὶ ἐπὶ ἐναγῶν καθαιρομένων. οἷον. ὄρυξαι βόθρον πρὸς ἑσπέραν, καὶ τά δέ τινα ποιήσας, λέγε. ὑμῖν ἀπόνιμμα οἷς χρῆν καὶ οἷς θέμις. καὶ οὕτω μὲν ταῦτα. ὃ δὲ ἡμεῖς ἐν τῇ συνηθείᾳ χέρνιβον φαμὲν, Ἀττικοὶ χερνίβιον φασί. Λυσίας. χρυσοῖς χερνιβίοις καὶ θυματηρίοις. Εὔπολις δὲ, χειρόνιπτρον αὐτὸ λέγει. Ἐπίχαρμος δὲ, χειρόνιβα. παρὰ δὲ τραγικοῖς καὶ κωμικοῖς, παροξυτόνως εὕρηται χερνίβα. Εὐριπίδης, εἰς χερνίβος βάψειεν Ἀλκμήνης γόνος. ἤγουν εἰς ὕδωρ ἐν ᾧ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες καὶ τῆς θυσίας. καὶ τούτῳ περιῤῥαίνοντες τοὺς παρόντας, ἥγνιζον. χρὴ μέντοι φησὶ, προπαροξυτόνως προφέρεσθαι. τὰ γὰρ τοιάδε ῥηματικὰ σύνθετα εἰς ¯ψ λήγοντα φυλάττοντα παραλήγουσαν παρακειμένου παθητικοῦ δηλαδὴ λεγομένου διὰ τῶν δύο ¯μ ἐξ οὗ καὶ γεγόνασι, βαρύνονται. λέλειμμαι λέλειψαι, αἰγίλιψ. τέτριμμαι τέτριψαι, οἰκότριψ, κέκλεμμαι, βοόκλεψ. βέβλεμμαι, κατώβλεψ. οὕτως οὖν καὶ νένιμμαι, χέρνιψ. κειμένου δ' ἐν τούτοις καὶ ὅτι ὃ ἡμεῖς ἐν τῇ συνηθείᾳ χέρνιβον φαμὲν, ἔστι καὶ παρ' Ὁμήρῳ ἐν Ἰλιάδι. οἷον. ἡ δὲ, παρέστη χέρνιβον ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα, ζήτει ποῦ τοῦτο. Λέγει δὲ καὶ ὅτι τὸ χεῖρας νίπτεσθαι ἀφ' οὗ χέρνιβα καὶ χερνίπτεσθαι, ἡ πλείων χρῆσις, κατὰ χειρὸς εἴωθε λέγειν καὶ κατὰ χειρῶν. Ἀριστοφάνης δ' ὁ γραμματικὸς, φησὶ παρὰ τοῖς παλαιοῖς τὸ μὲν πρὸ ἀρίστου καὶ δείπνου, λέγεσθαι κατὰ χειρὸς τὸ δὲ μετὰ ταῦτα, ἀπονίψασθαι. τοῦτο δὲ, παρ' Ἀττικοῖς ἴσως πεφύλακται. ἐπείτοι Ὅμηρος φησὶ, νίψασθαι, παρὰ δὲ ξέστην ἐτάνυσε τράπεζαν. ἐν καιρῷ δηλαδὴ δείπνου. ἤγουν πρωϊνοῦ ἐμβρώματος. τοῦτο δὲ εἴπομεν, ἐπειδή ποτε δεῖπνον λέγεται καὶ τὸ δόρπον, ὥς που δηλοῖ Ἀθήναιος ἐν τῷ, ὁ τραγηματισμὸς, ἐπιδορπισμός τις ἐστὶ καὶ δεῖπνον ἕτερον. εἰρήσθω μὲν δὴ ταῦθ' οὕτω. Ἐν οἷς ὅρα καὶ τὸ σμῆμα, ὡς ἀπὸ τοῦ σμῶ σμήσω. οὗ παράγωγον τὸ σμήχω. ὡς καὶ τοῦ νῶ νήσω, τὸ νήχω. Τὸ δὲ καλὴ, ταυτόν ἐστι τῷ, εὐειδής. ἐπὶ τοιούτου γὰρ λαμβάνεται τὸ καλόν. οὗ τὸ ἐναντίον, αἰσχρόν. ὅθεν καλὸς μὲν ὁ Νιρεὺς, κάλλιστος δὲ ὁ Ἀχιλ 1.35 λεὺς. ἤτοι καλὸς λίαν. οὕτω γὰρ ἔοικεν ἐτυμολογεῖσθαι καὶ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κάλλος. Αἴσχιστος δὲ ὁ Θερσίτης. διὸ καὶ Εὐριπίδης, ἐν σχήματι ἀντιθέτῳ φησί. διὰ καλῶν γὰρ ὀμμάτων αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα ὡς τοῦ καλοῦ, ἀντικειμένου τῷ αἰσχρῷ καὶ τῷ αἰσχίστῳ. καλὸν οὖν, τὸ λαμπρὸν καὶ ὡς ἂν εἴποι τις ἡλιῶδες, παρὰ τὸ κῶ καὶ τὸ ἥλιος. οἱονεὶ τὸ ἀνακείμενον ἡλίῳ. ἢ καόμενον ὡς ἥλιος. διὸ καὶ ἐκτείνει ἀεὶ τὸ δίχρονον παρὰ τῷ ποιητῇ ὡς ἀπὸ συναιρέσεως. τὸ μέν τοι αἰσχρὸν ἐκ τοῦ ἐναντίου, τῷ σκότει ἀνάκειται. ὅθεν καὶ τὸ ἐγγίσαν τῇ νυκτὶ τέλος τῆς καλῆς ἡμέρας, αἰσχρία καὶ αἰσχρίασμα λέγεται. ἐπεὶ τοίνυν καὶ ὁ χρυσὸς ἡλίῳ ἀνάκειται κατὰ τοὺς παλαιοὺς, εἴη ἂν καὶ αὐτὸς κυρίως καλός. καὶ δι' αὐτὸν, καλὴ καὶ ἡ χρυσῆ πρόχοος. ὥσπερ ἐλέχθη καλὰ πρὸ βραχέων, καὶ τὰ τῆς Ἀθηνᾶς χρύσεια πέδιλα. Λέβης δὲ νῦν παρὰ τῷ ποιητῇ, τὸ παρ' ἡμῖν λεγόμενον χερνίβιον καθ' οὗ νιπτόμεθα, παρὰ τὴν λαβὴν ὥς φασιν οἱ παλαιοί. ἢ μᾶλλον διότι λείβεται ὕδωρ εἰς αὐτόν. Καὶ σημείωσαι τὴν λέξιν ἐνταῦθα. ἐν γὰρ ἄλλοις τόποις, ἀλλοῖόν τι σκεῦος οἱ λέβητες λέγονται, ὡς καὶ ἐν Ἰλιάδι φαίνεται. ὅτι δὲ κοινῶς μὲν, διὰ τοῦ ¯η ὁ λέβης, κατὰ δὲ Βοιωτοὺς, διὰ διφθόγγου καθὰ καὶ ὁ πένης καὶ τὰ κατ' αὐτὰ, ὁ Ἡρακλείδης δηλοῖ. Ἀργύρεος δὲ ὁ λέβης, ἢ πρὸς ποικιλίαν ἵνα μὴ αὐτὸς χρυσοῦς εἴη. ἢ ὅτι σπάνιον πάλαι ὁ χρυσός. ἢ καὶ ὅτι ἐχρῆν τὸ ὑποκείμενον τῇ ῥίψει, ὑποδεῶς ἔχειν πρὸς τὸ σκεῦος ἀφ' οὗ τὸ ῥίπτον πρόεισι. Σημειοῦνται δὲ οἱ παλαιοὶ ὅτι παρ' Ὁμήρῳ πρὸ τῶν βρωμάτων εὑρίσκονται νιπτόμενοι, ὡς ἂν εὐαγῶς ἐπὶ τὰς σπονδὰς ἔλθωσιν. εἰ δὲ καὶ μετὰ τὸ φαγεῖν ὡς εἰκὸς ἐνίπτοντο, σιωπᾷ ὁ ποιητὴς ὡς καὶ ἄλλα πολλὰ, κατὰ σχῆμα τὸ καλούμενον σιωπώμενον, παρὰ δὲ τοῖς παλαιοῖς κεῖται καὶ ὅτι ἐν Ἰλιάδι οὐδὲ πρινὴ φαγεῖν, ποιεῖ Ὅμηρος ἀπονιζομένους. σχολαζόντων γὰρ βίος ὁ ἐν Ὀδυσσείᾳ, καὶ τρυφώντων ἐν εἰρήνῃ. διὸ καὶ ἐθεράπευον τὸ σῶμα λουτροῖς καὶ κατανίσμασιν. οἵ γε καὶ ἀστραγαλίζουσιν ἐν τῇ κατ' αὐτοὺς πολιτείᾳ, καὶ σφαιρίζουσι παίζοντες. εἰ δὲ Ἡρόδοτος ἐν λιμῷ εὑρῆσθαί φησι τοιαύτας παιδιὰς ἐπὶ Ἄτυος, ἀλλὰ πρεσβεύει φασὶ τοῖς χρόνοις τὰ ἡρωϊκά. θετέον δ' ἐνταῦθα καὶ Τρύφωνος τὸ, κατὰ χειρῶν μὲν, πρὸ τροφῆς παρὰ τοῖς ὕστερον, νίφασθαι δὲ, μετὰ τροφήν. (ῃερς. 138.) Τράπεζαν δὲ τανύεσθαι εἰπὼν, ἐμφαίνει μήπω κυκλοτερεῖς εἶναι τότε τὰς τραπέζας, ἀλλὰ τετανυσμένας εἰς μῆκος. ἴσως γὰρ ὕστερον ἐπενοήθησαν αἱ κυκλοειδεῖς, διά τε τὴν ἀνυπέρβλητον ἰσότητα, καὶ πρὸς ὁμοιότητα τῆς τροφοφόρου ἅλωνος. Ἰστέον δὲ ὅτι τὲ τῶν δαιτυμόνων ἑκάστῳ κατ' ἄνδρα παρακεῖσθαι τράπεζαν οἴονταί τινες ὡς καὶ ἐνταῦθα ἐπὶ τοῦ φαινομένου Μέντου γίνεται. καὶ ἐν τοῖς ἑξῆς δὲ ἐπὶ τοῦ συβώτου. καὶ ὅτι αἱ οὕτω πολυτελεῖς τράπεζαι, κατηρεφέες παντοίων ἀγαθῶν πρός τινος τῶν παλαιῶν ἐῤῥέθησαν. καὶ ὅτι τράπεζαι παρὰ τοῖς παλαιοῖς, καὶ δεύτεραί τινες ἐκαλοῦντο. αἱ δὲ, ἦσαν, αἱ τῶν τραγημάτων. ἃ, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται, καὶ τρωγάλια ἐλέγοντο. Πίνδαρος. δείπνου δὲ λήγοντος, γλυκὺ τρωγάλιον. ὁ δὲ κωμικὸς, εἶδος τραγημάτων οἶδε τὸ τρωγάλιον. λέγει δὲ Ἀθήναιος, καὶ ὅτι ὄντως ὁ τραγηματισμὸς, ἐπιδορπισμός τις ἐστὶ καὶ δεῖπνον ἕτερον. καὶ ἦσαν παρὰ τοῖς ἀρχαίοις αἱ δεύτεραι τράπεζαι, πολυτελῶς
πάνυ μεμεριμνημέναι. ἐν αἷς, λαγῷα καὶ κίχλαι καὶ μελίπηκτα καὶ ᾠὰ προεφέροντο. διὸ, ἀστείως Ἀντιφάνης φησὶν ἐν ἐρωτήσει καὶ ἀποκρίσει, ταῦτα. οἶνον Θάσιον πίνοις ἄν; εἴ τις ἐγχέαι. πρὸς ἀμυγδαλᾶς δὲ, πῶς ἔχεις; εἰρηνικῶς. μᾶλλον δι' ἃς μέλιτι προσπαίζειν δέδοται. μελίπηκτα δ' εἴσοι προσφέρει; τρώγοιμ' ἄν. Ὠὸν δὲ; καταπίνοιμ' ἄν. Ἔτι ἰστέον καὶ ὅτι ἡ εἰρημένη ἀνυπέρβλητος ἰσότης, δηλοῦται καὶ ἐν τῷ, δαιτὸς ἐΐσης. δαὶς γὰρ ἐΐση, ἄλλως μὲν κοινότερον, ἡ ἰσόμοιρος. κατὰ δὲ Ζηνόδοτον, ἡ ἀγαθή. ὡς ἱστορεῖ καὶ Ἀθήναιος λέγων ὅτι ἐπεὶ ἡ τροφὴ τῷ ἀνθρώπῳ ἀγαθὸν ἀναγκαῖον, ἐπεκτείνας εἴρηκεν ἐΐσην. ἔνθα σημείωσαι τὸ ἐπεκτείνας, ὡς τοῦ Ζηνοδότου ἐπέκτασιν δοξάζοντος καὶ τὸ ἀντὶ τοῦ ἴσην, εἰπεῖν ἐΐσην. τούτοις δὲ ἐπάγει καὶ ὅτι ἐπεὶ οἱ πρῶτοι ἄνθρωποι οἷς οὐ παρῆν ἄφθονος τροφὴ, ἄρτι φαινομένης, ἀθρόον ἐπ' αὐτὴν ἰόντες, βίᾳ ἥρπαζον. καὶ σὺν ἀκοσμίᾳ, ἐγίνοντο καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φόνοι. ἐξ ὧν εἰκὸς λεχθῆναι καὶ ἀτασθαλίαν τὴν ἐν θαλίαις ἁμαρτίαν, τέως μὲν, οὐκ εἶχον ὅ, τι δράσουσιν. ὡς δὲ παρεγένετο αὐτοῖς πολλὴ τροφὴ ἐκ τῆς Δήμητρος, διένεμον ἑκάστῳ ἴσην. καὶ οὕτως εἰς κόσμον προῆλθε τὰ δόρπα, πάντων εἰς ἶσον διαμεμοιραμένων. ὥς τε δαὶς ἐΐση ἡ ἀνθρωπίνη τροφὴ, παρὰ τὸ δατεῖσθαι ὅ ἐστι διαμοιρᾶσθαι ἐπίσης. καὶ οὐ κρέα μόνον, ἀλλὰ καὶ οἶνον καὶ λοιπά. οὕτω δὲ καὶ δαιτρὸς, ὁ ἴσην ἑκάστῳ μοῖραν δαιόμενος. ὅτι δὲ ἐπὶ μόνων ἀνθρώπων ἡ δαὶς κἂν ὁ Ζηνόδοτος ἄλλο τι βούληται, καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. σῖτον δὲ οὐδετέρως, ἐπὶ ἄρτου. ὁ σῖτος γὰρ, ἀκατέργαστος. 1.36 (ῃερς. 139.) Ἰστέον δὲ, ὅτι παρὰ τὰ καθ' Ὅμηρον σῖτα, ἡ σπανοσιτία σύγκειται. Ξενοφῶν. φοβούμενος τὴν σπανοσιτίαν. Ἐν δὲ τῷ λέγειν αἰδοίη ταμία, ὑποτίθεται ὅτι καὶ τὰς ἐν τοῖς τοιούτοις ὑπουργούσας ἀμφιπόλους, σώφρονας εἶναι χρή. οὕτω γὰρ οὐκ ἂν ὁ δεσποτικὸς αὐταῖς οἶκος ἐξαντλοῖτο. (ῃερς. 140.) Εἴδατα δὲ, τὰ ὄψα ἔοικε λέγειν κατ' ἐξοχὴν, διαστέλλων αὐτὰ πρὸς τὰ σῖτα, ἤτοι πρὸς τοὺς ἄρτους. Τὸ δὲ ἐπιθεῖσα, γέγονε τοῖς παλαιοῖς ἀφορμὴ τοῦ εἰπεῖν ἐπιτραπεζώματα τὰ ἐπιτιθέμενα τραπέζαις βρώματα. εἰ δὲ ἐχρῆν τὰ αὐτὰ καὶ ἐπιθήματα λέγειν διὰ τὸ ἐπιθεῖσα, ὅμως ἤρεσε τοῖς ὀνοματοθέταις, σανιδίῳ τινὶ χαρίσασθαι τὸ τοιοῦτον ὄνομα. καὶ ζήτει εἰς τὸν Ἀθήναιον. Χαριζομένη δὲ, ἡ τὰ πρὸς χάριν καὶ ἡδονὴν ποιοῦσα, οὕτω γὰρ καὶ Ὀδυσσεὺς, ἐχαρίζετο τῷ Διῒ ἱερὰ ῥέζων. Παρεόντα δὲ βρώματα λέγει, τὰ ἐν τῷ ταμείῳ ἀπόθετα, ἤτοι ἕωλα. τὰ γὰρ πρόσφατα, ὁ δαιτρὸς παρατίθησιν. ἢ καὶ ἄλλως παρεόντα λέγει, τὰ ἐπὶ πολὺ παραμένοντα, ὁποῖα τὰ ἁλίπαστα. Ἰστέον δὲ ὡς τὰ μὲν καθ' Ὅμηρον παρεόντα ἤγουν τὰ ἐκ τῆς χθὲς τραπέζης ἕωλα λείψανα, μέτρια ὡς εἰκὸς ἂν ἦσαν. καὶ οἷα δεῖσθαι καὶ τῆς ἐπαύριον ἐν ἐδέσμασιν ἐπισκευῆς. οὐ μὴν τοιαῦτα καὶ τὰ τοῖς ὕστερον ἐκδιαιτήσεως. Δημητρίου γοῦν φασὶ τοῦ Φαληρέως χαρισαμένου Μοσχίωνι λείψανα τραπέζης τῆς κατ' αὐτὸν, ὁ Μοσχίων ἐξ ἐκείνων, ἐν ἔτεσι δύο τρεῖς συνοικίας ἐωνήσατο. (ῃερς. 141.) Πίνακες δὲ νῦν μὲν, τὰ ἐπὶ τραπέζης ξύλινα σκεύη. ἀλλαχοῦ δὲ, καὶ αἱ σανίδες οὕτω λέγονται, ὅπου νεῶν πίνακας ὁ ποιητὴς ἐρεῖ. λέγει δέ που καὶ ὁ κωμικὸς, πινακηδὸν ἀποσπῶν ὅ ἐστι δίκην σανίδων. Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν, πίνακας οἶδε λέγειν καὶ κάνεα. οἱ δὲ ὕστερον, καὶ τρύβλια ἑτεροῖά τε καὶ ὀξύβαφα. ἔτι δὲ, καὶ λεκάνας. καὶ λεκανίδια δέ. οἷον. τὰς χεῖρας πρὸς τὰ λεκανίδια προσῆγεν ἐν οἷς τὰ μαγειρεύματα. Ὅρα δὲ ὑποκατάβασιν εἰς εὐτέλειαν, εὔτακτον. χρυσέα μὲν γὰρ, ἡ καθαρείως ἔχουσα πρόχοος ὡς καὶ τὰ κύπελλα. ἀργύρεος δὲ ὁ λέβης διὰ τὸ τῶν χειρονίπτρων μὴ ἄῤῥυπον. ξύλινοι δὲ οἱ πίνακες, ὡς αὐτοὶ τοῦ συρφετοῦ ἤδη ὄντες καὶ μὴ πρέποντες ἐκ τιμίας ὕλης εἶναι. ὡς δὲ μέχρι καὶ ἐσάρτι τῶν τινα ἐθνῶν καὶ οἱ κατ' αὐτοὺς δὲ ἄρχοντες χαίρουσι σκεύεσι ξυλίνοις ἃ καὶ κάνεα λέγεται καὶ τραπεζώματα, δῆλον ἐστίν. (ῃερς. 142.) Ὅρα δὲ καὶ τὸ, παντοίων, δι' ὧν εἰδέναι δηλοῖ ὁ ποιητὴς καὶ τὰς ποικίλας τροφάς. ὡς καὶ ἐν τῷ, ἐδωδὴν παντοίην. καὶ ἐν τῷ, ὄψα οἷα ἔδουσι διοτρεφέες βασιλῆες. Σημείωσαι δὲ καὶ ὅτι τὸ, δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας, διαγράφεσθαι ἱστορεῖ Ἀθήναιος, ἐπειδὴ ἀπαρκεῖν δοκεῖ τὸ πρὸ αὐτοῦ δίστιχον. εἰ γάρ φησιν εἴδατα παρέθηκεν ἡ ταμίη κρεάτων ὄντα λείψανα, τὸν δαιτρὸν οὐκ ἔδει παρεισφέρειν. καὶ μὴν καινὸν ἄλλως οὐδὲν τῶν τριῶν στίχων φυλαττομένων, τὴν μὲν ταμίην ἕωλα παραθέσθαι, τὸν δ' αὖ δαιτρὸν ἑτεροῖα παντοῖα πρόσφατα ποικιλίας τὲ χάριν καὶ πρὸς φιλοφροσύνης ἔνδειξιν. Ὅτι δὲ οὐ μόνον ὁ χρυσὸς πάλαι ποτὲ ἀλλὰ καὶ ὁ ἄργυρος σπάνιόν τι χρῆμα ἦν, δηλοῖ κατὰ τοὺς παλαιοὺς καὶ τὸ περιμάχητον χρυσόμαλλον ἀρνίον τοῦ Ἀτρέως. ὅ φασιν ἀργυρίδα εἶναι τουτέστι φιάλην ἀργυρᾶν, ἧς ὁ πυθμὴν ἐμπεπαισμένον εἶχεν ἀρνίον ἐπίχρυσον. Κύπελλα δὲ, ποτήρια νεύοντα τοῖς χείλεσι καὶ ἐπικύπτοντα ἐντός. περὶ ὧν ἐν Ἰλιάδι κάλλιον εἴρηται. (ῃερς. 143.) Τὸ δὲ θαμὰ οἰνοχοεύειν, οὐ πολυποσίαν ἐνταῦθα κατηγορεῖ, ἀλλὰ φιλοφροσύνην ἐνδείκνυται. εἰκὸς δὲ καὶ βραχέα εἶναι τὸ κύπελλα. (ῃερς. 145.) Τὸ δὲ οἰνοχοεύειν καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰνοχοεῖν, οὐ μόνον κιρνᾶν λέγεται, ἀλλὰ καὶ ἐγκανάσσειν, ὅ ἐστιν ἐγχέειν οἶνον, ὡς τὸ, ἄκρατον ἐγκάναζόν μοι πολύν. ὅθεν καὶ κάναστρον, τρύβλιον. ὡς ἐν παλαιῷ κεῖται ῥητορικῷ λεξικῷ. καὶ ἴσως ἔχει τοῦτο συγγενές τι καὶ πρὸς τὰ μετ' ὀλίγον σιτοφόρα κάνεα. (ῃερς. 146.) Ὅτι Τηλεμάχῳ μὲν καὶ τῷ σώφρονι ξένῳ, ἀμφίπολος χέρνιβα φέρει, καὶ ἐπιχέει. τοῖς δὲ ἀτασθάλοις μνηστῆρσι, κήρυκες ὕδωρ ἐπὶ χεῖρας ἔχευαν. οὐ γὰρ ἐχρῆν τοῖς ὑβρισταῖς καὶ ἀκολάστοις, παιδίσκας διακονεῖν. Ὅτι ὅπερ ἀνωτέρω περιφραστικῶς εἶπεν ἐν δυσὶ στίχοις τὸ, χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχεε καὶ ἑξῆς, ἐνταῦθα συντομώτατα ἔφρασεν ἐπὶ τῶν μνηστήρων, ἐν τῷ, κήρυκες ὕδωρ ἐπὶ χεῖρας ἔχευαν. οὕτω δὲ καὶ τοῦ μὲν σώφρονος Τηλεμάχου τὴν τράπεζαν. διεσκεύασεν ἤδη ἐν στίχοις πλείοσιν, ἐναβρυνόμενος οἷον τῇ ἐκφράσει. τὴν μέντοι τῶν ὑπερφιάλων μνηστήρων, ἐπιτρέχων συντέμνει ἐν ὀλίγοις ἔπεσι. τάχιον οἷον σπεύδων αὐτῆς ἀπαλλάττεσθαι. φησὶ γάρ. τοῖς δὲ, κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν. σῖτον δὲ δμωαὶ παρενήνεον ἐν κανέοισι. κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο. οὕτως ἐν καιρῷ καὶ πλατύνει τὰς ἐννοίας καὶ ἐπιτέμνει ὁ ποιητής. Ἰστέον δὲ ὅτι κήρυκας οἱ μὲν πλείους Ὁμηρικῶς οἴδασι. Κλείδημος δὲ κατὰ τὴν τοῦ δειπνοσοφιστοῦ ἱστορίαν. 1.37 καὶ τοὺς μαγείρους οὕτω καλεῖσθαι φησίν. ἐνταῦθα δὲ ἴσως, κήρυκας τοὺς οἰνοχόους εἶπεν ὁ ποιητής. οὓς καὶ ἐπεγχύτας ἔλεγον οἱ Ἑλλησπόντιοι. ὡς δὲ καὶ γυναῖκες ἐῳνοχόουν, ὁ αὐτὸς ῥήτωρ δηλοῖ. λέγων ὅτι Κλίνης γυναικός τινος οὕτω καλουμένης τῆς οἰνοχόου Πτολεμαίου τοῦ βασιλέως, ἀνδριάντες ἵσταντο κατὰ πολλὰ μέρη τῆς πόλεως μονοχίτωνες, ῥυτὸν κρατοῦντες ἐν ταῖς χερσίν. ἔστι δὲ ποτηρίου εἶδος τὸ ῥυτὸν ὡς ἐν ἄλλοις δηλοῦται σαφῶς. Χρὴ δὲ μὴ δούλους νοεῖν τοὺς Ὁμηρικοὺς οἰνοχόους. δοῦλος γάρ φασιν οὐδεὶς ἦν ἐν τοῖς τοιούτοις διακονῶν. ἀλλ' οἱ ἐλεύθεροί φασι τῶν νέων, ᾠνοχόουν. ὡς καὶ ὁ τοῦ Μενελάου υἱὸς καί τοι νυμφίος ὢν, ἐν αὐτοῖς τοῖς γάμοις. Ὅτι δὲ τὸ τὰς χεῖρας νίπτεσθαι, κατὰ χειρὸς καὶ κατὰ χειρῶν ὕδωρ λαμβάνειν ἢ διδόναι ἢ δίδοσθαι ἢ χεῖσθαι ἐλέγετο, παραδιδόασιν οἱ πάλαι ῥήτορες. παρ' οἷς ᾄδεταί τις παράσιτος ἐγκωμαζόντων τινῶν μὲν, τὸ ἀπὸ λέρνης ὕδωρ κρήνης Ἀργείας. τινῶν δὲ, τὸ ἀπὸ πειρήνης τῆς κατὰ Κόρινθον, αὐτὸς εἰπεῖν, ἄριστον εἶναι τὸ κατὰ χειρῶν. ἤγουν τὸ ἐν συσσιτίοις διδόμενον. Κερᾶν δὲ ἀφ' οὗ καὶ ὁ κρατὴρ καὶ τὸ κιρνᾶν καὶ ὅσα τοιαῦτα, οὐ μόνον οἴνῳ προσαρμόττει, ἀλλὰ καὶ ἑτέροις ὑγροῖς. ὡς δῆλον καὶ ἐκ τοῦ μελικρήτου. καὶ ἐκ τοῦ, θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων. καὶ ἐξ ἄλλων δὲ διαφόρων. (ῃερς. 147.) Τὸ δὲ παρενήνεον, λέξις μέν ἐστι ποιητικὴ, καὶ τοῖς πεζολεκτοῦσιν ἀσυντελής. δηλοῖ δὲ τὸ σωρεύειν, καὶ ἐμφαίνει τὸν πληθυσμὸν τοῦ σίτου, ἀπὸ τοῦ νῶ τὸ σωρεύω. ἵνα ᾖ κατὰ ἀναδιπλασιασμὸν, νανῶ. καὶ ἐκτάσει, νηνῶ. ὅμοιον καὶ τῶ, τητῶ. ἤτοι στερίσκω. τοιοῦτον καὶ τὸ ἀνακηκίειν ἐν Ἰλιάδι. ὅμοιον δὲ καὶ τὸ κηκάζειν. ὅθεν ἐπικήκαστον τὸ ἐπονείδιστον καὶ καταγέλαστον. ὅτι δὲ καὶ τὸ κακάζειν ἐν χρήσει ἐστί, δῆλον. ἐπὶ ὀρνίθων ὀνοματοποιηθέν. (ῃερς. 149.) Οἱ δὲ δηλωθέντες κοῦροι, δῆλον ὡς καὶ τρυφερῶς εἶχον καὶ πρεπόντως τοῖς ὑπερφιάλοις μνηστῆρσιν, ὥς που καὶ ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται. καὶ οἱ μεθ' Ὅμηρον δὲ οἰνοχόοι τῶν μεγάλων προσώπων, οὐκ ἄλλως διέκειντο. εἴγε καὶ καθαρείως ἐνέχεον ὥς φησιν ὁ Ξενοφῶν. καὶ ἐν τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὸ ποτήριον προσέφερον. ἦν δὲ πάντως τοῖς τοιούτοις ἀνάγκη, καὶ τὸν οἶνον ἐπιμελῶς χέειν ἐς τοὺς κρατῆρας. διὸ τῶν τις κούρων, φαύλως οἰνοχοῶν, ἐπετιμήθη, ἀκούσας μὴ δεῖν τὸν οἰνέα πηλέα ποιεῖν. ὅπερ ἦν ἐξ ἡρωϊκῶν προσώπων ἀστεῖον αἴνιγμα, τοῦ μὴ χρῆναι ὑπόπηλον οἶνον κιρνᾶν. Ἐπιστέφεσθαι δὲ κρατῆρας ποτοῦ λέγει ὡς ἐν Ἰλιάδι, τὸ μέχρι τοῦ χείλους ἐμπιπλᾶν. ἢ μᾶλλον ὑπερχειλεῖς ποτοῦ τοὺς κρατῆρας ποιεῖν. ἐκ τούτου δὲ καὶ κρατῆρες ἐπιστεφέες οἴνου παρὰ τῷ τὴν γλῶσσαν χρυσῷ. Ἰστέον δὲ ὅτι τὸ ἀνάπαλιν τοῦ ἐπιστέψαι, ἐκστέψαι, ὁ Παυσανίας φησίν. ἐκεῖνο μὲν γάρ ἐστι πληρῶσαι ποτοῦ. τοῦτο δὲ, ἐκκενῶσαι. ἐδήλου δέ φησιν ἐκστέψαι, καὶ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποθέσθαί τι, ἐκ μεταφορᾶς τῶν τὰ στέμματα ἀποτιθεμένων. Ἰστέον δὲ ὅτι τὸ οὕτω τοὺς κρατῆρας ἐπιστέφεσθαι ὡς διὰ τοῦ ποτοῦ ἐπιστεφανοῦσθαι καθά φησιν Ἀθήναιος, ἔπρασσον οἱ παλαιοὶ πρὸς οἰωνοῦ φησι τιθέμενοι, τουτέστιν οἰωνιζόμενοι, ἦν δὲ ἴσως τὸ οἰώνισμα, εἰς ἐντελὲς εὐδαιμονίας σύμβολον καὶ πληρέστατον. ὅπερ ἀπεναντίας τῇ κενεαγίᾳ ἐστί. τὸ γὰρ ὡς ἐῤῥέθη ἐπιστεφὲς, κυκλώματι ἔοικε σφαιροειδεῖ. τὰ δὲ τοιαῦτα σχήματα, καὶ τέλειά ἐστι καὶ πολυχώρητα, καὶ διατοῦτο, προσφυῆ τῷ εἰρημένῳ οἰωνίσματι τῷ ἐπὶ βίῳ εὐδαίμονι. Ὡς δὲ κοινὸν μὲν ὁ κρατὴρ ἐκ τοῦ κερῶ κεράσω συγκοπεὶς, Ἰωνικὸν δὲ ὁ κρητὴρ ἐκ τοῦ κρῶ κρήσω ἐξ οὗ καὶ ἐπικρῆσαι τὸ ἐπικεράσαι. καὶ ὅτι παρὰ τὸ κέρας αἱ τοιαῦται λέξεις γεγόνασι. καὶ ὅτι ἐκ τοῦ κρατῆρος, καὶ κρατηρίζειν τὸ συμπίνειν, δῆλον ἐκ τῶν παλαιῶν. δόξοι δ' ἂν καὶ ἡ Κρήτη καὶ ὁ Κρὴς, τῷ τοιούτῳ ῥήματι συστοιχεῖν. (ῃερς. 150.) Ὅτι ἐπὶ ἑτοίμου πανδαισίας λεχθήσεται τὸ, οἵ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον ὅ ἐστιν ἔπεμπον ἢ ἔβαλλον. καὶ ἔστι τὸ ὅλον, περίφρασις τοῦ ἤσθιον. γίνεται δὲ τὸ ὄνειαρ, ἐκ τοῦ ὀνέω τὸ ὠφελῶ, πλεονασμῷ τοῦ ¯ι. ὡς ἔδω ἔδαρ εἶδαρ καὶ ἔαρ εἶαρ. ὅτι δὲ ὀνήσιμον ἡ τροφὴ, δηλοῖ ὁ ποιητὴς ἔνθα λέγει, ἔπειτα δὲ καὶ αὐτὸς ὀνήσεαι πιών. ἐν δὲ τῷ τέλει τῆς Ἰλιάδος, ἕτερόν τι παρὰ τὸ βρῶμα δηλοῦται ἐν τῷ τοσσά δ' ὀνεία τ' ἔχοντα. χρήματα δηλαδή. Τὸ δὲ ἑτοῖμα, προπερισπᾶται καὶ ἐνταῦθα ὥσπερ καὶ ἐν τῇ Ἰλιάδι, καθὰ καὶ τὸ ἐρῆμα ἀντὶ τοῦ ἔρημα. Τὸ δὲ χεῖρας ἴαλλον, ἀστείως ἔχει ῥηθέν. ὡς εἴπερ αἱ χεῖρες ἐπὶ ἔργον ἐπέμποντο οἷα καί τινες θεράπαιναι. Ἰστέον δὲ ὅτι τοῦ, χεῖρας ἐπιϊάλλειν, ἑτεροῖόν ἐστι τὸ ἀπὸ χεῖρας ἰάλλειν. ἐκεῖνο μὲν γὰρ, ταυτόν ἐστι τῷ, εἰς βρῶσιν ἄγειν. τοῦτο δὲ, ἀνάπαλιν ἔχει. ὡς δῆλον ἐκ τοῦ, ἐν δὲ Θάσῳ, τὸν σκορπίον ὠνοῦ ἂν ᾖ μὴ μείων πυγόνος. μεγάλου δ' ἀπὸ χεῖρας ἴαλλε. ἤγουν ἄπεχε. ἄπαγε. Καὶ ὅρα τηλίκοι σκορπίοι ἐν Θάσῳ θαλάσσιοι λέγεται εἶναι. Ἰστέον δὲ καὶ ὅτι τὸ 1.38 ἰάλλειν κατὰ μὲν τὸν κανόνα τοῦ ἰὸς καὶ ἰήϊος καὶ τῶν ὁμοίων, ὀρθῶς ψιλοῦται. ὁ δὲ Ὁμηρικὸς Ἐφιάλτης, ὑποβάλλει νοεῖν, ὡς καὶ δασύνεται ἀπὸ τοῦ ἵημι, ὅθεν τὸ ἀφίει. καὶ τὸ ἀφιέναι. καὶ ὅσα τοιαῦτα. βοηθεῖ δὲ τῇ ἐνταῦθα δασείᾳ, καὶ ἐκ τῶν τῆς κωμῳδίας τὸ, ἀλλ' οὐκ ἀποδώσεις οὐδ' ἐφιαλεῖς οἶδ' ὅτι, ἀντὶ τοῦ ἐπιβαλεῖς. ὁρμήσεις. καὶ εἰ μὲν οὕτως ἡ γραφὴ συναλείφεται, ἔχομεν τὴν ἀνάλογον δασεῖαν τοῦ ἱάλλειν. εἰ δὲ κατὰ τὸν Σουΐδαν οὐκ ἔστι τετρασυλλάβως ἐφιαλεῖς ἀλλὰ τρισυλλάβως φιαλεῖς ἀπὸ τῆς φιάλης. ἀντὶ τοῦ, μετ' εὐχῆς ἕξῃ τοῦ πράγματος κατὰ τὸ, ταχέως ὕπεσχε τὴν φιάλην ὅπως ἔργῳ φιαλοῦμεν, τοῦτο μὲν χρήσιμον ἔσται εἰς τὸ νοεῖν ὅτι ἐκ τῆς φιάλης καὶ ῥῆμά ἐστι τὸ φιαλῶ. εἰς δὲ τὸ δοκεῖν δασύνεσθαι τὸ ἱάλλω, ἀρκέσει ὁ Ἐφιάλτης. οὗπερ αὖθις ἡ ψίλωσις, ὑποφαίνεται ἐν τῷ ἐπίαλτος. ὃ καὶ αὐτὸ ἀλλαχόθι δεδήλωται. καὶ μὴν ἄλλως οὐκ ἀναντίῤῥητον ὅτι ἐν τῷ, ἔργῳ φιαλοῦμεν, τὸ τοῦ φιαλεῖν ἔγκειται ῥῆμα. δύναται γὰρ ὥσπερ ἀττικίζεται ὁ λόγος ἐν τῷ, τῷ ἐμῷ τὠμῷ, οὕτως εἶναι κατὰ συναλοιφὴν, καὶ τὸ, ἔργὠφιαλοῦμεν, ἀντὶ τοῦ ἐφιαλοῦμεν καὶ ἐπιβαλοῦμεν ἔργῳ. ἵνα κατὰ τὸ χεῖρας ἰάλλειν κρέασιν, οὕτω καὶ ἔργῳ ἐφιαλεῖν ᾖ, τὸ ἐγχειρῆσαι πράξει τινί. (ῃερς. 150.) Ὅτι τὸ, πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο, δηλοῖ μὲν τὸ ἐξεπλήρωσαν τὴν ἔφεσιν, διεσαφήθη δὲ ἐν τῇ Ἰλιάδι. Ἰστέον δὲ ὅτι τοῦ ἐδητὺς ἡ παραγωγὴ, ἀπὸ τοῦ ἐδῶ ἐδήσω γίνεται ἀῤῥήτου ἐνεστῶτος. ὡς γὰρ ἐπὶ τῆς αἰδοῦς ἔστιν αἰδῶ αἰδήσω ἀφ' οὗ ὁ αἰδήμων, καὶ αἰδῶ αἰδέσω ὅθεν τὸ αἰδεσθῆναι, οὕτω καὶ ἔδω βαρύτονον ἀφ' οὗ ἡ ἐδωδή. καὶ ἐδῶ περισπώμενον. οὗ ὁ μέλλων, οὐ μόνον ἐδήσω τὸ παράγον τὴν ἐδητὺν, ἀλλὰ καὶ ἐδέσω ἀφ' οὗ τὸ ἔδεσμα. Παυσανίας δὲ, παράγει καὶ χρήσεις τοιαύτας. Πλάτων σοφιστῇ ἐν τρισὶ πληγαῖς ἀπηδέσθη τὸ ῥάμφος καὶ ἐν ἑορταῖς. κατηδέσθημεν ἂν καὶ κατεκόπημεν εὐθύς. ὁ δ' αὐτὸς λέγει καὶ ὅτι θριπήδεστα ξυλήφια τὰ ὑπὸ θριπῶν βεβρωμένα, ὡς ἀπὸ τοῦ ἔδω. οἷς ἐχρῶντο φησὶν οἱ σφόδρα οἰκονομικοὶ ἀντὶ γλυπτῶν σφραγίδων. τινὲς δὲ, αὐτὰ πεντασυλλάβως θριπηδέστατα εἶπον. ἐκ τοῦ ἔδειν δὲ, καὶ ἡ τερηδὼν θηρίδιόν φασι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ξυλοφάγον. οὗ ἡ χρῆσις καὶ παρὰ Ἀριστοφάνει ἐν ἱππεῦσι. τείρει γὰρ καὶ ἔδει τὸ παραπεσόν. ἐκ τοῦ αὐτοῦ δὲ ῥήματος, καὶ ὁ παρὰ Αἰλίῳ Διονυσίῳ ἐδέατρος. περὶ οὗ λέγει ἐκεῖνος ὅτι τὸ μὲν ὄνομα, Ἑλληνικὸν. ἡ δὲ χρεία, περσική. ἦν δέ φησι προγεύστης. προεσθίων τοῦ βασιλέως, εἰς ἀσφάλειαν. ὕστερον δὲ ἐνομίσθη, ἐδέατρον καλεῖν τὸν ἐπιστάτην τῆς ὅλης διακονίας καὶ παρασκευῆς. δῆλον δὲ ὡς αὐτοῦ τοῦ ἔδω βαρυτόνου ῥήματος, οὐ φαίνεται κλίσις εἰς μέλλοντα καὶ τοὺς ἑξῆς χρόνους, ὅτι μὴ μόνον ἐπὶ τοῦ ἐδήδοκα παρακειμένου καὶ τοῦ ἐδηδόκειν ὑπερσυντελίκου. οἳ γίνονται οὕτω. ἔδω. ἔσω. ἧκα καὶ Ἀττικῶς ἔδηκα. καὶ πλεονασμῷ, ἐδήδοκα. ὑπερσυντέλικος ἐδηδόκειν. γίνεται δὲ ὁ πλεονασμὸς τῆς δ¯ο συλλαβῆς, ἵνα ἔχῃ ὁ Ἀττικὸς παρακείμενος τρίτην συνήθως συνεσταλμένην παραλήγουσαν, ὡς, καὶ ἐπὶ τοῦ ἀγήοχα γίνεται. ἄγω γὰρ ἄξω. ἦχα. καὶ κατὰ Ἀττικοὺς, ἄγηχα. καὶ πλεονασμῷ, ἀγήοχα. (ῃερς. 151.) Ὅτι οἰκεῖον ἐπί τινων τρυφώντων εἰπεῖν τὸ, τούτοις μὲν ἐνὶ φρεσὶν ἄλλα μέμηλε, μολπήτ' ὀρχηστύς τε. τὰ, γὰρ ἀναθήματα δαιτὸς ἐπὶ δὲ τῶν ἀλλοτρίοις καλοῖς ἐντρυφώντων, καλὸν εἰπεῖν τὸ, τούτοις μὲν, ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή. ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν. ὡς εἴπερ δηλαδὴ μὴ ἀλλότρια ἤσθιον ἀλλὰ ἐπονοῦντο περὶ κτῆσιν οἰκείαν, οὐκ ἂν ἀπησχόλουν ἑαυτοὺς εἰς κιθαρῳδίαν καὶ λοιπὰ ὁπόσα συμποσίοις πρέπουσιν. Ἔστι δὲ τὸ μέμηλε, μέσου παρακειμένου, καὶ γίνεται κατὰ συγκοπὴν ἐκ τοῦ μεμέληκα. ὡς ἐκ τοῦ λελάληκα τὸ λέληκα. καὶ τοῦ βεβούληκα τὸ βέβουλα. πάνυ δὲ βαρέως ἡ λέξις ἔχει. οὐ γὰρ ἁπλῶς οἷά τι σύμβαμα τὸ κακὸν τοῖς μνηστῆρσι καί τις ποιότης παθητική, ἀλλὰ σπουδὴ καὶ ἄντικρυς μέλημα. θαμίζουσι γοῦν ἐς Ὀδυσσέως οἱ ἀκόλαστοι, ὡς ἐς διδασκάλου, καὶ ὡς ἑκάστοτε τρυφῶσι. καὶ οὐκ ἔστιν αὐτοῖς καθά τις εἶπεν, ἀποτακτὸς ἡμέρα οἰνῶσαι σῶμα ἀμέτροισι πότοις. (ῃερς. 152.) Καὶ ὅρα ἐνταῦθα τὸ, ἡ ἀποτακτὸς θηλυκόν. ὅμοιον ὂν τῷ, κλυτὸς Ἱπποδάμεια. καὶ τῷ, τυτθὸς κύλιξ. καὶ τῷ, ἀγγελθεῖσά μοι γενναῖος. καὶ τῷ, ἡ Λαῒς ἀργός ἐστι καὶ πότις. καὶ τῷ, τιθασσὸς γέγονεν, ἡ αὐτὴ δηλαδὴ Λαΐς. Μολπὴν δὲ ἐνταῦθά φησι, τὴν μετὰ ᾠδῆς παιδιὰν τὴν τῷ μέλει ἑπομένην ὡς δοκεῖ τοῖς παλαιοῖς. Δαιτὸς δὲ ἀναθήματα ἡ μολπὴ καὶ ἡ ὀρχηστὺς, ἀντὶ τοῦ ὥσπερ ναοῖς ἀναθήματα, οὕτω καὶ αὐτὰ κόσμος τις ἀνακείμενος τῇ δαιτί. δῆλον δὲ, ὅτι τῇ πολυτελεῖ. οὐ γὰρ τῆς τυχούσης ἁπλῶς δαιτός ἐστιν ἀναθήματα τὰ τοιαῦτα. τῆς γοῦν τοῦ Τηλεμάχου δαιτὸς, ἀναθήματα οὐκ εἰσίν. ὃς καὶ μέμφεται αὐτά. ἔστι δ' ἐνταῦθα εἰπεῖν, καὶ ὅτι τὸ τὴν μολπὴν ἀνάθημα δαιτὸς εἶναι, παραποιήσεως λόγῳ ταυτόν ἐστι 1.39 τῷ, φόρμιγξ δαιτὶ ἑταίρη καθ' Ὅμηρον. εἰς ὃ γράφει Ἀθήναιος, ὅτι ἀποδέδοται ἡ φόρμιγξ ταῖς συνουσίαις, ἐπανορθώσεως χάριν καὶ ὠφελείας. ἰατρεύει γάρ φησιν ὕβριν καὶ ἀκοσμίαν ἡ μουσική. καὶ αὐθάδειαν παύει. περιαιρουμένη γὰρ τὴν στυγνότητα, ποιεῖ πρᾳότητα καὶ χαρὰν ἐλευθέριον. Τὸ δὲ κίθαρις, ἀπὸ τοῦ κιθάρα. ὡς ἀπὸ τοῦ χαρὰ χάρις. καὶ δαμάλη δάμαλις. καὶ ἄκρη ἄκρις. ὡς τὸ, ἄκριας ἠνεμοέσσας. ὧν ἐκ μὲν τοῦ ἄκρη, ἀκραία Ἥρα. ἐκ δὲ τοῦ ἄκρις, ἄκριος Ζεύς. (ῃερς. 160.) Ἰστέον δὲ, ὡς οἱ ἀλλότριον βίον ἔδοντες, ἀλλοτριοφαγεῖν τε λέγονται, καὶ δειπνομανεῖς εἶναι. χρῆσις δὲ τοιούτων λέξεων, παρὰ τῷ δειπνοσοφιστῇ. ἔνθα ἱστορεῖ ἐκεῖνος ὡς ὁ παρῳδὸς Τίμων Ὁμηρικὸν ἔπος τὸ οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων κραδίην δ' ἐλάφοιο, παραποιήσας, ἔγραψε περί τινος ἀλλοτριοφάγου ἴσως δὲ καὶ δυσμόρφου καὶ ἀτέγκτου τὸ ἦθος, οὕτω. δειπνομανὲς νεκροῦ ὄμματ' ἔχων κραδίην δ' ἀκύλιστον. Ἰστέον δὲ ὅτι Ἕρμιππος ὁ κωμικὸς εἰπὼν ὡς Διὸς βαλάνους καὶ ἀμύγδαλα σιγαλόεντα Παφλαγόνες παρέχουσιν, ἐπάγει Ὁμηρικῶς τὸ, τὰ γὰρ ἀναθήματα δαιτός. ἤγουν ἱερά τινα κειμήλια. κεῖται γάρ φασι τὸ ἀνατιθέναι καθὰ καὶ τὸ ἀνακεῖσθαι, ἐπὶ τοιούτων. διὸ οἱ ἐπὶ κατακειμένων λέγοντες τὸ ἀνακεῖσθαι, διεσύροντο. ὡς δηλοῖ Δίφιλος ἐν τῷ, ἐγὼ δ' ἕως μέν τινος, κατεκείμην, πρὸς ὃν δυσχεραίνων ὁ ἀκούων, ἔφη. ἀνάκεισο. ὡς εἴπερ εἶπεν, ἔσο ἄψυχος ἀνδριάς. πάλιν δέ τινος εἰπόντος, δειπνῶν ἀεὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνακείμενος παρ' αὐτὸν, ἐπιφέρει ὁ ἀκούσας. πότερον ἀνδριάντα εἰστία; Ἔτι ἰστέον καὶ ὅτι ὁ ἀλλοτριοφαγῶν κατὰ τοὺς μνηστῆρας, τεχνίτης εἶναι λέγοιτ' ἂν, τοῦ ἀσυμβόλως δειπνεῖν, ἤγουν δωρεάν. δίχα συμβολῆς, ἤτοι δαπάνης τῆς οἴκοθεν. ὅπερ ὁ Χαλκιδεὺς Κτησίβιος εἰπεῖν λέγεται πρὸς τὸν ἐρωτήσαντα τί περιγέγονεν αὐτῷ ἐκ φιλοσοφίας. ἀπεκρίνατο γὰρ ἐκεῖνος, τέχνην ἐκεῖθεν σχεῖν, τοῦ ἀσυμβόλως ὡς ἐῤῥέθη δειπνεῖν. εὔστοχος ὢν φασι καὶ χαρίεις περὶ τὸ γελοῖον. Χρῆσις δὲ ἀλλοτριοφαγίας μνηστῆρσι καὶ αὐτὴ πρέπουσα τοῖς καὶ ἐκ διαφόρων τόπων συγκεκροτημένοις καὶ κολάσεως δὲ ἀξίοις καὶ τὸ, μαστιγίαι κέντρωνες ἀλλοτριοφάγοι. ὃ δὴ ἐκ τῶν τοῦ Σοφοκλέους εἶναι λέγεται. (ηερς. 155.) Ὅτι τὴν τοῦ σοφοῦ Φημίου κίθαριν, περικαλλέα φησί. καὶ ἀείδειν αὐτόν φησι παρὰ μνηστῆρσιν, ἀνάγκῃ. τουτέστι βίᾳ καὶ ἄκοντα. φιλόσοφος μὲν γὰρ ὁ Φήμιος καθὰ καὶ πᾶς ἀοιδός. ὑπερφίαλοι δὲ οἱ μνηστῆρες. καὶ οὐδὲν ἑκουσίως κοινὸν ἀμφοτέροις. Τὸν δὲ Φήμιον, ἡ παλαιὰ ἱστορία διδάσκαλον γενέσθαι λέγει τοῦ ποιητοῦ, ἄνδρα σοφὸν καὶ μούσαις κάτοχον. διὸ καὶ τὸν Ἰθακήσιον ἀοιδὸν ὁ ποιητὴς, οὕτω πλάττει καλεῖσθαι. ἐγκατατιθέμενος τῇ ποιήσει, τὸ τοῦ διδασκάλου ὄνομα οἷα κενηρίῳ λαμπρῷ εἰς κλέος ἀείμνηστον. φασὶ δὲ καὶ ὅτι τὴν τοῦ Ὁμήρου μητέρα Κρηθηΐδα ἐκεῖνος ὁ ἀληθὴς Φήμιος ἔπεισε συνοικήσειν αὐτῷ. ἐπιμαρτύρεται δὲ ὁ ποιητὴς τῷ Φημίῳ τούτῳ, οὐ μόνον σύνεσιν εἴπερ ἀνάγκῃ παρὰ τοῖς μνηστῆρσιν ἀείδει, ἀλλὰ καὶ σοφίαν ἐν οἷς πολλὰ λέγει αὐτὸν εἰδέναι βροτῶν θελκτήρια. ὅλως γὰρ ὁ ποιητὴς, σοφοὺς καὶ φιλοσόφους πλάττει τοὺς ἀοιδούς. καὶ αὐτοδιδάκτους εἶναι φησί. καὶ ὡς εἰπεῖν, θυμοσόφους. καὶ κατὰ Πίνδαρον, αὐτόθεν φυᾷ εἰδότας. καὶ θεοῖς φησὶ καὶ ἀνθρώποις ἀείδειν αὐτούς. καὶ τὸν θεὸν αὐτοῖς ἐν φρεσὶν, οἴμους παντοίας ἐμφύειν. οὐ μόνον δὲ τὸ τοῦ Φημίου ἐνταῦθα ὄνομα ἐξ ἀληθοῦς τινος Φημίου οἱ ἱστοροῦντες μετηνέχθαι φασὶν, ἀλλὰ καὶ τὸν ῥηθέντα Μέντην. ναὶ μέντοι καὶ τὴν τοῦ μετὰ ταῦτα ῥηθησομένου Μέντορος κλῆσιν. φασὶ γὰρ καὶ αὐτοὺς, ἑταίρους φίλους γενέσθαι τῷ ποιητῇ. τὸν μὲν, ναύκληρον ὄντα. τὸν Μέντην. πεπαιδευμένον ἄνδρα καὶ πολυΐστορα. ᾧ συμπλέων ὁ ποιητὴς, ἱστορίαν συνῆγε. τὸν δὲ Μέντορα, Ἰθακήσιον. παρ' ᾧ κατελείφθη καὶ ἐνοσοκομήθη ὁ ποιητὴς ὅτε πλέων ἐξ Ἰβηρίας μετὰ τοῦ Μέντου, δεινῶς ἐνόσησε τοὺς ὀφθαλμούς. καὶ διατοῦτο καὶ αὐτοὺς ἀπεσέμνυνεν ὁ ποιητὴς, τῷ εἰς αὐτοὺς μετασχηματισμῷ τῆς Ἀθηνᾶς. Ὅτι δὲ καὶ ὁ Θερσίτης καὶ ὁ Τυχίος καὶ ὁ Ἔχετος ἐπὶ Ὁμήρου γινόμενοι ἀνεχρονίσθησαν ὡς πάλαι ποτὲ γεγονότες, ἐν ταῖς παλαιαῖς ἱστορίας εὑρίσκεται. (ηερς. 155.) Ὅτι τὸ, ἤτοι ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν, ἐλλιπῶς ἔχει ὡς καὶ τὸ, χέρνιβα ἐπέχευε νίψασθαι. λείπει γὰρ τὸ ὥστε ἢ τοιοῦτόν τι. ἵνα λέγῃ ὅτι ὕδωρ ἐπέχεεν ὥστε νίψασθαι, καὶ ἀνεβάλλετο ὥστε καλὸν ἀείδειν. Τὸ δὲ ἤτοι, ἰσοδυναμεῖ φασι τῷ μέν. διὸ καὶ ἐκ παραλλήλου κεῖνται ποτέ. ὡς ἐν τῷ, ἤτοι μὲν τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ. τίθεται δὲ ἀεὶ ἐν ἀρχῇ. ὡς καὶ ὁ ἀτ¯αρ καὶ ὁ αὐτ¯αρ καὶ ὁ ἠδὲ ἀντὶ τοῦ κα¯ι. οἳ καὶ αὐτοὶ παραλληλίζονται ἐν τῷ, ἠδέκε καὶ ᾧ παιδὶ κλέος ἤρατο. Τὸ δὲ ἀνεβάλλετο, ἀντὶ τοῦ προανεκρούετο ὡς ᾀσόμενος. ἤτοι προοιμιάζετο. ἀναβολὴ γὰρ, οὐ μόνον ἐπὶ ἀργίας τίθεται καὶ ἱματισμοῦ, ἀλλὰ καὶ ἐπὶ προοιμίου, καθὰ δηλοῖ καὶ 1.40 ὁ κωμικὸς ἐν τοῖς Ὄρνισιν. ἢ τὸ ἀνεβάλλετο, ἀντὶ τοῦ πνεῦμα συνῆγεν ὥς φασιν οἱ παλαιοί. ἢ μᾶλλον, ἀντὶ τοῦ ἀνῆγεν. ἀναβάλλειν γὰρ, καὶ τὸ ἀνάγειν. οἱ γοῦν ὀρύσσοντες, ἀναβάλλειν χοῦν λέγονται. καὶ ἡ τοιαύτη γῆ, ἀμβολὰς λέγεται. ἀναβάλλεται δὲ καὶ ὕδωρ, διὰ σωλήνων ἢ κίονος ἢ οὕτω πως ἀναβαῖνον, ἢ καὶ ἄλλως ἀναπηδῶν. ὡς δηλοῖ παρὰ Καλλιμάχῳ τὸ, κρήνη λευκὸν ὕδωρ ἀνέβαλλεν. ἀναπιδύον δηλαδὴ καὶ ἀναβλύζον. καὶ μύρμηκες δὲ, ἀναβάλλουσι κάτωθεν χοῦν. ὅπερ ἐναντίον τῷ καταβάλλειν ἐστὶν, ἤτοι κάτω βάλλειν τουτέστι ῥίπτειν. Σημείωσαι δὲ ὡς εἴπερ τὸ ἀνεβάλλετο, ταυτόν ἐστιν ὡς εἴρηται τῷ ἀνῆγεν, ἰσοδυναμεῖ ἄρα τὸ ἀνεβάλλετο. πρὸς τὸ ἀνείκατο ἤγουν ἀνενήνεγκεν. οἷον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνενείκατο φώνησέν τε. κατὰ σύμμετρον δηλαδὴ ἀνάτασιν. οὐ μὴν ἐφ' ὁποίᾳ ᾠδῇ ἐσκώφθη τις μεγαλοβόας, ἀκούσας οὐκ ἐν τῷ μεγάλῳ κεῖσθαι τὸ εὖ, ἀλλ' ἐν τῷ εὖ τὸ μέγα. ὅπερ εὖ ὑποδηλοῖ Ὅμηρος ἐν τῷ, καλὸν ἀείδειν. τὸ γὰρ εὖ τῆς κατὰ μουσικὴν ᾠδῆς, τὸ καλὸν ἀείδειν ἐστίν. ᾧ συντρέχει, καὶ τὸ μέγα. ἐπειδὴ ἀληθῶς τὸ τῆς μουσικῆς καλόν, καὶ εὖ ἔχει, καὶ μεγαλεῖον ἐστίν. Ἰστέον δὲ καὶ ὅτι τοῦ ἀνηνέγκατο ταυτόν δ' εἰπεῖν ἀνενείκατο ποιητικῶς, χρῆσις παρὰ Αἰλιανῷ. εἰπόντι περὶ Κροίσου τὸ, ὁ δὲ, ἀνηνέγκατο ἄρα ἤγουν ἐκ βάθους ἐξεβόησε καὶ ἐς τρὶς ἐκάλεσε τὸν Σόλωνα. Ἔτι ἰστέον καὶ ὅτι κυρίως μὲν βάλλειν, τὸ βίᾳ ἢ ἐκ βιοῦ ὅ ἐστι τόξου ἰάλλειν ἢ ἅλλεσθαι τὸ ἀφιέμενον. ἐν δὲ ῥητορικῷ λεξικῷ φέρεται, ὡς τρία σημαίνει τὸ βάλλειν. τὸ προέσθαι. τὸ ῥίψαι. τὸ τρῶσαι. ἀφ' ὧν κατὰ διαφόρους κινήσεις τὲ καὶ ἐννοίας, ποικίλαι σημασίαι ἀναφαίνονται ἐν διαφόροις λόγου μέρεσι. τοιαῦτα γοῦν τινα ἐκ τῶν σημαινομένων τοῦ βάλλειν γίνονται. τὸ βέλος. καὶ ἡ βολίς. καὶ ἡ βολὴ ἡ ἐπιτυχὴς δηλαδὴ καὶ εὔστοχος· ἀφ' ἧς καὶ ἐπήβολος, ὁ τυχὼν πράγματός τινος, οἷον παρ' Ὁμήρῳ, νηὸς ἐπήβολος. παρὰ δὲ τοῖς ὕστερον, κατ' ἐξοχὴν ὁ συνετός. οἱονεὶ ὁ τοῦ κυριοτάτου ἐπιτυχὴς, τοῦ φρονεῖν. ἐκ τῆς βολῆς δὲ, καὶ ὁ βολαῖος θύννος. καὶ ἡ βουλὴ ἐπενθέσει τοῦ ¯υ. καὶ ἡ συμβουλὴ τὸ ἐπιτυχὲς σύσκεμμα. τρία δὲ σημαινόμενα τῆς βουλῆς. ὁ τόπος. οἱ βουλευταί. καὶ αὐτὸ τὸ περὶ οὗ ἡ σκέψις. βολῆς δὲ σύνθεσις, ποιεῖ καὶ μεταβολὴν καὶ ὑπερβολὴν, τὰς ἐπαμφοτεριζούσας. οὔτε γὰρ ἡ ὑπερβολὴ ἀεὶ κακίζεται, οὔτε μεταβολὴ πόντων ἡδὺ ἐξ ἀνάγκης κατ' Εὐριπίδην. ἔτι ἀπὸ τοῦ βάλλειν, καὶ βαλβίδες. οὐ μόνον αἱ ἐπὶ ἀφέσεως δρομέων γραμμαὶ κατὰ Αἴλιον Διονύσιον, ἀλλὰ καὶ ὅσαι ἐν φρέασι καὶ ἄλλοις τοιούτοις ἐγκοπαί φησι καὶ ἐξοχαὶ δι' ὧν κατίασιν εἰς αὐτά. αἷς βαλβίσιν, ὅμοιόν τι κατὰ ἔννοιαν, καὶ ὁ βατήρ. ὃς ἦν ἀρχή φησι τοῦ τῶν πεντάθλων σκάμματος. ὅθεν καὶ παροιμία, αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου. ὡς οἷον εἰπεῖν, τὸ πρῶτον καὶ ἐπικαιρότερον. ἔτι ἐκ τοῦ βάλλειν ἢ τῆς βολῆς, καὶ ὁ πρωτόβολος ἵππος. οὗ χρῆσις ἐν τῷ, τὰ τέλεια ἐπὶ πλείστων γενῶν καὶ κατηρτυκότα, λειπογνώμονα καλεῖται, διὰ τὸ μηκέτι ἔχειν ὀδόντας τοὺς γνώμονας καλουμένους, οἷς ἐπιγινώσκουσιν οἱ ἔμπειροι τοὺς πρωτοβόλους. ὁ δὲ τοῦτο γράψας Ἀριστοφάνης, λέγει καὶ Ἀττικήν τινα δωδεκῆδα θύεσθαι λεγομένην λειπογνώμονα, οἷον τελείαν. καὶ ὅτι ἔνιοι, τὸν ῥηθέντα ὀδόντα, οὐ γνώμονα καλοῦσιν ἀλλὰ γνῶμα, οἷον, νέα δ' ἔτ' ἐστίν. οὐχ' ὁρᾷς; καὶ γνῶμα ἔχει. καὶ πάλιν. γνῶμα γοῦν βέβληκεν ὡς οὗσ' ἑπτέτης. ἔστι δὲ τὸ γνῶμα, κατὰ τὸ βρώμη βρῶμα. οὕτω γὰρ καὶ ἐκ τοῦ γνώμη, τὸ γνῶμα, ἔτι ἀπὸ τοῦ βάλλειν καὶ τῆς βολῆς, καὶ ὁ βολεὼν Ἀττικῶς ὅ ἐστι κοπρὼν ἤτοι κοπροβολεῖον. οὗ κόπρος δηλαδὴ ζώων βάλλεται ἤγουν ῥίπτεται. ἀκόλουθον δὲ τοῖς βολεῶσι, καὶ τὸ βόλιτον ἢ βόλβιτον ἐπὶ κόπρου νοούμενον. ἔτι ἡ βολὴ, καὶ τὸν βόλον παράγει τόν τε κυβευτικὸν καὶ τὸν κατὰ θαλάσσης ἀφιέμενον. εἴτε δικτύου ἐκεῖνος, εἴτε διὰ μολίβδου ἢ λίθου. ἀφ' οὗ καὶ βολίζειν τὸ σημειοῦσθαι διὰ καθέσεως βόλου, εἰ βαθὺ τὸ ὕδωρ. καὶ οὐ τὸ βολίζειν μόνον ἐκεῖθεν, ἀλλὰ καὶ τὸ βολῶ βολήσω. ἐξ οὗ τὸ, πένθεϊ τὸ ἀτλήτῳ βεβολήατο, ἤγουν βέβληντο κατὰ συγκοπήν. τοιούτου δὲ ῥήματος σύνθετον, καὶ ἀντιβολῶ τὸ συναντῶ καὶ παρακαλῶ, ἐκεῖθεν καὶ τὸ παρ' Ὁμήρῳ βλῆτρον. ὡς τὸ κολλητὸν βλήτροισιν. ἐκ τοῦ βάλλειν, καὶ ὁ τοῦ ἄρτου βλωμός. ἐκ τοῦ αὐτοῦ δὲ σύγκειται καὶ τὸ ἀβληχρόν. ὃ δηλοῖ ποτὲ μὲν, τὸν μὴ βαλλόμενον χροῦν. ποτὲ δὲ καὶ τὸν βαλλόμενον, ὡς πλεονάζοντος τοῦ ¯α. τῆς βολῆς ἔργον, καὶ ὁ παλίμβολος, οὐ μόνον ὁ κοινότερον οὕτω λεγόμενος, ἀλλὰ καὶ ὁ ἐπὶ δούλου ἐν τῷ, παλίμβολος τρίπρατος καὶ πολλάκις ἀπημπολημένος. ἴσως δὲ ὁ τοιοῦτος ἐκεῖθεν γέγονεν ὅθεν καὶ ὁ μεταβολεύς. ἵνα ᾖ παλίμβολος δοῦλος, ὃν πάλιν καὶ πάλιν οἱ τῶν ἀνδραπόδων μεταβολεῖς ἤλλαξαν οἷα τρίπρατον. ὅτι δὲ πραγματευτικὴ λέξις ὁ μεταβολεὺς, δηλοῖ ὁ τῶν ἀλφίτων μεταβολεὺς καὶ τῶν ὀβολῶν καὶ τοῦ 1.41 χρυσίου. Ἔτι ἐκ τῆς βολῆς, καὶ ἡ τοῦ σίτου ἐκβολὴ παρὰ Θουκυδίδῃ. ὅ ἐστιν, ἡ πρώτη ἐκ τῆς κάλυκος τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσταχύων ἔκφυσις. ἐκ τῶν ῥηθέντων, γίνεται καὶ ὁ παρὰ τῷ κωμικῷ ἀρύβαλλος παρὰ τὸ ἀρύεσθαι καὶ βάλλειν. ἢ καὶ ἄλλως, ἐκ τοῦ ἀρύττειν καὶ βάλλειν ὡς ὁ Ἀθήναιος γράφει. ὃς λέγει καὶ ὅτι δύο σημαινόμενα τοῦ ἀρυβάλλου. βαλάντιόν τε συσπαστὸν ὃ καὶ σημειωτέον εἰς τοὺς ἱππεῖς τοῦ Ἀριστοφάνου, καὶ ποτήριον δὲ, οὐ πόῤῥω ὂν ἀρυστίχου. κάτω μὲν, εὐρύτερον. ἄνω δὲ, συνηγμένον ὡς τὸ ῥηθὲν βαλάντιον. τοιοῦτον δέ τι καὶ ἡ παρὰ τῷ αὐτῷ ῥήτορι βῆσα γραφομένη δι' ἑνὸς σίγμα καθὰ καὶ ἡ Ὁμηρικὴ πόλις ἡ ἐν τῇ Βοιωτίᾳ ἤτοι ἐν τῷ καταλόγῳ τῶν νηῶν. φησὶ γάρ. βῆσα, ποτήριον παρὰ Ἀλεξανδρεῦσι. πλατύτερον ἐκ τῶν κάτω μερῶν, ἐστενωμένον ἄνωθεν. ἔτι ἐκ τῶν εἰρημένων παράγεται καὶ τὸ εὐθυβόλως ἐπίῤῥημα. καὶ ὁ βολβὸς τὸ κατὰ γῆς κρομυῶδες, ὁ βίᾳ γῆθεν ἀναβαλλόμενος κατὰ Ἡρῳδιανόν. καὶ ἡ ἀσβόλη, ἡ ἄσιν ὅ ἐστι ῥύπον βάλλουσα κατὰ ὄψεως. καὶ ὄσπρια κερασβόλα παρὰ Πλουτάρχῳ καὶ ἑτέροις, τὰ καὶ ἀτεράμονα. καὶ ὁ ἄβολος ἵππος, ὁ μηδέπω φασὶν ἐκβεβληκὼς πῶλος τὸν εἰρημένον γνώμονα ὀδόντα. ὁμοίως ἐκεῖθεν, καὶ ὁ τῆς νηὸς ἔμπροσθεν ὀξὺς ἔμβολος. ἀφ' οὗ καὶ τὸ ἀνδρεῖον αἰδοῖον παρὰ τοῖς κωμικοῖς, ἔμβολον καὶ τριέμβολον. ἐκεῖθεν καὶ ὑπόβολον οὐ μόνον τὸ παρὰ νομικοῖς, ἀλλὰ καὶ τὸ ὑποβεβλημένον ἤγουν ὑποκείμενον πρὸς δάνειον καὶ τόκον, εἴτε ἀγρὸς εἴτε οἶκος εἴτε ἄλλο τι. Φερεκράτης. οὐχ' ὁρᾷς τὴν οἰκίαν τὴν Πολυτίωνος κειμένην ὑπόβολον; δῆλον δὲ ὅτι καὶ ἕτερον ἦν ὑπώβολον ἐκτεῖνον τὴν προπαραλήγουσαν, καὶ δηλοῦν τὸ ὑποκείμενον ἐπὶ ὀβολιμαίῳ τόκῳ. τοῦτο μέντοι, οὐκ ἀπὸ τῆς βολῆς ἢ τοῦ βόλου, ἀλλὰ ἐκ τοῦ ὀβολοῦ. ὃς καὶ αὐτὸς, ἐκ τῆς βολῆς καὶ τοῦ βάλλειν γίνεται καθὰ καὶ ὁ ὀβελός. ὃς καὶ ἐκ τοῦ βέλους δύναται εἶναι πλεονασμῷ τοῦ ¯ο. ἀφ' ὧν ἤτοι τοῦ ὀβολοῦ καὶ τοῦ ὀβελοῦ, τὸ Ὁμηρικόν τε πεμπώβολον, καὶ ἄρτος ὀβελίας ὁ ἐπὶ τοῖς ὀβελοῖς ὀπτώμενος. καὶ ἀκρωβελίας, ἄκρον ὀβολιαίου ἄρτου. καὶ ἐπωβελία, τὸ ἐπιδέκατον κατὰ τοὺς παλαιούς. καὶ ἡμιωβολιαῖον, τὸ τιμώμενον ἡμίσεος ὀβολοῦ. καὶ τριώβολον, μισθὸς δικαστικός. καὶ οἱ ἁπλῶς τρεῖς ὀβολοί. ἐξ ὧν τριωβολιμαῖος, ὁ εὐτελής. καὶ τετρωβολίζειν, τὸ λαμβάνειν δικαστικὸν τετρώβολον. ἐγένετο γάρ φασι καὶ τοσοῦτον ποτέ. καὶ τετρωβόλου βίος παρὰ Παυσανίᾳ, ἀντὶ τοῦ στρατιώτου μισθὸς. καὶ ἀμφώβολά φασι παρὰ Σοφοκλεῖ, αἱ διὰ σπλάγχνων μαντεῖαι. καὶ τοιαῦτα μὲν ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν, τὰ τοῦ βάλλειν παρακινήματα. ἐν οἷς τηρητέον, καὶ ὅτι ἐκ τοῦ βάλλω καὶ ἐν συγκοπῇ βλῶ καὶ παραγωγῇ βλάζω, γίνεται βλὰξ βλακὸς, ὁ καταβεβλημένος οἷον καὶ μὴ δυνάμενος ὀρθοῦσθαι διὰ τρυφὴν ἢ καὶ εὐήθειαν. ὅθεν φασὶ καὶ βλὰξ, ἰχθὺς τέλεον ἀχρεῖος ὡς μηδέν τι ζῷον ἐσθίειν αὐτοῦ. καὶ βλακεύβεσθαι δὲ, τὸ μωραίνειν. καὶ βλακεύματα, αἱ εὐήθειαι. Ξενοφῶν δὲ, βλακεύεσθαι ἔφη τὸ νωθρεύεσθαι. αὐτὸ δὲ τὸ βάλλειν ἐν ἁπλότητι μὲν, ἔστιν ὅτε δοκεῖ καὶ τὸ ἀπάγειν σημαίνειν. ὡς ἐν τῷ, βάλλ' ἐς κόρακας. ἤγουν ἄπαγε εἰς ὄρη καὶ κρημνοὺς, ὡς καὶ ἐν τοῖς ἑξῆς που κεῖται. καὶ βάλλ' ἐς μακαρίαν. ἤγουν ἄπαγε εἰς ὄλεθρον ἢ εἰς ᾅδου. ἐπειδὴ οἱ νεκροὶ μακαρίται λέγονται. ἢ καὶ ἄλλως, ἐπεὶ Μακαρία Ἡρακλέος θυγάτηρ ὅτε Ἀθηναίοις Εὐρυσθεὺς ἐπεστράτευσεν, ἑαυτὴν ἐπέδωκεν εἰς σφαγὴν ὑπὲρ σωτηρίας τῶν πατριωτῶν. ὅτε δὲ καὶ συντεθῇ τὸ βάλλειν μετὰ ἑκάστης τῶν προθέσεων, πλείω τὴν ποικιλίαν ἐκφαίνει. ἐμβάλλειν οὖν κυρίως, τὸ εἰς μάχην συμπλέκεσθαι. ὅθεν καὶ στρατοῦ ἐμβολὴ καὶ κυμάτων. καὶ ἡ παρεμβολὴ δὲ καὶ τὸ παρεμβάλλειν, λέξεις στρατιωτικαί. ἡ μέντοι ἐπεμβολὴ οὐ τοιοῦτόν τι, ἀλλὰ σχῆμα ῥητορικόν ἐστιν. ἀνάλογον δὲ αὐτῇ, καὶ τὸ ἐπεμβάλλειν, ἐξ οὗ γέγονε. δοκεῖ δὲ, καὶ ἄλλο τι δηλοῦσθαι διὰ τοῦ ἐπεμβάλλειν. εἴτις ἐνθυμηθείη τὸν Ἀριστοτέλην, ἀπίους ἐμβολάδας εἰπόντα, τὰς ὡς οἱ πολλοί φασιν ἐγκεκεντρισμένας. ὡς εἶναι ἐπεμβάλλειν, καὶ τὸ ἐπὶ τὸ προϋπάρχον φυτὸν ἐντιθέναι ἄλλου φυτοῦ κλαδίσκον, οὗ ὁ καρπὸς, ἐπεμβολὰς ἂν λέγοιτο, τὸ δὲ τοιοῦτον ἐπεμβάλλειν, ἐμφυλλίζειν καὶ ἐγκεντρίζειν ἡ κοινὴ γλῶσσα φησί. ἄλλως δέ γε ἀπὸ τοῦ ἐμβάλλειν, καὶ μῆνες ἐμβόλιμοι καὶ ἐνιαυτοί. καὶ ἔμβολος, ὁ κατωτέρω ἔκβολος. τὸ δὲ εἰσβάλλειν καὶ ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰσβολὴ, ἀρχήν τινα ἔργου ἢ πάθους ἢ καὶ τοπικὴν, ἐμφαίνει. ὡς καὶ ὅτε εἰσβολὴν ὅρους εἴποι τις. ἐκβάλλει δὲ ποταμὸς εἰς θάλασσαν, ἤγουν ἐξάγει καὶ ἀπερεύγεται ὃν κατασύρει συρφετόν. ἐξ αὐτοῦ δὲ, καὶ ὁ ἔκβλητος παρ' Εὐριπίδῃ. καὶ ὁ ἐπὶ ὀξέος ἀκρωτηρίου ἔκβολος. ὁποῖον καὶ τὸ ἀντικρὺ ῥόδου ὃ τριήρους παραυγάζει, σχῆμα τοῖς πόῤῥωθεν βλέπουσιν. ὃς καὶ ἔμβολος λέγεται καθ' ὁμοιότητα τοῦ ἀνωτέρω ῥηθέντος ἐμβόλου τῆς νεώς. καὶ τὸ συμβάλλειν δὲ, μάχιμόν ποτε καὶ αὐτὸ καὶ ἡ ἀπ' αὐτοῦ συμ 1.42 βολή. ἔστι δ' ὅτε καὶ τὸ ἁπλῶς ὁμοῦ ἰέναι δηλοῖ. οὕτω γὰρ ὕδατα συμβάλλειν λέγεται. ὅθεν καὶ συμβολὴ ποταμῶν ἣν καὶ ξύνεσιν ὁ ποιητὴς λέγει. καὶ παθητικῶς δὲ συμβάλλεσθαι, τὸ συγκροτεῖν καὶ βοηθεῖν ὁμοῦ ἰόντα. ὅθεν καὶ συμβολὴ ἡ ἐπὶ ἐράνου. καὶ δεῖπνον ἐξ αὐτοῦ ἀσύμβολον παρὰ Ἀθηναίῳ, τὸ δωρεὰν καὶ δίχα ἐράνου. οὗ τις ὑστερήσας, καὶ τάξιν ἄν φασι λίποι. ἔτι συμβάλλειν, καὶ τὸ συναντᾶν. ὅθεν καὶ οἱ κατὰ μαντείαν ἐνόδιοι σύμβολοι, καὶ ἀνὴρ ἀξύμβολος παρὰ τῷ Ἀφροδισιεῖ Ἀλεξάνδρῳ, οἱονεὶ ὁ δυσοιώνιστος καὶ ἀπαίσιος. ἢ καὶ ἄλλως, ὁ ἀσυντελής. ἐκ τοῦ συμβάλλεσθαι τὰ εἰς ὠφέλειαν. ὅθεν καὶ τὰ πολιτικὰ συμβόλαια. ἔκ τινος καὶ αὐτὰ γινόμενα συμβολῆς καθὰ καὶ ἡ συμβουλὴ, πρὸς ὁμοιότητα ἐράνου, ἐπεὶ καὶ ἐν τῇ βουλῇ πολλῶν ἀγειρομένων καὶ συμβολήν τινα ποιησαμένων λογικὴν, κυροῦται τὸ δοκοῦν κράτιστον βούλευμα. ἐπεὶ δὲ ξυμβάλλειν καὶ τὸ συγκρίνειν. ἀκολούθως ἐξ αὐτοῦ, ἀξύμβλητος ὁ ἀσύγκριτος, ὁ καὶ ἀπαράβλητος. ἢ καὶ ᾧ οὐκ ἔστιν ἀπαντῆσαι ὡς Σοφοκλῆς που φησίν. ἄπλαστον ἀξύμβλητον ἐξεθρεψάμεν. καὶ νοεῖν δέ ποτε τὸ συμβάλλειν. ἐξ οὗ καὶ σύμβολα οὐ μόνον τὰ τεκμηριώδη ἁπλῶς, ἀλλὰ καὶ ἰδίως τὰ μαντικά. προβάλλειν δὲ, στάσεως τινὸς καὶ αὐτό. οἷον, προσέβαλε τῷ τείχει. καὶ ὄνομα ἐκ τούτου ἡ προσβολή. προβάλλειν δὲ, οὐ μόνον τὸ προαφιέναι, ἀλλὰ καὶ τὸ προτιθέναι. καὶ προβάλλεσθαι, τὸ προΐσχεσθαι· ἀφ' οὗ καὶ τὸ προφασίζεσθαι καθ' ὁμοιότητα τῶν τιθέντων τι ἐπίπροσθεν τῆς βολῆς ὅθεν καὶ ὅπλον πρόβλημα. καὶ προβλὴς πέτρα ἡ προβεβλημένη τῆς θαλάσσης. μᾶλλον δὲ, ἣν ἡ γῆ προΐσχεται πρόβλημα. οὗ προβλῆτος ὁ σχηματισμὸς, ὅμοιος τῷ, ἐπιβλὴς ἐπιβλῆτος, ὃ δηλοῖ τὸν τῆς θύρας μοχλόν, καὶ ἀβλὴς ἀβλῆτος ἐπὶ ὀϊστοῦ. ἐκ τοῦ προβάλλειν δὲ, καὶ τὸ ῥητορικὸν πρόβλημα. καὶ τὸ κεφάλαιον ἡ προβολή. λεγομένη οὕτως, ἢ διὰ τὸ προτίθεσθαι τῶν ἄλλων, ἢ ὡς πρὸ τῶν λοιπῶν κεφαλαίων βάλλουσα τὸν διωκόμενον. ὅμοιόν τι καὶ ὁ πρόβολος, ὡς οἷον πρόμαχος. ἀναβάλλειν δὲ, οὐ μόνον τὸ ἀνάγειν ὡς ἐν ἀρχῇ τῆς προκειμένης θεωρίας ἐῤῥέθη. ἐξ οὗ καὶ λέβης ἀμβολάδην ζέων, καὶ ἀμβλήδην γοόωσα ὡς καὶ ἐν Ἰλιάδι κεῖται. καὶ ἀμβλίσκειν, καὶ ἀμβλῶσαι, ἀφ' ὧν καὶ ἀμβλωθρίδιον καὶ ἄμβλωμα τὸ οἷον ἀναβληθὲν ἐκ τῆς μήτρας ὡς ἐκ μεταφορᾶς τῶν ἐκ μυχοῦ ἀναβαλλομένων σωμάτων. καὶ τὸ ἀναβάλλειν σφαῖραν ἄνω. καὶ ἡ αὐτῆς εἰς ὕψος ἀναβολή. καὶ τὸ εἰς ἵππον ἀνάγειν καὶ ἔποχον ποιεῖν, ὅθεν καὶ ἀναβολεὺς, οὐ μόνον τὸ σιδήριον ᾧ τοὺς πόδας ἐντιθέντες ἔφιπποι γίνονταί τινες, ἀλλὰ καὶ ἄνθρωπος ὃς εἰς τοιοῦτον ἔργον καθυπουργεῖ. οἷον, τὸν βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν ἤγουν ἀνεβίβαζεν, ἀλλὰ καὶ τὸ ἐνδύεσθαι, ἀναβάλλεσθαι λέγεται. καὶ ὄνομα τούτου, ἡ ἀναβολὴ. ἀναβάλλεσθαι δὲ, καὶ τὸ ἀνατιθέναι τὸ ἔργον. ἀντὶ τοῦ, ὀκνεῖν καὶ ἀναδύεσθαι. ὅθεν καὶ ἀναβολὴ ἡ ἀνάπτωσις. καὶ ἀμβολιεργὸς, ὁ ἀναπίπτων εἰς ἔργον. ἴσως δὲ καὶ ἀμβλὺ, τὸ ἀνάπαλιν τοῦ βάλλοντος ὀξέως. ὃ δοκεῖ ἀναβάλλεσθαι οἷον τὴν ἐνδοτέρω τομήν. τὸ δὲ καταβαλεῖν, καταῤῥίψαι ἐστίν. ὃ δὴ συγκοπὲν, ποιεῖ τὸ καββαλεῖν, ἴσως δὲ καὶ τὴν κοινῶς λεγομένην καβαλῖνα. καθ' ἣν ὁ Κοπρώνυμος, καβαλῖνος ἔσκωπται. περὶ ἧς φέρεται, ὅτι καβαλὶς, δικατάληκτον. ἔγκειται δέ φασιν ἡ κάπη καὶ τὸ ἅλις ἤγουν αὐτάρκως. περίττωμα γάρ ἐστι τῶν ἀπὸ κάπης ἐσθιόντων ἀλόγων. οὔκουν κωλύει τὴν αὐτὴν οὕτω ῥηθῆναι, καὶ παρὰ τὸ τῆς κάπης ἀποβάλλεσθαι. καταβάλλεσθαι δὲ καὶ καταβολὴ, ἐπὶ καταθέσεως εἴτουν ἀποδόσεως. τὸ διαβάλλειν δὲ, οὐ μόνον συκοφαντικὸν ἔχει νοῦν, ὅθεν καὶ ἡ διαβολή. καὶ ὁ παρὰ τῷ Πινδάρῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διάβολος ἄνθρωπος. ὁμοίως δὲ καὶ παρὰ τῷ δειπνοσοφιστῇ ἐν τῷ, οἱ πολλοὶ τῶν τοῦ Πλάτωνος μαθητῶν, τυραννικοί τινες καὶ διάβολοι γεγόνασι. καὶ ἐν τῷ, ὧν εἷς ἐβασίλευε φαῦλος ὢν καὶ διάβολος, ἀλλὰ καὶ ἀντὶ τοῦ ἀπατᾶν καὶ παραλογίζεσθαι τίθεται παρὰ Θουκυδίδῃ. παρὰ τῷ κωμικῷ δὲ ἐν τῷ, διέβαλέ με ἡ γραῦς. μεταβάλλειν δὲ, λέγεται μὲν καὶ ἐπὶ παραφραστικῆς μεθόδου. μεταβάλλειν γὰρ λέγεται λέξεις, ὁ δίγλωσσος. ὅθεν καὶ ὁ τὸ βιβλίον ὅλον τοῦτο παραφράσας Θρᾷξ Δημοσθένης, μεταβολὰς Ὀδυσσείας τὴν τοιαύτην αὐτοῦ πραγματείαν ἐκάλεσεν. ἔστι δὲ καὶ λέξις ἐμπορική, ὅθεν μεταβολεῖς ὁ βολῶν ὡς ἐῤῥέθη καὶ ἀλφίτων καὶ τῶν τοιούτων, οἱ αὐτὰ καταλλάσσοντες. παραβάλλειν δὲ, οὐ μόνον τὸ ἐν παραθέσει συγκρίνειν ὅθεν καὶ ἡ παραβολὴ παράθεσις οὖσα ὁμοιωματικὴ ἐπὶ σαφηνείᾳ τῶν ὑποκειμένων. καὶ τὸ παραβαλεῖν οὖς ἤγουν πλαγιάσαι. ὑποκλίναι. ὑποθέσθαι εἰς μεμεριμνημένην ἀκοήν. καὶ τὸ παραβλήδην παρ' Ὁμήρῳ ἀντὶ τοῦ συγκριτικῶς ὡς οἱ πλείους φασί. κατὰ δὲ τὸν Σουΐδαν, ἀντὶ τοῦ ἀπατητικῶς. παραλογιστικῶς. παραβάλλεσθαι γάρ φησι καὶ τὸ ἐξαπατᾶν 1.43 ἐξ οὗ καὶ παραβαλέταιρος ὁ ἀπατῶν τοὺς φίλους, ἀλλὰ καὶ τὸ ἁπλῶς παρατιθέναι. ἀφ' οὗ καὶ παράβλημα κοινῶς, τὸ ζῴοις εἰς τροφὴν παρατιθέμενον. ἐκεῖθεν καὶ ὁ παράβολος ἄνθρωπος ὁ κινδύνοις ἑαυτὸν παραβάλλων ὅ ἐστι παρατιθείς. καὶ πρᾶγμα παράβολον ὅπερ ὁ τοιοῦτος ποιεῖ. ἀντιβάλλειν δὲ δὲ τὸ ἀντιθέναι οἷον λόγους ἤ τι τοιοῦτον. σύστοιχον δὲ τούτῳ, καὶ τὸ ὡς ἐῤῥέθη ἀντιβολεῖν. καὶ ἀντιβολία ἡ δέησις. Εὔπολις. κατ' ἀντιβολίαν δέκα τάλαντ' ἀπετισάμην. τὸ δὲ ἐπιβάλλειν, πρόθεσίν τινα δηλοῖ καὶ περιττότητα ἐπιτευτικὴν. ἐπιβάλλει γοῦν τις νοήματι, ἢ ἔργῳ. ἤγουν ἠκριβωμένος ἐγχειρεῖ καὶ ἐπιτυχῶς νοεῖ. ὃ καὶ ἐπηβόλως φαμέν. λέγεται δὲ καὶ ἐπιβάλλεσθαι τὸ ἐπιθυμεῖν. οἷον, μεγάλων ἔργων ἐπιβαλλόμενος. περιβάλλειν δὲ, τὸ περιττὰ τιθέναι ἤτοι περισσὰ ἐμβάλλειν. ὅθεν καὶ περιβολὴ, λόγου ἰδέα. καὶ λόγος ἐμπερίβολος. λέγεται δὲ περιβάλλειν, καὶ τὸ ἐνδύειν. ὅθεν καὶ περιβολὴ ἀφ' ἧς περιβόλαιον τὸ ἔνδυμα ὡς κεφαλὴ κεφάλαιον. τὸ δ' αὐτὸ, καὶ περίβλημα. καὶ περίβολος δὲ οἴκου ἢ κήπου, ὁ περιβάλλων ἤτοι ἐνδύων τὰ φυλασσόμενα κύκλῳ. ὅθεν καὶ πόλεως ἐσθὴς τὸ τεῖχος. περιβάλλει δέ τις καὶ πέδην κατὰ τὸν Κίλικα ποιητήν. ἀμφιβάλλειν δὲ, οὐ μόνον τὸ ἐνδοιάζειν καὶ ἀμφὶς βάλλειν ἤγουν ἀμφοτέρωσε ῥίπτειν τὸν νοῦν, ἀλλὰ καὶ τὸ ἑκατέρωθεν βάλλειν. ὡς δῆλον ἐκ τοῦ ἀμφίβολος. ὃς παρά τε Ἀῤῥιανῷ καὶ ἑτέροις, τὸν ἀμφοτέρωθεν βαλλόμενον σημαίνει. δηλοῖ δὲ καὶ τὸ περιβάλλειν ἤγουν κυκλοῦν. ὅθεν τὸ ἀμφίβληστρον. ἀποβάλλειν δὲ, τὸ ἀποῤῥίπτειν. ὅθεν καὶ ὁ ἀπόβλητος. τὸ δὲ ὑποβάλλειν, ὑπουλότητά τινα ἐμφαίνει καὶ δολιότητα. ὑποβάλλει γοῦν ὀφθαλμοὺς, ὁ ὑπούλως βλέπων καὶ ὡς εἰπεῖν ὑποβλὼψ καθ' ὁμοιότητα τοῦ παραβλώψ. ἔτι δὲ καὶ τοῦ βλοσυρός. ὃς δηλαδὴ τὸ βλέμμα ὑποσύρει. ἐκ τοιαύτης ἐννοίας. καὶ ὑπόβλητος ὁ καὶ ὑποβολιμαῖος λόγος, ὁ μὴ τῇ ἀληθείᾳ ὅσα καὶ μητρὶ γνήσιος. καὶ ὑποβολιμαῖον βρέφος, τὸ ὑποβληθὲν λάθρᾳ τῇ γεννώσῃ, οὐ μὴν γεννηθὲν ὑπ' αὐτῆς. καθυποβάλλει δέ τις καὶ βλάβη τινὰ, ἤγουν λεληθότως βλάπτει. λέγεται δὲ ὑποβάλλειν, καὶ τὸ ὑποκρούειν ὅ ἐστιν ἐμποδίζειν ἐν τῷ λέγειν, καὶ τὸ δι' ἑρμηνέως λαλεῖν. ἐξ ὧν τὸ ὑββάλλειν παρὰ τῷ ποιητῇ. καὶ ὑποβολεὺς. ὁ ἑρμηνεύς. ἐξ αὐτοῦ δὲ καὶ ὑπόβολον οὐ μόνον τὸ νομικὸν ὡς ἐῤῥέθη, ἀλλὰ καὶ τὸ ἐπὶ τόκῳ ἐνεχυρασθὲν ὡς καὶ αὐτὸ προγέγραπται. καὶ τὸ ὑποβλήδην δὲ λαλεῖν, ἐξ αὐτοῦ προάγεται. ᾧ σύστοιχόν ἐστι καὶ τὸ, ὑποβαλὼν λόγον. ἀντὶ τοῦ, λαλήσας πρὸ τοῦ λαβεῖν τέλος τὰ προλαλούμενα. τοῦτο δὲ, καὶ ὑπολαβεῖν λέγεται. οἷον, ὑπολαβὼν δὲ ὁ δεῖνα εἶπεν, ὑπερβάλλειν δὲ καὶ ὑπερβολὴ, κυρίως μὲν, ἐπὶ τοῦ ὑπερακοντίζειν ἢ ὑπεροϊστεύειν, ἢ ὑπὲρ μέτρον δισκεύειν. μεταφορικῶς δὲ, καὶ ἐπὶ ἑτέρων ὑπεροχῶν ἢ καὶ ἐπὶ ἀσυμμετριῶν. καὶ ταῦτα μὲν τὰ περὶ τῆς πολυκινησίας τοῦ βάλλειν. ἧς μέρος τι, καὶ τὸ ἀνεβάλλετο καλὸν ἀείδειν. εἰ δὲ τὸ ἀνεβάλλετο ταυτόν ἐστι τῷ ἀνενέγκατο ὡς τὸ, ἀνενείκατο φώνησέν τε, τοσοῦτον ἄρτι καὶ μόνον ῥητέον, ὅτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταυτόν ἐστιν εἰπεῖν, ἀνεβάλλετο καὶ ἀνενείκατο καὶ ἀνεφύσησε. μουσικὴ γὰρ λέξις καὶ ἡ ἀναφύσησις. φησὶ γοῦν Παυσανίας, ὅτι γρόνθων, ἀναφύσησίς τις ἦν πρώτως μανθάνουσιν οἱ αὐληταί. τούτοις δὴ συνεπιλεκτέον καὶ ὅτι τὸ βάλλειν, ποτὲ μὲν, φυλάσσει τὸ ἄλφα ἐν ταῖς ἀπ' αὐτοῦ κινήσεσι. ποτὲ δὲ, ἀντ' αὐτοῦ ἔχει τὸ ¯ο ἴσως μὲν, τοῦ ἄλφα τραπέντος εἰς αὐτὸ, ἴσως δὲ καὶ προϋποκειμένου ἀῤῥήτου ῥήματος τοῦ βέλλω ἐξ οὗ τὸ βέλος. παράδειγμα τῶν μὲν φυλασσόντων τὸ ἄλφα, ἡ βαλιὰ ἔλαφος. καὶ τὸ ἀρσενικὸν αὐτῆς ὁ βαλιὸς ὀξυτόνως. καὶ βαλιὸς ἵππος βαρυτόνως, ὁ τοῦ Ἀχιλλέως. καὶ βαλάντιον. καὶ ἀρύβαλος ὁ πρὸ βραχέων γραφείς. τῶν δὲ ἐχόντων ἀντεγκείμενον τὸ ¯ο, ἡ βολὴ, καὶ ἡ βολὶς, καὶ ὁ ἔμβολος. καὶ ὁ ἀναγεγραμμένος διάβολος. κατὰ δὲ τὴν τοιαύτην ἀκολουθίαν τοῦ βάλλειν, καὶ τὸ λέπω, πῇ μὲν φυλάσσει τὸ ¯ε, πῇ δὲ ἀντιπαρακείμενον ἔχει τὸ ¯ο καθὰ καὶ ἐν τοῖς ἑξῆς φανεῖται. ὅτι δὲ τὸ ¯α εἰς ¯ο μεταβάλλεται, δηλοῖ σὺν ἄλλοις καὶ ἡ ἀσταφίς. λέγεται γὰρ καὶ ὀσταφίς. οὕτω δὲ καὶ ἡ μαλάχη, μολόχη ὡς καὶ ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται. οἷον, τρώγοντας μολόχης ῥίζαν. καὶ πάμα, πρᾳότερος ἔγωγε μολόχης. (ῃερς. 158.) Ὅτι μυστηριαζομένῳ οἰκεῖον τὸ, ἄγχι σχὼν κεφαλὴν ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι. τὸ δὲ πευθοίατο μετὰ τῶν ἐφεξῆς τοῦ ἰδοίατο καὶ ἀρησαίατο, ποιητικὸν κάλλος ἐν παρισώσει ποιεῖ. (ῃερς. 159.) Ὅτι ὁ εὐλαβῶς σκώπτων, προοιμιάσαιτο ἄν ποτε πρὸς τὸν ἀκροατὴν, οὕτω. ξεῖνε φίλε, εἰ καί μοι νεμεσήσεαι ὅττικεν εἴπω; λέγει δὲ τοῦτο Τηλέμαχος πρὸς τὸν Μέντην, ὅτε πρινὴ ἐρωτηθῆναι ὑπὸ τῆς Ἀθηνᾶς, σκώπτει τοὺς μνηστῆρας. ἐμφαίνοντος τοῦ ποιητοῦ, φορτικὸν εἶναι τὸ ἁπλῶς κωμῳδεῖν. (ῃερς. 162.) Ὅτι τὸ, βίον ἀνέρος οὗ δήπου λευκὰ ὀστέα πύθεται ὄμβρῳ κείμενα 1.44 ἐπ' ἠπείρου ἢ εἰν ἁλὶ κῦμα κυλίνδει, σχῆμά ἐστι περιφράσεως. βούλεται γὰρ εἰπεῖν, βίον ἀνδρὸς ὃς ἐν πλάνῃ θανὼν, οὐκ ἐτάφη. τοῦ γὰρ τοιούτου ἀνδρὸς, ἢ ἐν χέρσῳ ἢ ἐν θαλάσσῃ τὰ ὀστᾶ. Ἐνταῦθα δὲ τὸ ἀνέρος, ἐκτείνει τὴν ἄρχουσαν ὡς καὶ ἀλλαχοῦ. ἐν δὲ ἑτέροις τόποις, τὸ αὐτὸ καὶ συστέλλεται, Τὸ δὲ δή που νῦν μὲν τοπικῶς κεῖται. ἄλλως δὲ παρὰ τοῖς ὕστερον Ἀττικοῖς, καὶ αὐτὸ καὶ τὸ δήπουθεν, βεβαιωτικά εἰσιν. ὥσπερ τὸ δηλαδή. καὶ τὸ πάντως. καὶ τὸ ἀμέλει. καὶ αὐτὸ γὰρ ὡς τὰ πολλὰ καθάπερ ἐν ῥητορικῷ εὕρηται λεξικῷ, ἀντὶ τοῦ πάντως λαμβάνεται, συγκατάθεσιν δηλοῦν. τὸ μέντοι δῆθεν, ἀλλ' αὐτὸ δισταγμοῦ ἐστιν ἐπίῤῥημα. Λευκὰ δὲ ὀστέα λέγει ὡς καὶ ἐν Ἰλιάδι λευκὸν ὀδόντα συὸς, κατὰ κοινὸν ἐπίθετον. καί τοι τινὲς ὑπώπτευσαν, πρὸς ἀντιδιαστολὴν λέγεσθαι, διὰ τὸ καὶ μέλανα ὀστᾶ φαίνεσθαι εἶναι καθά τινες ἐν Ἰλιάδι ἀνέγνων, ἀετοῦ μελανόστου θηρητῆρος, τουτέστιν ὀστᾶ μέλανα ἔχοντος. ὅπερ ἀντιλέγεται. οὕτω καὶ κρῖ λευκὸν εἰπόντος τοῦ ποιητοῦ, δοκεῖ τισι, πρὸς διαστολὴν κρίμνου μέλανος οὕτω ῥηθῆναι. ὡς ὄντος καὶ τοιούτου ἀληθῶς ἔν τισι τόποις, οἷον καὶ τοῖς περὶ Λυκαονίαν. ὁ δὲ ποιητὴς, ἔοικεν ἁπλοϊκῶς καὶ τοῦτο εἰπεῖν, ἐπειδὴ τὸ κρῖμνον οὗ παράγωγον ὁ κριμνίτης πλακοῦς καθὰ καὶ σταιτίτης ὁ ἀπὸ σταιτὸς καὶ μέλιτος, σίτου λευκότερον. (ῃερς. 163.) Τὸ δὲ κυλίνδω, ἀεὶ παρὰ τῷ ποιητῇ βαρύνεται. εἰ καὶ παρὰ τοῖς ὕστερον περισπᾶται. οἳ κυλινδεῖσθαί φασι καὶ τὰ ὅμοια. Τὸ δὲ ἐν ἁλὶ, εἰν ἁλὶ ὁ ποιητὴς λέγει κατὰ συνήθη ἐπένθεσιν τοῦ ἰῶτα. Ἰστέον γὰρ ὅτι ἡ ¯ε¯ν πρόθεσις ταῖς μὲν δισυλλάβοις ἐξομοιοῦται προθέσεσι, τῇ ἐπεκτάσει. οἷον, ἐνὶ προθύροις Ὀδυσῆος. ταῖς δὲ μακραῖς μονοσυλλάβοις, τῇ ῥηθείσῃ τοῦ ¯ι ἐπενθέσει. ταῖς δὲ λοιπαῖς, καθ' ἑαυτὴν οὖσα. (ῃερς. 164.) Ὅτι προϊὼν μὲν ὁ ποιητὴς, ἐρεῖ. ὡς ἐὰν Ὀδυσσεὺς εἰς τὰ ἑαυτοῦ ἔλθῃ, τὰ τοῦ οἴκου θύρετρα καὶ μάλα εἰς εὖρος ἀναπεπταμένα, στενοχοροῖντο ἂν τοῖς μνηστῆρσι τεθορυβημένως φεύγουσιν. Ὀδυσσεὺς δὲ πρός τινα λαλῶν λέγει. μὴ σύγε τύχης ἐνταῦθα ὅτε Ὀδυσσεὺς ἔλθοι. νῦν δὲ ἄλλως φράζων τὴν ἐσομένην τῶν μνηστήρων ἀγωνίαν, φησίν. (ῃερς. 164.) ἐὰν ἐκεῖνον ἴδοιεν νοστήσαντα, εὔξαιντο ἂν ἐλαφρότεροι πόδας εἶναι ἤπερ ἀφνειότεροι χρυσοῦ τε ἐσθῆτός τε, καὶ ἔστιν ἀστεῖος πάνυ ὁ λόγος οὗτος. θέλουσι μὲν γὰρ αὐτοὶ, βαρεῖσθαι πολλῷ χρυσῷ καὶ ἐσθῆτι. ἴσως μὲν, κειμηλίοις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἴσως δὲ καὶ οἷς φοροῦσιν. ἀλλὰ τότε, οὐ μόνον αὐτὰ ἀποθήσονται, ἀλλὰ καὶ ἄλλως ἐλαφρότεροι γενέσθαι εὔξονται ὡς ἂν ῥᾷον ἔχοιεν φεύγειν. ὅπως δὲ καὶ βαροῦνται χρυσῷ καὶ χαίρουσι τοῦτο πάσχοντες οἱ τὸν ἀλλότριον πλοῦτον ἐπαχθιζόμενοι, ὁ τῆς ἱστορίας Ἀλκμαίων δηλοῖ. ὃς τὸν Λυδῶν βασιλέα, γέλωτος ἔπλησεν, ἰδόντα τὸ αὐτοῦ εἰδεχθὲς καὶ κατάπονον ὅτε τοῦ βασιλικοῦ θησαυροῦ ἐξῄει γέμων χρυσοῦ. Σημείωσαι δ' ἐνταῦθα ὅτι τὲ βάρος τι ὁ ποιητὴς εἶναι ὑπολαλεῖ ἐν τῷ ἄγαν ἀφνειόν τινα εἶναι, καὶ τὸ ἐλαφρότεροι πόδας ὅ ἐστιν ἐλαφηροὶ καὶ ταχεῖς δίκην ἐλάφου, κυριολεκτεῖται μᾶλλον μεταφορικῶς, ἤπερ τὸ πλέειν ἐλαφρῶς. ὡς τὸ, τά οἱ πλώοιεν ἐλαφρῶς. καὶ μὴν ἐκεῖνο οἰκειοῦται τῇ ἐλάφῳ, οὐχ ὡς ταχυδρόμῳ μέντοι ἀλλ' ὡς κούφῃ νήχεσθαι. (ῃερς. 167.) Ὅτι τὸ ἡμῖν καὶ ἡμῶν καὶ καὶ ἡμᾶς, ἐγκλίνονται μὲν παρὰ τοῖς παλαιοῖς. οὐκ ἀνακλίνουσι δὲ ἑτέρᾳ λέξει τὸν τόνον, ἀλλ' ἀναπέμπουσιν εἰς τὴν οἰκείαν παραλήγουσαν. οἷον, ἧμιν, ἥμων, ἥμας. ὥσπερ καὶ ἐνταῦθα πολλὰ τῶν ἀντιγράφων ἔχουσιν. οὐδέ τις ἧμιν θαλπωρή. μονόχρονος μὲν οὖν ποτε λέξις, ἐγκλιθήσεται. οἷον τὸ τίς. καὶ δίχρονος, οἷον τὸ τινές. καὶ τρίχρονος, οἷον τὸ φημί. καὶ τὸ τινῶν. τετράχρονος δὲ λέξις, οὖκ ἂν ἀπαλλαγείη παντελῶς τοῦ οἰκείου τόνου. ὡς διὰ τὸ βριθὺ τῆς τετραχρονίας, κωλουμένης τῆς προπαροξυτονήσεως. Ὅτι τὸ ἐν πλάνῃ τινὰ θανεῖν, οὕτω φράζει, νῦν δ' ὁ μὲν, ἀπόλωλε κακὸν μόρον. καὶ, τοῦ δ' ὤλετο νόστιμον ἦμαρ. Ὅτι ὁ ἀπελπίσας, εἴποι ἂν, οὐδέ τις ἡμῖν θαλπωρή, ὃ γράφεται καὶ ἐλπωρή. (ῃερς. 168.) Ἰστέον δὲ ὅτι τὴν χαροποιὸν ἐλπίδα θαλπωρὴν λέγει, ἐπεὶ θάλπει τοὺς πολλοὺς ἡ τῶν ἀγαθῶν ἐλπίς. ὥσπερ αὖ πάλιν ἡ τῶν ἐναντίων, οὐ μόνον ψύχει ἁπλῶς, ἀλλὰ πολλοὺς καὶ ἀπονεκροῖ. καὶ ἡ τραγῳδία δὲ τὸν κενὴν θαλπωρὴν ἔχοντα, κεναῖς ἐλπίσι λέγει θερμαίνεσθαι. καὶ θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχειν. (ῃερς. 171.) Ὅτι πρὸς τὸν ἐξ ἀλλοδαπῆς νέον ἐλθόντα καὶ ἀγνοούμενον, οἰκεῖον τὸ, τίς πόθεν εἶς ἀνδρῶν πόθι τοι πόλις ἠδὲ τοκῆες. καὶ τὸ, καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον ὄφρ' εὖ εἰδῶ, ἠὲ νέον μεθέπεις ἤγουν εἰς ἡμᾶς ἥκεις, ἢ καὶ πατρώϊος ἐσσὶ ξεῖνος. (ῃερς. 173.) Ἰστέον δὲ ὅτι ἐν τῷ, πόθεν εἶς ἀνδρῶν, εἰ μὲν περισπᾶται τὸ εἶς, δηλοῖ ἂν τὸ ἥκεις, ἀπὸ τοῦ εἶμι ῥήματος ὃ δηλοῖ τὸ ἔρχομαι. εἰ δὲ δίχα τόνου ἐστὶν ὅπερ ἀρέσκει τοῖς ἀκριβεστέροις 1.45 τῶν παλαιῶν, ῥῆμά ἐστιν ἐγκλιτικὸν ὑπαρκτικὸν ἀπὸ τοῦ εἰμὶ ῥήματος τοῦ τὸ ὑπάρχειν δηλοῦντος. Ψιλοῦται δὲ τὸ εἶμι καὶ τὸ εἶς ἀντὶ τοῦ πορεύῃ, ἔρχῃ, διὰ τὴν ἐπένθεσιν τοῦ ἰῶτα. ἄλλως γὰρ, δασύνεσθαι ὤφειλεν ἀπὸ τοῦ ἕω τὸ πορεύομαι ἀφ' οὗ καὶ ἡ ὁδός. (ῃερς. 173.) Ὅτι ὡς ἐν Ἰλιάδι, οὕτω καὶ ἐν Ὀδυσσείᾳ, εὔχεσθαι οὐ μόνον τὸ θεοκλυτεῖν, ἀλλὰ καὶ τὸ καυχᾶσθαι. ὅθεν καὶ τὸ καύχημα, εὐχωλή. καὶ τὸ λέγεσθαι δὲ καὶ φημίζεσθαι, εὔχεσθαι λέγεται. ἀφ' οὗ καὶ τὸ, τίνες ἔμμεναι εὐχετόωνται ἤτοι ᾄδονται, λέγονται. καὶ κατωτέρω δὲ ἐρεῖ, Ἀγχιάλοιο εὔχομαι εἶναι υἱός. ἤτοι λέγομαι. καὶ ξένοι ἀλλήλων πατρώϊοι εὐχόμεθα εἶναι. Ἰστέον δὲ ὅτι τὸ ἔμμεναι, ὁ Ἡρακλείδης, οὐ κατὰ τὴν δοκοῦσαν τοῖς πλείοσιν ἀκολουθίαν παράγει, ἀλλὰ τὴν προπαραλήγουσαν αὐτοῦ ἤγουν τὴν ¯ε¯μ συλλαβὴν, ἀπὸ παραλήγοντος ¯η γένεσθαι βούλεται συστολῇ καὶ διπλασιασμῷ, ἄλλως παρὰ τὸ ἐν τοῖς εἰς τὴν Ἰλιάδα γραφέν. φησὶ γὰρ οὕτως. μέγιστον τεκμήριον ἐν ἀμφισβητήσει τόνων θεματικῶν, τὸ τηνικαῦτα περισπᾶται τὰ ῥήματα, ὅτε τὸ ἀπαρέμφατον διὰ προπαραλήγοντος τοῦ ¯η λέγεται. τὸ γὰρ κυῶ περισπᾶται, ὅτι κυήμεναι τὸ ἀπαρέμφατον. εἰ δὲ ἦν κύω βαρυτόνως, κυέμεναι ἂν ἦν κατὰ τὸ εὑρέμεναι. οὕτω καὶ φιλῶ φιλεῖν φιλήμεναι. καὶ νοήμεναι. καὶ φρονήμεναι, καὶ τὸ ἀήμεναι δὲ, μαρτυρεῖ τῷ ἀῶ περισπωμένῳ. δῆλον οὖν φησιν ὡς καὶ τὸ ἔμμεναι, ἀπὸ τοῦ ὦ περισπωμένου τῆς πρώτης συζυγίας οὗ καὶ μετοχὴ περισπᾶται, Αἰολιστί φαμεν ἔμμεναι. καθότι Αἰολεῖς καὶ ἐν θέμασι τὸ προηγούμενον ¯η τοῦ ¯μ εἰς ¯ε μετατιθέντες, διπλοῦσι τὸ ¯μ. οἷον. πόθημι πόθεμμι. φίλημι φίλεμμι. οὐκοῦν ὁ Ἡρακλείδης φαίνεται εἰδὼς καὶ τὸ ἔμμεναι ἀπὸ τοῦ ἦναι γενέσθαι τοῦ παραληγομένου τῷ ¯η. οὗ θέμα μὲν, τὸ ὦ ἤγουν ὑπάρχω περισπωμένως.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρατατικὸς δὲ, ἦν. κατὰ τὸ, φιλῶ ἐφίλην. νοῶ ἐνόην. καὶ τὰ ὅμοια Αἰολικά. καὶ τοῦτο μὲν, τοιοῦτον καθ' Ἡρακλείδην. Τὸ δὲ πατρώϊος ὅτι ἐκ τοῦ πατρὸς γίνεται, μετ' ὀλίγα ῥηθήσεται. (ῃερς. 174.) Ὅτι πεζὸς, ἐκ τοῦ πέδον γίνεται κατὰ συγγένειαν τῶν συμφώνων ὡς ἀλλαχοῦ ἐῤῥέθη πλατύτερον. ἔστι γὰρ πεζὸς, ὁ ἐν τῷ πέδῳ βαίνων. διὸ οὐ πεζὸς ὁ ἔφιππος, ἀλλ' οὐδὲ ὁ πλέων. καὶ γὰρ καὶ αἱ νῆες, ἵπποι ἁλὸς κατὰ τὸν ποιητήν. Ἰστέον δὲ ὅτι ἀφελὴς ἐνταῦθα καὶ ἀστεῖος ὁ τοῦ Τηλεμάχου λόγος ἐν τῷ, οὐ γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδε ἱκέσθαι. ἤγουν ἐν τῇ καθ' ἡμᾶς νήσῳ. σπουδαῖον δὲ ὁ λόγος ἔχει οὐδὲν, ὁποῖα τὰ τοῦ σχεδιασμοῦ. καὶ μάλιστα, ἐν τοῖς νέοις καὶ μήπω πεπαιδευμένοις λέγειν. (ῃερς. 175.) Ὅτι τὸ ἐτήτυμον ὤφειλε μὲν ὡς ἀναδιπλασιασμὸς τοῦ ἔτυμος, συστέλλειν τὴν προπαραλήγουσαν. ἀλλὰ διὰ τὸ ἐπάλληλον τῶν βραχειῶν, οὐ γέγονε τοῦτο. καθάπερ καὶ ἐν τῷ κηκάζω. καὶ ἐν τῷ ἐκήκιεν. οἷον. μέλαν δ' ἀνεκήκιεν αἷμα. καὶ ἐν τῷ, σῖτον παρενήνεον ἤτοι ἐσώρευον. καὶ ἐν ἄλλοις. Τοῦ δὲ ἔτυμος ἡ παραγωγὸς γραμματικὴ σκευωρία, τοιαύτη ἐστίν. ὡς δίδωμι δοτὸς, τίθημι θετός, οὕτω φασὶν εἰμὶ ἐτός. καὶ ὡς ἕλος ἔλυμος εἶδος σπέρματος ἕλεσι χαίροντος, οὕτως ἐτὸς ἔτυμος ὁ ὢν εἴτουν ἀληθής. ὅθεν καὶ ἐτυμολογία, λόγος ἐπαληθιζομένην δεικνύς φασι τὴν λέξιν τῇ φύσει τοῦ πράγματος. εἶτα ὥσπερ ἀητρὸς ἀταρτηρὸς ἐπενθέσει πλεοναστικῇ, οὕτω καὶ ἔτυμος ἐτήτυμος. Ὅτι τὸ ἐσσὶ ἀντὶ τοῦ ὑπάρχεις, πλεονασμὸν ἔχει τοῦ ¯ι, καὶ ἀλλόκοτόν ἐστι ῥῆμα. οὐδὲν γὰρ εὕρηται λῆγον εἰς ¯σ¯ι ῥῆμα δευτέρου προσώπου, δίχα τούτου. διὸ οὐδὲ ἐφελκυστικόν ποτε γίνεται τοῦ νῦ. περὶ δὲ τῆς γενέσεως αὐτοῦ, ἐν τῇ Ἰλιάδι εἴρηται. (ῃερς. 176.) Ὅτι φιλόξενος ἀνὴρ, εἴποι ἂν τὸ, ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ. ἤτοι πολλοὶ ἔγνων. ἔμαθον. (ῃερς. 178.) Τὸ δὲ ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων, ἁρμόττει ἀνθρώπῳ φιλοξένῳ ἢ ἄλλως ἐνδόξῳ. ἔστι δὲ τὸ ἐπίστροφος, μέση λέξις. πάθος τὲ γὰρ δηλοῖ καὶ ἐνέργειαν. τὸ γοῦν ἐπεὶ καὶ ἐκεῖνος ἐπίστροφος ἦν ἀνθρώπων, ἢ δράσιν δηλοῖ. ὡς ἂν εἴη ἐπίστροφος ἀνθρώπων, ὁ ἐνεργῶν καὶ ποιούμενος τὴν εἰς ἄλλους ἐπιστροφήν. ὅ ἐστι φιλόξενος καὶ πολλοὺς ξενοδοχῶν. ἢ παθητικὴν ἔννοιαν ἔχει ὡς πάσχων ἐκ τῶν ἄλλων ἐπιστροφὴν καὶ ἀγαπώμενος. ὅπερ καὶ κρεῖττον. ἐν ἄλλοις γοῦν ἐρεῖ ὅτι πολλοῖς ἔσκε φίλος. παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι. καὶ Ὀδυσσεὺς δέ που λέγει ὅτι εἰμὶ Ὀδυσσεὺς ὃς πᾶσιν ἀνθρώποις μέλομαι. ὅ ἐστιν ἐν ἐπιστροφῇ καὶ μελήσει γίνομαι ἀγαπώμενος. οὕτω καί τις ποιητὴς λιμένα ἐπίστροφον λέγει, οὐ μόνον τὸν στρογγύλον καὶ περιφερῆ κατά τινας, ἀλλὰ καὶ τὸν ὑπὸ τῶν καταίρειν θελόντων, ζητούμενον. Ὅρα δὲ ὅτι δὶς ἐν τῷ τόπῳ κεῖται τὸ ἐπε¯ι συναπτῶς ἐν δυσὶ στίχοις. ἐπεὶ πολλοὶ ἴσαν ἡμέτερον δῶ. ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν. (ῃερς. 177.) Τὸ δὲ δῶ, ἀποκέκοπται ἐκ τοῦ δῶμα καθὰ καὶ ἐκ τοῦ ἧλος τὸ ἧλ κατὰ τὸν γεωγράφον. καὶ ἄλλα ὅμοια. καὶ ὡς τὸ παῦσαι, παῦ ἔλεγον μονοσυλλάβως κατὰ Αἴλιον Διονύσιον. 1.46 (ῃερς. 183.) Ὅτι κατελθεῖν, οὐ μόνον τὸ ἁπλῶς κάτω που ἐλθεῖν, ἀλλὰ καὶ τὸ εἰς λιμένα ἐλθεῖν. ὥσπερ καὶ καταβῆναι καὶ καταπλεῦσαι καὶ καταχθῆναι καὶ κατᾶραι, τὸ ἐλλιμενίσαι λέγεται. τὸ μέντοι ἀπᾶραι τοῦ λιμένος ἀνελθεῖν καὶ ἀναβῆναι καὶ ἀναπλεῦσαι καὶ ἀναχθῆναι λέγεται. κατάπλους μὲν γὰρ, ἡ εἰς τὸν λιμένα ἔλευσις. ἀνάπλους δὲ, τὸ ἀνάπαλιν, ὡς τοῦ θαλαττίου ὕδατος ὑπερκειμένου γῆς. διὸ καὶ ὁ ποιητὴς μετ' ὀλίγα φησί. πρὶν ἐς Τροίαν ἀναβήμεναι, ἤγουν διὰ θαλάσσης ἐκεῖ ἀνελθεῖν. ὅτι δὲ καὶ τὸ τὸν φυγάδα εἰς τὴν πατρίδα ἐλθεῖν, κατελθεῖν λέγεται, δῆλον παρὰ τοῖς μεθ' Ὅμηρον ἀττικίζουσι. λέγεται δὲ καὶ αὐτὸ, κατά τινα κυριολεξίαν. ἐπεί περ οἷα λιμὴν καὶ ἐκείνοις ἡ πατρὶς ὑπόκειται κινδυνεῦσαι φθάσασιν. ἔχει δὲ παρ' Ὁμήρῳ ἡ λέξις οὕτω. νῦν δ' ὧδε ξὺν νηΐ κατήλυθον ἤγουν κατέπλευσα. ἔστι δὲ τὸ ὧδε, ἀντὶ τοῦ οὕτως. ἁπλῶς δηλαδή. καὶ ὡς εἰπεῖν, αὔτως. οὐδέποτε γάρ φασιν ὁ ποιητὴς τοπικὸν οἶδε τὸ ὧδε. καθὰ καὶ ἐν Ἰλιάδι σεσημείωται. Ἰστέον δὲ ὅτι κατὰ τὴν ὕστερον παρατήρησιν, ἡ τοῦ Μέντου πλαστὴ ναῦς, πλοῖον οὐκ ἂν λέγοιτο καθά τις οἰήσεται. Δίδυμος γάρ φασι διαφορὰν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἶδε πλοίου καὶ νηός. παραγαγὼν χρῆσιν ταύτην. Ἀλέξανδρος ὁ Μολοττὸς μεταπεμψαμένων Ταραντίνων ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον, ἐξέπλευσε ναυσὶ μὲν, πεντεκαίδεκα. πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς καὶ στρατιωτικοῖς. γενικῶς δὲ, νῆες αἱ μέν εἰσι στρογγύλαι αἱ δέ φησι στρατιώτιδες. (ῃερς. 184.) Ὅτι ὁ εἰς ἀλλοδαπὴν πλέων, εἴποι ἂν πλέειν ἐπὶ οἴνοπα πόντον, ἐπ' ἀλλοθρόους ἀνθρώπους. Λέγει δὲ οἴνοπα πόντον, τὸν μέλανα. ὡς ἔχοντα οἴνου ὄψιν μέλανος, περὶ οὗ ἀλλαχοῦ πλατύτερον εἴρηται. Ἀλλόθροοι δὲ ἄνθρωποι, οἱ ἀλλόγλωσσοι. καὶ ἄλλα θροοῦντες ἤγουν λέγοντες παρὰ τὰ Ἑλληνικά. ἢ ἀγνώριστοι καὶ ὑπὸ ἄλλων θροούμενοι ἤτοι λαλούμενοι. οὗτοι δὲ καὶ ἀλλόγνωτοι λεχθήσονται. (ῃερς. 185.) Ὅτι ἐν οἷς ὁ μυθικὸς Μέντης λέγει ὡς πλέω ἐς Τεμέσην μετὰ χαλκὸν ἤγουν εἰς χαλκὸν ἢ διὰ χαλκὸν, ἄγω δ' αἴθωνα σίδηρον, Τεμέσην ὁ ποιητὴς λέγει, τὴν Ἰταλικήν. τὸ νῦν ὥς τινές φασι Βρεντέσιον. ὁ γὰρ εἰς ταύτην ἐκ τῆς Τάφου πλέων, διέρχοιτο ἂν ἐκ παρόδου καὶ τὴν Ἰθάκην. ἐπανιὼν δὲ ἐκεῖθεν, διὰ τῆς Ἰθάκης ἔρχοιτο ἂν. καθάπερ ὁ Μέντης ὑπισχνεῖται ἐν τοῖς ἑξῆς. Ἐν δὲ τῇ τοιαύτῃ Τεμέσῃ, καὶ μέταλλα ἦσαν χαλκᾶ. ὡς δηλοῖ τὸ, ἐς Τεμέσην μετὰ χαλκόν. ἄγω δ' αἴθωνα σίδηρον. ὡς τῶν ἐκεῖ, σπανιζόντων ἴσως σιδήρου. ἔστι δὲ καὶ Κύπρου πόλις Τεμέση κατά τινας, χαλκοφόρος καὶ αὐτή. ὁ μέντοι γεωγράφος, οὐ συνάγει εἰς ταυτὸν τὴν Ὁμηρικὴν Τεμέσην καὶ τὸ Βρεντέσιον, ἀλλ' ἰδίᾳ μὲν περὶ Τεμέσης γράφει. ἰδίᾳ δὲ περὶ Βρεντεσίου. καὶ τὸ μὲν Βρεντέσιον, εὐλίμενον εἶναι λέγει. καὶ κέρασιν ἐλάφου ἐοικέναι φησὶ κατὰ τὸ σχῆμα, διὰ τὸ εἰς πολλοὺς κόλπους ἐκείνου πολυσχιδές. καθ' ὁμοιότητά τινα ὡς εἰκὸς, τοῦ βιζαντίου κέρως. γλῶσσα γάρ φησι Μεσαππίων, Βρεντέσιον τὴν τῆς ἐλάφου καλεῖ κεφαλήν. περὶ δὲ τῆς Τεμέσης, ἐκεῖνος γράφει. ὅτι πόλις πρώτη Βρεττίας ἡ Τεμέση, ἡ ὕστερον Τέμψα κληθεῖσα. Αὐσόνων κτίσμα. ὕστερον δὲ, καὶ Αἰτωλῶν, ἐν ᾗ καὶ ἡρῷον Πολίτου Ὀδυσσέως ἑταίρου, ἀγριελαίαις συνηρεφές. ὃς δολοφονηθεὶς καὶ βαρύμηνις γενόμενος, ἐδασμολόγει τοὺς περιοίκους. ὅθεν ἐπὶ τῶν ἀγριαινόντων ἔξω καιροῦ παροιμία κεῖται, ὁ ἐν Τεμέσῃ ἥρως. ἤγουν ὁ ἐν οἷς οὐ δεῖ ἀγριώτατος. τὴν μέντοι ἐν Κύπρῳ Τεμέσην, Τάμασον ἀξιοῦσι διὰ τοῦ ¯α οἱ παλαιοὶ λέγεσθαι, ἀφ' ἧς καὶ παρὰ Λυκόφρονι ὁ Ταμάσιος κρατήρ. ἔνθα κατὰ τὸν γεωγράφον, καὶ ὁ ἰὸς τοῦ χαλκοῦ πρὸς ἰατρικὴν δύναμιν χρήσιμος, καὶ τὸ χαλκανθὲς δι' οὗ τὸ γραφικὸν μέλαν σκευάζεται. Ἰστέον δὲ ὅτι ἐκ τοῦ χαλκοῦ, κυβευτική τις παιδιὰ, ἐλέγετο χαλκισμός. ἦν δέ φασιν αὕτη, ὀρθοῦ νομίσματος περιστροφὴ σύντονος. μεθ' ἣν, ἔδει τὸν παίζοντα ἐπέχειν τῷ δακτύλῳ τὸ νόμισμα ὀρθόν. καὶ ἐνίκα ὁ τοῦτο κατορθώσας. Αἴθωνα δὲ σίδηρον λέγει, τὸν ἀκατέργαστον καὶ ἐπιτήδειον εἰς καῦσιν καὶ ἐργασίαν, ἐκ τοῦ αἴθω τὸ καίω. ἢ τὸν κατειργασμένον καὶ λαμπρὸν, ἐκ τοῦ αἴθω τὸ λάμπω. ἢ καὶ τὸν ἁπλῶς μέλανα, ὅθεν καὶ χροιὰ αἶθοψ ἡ μέλαινα. πάντα δὲ τὰ εἰς θῶν, φυλάττουσι τὸ ¯ω ἐπὶ γενικῆς. οἷον. αἴθωνος. γρόνθωνος. κώθωνος. μόθωνος. ῥώθωνος. (ῃερς. 186.) Ὅτι τὸ ἧδε ἀντὶ τοῦ αὕτη, δεικτικὸν μὲν ὂν, παροξύνεται. ἀναφορικὸν δὲ, προπερισπᾶται ὥς φασιν οἱ παλαιοὶ, ὥσπερ ἐνταῦθα, ναῦς δέ μοι ἧ δ' ἕστηκεν ἐπ' ἀγροῦ. ἀναφορικὸν γὰρ τὸ ἧδε, οὐ μὲν δεικτικόν. οὐ γὰρ δείκνυται νῦν ἡ ναῦς ἀλλὰ ἡ διάνοια τοῦ Τηλεμάχου εἰς ἐκείνην ἀναφέρεται. Ἰστέον δὲ ὅτι τὲ τὸ ναῦς κοινὸν ὂν, Ὅμηρος διαλύσας καὶ τὴν παραλήγουσαν ἐκτείνας, νηῦς ἔφη κατὰ τὸ, γραῦς γρηΰς. καὶ ὅτι παρὰ τοῖς ὕστερον ὥσπερ ἐκ τοῦ ναύτης κοινότερον τὸ ναυτιᾶν, οὕτω και 1.47 νότερον ἀπὸ τοῦ ναῦς τὸ ναυσιᾶν. ἔτι δὲ ξενίζον εἰς πλέον κατὰ τὴν τῶν παλαιῶν παράδοσιν, ἡ ἀναυσία. ὅπερ ἐστι στέρησις τοῦ μὴ ναυσιᾶν ἤγουν ναυτιᾶν. καὶ ὅτι ὥσπερ τὸ ἥδε, πῇ μὲν δεικτικόν ἐστιν ὡς εἴρηται, πῇ δὲ ἀναφορικὸν, οὕτω καὶ τὸ οὗτος, ἀναφορὰν μὲν δηλοῖ παρ' Ἡσιόδῳ ἐν τῷ, οὗτος μὲν πανάριστος καὶ ἑξῆς. δεῖξιν δὲ, παρ' Ὁμήρῳ ἐν τῷ, οὗτός τοι Διόμηδες ἀπὸ στρατοῦ. τὸ μέν τοι οὑτοσὶ, παραδέδοται ὑπὸ τῶν ὕστερον, δεικτικὸν εἶναι οὐ μὴν καὶ ἀναφορικόν. Τὸ δὲ ἐπ' ἀγροῦ νόσφι πόληος, ὅμοιόν ἐστι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ, ἐν ἐσχατιᾷ τινι τῆς νήσου. (ῃερς. 187.) Ὅτι Ὁμήρου εἰπόντος ἵστασθαι νῆα ἐν λιμένι Ῥείθρῳ ὑπὸ Νηΐῳ ὑλήεντι, φασὶν οἱ παλαιοὶ ῥεῖθρον κατὰ κύριόν τι ὄνομα, καλεῖσθαι τὸν ἐν Ἰθάκῃ λιμένα, διὰ τὸν εἰς αὐτὸν ἐκ τοῦ νηΐου καταῤῥέοντα χείμαῤῥον. Τὸ δὲ νήϊον, ὄρος Ἰθάκης νηῶν δεκτικόν. ὅθεν καὶ τὴν Ἰθάκην ὑπονήιον ἐρεῖ ἐν τοῖς ἑξῆς. τῷ δὲ Νηΐῳ τούτῳ, ὑποκεῖσθαι τὸν λιμένα λέγουσιν. ἔχει γὰρ ἡ ἱστορία οὕτως, Νήϊον, ὄρος Ἰθάκης κάθυγρον. ὅπερ εἰς τὸν ὑποκείμενον ἀποῤῥέον λιμένα, ἐκ τοῦ συμβαίνοντος τῷ λιμένι, ῥεῖθρον προσαγορεύεται. Καὶ σημείωσαι ὅτι κατὰ ταύτην τὴν ἱστορίαν, καὶ τὸ ὑπερκείμενον τοῦ λιμένος, ῥεῖθρον λέγεται καὶ οὐ μόνος αὐτὸς λιμήν. ἄλλοι δὲ, οὕτω φασί. Νήριτον, ὄρος Ἰθάκης ὡς ἐν τοῖς ἑξῆς φανήσεται. ᾧ τινι παράκειται Νήϊον ὄρος, οὗ τὰ τῶν νηῶν ἐξέδεον πείσματα. ὡς εἶναι κατὰ τοῦτον τὸν λόγον, μέρος τοῦ Νηρίτου τὸ Νήϊον. Ἰστέον δὲ ὅτι εἰς τὸ, λιμένι Ῥείθρῳ, εἴπερ οὐδετέρου γένους ἐστι τὸ, Ῥείθρῳ, συμβάλλεταί τι οὐ μικρὸν καὶ Σοφοκλέους τὸ, ὁρᾷς παρὰ ῥείθροισι χειμάῤῥοις, καὶ τὰ ἑξῆς. Τὸ δὲ ὑπὸ νηΐω, οἱ μὲν, ὑφ' ἓν ἀναγινώσκουσι, λέγοντες ὑπονήϊον τὸν λιμένα. οἱ δὲ, ἐν δυσὶ μέρεσιν. ὑπὸ τῷ Νηΐῳ ὄρει τῷ ὑλήεντι, ἤγουν τῷ δασεῖ. ὅπερ καὶ κρεῖττον. εἰ μὲν γὰρ ἓν μέρος λόγου τὸ ὑπονήϊον ὡς ἐπίθετον τοῦ λιμένος, εἴη ἂν καὶ τὸ ὑλήεντι, ἐπίθετον τοῦ λιμένος. ὅπερ ἐστι φορτικὸν, οὐδεὶς γὰρ ἂν ὑλήεντα εἴπῃ λιμένα. ἐὰν δὲ δύο μέρη λόγου εἶεν τὸ, ὑπὸ νηΐῳ, πολλῷ ἀκριβεστέρα ἡ γραφή. ἵνα λέγῃ τὸν λιμένα κεῖσθαι ὑπὸ τῷ Νηΐῳ, ὄρει ὑλήεντι. τινὲς μέντοι, ἐν λιμένι Ῥείθρῳ ὑπὸ Νηρίτῳ ἔγραφον. διὰ τὸ καὶ τὸ Νήϊον, τοῦ Νηρίτου μέρος εἶναι ὡς γέγραπται. ὁ δὲ γεωγράφος λέγει καὶ ὅτι Νήϊον, ἄδηλον εἴτε τὸ αὐτό ἐστι τῷ Νηρίτῳ, εἴτε καὶ ἕτερον ὄρος ἢ χωρίον. (ῃερς. 188.) Ὅτι φιλίαν ἀρχαίαν φράζει τὸ ξεῖνοι δ' ἀλλήλων πατρώϊοι εὐχόμεθ' εἶναι ἐξ ἀρχῆς εἴπερ τὸν δεῖναι εἴρηαι τουτέστιν ἐρωτήσεις ἐπελθών. Ἰστέον δὲ ὅτι τὸ πατρῷος, κτητικὸν μέν ἐστι. γίνεται δὲ ἐκ τῆς πατρὸς γενικῆς, πατροῖος ὁ τοῦ πατρός. ὡς παντὸς παντοῖος. καὶ ἐκτάσει τοῦ ¯ο εἰς ¯ω, πατρῷος, μένοντος τοῦ ἰῶτα ἐν προσγραφῇ. οὕτω δὲ καὶ τὸ μητρῷος γίνεται. καὶ τὸ παππῷος. στιχθέντος δὲ τοῦ προσγεγραμμένου ἰῶτα καὶ εὐθὺς ἐκφωνηθέντος. γίνεται πατρῴϊος. μητρῴϊος. παππώϊος. οὕτω καὶ ὁ μινῷος, μινώϊος ἐκφονεῖται. καὶ τὸ λῷον, λώϊον. καὶ τὸ ὑπερῷον ὑπερώϊον. ὅθεν τὸ ὑπερωΐοθεν παρὰ τῷ ποιητῇ. (ῃερς. 190.) Ὅτι ἐρημάζοντος δηλωτικὸν τὸ, ὃν οὐκέτι φασὶ πόλινδε ἔρχεσθαι ὅπέρ ἐστιν ἀστυπολεῖν, ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα πάσχειν. οἱ δὲ τοιοῦτοι ὁποῖος καὶ ὁ γέρων Λαέρτης καὶ οἱ ἄλλως δὲ κατὰ τοὺς ἀμφὶ τὸν Εὔμαιον ἐν ἐσχατιαῖς οἰκοῦντες, ἄγροικοι προπαροξυτόνως λέγονται, καὶ ἡ αὐτῶν οἴκησις, ἀγροικία κατὰ ἰδέαν δριμύτητος ἤγουν γλυκύτητος ὡς δηλοῖ Ἀθήναιος ἐν τῷ, εἰς τὸ ὄρος ὁρμώμενοι, τὰς ἀγροικίας κακοποιοῦσι πολλοὶ συναθροισθέντες. ἄλλως δέ γε, ἀγροῖκος μὲν προπερισπωμένως, ὁ ἀπαίδευτος. ἀγροικία δὲ κοινότερον σκωπτικῶς, ἡ τοῦ τοιούτου ἀγροίκου φαύλη ἕξις. ἴσως δὲ, ὁ ἐν παροξυνήσει ἀγρότης, ὁ αὐτός ἐστι τῷ ἀγρεῖος. ὃ διὰ διφθόγγου γράφεται κατὰ τὸ ἀργεῖος. (ῃερς. 194.) Ὅτι ὁ γέρων Λαέρτης εἰς τὴν πόλιν οὐκέτι ἤρχετο, ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα ἔπασχε γρηῒ σὺν ἀμφιπόλῳ. ἥτις αὐτῷ βρῶσιν τε πόσιν τε παρετίθει ὅτε ἂν αὐτὸν κάματος κατὰ γυῖα λάβῃ, ἑρπύζοντα ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο. οὗ ἡ σύνθεσις, κατὰ τὸ στρατόπεδον. πλὴν, οὐχ' ὥσπερ στρατὸς στρατόπεδον, οὕτω καὶ οἶνος οἰνόπεδον, ἀλλὰ ὥσπερ τιμὴ Τιμόθεος, οὕτως ἂν εἴη καὶ οἴνη οἰνόπεδος. (ῃερς. 193.) Σημείωσαι δὲ ὅπως οὐκ ἄλλως οὐδὲ τῷ γέροντι τροφὴ δίδοται εἰ μὴ κάματος αὐτὸν λάβῃ. (ῃερς. 190.) Ὅρα δὲ καὶ οἷον ἡ λύπη. τὸν γὰρ βασιλέα Λαέρτην, τὸ ἐπὶ τῷ παιδὶ πένθος εἰς τοὺς ἀγροὺς μετῴκιε. καὶ ζῆν οἰκτρῶς καὶ οἷον δουλικῶς ἀνέπεισε. καὶ βίον τρίβειν μονίαν καὶ κατηφῆ ὡς ὁ τὴν Ὀδύσσειαν παραφράσας ῥήτωρ γράφει. ἴσως δὲ, καὶ μὴ φέρων τὴν ὕβριν τῶν μνηστήρων ὁ σώφρων γέρων, ἐκτοπίζεται. καὶ ἀντὶ ἀστοῦ, ἀγρεῖος γίνεται. ταυτόν δ' εἰπεῖν ἄγροικος. χρῆσις δὲ ἀγρείου τοιούτου, παρὰ τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰπόντι ὡς οἱ ἄγροικοι, καὶ κραδοφάγοι λέγονται καὶ 1.48 κραδοπῶλαι, ὡς ἀπὸ φύλλων καὶ δένδρων ποριζόμενοι. Σημείωσαι δὲ ὅτι ταῦτα μὲν, προεκθετικὴ ὡσανεὶ κεφαλαίωσίς ἐστι τῶν ἐσύστερον περὶ Λαέρτου ῥηθησομένων. μετ' ὀλίγα μέντοι, καθαρὰ προέκθεσις φανεῖται ἐν τῷ, οὔτοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης ἔσσεται, καὶ ἑξῆς. Ἁπλότητος δὲ ἡρωϊκῆς καὶ ἀφελείας, ἡ δι' ἀμφιπόλου γραὸς ὑπηρεσία. ἧς εὐθεῖα, οὐ μόνον γραῦς ὡς ναῦς, καὶ γρηῦς ὡς νηῦς ἐξ ὧν τὸ νηῒ καὶ γρηῒ, ἀλλὰ καὶ γρηΐς, ἔτι δὲ καὶ γραΐς. ὅθεν τὸ γραίδιον ὑποκοριστικῶς. καὶ συνῃρημένως; γρᾴδιον. οἷον, μετὰ γρᾳδίου βαρβάρου διατελῶν, (ῃερς. 193.) Τὸ δὲ ὅτε ἂν αὐτὸν κάματος κατὰ γυῖα λάβη, ἐντελέστατα εἴρηται. καὶ χρὴ ἔχειν αὐτὸ εἰς σαφήνειαν τοῦ, περὶ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα καὶ φλοιόν. καὶ τῶν ὁμοίων. ὡς λειπούσης καὶ ἐκεῖ τῆς κατ¯α προθέσεως. εἰ δὲ ἦν, ὅτε ἂν αὐτὸν κάματος γυῖα λάβῃ, ἦν ἂν καὶ αὐτὸ ἐλλειπτικῶς ὅμοιον ἐκείνοις. (ῃερς. 194.) Ἑρπύζειν δὲ λέγεται νῦν ὡς ἐκ μεταφορᾶς, τὸ βραδέως βαδίζειν, ἢ διὰ γῆρας, ἢ καὶ διὰ λύπην πολλὴν τὴν ἐπὶ τῷ φίλῳ υἱῷ καθὰ καὶ Ἀχιλλεὺς ἐν Ἰλιάδι ὁ σθεναρώτατος, καὶ ὠκύτατος, ἑρπύζει περὶ τὴν τοῦ ἑταίρου πυρκαϊάν. Γουνὸς δὲ, ὁ γόνιμος τόπος καὶ κάρπιμος, ἀπὸ τοῦ γονὸς ὀξυτόνου ὀνόματος, Ἰωνικῇ ἐπενθέσει τοῦ ¯υ. γόνος μὲν γὰρ βαρυτόνως, ὁ γεννώμενος. γονὸς δὲ πρὸς διάφορον σημασίαν ὀξυτόνως, ὁ γόνιμος. Ἀλωὴ δὲ, τριχῶς. ἥ, τε σιτοφόρος γῆ. καὶ ἡ δενδροφόρος. καὶ ἡ ἀμπελόφυτος. διὸ καὶ ὁ ποιητὴς ἀλωῆς εἰπὼν, ἐπήγαγε καὶ οἰνοπέδοιο, ἵνα μὴ ἀσαφὴς ἡ λέξις ᾖ, ἀοριστaίνουσα διὰ τὸ πολυσήμαντον. Ἰστέον δὲ ὅτι ἀλωή ποτε, καὶ ἡ ἅλως ἐκ τοῦ ἀλοίω τὸ τύπτω καὶ συντρίβω, ἐκτάσει τοῦ ¯ο εἰς ¯ω. ἔνθα τρίβονται οἱ καρποί. (ῃερς. 195.) Ὅτι ἐπιδήμιος ἁπλῶς μὲν, ὁ ἐξ ἀλλοδαπῆς εἰς τὴν πατρίδα ἐλθών. ἐνταῦθα δὲ ἐπὶ Ὀδυσσέως, καὶ πλεῖόν τι ἡ λέξις ἐμφαίνει. ἐπεὶ γὰρ ἐν δήμῳ Ἰθάκης ἐστὶ τὸ τοῦ Ὀδυσσέως βασίλειον, λέγοιτο ἂν αὐτὸς ἐπιδήμιος εἶναι, καὶ ὡς εἰς τὸν τοιοῦτον δῆμον ἐλθών. ἐν δὲ Ἰλιάδι ἐπιδήμιος πόλεμος, ὁ ἐμφύλιος. (ῃερς. 196.) Ὅτι βλάπτειν ὁδοῦ ἢ κελεύθου, τὸ κατέχειν καὶ κωλύειν. ἔστι δὲ καὶ βλάβω σεσιγημένος ἐνεστώς. ἐξ οὗ τὸ, βλάβεται δέ οἱ γούνατ' ἰόντι. καὶ τὸ ἐβλάβη. καὶ ὄνομα ἡ βλάβη. καὶ τὸ ἀπ' αὐτῆς βλάβος παρὰ τῷ κωμικῷ πρὸς ὁμοιότητα τοῦ, δίψα δίψος καὶ τῶν ὁμοίων. Ἰστέον δὲ ὅτι καθὰ τὸ βλάπτω ἐν τῇ διφορήσει ἀναφαίνει τὸ ¯β οὕτω σὺν ἄλλοις καὶ τὸ στρέφω. καὶ δῆλον αὐτὸ, ἔκ τε τοῦ στρεβλὸς, καὶ τοῦ στραβὸς, οὗ παρώνυμον ὁ Στράβων. ἔτι δὲ καὶ ἐκ τοῦ ἀστράβη. ὃ σημαίνει σέλλαν καὶ σαγμάριον. οἷον. ἠπειλήσατο τῷ ὀνηλάτῃ, τὰ γύναια καταβαλεῖν σὺν τοῖς ὀναρίοις καὶ ταῖς ἀστράβαις. Ἔτι ἰστέον καὶ ὅτι βλάπτειν κυρίως τὸ ἐμποδίζειν τὸν τρέχοντα, καὶ οἱονεὶ βάλλειν ὅ ἐστι ῥίπτειν καὶ οὕτως ἰάπτειν. ἐξ ὧν δοκεῖ τὸ βλάπτειν συγκεῖσθαι. καὶ ἔστιν ὅμοιον, βλάπτειν εἰπεῖν καὶ σφάλλειν. οὗ τὸ ἀνάπαλιν, ἀνασφάλλειν. ἤγουν ἀνίστασθαι καὶ ὀρθοῦσθαι. καὶ Ὅμηρος οὖν οὐχ' ἁπλῶς εἶπε βλάπτειν ἀλλὰ βλάπτουσι κελεύθου, ἤτοι ἐμποδὼν γίνονται εἰς ὁδόν. (ῃερς. 198.) Ὅτι τὸ, ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ, προϊὼν που ὁ ποιητής, παρῳδεῖ κατὰ τὴν τοῦ ἔπους ἀρχὴν, οὕτω. εἰς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ, τοῦτο δέ τις παρῳδήσας ἐν τῷ τέλει ἀστείως, ἐπὶ προσώπου ἀξιολόγου ἐρεῖ. εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ κόσμῳ. οἱονεὶ λέγων ὅτι ὁ δεῖνα μόνος ἐναπέμεινε τῷ κόσμῳ. καὶ προσφωνητικῶς δέ ποτε ἐρεῖ πρός τινα. εἷς δ' ἔτι που ζωὸς κατερύκεαι, καὶ ἑξῆς. Ὅτι τὸ ἀμφιρύτη ὥσπερ ἐν τοῖς πρὸ τούτου, οὕτω καὶ ἐνταῦθα διὰ τὸ μέτρον, ἓν ἔχει ἀμετάβολον. (ῃερς. 199.) Ὅτι ὁ ποιητὴς χρησμοῦ μιμεῖται λοξότητα ἐν οἷς ὁ Μέντης πῇ μὲν, λέγει ὅτι ζῶν Ὀδυσσεὺς κατερύκεται ἐν νήσῳ ἀμφιρύτῃ, ὅπέρ ἐστιν ἀληθές. πῇ δὲ, ὅτι χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν ἄγριοι, ὅπερ οὐκ ἀληθές. ἡ γὰρ τοιαύτη νῆσος, ἔκτοπος καὶ ἀοίκητος ἀνδράσι πλάττεται. Καὶ σημείωσαι ὅτι συνεπιπλέκονται ὧδε τὰ ἀληθῆ τοῖς μὴ τοιούτοις, ὡς ἂν ἡ τοῦ μέλλοντος γνῶσις ἀνθρωπίνως ταράττοιτο. καὶ ἵνα μὴ δὲ ἀπίθανος ὁ λόγος δοκοίη. πῶς γὰρ ὁ φαινόμενος οὗτος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μέντης οἶδεν εἰ καὶ ἀοίκητος ἡ νῆσος ἐστὶν ἐν ᾗ κατέχεται Ὀδυσσεύς; ἄλλως τε, οὐδὲ ἀναγκαῖον ἦν, οὐδὲ συνέφερε γνωσθῆναι τῷ Τηλεμάχῳ τῷ ἀληθές. εἰ γὰρ ἔμαθεν οὕτως ἐκτετοπίσθαι τὸν πατέρα ἐν ἐρημίᾳ καὶ ὑπὸ θεᾶς δὲ κωλύεσθαι, ἀπέγνω ἂν τὴν ἐκείνου ἐπανέλευσιν καὶ οὐκ ἂν ἀπεδήμησε δι' ἐκεῖνον. καὶ συνέβαινεν ἐκ τούτου, ἐλλελεῖφθαι τῇ ποιήσει μυρίας χάριτας. (ἡερς. 0.) Ἀγρίους δὲ ἄνδρας, ἡ μὲν κωμῳδία, ἐπὶ ἄλλης φαυλότητος τίθησιν. ὁ δὲ ποιητὴς, τοὺς ληστρικοὺς οὕτω καλεῖ ὡς ψευδομένους τὴν κατ' ἄνθρωπον ἡμερότητα διὰ χαλεπότητα. διὸ ἐκ παραλλήλου γράφων, φησί. χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν ἄγριοι. 1.49 (ἡερς. 1.) Ὅτι τὸ ἐνθυμεῖσθαι, ἐν θυμῷ βάλλειν φησί. καὶ ὅτι τὸ, ὡς ἐν θυμῷ ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω, στοχαστικὴν τέχνην εἶναι, δηλοῖ τὴν μαντευτικήν. ὡς δοκεῖ καὶ τοῖς μεθ' Ὅμηρον σοφοῖς. τοῦτο γὰρ δηλοῖ τὸ, ὡς τελέεσθαι ὀΐω. ἤγουν νομίζω. στοχάζομαι. Καὶ ὅρα τὸ τελέεσθαι ἀφ' οὗπερ οὐ μόνον ἀτελὲς τὸ μήπω τελεσθὲν, καὶ ἀτέλεστον τὸ ἀδύνατον τελεσθῆναι, ἅπερ ὁ ἐναλλάσσων ἀκυρολογεῖ κατὰ τοὺς παλαιοὺς, ἀλλὰ καὶ ἀποτελεσματικὴ σοφία λέγεται παρὰ τοῖς μεθ' Ὅμηρον, καὶ σοφοὶ ἀποτελεσματικοί. Μέμικται δὲ καὶ ἐνταῦθα ὡς ἀνωτέρω, τὸ ψεῦδος τῇ ἀληθείᾳ. ὅτι μὲν γὰρ ἐν θυμῷ ἀθάνατοι βάλλουσι σωθῆναι τὸν Ὀδυσσέα, ἀληθὲς, τὸ δὲ τελέεσθαι ὀΐω, ψευδές. οὐ γὰρ ὀΐεται τὸ μέλλον ἀνθρωπίνως ἡ τοῦ Διὸς Ἀθηνᾶ, ἀλλὰ οἶδε. Βάλλουσι δὲ, ἀντὶ τοῦ νοοῦσιν ἐπιτυχῶς καὶ ὡς εἰπεῖν, ἐπηβόλως. ἢ τιθέασιν. (ἡερς. 3.) Ὅτι ἐν μὲν τῇ Ἰλιάδι εἰπὼν ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ ὀνειροπόλον, τῷ τοῦ μάντεως ὀνόματι τὸν οἰωνοπόλον ἐδόκει δηλοῦν κατ' ἐξοχὴν, ὡς ἐῤῥέθη ἐκεῖ. ἐνταῦθα δὲ λέγων ὅτι οὔ τέ τι μάντις ἐὼν οὔ τε οἰωνῶν σάφα εἰδώς, ἤγουν κατὰ τὸν παραφραστὴν, οὐ βλέπων εἰς οἰωνοὺς ἀλλὰ δηλαδή φησιν ὡς ὁ θεὸς κινεῖ καὶ αὐτὰ τὰ πράγματα ὑποβάλλει προθεσπίζων, μάντιν μὲν εἰπεῖν δοκεῖ γενικώτερον, τὸν ἁπλῶς ὁπωσοῦν μαντευόμενον. τὸν δὲ οἰωνοπόλον, ἰδίᾳ ὡς εἶδος τοῦ μάντεως ἐκφωνῆσαι. οὕτω δὲ καὶ ἀλλαχοῦ ἐν τῇ Ἰλιάδι μάντεως μνησθεὶς, ἐπιφέρει τὰ εἴδη. τὸν θυοσκόον καὶ τὸν ἱερέα. ἴσως δὲ ἐνταῦθα καὶ κατὰ πολυωνυμίαν, ταυτὸν δηλοῖ ὅ, τε μάντις, καὶ ὁ σάφα εἰδὼς οἰωνῶν. εἰ γὰρ ὄρνις καὶ οἰωνὸς λέγεται πᾶν τὸ σημαντικὸν τοῦ μέλλοντος, εἴη ἂν ἐκ παραλλήλου θέσεως, καὶ ὁ ἁπλῶς μάντις καὶ ὁ οἰωνοὺς εἰδὼς, ὁ αὐτός. καὶ ἄλλως δὲ μάντις μὲν, ὁ ἔνθεος καὶ θεοφορούμενος, παρὰ τὸ μαίνεσθαι, εἴπερ καὶ ἡ μαντεία θεία μανία παρὰ τοῖς παλαιοῖς ἐδοξάζετο. καὶ μανική τις ἡ μαντική. Τὸ δὲ ἐὼν ἤγουν ὑπάρχων, κοινῶς μὲν, δοκεῖ ἀπὸ τοῦ ἦον δευτέρου ἀορίστου γενέσθαι, διὸ καὶ ἀναλόγως ὀξυτονεῖσθαι. Ἡρακλείδης δὲ, παραλόγως ὀξύνεσθαι αὐτό φησι, καὶ ἡμαρτῆσθαι. λογιζόμενος αὐτὸ, οὐ μετοχὴν δευτέρου ἀορίστου ἀπὸ θέματος βαρυτόνου τοῦ ἔω, ἀλλὰ καὶ ἐκ περισπωμένου τοῦ ὦ ἤγουν ὑπάρχω. ἔτι δὲ λέγει σφοδρῶς, καὶ ὅτι ἔγωγε ἄνοιαν καταδικάζω τῶν οἰομένων ἐπέκτασιν τῆς ὢν, εἶναι τὴν ἐὼν μετοχήν. οὐδεμία γάρ φησιν εἰς ¯ων λήγουσα μετοχὴ, ἐπεκτείνεται διὰ τοῦ ¯ε. εἶτα γράψας τὰ δοκοῦντα ἐν οἷς καὶ ὅτι πᾶσα μετοχὴ εἰς ¯ων λήγουσα καθαρὸν ὀξύτονος τὸ ¯ι ἔχει παραλῆγον. οἷον, πιὼν, κιὼν, ἰὼν, ἐπάγει. ὥστε ἄμεινον ἡμῶν, Βοιωτοὶ τὴν ἐὼν, ἰὼν λέγουσι. μέμφεται δὲ καὶ τὸν Σιδώνιον Διονύσιον, εἰπόντα διαλέκτῳ Ἀτθίδι πεποιῆσθαι ὅσα πλεονάζει τὸ ¯ε καταρχάς. ὧν ἐστὶ καὶ τὸ ἐμῳνοχόει. καὶ τὸ ἐὼν, ἀγνοεῖ δέ φησιν ἐκεῖνος τὸ, ἔργων ἐέρων. καὶ τὸ, ἔλπων ἐέλπων. καὶ τὸ, ἀλλὰ σύπέρ μοι ἔειπε ἀντὶ τοῦ εἰπέ. ὃ καὶ σημείωσαι ὡς καινόν. τὰ πλείω γὰρ τῶν Ὁμηρικῶν ἀντιγράφων, ἀλλὰ σύπέρ μοι εἰπὲ γράφουσιν. Οἰωνῶν δὲ εἰδὼς, ὁ τὰς ἐκ τῶν οἰωνῶν ἤτοι μαντικῶν σημείων μεθόδους ἔχων, καὶ τοῦ μέλλοντος ἐκεῖθεν κατευστοχῶν τεχνικῶς. Ὅρα δὲ ὅτι ἐν μὲν Ἰλιάδι, εὖ εἰδὼς τόξων ἔλεγε, καὶ τοιαῦτά τινα κατὰ σύνταξιν γενικήν. ἐνταῦθα δὲ, σάφα εἰδὼς οἰωνῶν. ἁπλῶς δὲ, τὸ εἰδὼς, εὕρηται γενικῇ συντάσσων ὁ ποιητὴς ἐν πολλοῖς. οὐχ' ὡς μετοχὴν λαμβάνων αὐτὸ, ἀλλ' ἀντὶ ὀνόματος τοῦ, τεχνίτης καὶ εἰδήμων καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιστήμων. ἢ ἀντὶ τοῦ, τέχνην ἔχων καὶ εἴδησιν. ὁ δ' αὐτὸς καὶ τὸ γνῶ, γενικῇ συντάσσει ἐν τῷ, γνώτην ἀλλήλοιϊν. ἤγουν γνώριμοι ἀλλήλοις ἐγένοντο. Σημείωσαι δὲ ὅτι παρακειμένων ἀλλήλοις τριῶν τούτων. τοῦ οἰωνός. τοῦ ὄρνις. καὶ τοῦ στρουθός. οἰωνὸς μὲν καὶ ὄρνις, λαμβάνονταί ποτε καὶ εἰς μέλλουσαν σημασίαν. οἷον, οἰωνὸς ἢ ὄρνις ἐπετάσθη ἀετὸς τυχὸν ἢ ἱέραξ. καὶ ἦν αὐτὸς, οἰωνὸς αἴσιος. ἢ ὄρνις ἐναίσιμος. τουτέστι δηλωτικὸς αἴσης τοιᾶς δέ τινος. στρουθὸς μέντοι, ἐπὶ τοιαύτης ἑρμηνείας οὐχ' εὕρηταί που. αἴτιον δ' ἴσως, ὅτι οὐδὲ καθολικὸν ὄνομα ὁ στρουθὸς ἢ θηλυκῶς εἰπεῖν ἡ στρουθὸς ἔστιν. εἰ γὰρ καί τις κωμικὸς εἰπὼν ὡς ἐκολάκευσεν οὐ συμπιέσασα τὸ στόμα ὥσπερ πολέμιος, ἀλλὰ τοῖσι στρουθίοισι χαυνοῦσα ὁμοίως, κοινοῦται καὶ ἄλλοις ὀρνέοις τοὔνομα τῆς στρουθοῦ, ἀλλ' αὐτὸ οὐκ ἔστιν ἀναντίῤῥητον. ἀρέσκει δὲ μᾶλλον, στρουθοὺς λέγεσθαι ὡς ἐπὶ πολὺ τὰς ὁμοειδεῖς τῇ Ὁμηρικῇ, περὶ ὧν ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. οὓς ἡ πολλὴ μὲν εἴδησις, ὀχευτικοὺς οἶδε. Τερψικλῆς δέ τις, καὶ τοὺς ἐμφαγόντας αὐτῶν, καταφόρους λέγει πρὸς τὰ ἐς Ἀφροδίτην γίνεσθαι. οἴδασι δὲ οἱ σοφοὶ καὶ ἑτεροίας στρουθοὺς, οὐ μικρὰς ἐκεῖνας ἀλλ' ἀληθῶς μεγάλας, ὡς δηλοῖ τὸ, μεγάλας στρουθούς. ὧν γνῶσις ἦν καὶ τῷ κωμικῷ. ἐλέγοντο δὲ αὗται, καὶ 1.50 Λιβυκαὶ στρουθοί. καὶ στρουθοὶ δὲ καταμόνας. οἷον. ἀφείθη ἐλεφάντων ἅρματα ¯κ ¯δ. συνωρίδες τράγων, ἑξήκοντα. βουβαλίων ¯ι ¯ε. στρουθῶν, ὀκτώ. ποτήριον δέ τι Περσικὸν στρουθίον καλούμενον ὥς φησιν Ἀθήναιος, ἄδηλον ἐκ ποίων στρουθῶν παρωνόμασται. τὸ μέντοι στρουθίζειν ὅ φησιν ὁ κωμικὸς, ἐκ τῆς Ὁμηρικῆς παρῆκται στρουθοῦ. Ὅτι ὅτε λέγει ὁ μυθικὸς Μέντης ἤγουν ἡ Ἀθηνᾶ, ὡς μαντεύσεται τὸ ἀληθὲς οὔτε μάντις ἐὼν οὔτε οἰωνοὺς εἰδὼς, προσυπακουστέον ἔξωθεν τὸ, ἀλλὰ φύσει τὸ μέλλον εἰδὼς ὡς θεὸς δῆθεν καὶ αὐτομαθής. ἐσχημάτισται γὰρ καὶ ἐνταῦθα ὁ λόγος ἐλλειπτικῶς πρὸς ἐπίκρυψιν. καὶ ἡ μὲν ἄρσις, ἐκφωνεῖται. ἤγουν τὸ οὔ. ἡ δὲ θέσις, ἐπεκρύβη. ἤγουν τὸ ἀλλὰ. ὅμοιον δὲ τῷ σχήματι τούτῳ, καὶ τὸ, οὐ γὰρ σῖτον ἔδουσιν οὐ πίνουσιν αἴθοπα οἶνον. καὶ ἐνταῦθα γὰρ ἔξωθεν αἱ θέσεις νοοῦνται, τὸ ἀλλὰ ἀμβροσίαν ἔδουσιν. ἀλλὰ νέκταρ πίνουσιν. Ὅτι δὲ Ἰακόν ἐστι τὸ ἐὼν ἢ Αἰολικὸν ἢ Δωρικὸν, πάντες γὰρ αὐτῷ χρῶνται, Ἡρακλείδης ἔγραψέ που. ἔνθα ἔφη καὶ ὅτι, ὡς ἐλθὼν ἐλθέτω καὶ τὰ ὅμοια, οὕτως ἐὼν ἐέτω. καὶ ἀναλόγῳ κράσει, εἴτω διὰ διφθόγγου. ὡς φιλείτω. πλείτω. καὶ Δωρικῶς ἤτω. Δοριεῖς γὰρ, οὕτω μεταποιοῦσι τὰς τοιαύτας παραληγούσας, τὸ φιλείτω νοείτω, φιλήτω καὶ νοήτω λέγοντες. (ῃερς. 4.) Ὅτι ὥσπερ ξεσμὸς ξέσμα παρ' Ἀττικοῖς. καὶ ἀσπασμὸς ἄσπασμα. καὶ βρεχμὸς βρέχμα, οὕτω καὶ δεσμὸς δέσμα. φησὶ γὰρ ὅτι πολυμήχανος ὁ Ὀδυσσεὺς, καὶ φράσεται ὅπως ἂν εἰς τὴν πατρίδα νοστήσῃ εἴπέρ τε σιδήρεα δέσματα ἔχῃσιν. ὅμοιον δὲ τοῖς ῥηθεῖσι καὶ τὸ ἐχμὸς ἔχμα. ἀναιδέος ἔγχματα πέτρης. ἐνταῦθα δὲ καὶ σχῆμα ἀμφιβολίας ἐστίν. ἢ γὰρ δηλοῖ ὅτι ἐὰν καὶ σιδήρεοι δεσμοὶ ἔχωσι τὸν Ὀδυσσέα ἤτοι ἐπέχωσιν, ἢ ἐὰν σιδηρέους δεσμοὺς ἔχῃ ὁ Ὀδυσσεὺς ἤτοι φέρῃ περὶ αὐτόν. ὥσπερ καὶ δακτύλιον καὶ ἱμάτιον ἔχειν τις λέγεται. πῶς δὲ πολυμήχανος Ὀδυσσεὺς, ἐν τοῖς ἑξῆς που δηλωθήσεται. (ῃερς. 6.) Ἰστέον δὲ ὅτι περὶ ἀνδρὸς φυγάδος μὲν τῆς πατρίδος δραστηρίου δὲ καὶ σοφοῦ καὶ ἐφιεμένου κατελθεῖν, ῥηθήσεται τὸ Ὁμηρικὸν χωρίον τὸ, οὔτοι ἔτι δηρόν γε φίλης ἄπο πατρίδος αἴης ἔσσεται οὐδ' εἴπέρ τε σιδήρεα δέσματ' ἔχῃσι. φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστι. Τὸ δὲ Ὁμηρικὸν δέσμα, δεσμὸν ἐν ἄλλοις ἔστιν εὑρεῖν κατὰ γένους μεταπλασμόν. ὁποῖον καὶ τὸ ζυγόν. καὶ τὸ κέλευθον. καὶ τὸ λύχνον. καὶ ἕτερα μυρία ὅσα. Δῆλον δὲ, ὅτι ταυτόν ἐστι σιδήρεον δέσμα καὶ σιδηροπέδην ἢ σιδηρᾶν ποδοκάκην εἰπεῖν. τινὲς δὲ καὶ τὸ ζητρεῖον ποδός φασι δεσμόν. Ὅτι δὲ τοῦ δεσμὸς καὶ τοῦ δέσμα, ἔστι καὶ θηλυκὸν ἡ δέσμη, δηλοῖ καὶ χρῆσις Ἀλέξιδος ἐν τῷ, καὶ θύμου δέσμαί τινες. Σημείωσαι δὲ καὶ ὅτι τὸ, φράσσεται ὥς κε νέηται καὶ ἑξῆς προέκκειται, προαναφώνησίς ἐστιν ἤτοι προέκθεσις ῥητορική. ταυτὸν δ' εἰπεῖν, ὑπόσχεσις παραμυθουμένη τὸν ἀκροατήν. προλαλεῖ γὰρ, ὡς εἰ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμήχανόν ἐστι τὸν Ὀδυσσέα ἐκ τῆς κατὰ τὴν Καλυψὼ νήσου πλεύσαντα νοστῆσαι οἴκαδε, ἀλλ' ἐκεῖνος πολυμήχανος ὢν καὶ διατοῦτο καὶ ναυπηγεῖν εἰδὼς, νέηται ἤγουν νοστήσει εἰς τὴν πατρίδα. τὸ γὰρ τοιοῦτον νέεσθαι, δῆλον ὅτι τὸν νόστον παράγει. Τοῦ δὲ φράσσεται, πρωτότυπον τὸ φῶ ἐξ οὗ πλεονασμῷ τοῦ ¯ρ, φρῶ. ὅθεν τὸ φράζω. καὶ περὶ μὲν τοῦ φῶ καὶ τῆς κατ' αὐτὸ ὁμωνυμίας, ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. τὸ δὲ φράζειν καὶ φράζεσθαι, ὁμωνυμίαν καὶ αὐτὸ ἔχει. καὶ νῦν μὲν, τὸ βουλεύεσθαι δηλοῖ. ἀφ' οὗ καὶ φραδὴς νοῦς. ὡς τὸ, φραδέος νόου τέτυκται. καὶ ἀριφραδὴς ὁ ἄγαν συνετός. οὗ διέσταλται κατὰ τόνον, Ἀριφράδης τὸ κύριον, καὶ φράδμων ὁ βουλευτής. οἷς ἐναντίον, ὁ ἀφραδής. τιθέμενος καὶ ἐπὶ νεκύων κατὰ τὸν ἐξωτερικὸν μῦθον. ἔτι δὲ λέγεται φράζειν, καὶ τὸ λαλεῖν λεκτικῶς. ὅθεν καὶ φράσις καὶ περίφρασις καὶ παραφραστὴς καὶ ὅσα τοιαῦτα. δοκεῖ δὲ ἔκ τινος ἑτεροσημάντου φῶ καὶ φρῶ, γίνεσθαι τὸ φράσσω. ἀφ' οὗ ὁ κατάφρακτος στρατιώτης καὶ οἱ φραγμοὶ καὶ ὅσα τοιαῦτα. (ῃερς. 7.) Ὅτι ὡς καὶ ἀλλαχοῦ φαίνεται, τὸ ῥῆμα μὲν τοῦ λέγειν, οἶδεν ὁ ποιητής. ὡς καὶ ἐνταῦθα ἐν τῷ, ἀτρεκέως κατάλεξον. τὸ δὲ ἐξ αὐτοῦ ὄνομα τὸ λόγος, οὐκ οἶδεν, ἀλλὰ μῦθον ἀεὶ τὸν λόγον φησίν. ἔστι δὲ πάντως τὸ κατάλεξον ταυτὸν τῷ, ἀγόρευσον. διὸ καὶ ἐπάγεται τὸ, μάλ' ἀτρεκέως ἀγόρευσον. (ῃερς. 9.) Ὅτι ἐκ τῆς κεφαλῆς καὶ τῶν ὀμμάτων χαρακτηρίζεται ἡ τοῦ Τηλεμάχου πρὸς τὸν πατέρα ὁμοιότης, ἐν τῷ, αἰνῶς κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας ἐκείνῳ. ὁ δὲ λόγος ἁρμόζει παντὶ ἔχοντι πρὸς τὸν τεκόντα ἐμφέρειαν. ἐρεῖ δέ τι τοιοῦτον καὶ ἐν τοῖς ἑξῆς ὁ Μενέλαος ὃς ἔκ τε χειρῶν καὶ ποδῶν καὶ ὀφθαλμῶν βολῆς καὶ χαίτης, τὴν πρὸς τὸν Ὀδυσσέα τῷ Τηλεμάχῳ συνάξει ὁμοιότητα. (ῃερς. 210.) Ὅτι κυρίως μὲν, τὸ μίσγεσθαι λέγεται ἐπὶ ὑγρῶν. χείμαῤῥοι γοῦν ἐν Ἰλιάδι μίσγεσθαι λέγονται, ὅθεν καὶ ἡ μισγάγκεια. 1.51 καὶ κήρυκες οἶνον ἔμισγον ἐν κρατῆρσι καὶ ὕδωρ. ἐνταῦθα δὲ, φίλοι ἀλλήλοις θαμὰ μίσγεσθαι λέγονται. συνακίρναται γάρ πως ἡ φιλία τοῖς ἤθεσι. καὶ ἔστι σωμάτων μὲν, τὸ παρατίθεσθαι. ψυχῶν δὲ, τὸ μίσγεσθαι, συνανακιρναμένων φιλικῶς. δῆλον δὲ ὅτι καὶ ἐπὶ συνεύνων τὸ μίσγεσθαι λέγεται. καὶ ὡς οἰκεία ἡ λέξις ἐπὶ μάχης καὶ ἔριδος. ὅθεν καὶ τὸ ἐπιμὶξ μάχεσθαι. οἴδασι δὲ καὶ φιλόσοφοι τὴν αὐτὴν λέξιν ἐν τοῖς κατ' αὐτοὺς συλλογιστικοῖς σχήμασιν. (ῃερς. 211.) Ὅτι ἀναβῆναι εἰς Τροίαν ὡς καὶ προεγράφη, τὸ ἀναπλεῦσαι. δῆλον δὲ ὅτι καὶ βῆναι τὸ τοιοῦτον λέγεται, οὐχ' ἁπλῶς μέντοι ἀλλὰ μετὰ νηὸς, ὡς δηλοῖ τὸ, ἔνθά περ ἄλλοι Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλαις ἐπὶ νηυσί. καὶ ὅρα τὸ, Ἀργείων οἱ ἄριστοι οὓς ὡς ἀρίστους ἥρωας ἐν Ἰλιάδι καλεῖ ὁ ποιητής. (ῃερς. 214.) Ὅτι τὸ πεπνυμένοςὁ φρόνιμος, ἀπὸ τοῦ πνύω ἐνεστῶτος γίνεται, αὐτὸ δὲ, ἢ ἀπὸ τοῦ πονῶ πονύω κατὰ συγκοπὴν ὃ δηλοῖ τὸ ἐνεργῶ. ἐνεργὴς γὰρ ὁ φρόνιμος, ἢ ἀπὸ τοῦ πινύσσω τὸ φρονῶ. ἐξ οὗ καὶ ἀπινύσσειν τὸ ἀφραίνειν. καὶ πινυτὸς ὁ φρόνιμος. (ῃερς. 216.) Ὅτι λόγου μειρακιώδους καὶ ἀφελοῦς τὰ τοῦ Τηλεμάχου μιμητικῶς ὑπὸ Ὁμήρου γραφέντα. ἐν οἷς ἐρωτηθεὶς εἰ τοῦ Ὀδυσσέως ἐστὶν υἱὸς, λέγει ἁπλοϊκῶς ὅτι ἡ μήτηρ μέν φησιν Ὀδυσσέως ἐμὲ εἶναι υἱὸν, αὐτὰρ ἔγωγε οὐκ οἶδα, οὐ γάρ πω τις ἑὸν γόνον αὐτὸς ἀνέγνω. ἤγουν ἡ μήτηρ μὲν εὖ γινώσκουσα, τοῦ Ὀδυσσέως ἐμὲ υἱὸν εἶναι φησὶν, ᾗ τινι πάντως καὶ πείθομαι. ἐγὼ μέν τοι οὐκ οἶδα ἐξ ἐμαυτοῦ δηλονότι. ὅτι μὴ δὲ ἄλλως τις ἀφ' ἑαυτοῦ ἔγνω πόθεν γέγονεν, εἰ μὴ μάλιστα μὲν, ἐκ μητρὸς ἤδη δὲ καὶ ἀπ' ἄλλων εὖ εἰδότων. διὸ καὶ φησί. τοῦ μ' ἐκ φασὶ γενέσθαι, ἐπεὶ σύγε τοῦτο ἐρεείνεις. Καὶ ὅρα ὅτι οὐκ εἶπεν ἡ μήτηρ μέν με φησὶ τούτου εἶναι αὐτὰρ ἐγὼ οὐ πείθομαι, ἀλλὰ οὐκ οἶδα οἴκοθεν. πείθομαι δὲ δηλαδὴ τῇ μητρί. διὸ καὶ ἐπάγει, ὡς δὴ ἔγωγ' ὄφελον μάκαρος δή τινος εἶναι υἱός. Ὀδυσσεὺς γὰρ ἀποτμότατος ἐγένετο ἀνθρώπων. (ῃερς. 218.) Πιστεύων ἄρα τῇ μητρὶ, ἀπεύχεται Ὀδυσσέα ἔχειν πατέρα. ἴσως δὲ, καὶ βαρυνομένης ψυχῆς ἡ φαινομένη αὕτη ἀφέλεια, καὶ οὐκ ἐξ ὀρθοῦ, ἀφελοῦς. ἐνάγει γὰρ αὐτὸν ἡ λύπη, εἰς τὸ μὴ ἂν ἔχειν ῥαδίως πιστεῦσαι ὡς Ὀδυσσέως ἔστιν υἱός. τοῦ τηλικούτου. τοῦ οὕτω μεγάλου. (ῃερς. 221.) Τὸ δὲ τοῦ μ' ἐκ φασὶ γενέσθαι, ὅμοιόν ἐστι τῷ ἐν Ἰλιάδι. τόν με



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φασὶ γείνασθαι. ὅπερ ἐκεῖ ὁ Ἀστεροπαῖος φησί. καὶ τῷ, τὸν δὲ, ἐμὸν πατέρα φασὶ ἔμμεναι. ὃ περὶ τοῦ Προτέως ἡ Εἰδοθέα φησίν. ὅτι δὲ τῇ μητρὶ ἀνάκειται ἡ περὶ τῶν παίδων ἀκριβὴς εἴδησις, δηλοῖ καὶ Εὐριπίδης. λέγων. μήτηρ, φιλότεκνος μᾶλλον πατρός. ἡ μὲν, γὰρ αὑτῆς οἶδεν ὄντα, ὅ δ' οἴεται. καὶ Μένανδρος. αὑτὸν γὰρ οὐδεὶς οἶδε τοῦ ποτ' ἐγένετο, ἀλλ' ὑπονοοῦμεν πάντες ἢ πιστεύομεν. ἡ γὰρ ἀκριβὴς εἴδησις ἐν τοῖς τοιούτοις, τῇ μητρὶ ἀνάκειται. διὸ καὶ ὁ Τηλέμαχος πρῶτον εἰπὼν μήτηρ μέν με φησὶ τούτου εἶναι, ὕστερον ἐπάγει τὸ ἀπὸ τῆς κοινῆς φήμης τῆς μὴ πάνυ ἀκριβοῦς. λέγων. τοῦ μ' ἐκ φασὶ γενέσθαι. δοκεῖ δὲ καὶ τῷ Ἀριστοτέλει τὰ εἰρημένα ὀρθῶς ἔχειν, ὅς φησιν ὡς ἄριστα περὶ τῶν τέκνων κρίνουσιν αἱ γυναῖκες. διό φησι Πεπαρηθία τις γυνὴ μαρτυρήσασα οἰκεῖον τινὰ εἶναι παῖδα, ἔλυσε τὴν περὶ ἐκείνου ἀμφιβολίαν. καὶ ἕτεραι δέ τινες, ὡς ἐν τῇ ῥητορικῇ αὐτοῦ λέγει. (ῃερς. 222.) Ἰστέον δὲ καὶ ὅτι τὸ φασὶν, εἴωθεν ὁ ποιητὴς ποτὲ μὲν, λέγειν ἐπὶ τῆς ἁπλῶς φήμης, ὡς ὅτε ὁ Αἰνείας λέγει πρὸς Ἀχιλλέα, ὅτι φασὶ σὲ μὲν, Πηλέος ἔκγονον εἶναι. καὶ ἐνταῦθα δὲ ὁ Μέντης περὶ τοῦ Λαέρτου εἶπεν. ὃν οὐκέτι φασὶ πόλινδε ἔρχεσθαι. ἔστι δὲ ὅτε, καὶ ἐπὶ ὁμολογουμένων λέγει ὁ ποιητὴς τὸ φασὶν, ὡς ὅτε εἴπῃ ὅτι τὸν ἀετόν φασιν ὀξύτατα δέρκεσθαι. οὕτω δὲ καὶ τὸ φημὶ, ἐπὶ ἀκριβοῦς εἰδήσεως ἐν πολλοῖς τίθησιν. ὡς ὅτε Ἀχιλλεὺς ἐρεῖ πρὸς τὸν Αἰνείαν, ἤδη μέν σε φημὶ καὶ ἄλλο τε δουρὶ φηβῆσαι. καὶ ὅτε ὁ Νέστωρ λέγει. φημὶ κατανεῦται Δία Κρονίωνα. ἐνταῦθα οὖν τὸ μὲν ἡ μήτηρ μέν φησιν, ἐπὶ ἀκριβεστάτης εἰδήσεως νοηθήσεται. εὖ γὰρ εἰδυῖα ἡ Πηνελόπη, φησὶν ὅτι ὁ Τηλέμαχος υἱὸς τοῦ Ὀδυσσέως ἐστί. Τὸ δὲ ἐκ τούτου με φασὶ γενέσθαι, τὴν φήμην δηλοῖ τὴν ἐκ τῶν πολλῶν. (ῃερς. 217.) Γόνος δὲ νῦν, ἡ γονή. ἀφ' ἧς καὶ γίνεται ὥς που ἐν τῷ τέλει τῆς ῥαψῳδίας ταύτης ῥηθήσεται. τὸ δὲ εἰπεῖν γόνον τὸν γεννήσαντα, ἴσως οὐκ ὀρθόν. ὤφειλε γὰρ ὀξυνθῆναι, ὡς δηλοῖ τὸ γουνὸς, ὃ σημαίνει τὸν γόνιμον τόπον. Ἰστέον δὲ ὅτι ἐκ τοῦ γόνος ἤτοι γονὴ, οὐ μόνον ὁ λάγνος, ἀλλὰ καὶ ὁ κατὰ τοὺς παλαιοὺς λάγνης, ὡς οἱονεὶ λαγόνης, ἤγουν λίαν πολύγονος. καὶ μέν τινες, παρὰ τὸ λ¯α ἐπιτατικὸν καὶ τὸ γυνὴ, τὰ τοιαῦτα παρήγαγον. ἵνα εἴη ἁπλοῦν τοῦ λάγνου, ὁ γύνις, ἄλλό τι ὢν αὐτὸς παρὰ τὸν παρθενοπίπην, καὶ τὸν ἀῤῥενώπαν ὃς ἐδήλου τὸν ἀνδρόγυνον. καὶ παρὰ τὸν εἰδομαλίδην ἤγουν τὸν καλλωπίζοντα τὰ μῆλα τῆς 1.52 ὄψεως ὥς φασιν οἱ παλαιοί. (ῃερς. 218.) Ὅτι ἀφελῶς ὁ Τηλέμαχος ἤτοι ἁπλοϊκῶς, μάκαρα ἄνδρα ὁρίζεται, τὸν ἐπὶ τοῖς ἑαυτοῦ γηράσαντα κτήμασιν. εἰπών. ὡς δὴ ἔγωγ' ὄφελον μάκαρος νύ τευ ἔμμεναι υἱὸς ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἐπὶ γῆρας ἔτετμε. νῦν δ' ὃς, ἀποτμότατος γένετο θνητῶν ἀνθρώπων. οὐ μὴν ἀκριβῶς ἐκεῖνος λέγει, πολλῶν γὰρ πάντως καὶ ἄλλων χρεία εἰς τελείαν εὐδαιμονίαν καὶ μακαριότητα, καὶ οὐ μόνον τοῦ οἴκοι τινὰ τελευτῆσαι ἀνενδεῶς ζήσαντα. (ῃερς. 2.) Ὅρα δὲ ὅτι τῷ μάκαρι τὸν ἄποτμον ὅ ἐστι δύσποτμον ἀντέθετο. οἱ μέντοι μεθ' Ὅμηρον, μακάριον τὸν εὐδαίμονα καλοῦντες, ἄθλιόν φασι τὸν δυσδαίμονα. (ῃερς. 219.) Τὸ δὲ ὄφελον ταυτὸν ὂν τῷ ὤφειλον, ἀναυξησίαν τὲ Ἰωνικὴν ἔχει, καὶ ἀπέλευσιν τοῦ ¯ι. Τὸ δὲ κτεάτεσσι, πλεονασμὸν ἔπαθε τῆς τ¯ε συλλαβῆς καθὰ καὶ τὸ στομάτεσσι παρὰ τὸ Ὀππιανῷ. Τὸ δὲ ἔτετμεν, ἀχρεῖον μέν ἐστιν εἰς πεζὴν γραφὴν, δηλοῖ δὲ τὸ κατέλαβε, κυρίως μέντοι τέτμειν, τὸ ἐν ἐπιτόμῳ καὶ συντόμως καταλαμβάνειν. καὶ γίνεται ἐκ τοῦ τέμω τμῶ καὶ κατὰ ἀναδιπλασιασμὸν τέτμω. (ῃερς. 2.) Ἀποτμότατος δὲ ὁ δύσποτμος ὅ ἐστι δυστυχής. πότμος γὰρ, οὐ μόνον ὁ θάνατος ἀλλὰ καὶ ἡ τύχη, παρὰ τὸ πετεῖν ὅ ἐστι πεσεῖν ἀφ' οὗ καὶ ἡ περιπέτεια. τὰ γὰρ ἀπὸ τύχης, συμπίπτειν λέγεται, ἤγουν συμβαίνειν. ὅθεν εὔποτμος μὲν, ὁ εὐτυχής. πανάποτμος δὲ καὶ ἀποτμότατος, ὁ κακοτυχής. (ῃερς. 223.) Ὅτι πρέπει ἐνδόξῳ νέῳ ἐπειπεῖν τὸ, οὐ μέν σοι γενεὴν θεὸς νώνυμον ὀπίσω ἔθηκεν, ἐπεὶ σέ γε τοῖον ἡ μήτηρ ἐγείνατο. Ἰστέον δὲ ὅτι ὁ ποιητὴς εἴωθεν ἐπὶ μέλλοντος μὲν, τιθέναι τὸ ὀπίσω. ἐπὶ δὲ παρῳχημένου χρόνου, τὸ ἔμπροσθεν. ὅσα μὲν γὰρ οὔπω ἐθεάθησαν ἢ ἐγνώσθησαν, ὀπίσω ἡμῶν εἶναι δοκοῦσιν ὡς μὴ ἐλθόντα ὅλως εἰς ὄψιν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ δὲ παρῳχημένα, ὡς ἤδη τεθεαμένα, ἔμπροσθεν γενέσθαι λογίζονται. (ῃερς. 224.) Ὅτι ὥσπερ Ὑψιπύλη Ὑψιπύλεια, Περσεφόνη Περσεφόνεια, οὕτω καὶ Πηνελόπη Πηνελόπεια. καὶ Βερονίκη δὲ Βερονίκεια παρ' Ἡροδότῳ. παράγονται δὲ ὁμοίως καὶ ἄλλα πολλά. Ὅτι τοῖς ἀτάκτως μεθ' ὕβρεωςεὐωχουμένοις καὶ πολυτελῶς, ἐπιλεχθήσεται ἂν τὸ, τίς δαὶς τίς δὲ ὅμιλος ὅδε. εἰλαπίνη ἠὲ γάμος. ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν. ὥς τέ μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσι δαίνυσθαι. νεμεσήσαιτό κεν ἀνὴρ σώφρων αἴσχεα πόλλ' ὁρόων ὃς πινυτός γε μετέλθοι. ἤγουν ὃς φρονῶν συνέλθοι αὐτοῖς. ὁ γάρ τοι κατ' αὐτοὺς ἄφρων, οὐκ ἂν νεμεσήσαιτο. (ῃερς. 226.) Ἰστέον δὲ ὅτι κατὰ τρεῖς μάλιστα τρόπους συνέλθοιεν ἂν πολλοὶ ἐπὶ εὐωχίᾳ, ἤγουν ἐν εἰλαπίνῃ. ἐν γάμῳ, καὶ ἐν ἐράνῳ. καὶ ὁ μὲν ἔρανος, κόσμιον, καὶ οὐδὲ πολυτελὲς, ἀλλὰ καὶ φειδωλῶς ἤσθιον ὡς τὰ πολλὰ οἱ ἐρανισταὶ, ὡς ἂν ἴδιον ἐσθίοντες ἕκαστος. ἔστι δὲ ἔρανος, ἡ ἀπὸ κοινῆς συμβολῆς ἤγουν καταβολῆς καὶ δαπάνης, πολλῶν τινῶν εὐωχία. ὡς καὶ Ἡσίοδος. ἐκ κοινοῦ, πλείστη τε χάρις δαπάνη τ' ὀλιγίστη. εἰ μὴ ἄρα ποτὲ ἀφνειός τις συντελοίη τὸν ἔρανον, ἀσύμβολον δεῖπνον καθίζων οἷς ἐθέλει, τότε γὰρ πολυτελὴς ἔσται καὶ αὐτός. ὥς που καὶ ὁ ποιητὴς ἐμφαίνει ἐν τῷ, καθὰ σύες ἐν ἀφνειοῦ ἀνδρὸς ἢ γάμῳ ἢ ἐράνῳ ἢ εἰλαμπίνῃ σφαζόμενοι· καὶ τοιοῦτος μὲν ὁ ἔρανος. ὁ δὲ γάμος, δῆλον ὅτι ὁμίλου ἐστὶ συνέλευσις ἐπὶ νυμφίων συναρμογῇ. ἡ δὲ εἰλαπίνη, εὐωχία ἐστὶ καὶ αὐτὴ πολυτελής, ἐν ᾗ κατὰ εἴλας ὡς οἱ παλαιοὶ γράφουσιν ἢ ὁμοῦ εἰλούμενοι πολλοὶ, ἔπινον. χαίροντος δηλαδὴ τοῦ δειπνοκλήτωρος. ὁ μέντοι Ἀθήναιος, ἐκ τοῦ λάπτειν τὴν λέξιν ἐτυμολογεῖ διὰ τὸ λαπτικὸν τῆς τοιαύτης λαμπρᾶς παρασκευῆς καὶ διάπανον. λαφύττειν γάρ φησι καὶ λαπάξειν ὥσπερ καὶ ἀλαπάζειν κατὰ πλεονασμὸν τοῦ ¯α, τὸ ἐκκενοῦν καὶ ἀναλίσκειν ἐστίν. ὅθεν καὶ τὰ διαρπαζόμενα ἐν τῷ ἀλαπάζεσθαι ἤγουν πορθεῖσθαι πόλιν, λάφυρα λέγεται παρὰ τὴν λάφυξιν. λάπτειν δέ φησι, καὶ τὸ γίνεσθαι λαγαρόν τινα, ἐκπεττομένης καὶ κενουμένης τῆς τροφῆς. ὅ περ ἡ γαστὴρ πάσχει καὶ διὰ βοτάνης λαπάθου. γινομένης καὶ αὐτῆς ἀπὸ τοῦ λάπτειν. ὅθεν καὶ ἡ λαπάρα. ὡς καὶ ἀπὸ τοῦ λαγαροῦ ἡ λαγών. οἱ δὲ ταῦτα λέγοντες, παραπηγνύουσιν ἐνταῦθα καὶ ὅτι τὸ δαπανᾶν τὸ ἀπὸ τοῦ δάπτειν γινόμενον, τοῦ δαψιλοῦς ἔχεται καθὰ καὶ τὸ λάπτειν. διὸ ἐπὶ τῶν ἀπλήστως καὶ θηριωδῶς ἐσθιόντων, καὶ τὸ δάψαι τίθεται, καὶ τὸ ἐξ αὐτοῦ παράγωγον, τὸ δαρδάψαι. τὰ τοίνυν κατὰ τοὺς μνηστῆρας, ἐράνῳ μὲν οὐκ ἐοίκασιν. οὐδὲ γὰρ ἔχουσιν οὔτε εὐτελὲς οὔτε κόσμιον καὶ σεμνὸν, ἃ δὴ δοκεῖ ἔχειν ὁ ἔρανος. γάμος δὲ οὐκ ἔοικεν εἶναι. ποῦ γὰρ οἱ νυμφίοι καὶ ὅσα γάμου ἴδια; λείπεται ἄρα εἰλαπίνη εἶναι. καὶ μὲν, οὐδὲ τοῦτο. ὁ γὰρ τῆς εἰλαπίνης ἐπιστατῶν Τηλέμαχος, οὐ χαίρει τοῖς γινομένοις, ἀλλ' αἰτιᾶται τοὺς συμπότας, διότι ἀλλότριον βίοτον νήποινον ἔδουσιν. ἐπεὶ οὖν οὔτε γάμος τελεῖται οὗ οἱ μνηστῆρες ἐφίενται, οὔτε εἰλαπίνη. ἔρανον δὲ οὐκ ἄν τις 1.53 οὐδὲ νομίσοι τὸ γινόμενον, ὕβρις ἄρα ἐστὶ τὸ συμπόσιον τοῦτο. καὶ ὑβρισταὶ οἱ τοῦτο τελοῦντες. διὸ καὶ ἐπάγει συλλογιστικῶς ἡ Ὁμηρικὴ Ἀθηνᾶ. ὥστε μοι ὑβρίζοντες ὑπερφιάλως δοκοῦσι δαίνυσθαι. Σημείωσαι οὖν ὅτι καὶ τὸ εἰλαπίνη ἠὲ γάμος βαρέως ἠρώτησεν ὁ ξένος καὶ οὐχ' ὡς ἀληθῶς ἀπορῶν, ἔγνω γὰρ ὡς οὔτε εἰλαπίνη οὔτε γάμος, ὥσπερ οὐδὲ ἔρανος. δαὶς ἄρα ὑβριστική. γένος γὰρ τῶν τοιούτων ἡ δαὶς καὶ τὸ δαίνυσθαι, καθὰ μετ' ὀλίγα εὐθὺς ῥηθήσεται. Τὸ δὲ ὑβριστὰς εἶναι τοὺς μνηστῆρας, δηλοῖ καὶ ὁ εἰπὼν ὅτι τὸ μὲν τῶν μνηστήρων συμπόσιον ἦν οἷον ἂν γένοιτο νεανίσκων, μέθαις καὶ ἔρωσιν ἀνακειμένων. τὸ δὲ τῶν Φαιάκων, εὐσταθέστερον μὲν τούτων, φιλήδονον δέ. (ῃερς. 225.) Σημείωσαι δὲ ἐνταῦθα καὶ ὅτι ὥσπερ τῆς δαιτὸς παρώνυμον Δαίτων κύριον καὶ Δαίτης, οὕτω καὶ ἐκ τοῦ κερᾶν καὶ τοῦ εἰλαπινάζειν, ἦν τις Κεράων καὶ Εἰλαπιναστὴς κατὰ τὴν τοῦ Ἀθηναίου ἱστορίαν. εἰπόντος ὅτι ἐν τῇ Λακωνικῇ που λέγεται ἱδρύσθαι ἥρωας, Δαίτωνα καὶ Κεράωνα ὑπὸ τῶν ἐν τοῖς φειδιτίοις ποιούντων μάζας διακόνων καὶ κεραννύντων οἶνον. καὶ παρὰ Τρωσὶ δέ φασι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Δαίτην ἥρωα τιμᾶσθαι. καὶ ἐν Κύπρῳ, Δία εἰλαπιναστὴν καὶ σπλαγχνοτόμον. ὅτι δὲ τὰ φειδίτια συσσίτιον ἦν Λακωνικὸν περιώνυμον μὲν οὐ πολυτελὲς δὲ, περιᾴδεται τοῖς παλαιοῖς. εἰλαπιναστοῦ δὲ ἀνδρὸς, χρῆσις καὶ ἐν Ἰλιάδι. (ῃερς. 226.) Ἰστέον δὲ ὅτι γάμος μὲν, ὁμολογουμένως οὐκ ἔστι τὰ παρόντα, οὐ μὴν οὐδὲ ἔρανος. εἰλαπίνη δέ τις ὅμως ἐστὶ βιαία ἐπὶ γάμου ἐλπίδι. διὸ καὶ ὁ ποιητὴς ἐν τοῖς ἑξῆς, εἰλαπίνην εἶναι τὸ πρᾶγμα ἐρεῖ, ἐν τῷ, θρῆνυν ᾧ Ἀντίνοος ἐπεῖχε πόδα εἰλαπινάζων. καὶ ἀλλαχοῦ δὲ, εἰλαπινάζειν τοὺς μνηστῆρας ἐρεῖ, ὡς καὶ ὁ Τηλέμαχος ἐν τοῖς ἑξῆς. Σημείωσαι δὲ ὅτι δαὶς μὲν, ἡ ἁπλῶς εὐωχία ὡς ὄνομα κοινὸν καὶ γενικόν. ἡ δὲ εἰλαπίνη καὶ ὁ γάμος καὶ ὁ ἔρανος, εἴδη εἰσὶ τῆς δαιτός. διὸ καὶ ἡ ἐρώτησις οὕτω προάγεται. τίς ἡ παροῦσα δαίς; ἆρά γε εἰλαπίνη; ἢ γάμος; ἢ ἔρανος; ὡς καὶ ἐάν τις εἴποι, τί ζῷον τοῦτο; βοῦς; ἢ ἵππος; ἢ κύων; οὕτω δὲ γενικόν τι ἐπὶ τῶν τοιούτων ὄνομα, καὶ ὁ προῤῥηθεὶς ὅμιλος. ἀπὸ τῆς ἴλης ὢν καὶ αὐτὸς ἀφ' ἧς καὶ ἡ εἰλαπίνη κατά τινας. ὅτι δὲ ἡ γραφὴ τῆς ἴλης ἐδιφορεῖτο παρὰ τοῖς παλαιοῖς, δηλοῦσι καὶ οἱ ἐν ῥητορικοῖς λεξικοῖς παραδόντες, ὡς καὶ τὸ ἰστέον ἀντὶ τοῦ γνωστέον, διὰ διφθόγγου εἶχε ποτὲ τὴν γραφὴν ἀπὸ τοῦ εἴδω. καὶ τὸ ἴλη ἐπὶ τάγματος καὶ πλήθους, παρὰ τὸ εἱλῶ. καὶ τὸ ἰλυσπᾶσθαι, ὅ ἐστιν ὁμοίως ὄφει καὶ σκώληκι εἱλεῖσθαι καὶ σπᾶσθαι ἤγουν κινεῖσθαι. ὅθεν καὶ εἰλύσπωμα ἡ τοιαύτη κίνησις. καὶ ἡ κλεισία δὲ καὶ τὸ κλείσιον καὶ τὸ πέδειλον, διφορεῖται τοῖς παλαιοῖς. καὶ ἄλλα, ἐν οἷς καὶ ὁ χιλός. Αἴλιος δὲ Διονύσιος, καὶ τοῦ ἰθύφαλλος τὴν ἀρχήν, διὰ διφθόγγου γράφει. ὃ δηλοῖ φησιν, αἰδοῖον ἐντεταμένον, καὶ ᾆσμα Διονυσιακὸν Ἀθήνῃσι, καὶ ἑταιρικὸν δέ. τουτέστι φίλον ταῖς ἑταίρισιν. αἳ καὶ ἀνασεισίφαλλοι φερωνύμως λέγονται παρὰ τῇ κωμῳδίᾳ, ὡς ἀνασείουσαι φησὶ τὸν φάλητα ὅς ἐστιν αἰδοῖον ἀνδρός. Παυσανίας δὲ διὰ διφθόγγου γράφων καὶ αὐτὸς, φησὶν ὅτι εἰθύφαλλος, αἰδοῖον. καὶ ὁ πρόχειρος εἰς συνουσίαν. καὶ ᾠδὴ ὑπόκενος. Σημείωσαι δὲ ὅτι γενικώτερον τῆς δαιτὸς ὁ ὅμιλος, εἰ καὶ κατὰ τρόπον ὑστερολογίας ἡ ποιητικὴ φράσις προτίθησι τὴν δαῖτα ἐν τῷ, τίς δαὶς τίς δὲ ὅμιλος. χρὴ γὰρ πρῶτον ὁμιλαδὸν γενέσθαι τινὰς, εἶτα ἢ μάχην τυχὸν ἢ ἑορτὴν θέσθαι. ἢ πανήγυριν. ἢ καὶ δαῖτα. καὶ ταύτην, ἣν ἐν γάμῳ ἢ ἐν εἰλαπίνῃ ὡς ἐῤῥέθη ἢ ἐν ἐράνῳ. (ῃερς. 227.) Τὸ δὲ ὑβρίζοντες, πάνυ κυριολεκτικῶς εἶπεν. ὕβρις γὰρ οὐ μόνον ἡ ἐν λόγοις ἀλλὰ καὶ ἡ κατὰ πᾶν ἔργον αἰσχρόν. ὑβρισταὶ γοῦν καὶ οἱ κακολογοῦντες. ὑβρισταὶ δὲ ὡς μάλιστα, καὶ οἱ αἰσχρουργοῦντες, ὁποῖοι καὶ οἱ μνηστῆρες. οἷς δίχα τῶν ἄλλων ἤρκει πρὸς ὕβριν, καὶ τὸ ἄμετρον τῆς τρυφῆς. τὸ γάρ τοι μέτρον καὶ τὸ παρώνυμον αὐτῷ μέτριον τὸ καὶ ἄρκιον οὗπερ στοχάζεται σώφρων ἄνθρωπος, καὶ ἐν αὐταῖς τραπέζαις ἀγαθόν ἐστιν. ὡς δηλοῖ ὁ γράψας τὸ, τοῖς ὑπερβάλλουσι, δαπάνη πρόσεστιν ἡδονὴ δ' οὐδ' ἡτισοῦν. καὶ πάλιν. ὡς ἡδὺ πᾶν τὸ μέτριον. οὔθ' ὑπεργέμων ἀπέρχομαι νῦν, οὔτε κενὸς, ἀλλ' ἡδέως ἔχων ἐμαυτοῦ. καὶ πάλιν. δεῖ φεύγειν ἁπάντων τὰς ὑπερβολάς. λέγεται δὲ καὶ Γοργίας ὁ Λεοντῖνος ἐν βαθεῖ γήρᾳ ζήσας μετ' αἰσθήσεως ἤγουν ἐν τῷ καὶ τῶν αἰσθήσεων ὑγιῶς ἔχειν. καὶ ἐρωτηθεὶς τίνι διαίτῃ χρώμενος οὕτω βιώσοι, φάναι ὡς οὐδὲν πώποτε ἡδονῆς ἕνεκα πράξας. Τιθωνὸς μέντοι ἐπιθυμίαις οὕτως ἐμπεπλεγμένος ὡς ἀπὸ τῆς ἕω μὲν κοιμᾶσθαι μέχρι δύσεων πρὸς ἑσπέραν δὲ τῇ ἐπιθυμίᾳ ἐπεγείρεσθαι, λόγον εὗρεν, ἠοῖ συγκοιμᾶσθαι. ἔχει δὲ ὁ Ἀθήναιος καὶ ἄλλα χρήσιμα εἰς συμμετρίαν βρώσεως. δῆλον δὲ ὅτι καὶ ἐν δημηγορίαις καὶ λοιποῖς λόγων εἴδεσι χρηστότατον τὸ μέτριον. διὸ 1.54
καλῶς ὁ τοῦτο μὴ εἰδὼς Θερσίτης, ἀμετρεπὴς ἔσκωπται. (ῃερς. 229.) Τὸ δὲ αἴσχεα πόλλ' ὁρόων, ἀντὶ τοῦ πολλὰ βλέπων μὴ καλά. ἐναντίον γὰρ τὸ αἶσχος καὶ τὸ αἰσχρὸν, πρὸς τὸ καλόν. (ῃερς. 231.) Ὅτι ἐν τῷ, ξεῖνε ἐπεί με ταῦτα μεταλλᾷς ὅ ἐστι πολυπραγμονεῖς, ἐκ τῶν μετάλλων φασὶν οἱ παλαιοὶ τὴν λέξιν ληφθῆναι, ἐπεὶ μηδὲν περιεργότερον μεταλλουργίας. μέταλλα δὲ, ἀπὸ τοῦ μετὰ τὰ ἄλλα τὰ κατὰ τὸν βίον. τῶν γὰρ ἀναγκαιοτάτων εὑρεθέντων, εἶτα ἐπολυπραγμονήθη τὰ μεταλλικά. Ξένος δέ φασιν, οὐ μόνον ὁ καταγόμενος, ἀλλὰ καὶ ὁ ὑποδεχόμενος αὐτόν. (ῃερς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

234.) Ὅτι ἐπὶ οἴκου μεταπεσόντος τῆς παλαιᾶς εὐτυχίας, οἰκεῖον εἰπεῖν τὸ, μέλλε μέν ποτε οἶκος ὅδε ἀφνειὸς καὶ ἀμύμων εἶναι ἕως ἔτι ἐκεῖνος ἀνὴρ ἐπιδήμιος ἦν. ἢ ἔζη. ἢ ἁπλῶς ἕως τό δέ τι ἐγίνετο. νῦν δ' ἑτέρως ἐβούλετο θεὸς, ἢ ἐβάλλετο ἀντὶ τοῦ ἔῤῥιψεν, ὡς ἐκ μεταφορᾶς τῶν κύβων. ἀστείως Ὁμήρου ἐνταῦθα εἰπόντος τὸ, ἑτέρως ἐβάλοντο θεοὶ, ἤγουν οὐκ εὖ. κατὰ τὸ, τρὶς ἓξ βαλούσης τῆς Διὸς φρυκτωρίας. οὐδὲ κατὰ τὸ, αἰεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι, ἀλλὰ δηλονότι, κατὰ τύχην ὡς εἰπεῖν παλίμβολον. καὶ δῆλον ὡς καλλίων ἡ τοιαύτη γραφὴ τοῦ, ἐβούλοντο. ἐκεῖνο γὰρ, οὐδὲ εὐμετρίαν ἔχει. Τὸ δὲ ἔμελλεν, ἀντὶ τοῦ ἔοικεν ἐνταῦθα κεῖται. Ἰστέον δὲ ὅτι τοιοῦτον μέλλειν στοχαστικὸν καὶ αὐτὸ ῥῆμα ὂν, οὐ μόνον ἐπὶ γενησομένου λέγεται πράγματος, οἷον μέλλει ἔσεσθαι τόδε τι, ἀλλὰ καὶ ἐπὶ παρῳχημένου μὲν ἀδήλου δὲ, ὡς καὶ ἐνταῦθα. στοχαζόμενος γὰρ ὁ Τηλέμαχος, λέγει ὅτι ἔμελλέ ποτε ὁ οἶκος οὗτος, ἀφνειὸς εἶναι. Ἀγαμέμνων δέ φησιν ἐν Ἰλιάδι ἐπὶ ἐνεστῶτος, οὕτω που Διῒ μέλλει φίλον εἶναι. ἀντὶ τοῦ, ὡς ἔοικεν οὕτω θέλει ὁ Ζεύς. ὥστε, τοῖς τρισὶ χρόνοις συντάσσεται. Τὸ δὲ ἀμύμων, ἐνδείκνυται δεῖν εἶναι, τῷ πλούτῳ μετεῖναι ἀρετῆς, ἵνα οὕτω ἀμύμων εἴη ὁ πλουτῶν καὶ ἄλλως δὲ, ὁ Τηλέμαχος προστίθησιν αὐτὸ, πρὸς δεῖξιν τοῦ μὴ καὶ τὸν Ὀδυσσέα ὑβριστὴν εἶναι κατὰ τοὺς νῦν τοιούτους μνηστῆρας. (ῃερς. 242.) Ὅτι οὐ λυπεῖ τὸν Τηλέμαχον ὁ τοῦ πατρὸς ἁπλῶς οὕτω θάνατος, ὅσον ὅτι αὐτὸν ἀκλεῶς Ἅρπυιαι ἀνηρείψαντο, καθαπερεί τι τῶν ἐλαφρῶν σωμάτων καὶ κατὰ γῆς ἐῤῥιμμένων. καὶ ὅτι οἴχεται ἄϊστος. ἄπυστος. ἐμοί δ' ὀδύνας τέ φησι γόους τε κάλλιπεν. ὡς εἴγε φησὶν ἐν Τροίᾳ σὺν τοῖς ἑταίροις ἐφθάρη, ἢ φίλων ἐν χερσὶν ἐπεὶ πόλεμον τολύπευσε, τύμβον τὲ ἂν αὐτῷ ἐποίησαν Παναχαιοὶ, καὶ τῷ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω. Ἔστι δὲ τολυπεῦσαι κατὰ τοὺς παλαιοὺς, τὸ συγκεφαλαιώσασθαι καὶ κατεργάσασθαι. ὅθεν καὶ τὴν Πηνελόπην δόλους τολυπεύειν ἐρεῖ. γίνεται δὲ ἡ λέξις, ἀπὸ τῆς τολύπης, ἥτις ἐστὶ κατειργασμένον καὶ ξανθὲν ἔριον καὶ ἀσκηθὸν εἰς τὸ κλωσθῆναι. τὸ δὲ εἰπεῖν τολυπεύειν τὸ κακοπαθεῖν ὡς ἀπὸ βοτάνης θανασίμου τῆς τολύπης, πιθανὸν μὲν, οὐκ ἀρέσκει δὲ τοῖς παλαιοῖς. Ἰστέον δὲ ὡς ἡ τολύπη, καὶ ἄγμα λέγεται, τὸ καὶ κάταγμα παρὰ Σοφοκλεῖ. εὕρηται γοῦν ἐν λεξικῷ ῥητορικῷ, ὅτι ἄγμα, οὐ μόνον σύντριμμα, ἀλλὰ καὶ κατειργασμένον ἔριον. ὅτι δὲ καὶ βήρηξ ἡ αὐτὴ ἐλέγετο, δηλοῖ ὁ εἰπών. βήρηκες, φυράματα μαζῶν, καὶ αἱ τολύπαι τῶν ἐρίων. ὅτι δὲ τολύπη καὶ μάζης ἦν εἶδος, δηλοῖ ὁ γράψας τὸ, καρδαμύλη καὶ τολύπη καὶ ἀχίλλειον. ἔνθα ἐννοητέον, ὡς ὁμώνυμος λέξις καὶ ἡ καρδαμύλη. πόλις τὲ γὰρ ἐν Ἰλιάδι, καὶ νῦν ἰδοὺ μάζα. καὶ ὅτι ἐξ ἀχιλλείων ἴσως κριθῶν τῶν ἀλλαχοῦ δεδηλωμένων, ἐποιεῖτο ἡ μάζα τὸ ἀχίλλειον. Τὸ δὲ σὺν ἑταίροις καὶ φίλων ἐν χερσὶ διαφορὰν ὑποβάλλει. ὡς ἑταίρων μὲν, τῶν συνήθων ὄντων. φίλων δὲ, τῶν πρὸς γένους. καθὰ πολλαχοῦ φαίνεται. (ῃερς. 241.) Ὅρα δὲ καὶ τὸ τύμβον ἐποίησαν, κοινότερον ῥηθὲν, ὡς καὶ ἀνωτέρω. κεῖνον μὲν, ἄϊστον ἐποίησαν. Τὸ δὲ Παναχαιοὶ, ἐμφαίνει μὲν πολλὴν ἐξ ἁπάντων πρὸς Ὀδυσσέα εὔνοιαν, ἀρχὴ δὲ γέγονε τοῦ λέγειν τὸ Πανελλήνιον ὅμοιον δὲ καὶ τὸ, Πανίωνες καὶ Πανιώνιον, ἤτοι πᾶν τὸ πλῆθος τῶν Ἰώνων ὡς καὶ ἀλλαχοῦ δεδήλωται. (ῃερς. 241.) Τὸ δὲ τῷ παιδὶ μέγα κλέος ἤρατο, ἀντὶ τοῦ ὕψωσεν ἂν τὴν εὔκλειαν τῷ υἱῷ. γέγονε δὲ κυρίου ὕστερον ὀνόματος τοῦ Μεγακλέους ἀρχὴ, τὸ ἐνταῦθα μέγα κλέος. Ἅρπυιαι δὲ ἀλληγορικῶς μὲν, ἄνεμοι καταιγιδώδεις καὶ ἁρπακτικοὶ καθὰ καὶ ἐν Ἰλιάδι δεδήλωται, κατεπιχειροῦντες καὶ σωμάτων βαρέων καὶ αὐτῶν ἀνθρώπων ὡς τεθεώρηται, καὶ μετεωρίζοντες αὐτά. μυθικῶς δὲ Ἅρπυιαι, δαιμόνιά τινα πτερωτά. οἷα καὶ ἀνθρώπους ἁρπάζειν βιαίως. ὅθεν εἴ τις ἀφανὴς ἐγένετο, Ἅρπυιαι τὸν τοιοῦτον ἀνερείπτειν ἐλέγοντο. τὸ δὲ ἀνερείπτειν, ἀπὸ τοῦ ἐρέπτω γίνεται πλεονασμῷ τοῦ ἰῶτα. ἐρέπτω δὲ κυρίως μὲν, ἐπὶ τροφῆς ἀλόγων, τὸ ἀπὸ τῆς ἔρας ἤτοι τῆς γῆς λαμβάνειν. ἔχει δέ τινα καὶ ἄλλην ἑρμηνείαν ὡς δηλοῖ τὸ, κόνιν δ' ὑπέρεπτε ποδοῖϊν. (ῃερς. 243.) Τὸ δὲ ἄϊστος ἄπυστος, τὸν τελείως ἀφανῆ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σημαίνει. περὶ οὗ μηδὲν ἴσησί τις. οὔτε 1.55 αὐτὸς ἰδὼν, οὔτε γνοὺς ἀπὸ πύστεως ἤτοι μαθήσεως. ἔστι δὲ τοῦτο καὶ ἐφερμενευτικὸν τοῦ, ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο. ἀκλεὴς γὰρ πάντως ἀνήρειπται, οὗ μηδαμοῦ κλέος. ὅ ἐστι φήμη. τοιοῦτος δὲ, ὁ ἄϊστος ἄπυστος. Τὸ δὲ ἐμοὶ ὀδύνας τε γόους τε κάλλιπεν, ἀστείως εἴρηται. οἱονεὶ γὰρ λέγει ὁ παῖς, ὅτι ὁ πατὴρ εἰς κληρονομίαν, λύπας μοι κατέλιπεν. (ῃερς. 246.) Ὅτι διηγούμενος τὰ κατὰ τοὺς μνηστῆρας ὁ Τηλέμαχος, οὕτω φησίν, ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι, Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ. ἠδ' ὅσοι κραναὴν Ἰθάκην κατακοιρανέουσι. τόσοι μητέρα ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον. δέον ὂν μᾶλλον ἑδνοφορεῖν ὡς μνηστῆρας. ἡ δὲ, οὔτε ἀρνεῖται στυγερὸν γάμον, δέδοικε γὰρ μὴ ἐκβιασθείη, οὔτε τελευτὴν ποιῆσαι δύναται ὡς καραδοκοῦσα δηλαδὴ τὸν Ὀδυσσέα. οἱ δὲ φθινύθουσιν ἔδοντες, οἶκον ἐμόν. ὅπερ ἀνωτέρω τρύχουσιν εἶπε. τάχα δή με διαῤῥαίσουσι καὶ αὐτόν. Καὶ σημείωσαι ὅτι νῦν μὲν, ἁπλή ἐστι τῷ Τηλεμάχῳ ἡ διήγησις. ἐν δὲ τῇ ¯β ῥαψῳδίᾳ, καὶ ἐνδιασκεύως τὸ αὐτὸ πρᾶγμα καὶ ἐγκατασκεύως προαχθήσεται. καὶ ἄλλην ἐμβρίθειαν ἕξει δικανικῷ λόγῳ πρέπουσαν. Ὅρα δ' ἐν τούτοις ὅτι τὸ ἐπικρατεῖν, δοτικῇ συνέταξεν. ὡς καὶ τὸ ἄρχειν ἐν τῷ ἄρχευ Ἀργείοισι. Τὸ δὲ ἄριστοι, πιθανῶς ἔχει, ὡς τῶν τῆς Πηνελόπης μνηστήρων τοιούτων ὡς εἰκὸς ὄντων. Τὸ δὲ Δουλίχιον, νῆσος ἐστὶ μία τῶν Ἐχινάδων. αἱ δὲ Ἐχινάδες, νῆσοι εἰσὶ πρὸς τῇ ἐκβολῇ τοῦ Ἀχελῴου ποτμοῦ. ἡ δὲ Σάμη, νῆσος περὶ Κεφαλληνίαν, λεγομένη καὶ Σάμος. καὶ ὁ πολίτης αὐτῆς, Σαμαῖος. ὁ μέντοι τῆς ἑῴας Σάμου πολίτης, Σάμιος λέγεται. περὶ δὲ αὐτῆς γέγραπται κάλλιον ἐν τοῖς εἰς τὸν περιηγητήν. Τὸ δὲ ὑλήεντι Ζακύνθῳ, ὅμοιόν ἐστι τῷ, ἠμαθόεντι Πύλῳ ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη. Ὑλήεις δὲ, τουτέστιν ὕλην ἔχουσα. καὶ οὐ τραχεῖα κατὰ τὴν Ἰθάκην ἥτις κραναὴ λέγεται διὰ τὴν τραχύτητα. (ῃερς. 247.) Τὸ δὲ κατακοιρανέουσι, δηλοῖ τὸ βασιλεύουσι καὶ ὡς ἀνωτέρω ἔφη, ἐπικρατέουσιν. ἢ τὸ βασιλικὰ δρῶσιν. ὡς καὶ Ὀδυσσεὺς ἐν Ἰλιάδι, κοιρανέων διεῖπε στρατόν. ἤγουν δρῶν ἔργα βασιλικά. Καὶ σημείωσαι ὅτι παρὰ τοῖς παλαιοῖς οἱ ἔνδοξοι καὶ ἄριστοι, προσρήσεσιν ἐκοσμοῦντο βασιλικαῖς, ὡς καὶ μετ' ὀλίγα φανήσεται. (ῃερς. 252.) Τὸ δὲ στυγερὸν γάμον, τὴν τῶν μνηστήρων αἰνίττεται βίαν. πῶς γὰρ οὐ πολλὴ βία καὶ πτοία, ἔνθα οὐ δύναταί τις ἀρνεῖσθαι τὸ στυγερόν; Τελευτὴ δὲ δὲ παρὰ τοῖς παλαιοῖς, τὸ τέλος τοῦ ἔργου. καὶ τελευτᾶν, τὸ εἰς τέλος τι ἄγειν. διὸ μετ' ὀλίγα φησίν. αὐτὰρ ἐπὰν πάντα τελευτήσῃς τὲ καὶ ἔρξῃς, ἤτοι ἀποπληρώσῃς. οὕτω δὲ καὶ τελευτῶν τις ἐποίει τό δέ τι, τουτέστιν ἐν τῷ τέλει τῶν βουλευμάτων. οἱ δέ γε μεθ' Ὅμηρον, πρῶτα μὲν, καὶ τὸν θάνατον τελευτὴν ζωῆς ἔλεγον. καὶ τελευτᾶν τὸν βίον. καὶ τοιαῦτά τινα ὕστερον δὲ κατεκράτησε, τελευτὴν ἁπλῶς τὸν θάνατον λέγεσθαι. Τὸ δὲ φθινύθειν, μέση λέξις ἐστί. καὶ ἐνταῦθα μὲν δηλοῖ τὸ φθείρειν, καὶ ἀπόλλειν. φθινύθουσι γὰρ οἱ μνηστῆρες τὸν οἶκον τοῦ Τηλεμάχου. ἀλλαχοῦ δὲ, πάθος δηλοῖ. οἷον. τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο. τουτέστι φθείρεσθαι καὶ ἀπόλλυσθαι. Τὸ δὲ τάχα, σημειοῦνται οἱ παλαιοὶ, μηδέ ποτε παρὰ τῷ ποιητῇ διστακτικὸν εὑρίσκεσθαι, ἀλλὰ ἀντὶ τοῦ ταχέως ἀεὶ παραλαμβάνεσθαι. γενόμενον κατὰ συγκοπὴν ὡς σαφέα σάφα ἀντία ἄντα, οὕτω ταχέα τάχα. ὃ καὶ ὅμοιόν ἐστι τῷ ταχύ. ταυτὸν γὰρ εἰπεῖν, τάχα με διαῤῥαίσουσι, καὶ ταχὺ διαῤῥαίσουσιν. (ῃερς. 253.) Ὅτι τὸ, τόν δ' ἐπαλαστήσασα προσέφη Παλλὰς, οὐκ ἔστι παρήχησις διὰ τὴν ταυτότητα τοῦ ἤχου τοῦ ἐπαλαστήσασα καὶ Παλλὰς, ἀλλ' ἁπλῶς οὕτως ἐκ τοῦ παρατυχόντος αἱ λέξεις συνέπεσον. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα ἐν τοῖς ἑξῆς εὑρεθήσονται. Ὅμηρος γὰρ ἐν σπουδαίοις λόγοις τοιαῦτα παίζειν οὐκ εἴωθεν. Ἐπαλαστεῖν δὲ λέγεται, τὸ δεινοπαθεῖν ὡς ἐπὶ ἀλάστοις καὶ ἀλαθήτοις κακοῖς. οὗ τὸ ἁπλοῦν ἐν Ἰλιάδι, ἔνθα ὁ Ἄσιος ἀλαστήσας, ἔπος ἤυδα. καὶ θεοὶ δὲ ἠλάστεον. ἐκ δὲ τούτου καὶ ὁ Ἀλάστωργίνεται οὐ μόνον τὸ κύριον, ἀλλὰ καὶ φθονερὸν δαιμόνιον. καὶ Ζεὺς ἀλάστωρ οὗ ἡ βλάβη ἄληστος. ἢ ὃν οὐκ ἔστι λαθεῖν. ἢ ὁ ἐπαμύνων τοῖς ἄλαστα παθοῦσι. λέγεται δέ φασιν ἀλάστωρ, καὶ ὁ τιμωρός. καὶ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φυγῆς ἄξια εἰργασμένος. τινὲς δὲ, γράφουσι παλαστήσασα. τουτέστι τῇ παλαιστῇ τῆς χειρὸς ὠθήσασα. Ὅτι δὲ εἰς πολυωνυμίας τρόπον ἄγουσί τινες τὴν παλαιστὴν καὶ τὸ δῶρον καὶ τὴν δόχμην ἢ δοχμὴν, ἀλλαχοῦ δεδήλωται. (ῃερς. 254.) Ὅτι σύγκρισις μικροτέρου τινὸς πρὸς μείζονα βοηθὸν τὸ, ἦ δὴ πολλὸν ἀποιχομένου τοῦ δεῖνος δεύῃ. (ῃερς. 256.) Ὅτι δόμου πρώτας θύρας, τὸ πρόθυρον φησί. διαλύσας τὴν σύνθεσιν Ἰωνικῶς. οὕτω δὲ καὶ ἐν Ἰλιάδι εὕρηται. 1.56 (ῃερς. 256.) Ὅτι σκευὴν στρατιωτικὴν Ὀδυσσεῖ πρέπουσαν λέγει, τὸ στῆναι ἔχοντα πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε. καὶ θαῤῥεῖ ὁ Μέντης ἐὰν τοιοῦτος ἐπέλθοι τοῖς μνηστῆρσιν ὁ Ὀδυσσεὺς, καταπολεμηθῆναι αὐτούς. φησὶ γὰρ ὡς εἰ τοιοῦτος ἐλθὼν ὁμιλήσει τοῖς μνηστῆρσι, πάντες ἂν ὠκύμοροι γενείατο πικρόγαμοί τε. πολλῷ δὴ πλέον καταπολεμηθήσονται οἱ ἀναιδεῖς, εἰ καὶ μετὰ τοῦ υἱοῦ καὶ τοῦ Εὐμαίου καὶ Φιλοιτίου ἐπιπέσοι αὐτοῖς. εἰ δὲ καὶ μεθύουσιν ἐπίθηται ὡς προείρηται καὶ μετὰ τῆς Ἀθηνᾶς δὲ, οὐδεμία ἔσται δυσχέρεια εἰς τὴν ἐκείνων ἀναίρεσιν. (ῃερς. 266.) Τὸ δὲ ὁμιλήσει, πολεμικὴ λέξις ὡς καὶ ἐν Ἰλιάδι, παρὰ τὸ ὁμοῦ τὰς στρατιωτικὰς ἴλας εἶναι μαχομένας. καὶ οὐκ ἔστι σύστοιχος ἡ λέξις αὕτη τῷ ὀλίγῳ τῷ πρὸ ὀλίγου ῥηθέντι τῷ τῶν μνηστήρων, ἴσως δὲ καὶ παικτικῶς ἐῤῥέθη τοῦτο ὡς πρὸς ἐκεῖνον τὸν ὅμιλον ἵνα λέγῃ ὅτι ἔστι μὲν ὅμιλος οὗτος, εἰ δὲ Ὀδυσσεὺς αὐτοῖς ὁμιλήσει, ἐξώλοντο. (ῃερς. 267.) Ὅρα δὲ τὸ πικρόγαμοι, βαρέως καὶ ἀκραχόλως συντεθὲν διὰ τὸ πρὸς τοὺς κακογάμους καὶ ὑβριστὰς μνηστῆρας μῖσος. ἔχει δέ τι ὁμοίας τραχύτητος, καὶ τὸ ὠκύμοροι. εἰ καὶ ἄλλως, τῷ τῆς ὁμοιοκαταληξίας κάλλει ἄμφω λεαίνεται. (ῃερς. 259.) Ὅτι τὸ, τοῖος ἐὼν οἷον αὐτὸν ἐνόησα οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε, ἀφορμή τις ἐστὶ τοῦ ἐκ τοῦ πίνειν τοὺς φίλους ἐτυμολογεῖν. καὶ ἀπὸ συμποσίου λέγειν κτᾶσθαι αὐτούς, (ῃερς. 260.) Ὅτι Ἔφυραι κατὰ ἱστορίαν διάφοροι, ὡς καὶ Ἰλιὰς δηλοῖ. μία, ἐν Πελοποννήσῳ περὶ τὰ τῆς Κυλλήνης ὅρια. δευτέρα, Σικυωνίας, περὶ ἣν καὶ ποταμὸς Σελλήεις. τρίτη, ἐν Θεσπρωτίᾳ, ἔχουσα καὶ αὐτὴ Σελλήντα ποταμόν. τετάρτη, ἐν Αἰτωλίᾳ. καὶ οἱ ἐκεῖθεν, Ἔφυροι λέγονται. οὐ μὴν Ἐφυραῖοι ὡς οἱ ἐκ τῶν λοιπῶν. πέμπτη Ἔφυρα, Θετταλικὴ ἕκτη, Κορίνθου, ἐν ᾗ καὶ αὐτῇ, Σελλήεις ποταμός. ἐκ ταύτης φασί τινες τὸν Ὀδυσσέα λαβεῖν ἀνδροφόνα φάρμακα. λέγοντες, φαρμακοφόρον ποτὲ γενέσθαι αὐτὴν, διὰ τὸ ἐκεῖ κατοικῆσαι τὴν Μήδειαν. ὅθεν καὶ ἡ τοῦ Αὐγέου θυγάτηρ φασὶ τοῦ βασιλέως τῶν Ἐπειῶν ἡ ἐν Ἰλιάδι κειμένη Ἀγαμήδη, φαρμακὶς ἦν. ἔθνος δὲ Πελοποννήσιον οἱ Ἐπειοὶ ὡς δηλοῦται πολλαχοῦ. ἄλλοι δὲ, ἀπὸ τῆς Θεσπρωτικῆς Ἐφύρης φάρμακα λαβεῖν τὸν Ὀδυσσέα φασὶ, γενομένης καὶ αὐτῆς ποτὲ πολυφαρμάκου διὰ τὴν Μήδειαν, οἰκήσασαν καὶ ἐκεῖ πρὸς καιρόν. καὶ ὅτε δὲ τὸν Τηλέμαχον ὑποπτεύουσιν οἱ μνηστῆρες ἀφικέσθαι εἰς Ἐφύρην φάρμακα θυμοφθόρα κομισόμενον. οἱ μὲν, ταύτην. οἱ δὲ, ἐκείνην φασί. περὶ δὲ Ἐφύρης, διαλαμβάνει καὶ ἡ Ἰλιάς. ἐν ᾗ καὶ περὶ φαρμάκων δηλοῦται τὰ ἀρκοῦντα ἐκεῖ. νῦν δὲ, τοσοῦτον ῥητέον, ὅτι φάρμακα, οὐ μόνον τὰ δηλητηριώδη καὶ ἄλλως δὲ τὰ ἀκεσώδυνα ὡς μυριαχοῦ φαίνεται, ἀλλὰ καὶ ζωγράφων βάμματα. καὶ ἁπλῶς δὲ, βαφαί. ὅθεν καὶ φαρμακῶνες τὰ βαφεῖα εὕρηται δὲ καὶ φαρμακᾶν, τὸ μεστὸν εἶναι ἢ δεῖσθαι φαρμάκων. ζήτει δὲ ποίων. ὁ δὲ φαρμακὸς ἤτοι τὸ κάθαρμα, ἑτεροῖόν τι ἐμφαίνει φαρμάκου σημαινόμενον. Ἀριστοφάνης πόθεν δ' ἐγώ σοι συγγενὴς ὦ φαρμακέ; ὁ μέντοι φαρμακεὺς ἢ κατὰ Πλάτωνα φαρμακευτὴς ὁ φαρμάκοις διαφθείρων, τῷ φαύλῳ φαρμάκῳ παρωνόμασται. ὥσπερ καὶ ἡ φαρμακὶς καὶ φαρμακεύτρια γυνή. τινὲς δὲ καὶ ἐπὶ ἄνθους φασὶ τὸ φάρμακον, ὡς δηλοῖ ὁ φράσας ὅτι ἀφάρμακον, τὸ ἄνευ ἄνθους. ἄνθη γὰρ, τὰ φάρμακα. καὶ εὐφάρμακον, τὸ εὔχροον. Ὅτι Ἶλος Μερμέρου παῖς τοῦ Φέρητος τοῦ Ἰάσονος καὶ Μηδείας, φαρμάκων ἦν σκευαστὴς ἐν Ἐφύρῃ τῇ Θεσπρωτικῇ, τῇ ὡς εἴρηταιπολυφαρμάκῳ, εἰς τοῦτον ἀπῆλθέ ποτε Ὀδυσσεὺς διζήμενος φάρμακον ἀνδροφόνον ὄφρά οἱ εἴη ἰοὺς χρίεσθαι χαλκήρεας. καὶ ὁ μὲν Ἶλος, οὐκ ἔδωκέ φησι ἐπεὶ θεοὺς νεμεσίζετο αἰὲν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐόντας. ὁ δὲ Τάφιος Ἀγχίαλος, ἔδωκε, φιλέεσκε γὰρ αἰνῶς. Καὶ ὅρα τὸ βίαιον τῆς ἀληθοῦς φιλίας. ὁ μὲν γὰρ Ἶλος, δι' εὐλάβειαν οὐκ ἔδωκε φάρμακον. ὁ δὲ Ἀγχίαλος, διὰ φιλίαν ἔδωκε. μᾶλλον δὲ, ὁ μὲν Ἶλος μὴ εἰδὼς ἀκριβῶς οἷος ὁ ζητῶν τὸ φάρμακον Ὀδυσσεὺς, οὐ δίδωσι. δέδιε γὰρ ἴσως, μὴ κατ' ἀνθρώπων οὐ δικαίως τῷ φαρμάκῳ χρήσηται. ὁ δὲ Ἀγχίαλος δίδωσιν, εἰδὼς τὴν χρείαν τοῦ φίλου, ὡς χρησομένου τῷ φαρμάκῳ εἰς κυνηγέσιον. φίλος γάρ. διὸ καὶ ἀκριβῶς οἶδε τὸν φίλον ὡς ἑαυτόν. ὁ γὰρ φίλος, ἄλλος αὐτός. Ὅρα δὲ ὡς ὁ Μέρμερος καὶ ὁ ἐξ αὐτοῦ Μερμερίδης καθὰ καὶ τὰ μέρμερα ἔργα, τὸ ¯ε τοῦ μερίζειν ἐφύλαξαν. εἰ καὶ τὸ μερμηρίζειν καὶ ἡ μέρμηρα καὶ τὸ ἀμερμηρεὶ ὧν καὶ ἐν τοῖς ἑξῆς ἔσται μνεία, διὰ μέτρου ἀνάγκην τὸ ¯ε τοῦ μερίζειν εἰς ¯η ἔτρεψαν. (ῃερς. 262.) Σημείωσαι δὲ ὡς εἰ καὶ κατὰ συμβεβηκὸς ἀνδροφόνον ἦν τὸ φάρμακον, ἀλλ' Ὀδυσσεὺς ὡς θηροφόνον αὐτὸ ἐζήτει. διὸ καὶ δίδωσιν ὁ Ἀγχίαλος. προοικονομεῖ δὲ κἀνταῦθα ἔκαθεν πιθανῶς τὰ τῆς μνηστηροφονίας ὁ ποιητής. καὶ βάπτει 1.57 τὰ τοῦ Ὀδυσσέως βέλη εἰς φάρμακον οὐ μόνον θηριοκτόνον, ἀλλὰ τὸ αὐτὸ καὶ ἀνδροφόνον. ὡς ἂν, ἅμα βάλλοιντο ἐν τοῖς ἑξῆς οἱ μνηστῆρες, καὶ ἐκ πρώτης βολῆς ἀγχηστῖνοι πίπτοιεν. ἄλλως γὰρ ἁπλῶς ὁ Ὅμηρος, οὐ φαρμάττει τοὺς ὀϊστούς. καὶ δῆλον φασὶν ἐξ ὧν ἐν Ἰλιάδι πολλοὶ ἐκ τόξου βληθέντες, ἐπέζησαν. διὰ δὲ τὴν τοιαύτην οἰκονομίαν, καὶ τὸ τόξον τοῦ Ὀδυσσέως, ἀπόθετον ἐν τῇ Ἰθάκῃ φυλάσσει ὁ ποιητής. οἴκοι γὰρ βέλτερον εἶναι ἵνα ἐπανελθὼν ἐκεῖνος ἔχῃ χρῆσθαι αὐτῷ. ἐν γὰρ τῇ Τροίᾳ, οὐ πάνυ ἔδει χρᾶσθαι τόξοις, διὸ καὶ χρείαν ἐκεῖ τόξου σχὼν Ὀδυσσεὺς, τὸ τοῦ Μηριόνου ἔλαβε. καὶ οὐδὲ πολλοὶ ἐκεῖσε ἦσαν τοξόται, ὅτι μὴ δὲ λίαν ἐκόμπαζον ἐπὶ τῇ τοξείᾳ οἱ παλαιοί. αἰτία μέντοι τῆς ἐν Ἰθάκῃ μονῆς καὶ φυλακῆς τοῦ τόξου καθ' ἱστορίαν, ἀλλαχοῦ παρὰ τοῦ ποιητοῦ ῥηθήσεται. ἔνθα ἐρεῖ ξένειον εἶναι αὐτὸ καὶ διὰ τοῦτο φυλάσσεσθαι εἰς κειμήλιον κατὰ ἔθος ἀρχαῖον. Φάρμακον δὲ ἀνδροφόνον λέγει ὁ ποιητὴς, ὡς ἄν τις εἴπῃ ἀνθρωποκτόνον. τοῦ ἀνδρὸς, ἐνταῦθα ἀντὶ ἁπλῶς ἀνθρώπου ληφθέντος. ὥσπερ αὖ πάλιν καὶ ἐν Ἰλιάδι τὸ, γυναῖκα μαζὸν, φασί τινες μαζὸν ἁπλῶς δηλοῦν ἀνθρώπινον, ὡς ἀπὸ μέρους τῆς γυναικός. Ἰστέον δὲ ὅτι τὸ σημαινόμενον τοῦ ἀνδρὸς ἐξ οὗ σύγκειται ὁ ἀνδροφόνος, συντίθησι καὶ τὰ ἀνδράποδα. δι' ὧν δοῦλοι σημαίνονται ὑποκείμενοι δεσπόταις, καὶ ὄντες αὐτοῖς ὅπερ οἱ κατωτάτω πόδες ὅλῳ τῷ ἄνω σώματι. τοιούτῳ δὲ ἀνδρὶ συγκροτεῖται καὶ ὁ ἀνδραποδιστής. οὗ ἐν τοῖς μάλιστα οἱ ἄπιστοι Θετταλοὶ, ὧν καὶ Ἰάσων, ἀνδραποδίσας τὴν Μήδειαν. ὁμοία δὲ ἀνδρὸς σημασία, καὶ ἐν τῷ ἀνδραποδοκάπηλος, ὁ καὶ σωματέμπορος καὶ μεταβολεὺς ἀνδραπόδων. πῶς δέ μοι καὶ τὰ ὑποζύγια ἐκλήθη ἀνδράποδα ὁμοίως τοῖς δούλοις, λογοπραγείσθωσαν οἱ σοφοὶ ὀνοματοθέται, οἷς καλῶς αὐτὸ οὐκ ἤρεσε. Τοῦ δὲ διζήμενος ἡ κίνησις, ἐν τοῖς μετὰ ταῦτά που διευκρινηθήσεται. Ὅρα δὲ καὶ τὴν χασμῳδίαν τοῦ, ὄφρά οἱ εἴη ἰοὺς χρίεσθαι. οὐ γὰρ κατὰ τὸ, Ἴριδι δίῃ καὶ Φρόντιδι δίῃ, σέσηρεν ἐνταῦθα ὁ ἀναγινώσκων, ἀλλ' ὑπὲρ ἐκεῖνα καὶ ὅσα δὲ ἄλλα τοιαῦτα. καὶ ὅμως ἔχεται λόγου ἡ τοιαύτη ὡς εἰπεῖν ἀποστίγγρωσις, ἵνα τὸ φορτικὸν καὶ ἀηδὲς πρᾶγμα καὶ ἀγλευκὲς ἡ τοῦ ἀνδροφόνου φαρμάκου χρῆσις, ἀηδῶς φρασθείη καὶ μὴ κατὰ κάλλους γλυκύτητα. (ῃερς. 264.) Ὅτι νεμεσᾶν καὶ νεμεσίζεσθαι ὡς ἐπὶ πολὺ μὲν λέγεται, τὸ δικαίως μέμφεσθαι. οἷον. Ζεῦ πάτερ, οὐ νεμεσίζῃ ὁρῶν τάδε ἔργα; καὶ, νεμεσίσαιτό κεν ἀνὴρ αἴσχεα πόλλ' ὁρόων. ἐνταῦθα δὲ ὁ Ἶλος νεμεσίζεσθαι θεὸν λέγεται, ἀντὶ τοῦ δεδιέναι καὶ δι' ἐπιστροφῆς ἔχειν. Ἰστέον δὲ ὅτι τὲ πρωτότυπον καὶ τοῦ νεμεσῶ καὶ τοῦ νεμεσίζω, τὸ νεμῶ περισπώμενον. οὗ διχῶς ὁ μέλλων, νεμήσω ἐξ οὗ τὸ ἐνεμήσατο καὶ τὸ διανενεμῆσθαι, ἔτι δὲ νεμέσω. οὗ ἀναχθέντος εἰς ἐνεστῶτα, προάγεται τὸ νεμεσίζω νεμεσίσω ἐξ οὗ ἡ νέμεσις ἀποβολῇ τοῦ ¯ω. κατὰ τὸ ὑβρίζω ὑβρίσω καὶ τὰ ὅμοια. καὶ ὅτι ὥσπερ νεμεσῶ καὶ νεμεσίζω ἐν διφορήσει, οὕτω καὶ φλυαρῶ καὶ φλυαρίζω οὕτω γοῦν λέων ἐκφλυαρίζει τοὺς αὐτῷ ἐπιόντας ὡς ἐν τῇ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰλιάδι γέγραπται. ἔτι δὲ καὶ οὐ μόνον βουκολῶ, ἀλλὰ καὶ βουκολίζω. οἷον, τοὺς ἁλώσοντας ἀποβουκολίζουσιν ἀποσκευάζονταί τε τὸν κίνδυνον. σημαίνει δὲ ἡ λέξις, ἀπάτην. ὡς δὲ καὶ ἠρεμεῖν καὶ ἠρεμίζειν ἐστὶ, μαρτυροῦσιν αἱ χρήσεις. Ὅτι τὸ, εἰ δ' ἄγε νῦν ξυνίει, παρακελευσματικῶς ἔχον, δηλοῖ τὸ εἰ δὲ βούλει, ἄγε ποίει τόδε. ἢ καὶ ἄλλως, εἴα δὴ ἄγε ποίει τόδε. ζήτει δὲ περὶ αὐτοῦ τὸ ἀκριβὲς ἐν Ἰλιάδι. χρῆσις δὲ τοῦ εἴα παρακελευσματικοῦ ἐπιῤῥήματος, παρά τε ἄλλοις καὶ παρὰ τῷ κωμικῷ. (ἡερς. 268.) Ὅτι ἐπὶ πραγμάτων ἀποβάσεως ἀδήλου, οἰκεῖον εἰπεῖν τὸ, ταῦτα μὲν θεοῦ ἐν γούνασι κεῖται, ἀντὶ τοῦ ἐν δυνάμει ἢ ἱκεσίᾳ θεοῦ, σὲ δὲ φράζεσθαι ἄνωγα τό δέ τι. Ὅτι ἡ α ̄υ δίφθογγος πρὸ συμφώνου, ψιλοῦται, οἷον αὐτός. αὖρα. αὔριον. ἀμέλει κατὰ τοὺς παλαιοὺς τὸ αὔω τὸ ξηραίνω, δασύνεται. καθὰ καὶ τὸ αὑαίνω παρὰ τῷ κωμικῷ, διὰ τὸ μὴ ἐπιφέρεσθαι τῇ διφθόγγῳ σύμφωνον. αὔω δέ φασι τὸ φωνῶ, ψιλοῦται, πρὸς σημασίαν διάφορον. Ὅτι καὶ τοὺς Ἰθακησίους ἴσως καὶ τοὺς μνηστῆρας σεμνολογῶν ὁ χρηστολόγος Ὅμηρος, ἥρωας Ἀχαιοὺς ὀνομάζει. (ἡερς. 274.) Ὅτι τὸ πέφραδεἀντὶ τοῦ εἰπὲ, ἢ μέσος παρακείμενός ἐστι τοῦ φράζω, ἢ δεύτερος ἀόριστος φράδε, καὶ κατὰ διπλασιασμὸν πέφραδε. οἷον. μῦθον πέφραδε πᾶσι τοῦτο δὲ παρῳδηθέντος τοῦ ἐφεξῆς, χρήσιμον εἰς ἀναφώνησιν. οἷον. μῦθον πέφραδε πᾶσι. θεὸς δ' ἐπιμάρτυρος ἔστω. καὶ παρὰ τῷ ποιητῇ δὲ ὁ τόπος οὗτος προεκθετικός ἐστι τῶν ἐφεξῆς γενησομένων. ἐν οἷς ἀπειπεῖν τοῖς μνηστῆρσι μέλλει ἅπερ ἐθέλει ὁ Τηλέμαχος. δῆλον δὲ ἐκ τῶν παλαιῶν, ὡς πρωτότυπόν ἐστιν ὁ μάρτυρος. ἐξ οὗ ὁ μάρτυς κατὰ συγκοπήν. διὸ οὐδὲ κλίνεται ὁ μάρτυς ὡς μὴ φυσικήν φασιν ἔχων τὴν παραλήγουσαν. αὐτοῦ μέντοι τοῦ, ὁ 1.58 μάρτυρος, πρωτότυπον ὁ μάρτυρ δοκεῖ. διὸ τούτου μὲν πληθυντικὸν, οἱ μάρτυρες, καὶ τὰ ἑξῆς ἀκολούθως. ἐκείνου δὲ, οἱ μάρτυροι καὶ ἡ ἐφεξῆς ἀναλογία. εἰ μὴ ἄρα μεταπλασθῆναί τις ἐρεῖ τὸ μάρτυρες ἐκ τοῦ μάρτυροι. τότε γὰρ, οὐκ ἀνάγκη τὸ μάρτυρ εἶναι ἐν λόγῳ. ἐν τούτοις δὲ κεῖται συνήθως τῷ ποιητῇ ῥῆμα δυϊκὸν μετὰ ὀνόματος πληθυντικοῦ. φησὶ γάρ. μάρτυροι ἔστων ἤγουν ἔστωσαν. (ἡερς. 276.) Ὅτι σχῆμα ἑκουσίου σολοικισμοῦ τὸ, μητέρα δὲ εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι, ἂψ ἴτω ἐς μέγαρον πατρός. ἦν γὰρ τὸ ἀκόλουθον καὶ ἀσόλοικον, οὕτως εἰπεῖν κατὰ ὀρθὴν καὶ εὐθεῖαν. μήτηρ δὲ εἰ βούλοιτο γαμέεσθαι, ἄψ ἴτω. ἢ καὶ ἄλλως, μητέρα δὲ εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι, ἀπόπεμψον. ὁ δὲ συνετὸς Μέντης ἐπίτηδες οὕτω σχηματίζει τὸν λόγον, διὰ αἰτίαν τοιαύτην. βουλευσάμενος γὰρ εἰπεῖν ὅτι τὴν μητέρα ἀπόπεμψον, καὶ φθάσας εἰπεῖν κατά τι αὐθωρὸν ὡς ἐν σχεδιασμῷ τὴν αἰτιατικὴν, εἶτα συνιδὼν ὡς ἴσως οὐ πείσει τὸν φιλομήτορα Τηλέμαχον εἰπὼν τὸ ἀπόπεμψον, σιγᾷ μὲν τοῦτο τὸ ῥῆμα ὡς οἷα ἐπιμηθευσάμενος. μὴ ἔχων δὲ συντόμως ἄλλην λέξιν αὐτόθεν ἐξευρεῖν ἅμα καὶ τὴν ὀρθὴν σύνταξιν σώζουσαν, καὶ τὸ δυσχερὲς τοῦ λόγου ἐκκλίνουσαν, ἐξανάγκης εἰς ἄλλο ῥῆμα ἐκπίπτει. καὶ οὕτως ἐμπίπτει εἰς τὸ σολοικοφανές. εἰπὼν, ὑποχωρήσατο. ἵνα δῆθεν αὐτὴ ἀπέρχηται θέλουσα, καὶ μὴ ὁ παῖς αὐτὴν ἐκπέμπῃ ἀέκουσαν. καὶ οὕτω μὲν ὁ νουνεχὴς Μέντης τὸν λόγον ἐσχημάτισεν. ἀμφιδεξιῶς πάνυ ἀμφότερα ἐμφήνας, καὶ τὸ, ἀπόπεμψον τὴν μητέρα εἰ μὴ φιλεῖς αὐτὴν, καὶ τὸ, ἡ μήτηρ ἂψ ἴτω εἰ μὴ σὺ θέλεις λυπῆσαι αὐτήν. ἐξ ἑκατέρων ἐννοιῶν ἀνὰ μίαν λέξιν σιγήσας. ἤγουν τὸ ῥῆμα μὲν τὸ προστακτικὸν, ἐκ τοῦ, τὴν μητέρα ἀπόπεμψον. ἐκ δὲ τοῦ, ἡ μήτηρ ἂψ ἴτω, τὸ τῆς εὐθείας ὄνομα. καὶ οὕτως, οὐ μόνον καινοπρεπὲς ἀπέβη τοῦτο τὸ σχῆμα διὰ τὸ σολοικοφανὲς, ἀλλὰ καὶ γοργὸν καὶ ἐλλειπτικόν. καὶ τοιοῦτος μὲν ὁ εὐλαβὴς Μέντης. ὁ δὲ ἀτάσθαλος καὶ ἀγήνωρ Ἀντίνοος ἐν τοῖς ἑξῆς, ἀσολοίκως μὲν, ἀπαιδεύτως δὲ μὴ παρακαλύψας, ἐρεῖ μητέρα ἀπόπεμψον. ἔνθα καὶ ἀντακούσει πρὸς τοῦ φιλομήτορος, ὅτι οὐκ ἔστι δόμων ἀέκουσαν ἀπώσασθαι. (ἡερς. 277.) Ὅτι καινοπρεπὲς σχῆμα καὶ τὸ, ἐλθέτω εἰς μέγαρον πατρὸς μέγα δυναμένοιο. οἱ δὲ, γάμον τεύξουσι, καὶ ἀρτυνέουσιν ἔεδνα πολλὰ μάλα. ὤφειλε γὰρ εἰπεῖν, ὁ δὲ ἤτοι ὁ πατὴρ γάμον τεύξει. ὁ δὲ ποιητὴς, οὐ πρὸς ἕνα τὸν πατέρα τὴν σύνταξιν ἀπέδωκεν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλὰ πρός τινας πολλοὺς τοὺς ἀμφὶ τὸν πατέρα. οἵ τινες ὡς ἐν τοῖς ἑξῆς ἱστορεῖται, τὴν Πηνελόπην ἐκέλευον γήμασθαι. Ὅρα δὲ καὶ ὅτι δυνατόν τε καὶ πλούσιον ὑπεμφαίνει ὁ ποιητὴς τὸν τῆς Πηνελόπης πατέρα Ἰκάριον. μέγα τὲ γὰρ δυνάμενον αὐτὸν εἶπε, καὶ τὰ ἐξ αὐτοῦ τῇ θυγατρὶ ἕδνα, πολλὰ μάλα φίλη παιδὶ πρέποντα. Τὸ δὲ ἀρτύνειν, ἀπὸ τοῦ ἀρτύω γίνεται πλεονασμῷ τοῦ ¯ν. ὥσπερ δύω δύνω. καὶ θύω θύνω τὸ ὁρμῶ καὶ χύω χύνω. Ἕδνα δὲ νῦν μὲν τὰ ἀπὸ τῆς γυναικὸς πρὸς τὸν ἄνδρα. τάχα δὲ καὶ τὸ ἀνάπαλιν. δύναται γὰρ ἀμφοτέρως ἡ ἔννοια συμβιβάζεσθαι. οἱ δὲ ἀκριβέστεροι τῶν παλαιῶν, ἕδνα λέγεσθαι κυρίως φασὶ, τὰ ὑπὸ τῶν νυμφίων ἀλλήλοις διδόμενα. τὰ δὲ ἀπὸ τῶν πατέρων ἐπιμείλια φασὶν, ὡς ἐν τῇ Ἰλιάδι γέγραπται. φερνὴ δὲ τὰ τῆς νύμφης. τὰ δὲ ὑπὸ τῆς νύμφης, ἐπιφέρνια. δασύνεται δὲ τὸ ἕδνα, ὡς ἀπὸ τοῦ ἑδράζω κατὰ τοὺς παλαιούς. ἕδρανόν τι ὂν, τὸ τὸν γάμον στηρίζον, καὶ ἐν συγκοπῇ ἕδνον. ἢ ἀπὸ τοῦ ἥδω, ἥδανόν τι ὂν, τὸ ἡδύνον τοὺς λαμβάνοντας, καὶ ἐν συγκοπῇ καὶ συστολῇ τοῦ ¯η εἰς ¯ε, ἕδνον. καθὰ καὶ μύρον ἑδανὸν ὀξυτόνως ἐν Ἰλιάδι, τὸ ἡδύ. ὡσαύτως δασύνεται καὶ τὸ ἔεδνον, τῆς δασείας ἀναδραμούσης εἰς τὴν ἀρχὴν, καὶ τὸ ἑεδνοῦσθαι. ὡς ἐπὶ τοῦ ὥρων ἑώρων γίνεται καὶ ἐπὶ ἄλλων πολλῶν. ὅλως δὲ κατὰ πᾶσαν κίνησιν, τὰ ἀπὸ τοῦ ἥδω δασύνονται, ὡς καὶ τὸ ἁνδάνω. καθὰ δηλοῖ τὰ παρὰ τῷ τραγικῷ ἀφανδάνοντα. καὶ ἀφάδιον παρὰ Παυσανίᾳ, τὸ ἐχθρὸν καὶ ἀπαρέσκον, καὶ ἦδος δὲ τὸ μὲν ὄφελος, ψιλοῦσιν οἱ πλείους, ὡς μεταπλασθὲν ἐκ τῆς ἡδονῆς εἰς τροχαῖον. ἐπὶ δὲ ὄξους, δασύνουσιν. Αἴλιος γοῦν Διονύσιος φησίν. ἧδος τὸ ὄξος, δασύνουσιν Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα, οἷον καὶ τὸν ἡδυλισμόν. ὃς εἶδός τι κολακείας ἐστίν. ἀφ' οὗ καὶ τὸ ἡδυλίζειν παρὰ Μενάνδρῳ. Παυσανίας δὲ εἰπὼν ὅτι ἧδος τὸ ὄφελος καὶ τὸ ὄξος, οὐδέν τι περὶ πνεύματος ἔφη. ἐκ τοῦ ἥδω δὲ γινομένη καὶ ἡ ἥβη καὶ τὰ ἐξ αὐτῆς ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, εὐλόγως δασύνονται. Ἰστέον δὲ καὶ ὅτι ὁ ἀνωτέρω ῥηθεὶς τῆς Πηνελόπης πατὴρ Ἰκάριος, ἀδελφὸς ἦν Τυνδάρεω τοῦ Λάκωνος, τοῦ πατρὸς τῆς Ἑλένης. οἳ τῆςοἰκείας ἐκπεσόντες ὑπὸ Ἱπποκόωντος, ἦλθον εἰς Θέστιον Πλευρωνίων ἄρχοντα. καὶ τὴν πέραν Ἀχελῴου συγκατεκτήσαντο. ὕστερον δὲ, Τυνδάρεως μὲν τὴν Θεστίου θυγατέρα Λήδαν λαβὼν, ἐπανῆλθεν. 1.59 ἀφ' ἧς ἐγένοντο αὐτῷ Ἑλένη καὶ οἱ Διόσκουροι. Ἰκάριος δὲ ἐπέμεινε μέρος φασὶν ἔχων τῆς Ἀκαρνανίας.ἔνθα καὶ τεκνωσάμενος Πηνελόπην ἐκ Πολυκάστης, τῷ Ὀδυσσεῖ πρὸς γάμον ἐξέδοτο. (ῃερς. 281.) Ὅτι νῆα ἐεικόσορον ἐμφαίνων ἅμα καὶ ἐτυμολογῶν, φησί. νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν. ὅθεν δηλονότι ναῦς εἰκόσορος. τί δὲ τὸ ἄρσαι, ἐν τῇ Ἰλιάδι δεδήλωται. Ὅρα δὲ τὸ, ἄρσας ἐρέταις. διττὸν γὰρ τὸ ἄρσαι νῆα. τὸ μὲν, ἐπὶ ναυπηγίας. τὸ δὲ ἐπὶ ἐξαρτίσεως τὴν εἰς πλοῦν ὥσπερ ἐνταῦθα. Ὅτι δὲ καὶ εἴκοσι δίχα τοῦ ¯ν λέγεται καὶ εἴκοσιν μετὰ τοῦ ¯ν, ὡς καὶ πέρυσι πέρυσιν. καὶ ὡς ἐν συνθέσει ποτὲ μὲν, φυλάττει τὸ ¯ι. ποτὲ δὲ αὐτὸ εἰς ¯α τρέπει, οἷον, εἰκοσιστάδιον καὶ εἰκοσαστάδιον, Αἴλιος Διονύσιος λέγει. οὕτω δέ φησι καὶ τὸ πέντε ἐν συνθέσει φυλάττον τὸ ¯ε. οἷον. πεντέπηχυ. πεντέκλινον. πεντέχαλκον. πεντέμηνον. πεντεσύριγγον ξύλον, ὅμως παρ' ἑτέροις διὰ τοῦ ¯α λέγεται. πεντάπηχυ καὶ τὰ λοιπὰ ὁμοίως. ὅμοιον δέ τι πάσχει καὶ ὁ ὀκτὼ ἀριθμός. (ῃερς. 284.) Ὅτι τὴν τοῦ Διὸς ὄσσαν ἐπαινῶν, φησίν. ἢ μάλιστα φέρει κλέος ἀνθρώποισιν, ἤγουν φήμην καὶ ἀκοὴν τοῦ μέλλοντος. κλέος γὰρ παρ' Ὁμήρῳ, ἡ φήμη. ἔστι δὲ ὅτε, καὶ ἡ τιμὴ ἐὰν προσθήκην ὁ λόγος λάβῃ τινά. οἷον κλέος ἐσθλόν. ἢ κλέος μέγα. ἢ εὐρύ. λέγει δὲ τὴν ὄσσαν ἐκ Διὸς εἶναι, διότι πᾶσαν ὄσσαν καὶ ὀμφὴν, εἰς τὸν Δία οἱ παλαιοὶ ἀνάγουσι, διὸ καὶ πανομφαῖος ἐλέγετο, καθὰ καὶ ἐν Ἰλιάδι γέγραπται. Διὸς δὲ ἡ ὄσσα, ἢ ἡ τῆς προμάντιδος εἱμαρμένης, δηλωτικὴ γάρ ἐστι τοῦ μέλλοντος, ἢ καὶ ἄλλως, ἡ τοῦ ἀέρος, ὃς αἴτιός ἐστι φωνῶν διηχὴς τυγχάνων. Ἰστέον δὲ ὅτι παρ' Ὁμήρῳ οὐχ' ἁπλῶς ἡ φωνὴ λέγεται ὄσσα καθὰ παρὰ τοῖς ὕστερον, ἀλλὰ καὶ ἡ ὄσσα καὶ ἡ κληδὼν καὶ ἡ ὀμφὴ καὶ ἡ φήμη ὡς πολλαχοῦ φανήσεται, θεῖόν τι ἐστὶ καὶ σημαντικὸν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέλλοντος. Σημείωσαι δὲ ὅτι ἐπὶ μὲν ἀνθρώπων, εἰπεῖν ἁπλῶς ἔφη ὁ ποιητὴς, ἐπὶ δὲ Διός, ὄσσαν. φησὶ γάρ. ἤν τίς τοι εἴπῃσι βροτῶν. ἢ ὄσσαν ἀκούσῃς ἐκ Διός. καὶ ἔστι τὸ εἴπῃσιν, ἀντὶ τοῦ λαλήσει ὡς οἷά τι εἰδώς. ἴσως δὲ, καὶ προσυπακουστέον τὸ ἔπος ἀπὸ κοινοῦ. ἵνα λέγῃ, ἤν τίς τοι εἴπῃσιν ἔπος. ἢ καὶ ἄλλως, ἤν τίς τοι εἴπῃσι περὶ πατρός. Ἔτι ἰστέον καὶ ὅτι τὸ ἤν τίς σοι εἴπῃ. ταυτόν ἐστι τῷ, εἴπως εἴπῃ. αὐτὸ δὲ, ἶσόν ἐστι τῷ, ὅπως εἴπῃ, κατὰ μετάληψιν συνδέσμου εἰς σύνδεσμον. (ῥερς. 285.) Ὅτι προαναφωνῶν κἀνταῦθα Ὅμηρος τὸ εἰς Πύλον καὶ εἰς Σπάρτην ἐλθεῖν τὸν Τηλέμαχον, πλεῖον σεμνύνει τὸν Νέστορα ἤπερ τὸν Μενέλαον, ἐκεῖνον μὲν γὰρ, δῖον λέγει. ξανθὸν δὲ ὡς καὶ ἐν Ἰλιάδι, τὸν Μενέλαον. ὃς καὶ δεύτατός φησι τῶν ἄλλων Ἀχαιῶν ἐνόστησεν ἐκ πλάνης. τουτέστιν ὕστατος ἐπανῆλθε. διὸ καὶ ὁ Τηλέμαχος εἰς ἐκεῖνον ἐλθὼν, πλείονα ἱστορίαν καὶ ξενικωτέραν ἐξ αὐτοῦ συνάγει, ὡς ἀπὸ πολυχρονίου πλάνητος. καὶ περὶ τοῦ πατρὸς δὲ ἀκριβέστερόν τι ἐξ ἐκείνου ἀκούει. Γίνεται δὲ τὸ δεύτατος ἀπὸ τοῦ δεύω τὸ ἐλλείπω. ἐξ οὗ συγκριτικὸν, δεύτερος ὁ ἐλλιπέστερος. καὶ ὑπερθετικὸν, δεύτατος ὁ ἐλλιπέστατος. ὥσπερ βασιλεύτερος βασιλεύτατος. (ῥερς. 289.) Ὅτι τὸ τρυχόμενός περ ἔτι τλαίης ἐνιαυτὸν, εἴπῃ ἄν τις ὅτε συμβουλεύεταί τινι ἐπὶ πολὺ φερεπονεῖν. Ἔστι δὲ τὸ, τλαίης ἐνιαυτὸν, ὅμοιον τῷ, μείνατ' ἐπὶ χρόνον, ἀορισταίνει γὰρ νῦν ἐπίτηδες καὶ αὐτό. Τὸ δὲ τλαίη, εὑρεθήσεται ἀλλαχοῦ καὶ τετλαίη ἐν ἀναδιπλασιασμῷ. θέμα δὲ αὐτοῦ, τὸ τλῆμι. οὕτω δὲ καὶ ἐκ τοῦ θνῶ θνῆμι ἔθνην θνὰς θνάντος, θναίην. καὶ κατὰ ἀναδιπλασιασμὸν, τεθναίην. ἄλλως δὲ, κλίσιν ὁμοίαν ἀδιπλασίαστον ἔχουσι, τὸ κλῦθι κατά τινας καὶ τὸ δῦθι. ἔτι δὲ καὶ τὸ ἵληθι ἐκ τοῦ ἵλημι ἀῤῥήτου θέματος. τὸ δέ γε δίδωθι δέ μοι κλέος ἐσθλὸν, ἐξ εὐχρήστου ἐνεστῶτος προῆκται τοῦ, δίδωμι διδοὺς διδόντος δίδωθι. ἔχει δὲ ἀναγκαίαν ἔκτασιν τῆς παραληγούσης καθὰ καὶ τὸ πιμπλὰς πιμπλάντος πίμπλαθι καὶ τροπῇ πίμπληθι. οὕτω δὲ καὶ ἵλαθι ἵληθι. τὸ δὲ τέθναθι οὗ τρίτον τὸ τεθνάτω, γεγονὸς ἐκ τοῦ τεθνὰς τεθνάντος, ἐνέμεινε τῇ βραχείᾳ παραλήξει, ἐπειδὴ οὐκ ἔσχεν ἀνάγκην τινὰ μετρικήν. τούτων δὲ διαφέρει τὸ, ἄλλος δὲ βιώτω ἤγουν ζήτω, ὡς Δωρικὸν. βιούτω γὰρ τὸ κοινὸν, ὡς χρυσούτω, καὶ Δωρικῇ ἐναλλαγῇ τῆς ο¯υ εἰς ¯ω, βιώτω. Περὶ δὲ ἐνιαυτοῦ ἰστέον ὡς εἰ καὶ ταυτὸν ἐνιαυτὸν καὶ ἔνον εἰπεῖν, ἀλλ' ἡ παραγωγὴ ἐν αὐτοῖς διάφορος. ἐνιαυτὸς μὲν γὰρ, παρὰ τὴν ¯ε¯ν πρόθεσιν καὶ τὸ ἰαύειν ὃ ἔστι διατρίβειν, ἕνος δὲ κατά τινας, παρὰ τὸ ἕν, διὸ καὶ εὐλόγως ἐδασύνετο καθὰ καὶ ἡ ἕνη. δῆλον δὲ αὐτὸ, καὶ ἐκ τοῦ ἄφενος. ὅπερ ἀπὸ ἕνου ἐτυμολογοῦσι τινὲς ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα δηλοῦται. ἵνα καὶ ὁ ἕνος κατὰ τὴν ἕνην ἣν θεωρεῖ ὁ Πρόκλος, εἴη μόσχος μονόκερως. τὸ μὲν, διὰ τὸ ἀεὶ νεάζον καὶ ὡς οἷον κατὰ βοῦς ἐργατικὸν ἐν τοῖς περὶ γένεσιν. τὸ δὲ, διὰ τὸ ἑνάδος δίκην μεμονῶσθαι τὰς τοῦ ὅλου ἐνιαυτοῦ ἐνεργείας ὡς οὐδεμιᾶς ἑτέρας τῶν ὡρῶν. δασύ 1.60 νοιτο δ' ἂν καὶ ἄλλως ὁ ἕνος, ἢ παρὰ τὴν ἐν αὐτῷ ἕνωσιν τῶν τεσσάρων ὡρῶν καὶ τῶν κατ' αὐτὰς ἀποτελεσμάτων, ἢ καὶ ὡς ἀπὸ τοῦ ἕω τὸ πληρῶ ἤγουν τελειῶ ἐξ οὗ καὶ ὅλος καὶ ὁλότης. πληροφορεῖ γὰρ τὰ καθ' ἡμᾶς ὡς τελεσφόρος, ὁ ἐνιαυτός. (ῥερς. 290.) Ὅτι ἐν τῷ, εἰ δέ κε τεθνειῶτος ἀκούσῃς μὴ δέ τ' ἐόντος, περισσὸν κεῖται τὸ, μὴ ἐόντος. ἤρκει γὰρ τὸ τεθνειῶτος μόνον, ἐπεὶ δῆλον ὡς ὁ τεθνεὼς οὐκ ἔστι. καὶ ἄλλως δὲ, διορθωτικόν ἐστιν αὐτὸ τοῦ πρὸ αὐτοῦ. οὐ γὰρ ἐξ ἀνάγκης πᾶς ὁ ἠκουσμένος τεθνάναι, ἤδη καὶ τέθνηκεν, εἰ μὴ ἀληθῶς ἀπέθανε. τότε γὰρ οὐκέτ' ἔστιν. ἄλλως δὲ, ἡ ἀκοὴ μόνη οὐκ ἀπήγαγεν αὐτὸν τοῦ εἶναι. (ῥερς. 292.) Ὅτι τὸ θάπτειν, σῆμα χεύειν λέγει ὁ ποιητὴς ἤγουν τάφον χωννύειν, διότι πολὺν χοῦν οἱ παλαιοὶ ἐπεφόρουν τοῖς ὀστέοις τῶν τεθνεώτων. ὅθεν καὶ χώματα ἐκάλουν τὰ σήματα, τουτέστιν ἀναχωματισμούς. Σῆμα δὲ ὁ τάφος, κατὰ σχῆμα εὐφημισμοῦ, διότι σημεῖόν ἐστι τοῦ κεῖσθαί τινα ἐκεῖ. ἐνταῦθα δὲ, σῆμα τὸ κενήριον λέγει. οὐ γάρ ἐστι κυρίως ταφῆναι καὶ κυρίως τάφον ἔχειν τὸν ἐπ' ἀλλοδαπῆς τεθνεῶτα. Ὅτι τὸ, κτέρεα κτερεΐξαι, οὐ μόνον ἐτυμολογικῶς ἔχει, ἀλλὰ καὶ Ἀττικόν ἐστι σχῆμα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνεκφωνουμένου ῥήματος καὶ συστοίχου ὀνόματος. ὡς καὶ ἐπὶ τοῦ, λόγον λέγει καὶ ὕπνον ὑπνοῖ. καὶ μυρίων ἄλλων ὁμοίων. Κτέρεα δὲ, κτέατα ἤτοι κτήματα νεκρικά. ἢ κυρίως, τὰ κτεινομένοις προσήκοντα. Ἰστέον δὲ ὅτι ταυτολογῶν ὁ ποιητὴς, οὐ γὰρ ὀκνεῖ καὶ τοῦτο καιρίως ποιεῖν, ἀνωτέρω μὲν ἔφη ἕδνα πολλὰ μάλα ὅσα ἔοικεν. ἐνταῦθα δὲ, κτέρεα πολλὰ μάλα ὅσα ἔοικεν. οὕτω καὶ ἐν Ἰλιάδι δὶς εἶπε τὸ, τιμὴν ἀποτινέμεν ἥν τινα ἔοικεν. (ηερς. 293.) Ἐν τούτοις δὲ καὶ καθυποδεικνὺς δεῖν ὑπὸ τῷ ἀνδρὶ τὴν γυναῖκα εἶναι, φησί. καὶ ἀνέρι μητέρα δοῦναι. ὡς γὰρ πολλαχοῦ φανεῖται, γυνὴ ἀνδρὶ δίδοται ὅσα καί τι δῶρον δεσπόζεσθαι, εἴτε καὶ δουλικῶς δάμνασθαι, ὅθεν καὶ δάμαρ λέγεται. καὶ γάμος, ὁ οἱονεὶ δάμος. αὐτὸς μέντοι κοινῶς ὢν ἀνδρὶ καὶ γυναικὶ, ἀμφοτέρους ἀλλήλοις ὑποδεδμῆσθαι εὐνοϊκῶς βούλεται. οὐ μὲν ὑπὸ τῇ γυναικὶ τὸν ἄνδρα εἶναι εἰ καὶ τοῦτο καινοτομεῖν ποτὲ χρόνος θρασύνεται. Ἔστι δὲ τὸ δοῦναι, ἀντὶ τοῦ δὸς προστακτικοῦ. καθὰ καὶ πρὸ αὐτοῦ τὸ κτερεΐξαι καὶ τὸ χεῦαι. περὶ δὲ τοῦ τοιούτου σχήματος ὅπως καθίσταται ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐῤῥέθη. (ηερς. 294.) Ὅτι ἐν τῷ, ἐπειδὰν ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς, ἐκ παραλλήλου ταυτὸν δηλοῦσιν αἱ λέξεις. ἢ μᾶλλον, τὸ σχῆμα ὑστερολογία ἐστὶν, ἤγουν πρωθύστερον. πρῶτον γὰρ τὸ ἔρξῃς εἶτα τὸ τελευτήσῃς. ἔρξειν μὲν γὰρ, τὸ ἁπλῶς πράξειν. τελευτήσειν δὲ, τὸ καὶ εἰς τέλος τὴν πρᾶξιν ἀγαγεῖν. (ηερς. 297.) Ὅτι ὑποτίθεται ἡ Ἀθηνᾶ φρόνησις τῷ Τηλεμάχῳ. ἐπεὶ οὐ τηλίκος ἐστὶν ὡς ἔτι μειρακεύεσθαι φράσασθαι ὅπως μετὰ τὸ δοῦναι ἀνδρὶ τὴν μητέρα κτείνῃ τοὺς μνηστῆρας ἢ δόλῳ ἢ ἀμφαδόν. τουτέστιν ἢ κρύφα ἢ φανερῶς. εἶτα καὶ προπαροξύνει ῥητορικῶς ἐν ὁμοιότητι παραδείγματος, καὶ τὸ τοῦ νέου ζηλότυπον καὶ φιλότιμον ἐρεθίζει, τῷ ἐπαίνῳ τοῦ ἰσήλικος καὶ βασιλικοῦς παιδὸς Ὀρέστου. λέγουσα. ἢ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα Αἴγισθον δολόμητιν ὅς οἱ πατέρα κλυτὸν ἔκτα; καὶ σὺ ὦ φίλος ἄλκιμος ἔσσο. καὶ τὰ ἑξῆς. Ὅρα δὲ ἐνταῦθα, ὅτι τὸ ἀπὸ προσώπου ἐπιχείρημα τουτέστι τὸ τοῦ Ὀρέστου παράδειγμα, οὐ πάνυ εὐσυμβίβαστον εἶναι δοκεῖ. οὐ γὰρ εἰς ταυτὸν ἔρχεται τὰ πράγματα τῷ τε Ὀρέστῃ καὶ τῷ Τηλεμάχῳ. καὶ γὰρ Ὀρέστης μὲν, μοιχὸν ἀνεῖλε καὶ ἕνα, τὸν Αἴγισθον, καὶ μοιχαλίδα μητέρα. τῷ δὲ Τηλεμάχῳ οὔτε εἷς ὁ ἐχθρὸς ἀλλὰ πολλοὶ, καὶ οὔτε μοιχοὶ τῇ Πηνελόπῃ οὔτε πατροφονῆες τῷ Τηλεμάχῳ. καὶ ἡ μήτηρ δὲ ἄλλως, οὐ μοιχαλὶς, ἀλλὰ καὶ λίαν σωφρονεστάτη. πολλὴ οὖν ἡ ἀνομοιότης τοῦ παραδείγματος. ὅμως δὲ συμβιβάζεται οὕτω πως τὸ λεγόμενον· καλὸν βοηθεῖν γονεῦσι, πατρὶ δηλαδὴ καὶ μητρὶ. Ὀρέστης μὲν οὖν, ἔχει κλέος πατρὶ τιμωρήσας. σὺ δὲ ἀοίδιμος ἔσῃ, τῇ μητρὶ ἐπαμύνας. (ηερς. 300.) Σημείωσαι δὲ ὅτι πατροφονεὺς, οὐ μόνον ὁ ἑαυτοῦ ἀνελὼν πατέρα, ἀλλὰ καὶ ὁ ἀλλότριον. διόπερ ὁ ποιητὴς πατροφονέα τὸν Αἴγισθον εἰπὼν, ἐπεὶ Αἴγισθος οὐ τὸν ἑαυτοῦ ἐφόνευσεν ἀλλὰ τὸν τοῦ Ὀρέστου, ἐφερμηνεύων ἐπάγει, ὃς Ὀρέστου πατέρα κλυτὸν ἔκτα. ἴσως δὲ καὶ δι' ὑπεξαίρεσιν τῆς Κλυταιμνήστρας κεῖται ταῦτα. ἵνα μὴ καὶ Τηλέμαχος προσερεθισθῇ καὶ κατὰ τῆς μητρὸς, ὡς Ὀρέστης κατὰ τῆς πατροφόνου, τυχὸν δὲ, ἐκ περισσοῦ καὶ τοῦτο κεῖται ὡς ἐν ταυτολογίᾳ καθὰ καὶ ἄλλα πολλά. (ηερς. 301.) Τὸ δὲ ἔκτα, βραχυκαταληκτεῖ ὡς ἀποκοπὲν ἐκ τοῦ ἔκτανεν. Ὅτι ὁ παιδεύων τινὰ μὴ ἀφραίνειν, εἴποι ἄν. οὔτι σε χρὴ νηπιάας ὀχέειν ἐπεὶ οὐκέτι τηλίκος ἐσσί. ἤγουν οὐκ ἐνδέχεταί σε νήπια φρονεῖν, ἐπεὶ οὐκέτι τοιαύτης ἡλικίας εἶ. τὸ δὲ νηπιάας ὀχέειν, ἀντὶ τοῦ 1.61 νηπιοφροσύνας φέρειν. ὀχεῖν μὲν γὰρ, τὸ φέρειν τι καὶ βαστάζειν. ὀχεῖσθαι δὲ, τὸ φέρεσθαι καὶ βαστάζεσθαι. (ηερς. 302.) Ὅτι ὁ εἰς ἀνδρίαν καὶ σπουδὴν ὀτρύνων τινὰ τῶν κρειττόνων, ἐρεῖ ὅτι καὶ σὺ φίλος, μάλα γάρ σε ὁρόω καλόν τε μέγαν τε, ἄλκιμος ἔσσο, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ, τουτέστιν εὐλογήσῃ. Ὀψίγονοι δὲ, οἱ ὀψὲ καὶ εἰς τὸ μέλλον γενησόμενοι. τούτους δὲ καὶ ἐπιγόνους φαμέν. Ὅρα δὲ εἰ τὸ καλόν τε μέγαν τε, ἶσόν ἐστι τῷ, ἠΰν τε μέγαν, ὅπερ ἀλλαχοῦ φησὶν ὁ ποιητής. (ηερς. 304.) Ὅτι τὸ, ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δηλοῖ ὡς εὐλόγως τὸ ἐκ τοῦ λιμένος ἀπαίρειν, ἀναβαίνειν καὶ ἀνέρχεσθαι ὡς ἑξῆς φανεῖται, καὶ ἀναπλέειν λέγεται. Τὸ δὲ ἤδη, ἀντὶ τοῦ νῦν. διὸ καὶ εὕρηταί που ἐκ παραλλήλου κείμενα τὸ, ἤδη νῦν. (ῃερς. 306.) Ὅτι ὁ παραινῶν τινὶ εἰσακουσθῆναι ἐφ' οἷς ὑποτίθεται, εἴποι ἂν τὸ, σοί δ' αὐτῷ μελέτω καὶ ἐμῶν ἐμπάζεο μύθων. τουτέστιν ἐπιστρέφου. ὁ δὲ παραινούμενος εἰς ἀγαθὸν, ἐρεῖ πρὸς τὸν παραινοῦντα, ὅτι ταῦτα φίλα φρονέων ἀγορεύεις ὥστε πατὴρ ᾧ παιδὶ καὶ οὔποτε λήσομαι αὐτῶν. (ῃερς. 310.) Ὅτι ὁ κατέχων τινὰ φίλον ἐπὶ ἀναπαύσει, εἴπῃ ἄν. ἄλλ' ἄγε νῦν ἐπίμεινον ἐπειγόμενός περ ὁδοῖο. ὄφρα λοεσσάμενός τε, τεταρπόμενός τε φίλον κῆρ, ἀπέλθῃς χαίρων ἐνὶ θυμῷ. Καὶ ὅρα ὅτι τὸ ἐπειγόμενος, γενικῇ συνέταξεν ἐν τῷ, ἐπειγόμενός περ ὁδοῖο. προϊὼν δὲ, λιλαιόμενός περ ὁδοῖο φησὶν, ἐν τῷ, μή μ' ἔτι κατέρυκε λιλαιόμενόν περ ὁδοῖο. ὅπερ ἐρεῖ ὁ σπεύδων μὲν εἰς ὁδὸν, κωλυόμενος δὲ φιλικῶς. (ῃερς. 313.) Ὅτι ἐγκώμιον ἀγαθοῦ δώρου, τὸ εἰπεῖν, δῶρον ἔχων τιμῆεν, μάλα καλὸν, ὅ, τοι κειμήλιον ἔσται. οἷα φίλοι ξεῖνοι ξείνοισι διδοῦσι. καὶ παρακατιὼν δὲ, φησί. δῶρον μάλα καλὸν ἄξιον ἀμοιβῆς. (ῃερς. 314.) Ἰστέον δὲ ὅτι πρὸς ἀκρίβειαν ἐῤῥέθη τὸ, φίλοι ξεῖνοι. οὐ γὰρ πᾶς ξεῖνος, φίλος. καθὰ οὐδὲ πᾶς ἑταῖρος. ἀλλ' ὁ γνησίως ὑποδεχθείς. Ἰστέον δὲ ὅτι τὸ, δῶρον τιμῆεν μάλα καλὸν, οὕτω μετέβαλεν ὁ Θρᾷξ Δημοσθήνης. δῶρον, οὗ τὸ μὲν κεφάλαιον, τιμὴ ἔσται. καὶ αὐτὸ δὲ ἐφ' ἑαυτοῦ σοι ἴσως φανεῖται καλόν. (ῃερς. 321. σθθ.) Ὅτι ἐν τῷ ὄρνις ὡς ἀνόπαια διέπτατο Παλλὰς Ἀθήνη, τὸ μὲν ὄρνις, κοινόν ἐστιν ὄνομα. Δωριεὺς δὲ ἀνὴρ, ὄρνιξ ὄρνιχος κλίνει, ὡς καὶ Πίνδαρος δηλοῖ, τροπῇ Δωρικῇ τοῦ ¯σ εἰς ¯ξ, ὁποία γίνεται καὶ ἐν τῷ ἁρπάσω ἁρπάξω καὶ τοῖς ὁμοίοις. Τὸ δὲ ἀνόπαια, εἶδός τινες ὀρνέου λέγουσιν ἀετώδους φήνῃ ἐοικότος. καὶ ὁ προσεχῶς δὲ εἰρημένος μεταβολεὺς Δημοσθένης, οὕτω τὴν λέξιν νοεῖ. παραφράσας ὅτι ᾤχετο ἡ Ἀθηνᾶ, δύο τούτοις ὅτι ἦν θεὸς σημήνασα. τῷ τε εἰς ὄρνιθα ἑαυτὴν μεταβαλοῦσα ἐξαίφνης ἀφανισθῆναι καὶ τῷ θάρσους ὑποπλησθῆναι τὸν Τηλέμαχον. οἱ δέ φασιν ὅτι διέπτατο ἀνόπαια ἤγουν ἀνὰ τὴν ὀπὴν τὴν ἐν μέσῳ τ' ὀροφῆς, ἣν καὶ κάπνην καὶ καπνοδόκην ἐκάλουν. ἢ διὰ τῆς ὀπαίας φασὶ κεραμίδος. ἔστι δὲ αὕτη, ἡ τὴν κάπνην φασὶν ἔχουσα. οἱ δὲ, τὸ ἀνόπαια, λέγουσιν ἀντὶ τοῦ, ἀφανής, πόῤῥω τῆς ὄψεως. δοκεῖ δέ τισι, καὶ ἀντὶ τοῦ, ἀνωφερὴς εἶναι, ὡρμημένοις ἐκ τῶν Ἐμπεδοκλέους, εἰπόντος ἐπὶ πυρὸς τὸ, καρπαλίμως δ' ἀνόπαιον. ἐξ οὗ δῆλον, ὅτι καὶ οὐδετέρου γένους ἐστὶ τὸ ἀνόπαιον. διὸ καὶ Ἡρῳδιανὸς τὸ ἀνόπαια, καὶ οὐδέτερον οἶδε πληθυντικὸν, καὶ προπερισπᾷ, καὶ ὡς ἐπίῤῥημα λαμβάνει, ἀντὶ τοῦ ἀοράτως. καθάπερ τὸ πυκνὰ ἀντὶ τοῦ πυκνῶς. καὶ καλὰ ἀντὶ τοῦ καλῶς. νοήσας ἐκεῖνος τὸ τοιοῦτον ἀνόπαια, οὐ μετὰ τῆς ἀν¯α προθέσεως, ἀλλὰ στέρησιν τοῦ ὀπτάνεσθαι. Ἰστέον δὲ ὅτι τὲ καὶ ὄρος ἀνόπαια κατὰ Ἡρόδοτον, καὶ ἀτραπὸς δὲ ἀνόπαια περὶ τὴν Λοκρίδα γῆν καὶ τὴν τῶν Μηλιέων, καὶ ὡς οὐ μόνον ἐνταῦθα ὁ μῦθος ἀλλὰ πολλαχοῦ, τὰ θεῖα πρόσωπα ὀρνέοις ἀπεικάζει ἐν ταῖς θείαις ἐναργείαις. καὶ ἡ αἰτία, ἐν Ἰλιάδι γέγραπται. Τοῦ δὲ ἔπτατο, ἔστι καὶ δεύτερος μέσος ἀόριστος. οὗ χρῆσις παρὰ Σοφοκλεῖ ἐν τῷ, περιχαρὴς δ' ἀνεπτόμην, ἐξ αὐτοῦ δὲ, καὶ πτέσθαι ἀπαρέμφατον ἐν Οἰδίποδι τῷ τυράννῳ. καὶ παρ' Ὁμήρῳ δὲ ἐν τῷ, καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων. ἐκ μέντοι τοῦ ἔπτατο, πτάσθαι εἶπεν Εὐριπίδης. οἷον εἴθ' ὤφελ' ἀργοῦς μὴ διαπτάσθαι σκάφος. πόθεν δὲ ἡ Παλλὰς, καὶ ὅτι οὐ μόνον πάλλας, ὁ νέος, ἀλλὰ καὶ πάλλαξ ἐξ οὗ καὶ παλλακὴ, καὶ παλλάκια δὲ κατὰ Αἴλιον Διονύσιον οὐ παλλήκια οἱ παῖδες, ἔστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς οἳ καὶ δικαστήριον ἱστοροῦσιν Ἀθήνῃσιν ἐπώνυμον τῆς Παλλάδος. Ἀριστοφάνης. ἄκων κτενῶ σε τέκνον. ὅ δ' ὑπεκρίνατο. ἐπὶ παλλαδίῳ, παρ' ᾧ πάτερ δώσεις δίκην. ἐδίκαζον δὲ κατὰ Παυσανίαν ἐκεῖ ἀκουσίους φόνους οἱ ἐφέται. Ἀργεῖοι γάρ φησιν ἀπὸ Ἰλίου πλέοντες, ἡνίκα προσέσχον Φαλήροις, ὑπὸ Ἀθηναίων ἀγνοούμενοι ἀνῃρέθησαν. ὕστερον δὲ Ἀκάμαντος γνωρίσαντος καὶ τοῦ ἱστορουμένου παλλαδίου εὑρεθέντος κατὰ χρησμὸν, αὐτόθι τὸ δικαστήριον ἀπέδειξαν. Κλειτόδημος δέ 1.62



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησιν, Ἀγαμέμνονος σὺν τῷ παλλαδίῳ προσενεχθέντος ταῖς Ἀθήναις, Δημοφῶντα τὸ παλλάδιον ἁρπάσαι, καὶ πολλοὺς τῶν διωκόντων ἀνελεῖν. τοῦ δὲ Ἀγαμέμνονος δυσχεραίνοντος, κρίσιν αὐτοὺς ὑποσχεῖν ἐπὶ πεντήκοντα Ἀθηναίων καὶ τοσούτων Ἀργείων. οὓς ἐφέτας κληθῆναι, διὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς περὶ κρίσεως. καὶ τὸ δικαστήριον, ἐπώνυμον τῇ Παλλάδι γενέσθαι. (ῃερς. 3.) Ὅτι τὸ τὴν Ἀθηνᾶν ἀποβῆναι ἤγουν ἀποχωρῆσαι τοῦ Τηλεμάχου, οὐ τὸ ἄφρονα ἐκεῖνον ἐγκαταλειφθῆναι δηλοῖ, ἄλλ' ὅτι βουλευσάμενος πρῶτον καθ' ἑαυτὸν καὶ σκοπήσας καὶ στήσας τὸν σκοπὸν, παύεται. καὶ οὐκ ἔτι σκέπτεται, ἀλλὰ φρεσὶ γνοὺς οἷα φρονίμως ἐνόησε καὶ ἀποδεξάμενος ἑαυτὸν τοῦ θεόθεν σκέμματος καὶ θαμβήσας κατὰ θυμὸν τὸ ἀξιόλογον τοῦ βουλεύματος, καὶ μένος καὶ θάρσος ἀναλαβὼν, τοῦ βουλευθέντος ἔργου γίνεται, ὑποχωρούσης ἐξ αὐτοῦ τῆς προτέρας Ἀθηνᾶς ἤτοι σκέψεως. (ῃερς. 322.) Τί δέ ἐστι τὸ μένος καὶ τὸ θάρσος, ἐν τῷ ¯ε Ἰλιάδος γέγραπται. (ῃερς. 324.) Σημείωσαι δὲ ὅτι οὐ μόνον ὁ Τηλέμαχος ἐνταῦθα ἐθαύμασε κατὰ θυμὸν ὡς εἴρηται, ἀλλὰ καὶ ἡ μήτηρ μετ' ὀλίγα, τοῦ παιδὸς ἀκούσασα, ἐθάμβησε. καὶ τὸν αὐτοῦ μῦθον πεπνυμένον ἐνέθετο τῇ ψυχῇ. θαυμάζουσι δὲ προϊόντες καὶ οἱ μνηστῆρες, ὅτε ἀγορεύοντος αὐτοῦ ἀκούσουσι. καὶ οἱ λαοὶ δὲ ἐν τοῖς ἑξῆς, θηεῦντο τὸν Τηλέμαχον ἐπερχόμενον. οὕτω πάνυ ἀξιοθαύμαστος ὁ νεανίσκος διὰ τὴν ἐνδημίαν τῆς ἀλληγορουμένης Ἀθηνᾶς, γέγονε. καὶ ἴσως καὶ διατοῦτο, συμβολικῶς καὶ ἀστείως ὁ ποιητὴς τὴν τῷ Τηλεμάχῳ ἐπιφοιτήσασαν Ἀθηνᾶν, ἡγήτορι Ταφίων ἀπείκασε, διὰ τὸ ἐκθαμβητικὸν δηλαδὴ τῆς ἐν αὐτῷ φρονήσεως. Τάφος γὰρ ἡ νῆσος, ὁμωνυμίαν ἔχει πρὸς τὸ θάμβος ὅτε καὶ αὐτὸ τάφος λέγεται. ὡς τὸ, τάφος δ' ἕλε πάντας. ἤγουν θάμβος καὶ ἔκπληξις. ἐξ οὗ καὶ τὸ, ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς. ἤτοι ἐκπλαγείς. οὕτω δὲ καὶ ἀλλαχοῦ ὁ ποιητὴς, ὅμοιόν τι ποιεῖ. καὶ ἐξ ὀνόματος τοπικοῦ πορίζεται ἀστεῖον νόημα ὅ που ἄνδρα πένητα ἐξ Αἰτωλίας εἶναι πλάττει, αἰνιττόμενος ἐπαίτην ἐκεῖνον εἶναι. τοῦτο γὰρ βούλεται σημαίνειν ἐκεῖ ὁ Αἰτωλὸς, ὡς ἀπὸ τοῦ αἰτῶ τὸ ζητῶ. καὶ ἐνταῦθα οὖν διὰ τοπικοῦ ὀνόματος τῶν Ταφίων, τάφον ἕτερον ὑπηνίξατο ὑφ' οὗ δηλοῦται ἡ ἔκπληξις ὡς προείρηται. (ῃερς. 322.) Ὅτι τῷ θεόθεν ἀναμιμνησκομένῳ τινὸς καὶ ἀνδριζομένῳ, ἐπιῤῥηθήσεται ταῦτα. τῷ δ' ἐνὶ θυμῷ θῆκε μένος καὶ θάρσος, ὑπέμνησέ τε τοῦ δεῖνος, μᾶλλον ἔτι ἢ τὸ πάροιθεν. (ῃερς. 324.) Ὅτι ἐπὶ ἀνθρώπου μαθόντός τι καὶ θαυμάσαντος, οἰκεῖον εἰπεῖν τὸ, ὁ δὲ, φρεσὶ νοήσας, θάμβησε κατὰ θυμόν. Σημείωσαι δὲ ὅτι τὸ ἐθάμβησε κατὰ θυμὸν ἤτοι κατὰ ψυχὴν, πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν θαμβουμένων πρὸς τὰ βλεπόμενα. θάμβος δὲ λέγεται, τὸ διὰ τῆς θέας ἐμβιβαζόμενον. (ῃερς. 326.) Ὅτι τὸν Φήμιον, ἀοιδὸν λέγει περικλυτὸν ἤτοι ἐξάκουστον. καὶ τὸ αὐτοῦ μέλος, θέσπιν ἀοιδήν. ἤτοι θείαν καὶ ὡς ὑπὸ θεοῦ ἐσπομένην ἤτοι λεγομένην. τοῦτο δὲ συνθέντες οἱ μεθ' Ὅμηρον, θεσπιῳδεῖν λέγουσιν, ὃ δηλοῖ τὸ μαντεύεσθαι. θεσπιῳδεῖν δὲ πάντες ἐδόκουν οἱ ἀοιδοὶ, καθὰ καὶ αὐτὸς ὁ ποιητὴς, ἀοιδὸς ὢν καὶ αὐτός. ὅτι δὲ καὶ Ὁμήρῳ μέτεστι μαντικῆς, καὶ ἐν Ἰλιάδι φαίνεται. καὶ ἐν τοῖς ἑξῆς δέ που φανήσεται. (ῃερς. 326.) Ὅτι τοῦ Φημίου ᾄδοντος τὰ κατὰ τοὺς Ἕλληνας ὅπως ἐκ τῆς Τροίας ἐνόστησαν, σιωπῇ ἐκάθηντο οἱ μνηστῆρες ἀκούοντες. ἴσως μὲν, κατακηλούμενοι τῇ γλυκύτητι τῆς ᾠδῆς. τάχα δὲ, καὶ καραδοκοῦντες τὸν τοῦ Ὀδυσσέως ἀκοῦσαι θάνατον ἐκ τοῦ ἀοιδοῦ, ὅπερ καὶ αἴτιον γίνεται πιθανῶς τῇ Πηνελόπῃ, τοῦ κατελθεῖν ἀναγκαίως εἰς τοὺς μνηστῆρας καὶ ταῦτα ὑποβεβρεγμένους τῇ μέθῃ, ὡς ἂν παύσῃ τὸν Φήμιον τῆς τοιαύτης ᾠδῆς. δέδιε γὰρ ἡ γυνὴ, μή ποτε καθ' ὁδὸν τῇ ᾠδῇ βαίνων ὁ Φήμιος, ἐμπέσῃ καὶ εἰς τὰ κατὰ τὸν Ὀδυσσέα καὶ τυχὸν εἴπῃ ἐκεῖνον ἐν νόστῳ θανεῖν. καὶ οὐκ ἔτι φυκτὰ ἔσται αὐτῇ. οὐδ' ὁ γάμος ἐπὶ πλέον ἀναβληθήσεται. οὐδὲ γὰρ ἦν θέμις τὸν Φήμιον ἀοιδὸν ὄντα, ψεύσασθαι, διὰ τὸ ἐνθέους ὑποκεῖσθαι εἶναι τοὺς ἀοιδοὺς καὶ μουσοτραφεῖς καὶ θεόθεν ἐμπνεομένους ᾄδειν καὶ οὕτως εἰς ταυτὸν ἥκειν τοῖς μάντεσιν. ὅτι δὲ τοιοῦτοι οἱ ἀοιδοὶ, ἐν τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περὶ Δημοδόκου μετὰ ταῦτα φανήσεται. Σημείωσαι δὲ ὅτι δεξιώτατα ὁ ποιητὴς ἀναρτήσας τὸν ἀκροατὴν, εἶτα παύει τὴν περὶ τοῦ νόστου τῶν Ἑλλήνων ἀοιδήν. Ἰστέον γὰρ ὅτι κἄν τε προϊὼν ὁ Φήμιος περιεῖναι τὸν Ὀδυσσέα εἶπε κἄν τε μὴ, οὐκ εὔοδος ἦν ὁ λόγος τῷ ποιητῇ. ἐπεὶ γὰρ ἐκ θεοῦ λαλοῦσιν οἱ ἀοιδοὶ, τεθνεῶτος μὲν Ὀδυσσέως, βιάσονται τὴν Πηνελόπην οἱ μνηστῆρες. ζῶντος δὲ, ἀποστήσονται καὶ οὐκ ἀναιρεθήσονται, ἅπερ ἡ ἱστορία οὐκ ἔχει. ἐπεὶ οὖν οὐ συνέφερεν εἰς πιθανότητα λόγου τὸ τέλος τῆς ἀοιδῆς, εἰκότως ὁ ποιητὴς τῇ ἐπιστασίᾳ τῆς Πηνε 1.63 λόπης παύει αὐτήν. ἔχει δέ τι καὶ ἄλλως ἀστεῖον ἡ κάθοδος τῆς Πηνελόπης, ἀναψυχούσης ἐπίτηδες τοὺς μνηστῆρας, ὡς καὶ μετ' ὀλίγον εὐθὺς ῥηθήσεται. (ῃερς. 341.) Σημείωσαι δὲ καὶ ὅτι ἐπίτηδες ὁ ποιητὴς ἐνέκοψε τὴν τοῦ Φημίου ἀοιδὴν, ἑαυτῷ πάντως καὶ τῇ κατ' αὐτὸν ἀοιδῇ ἀνατιθεὶς τὰ κατὰ τὸν νόστον. οὗ μνείαν ποιήσεται, ἀρξάμενος ἐκ τῆς γάμμα ῥαψῳδίας. ἐμφήνας οὖν ὡς καὶ διὰ τοῦ Φημίου εἶχεν εἰπεῖν τὰ τοῦ νόστου, ὅμως ἔκρινε δέον αὐτὸς ἀοιδὸς τούτων γενέσθαι ἐν τοῖς ἑξῆς. (ῃερς. 326.) Ὅτι ἐγκώμιον ἀοιδοῦ τὸ, τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτὸς, οἱ δὲ, σιωπῇ εἵατο ἀκούοντες. ἔνθα σημείωσαι ὡς οὐ μόνον ἡ κατὰ τοιαύτας ἀοιδὰς ἀκρόασις, ἀλλὰ καὶ ἁπλῶς ἡ κατὰ ἀκοὴν ἡδονὴ καθὰ καὶ ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται, πολλὰ τῶν παθῶν ἐπέχει, ἀπασχολοῦσα τοὺς ἀκροωμένους εἰς ἑαυτήν. Ἡγήμων οὖν φησιν ὁ παρῳδὸς ὁ ἐπιλεγόμενος φακὴ, σφόδρα εὐδοκιμῶν ἐν τῷ παρῳδεῖν καὶ μάλιστα παρ' Ἀθηναίοις, οὕτως ἐκείνους ἐκήλησέ ποτε ἐν τῇ τῆς γιγαντομαχίας παρῳδίᾳ, ὥστε τὴν ἡμέραν ἐκείνην πλεῖστα αὐτοὺς γελάσαι, καί τοι ἀγγελθέντων αὐτοῖς ἐν τῷ θεάτρῳ τῶν περὶ Σικελίαν ἀτυχημάτων. καὶ οὐδεὶς ἀπέστη. καὶ ταῦτα σχεδὸν πᾶσι τῶν οἰκείων ἀπολωλότων. καὶ ἔκλαιον μὲν ἐγκαλυψάμενοι, διέμειναν δὲ ἀκροώμενοι. ἵνα μὴ γένωνται διαφανεῖς τοῖς ἀπὸ τῶν ἄλλων πόλεων θεωροῦσιν, ἀχθόμενοι τῇ συμφορᾷ. καὶ μὴν, τότε καὶ αὐτὸς ὁ παρῳδὸς ὡς ἤκουσε, σιωπᾶν διέγνωκε. καὶ ὅμως ἤνυστο ἡ ὅλη ἀκρόασις διὰ τὴν ἐκ τῆς παρῳδίας ἡδονὴν τῶν πλειόνων. Τὸ δὲ ἀοιδὸς ἄειδε, τρόπος καὶ αὐτὸ ἐτυμολογίας ἐστὶν ὡς καὶ τὸ κτέρεα κτερεΐξαι. ἀπὸ γὰρ τοῦ ἀείδω, γίνεται ἀοιδὸς ἐξ αὐτοῦ δὲ καὶ τὸ ἀοιδιῶ ῥῆμα παρ' Ὁμήρῳ, καὶ ὁ ἀοίδιμος. (ῃερς. 328.) Ὅτι τὴν αἰτίαν τοῦ ἐν τῷ νόστῳ δυστυχῆσαι τοὺς Ἀχαιοὺς ἥτις ἦν ἡ τοῦ Λοκροῦ Αἴαντος ἀσέλγεια ἐνώπιον τοῦ τῆς Παλλάδος ἀγάλματος, σιωπᾷ ὁ ποιητής. χόλῳ μὲν Ἀθηνᾶς λέγων κακῶς ἀπαλλάξαι τοὺς Ἕλληνας ἐν τῷ τοῦ νόστου καιρῷ, τὴν δὲ αἰτίαν οὐ διατυπούμενος. φησὶ γάρ. Ἀχαιῶν νόστον λυγρὸν ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη. ἐρεῖ δὲ καὶ ἀλλαχοῦ, ὅτι πολλοὶ Ἀθηνᾶς μήνιδι, κακὸν οἶτον ἐπέσπον. ἔνθα καὶ αἰτίαν μέν τινα ἐρεῖ οὐ πάνυ δὲ σαφῆ. σημειωτέον οὖν ὅτι οὐ βούλεται ὁ ποιητὴς ταῖς τῶν ἱστοριῶν ἀσέμνοις ἐμπλατύνεσθαι. Τὸ δὲ ἐπετείλατο Ἀθηνᾶ, ἀντὶ τοῦ ἐνετείλατο. ἐπέτρεψε. καὶ ἔστιν οὐ πόῤῥω ἀστείου τὸ νόημα. ὅμοιον ὂν τῇ ἐννοίᾳ τοῦ ἀποκαρτερεῖν καὶ ταῖς λοιπαῖς τῶν ἀρχόντων ἐπιταγαῖς. οἳ πολλάκις τοῖς καταδίκοις αὐτοῖς θνήσκειν ἐπετέλλοντο καὶ ἐκεῖνοι ἔθνησκον. Ὅτι τὸ ὑπερῷον προσγεγραμμένον ἔχει τὸ ἰῶτα, ὡς δῆλον ἐκ τοῦ, ὑπεροϊόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδήν. οὕτω δὲ καὶ τὸ ζῷον, ὡς δῆλον ἐκ τοῦ, ζῴδιον κύκλον. συνεξακολουθοῦσι γὰρ τῷ, πατρῷος μητρῷος καὶ τοῖς τοιούτοις. Λέγεται δὲ ὑπερῷον, τὸ ὑπερκείμενον οἴκημα. ᾦα γὰρ κατὰ γλῶσσαν, τὰ οἰκήματα. διὸ καὶ κλίμακος δέεται ὑψηλῆς ἐνταῦθα ἡ τοῦ ὑπερῴου ἄνοδός τε καὶ κάθοδος. ὡς δηλοῖ τὸ, κλίμακα δ' ὑψηλὴν κατεβήσατο. (ῃερς. 329.) Τὸ δὲ σύνθετο φρεσὶν, ἀντὶ τοῦ ἐπιμελῶς ἤκουσε. νοῦς γὰρ ὥσπερ ὁρᾷ, οὕτω καὶ ἀκούει. Ὅτι σύνηθες ἦν τὸ παλαιὸν, φοιτᾶν τὰς γυναῖκας εἰς τὰ τῶν ἀνδρῶν συμπόσια. ὡς καὶ ἐν τοῖς ἑξῆς ἡ Ἑλένη ἐπιδημεῖ τῇ εὐωχίᾳ τοῦ ἀνδρὸς, μετὰ τῶν ἐπιξενωθέντων βασιλικῶν παίδων. καὶ ἡ Ἀρήτη δὲ τῷ συμποσίῳ τῶν Φαιάκων πάρεστι. καὶ ἡ Ναυσικάα ἡ θυγάτηρ αὐτῆς. καὶ ἡ Πηνελόπη οὖν, σωφρόνως ἐνταῦθα καὶ αἰδημόνως ἐφίσταται τῷ τῶν μνηστήρων συμποσίῳ, οὐκ ἔχουσα ἱλαρῶς τοῦ προσώπου, ἀλλὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δακρύουσα. οὐδὲ τὸ κάλλος ἐκφαίνουσα. ἄντα δὲ παρειάων σχομένη λιπαρὰ κρήδεμνα. τουτέστι κρηδέμνῳ καλυπτομένη τὰς παρειάς. ἔχουσα δὲ καὶ ἀμφιπόλους δύο ἐφεπομένας συνετάς. καὶ ἐν τοῖς ἑξῆς δὲ, συχνὰ ἐπιφαίνεται τοῖς μνηστῆρσι, ψυχαγωγοῦσα καὶ διαπεταννύουσα τὰς ἐκείνων ψυχὰς, καὶ μετεωρίζουσα ταῖς ἐλπίσιν. ἵνα μὴ τῷ ἄγαν ἔρωτι ἐνισχόμενοι καὶ μὴ δὲ πρὸς μόνην θέαν τῆς ἐρωμένης ἐπαπολαύοντες, παράβολόν τι τολμήσωσι. καὶ ὅτε οὖν μελετᾶν μάθοι τοὺς μνηστῆρας τὸν τοῦ παιδὸς θάνατον, φησὶν ὁ ποιητής. ἡ δὲ, ἄλλο ἐνόησε. μνηστήρεσσι φανεῖναι. καὶ Ὀδυσσέως δὲ ἐλθόντος, ἐπιφαίνεται. καὶ δῶρα παρέλκει τῶν μνηστήρων. καὶ Ὀδυσσεὺς χαίρει τῷ ἔργῳ. Ἰστέον δὲ ὅτι τὸ, ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα, παραφράσασα ἡ τραγῳδία, ἔφη. οὐ προκαλυπτομένη βοστρυχώδεος ἁβρὰ παρηΐδος. ἤγουν οὐ καλύψασα τὴν τοῦ προσώπου ἁβρότητα. (ῃερς. 334.) Ὅτι ἐν τῷ, ἔστη παρὰ σταθμὸν τέγεος, σταθμὸν μὴν λέγει τὴν παραστάδα, ἢ τὴν βάσιν τοῦ οὐδοῦ. τέγος δὲ, τὸν ὅλον δόμον ἀπὸ μέρους ἀναγκαιοτάτου τοῦ στέγους. ὅπερ οἷον κεφαλή ἐστιν οἴκου. καθὰ καὶ τὸν ἄνθρωπον ἀπὸ τῆς κεφαλῆς λαλεῖ, οὐ μόνον ἐν τῷ, Τεῦκρε φίλη κεφαλὴ, 1.64 καὶ ἐν τῷ, φίλης κεφαλῆς ὀλετῆρα, καὶ, Ἑκτορέης κεφαλῆς ἄποινα, ἀλλὰ καὶ ἐνταῦθα ἐν τῷ, τοίην γὰρ κεφαλὴν ποθέω. ἤτοι τὸν Ὀδυσσέα. Ἰστέον δὲ ὅτι σταθμὸς λέγεταί ποτε, καὶ οἴκημα εὐτελὲς ἀγροτικόν. καὶ ζωοστάσιον. καὶ ὄργανον σταθμήσεως. Καὶ ὅτι τὸ τέγος, κατ' ἔλλειψίν ἐστι τοῦ σίγμα, ὥσπερ τὸ σμικρὸν μικρόν. ἡ δὲ χρῆσις τοῦ τέγους, καὶ παρὰ Θουκυδίδῃ. ἀναβάντες ἐπὶ τὸ τέγος καὶ διελόντες τὴν ὀροφὴν, ἔβαλλον τῷ κεράμῳ. εἰκὸς δὲ καὶ ἄλλως, ἀπὸ τοῦ τέγγω γίνεσθαι τέγος. εἶτα πλεονασμῷ, στέγος. τέγγεται γὰρ ὑετοῖς πρὸ τῶν ἄλλων τὸ στέγος. οὕτω δὲ προϋπόκειται καὶ ὁ μικρὸς καθὰ καὶ ὁ μικός. εἶτα ἐπιτείνεται διὰ τοῦ ζμικρὸς ἤγουν ζαμικρός. καὶ διὰ τὸ εὐσύντακτον τῶν στοιχείων, σμικρός. (ῃερς. 335.) Ὅτι ἐν τῷ, ἄντα παρειάων σχομένη ὡς ἐῤῥέθη λιπαρὰ κρήδεμνα, ἐμφαίνεται ὡς οὐ μόνον δεσμός ἐστι κεφαλῆς τὸ κρήδεμνον, ἀλλὰ καὶ καταπέτασμά τι πλατὺ, εἴπερ καὶ εἰς παρειὰς καθέλκεται καὶ ἐπικαλύπτει αὐτάς. Τὸ δὲ σχομένη, μέσου ἀορίστου δευτέρου ἐστὶν ὡς ἀπὸ τοῦ ἔσχον ἐνεργητικοῦ. Ἰστέον δὲ ὅτι τὲ τὸ, ἄντα παρειάων σχομένη κρήδεμνα, ταυτόν ἐστι τῷ, παρακαλυψαμένη ὑπὸ αἰδοῦς. καὶ ὅτι τοῦ σχομένη, ἐν χρήσει ἐστὶ καὶ ὁ μέσος ὁ, ἐσχόμην. ἐξ οὗ καὶ τὸ σχέσθαι καὶ ἀνασχέσθαι. αὐτῶν δὲ προϋπάρχει, τὸ σχεῖν. ᾧ πολλαὶ προθέσεις κολλώμεναι, ἀποτελοῦσι διάφορα σημαινόμενα χρηστὰ τοῖς ῥητορεύουσι. Λιπαρὰ δὲ λέγει, τὰ λευκὰ ὥς φασιν οἱ παλαιοὶ καὶ λεῖα καὶ εὐαφῆ, καθ' ὁμοιότητα τοῦ λίπους. ἢ λιπαρὰ, ὁποῖα φοροῖεν ἂν αἱ λιπῶσαι τουτέστιν αἱ τρυφῶσαι καὶ μὴ κατ' ἄλλον λόγον νήλιποι. τὸ γὰρ λιπαρὸν, καὶ ἐπὶ τρυφώντων τίθεται. ὡς ἐν τῷ, αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα. τρυφῶντας γάρ τινας ἱστορῶν, τοῦτο φησὶν ὁ ποιητής. Κρήδεμνον δὲ, ἔστι μὲν κεφαλῆς δέμα, ἢ δέμνιον. λέγεται δέ που καὶ κεφαλῆς ἐπίκρανον τραγικώτερον. ὡς δὲ καὶ πίθου κρήδεμνον λέγεται τὸ περὶ αὐτὸν πῶμα, δηλώσει Ὅμηρος ἐν τοῖς ἑξῆς. ἡ δὲ τραγῳδία, καὶ τειχέων λέγει κρήδεμνα, τὰς περὶ αὐτὰ στεφάνας. τροπικὰ δὲ ταῦτα. πίθου τὲ γὰρ κεφαλὴ ὥσπερ καὶ χείλη, τὰ ἐκείνου ἄνω ἄκρα, καὶ τείχους δὲ ὁμοίως. οὕτω δὲ καὶ γυναικός. διὸ προσαρμόττει τούτοις, ἡ τοῦ κρηδέμνου λέξις. τῷ δέ γε τείχει, καὶ αἱ στεφάναι ὡς οἱ στέφανοι τῇ γυναικί. (ῃερς. 336.) Ὅτι ἀμφίπολος κεδνὴ, ἡ συνετὴ καὶ κηδεμονική· ἀπὸ τοῦ κήδω κηδανὴ καὶ συστολῇ καὶ συγκοπῇ, κεδνή. οὕτω δὲ καὶ φίλοι κεδνότατοι ἐν Ἰλιάδι, οἱ ὡς αὐτὸς ἀλλαχοῦ λέγει, κήδιστοι. οὐ μόνον δὲ ἀμφίπολος κεδνὴ ὡς καὶ ἐν τοῖς ἑξῆς ἡ Εὐρύκλεια, ἀλλὰ καὶ γυνὴ κεδνή. ὡς τὸ, ἶσα δέ μιν κεδνῇ ἀλόχῳ τῖε. τὸ δὲ κεδνὴ, καὶ κεδνὰ εἰδυῖα μετ' ὀλίγα ἐρεῖ, περιφράσας. τὴν δ' αὐτὴν καὶ πυκιμήδεα ὀνομάζει. ὃ σύστοιχόν ἐστι τῷ, πυκινὰ καὶ πεπνυμένα μήδεα εἰδέναι. (ῃερς. 338.) Ὅτι οἰκεῖον ῥηθῆναι πρός τινα λόγιον πένθιμα λαλοῦντα τὸ, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας, τούτων ἕν τι ἄειδε.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταύτης δ' ἀποπαύεο ἀοιδῆς λυγρῆς. ἥ τέ μοι ἐν στήθεσσι φίλον κῆρ τείρει. ὅπερ ὁ μὴ πάσχων, ἀτεράμων ἐστίν. ἤγουν μὴ τειρόμενος τὸ κῆρ. Ὅρα δὲ ἐνταῦθα ὅτι τὲ ἐν ἀρχῇ λόγου τὸ ¯γ¯α¯ρ ἔθετο συνήθως ἑαυτῷ ὁ ποιητὴς ἐν τῷ, πολλὰ γὰρ ἄλλα ἀντὶ τοῦ ἐπειδὴ πολλὰ ἄλλα, καὶ ὅτι τὸ θέλγειν ἡδονῆς τι ἔχειν δοκεῖ. ὡς καὶ πρὸ ὀλίγου τὸ, ἀεὶ δὲ μαλακοῖς καὶ αἱμυλίοις λόγοις θέλγει. ὡς ἐπὶ πλεῖστον δὲ, θέλγειν παρὰ τῷ ποιητῇ ὡς πολλαχοῦ φανήσεται, τὸ οἷον ἐξεστηκέναι καὶ τῆς κατὰ φύσιν ἐνεργείας ὑφίεσθαι. (ῃερς. 339.) Ὅτι τὸν ὁρισμὸν τῆς φιλοσοφίας τὸν λέγοντα ὡς φιλοσοφία ἐστὶ γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων, Ὅμηρος πρῶτος ὑπενόησεν ἐν οἷς περὶ τοῦ ἀοιδοῦ ἤτοι φιλοσόφου Φημίου, λέγει ὡς πολλὰ εἶδεν ἔργα ἀνδρῶν τε θεῶν τε. ἐκ μὲν γὰρ τοῦ οἶδεν, ἡ γνῶσις δηλοῦται τοῦ φιλοσόφου. ἐκ δὲ τοῦ ἀνδρῶν τε θεῶν τε, τὸ ἀνθρώπινον καὶ θεῖον παρωνόμασται. Ὅτι δὲ οἱ ἀοιδοὶ φιλοσόφων τάξιν ἐπεῖχον ἐν τοῖς ἑξῆς φανήσεται. Ὅτι τὸ, ἃ κλείουσιν ἀοιδοὶ, ἀντὶ τοῦ θείως φημίζουσι. καὶ ἔστιν ἕτερον παρὰ τὸ, τὴν γὰρ ἀοιδὴν ἐπικλείουσιν ἄνθρωποι. ἐκεῖνο γὰρ, ἀντὶ τοῦ τιμῶσιν εἴληπται. (ῃερς. 341.) Ὅτι τὸ, οἱ δὲ σιωπῇ οἶνον πινόντων, ἀντὶ τοῦ πινέτωσαν εἴρηκε. πολλὰ δὲ τοιαῦτα καὶ ἐν τῇ Ἰλιάδι σχήματα. καὶ εἴρηται περὶ τούτων ἐκεῖ. Ὅρα δὲ ὅτι μνησθεὶς οἴνου μόνου, ἐσιώπησε τὸ ἐσθίειν. οὕτω δὲ καὶ τὸ συμπόσιον ἐκ μέρους τῆς πόσεως παρονομασθὲν ἀφίησι καὶ τὴν βρῶσιν συνεπινοεῖν. (ῃερς. 343.) Ὅτι Ὅμηρος μὲν ἐν τῷ, ἐπεί με μάλιστα καθίκετο πένθος ἄληστον, τὸ καθίκετο, ἀντὶ τοῦ ἵκετο καὶ κατέλαβε λέγει. οἱ δὲ ὕστερον, ἐπὶ τοῦ καθάψασθαι τὴν λέξιν τιθέασι, καὶ γενικῇ συντάσσουσιν. οὕτω γὰρ καὶ ῥάβδῳ τις καθικέσθαι τινὸς λέγεται. (ῃερς. 344.) Ὅτι θαυμάζουσα ἡ Πηνελόπη τὸν ἄνδρα φησί. τοίην κεφαλὴν 1.65 ποθέω. μεμνημένη αἰεὶ ἀνδρὸς οὗ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος. κεφαλὴν δὲ, ἢ τὸν ἄνδρα φησὶν ἤτοι τὸν ἄνθρωπον ἀπὸ τοῦ τιμιωτάτου μέρους ὡς καὶ ἐν Ἰλιάδι, Τεῦκρε φίλη κεφαλὴ, διὸ καὶ ἐπάγει, μεμνημένη ἀνδρός. ἢ κεφαλὴν, τὴν ψυχὴν λέγει, ὡς καὶ ἐν τῇ Ἰλιάδι εἰπὼν· ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν, ἀλλαχοῦ φησὶν ἰφθίμους κεφαλὰς Ἄϊδι προϊάψειν, ὡς ἀδιάφορον ὂν οὕτως ἢ οὕτως εἰπεῖν. Ὅρα δὲ ὅτι ἀφελῶς ἡ Πηνελόπη λαλεῖ, καὶ στενοχωρεῖ τὸ τοῦ Ὀδυσσέως ἐγκώμιον καὶ σμικρύνει τὸν ἔπαινον. τί γὰρ μέγα εἰ μόνον καθ' Ἑλλάδα, καὶ μέσον Ἄργος ὁ τοσοῦτος Ὀδυσσεὺςκλεΐζεται; Ἄργος μὲν γὰρ συνήθως, ἡ ὅλη Πελοπόννησος. Ἑλλὰς δὲ, πόλις ὑπὸ τῷ Πηλεῖ καὶ τῷ Ἀχιλλεῖ. ὡς εἶναι περὶ τὸ τοιοῦτον Ἄργος καὶ τὴν τοιαύτην Ἑλλάδα, τὸ τοῦ Ὀδυσσέως κλέος. μερκὸς οὖν ὁ ἔπαινος εἴληπται καὶ οὐ πρὸς ἀξίαν τοῦ Ὀδυσσέως. οὐ μόνον διότι τὸ τοῦ ἀνδρὸς ἠγνόει πολυγνώριστον ἡ γυνὴ, ἀλλὰ καὶ ὅτι ἔπρεπε γυναικὶ τὸ εὐτελὲς καὶ ἡ τοιαύτη τοῦ ἐγκωμίου ἀφέλεια. καὶ ταῦτα ἐξ αὐτοσχεδίου καὶ παρὰ μέσῳ τῷ τῶν μνηστήρων συμποσίῳ. ἄλλως γὰρ, πολυγνώριστος ὁ Ὀδυσσεὺς, ὁ πᾶσιν ἀνθρώποις μελλόμενος ὡς ἀλλαχοῦ λέγεται. ὃς ἐπίστροφος ἦν ἀνθρώπων ὡς προείρηται. ὁ πολυπλάνητος. καὶ οὕτω μὲν ἡ γυνὴ περὶ Ὀδυσσέως. αὐτὸς μέντοι τὴν Πηνελόπην που ἐπαινῶν, λέγει ὅτι σοῦ τὸ κλέος οὐρανὸν εὐρὺν ἱκάνει. καὶ τὰ ἑξῆς. εἰ δέ τις ὡς ἀπὸ μέρους τοῦ Ἄργους ἐξ οὗ παρὰ τῷ ποιητῇ Ἀργεῖοι πάντες οἱ Ἀχαιοὶ, ἔτι δὲ καὶ ἀπὸ τῆς Ἑλλάδος ἀφ' ἧς τὸ τῶν Ἑλλήνωὥρμηται ὄνομα, κατὰ πάντας εἴπῃ διήκειν τοὺς Ἕλληνας τὸ τοῦ Ὀδυσσέως κλέος, καὶ οὐχ ἁπλῶς κλέος, ἀλλὰ καὶ εὐρὺ, λέγει μέν τι κάλλιον, οὔπω δὲ μέγα. Ὀδυσσέως γὰρ, ἕως καὶ εἰς Ἰβηρίαν, ἴχνη τοῦ κλέους. οἶδε αὐτὸν καὶ ἡ Σικηλικὴ χώρα. καὶ οὐκ ἠγνόει δὲ οὐδ' ἡ τῶν Αὐσόνων. ἡ δὲ Τρωϊκὴ, οὐδὲν ἔλαττον. ὁμοίως καὶ ἄλλοι τόποι πολλοί. οὔκουν οὐδὲ οὕτω πάνυ μέγα τὸ ἐγκώμιον τὸ ἀπὸ τῆς γυναικός. ὡς νῦν γε εἴ τινα τῶν λόγου ἀξίων ἐξᾶραί τις τῷ λόγῳ θέλων, εἴπῃ εὐρὺ τὸ κλέος αὐτοῦ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος, οὐδὲν ἂν εἴπῃ σεμνόν. ἀλλὰ καὶ μᾶλλον ἀποφήσας, ἐρεῖ ὡς οὐ καθ' Ἑλλάδα μόνον καὶ μέσον Ἄργος κλεΐζεται, ἀλλὰ καὶ περὶ πᾶσαν ὅσην ἥλιος περιδέδρομεν. οὕτω καὶ Λιβάνιος ἐν τοῖς εἰς τὸν Ἰουλιανὸν σχηματίζει τὸ, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γράψας οὐκ Ἀχαΐδα μόνον,καὶ τὰ ἑξῆς. τάχα δὲ ἡ Πηνελόπη οὐκ ἀφελῶς οὕτως ἐλάλησεν, ἀλλὰ τὸ ἐκ βαρβάρων κλέος οὔτε εὐρὺ οὔτε σεμνὸν ἡγουμένη, τὴν Ἑλληνικὴν τῷ ἀνδρὶ μόνην ἐπεμαρτύρατο εὔκλειαν. καὶ ταῦτα μὲν οὕτω. Πηνελόπη δὲ λέγεται, ἢ παρὰ τὸ πένεσθαι περὶ λόπος. λόπος δὲ ἐστὶν ὕφασμα λεπτὸν κατὰ κρομύου λοπὸν ὅ φησιν ὁ ποιητὴς, ἐξ οὗ κατὰ ἔκτασιν, λώπιον. καὶ ὁ ἐπιβουλεύων αὐτῷ λωποδύτης. ἢ παρὰ τὸ πηνίον ἑλεῖν. πηνίον δέ ἐστιν, ὁ μίτος. ἐξ οὗ καὶ χρυσεοπήνιτον ἄμφιον. καὶ ἐκπηνίζω ῥῆμα παρὰ τῷ κωμικῷ, καὶ ἐκπηνιεῖται ὅ ἐστι μηρύσεται. καὶ κατὰ Παυσανίαν, ἐξειλήσει εἰς πηνίον. καὶ ἔστι κατὰ τὴν ἐτυμολογίαν ταύτην τὸ Πηνελόπη, κλῆσις ἱστουργῷ γυναικὶ πρέπουσα. τὸ μέντοι διαπηνικίζειν ὅ ἐστι διακεφαλαιοῦν καὶ ἀπατᾶν, οὐκ ἐντεῦθέν ποθεν παρῆκται, ἀλλ' ἀπὸ τῆς πηνήκης ἣ περικεφαλαίαν δηλοῖ περίθετον ἐκ τριχῶν. οὐ μόνον γυναιξὶν ἀλλὰ καὶ γυναικιζομένοις ἀνδράσι χρηστὴν οἳ τριχῶν ἐψίλωνται. γίνεται δὲ ἡ τοιαύτη πηνήκη, κατὰ τροπὴν παρὰ τὴν φενάκην ἐπειδὴ φενακίζει τοὺς ὁρῶντας. καὶ τοῦτο μὲν, τοιοῦτον. τὴν δὲ Πηνελόπην, Δίδυμος φησὶν Ἀμειράκην ἢ Ἀρνακίαν κυρίως καλεῖσθαι. Ναυπλίου δὲ ῥίψαντος αὐτὴν εἰς θάλασσαν διὰ τὴν τοῦ υἱοῦ Παλαμήδους ποινὴν, ὑπὸ πηνελόπων ὀρνέων σωθεῖσαν ὧν ἡ εὐθεῖα πηνέλοψ, οὕτω μετονομασθῆναι. (ῃερς. 347.) Ὅτι τὸ φθονεῖν κἀνταῦθα, ἐπὶ κωλύσεως καὶ μέμψεως τίθεται. φησὶ γάρ. τί φθονέεις ἐρίηρον ἀοιδὸν, τέρπειν ὅπῃ οἱ νόος ὄρνυται; καὶ ἐν τοῖς ἑξῆς δὲ, ἐπὶ τοιούτου σημαινομένου ἡ λέξις εὑρεθήσεται. οὕτω καὶ Εὐριπίδης νοῶν, φησίν. ὡς ἀποκτείνειν φθόνος γυναῖκας ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε. φθόνον γὰρ, τὴν μέμψιν λέγει. καὶ Ἑρμογένης δὲ, ἀνεπίφθονόν που φησὶ τὸ ἄμεμπτον. Τὸ δὲ ἐρίηρος, δηλοῖ μὲν τὸν ἐναρμονίως ᾄδοντα, παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. μετηνέχθη δὲ καὶ εἰς φιλίαν, ὅθεν ἐρίηρες ἑταῖροι λέγονται. ἀπὸ δὲ τοῦ ἀρῶ, καὶ ἄρος τὸ ὄφελος παρ' Αἰσχύλῳ ἐν Ἱκέτισι. βρότεος ἄρος, ἄτα. ἤτοι τὸ εὖ τῶν βροτῶν καὶ τὸ ὄφελος, ἄτη ἐστίν. (ῃερς. 349.) Ὅτι τὸ, οὐ δὴ ἀοιδοὶ αἴτιοι ἀλλά ποθι Ζεὺς αἴτιος, ἀντὶ τοῦ οὐ κεῖνται ὑπὸ αἰτίωσιν οἱ ἀοιδοὶ, τὰς δυσπραγίας τῶν ἀνθρώπων ᾄδοντες. οὐ γὰρ διότι αὐτοὶ ᾄδουσι, διατοῦτο τοιῶσδε ἀπέβη τὰ πράγματα. ἀλλὰ ἔμπαλιν τοιῶσδε συμπεσόντα, οἱ ἀοιδοὶ ᾄδουσι. καὶ ἔστιν ὅμοιον τούτῳ, καὶ τὸ Σοφόκλειον. τὸ, τὰ ἔργα τοὺς λόγους εὑρίσκεται. 1.66 Ἰστέον δὲ ὅτι αἴτιον ἀεὶ παρ' Ὁμήρῳ, τὸ τὴν αἰτίαν τοῦ γινομένου ἔχον. οἱ δὲ μεθ' Ὅμηρον καὶ ἐπὶὑπευθύνων τὴν λέξιν τιθέασιν ὡς δηλοῖ ὁ γράψας τὸ, αἴτιος ὁ γράψας αἴτια Καλλιμάχου, ἤγουν ὑπεύθυνος καὶ κολάσεως ἄξιος. (ῃερς. 350.) Ὅτι ἁρμόσει ἐπὶ θεοῦ ἢ βασιλέως εἰπεῖν τὸ, ὃς δίδωσιν ἀνδράσιν ἀλφηστῇσιν ὅπως ἐθέλῃσιν ἑκάστῳ. Ἰστέον δὲ ὅτι καὶ ἐνταῦθα τῷ τῶν ἀνδρῶν ὀνόματι, καὶ τὸ θῆλυ γένος συνυπακούεται. καὶ ὅτι ἀλφησταὶ κοινῶς, οἱ ἄνθρωποι ὡς ἐφευρετικοὶ καὶ ἐπινοητικοὶ τεχνῶν τε καὶ μηχανῶν καὶ βουλευμάτων καὶ ἑτέρων ὧν τοῖς ἀλόγοις οὐ μέτεστιν. ἀλφῶ γὰρ τὸ εὑρίσκω. ἐξ οὗ τὸ ἀλφαίνειν παράγωγον, καὶ τὸ τιμαλφεῖν. καὶ τὸ τιμαλφές. τούτου ὁ μέλλων, οὐ μόνον ἀλφήσω ἐξ οὗ ἀλφηστὴς, ἀλλὰ καὶ ἀλφέσω, ἐξ οὗ ἀλφεσίβοιαι. ὡς δὲ καὶ ἰχθύων ὄνομα οἱ ἀλφησταὶ, ἱστόρηται. διὸ πρὸς διαστολὴν ἴσως ἔγραψεν Ὅμηρος, τὸ ἀνδράσιν ἀλφηστῇσιν. Ὅρα δὲ καὶ τὸ ἑκάστῳ ὅπως ἐπιμεριστικόν ἐστι πλήθους καὶ διαιρετικὸν τοῦ καθόλου εἰς μερικόν. εἰπὼν γὰρ ἀνδράσι πληθυντικῶς, ἐπάγει. ἑκάστῳ. ἴδε δὲ καὶ τὴν τάξιν καινοτέραν οὖσαν. ἡ μὲν γὰρ συνήθεια φησὶν ἀνδρῶν ἑκάστῳ, οὗτος δὲ φησὶν ἀνδράσιν ἑκάστῳ. ὡς ταυτὸν ὂν ἀνδράσι πληθυντικῶς καὶ ἑκάστῳ ἑνικῶς, διὰ τὴν τοῦ πλήθους εἰς τὰς οἰκείας μονάδας ὅλας διαίρεσιν. (ῃερς. 351.) Ὅτι κατὰ τὸ, οὐ νέμεσις τοιῇ δ' ἀμφὶ γυναικὶ μάχεσθαι ὡς καὶ ἐν Ἰλιάδι κεῖται, φησὶ καὶ ἐνταῦθα τούτῳ δ' οὐ νέμεσις Δαναῶν κακὸν οἶτον ἀείδειν. ἤγουν τὴν Ἑλληνικὴν κακοτυχίαν. (ῃερς. 352.) Ὅτι γνωμικῶς λέγει τὸ, ταύτην ἀοιδὴν μᾶλλον ἐπικλείουσιν ἄνθρωποι ἥ κεν ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται. παράδειγμα δὲ τοῦ λόγου, καὶ Ἀθηναῖοι. οἷς ἀεὶ ἔφεσις ἦν καινόν τι ἀκούειν. Καὶ ὅρα τὸ, μᾶλλον. καὶ τὸ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νεωτάτη. χαίρουσι μὲν γὰρ καὶ ἁπλῶς ταῖς ἀοιδαῖς ἄνθρωποι, μᾶλλον δὲ τῇ νέᾳ. καὶ μάλιστα τῇ νεωτάτῃ. ἐνταῦθα δὲ χρήσιμον καὶ τοῦ Πινδάρου τὸ, αἴνει παλαιὸν μὲν οἶνον ἄνθεα δ' ὕμνων νεωτέρων. ἐπαινεῖ γὰρ καὶ ἐκεῖνος ὁ κατὰ τοὺς παλαιοὺς μεγαλοφωνότατος, τὴν νεωτάτην ἀοιδήν. Εὔβουλος δέ φασιν ὁ κωμικὸς, ἀντὶ νέας ἀοιδῆς ἄνδρα μεταλαβὼν, παίζει οὕτως. ἄτοπόν γε τὸν μὲν οἶνον εὐδοκιμεῖν παρὰ ταῖς ἑταίραις τὸν παλαιὸν, ἄνδρα δὲ μὴ τὸν παλαιὸν ἀλλὰ τὸν νεώτερον. λέγεται δὲ καὶ Ἄλεξις σχεδόν τι ἀπαραλλάκτως οὕτω γράψαι. καὶ Τιμόθεος δέ φασιν ὁ Μιλήσιος, γράφει οὕτως. οὐκ ἀείδω τὰ παλαιά. καινὰ γὰρ κρείσσω. νέος ὁ Ζεὺς βασιλεύει. τὸ παλαιόν δ' ἦν Κρόνος ἄρχων. ἀπίτω μοῦσα παλαιά. τὸ δ' αὐτὸ καὶ ἐπὶ καινῶν ἐγχειρημάτων ἐγνωματεύθη. φησὶ γοῦν Ἀντιφάνης. ἓν καινὸν ἐγχείρημα κἂν τολμηρὸν ᾖ, πολλῶν ἐστι παλαιῶν χρησιμώτερον. συντελεῖ δέ τι ἐνταῦθα καὶ τὸ, ἢ δρῶν τι φαίνου καινὸν παρὰ τοὺς ἔμπροσθεν, ἢ μή με κόπτε. τῇ δὲ Ὁμηρικῇ ἐννοίᾳ σύμφωνος καὶ ἡ κατὰ τὸν Εὔπολιν. εἰπόντα ὡς ἡ μουσικὴ, πρᾶγμ' ἐστὶ βαθύ τι καὶ καμπύλον, ἀεί τε καινὸν ἐξευρίσκει τι τοῖς ἐπινοεῖν δυναμένοις. Ἀναξίλας δὲ ὁ κωμικὸς ὑποπαίζων πρὸς ὁμοιότητα τούτου, ἔφη, ὅτι ἡ μουσικὴ ὥσπερ Λιβύη ἀεί τι καινὸν κατ' ἐνιαυτὸν τίκτει θηρίον. ὑποπαίζειν δὲ οὗτος ἐῤῥέθη, ἐπειδὴ οὐ καθαρῶς ἐπαινεῖ τὰς ὡς ἑκάστοτε νέας ἀοιδάς. ἀλλὰ διὰ τὸ ἐργῶδες, ὡς εἰς θηρίου ἀνάγει τὸ πρᾶγμα εἰκόνα. (ῃερς. 354.) Ὅτι παρηγορητικὸν ἀνθρώπου ἐπὶ ἀποφήμῳ ἀκοῇ τὸ, σοὶ δ' ἐπιτολμάτω κραδίη καὶ θυμὸς, ἀκούειν. (ῃερς. 355.) Ὅτι παραμυθία τις τῷ δυσπραγοῦντι, τὸ πρὸς ἄλλους ὁμοιοπαθές. διὸ παραμυθούμενος ὁ Τηλέμαχος φησὶ τῇ μητρὶ, τλῆναι διότι οὐ μόνον Ὀδυσσεὺς ἀπώλεσε νόστιμον ἦμαρ ἐν Τροίᾳ. πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο. τὸ δὲ ἐν δυσπραγίαις μονῆρες, οἴκτιστόν ἐστι. διὸ καὶ ἡ τραγῳδία φησί. τὸ γὰρ εἰσλεύσειν οἰκεῖα πάθη μηδενὸς ἄλλου παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει. (ῃερς. 357.) Ὅτι τὰ γυναικεῖα ἔργα στενοχωρεῖ κἀνταῦθα ὁ ποιητὴς εἰς ταλασιουργίαν καὶ εἰς τὸ ταῖς ἀμφιπόλοις ἐπιτάσσειν. μῦθον μέντοι, μὴ πρέπειν φησὶ γυναιξὶν, εἴγε κατὰ τὸ ὑμνούμενον, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. φησὶ γοῦν ὁ Τηλέμαχος τῇ μητρί. εἰς οἶκον ἰοῦσα, τὰ σαυτῆς ἔργα κόμιζε. ἱστόν τ' ἠλακάτην τε. καὶ ἀμφιπόλοισι κέλευε ἐποίχεσθαι. μῦθος δ' ἄνδρεσσι μελήσει πᾶσι, μάλιστα δ' ἐμοί. τοῦ γὰρ κράτος ἐστ' ἐνὶ οἴκῳ. Ἰστέον δὲ ὅτι τὸ νόημα τοῦτο μετεχειρίσατό που καὶ ὁ Ἕκτωρ πρὸς Ἀνδρομάχην αὐταῖς λέξεσι, τὸτέλος μόνον παραλλάξας. καὶ ἀντὶ τοῦ μῦθος, εἰπών. πόλεμος δ' ἄνδρεσσι μελήσει. διδάσκοντος τοῦ ποιητοῦ, ὅπως παρῳδητέον τὰ ἔπη. (ῃερς. 357.) Ἰστέον δὲ καὶ ὅτι τὸ εἰς οἶκον ἰέναι, ταυτόν ἐστι τῷ οἰκουρεῖν. ὅθεν οἰκούρια παρὰ τοῖς παλαιοῖς ὡς οἷον οἰκοφυλάκια, τὰ ὑπὸ μητέρων παιδίοις ὑπολειπόμενα παίγνια. ἐκ δὲ τοῦ οἴκου, καὶ οἰκίσκος παρὰ Ἀριστοφάνει, περδικοτροφεῖον. οἷον. τί δὲ 1.67 τὸν ὀρνίθειον οἰκίσκον φέρεις; καὶ οἰκεὺς παρὰ τοῖς παλαιοῖς Ἀθηναίοις, ὁ οἰκογενὴς οἰκέτης. καὶ οἰκέται, οἱ κατὰ τὴν οἰκίαν πάντες. καὶ οἰκοπορεῖα, τὰ κατ' οἰκίαν σκεύη. καὶ οἰκόσιτος, ὁ οἴκοθεν ἤτοι τὰ ἑαυτοῦ ἐσθίων. ἢ μισθωτὸς τρέφων ἑαυτόν. καὶ οἰκοτρύβλιον, οἰκογενὲς παιδάριον. ταῦτα πάντα τῶν παλαιῶν. οἵ φασιν, ὡς ἐκεῖθεν καὶ οἰκουρὸς δράκων φύλαξ τῆς Πολιάδος. ἤγουν ἐν τῷ νεῷ τῆς Πολιάδος διαιτώμενος. ὃ τινὲς προπερισπῶσι καθ' ὁμοιότητα τοῦ μῶρος, ἵνα ᾖ οἰκοῦρος ὡς μῶρος. (ῃερς. 358.) Ἠλακάτη δὲ λέγεται, τὸ ἐριουργὸν ἐργαλεῖον παρὰ τὸ ἠλάσκω τὸ ἐν πλάνῃ εἰλοῦμαι, περὶ ἣν τὸ ἔριον ἠλάσκει. ὃ ἑρμηνεύει τὴν ταλασίαν καὶ τὸ ταλάσιον. κατὰ τὸν εἰπόντα Παυσανίαν, ὅτι ταλάσια τὰ ἐριουργικά. καὶ ταλασία ἡ ἐριουργία. ἠλάκατα μέντοι οὐδετέρως, τά τε περὶ τὴν ἠλακάτην ἔρια ὡς καὶ ἐν τοῖς ἑξῆς δῆλον ἔσται, καὶ τὸ τόξα. ὅθεν Ἄρτεμις χρυσηλάκατος. οἱ δὲ ἠλακατῆνες ὅθεν γίνονται, ζητητέον. ἰχθύες δὲ οὗτοι θαλάσσιοι κωβιώδεις, ταριχευόμενοι ὥς φησι Παυσανίας. ὅτι δὲ ἠλακάτη καὶ ἱστοῦ μέρος ἐστὶν οὐχὶ ὑφαντικοῦ, ἀλλὰ τοῦ κατὰ πλοῖα, δῆλον ἐντεῦθεν. ἱστοῦ τὸ μὲν κατωτέρω, φασὶ, πτέρνα καλεῖται. τὸ δὲ εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέσον, τράχηλος. τὸ δὲ πρὸς τῷ τέλει, καρχήσιον. ᾧ ἐπίκειται τὸ λεγόμενον θωράκιον, τετράγωνον ὂν καὶ ἐπ' αὐτοῦ, ἀνήκουσα εἰς ὕψος ὀξεῖα, ἡ λεγομένη ἠλακάτη. ὁ δὲ ταῦτα γράψας Ἀθήναιος, λέγει ὅτι καὶ ποτήριον ἦν ἐπίμηκες καρχήσιον λεγόμενον. συνηγμένον εἰς μέσον ἐπιεικῶς. ὦτα ἔχον μέχρι τοῦ πυθμένος καθήκοντα. καὶ τάχα φησὶ διὰ τὸ ἀνατετάσθαι πρὸς ὁμοιότητα τοῦ κατὰ νῆας καρχησίου, ὠνόμασται καὶ αὐτό. οὗ μέμνηται καὶ ὁ κατὰ τὴν Ἀλκμήνην μῦθος. φάμενος, τοιοῦτον καρχήσιον δῶρον αὐτὴν λαβεῖν πρὸς Διὸς ὅτε πρῶτον εἰς αὐτὴν ἦλθεν. ἐτυμολογεῖ δὲ αὐτὸς τὸ εἴτε τοῦ πλοίου καρχήσιον εἴτε τὸ ποτήριον, ἐκ τοῦ τραχύσματα ἔχειν κεγχροειδῆ. καὶ εἴρηταί φησι κατ' ἐναλλαγὴν τοῦ ¯ε πρὸς τὸ ¯α, ἀντὶ τοῦ κερχήσιον. βούλεται δὲ, οὕτω πως καὶ Ὅμηρον καρχαλέους λέγειν τοὺς ὑπὸ δίψους κρατουμένους. καὶ οὕτω μὲν ταῦτα. Τὸ δὲ ἀμφιπόλοισι κελεύειν τὴν γυναῖκα, οἰκονομικόν ἐστιν, ἀρέσκον καὶ Θεοφράστῳ, παράγγελμα. ὡς δέον ὂν διὰ τὸ τοῦ ζήλου ὑπερόριον, τὸν μὲν ἄνδρα ὡς τὰ πολλὰ μὴ ἐπιστατεῖν δουλίσι, τὴν δὲ γυναῖκα καὶ αὐτὴν, τῶν θεραπόντων μὴ ἐν χρῷ προΐστασθαι. Τὸ δὲ ἔργον ἐποίχεσθαι, δοκεῖ μὲν ὅμοιον εἶναι τῷ, μνηστῆρας ἐπῴχετο. μᾶλλον δὲ ὁμοιοῦται πρὸς τὸ, ἱστὸν ἐποιχομένην. Μῦθον δὲ, οὐ τὸν ἁπλῶς λόγον ἐνταῦθα φησίν. οὐ γὰρ χρὴ ἄλαλον πάντῃ τὴν γυναῖκα μένειν, λογικὸν καὶ ἄλλως δὲ εἰπεῖν λαλητὸν ζῷον καὶ αὐτὴν οὖσαν, παρὰ δὲ τοῖς ὕστερον καὶ ῥητορεύειν καὶ φιλοσοφεῖν ἐπιβαλομένην ὡς αἱ ἱστορίαι δηλοῦσιν, ἀλλὰ τὸν ἐν μέσῳ ἀνδρῶν. ὁ γὰρ δημηγορικὸς λόγος, ἀνδράσι μελέτω. γυναιξὶ δὲ, οὐ πρέπον ἐστιν. ὅτι δὲ οὐ πρέπει μῦθος καθ' Ὅμηρον γυναιξὶ, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ, γύναι γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. χρήσιμον δ' ἐνταῦθα καὶ Ξενάρχου τὸ, εἶτ' εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες, ὧν ταῖς γυναιξὶν οὐδ' ὁτιοῦν φωνῆς ἔνι; ὡς δηλαδὴ τῶν θηλέων τεττίγων, ἀφώνων ὄντων, καθὰ πολλαχοῦ δηλοῦται. ἀστεῖον δ' ἐνταῦθα τὸ, γυναῖκας ῥηθῆναι κωμικώτερον, τοὺς θήλεας τέττιγας. ἀφορμὴ δὲ τῆσδε τῆς ἀστειότητος, τὸ εἰς ἐντροπὴν παρειλῆφθαι γυναικῶν τὴν τοιαύτην ἔννοιαν. ἃς ἐπιστρέφει πρὸς ἐχεμυθίαν, καὶ ὁ τὴν λάλον χαρακτηρίσας γυναῖκα ἐπὶ σκώμματι τῶν τοιούτων. ἴσως δὲ, καὶ τὸ τὸν ἄνδρα φῶτα λέγεσθαι ἀπὸ τοῦ φῶ τὸ λαλῶ, κατά τι ἐξαίρετον. οὗ γυναιξὶν οὐ μέτεστι. (ηερς. 360.) Τὸ δὲ, τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ, ἀντὶ τοῦ ἐγὼ γὰρ οἰκοδεσποτῶ. ὃ κατωτέρω σαφέστερον φράζει, λέγων. ἀτὰρ ἐγὼ ἄναξ οἴκου ἔσομαι ἡμετέρου. (ηερς. 361.) Ὅτι Πηνελόπη τοῦ παιδὸς ἀνωτέρω εἶπεν, ἀκούσασα εἰπόντος ἅπερ ἀνεχώρησε θαμβήσασα. παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ. εἰ δὲ τοῦτο οὕτως ἡ μήτηρ ποιεῖ, σκεπτέον οἵους εἶναι δεῖ τοὺς παῖδας τοῖς γονεῦσι τὰ εἰς εὐπείθειαν ἐφ' οἷς παραιτοῦνται τὰ δέοντα οἱ γονεῖς. Ἰστέον δὲ ὅτι οἱ μεθ' Ὅμηρον, καὶ ἐπὶ τροφῆς τὸ ἐνθέσθαι φασὶν Ἀττικῶς. καὶ ἔνθεσιν. τὴν τροφήν. λέγεται δὲ καὶ ἐπὶ δένδρων ἔνθεμα, τὸ ἰδιωτικῶς λεγόμενον ἐμφύλλιον. (ηερς. 363.) Ὅτι ἐς ὑπερῷα ἀναβᾶσα Πηνελόπη σὺν ἀμφιπόλοισι γυναιξὶν ἔκλαιε τὸν Ὀδυσσέα ὄφρά οἱ ὕπνον ἡδὺν ἐπὶ βλεφάροις ἔβαλεν Ἀθηνᾶ. Ὅρα δὲ ὅτι δυνάμενος ὁ ποιητὴς εἰπεῖν ὄφρά οἱ ὕπνον νήδυμον ἐν βλεφάροις ἔβαλεν, ὅμως οὐκ ἐποίησε τοῦτο. ἴσως μὲν, διότι ταυτόν ἐστιν ἡδὺν εἰπεῖν καὶ νήδυμον. μάλιστα δὲ, διότι νήδυμος μέν ἐστιν, ὁ βαθύς. ἐν δὲ τοιούτοις καιροῖς καὶ πάθεσιν, οὐ δύναταί τις νήδυμον ὑπνώττειν ἤγουν βαθὺ καὶ ἀνέκδυτον. Ὅρα δὲ καὶ ὅτι ἀμφίπολοι κἀνταῦθα κλαίουσιν, Ὀδυσσέα πρόφασιν. ὥσπερ ἐν Ἰλιάδι 1.68 ἕτεραι, Πάτροκλον πρόφασιν. Ἀθηνᾶ δὲ κοιμίζει τὴν Πηνελόπην, ἐπειδὴ συνετῶς ἐκείνη βουλευσαμένη, κλαίειν μὲν ἀφῆκεν. ἀνεκλίθη δὲ ὥς τε καταδραθεῖν. (ηερς. 366.) Ὅτι μετὰ τοὺς λόγους τοῦ Τηλεμάχου καὶ τὴν ἀναχώρησιν τῆς Πηνελόπης, οἱ μνηστῆρες ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα. πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι. καὶ αὐτοὶ μὲν οὕτω, θαυμάζοντες τοῦ κάλλους τὴν Πηνελόπην. ὁ δὲ παῖς, οὐκ ἀνέχεται. ἀλλὰ μητρὸς αὐτοὺς προσειπὼν μνηστῆρας, εἶτα ὑπέρβιον αὐτοὺς ὕβριν ἔχειν φησί. καὶ ἐξελέγχει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ ἐφεξῆς. Ἔστι δὲ ὑπέρβιος ὕβρις, ἡ ἐκ μεγαλοδυνάμων ἀνδρῶν, καὶ ἡ ὕπερθεν πάσης δυνάμεως. (ῃερς. 367.) Ἰστέον δὲ ὅτι σεμνῶς μὲν ἐλέχθη παρὰ τοῦ ποιητοῦ τὸ πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι. οὔτε γὰρ αἰσχρόν τι ἐνταῦθα κεῖται ῥῆμα, καὶ τὸ ἠρήσαντο δὲ, πάνυ ἔνδοξον ὡς ἐπὶ θείου τινὸς πράγματος διὸ οὐκ εἶπεν ἵμερον ἔσχον. ἢ ἠθέλησαν. ἤ τι τοιοῦτον, ἀλλὰ ἠρήσαντο. ἤγουν ηὔξαντο. ὅμως μέντοι, ὁ φιλομήτωρ Τηλέμαχος οὐκ ἀρέσκεται τῇ ἐκείνων εὐχῇ, ἣν καὶ ὅμαδον ἔφη ὁ ποιητής. (ῃερς. 370.) Ὅρα δὲ καὶ ὅτι μικρὸν ἀνῆκεν ὁ κιθαρῳδὸς καὶ οἱ μνηστῆρες οὐ φέρουσιν ἀτρεμεῖν. διὸ καὶ ὁ Τηλέμαχος. δαίνυσθαι αὐτοὺς καθ' ἡσυχίαν ἐθέλει. καὶ τέρπεσθαι τῇ ἀοιδῇ. καὶ μὴ εἶναι βοήν. ἄμεινον ἡγούμενος αὐτοὺς ταῦτα ποιεῖν, ἢ οὕτω σχολάζειν ἐπὶ ὕβρει καὶ ὁμάδῳ. Σκιόεντα δὲ μέγαρα, ἢ τὰ μεγάλην σκιὰν ἀποτελοῦντα διὰ τὸ πολὺ τοῦ ὕψους καθ' ὃ καὶ Αἰγύπτιαι πυραμίδες ἐσημειώθησαν, ἢ τὰ χάριν σκιᾶς γεγονότα. οὐ γὰρ μόνον χειμῶνος ἀλεωρὴ τὸ μέγαρον, ἀλλὰ καὶ καύσωνος. Ὅτι δ' ἐντεῦθεν λαβὼν Ἡσίοδος καὶ τὰ μέγαρα τὴν χώραν σκιόεντα ἔφη, ὁ Πορφύριος δηλοῖ. (ῃερς. 371.) Ὅτι κατευναστικὸν ἐπὶ τραπεζίου βοῆς τὸ, νῦν μὲν δαινύμενοι, τερπώμεθα, μὴ δὲ βοητὺς ἔστω. ἐπεὶ τό, γε καλόν. εἰς δὲ ἐγκώμιον ἀοιδοῦ ἢ ἁπλῶς λογίου ἀνδρὸς, καλὸν εἰπεῖν τὸ, ἐπεὶ τό γε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ τοιοῦδε, οἷος ὅ δ' ἔστι θεοῖς ἐναλίγκιος αὐδήν. ἢ μάλιστα κατὰ παρῳδίαν, μούσαις ἐναλίγκιος. Καὶ ὅρα ὅπως εἰς ταυτὸν ἤγαγε τὴν ἀοιδὴν καὶ τὴν αὐδήν. ἔστι γὰρ καὶ ἡ ἀοιδὴ, τῷ γένει αὐδή. Τὸ δὲ βοητὺς, ὅμοιόν ἐστι τῷ ἐδητύς. ταυτὸν δὲ ὅμαδος καὶ βοητύς. ὥσπερ αὖ πάλιν ὅμαδος καὶ ἀλαλητός. (ῃερς. 374.) Ὅτι καινός τις εἶναι δοκεῖ σχηματισμὸς τὸ, ὄφρα ὑμῖν μῦθον ἀπηλεγέως ἀποείπω ἐξιέναι μεγάρων, ἄλλας δ' ἀλεγύνε τε δαῖτας. ἐχρῆν μὲν γὰρ εἰπεῖν, ἄλλας δ' ἀλεγύνειν δαῖτας. θυμούμενος δὲ ὁ ταῦτα λέγων Τηλέμαχος, οὐκ ἔχει κρατεῖν τῆς συντάξεως. ἴσως δὲ καὶ τὸ ἐξιέναι, οὕτω νοητέον, ἀντὶ τοῦ ἐξέλθετε. ἵνα λέγῃ. ἐξέλθετε καὶ ἀλεγύνατε. ὃ καὶ κρεῖττον. ἐν γοῦν τῇ ¯β ῥαψῳδίᾳ, ἐρεῖ. ἔξιτέ μοι μεγάρων. καὶ ἑξῆς. σύνηθες δὲ πολλαχοῦ τοῖς ποιηταῖς ὥσπερ καὶ τοῖς πεζολεκτοῦσιν Ἀττικοῖς, χρῆσθαι τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν. (ῃερς. 375.) Τὸ δὲ ἀλεγύνω, παράγωγόν ἐστιν ἐκ τοῦ ἀλέγω. ὡς πλήθω, πληθύνω. καὶ δηλοῖ τὸ ἀρτύσαι. σκευάσαι. ἐκ δὲ τούτου κατὰ συγκοπὴν, τὸ ἀλγύνω. ἤγουν αἴτιος τινὶ γίνομαι τοῦ ἀλεγύνειν. δῆλον δέ, ὅτι ἔχει τι παρηχήσεως τὸ ἀπηλεγέως καὶ τὸ ἀλεγύνατε. καὶ ὅτι ὥσπερ τὸ ἐπήβουλος καὶ τὰ κατ' αὐτὸ, οὕτω καὶ τὸ ἀπηλεγέως πλεονασμὸν ἔχει τοῦ ¯η. οἱονεὶ τὸ ἀπὸ τοῦ λέγειν. ἢ μάλιστα, τέτραπται ἀπὸ τοῦ ἀλέγειν. ἵνα ᾖ ἀπηλεγέως, τὸ ἀφροντίστως καὶ ἄπο τοῦ ἀλέγειν. (ῃερς. 376.) Ὅτι παρὰ τοῖς παλαιοῖς ἦσαν κατὰ οἴκους συμπόσιά τινα ἐκ τῶν παρ' ἑκάστοις κειμηλίων ὡς δηλοῖ ὁ ποιητὴς ἐν τῷ, ἄλλας ἀλεγύνετε δαῖτας ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους. καὶ ἦν καὶ τοῦτο ἔρανος, εἰς ὃν ὁ Τηλέμαχος προτρέπεται τοὺς μνηστῆρας. οἱονεὶ λέγων, ὡς ἐὰν διὰ φιλίαν ὁμονοητικὴν καὶ φιλαλληλίαν ποιῆσθε τὰς συνελεύσεις, ἔστιν ὑμῖν ἄλλως τοῦτο ποιεῖν ἐκ τῶν ὑμετέρων. αἱ δὲ τοιαῦται δαῖτες, κοινωνίαν ἐποίουν τὴν τῶν καλουμένων δαιταλέων. οἵ πέρ εἰσι, δαιτυμόνες. θιασῶται. συμπόται. (ῃερς. 377.) Τὸ δὲ ὑμὰ, ἔστι μὲν ἀντωνυμία κτητικὴ ἀντὶ τοῦ ὑμέτερα. ἔχει δὲ καὶ θηλυκὸν παρασχηματιμὸν ἐν τῷ, εὖ ναιομένην πόλιν ὑμήν. Ὅτι ὁ ἀδικούμενος καὶ ἱκετεύων καὶ μὴ πείθων τοὺς βλάπτοντας ἡσυχάσαι, καταιδέσῃ ἂν ἐκείνους, εἰπὼν τὸ, εἰ δ' ὑμῖν ἢ ὔμμιν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον εἶναι ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι, κείρετε. ἐγὼ δὲ θεὸν ἐπιβώσομαι αἰὲν ἐόντα. αἴκε δώσει παλίντιτα ἔργα γενέσθαι. νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε. Τὸ δὲ λωΐτερον, ἐξεφώνησεν ἐκ τοῦ λῷον τὸ προσγεγραμμένον ἰῶτα. ὡς τὸ ῥηΐτερον καὶ τὰ τοιαῦτα. ποιητικὸς δὲ ὁ τοιοῦτος σχηματισμός. ὡς καὶ τὸ χειρότερον. τὸ γὰρ κοινὸν, λῷον. καὶ ῥᾷον. καὶ χεῖρον. Τὸ δὲ κείρετε, τὸν κόρον ποιεῖ καὶ τὸ κὴρ, ὃ δηλοῖ θανατηφόρον μοῖραν. (ῃερς. 379.) Τὸ δὲ ἐπιβώσομαι, κατὰ κράσιν γέγονεν ἐκ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βοήσομαι. ὡς καὶ Ἡρόδοτος τὸ νοῆσαι νῶσαι λέγει. καὶ ἕτερός τις τὰ ὀγδοήκοντα ὀγδώκοντα. 1.69 οὕτω δὲ καὶ ἐκ τοῦ συγκοπὴ, γέγονεν ἡ σιωπή. καὶ τὸ δῶμα ἐκ τοῦ δόμημα κραθέντος τοῦ ¯ο καὶ ¯η εἰς ¯ω μέγα. Πολλὰ δὲ καὶ ἄλλα ὁμοίως κέκρανται ὡς πολλαχοῦ δηλοῦται. ὧν ἐστὶ καὶ τὸ βωστρεῖν, ὃ ἐν τοῖς μετὰ ταῦτά που κεῖται. καὶ τὸ χλωρόν. ὡς γὰρ οὐ μόνον νοσερὸν ἀλλὰ καὶ νοσηρὸν, οὕτως οὐδὲ μόνον χλοερὸν ἀλλὰ καὶ χλοηρόν. ἐξ οὗ κατὰ κράσιν τὸ χλωρόν. (ηερς. 380.) Τὸ δὲ δῶσι, ἐκ τοῦ δῶς γέγονε πλεονασμῷ τοῦ ἰῶτα. ὁμοίως τῷ, τίθης τίθησι καὶ τοῖς λοιποῖς. τινὲς δὲ, ἀπὸ τοῦ δῶ τρίτου προσώπου φασὶ, πλεονασμῷ τῆς σ¯ι συλλαβῆς Ἰωνικῶς. οὕτω δὲ καὶ τὸ ἔλθησιν. ἔχῃσι. λαβῄσι. καὶ τὰ ὅμοια Ἰωνικά. Τὸ δὲ παλίντιτα, ἀλλαχοῦ ἄντιτα λέγεται ἀντὶ τοῦ ἀντίτιτα. ἤγουν ἀντίποινα. ἔστι δὲ παλίντιτον, οὗ ἡ τίσις, πάλιν ἤγουν ὕστερον, ἐν τῷ μέλλοντι γίνεται. (ηερς. 382.) Ὅτι ἐμφῦναι λέγεται, τὸ ἅψασθαι γενναίως, καὶ ἐμπλακῆναι. καὶ οἷον εἰς ἓν γενέσθαι. ὡς ὅ τέ τις πολύποδα ἐμφῦναι λέγει πέτρᾳ. ἢ παῖδα τραχήλῳ μητρός. οὕτω δὴ καὶ ἐμφῦναι χειρὶ τὸ, χειρὶ χειρὸς ἅψασθαι. καὶ τὸ ὀδὰξ οὖν ἐν χείλεσι φῦντες, ἀντὶ τοῦ ἐμπλακέντες μετὰ δαγμοῦ τοῖς χείλεσιν, ἤγουν ἐνδακόντες τὰ χείλη. ὅπέρ ἐστι σχῆμα θάμβους καὶ ἀπορίας. καθὰ καὶ ἐνταῦθα τοὺς μνηστῆρας ἐξέπληξεν ὁ ἐπὶ τοσοῦτον μὲν χρόνον ἡσυχάσας Τηλέμαχος, νῦν δὲ οὕτω σφοδρῶς ἐπιτεθεὶς, καὶ θαρσαλέως ἀγορεύσας, καὶ τὸν λόγον ἐνδιαθέτως βαρύνας ὡς ἐπὶ μεγίστοις ἀδικήμασι. διὸ καὶ Ἀντίνοος, ὑψαγόρην αὐτὸν ἐρεῖ. τουτέστι πιθανολόγον. μεγαλοῤῥήμονα. τὰ μικρὰ καὶ ταπεινὰ ὑψηλῶς ἀγορεύοντα. Ἔνθα σημείωσαι ὅτι τε τὸ, ὀδὰξ ἐν χείλεσι φῦντες, παλαιός τις, ὀδὰξ ἐνδεδηχότες γράφει. καὶ ὅτι τὸ ὑψαγόρης, εἰ καὶ τὸν μεγαληγόρον σημαίνει καὶ δεινὸν εἰπεῖν, ὅμως οὐκ ἂν ἐπὶ ἐπαίνου ὀρθῶς ῥηθείη πρός τινος. δηλοῖ γὰρ μᾶλλον τὸν ψεύστην καὶ συκοφάντην, σχηματισθὲν εὐφημότερον καὶ σεμνότερον. Ἰστέον δὲ ὅτι ἐπὶ ἀπτοήτου καὶ φοβεροῦ δημηγόρου, καλὸν εἰπεῖν τὸ, οἳ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φῦντες ἐθαύμαζον ὃ θαρσαλέως ἀγόρευε. Σημείωσαι δὲ ὅτι καὶ θυμοῦ πολλάκις ἔνδειξις τὸ ὀδὰξ ἐν χείλεσι φῦναι. ὡς δηλοῖ καὶ ὁ κωμικὸς ἐν Ἀχαρνεῦσιν. εἰπών. ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων, ὅ ἐστι δάκνων σφιγκτῶς τὸ χεῖλος. ἔστι δὲ ὀδὰξ, τὸ δηκτικῶς καὶ μετὰ δαγμοῦ ὡς προείρηται. ὡς γὰρ λήγω λήξω λὴξ καὶ ἐν συστολῇ λὰξ, οὕτω δήκω τὸ δάκνω δήξω δὴξ καὶ δάξ, καὶ κατὰ πλεονασμὸν ὀδάξ. ὥσπερ δὲ τὸ ὀδὰξ ἐκ τοῦ δῆξαι ὅ ἐστι δακεῖν, οὕτω καὶ αὐτοδὰξ, τὸ παραχρῆμα. ἔοικε δὲ κωμικωτέρα ἡ τοιαύτη λέξις εἶναι. Ὅτι Εὐπείθης μὲν βαρυτόνως, κύριον ὄνομα, εὐπειθὴς δὲ ὀξυτόνως, τὸ ἐπίθετον. ὅμοιον δὲ καὶ ὁ Διοπείθης καὶ εἴ τι ἄλλο τοιοῦτον. καὶ ὁ Δημοκήδης δὲ, ὡς κύριον βαρυτονεῖται. ἄλλως γὰρ, ὠξύνετο ἄν. (ηερς. 384.) Ὅτι τοῦ τῶν μνηστήρων ὄχλου προέχουσιν Ἀντίνοος καὶ Εὐρύμαχος οἱ ἐξ Ἰθάκης. διὸ καὶ ἀρχοὶ μνηστήρων λέγονται. ἱστορεῖ δὲ αὐτοῖς ὁ ποιητὴς διάφορα τὰ ἤθη. Ἀντίνοος μὲν γὰρ, χαλεπὸς καὶ ἄγριος τῷ Τηλεμάχῳ καὶ τοῖς περὶ αὐτὸν ὅσοι τοῦ Ὀδυσσέως κήδονται. Εὐρύμαχος δὲ, χρηστότερος καὶ ὑπουλότερος. διὸ καὶ ἐνταῦθα τοῦ Τηλεμάχου τραχύτερον μεταχειρισαμένου τὸν λόγον, ὁ μὲν Ἀντίνοος, οὐ μάλα ὑπείκει. ὁ δὲ Εὐρύμαχος, ὑπενδίδωσιν ἐπὶ συμφέροντι. ὡς ἂν ὑπαγάγηται κολακικῶς τὸν Τηλέμαχον. (ηερς. 385.) Ἔστι δὲ ἡ τοῦ Ἀντινόου δημηγορία τοιαύτη. Τηλέμαχε, ἦ μάλα δή σε διδάσκει θεὸς αὐτὸς ὑψαγόρην τ' ἔμμεναι καὶ θαρσαλέως ἀγορεύειν. καὶ ἔστιν ὁ λόγος οὗτος, σκωπτικὸς ἐπὶ ἀμαθίᾳ. μονονουχὶ λέγοντος τοῦ Ἀντινόου, ὅτι ὑπ' ἀνθρώπου μὲν, οὐκ ἐδιδάχθης, ἴσως δὲ ὑπὸ θεοῦ, εἶτα καὶ ἐπαρᾶται λέγων, μὴ σέ γ' ἐν Ἰθάκῃ θεὸς βασιλέα ποιήσειεν, ὅ τοι γενεῇ πατρώϊόν ἐστι. Καὶ οὕτω μὲν βαρέως ὁ Ἀντίνοος ἐπαρᾶται. ὑποδεικνὺς καὶ ὡς βίαιός ἐστιν εἰ τὸ ἐκ γενεῆς πατρῷϊον τῷ Τηλεμάχῳ, ἀφελέσθαι σπεύδει. Τηλέμαχος δὲ δεινότατα ἤτοι δεξιώτατα τὸν λόγον μετιὼν, καὶ ἀμβλύνων τὴν ὀξύτητα τοῦ Ἀντινόου ἵνα μὴ ἐπὶ πλέον ἐκτραχυνθεὶς ποιήσῃ τι κακὸν, καθυφίησι. καὶ ὡς οἷα μὴ νενοηκὼς τὴν ἀρὰν ἐπὶ κακῷ εἶναι, εἰς εὐχὴν αὐτὴν ἐκδέχεται. ὡς δῆθεν τοῦ Ἀντινόου, εὐνοϊκῶς καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἷον πατρικῶς ἀπευξαμένου τὸ βασιλεῦσαι αὐτὸν, διὰ τὸ ἐμμέριμνον καὶ ἐπαχθὲς δοκεῖν καὶ κάκιστον τὸ βασιλεύειν. ἔδει γὰρ ὡς εἰκὸς τὸν Ἀντίνοον οἷα μνηστῆρα τῆς Πηνελόπης καὶ πατρῷον Τηλεμάχου, ἀγαθὰ τῷ προγόνῳ ἐπεύχεσθαι, καθά που καὶ αὐτὸς ἐρεῖ ὁ Τηλέμαχος. ἦ μου καλὰ κήδεαι ὡς πατὴρ υἱοῦ. διὰ ταῦτα τοίνυν δεξάμενος ὁ Τηλέμαχος τὴν τοῦ Ἀντινόου κατευχὴν ὡς εὐχὴν ἀγαθὴν, φησίν. εἰ καί μοι νεμεσήσεαι ὅττι κεν εἴπω, καί κεν τοῦ τ' ἐθέλοιμι θεοῦ γε διδόντος ἀρέσθαι. τουτέστι κἂν σὺ ἀπεύχῃ, ἀλλ' ἐγὼ θέλω τὸ θεόσδοτον καλόν. (ῃερς. 391.) Ὁ δὲ Ὁμηρικὸς οὗτος λόγος, χρήσιμος τῷ ζητοῦντι μέγα τι ἀγαθόν. εἶτα 1.70 ἐπάγει ὁ Τηλέμαχος. ἦ φῄς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι; οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν. τουτέστιν, ἢ λέγεις οὐκ ἀγαθὸν εἶναι τὸ βασιλεύειν καὶ διατοῦτο ἀπεύχῃ τὸ βασιλεῦσαί με; ἀλλὰ
μὴν, οὐ κακόν ἐστι. ὃ καὶ ἀποδεικνύων, φησίν· (ῃερς. 393.) Αἶψα τέ οἱ, ἤγουν τῷ βασιλεῖ τὸ δῶμα ἀφνειὸν πέλεται, καὶ τιμηέστερος αὐτός. (ῃερς. 392.) Σημείωσαι δὲ καὶ ὅπως τὸ μὲν κάκιστον, τῷ λόγῳ τοῦ Ἀντινόου ἔδωκεν ὁ Τηλέμαχος, ὡς τοιοῦτον ἡγουμένου δῆθεν τὸ βασιλεύειν. αὐτὸς δὲ μετρίως εἶπε καὶ ἐπιεικῶς ἐν τῇ λύσει οὐχ' ὅτι κάλλιστον ἢ ἄριστον ὅ περ ἀντέκειτο πρὸς τὸ κάκιστον, ἀλλ' ὅτι οὐ κακόν ἐστι διάτε τὸν πλοῦτον δηλαδὴ καὶ διὰ τὴν τιμήν. Τὸ δὲ ὑψαγόρης ὅτι οὐκ ἔπαινός ἐστι, καὶ τί δηλοῖ, πρὸ μικροῦ εἴρηται. (ῃερς. 388.) Τὸ δὲ ὅ, τοι γενεῇ πατρώϊόν ἐστι, ψόγος ἐστὶ Τηλεμάχου. ὡς μηδὲν ἄλλο δῆθεν ἔχοντος ἀγαθὸν πρέπον εἰς βασιλείαν, ἀλλὰ μόνον τὸ εἶναι γένους βασιλικοῦ. ὡς εἴ τις ἐκ τοιούτου ἔθους καὶ τὸν τοῦ μάντεως παῖδα, μάντιν καθίστα. καὶ τὸν τοῦ κήρυκος, κήρυκα. καὶ τὸν τοῦ αὐλητοῦ, αὐλητήν. ὡς καὶ Ἡρόδοτος ἱστορεῖ. (ῃερς. 393.) Ὅρα δὲ ὅπως ἀπὸ ῥήματος τοῦ βασιλεύειν, ὄνομα ἐκβαίνει ἀπὸ κοινοῦ τὸ, ὁ βασιλεύων ἢ ὁ βασιλεύς. οὗ αἱ ἀντωνυμίαι κεῖνται ἐνταῦθα, οὕτως. οὐ μὲν γάρ τι κακὸν βασιλεύειν, αἶψα τέ οἱ ἀφνειὸν τὸ δῶμα, τῷ βασιλεῖ δηλαδή. καὶ τιμηέστερος αὐτὸς, ἤγουν ὁ βασιλεύς. ὁ δὲ λόγος οὗτος, γνωμικός ἐστιν. Ἔνθα καὶ σημείωσαι ὅτι τὸ τέλος τῆς βασιλείας, ἐν πλούτῳ καὶ τιμῇ τίθησιν ὁ Τηλέμαχος. (ῃερς. 392.) Ἰστέον δὲ ὅτι τοιοῦτόν τι ἐστὶ σχῆμα καὶ ἐν Ἰλιάδι ἐν τῷ, δικάσω, ἰθεία δὲ ἔσται, ἡ δίκη δηλονότι. νοουμένη κοινῶς ἐκ τοῦ δικάσω ῥήματος. Ὅρα δὲ καὶ τὸ ἐναγώνιον καὶ γοργὸν καὶ διαλεκτικὸν τοῦ Τηλεμάχου, συντομώτατα καὶ ἀπορήσαντος ὡς ἐν ἀντιθέσει καὶ λύσαντος. ἔστι δὲ τὸ μὲν, ἢ φῄς τοῦτο κάκιστον, ἀντίθεσις, τὸ δὲ, οὐ μὲν γάρ τι κακὸν βασιλεύειν, λύσις. τὸ δὲ αἶψά τέ οἱ δῶμα ἀφνειὸν πέλεται καὶ τιμηέστερος αὐτὸς, κατασκευὴ τῆς λύσεως. (ῃερς. 395.) Ὅτι ὁπηνίκά τις πολλῶν ὄντων ὁμοίων, ἀντιποιεῖται ἀρχῆς, πρέπει εἰπεῖν τὸ, ἀλλ' ἤτοι βασιλῆες εἰσὶ καὶ ἄλλοι, νέοι ἠδὲ παλαιοί. Ὅτι ἔχει τινὰ μυκτῆρα καὶ ὁ τοῦ Τηλεμάχου λόγος, οὐ μόνον ἐν τῷ τὴν βαρεῖαν ἀρὰν τοῦ Ἀντινόου δέξασθαι ὡς εἴρηται ἀφελῶς εἰς εὐχὴν καὶ διαλογικῶς ἀντειπεῖν, ἀλλὰ καὶ ἐν τῷ εἰπεῖν ὅτι βασιλεῖς Ἀχαιῶν εἰσὶ καὶ ἄλλοι πολλοὶ ἐν Ἰθάκῃ, νέοι ἠδὲ παλαιοί. εἰ γάρ εἰσι νέοι πολλοὶ βασιλείας ἄξιοι, οὐκ ἄρα μόνος ἐστὶν ὁ Ἀντίνοος ὡς ἐκεῖνος οἴεται. εἰ δὲ καὶ παλαιοὶ, οὐκ ἄρα μόνοι οἱ νεώτατοι μνηστῆρες ὡς αὐτοὶ νομίζουσιν. Ἰστέον δὲ ὅτι τοῦ βασιλεὺς τὸ θηλυκὸν, οὐ μόνον βασίλεια, ὡς ἱερεὺς ἱέρεια, ἀλλὰ καὶ βασίλισσα κατὰ Αἴλιον Διονύσιον Ἀττικῶς. βασίλινναν, δέ φησι Μένανδρος λέγει. ἐλέγοντο δὲ καὶ ὑποδήματά τινα, βασιλίδες. καί τι μύρου εἶδος, ἑπταβασίλειον. καὶ βασιλίνδα, παιδιά τις βασιλέας τινὰς ἀποδεικνύουσα. καὶ βασιλειᾶν καὶ διαβασιλίζεσθαι, τὸ βασιλείας ἀντιποιεῖσθαι. ἦν δέ φασι καὶ βασιλεὺς ἀρχή τις Ἀθήνῃσι. καὶ ἡ ἐκείνου, βασιλίς. καὶ βασίλειος ἐκεῖ στοὰ, πλησίον τῆς τοῦ ἐλευθερίου Διὸς στοᾶς. (ῃερς. 398.) Ὅτι τοῦ Ἀντινόου εὐξαμένου, μὴ ἐν Ἰθάκῃ ποιηθῆναι πρὸς Διὸς βασιλέα Τηλέμαχον, ὁ Τηλέμαχος ἐντρέπων ὡς ἐῤῥέθη ἐκεῖνον, φησὶν ὡς ἐν μὲν Ἰθάκῃ πολλοί εἰσι βασιλεῖς, ἤγουν ἄνδρες προσήκοντες τῇ βασιλείᾳ. αὐτὰρ ἐγὼ οἴκοιο ἄναξ ἔσομαι ἡ μετέρου, καὶ δμώων οὕς μοι ληΐσατο Ὀδυσσεύς. μονονουχὶ λέγων, ὅτι εἰ καὶ εἰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βασιλείαν οὐ πρέπω πατρικὴν καὶ δι' αὐτὸ ἐκπίπτω τῆς κοινῆς ἀρχῆς, ἀλλὰ τῆς πατρικῆς κληρονομίας πάντως οὐκ ἐκβληθήσομαι. Σημείωσαι δὲ ὅτι οὐ μόνον Ὅμηρος βασιλεῖς λέγει τοὺς ἐνδόξους καὶ βασιλικοὺς, ἀλλὰ καὶ οἱ μετ' αὐτόν. παρὰ Σοφοκλεῖ γοῦν ἡ Ἰοκάστη τοὺς ἐν Θήβαις εὐγενεῖς, χώρας ἄνακτας λέγει. καὶ Ἡσίοδος δὲ τοὺς δικαστὰς, βασιλεῖς λέγει ἐν τῷ, αἶνον βασιλεῦσιν ἐρέω. Ὅρα δὲ καὶ ὅτι ὡς καὶ ἐν Ἰλιάδι, οὕτω καὶ ὧδε ἄνακτα, τὸν οἰκοδεσπότην λέγει σεμνῶς, διὰ τὸ δοκεῖν τὸν οἶκον, πόλιν εἶναι μικράν. ὥσπερ αὖ πάλιν τὴν πόλιν, οἶκον μέγαν. (ηερς. 399.) Τὸ δὲ αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομαι ἡμετέρου καὶ δμώων, ἐρεῖ ἂν ὁ κωλυόμενος ποιεῖν τὰ οἰκεῖα, πρὸς τῶν ἀμετόχων. Τοῦ δὲ δμώων ἡ κλίσις, ὡς Τρώων. λέγει δὲ Ἡρῳδιανὸς ὅτι ὡς δμὼς δμωὸς, τρὼς τρωὸς, θὼς θωὸς, οὕτω καὶ πλὼς πλωὸς εἶδος ἰχθύος. ὁ δὲ καθ' Ὅμηρον ἐπιπλὼς, μετοχή ἐστιν ἀντὶ τοῦ ἐπιπλεύσας. Τὸ δὲ οὕς μοι ἐληΐσατο Ὀδυσσεὺς, οὐ μόνον φόβον τινὰ λεληθότως ἐπισείει τῷ Ἀντινόῳ διὰ τὸ τὸν Τηλέμαχον οἷα εἰκὸς ἄλκιμον εἶναι ὡς ἐκ πατρὸς πολεμικοῦ, ἀλλὰ καὶ κληρονομιαίους εἶναι τοὺς δμῶας δηλοῖ. καὶ τὴν ληστείαν σεμνολογεῖ ὡς οὐκ ἀνεπιτήδευτον οὖσαν τοῖς ἥρωσι καθὰ καὶ ἐν τοῖς ἐφεξῆς ῥηθήσεται. Πόθεν δὲ 1.71 γίνεται τὸ ἄναξ, δηλοῦται μὲν καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. ῥητέον δὲ καὶ ἐνταῦθα, ὅτι παρὰ τὸ ἀνακὲς ὅ ἐστιν ἐπιμελὲς γίνεται. ἔστι γὰρ ἐν χρήσει τὸ ἀνακῶς, ἀντὶ τοῦ φροντιστικῶς. ἐπιμελῶς. πεφυλαγμένως. Ἡρόδοτος. καί τις οἰκίην τε ἀναπλασσάσθω καὶ σπορᾶς ἀνακῶς ἐχέτω. ἔστι δὲ καὶ θεία λέξις τὸ ἄναξ, ὡς ἀπὸ τῶν διοσκούρων. Αἴλιος γοῦν Διονύσιος, ἀνακοὺς τοὺς διοσκούρους φησὶ λέγεσθαι, ὡς αἰακούς. καὶ κατεύχονταί φησιν ἀνακοῖν διοσκούροιν. Παυσανίας δὲ λέγων καὶ αὐτὸς τὸ ἀνακῶς ἀντὶ τοῦ φυλακτῶς καὶ προνοητικῶς παρά τε Ἡροδότῳ καὶ Θουκυδίδῃ, φησὶ καὶ ὅτι ἀνάκεια, ἑορτὴ διοσκούροιν ἀνακοῖν. ὡς σοφοῖν. τριττυίαν δέ φησι τὴν θυσίαν ταύτην εἶναι συμβαίνει, διοσκούροις καὶ Ἑλένῃ δι' ἣν εἰς τὴν Ἀττικὴν ἐμβαλόντες ἐκεῖνοι, οὐκ ἠδίκησαν οὐδένα τῶν ἐγχωρίων. Ἰστέον δὲὅτι καθὰ οἴκου τις ἄναξ ἐστὶν ὡς οἰκοδεσποτῶν, οὕτω καὶ χειρὸς ὡς εἰκός. ὅθεν σύνθετον, ὁ χειροάναξ. καὶ συνελόντα φάναι, χειρώναξ. εἶεν δ' ἂν χειρώνακτες οἱ καὶ χειρομάχα πληθὺς λέγονται παρὰ τοῖς παλαιοῖς. εἰ δὲ μὴ ὥσπερ ἐκ τοῦ ἀνδρῶν ἄναξ συνετέθη Ἀνδρώναξ τὸ κύριον, οὕτως ἔδοξέ τισιν εἰπεῖν καὶ ἐκ τοῦ, οἴκου ἄναξ οἰκώναξ πρὸς ἀναλογίαν τοῦ Ἱππώναξ Πλειστώναξ καὶ τῶν τοιούτων, λογοπραγείσθω ἡ χρῆσις. Σημείωσαι δὲ καὶ ὅτι τὸ ἄναξ ἄνακτος προσλαβὸν ἐν τῇ κλίσει τὸ ¯τ, διεσάφησεν ἑαυτὸ καθ' ὑπεξαίρεσιν ἀμφιβόλου ἐννοίας. εἰ γὰρ ἦν ἄνακος ὡς θώρακος, ὑπωπτεύετο ἂν στέρησιν ἄκους δηλοῦν. οὐκοῦν ἐπὶ Διοσκούρων ἡ τοῦ ¯τ ἐξαίρεσις, τὸ ἄκος παρεισκρίνει. ἐκεῖθεν γὰρ οἱ ἀνακοὶ καὶ τὸ αὐτῶν ἐπίῤῥημα τὸ ἀνακῶς. ὠξυτόνυνται δὲ οἱ ἀνακοὶ, ἀναγκαίως. ἵνα μὴ διδοῖεν ἔμφασιν ὡς ἐκ τοῦ ἀνάσσειν καὶ ἐκ τοῦ ἄναξ παρήχθησαν, εἴη δὲ ἂν ὁ τόνος αὐτῶν, κατὰ τὸ φαρμακοί. (ηερς. 401.) Ὅτι Ἀντίνοος μὲν καθὰ καὶ προείρηται, σκληρότερος τὸ ἦθος ἐστὶ δι' ὅλης τῆς ποιήσεως. Εὐρύμαχος δὲ, κολακικωτέρου ἤθους εἶναι πέπλασται καὶ ἁπαλωτέρου. ὅθεν καὶ τοῖς πολλοῖς μάλιστα ἐπίδοξος ἦν ἀγαγέσθαι τὴν Πηνελόπην, λόγῳ τοιούτῳ. ἱστορεῖ ὁ δειπνοσοφιστὴς Ἀθήναιος ὅτι Ἀπίων ὁ Ἀλεξανδρεὺς ἀκηκοέναι λέγει πρὸς τοῦ Ἰθακησίου Κτήσωνος, τὴν τῶν μνηστήρων πεττείαν,οἷα ἦν. ἦν δὲ τοιάδε. ὀκτώ φησι καὶ ἑκατὸν ὄντες, διετίθεσαν ψήφους ἐναντίας ἀλλήλαις ἴσας πρὸς ἴσας τὸν ἀριθμὸν ὅσοι περ ἦσαν αὐτοί. εἶναι οὖν ἑκατέρωθεν τέσσαρας καὶ πεντήκοντα ψήφους. ἀνὰ μέσον δὲ τούτων, διαλείπειν τι κενόν. καὶ ἐν τῷ μεταιχμίῳ τούτῳ, μίαν τιθέναι ψῆφον. καλουμένην μὲν Πηνελόπην. σκοπὸν δὲ οὖσαν, τῷ βαλόντι ψήφῳ ἑτέρᾳ. καὶ κληρουμένων ἐκείνων, στοχάζεσθαι ταύτης, τὸν λαχόντα. καὶ εἴτις τύχοι καὶ ἐκκρούσειε πρόσω τὴν ψῆφον Πηνελόπην, ἀποτίθεσθαι τὴν ἑαυτοῦ εἰς τὴν χώραν τῆς βληθείσης καὶ ἐξωσμένης ψήφου. καὶ στάντα ἐκεῖ, πάλιν βάλλειν. καὶ εἴπερ ἐπιτύχοι μηδεμιᾶς τῶν ἄλλων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ψαύσας, τότε δὴ νικᾶν τὸν τοιοῦτον μνηστῆρα, καὶ πολλὰ ἐλπίζειν γαμήσειν τὴν Πηνελόπην. τὸν δὴ Εὐρύμαχον, πλείστας εἰληφέναι τοιαύτας νίκας ταύτῃ τῇ παιδιᾷ, καὶ εὔελπιν εἶναι τῷ γάμῳ, ἐπίδοξον ὄντα λαβεῖν τὴν βασιλείαν, ὥστε δῆλον ἐκ τούτων, ὡς καλῶς καθὰ προδεδήλωται, καὶ ἀστραγαλίζειν τὸ πεττοῖς καθ' Ὅμηρον τέρπεσθαι, λέγεται. μέχρι γὰρ καὶ ἐσάρτι, οὕτως ἀστραγαλίζουσι καὶ μάλιστα ὀνείοις, οἱ τοιαῦτα πεττεύοντες εἴτε παίζοντες. ὁ τοίνυν εἰς τὸν τῆς Πηνελόπης γάμον ἐπίδοξος ἥρως οὗτος, καὶ νῦν ὑπούλως τὸν λόγον μεταχειριζόμενος, πρῶτον μὲν συνετῶς προοιμιάζεται ὅτι ἐν θεοῦ γούνασι κεῖται ὅς τις ἐν Ἰθάκῃ βασιλεύσει. εἶτα, καὶ ἐπεύχεται τῷ Τηλεμάχῳ ὅτι κτήματα δ' αὐτὸς ἔχοις καὶ δώμασιν οἷσιν ἀνάσσοις, κατὰ τὸν σὸν λόγον. μὴ γὰρ ὅγε ἔλθοι ἀνὴρ ὅς σε ἀέκοντα βίῃ κτήματ' ἀποῤῥαίσει, Ἰθάκης ἔτι ναιεταώσης. καὶ οὕτω προοιμασάμενος, ἐπάγει ὡς δῆθεν εὔνους, ἀλλὰ θέλω σε φέριστε περὶ ξείνοιο ἔρεσθαι. Καὶ σημείωσαι ὅπως τοῦ Τηλεμάχου ἀνωτέρω ἐνδειξαμένου ὡς εἴρηται ὅτι οὐκ ἀνάγκη πᾶσα τινὰ τῶν μνηστήρων βασιλεῦσαι, εἰκὸς γὰρ καὶ ἄλλῳ τινὶ τὴν βασιλείαν ταμιεύεσθαι, εἰπόντος δὲ καὶ ὡς εἰ καὶ τῆς βασιλείας ἐκπέσῃ, τοῦ γοῦν οἴκου ἄναξ ἐσεῖται τοῦ πατρικοῦ, ὁ Εὐρύμαχος πρὸς ἄμφω ἀπαντᾷ, τὴν μὲν βασιλείαν, ἐν θεοῦ γούνασι κεῖσθαι εἰπὼν, οἷα μὴ θέλων ἀλαζονεύεσθαι. τὸ δὲ τοῦ οἴκου ἄνακτα γενέσθαι τὸν Τηλεμάχον, εἰς εὐχὴν θέμενος διὰ τὸ δῆθεν δυσχερές. οἱονεὶ λέγων, ὅτι οὐ μόνον οὐ βασιλεύσεις ὦ Τηλέμαχε, ἀλλ' εὐκταῖον σοι καὶ τὸ τὰ σὰ ἔχειν. (ῃερς. 404.) Τὸ δὲ εἰπεῖν μὴ γὰρ ἔλθοι ἀνὴρ ὅς τις ποιήσει τάδε, ἐσχημάτισται καὶ αὐτό. δοκεῖ μὲν γὰρ λέγειν ὅτι μὴ γένοιτο ἀδικηθῆναί σε. λέγει δὲ ἀληθῶς, ὅτι μηδεὶς ἄλλος ἔλθοι βλάψων σε. ὡς ἡμῶν δηλαδὴ τῶν Ἰθακησίων ἀρκούντων εἰς τοῦτο. Τὸ δὲ ἀέκοντα καὶ τὸ βίῃ, ἐκ παραλλήλου θέσεως ταυτὸν σημαίνουσι. Τὸ δὲ ἀποῤῥαίσει κτήματα, δηλοῖ μὲν τὸ φθερεῖ 1.72 δαπανήσας. γίνεται δὲ ἀπὸ τοῦ ῥῶ ῥαίω ἀφ' οὗ καὶ ῥαιστὴρ ἡ σφύρα. καθὰ καὶ πέτω τὸ πίπτω, καὶ ἐν συγκοπῇ καὶ παραγωγῇ πτῶ πταίω τὸ προσκόπτω. οὕτω δὲ καὶ λῶ λαίω ἐξ οὗ τὸ λιλαίω. καὶ κεδῶ κεδαίω τὸ σκεδάζω. καὶ κλῶ κλαίω. καὶ κῶ καίω. ἐκ δὲ τοῦ ῥαίω, καὶ ῥαϊστὴς ἐξ οὗ κυνοραϊστὴς καὶ θυμοραϊστής. τὸ μέντοι ῥῶ, τὸ γάμμα προσλαβὸν, τὴν γρώνην ποιεῖ. καὶ τὴν γράστιν. καὶ τὴν γραῖαν. Ὅτι εὐχὴ ἀγαθὴ πρὸς οἰκοδεσπότην τὸ, κτήματα δ' αὐτὸς ἔχοις καὶ δώμασιν οἷσιν ἀνάσσοις. (ῃερς. 407.) Ὅτι ὁ ἐρωτῶν περὶ ἀγνοουμένου ξένου, ἐρεῖ. ὁππόθεν οὗτος ἀνὴρ, ποίης δ' ἐξεύχεται εἶναι γαίης, ποῦ δὲ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα. (ῃερς. 410.) Καὶ σημείωσαι ὅτι τὸ πατρὶς ἄρουρα ἐντελῶς νῦν εἴρηται. ὡς καὶ τὸ, πατρίδα γαῖαν. καὶ παρὰ Πινδάρῳ, ἄρουραν πατρίαν. ὅτε δὲ μόνον τις εἴπῃ τὸ πατρὶς, ἐλλιπῶς εἶπεν. Ὅτι τὸ ἐέλδεσθαι, τὰ πλείω μὲν ὡς καὶ ἐνταῦθα ἐνέργειαν δηλοῖ. ἔστι δὲ ὅτε, καὶ παθητικὴν ἔννοιαν ἔχει, ὡς καὶ ἐν Ἰλιάδι. νῦν τοι ἐελδέσθω πόλεμος, ἀντὶ τοῦ ἀγαπάσθω. τοιαῦτα δὲ καὶ τὸ μορμολύττομαι καὶ βιάζομαι καὶ ἄλλα μυρία, μέσως ἔχοντα. (ῃερς. 411.) Ὅτι τὸ ἀναμεῖναι καὶ καρτερῆσαι, ὑπομεῖναι λέγει. φησὶ γάρ. οἷον ἤγουν ὅπως ἀναΐξας, οἴχεται οὐδ' ὑπέμεινε γνώμεναι. οἰκεῖος δὲ ὁ λόγος, ἐπὶ ταχείας ξένου ὑποχωρήσεως. (ῃερς. 412.) Ὅτι κάλλους δηλωτικὸν τὸ, οὐ γάρ τι κακῷ εἰς ὦπα ἐῴκει. οἱ τοῦ κάλλους δὲ γνώμονες μνηστῆρες τοῦτο φασὶν, ἀπὸ τῆς ὄψεως τὸν φανέντα Μέντην χαρακτηρίζοντες. ὦπα τὸ ὅλον εἰπόντες πρόσωπον ἀπὸ τοῦ τιμιωτάτου μέρους. ἀφ' οὗ καὶ τὸ πᾶν παρωνόμασται πρόσωπον, οἱονεὶ τὸ πρὸς τοῖς ὀφθαλμοῖς. τὸ γὰρ μετὰ τοὺς ὦπας, μέτωπον. Ἰστέον δὲ ὅτι τὸ οὐ μὲν γάρ τι κακῷ εἰς ὦπα ἐῴκει, οὕτως ἡ παλαιὰ μεταβολὴ φράζει. ὅσα μὲν γὰρ ἰδεῖν, σφόδρα ἐῴκει τῶν γεννικῶν εἶναι. Ἔνθα ὅρα ὅτι τὸ, γεννικῶν, ἑτεροῖόν ἐστι τῆς παρὰ τῷ κωμικῷ σημασίας καθ' ἣν ἐκεῖνος γεννικὸν κρέας φησὶ, τὸ γενναῖον διὰ πάχος. (ῃερς. 414.) Ὅτι ἐπὶ φιλικῆς ἀποδημίας ἀνελπίστου, εἴποι τις ἄν. νόστος ἀπώλετο τοῦ δεῖνος, οὔτ' οὖν ἀγγελίαις ἔτι πείθομαι εἴ ποθεν ἔλθοι, οὔτε θεοπροπίης ἐμπάζομαι. (ῃερς. 416.) Ἰστέον δὲ ὅτι θεοπρόπος μὲν ἁπλῶς, ὁ μάντις. θεοπροπία δὲ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡ τέχνη αὐτοῦ. θεοπρόπιον δὲ, τὸ χρησμῴδημα. ὃ καὶ λόγιον ἔλεγον οἱ Ἀττικοί. (ῃερς. 415.) Ἔτι ἰστέον καὶ ὅτι τὸ, εἴποθεν ἔλθοι, ἐλλέλειπται τῇ φράσει. τὸ γὰρ πλῆρες, οὕτως ἔχει. οὔτε ἀγγελίαις ἔτι πείθομαι εἴποθεν ἔλθοι ἀγγελία δηλαδὴ ἀγαθὴ περὶ τοῦ Ὀδυσσέως. ἢ ἄγγελος ἀγαθὸς περὶ τῶν ἐκείνου. καὶ τοῦτο μὲν, τὸ κρεῖττον. δύναται δὲ καὶ γενικὴ ἑνικὴ εἶναι τὸ ἀγγελίης. ἵνα λέγῃ ὅτι οὔτε ὑπὸ ἀγγελίας ἔτι πείθομαι εἴποθεν ἔλθοι ἀγγέλλουσά τι τῶν κατὰ τὸν Ὀδυσσέα. τὸ δὲ εἰπεῖν ὅτι τὸ ἔλθοι ταυτόν ἐστι τῷ, ἔλθοιεν ἀγγελίαι δηλαδή τινες, Πινδάρῳ μὲν καὶ τοῖς κατ' ἐκεῖνον δωρίζουσι, φιλεῖται. οὔκουν δὲ καὶ Ὁμήρῳ εἰ καὶ ἐν τῷ, γοῦνα καὶ κνῆμαι παλάσσετο ἤγουν ἐπαλάσσοντο τουτέστιν ἐμολύνοντο, σχῆμα τοιοῦτον Δωρικῶς παρεμφαίνεται. Τὸ δὲ οὔτ' οὖν, ταυτόν ἐστι τῷ, οὔτε δή. οὐ γὰρ ἀεὶ αἰτιολογεῖ ὁ οὖν σύνδεσμος, ἀλλ' ἐν μυρίοις καὶ παραπληροῖ. (ῃερς. 418.) Ὅτι ἔστιν ἀληθεύειν τινὰ ἑκόντα ἐν τῷ αὐτῷ λόγῳ καὶ ψεύδεσθαι, ἀσχηματίστως. ἄλλως μέντοι καὶ ἄλλως. ὡς ἐνταῦθα Τηλέμαχος ἀληθεύει μὲν λέγων αὐτὰ ἐκεῖνα ὅσα ἤκουσεν ἐκ τῆς Ἀθηνᾶς, ἤγουν ὅτι Μέντης Τάφιος Ἀγχιάλου υἱὸς πατρῷος ἑταῖρος ἔστιν ὁ ξένος. ἄλλως μέντοι ψεύδεται. φρεσὶ γὰρ οἶδεν, ὅτι Ἀθηνᾶ ἐστὶ καὶ οὐ Μέντης ὁ αὐτῷ ἐμφανισθείς. (ῃερς. 422.) Ὅτι ἴδια τρυφώντων, καὶ ταῦτα. οἵδ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν τρεψάμενοι, τέρποντο. (ῃερς. 423.) Ὅρα δὲ μή ποτε ὁ ποιητὴς ἐπίτηδες διὰ κάλλος λόγου τὰ ῥήματα ταῦτα παρέθετο τὰ παρηχοῦντα ἐκ τοῦ τέρπω καὶ τρέπω. (ῃερς. 424.) Ὅτι ὥσπερ χολὴ χόλος. ὠνὴ ὦνος. δίνη δῖνος. διαλογὴ διάλογος. βολὴ βόλος ὅθεν καὶ τὸ βολίζειν. ῥοὴ ῥόος. γονὴ γόνος. οὐ γάρ πω τις ἑὸν γόνον αὐτὸς ἀνέγνω. κοίτη κοῖτος. κοίτου τε μέδηται. πύλη πύλος. ἐν πύλῳ ἐν νεκύεσσι. ποθὴ πόθος. βία βίος, οὕτως ἑσπέρα ἕσπερος. οἷον. τοῖς δὲ, τερπομένοις, μέλας ἐπὶ ἕσπερος ἦλθε. τοῦτο δὲ πρέπει λεχθῆναι καὶ ἐπὶ τῶν τρυφώντων δι' ὅλης ἡμέρας ἕως νυκτὸς, καὶ ἐπὶ τῶν σπαταλώντων ὀλέθρια. ἔχει γάρ τι καὶ αἰνιγματῶδες οὗτος ὁ λόγος. ὡς τῶν μνηστήρων ἐν τῷ τρυφᾶν, σφαγέντων καὶ σκότῳ παραπεμφθέντων ἐπ' αὐταῖς ταῖς τραπέζαις ἐν βαθείᾳ ἑσπέρᾳ. ὡς δὲ σύνηθες ἦν τοῖς παλαιοῖς καθὰ καὶ τοῖς ὕστερον, καὶ πόῤῥω νυκτῶν συμποσιάζειν, οὐκ ἔστιν ἀμφιβαλεῖν. σωφρονέστερον δὲ τοῦ τοιοῦδε συμποσίου, τὸ πρὸ νυκτὸς λύον τὴν τοιαύτην πανήγυριν. ὡς δηλοῖ καὶ τὸ, τοῦ πότου προϊόντος καὶ τῆς ὥρας ὑποσκιαζούσης. Ἔνθα ὅρα τὸ ὑποσκιαζούσης, φιλοσόφως 1.73 λεχθὲν ἀντὶ τοῦ, ἠρέμα οὔσης νυκτέρου. σκιὰ γὰρ ἐνταῦθα, οὐχ' ἁπλῶς ἀλλ' ἡ τὴν νύκτα ὁρίζουσα. εἴγε κατὰ τοὺς σοφοὺς σκιὰ τῆς γῆς ἡ νὺξ ὡς ἐκεῖνοι ἀκριβῶς ἐθεώρησαν. μνηστέον δ' ἐνταῦθα καὶ περὶ τῆς λοιπῆς ἐν ἡμέρᾳ σκιᾶς, ὡς αἴνιγμα ἐπ' αὐτῇ παλαιὸν ἐκτέθειται ἀπεναντίας ἔχον οἷς Ὅμηρος ἐποίησεν ἐπὶ τῇ Ἔριδι. αὐτὴ μὲν γὰρ τὰ πρῶτα, ὀλίγη κορυσσομένη κάτω, εἶτα οὐρανία αἴρεται. ὁ δὲ ἐπὶ τῇ σκιᾷ γρῖφος εἶναί τινα φύσιν φησὶν, ἣ παρὰ τὴν γένεσιν καὶ φθίσιν μάλιστα ἐστὶ μεγίστη, ἤγουν περὶ ἀνατολὴν ἡλίου καὶ δύσιν, περὶ δὲ τὴν ἀκμὴν ἐλαχίστη. ὅτε δηλαδὴ κατὰ κάθετον ὁ ἥλιος τοῖς περὶ γῆν σώμασι γίνεται. Μέλας δὲ ἕσπερος εἴρηται, πρὸς ἀντιδιαστολὴν τοῦ ἑσπέρου ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ. (ῃερς. 426.) Ὅτι ὁ τοῦ Τηλεμάχου θάλαμος ὑψηλὸς δεδόμητο περικαλλέος αὐλῆς περισκέπτῳ ἐν χώρῳ. ὁ δὲ περίσκεπτος χῶρος καὶ περιωπὴ ῥηθείη ἂν καὶ σκοπία καὶ τόπος ἄποπτος. Ὅρα δὲ ὅτι παρὰ μὲν Ὁμήρῳ, θάλαμος καὶ ἀνδρεῖος οἶκος λέγεται. οἱ δὲ μεθ' Ὅμηρον, τὴν γυναικωνίτην οὕτω καλοῦσιν. (ῃερς. 428.) Ὅτι πολλὰ φρεσὶ μερμηρίζων, ὅμοιόν ἐστι τῷ, δαίεται ἦτορ. μερίζειν γάρ ἐστι καὶ τὸ δαίεσθαι καὶ τὸ μερμηρίζειν. τούτοις δὲ ὅμοιόν ἐστι ἐν μιᾷ λέξει, τὸ δαΐφρων, ἤτοι δαιόμενος τὰς φρένας τρόπῳ συμβουλῆς. (ῃερς. 429.) Ὅτι ὁ ποιητὴς μὲν, φησὶν αἰθομένας δαΐδας οἱ δὲ παλαιοὶ, φασὶ καὶ ὅτι δᾳς, ἡ ἐκ δᾴδων λαμπάς. φανὸς δὲ ἡ τῶν κληματίδων. ἢ καὶ πανὸς ἐλέγετο καθὰ ἐν ἄλλοις δεδήλωται. (ῃερς. 430.) Ὅτι σύνηθες πολλαχοῦ τῷ ποιητῇ, εἴπου πρόσωπόν τι χρησιμεύσειν μέλλει αὐτῷ, συνιστᾶν αὐτὸ καὶ ἐγγράφειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἷον τῇ ψυχῇ τοῦ ἀκροατοῦ, διὰ τοῦ εἰπεῖν τι διεξοδικώτερον περὶ αὐτοῦ ἰδικῶς. ὅπερ ἐποίησε καὶ ἐπὶ Νέστορος ἐν Ἰλιάδι. καὶ ἐπὶ Κάλχαντος. καὶ ἐπὶ ἄλλων. καὶ ἐνταῦθα δὲ λέγει τὰ κατὰ τὴν δούλην Εὐρύκλειαν, καθάπερ κατωτέρω ῥηθήσεται. καὶ αὐτὴ γὰρ χρησιμωτάτη ἐν τῷ βιβλίῳ τούτῳ ἔσται τῷ ποιητῇ. διὰ τὴν αὐτὴν δὲ αἰτίαν γενεαλογήσει ἀλλαχοῦ καὶ τὸν δοῦλον Εὔμαιον. ἐρεῖ δέ τι ὁμοίως καὶ ἐν τῇ ¯β ῥαψῳδίᾳ διὰ τὸν γέροντα Αἰγύπτιον. Ὅτι ὢψ ὠπὸς ὀξυτόνως ὁ ὀφθαλμός. Ὦψ δὲ κύριον Ὧπος,βαρυτόνως. διὰ τὸ πρὸς τὸν ὀφθαλμὸν ἀσυνέμπτωτον, ἤγουν πρὸς ἀντιδιαστολὴν τοῦ ὀφθαλμοῦ. οἷον. Εὐρύκλει' Ὧπος θυγάτηρ. (ηερς. 434.) Ὅτι τὴν Εὐρύκλειαν πρωθήβην ἔτι οὖσαν, ὁ Λαέρτης ἐπρίατο. ἐεικοσάβοια δ' ἔδωκεν. ἶσα δέ μιν κεδνῇ ἀλόχῳ ἐτίμα ἐν μεγάροισιν. εὐνῇ δ' οὔποτ' ἔμικτο, τὸν τῆς γυναικὸς φυλασσόμενος χόλον. ὡς εἰ μὴ τοῦτο ἦν, τάχα καὶ αὐτὸ ἐποίησεν ἄν. Ἰστέον δὲ ὅτι Ὁμήρου εἰπόντος, χόλον δ' ἀλέεινε γυναικὸς, φασὶν οἱ παλαιοὶ τὸν δ¯ε σύνδεσμον ἐνταῦθα αἰτιολογικῶς κείμενον, ἰσοδυναμεῖν τῷ γ¯αρ. οἳ καὶ ἀντὶ τοῦ κα¯ι νοοῦσιν αὐτὸν ἐν τῷ, εἰ δὲ σὺ καρτερός ἐσσι θεὰ δέ σε γείνατο μήτηρ. ἀντὶ τοῦ, καὶ ἐγέννησε σε θεά. λαμβάνεται δέ φασι καὶ ἀντὶ τῆς ε¯ις ἐν τῷ, οἶκονδε φίλην ἐς πατρίδα γαῖαν. οἱ δ' αὐτοὶ καὶ περὶ τοῦ δ¯η συνδέσμου φασὶν ὅτι μετάβασίν τε σημαίνει, καὶ τὸν κα¯ι σύνδεσμον, καὶ παραπληροῖ. Ὅρα δὲ ἐνταῦθα ἐποχὴν ἐπιθυμίας δι' εὐλάβειαν ἔμφρονα. ταῦτα δὲ προεκτίθεται ὁ ποιητὴς, ἵνα πιθανὸν ποιήσῃ τῆς γραὸς δούλης περὶ τοὺς δεσπότας ἄκραν εὔνοιαν. εἰ γὰρ καὶ ἄλλως σπάνιον δοῦλος περὶ τὰ μέγιστα καὶ ἀναγκαιότατα τοῖς δεσπόταις εὐνοῶν ἀλλὰ ἡ Εὐρύκλεια εὔνους ἂν εἴη ὡς εἰκός. ἥτις ἐγήρασεν ἐν οἴκῳ. τιμωμένη μὲν ἄγαν ὑπὸ Λαέρτου. ὃς τύχῃ μὲν, ἐδέσποζεν αὐτῆς. προαιρέσει δὲ, ὡς ἀλόχῳ προσεφέρετο. θρεψαμένη δὲ τὸν Λαερτιάδην Ὀδύσσεια ἐπὶ μαζῷ οἷα παῖδα οἰκεῖον. διακειμένη δὲ φιλίως περὶ τὸν Τηλέμαχον. ἥτις αὐτὸν μάλιστα δμωάων φιλέεσκε καὶ ἔτρεφε τυτθὸν ἐόντα. ὅθεν ἡ τοιαύτη, οὐδ' ἐν μοίρᾳ κείσεται δούλης. ἀλλ' ὅσα καὶ μήτηρ, κηδομένη ἔσται τοῦ Ὀδυσσέως καὶ τοῦ Τηλεμάχου. καὶ τῷ τῶν μνηστήρων φόνῳ συμπράξει ὅσα δέον ἐστί. Σημείωσαι δὲ ὅτι εἰ καὶ τοιαύτη ἐστὶν ἡ γραῦς αὐτῆς, ἀλλ' οὖν ὀψέ ποτε ἀναγωρισθήσεται καὶ αὐτῇ ὁ Ὀδυσσεὺς, καὶ οὐδὲ ἑκών. ἔτι δὲ ὀψαίτερον αὐτῆς, Εὐμαίῳ τῷ δούλῳ ὅταν ἤδη γένηται πρὸς τοῖς ἔργοις. οὐ γὰρ ἁπλῶς πιστευτέον μὴ ὅτι γε δούλοις, ἀλλ' οὐδὲ ἐλευθέροις δίχα βασάνου πολλῆς καὶ ἀκριβοῦς. Σημείωσαι δὲ καὶ ὅτι οὐχ' ἁπλῶς ἡ Εὐρύκλεια μάλιστα ἐφίλει τὸν Τηλέμαχον, ἀλλὰ μάλιστα τῶν δουλίδων. καὶ οὐ δή που, μᾶλλον καὶ αὐτῆς τῆς μητρός. Ὅρα δ' ἐνταῦθα ὅτι Ὀδυσσεὺς μὲν καὶ πρὸ αὐτοῦ ὁ πατὴρ Λαέρτης, γυναικὶ δούλῃ διοικονομούμενα τὰ κατὰ τὸν οἶκον ἔχουσι. τῶν τις δὲ μεθ' Ὅμηρον παίζων ἀστείως κατὰ βίου γλίσχρου, παράγει παῖδα, οὐδὲ τὸ φαυλότατον ἐπιτρέποντα οὐδ' αὐτῇ τῇ μητρί. ὄρνιν γάρ φασιν ἕψων Ἀνταγόρας οὐκ ἔφη βαδιεῖσθαι εἰς τὸ βαλανεῖον, μή ποτε οἱ παῖδες τὸν ζωμὸν ἐκροφήσωσιν. εἰπόντος δέ τινος 1.74 ὡς ἡ μήτηρ τηρήσει, ἔγωγ' οὖν εἶπε, τῇ μητρὶ ὀρνίθειον ζωμὸν πιστεύσω; (ηερς. 432.) Τὸ δὲ πρωθήβην, καινότερον ἐπὶ θηλυκοῦ διὰ τοῦ ¯η δοκεῖ ἔχειν τὴν λήγουσαν. καὶ γὰρ τὸ ἀρσενικὸν, ὁ πρωθήβης, καὶ τὴν γενικὴν ἔχει εἰς ¯ο¯υ. τὰ δὲ τοιαῦτα, εἰς ¯ι¯ς ἔχει τὸ θηλυκόν. οἷον ὁ δεσπότης τοῦ δεσπότου ἡ δεσπότις. ὁ τοξότης τοῦ τοξότου ἡ τοξότις. οὕτως οὖν ὤφειλεν εἶναι καὶ ἡ πρωθῆβις. ἔοικε δὲ ἢ ὁμοιοφωνεῖν καὶ ὁμοιογραφεῖσθαι Ἀττικῶς τῷ ἀρσενικῷ, ἢ καὶ ἄλλως ὥσπερ ὁ εὐποίητος ἡ εὐποιήτη, ὁ ἀθάνατος ἡ ἀθανάτη, οὕτως ὁ πρώθηβος ἡ πρωθήβη. καὶ ἡ αἰτιατικὴ τὴν πρωθήβην. τὸ δὲ πρώθηβος, ὅμοιον τῷ ἔφηβος. ἄνηβος. ἄκρηβος παρὰ τῷ Θεοκρίτῳ. καὶ ἔξηβος παρὰ Αἰσχύλῳ. ἴσως δὲ οὕτω πως κλίνεται καὶ παρ' Εὐριπίδῃ τὸ, τῆς πατροφόντου μητρός. καὶ παρ' Ἡροδότῳ δὲ τὸ, ἐθελοντὴν τὴν Ἰὼ τοῖς Φοίνιξι συνεκπλεῦσαι. ἢ καὶ ὁμοίως κλίνεται τοῖς αὐτῶν ἀρσενικοῖς. ἢ τὴν κλίσιν ἔχει τῆς τιμῆς. Ἐεικοσάβοιον δὲ, ἢ σταθμός τις ὕλης μεταλλικῆς δι' οὗ εἴκοσι βόας ἦν ὠνήσασθαι ὁποῖόν τι καὶ τὸ τετράβοιον. καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δωδεκάβοιον. καὶ ἑκατόμβοιον ὡς καὶ ἐν τῇ Ἰλιάδι εἴρηται. ἢ διάφοροί τινες ὕλαι πραγμάτων, δι' ὧν καὶ αὐτῶν ἐξωνοῦνται βόες τοσοί δέ τινες. Ἰστέον δὲ ὅτι καινῶς ἐσχημάτισται τὸ ἐεικοσάβοιον. ὤφειλε γὰρ ἐεικοσίβοιον εἶναι, ὡς ἀπὸ τοῦ ἐείκοσι. προείρηται δὲ περὶ αὐτοῦ. ἔχει δὲ πλεονασμὸν τοῦ ¯ε Ἀττικῶς, ὡς πρωτοθέτου ὄντος τοῦ εἴκοσι. τοῦτο δὲ παράγουσί τινες ἀπὸ τοῦ ἰεκάς. ἤτοι δεκὰς ἑκάς. τουτέστι δευτέρα δεκάς. καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν, εἰκάς. τοῦ ἰῶτα στοιχείου τὴν δεκάδα δηλοῦντος. ὥσπερ καὶ ἐν τῷ ἁπλῶς καὶ ἐν τῷ ἁμαζὼν, καὶ ἐν ἄλλοις, τὸ ¯α στοιχεῖον ἀντὶ μονάδος λογίζεται. ἁπλοῦν γὰρ, τὸ ἓν πέλον. καὶ ἁμαζὼν, ἡ μονόμαζος. (ῃερς. 434.) Ὅρα δὲ σεμνῶς ῥηθὲν τὸ, εὐνῇ δ' οὔποτ' ἔμικτο. οὗ πρὸς ὁμοιότητα ἔφρασε μεθ' Ὅμηρον, καὶ ὁ εἰπὼν τὸ μίγνυσθαι, ἐπιπλέκεσθαι. οἷον. Αἰγυπτίαν ὠνησάμενος θεράπαιναν, ἐπεπλέκετο αὐτῇ. πρὸς διαφορὰν δὲ εἴρηται τὸ, εὐνῇ οὔποτ' ἔμικτο. ἔστι γὰρ καὶ ἄλλως πολυτρόπως μίγνυσθαι. μίγνυται γοῦν στρατεύματα κατὰ ἐπιπλοκὴν μάχιμον. μίγνυται ὕδατα ἐς μίαν μισγάγκειαν. μίγνυνται ἀθληταὶ, Πινδαρικῶς εἰπεῖν, νίκαις. αἱ δὲ τῶν παλαιῶν σοφῶν περιᾳδόμεναι συνουσίαι εἴτουν ὁμιλίαι, καὶ ὁ τοῦ Διὸς ὀαριστὴς ἤγουν ὁμιλητὴς Μίνως, μίξιν ἑτεροίαν σπουδαίαν παραλαλοῦσι. καὶ αὐτὸ δὲ τὸ εὐνῇ μίγνυσθαι, ὁμωνυμίαν ἔχον, μίαν μὲν δηλοῖ μίξιν, τὴν παιδοποιόν. ἑτέραν δὲ ἀλλοίαν, τὴν τῶν συγκοιμωμένων ἔγγιστα κατά τινα βίου περιπέτειαν. ταῖς δὲ σεμνῶς πεφρασμέναις δυσὶν ἐννοίαις τῇ τοῦ εὐνῇ μίγνυσθαι καὶ τῇ τοῦ ἐπιπλέκεσθαι τῇ θεραπαίνῃ, ἀντίκειταί πως τὸ, ἀλλήλοις ἐπανίστασθαι. σεμνῶς μὲν τῇ φράσει προενεχθὲν, δηλοῦν δὲ φαυλοτάτην ἑτεροίαν ἔννοιαν. δῆλον δὲ ὅτι καὶ τὸ συνεῖναι καὶ ἡ συνουσία, εἰς τοιαύτας ὁμωνυμίας σχίζεται. σύνεστι γοῦν τις, γυναικί. καὶ φίλοις δέ. οἱ δὲ σοφοὶ, καὶ τὰς ἐν λόγοις ὁμιλίας συνουσίας φασίν. (ῃερς. 435.) Ὅτι τῷ Τηλεμάχῳ δᾷδας αἰθομένας ἡ τροφὸς Εὐρύκλεια φέρει εἰς ὕπνον ἰόντι. ὁ δὲ, ἕζετο ἐν λέκτρῳ. μαλακὸν δ' ἔκδυνε χιτῶνα. ὃν καὶ γραίης πυκιμήδεος ἔμβαλεν ἤτοι ἐνέθετο χερσί. καὶ αὐτὴ μὲν, πύξασα καὶ ἀσκήσασα χιτῶνα, πασσάλῳ ἀγκρεμάσασα παρὰ τρητοῖς λεχέεσιν, ἔβη ἐκ θαλάμοιο. θύρην δ' ἐπέρυσε κορώνῃ ἀργυρέῃ. ἐπὶ δὲ, τούτεστιν ὕστερον καὶ ἐπὶ πᾶσι, τὴν κληῖδα ἐτάνυσεν ἱμάντι. ἅπερ ἐπέτεμεν ὁ μεταβολεὺς γοργῶς ἐν τῷ, ἐπισπασαμένη τὴν θύραν καὶ ἐπικλείσασα. (ῃερς. 444.) Ὁ δὲ, παννύχιος κεκαλυμμένος οἰὸς ἀώτῳ τουτέστιν ἐξ ἐρίων σκεπάσματι, καὶ ἑξῆς. (ῃερς. 438. σθθ.) Καὶ σημείωσαι καὶ ἐνταῦθα τὸ τοῦ ἡρωϊκοῦ βίου ἀφελές τε καὶ ἄσκευον. δίχα γὰρ τῆς ἐπιφαινομένης ἀργυρέας κορώνης, ἰδιωτικὰ πάντα τῷ βασιλικῷ ἥρωϊ. αἱ τοῦ κοιτῶνος δᾷδες. ἡ μόνης τῆς γραὸς προπομπὴ καὶ ὑπηρεσία. ὁ τὸν χειτῶνα φέρων πάσσαλος. τὸ καλύπτον αὐτὸν ἐρεοῦν ἄωτον. καὶ αὐτὸς μὲν, οὕτως εὐτελὴς τῇ σκευῇ. τὸν δὲ περὶ αὐτοῦ λόγον, κοσμεῖ παρίσοις ὁ ποιητὴς τῷ, πτύξασα. ἀσκήσασα. ἀγκρεμάσασα. ἀγλαΐζων τῇ φράσει τὸ τοῦ πράγματος ἀφελές. Σημείωσαι δὲ ἐνταῦθα ἐν τῷ, ἔκδυνε χιτῶνα, ὅτι εἰ μὲν χιτών ἐστι τὸ ἐπικάμισον, γυμνὸς ἄρα κατὰ ἔθος ἀρχαῖον κοιμᾶται ὁ Τηλέμαχος. εἰ δὲ καὶ μετὰ τὴν τοῦ χιτῶνος ἀπόδυσιν τυχὸν οὐ γυμνὸς κοιμᾶται, οὐκ ἄρα χιτῶνα νοητέον ἀεὶ τὸ ἐπικάμισον. Γραῖα δὲ, νῦν μὲν τὸ κοινόν. ὁ δὲ μῦθος οἶδε καί τινα δαιμόνια θαλάσσια, γραίας καλούμενα. πλάττων ἐκείνας πολιὰς ἐκ γενετῆς, εἰς αἴνιγμα ὁποῖον καὶ τῇ πολιᾷ θαλάσσῃ ἐμφαίνεται καὶ τῷ γέροντι Νηρεῖ. κοινῆς δὲ φράσεως ἡ γραῖα. ἡ μέντοι γραῦς, Ἀτθίδος γλώσσης ἐστί. λαμβανομένη κατὰ τὴν χρῆσιν τοῦ κωμικοῦ, καὶ ἐπὶ ἀφροῦ ἐπιπολάζοντος χύτρᾳ ζεούσῃ. ἐν δὲ 1.75 τῷ δειπνοσοφιστῇ κεῖται καὶ γάλακτι ἐφεστηκυῖα τοιαύτη γραῦς. (ῃερς. 440.) Τὸ δὲ πυκινομήδεος, συγκοπὴν ἔπαθεν ἐκ τοῦ πυκινουμήδεος. οὐ γάρ ἐστιν εἰπεῖν πρὸς ἀκρίβειαν, ὡς ἐκ τοῦ πύκα σύγκειται. Ἀσκῆσαι δὲ, τὸ ἐπιμελείας ἀξιῶσαι, παρὰ τὸ ἀκήσασθαι ἤγουν θεραπεῦσαι, πλεονασμῷ τοῦ ¯σ. ὅθεν καὶ ἄσκησις ἡ τοῦ σώματος θεραπεία ἐν ταῖς τροφαῖς. τοιοῦτοι γὰρ οἱ παρ' Ἕλλησιν ἀθληταί. σωμάτων ἀσκηταί. κρέασι κατὰ τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀλεξάνδρου λόγον ἀνοικοδομοῦντες ἑαυτούς. καὶ ὁ ἀσκησθὴς δὲ, τοιοῦτόν τι ἔοικε δηλοῦν. οἱονεὶ τεθεραπευμένος καὶ ἀβλαβής. Ἐν δὲ τῷ πασσάλῳ ἀγκρεμάσασα, ὅρα ὡς οὐ πάντα τὰ ἐκ πασσάλου δι' ἀμέλειαν ἀνατίθεται. ἀλλὰ τὰ πλείω, ἐπιμελῶς. ἐνταῦθα τὲ οὖν τοῦτο φαίνεται. καὶ ὅπου δὲ ἡ τοῦ Δημοδόκου φόρμιγξ πασσάλου ἀπῃώρηται. Ἀθήναιος δὲ, καὶ Ἑρμίππου τοῦ κωμικοῦ παράγει τὸ, χία δὲ κύλιξ ὑψοῦ κρέμαται περὶ πασσαλόφιν. περὶ ἧς ὅτε κατενεχθῇ ἐκ τοῦ πασσάλου, παίζει ὁ Φερεκράτης ἐπὶ διαβολῇ γυναικῶν, τὰ ἐν τοῖς ἑξῆς που δηλωθησόμενα. εἰ δὲ Ἡσίοδος οἶδε πηδάλιον ὑπὲρ καπνοῦ τιθέμενον ὡς ἐν ἀπαιωρήσει ἑτεροίᾳ, ῥηθήσεται καὶ περὶ τούτου ἐν τοῖς ἑξῆς. ὡς δὲ ὁ πάσσαλος, πάσσαξ ὑποκοριστικῶς παρὰ τοῖς κωμικευομένοις, οἱ παλαιοὶ παραδιδόασι. Τρητὰ δὲ λέχη πρὸς διαστολὴν τῶν στιβάδων, τὰ τεκτονηθέντα. αἱ γὰρ στιβάδες εἰκαίως πεποιημέναι, οὐδέν τι τοιοῦτον πάσχουσι. (ῥερς. 442.) Κορώνη δὲ ἀργυρέα, ἢ τὸ κοράκιον, ἢ μᾶλλον κατὰ τοὺς παλαιοὺς, ὁ κρίκος ᾧ ἐστὶ τὴν θύραν ἐπερύσαι. ἤγουν ἑλκύσαι. ἐπισπάσθαι. ὅθεν καὶ ὁ ἐπισπαστὴρ παρὰ Ἡροδότῳ ἐν τῷ, ἐπιλαβόμενοι τῶν ἐπισπαστήρων. ὃς καὶ ῥόπτρον ἐλέγετο. καθὰ δηλοῖ καὶ ὁ εἰπών. ῥόπτρον, ἐπίσπαστρον θύρας. Εἰς δὲ τὸ κορώνη, φασὶν οἱ παλαιοὶ καὶ ταῦτα, κορώνη, τοῦ τόξου τὸ ἄκρον. καὶ θύρας ἐπίσπαστρον. καὶ ὁ κόραξ. καὶ ἡ αἴθυια. καὶ ὁ λάρος. καὶ στεφάνου εἶδος. καὶ γένος ἐμπλοκῆς. καὶ πᾶν τὸ ἐπικεκαμμένον. ὅθεν καὶ κορωνίδες νῆες. (ῥερς. 443.) Τὸ δὲ κληῖδα ἐτάνυσε, τὴν κλεῖδα παρήγαγεν ἑρμηνεύουσιν, οἱ παλαιοί. Κληῖδα δὲ λέγει, οὐ σκεῦος ἀπὸ σιδήρου, ἀλλὰ μοχλόν. ἐντὸς μὲν τῆς θύρας ἐξημμένον, καὶ ἐπὶ τὰ κάτω καθειμένον, ἤτοι κεχαλασμένον. ἱμάντι δὲ ἔξωθεν σπώμενον καὶ ἀνελκόμενον καὶ ἐπιζυγοῦντα τὴν θύραν. οὕτω δὲ καὶ ἐν Ἰλιάδι κλεῖδα θυρῶν ὠνόμασε, τὸν ἐπιβλῆτα ἤγουν τὸν μοχλὸν καὶ ὀχέα τῶν τοῦ Ἀχιλλέως θυρῶν. ὅτι δὲ ἡ κληῒς ἐκτείνει τὴν παραλήγουσαν. καὶ ὅτι καὶ ἐπὶ νηὸς μέρους ἡ λέξις τίθεται ὅθεν καὶ νῆες πολυκλήιδες, ἐν δὲ Ἰλιάδι δεδήλωται. (ῥερς. 444.) Ἄωτον δὲ οἰὸς, τὸ ἐξ ἐρίων ὕφασμα. οὐ τὸ ἁπλῶς, ἀλλὰ τὸ ἀνθηρὸν, ἐκ μεταφορᾶς. ἄωτον γὰρ, κυρίως τὸ ἄνθος, παρὰ τὸ ἄω τὸ πνέω, οὗ ἡδύ τι ἀποπνεῖ. ὡς γὰρ εἴδω εἴδωλον κατὰ πρόσληψιν συλλαβῆς, οὕτως ἄω ἄωτον. ἐκ τούτου δὲ, πολλὰ τῶν ἀνθηρῶν πραγμάτων καλοῦνται. οἷον τὸ ἀπὸ λίνου κάλλιστον ἔργον, λίνοιο λεπτὸν ἄωτον λέγεται. ἤγουν λίνου ἀπάνθισμα. καὶ οἰὸς ἄωτον ὁμοίως, τὸ ἐξ ἐρίων ἀπανθισθέν. οὕτω δὲ καὶ ὕπνον ἀωτεῖν ἐν Ἰλιάδι, τὸ ὑπνοῦν ὕπνον ἡδὺν καὶ ἀφρόντιδα καὶ ὡς εἰπεῖν ἀνθηρόν. καί τις δὲ τῶν συγγραφέων, ἄκρον ἄωτον ἐν λογίοις φησὶ, τοὺς ἐν λόγοις οἷον ἀνθοῦντας καὶ Θεόκριτος τοὺς Ἀργοναύτας, θεῖον ἄωτον ἡρώων φησί. Καὶ Πίνδαρος δὲ τὴν μουσικὴν ἐπιστήμην ἤτοι λυρικὴν, μουσικῆς ἄωτον λέγει. καὶ πατέρων δὲ ἄωτον φησί. καὶ ἄλλα τοιαῦτα. Ἰστέον δὲ ὅτι ἐν τοῖς περὶ τοῦ Κύκλωπος λόγοις, ὁ ποιητὴς καὶ αὐτὸ τὸ ἁπλῶς ἔριον, ἄωτον ἐρεῖ. φησὶ γάρ. ἀώτου θεσπεσίοιο εἰχόμην. καὶ τοῦτο, εὐλόγως. ἔστι γὰρ τὸ ἔριον, δέρματος οἷον ἄνθος. οἱ δὲ εἰπόντες ἄωτον παρὰ στέρησιν τοῦ ὠτὸς οἱονεὶ τὸ μὴ ἀκουόμενον δι' ἁπαλότητα ἐν τῷ πίπτειν, καινὸν μέν τι φασί. δοκοῦσι δὲ ὑπαχθῆναί ποθεν. εὕρηται γὰρ ἐν λεξικῷ παλαιῷ ἐκφερομένῳ κατὰ στοιχεῖον, ὅτι ἄωτοι οἱ νεκροί. ὅπερ εἴληπται ἐκ τοῦ, κωφὴν δὴ γαῖαν ἀεικίζεις. ἐκεῖ δὲ κεῖται καὶ ὅτι ἀωτεύειν, τὸ ὑφαίνειν καὶ ὑπνοῦν. τοῦτο μὲν ἐκ τοῦ, πάννυχον ὕπνον ἀωτεῖς. ἐκεῖνο δὲ, ἐκ τοῦ ὑφαινομένου ἀώτου, ἐρίου δηλαδὴ ἢ λίνου. ἐν δὲ τοῖς τοῦ Ἀθηναίου εὕρηται καὶ ποτήριον ἄωτον, ἤτοι τὸ οὖς οὐκ ἔχον. (ῥερς. 445.) Ὅτι τὸ βουλεύεσθαι, ὁ ποιητὴς ἔν τε τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ κατὰ ἐνεργητικὴν προάγει φωνὴν. ἔν τε τῷ, βουλὰς βουλεύει. καὶ, βούλευε φρεσί. καὶ ἐν ἄλλοις πολλοῖς. ὁμοίως δὲ καὶ τὸ συμβουλεύειν, κατὰ φωνὴν δραστικὴν ἤτοι ἐνεργητικὴν οἱ παλαιοὶ τῶν ῥητόρων προάγουσιν. ὕστερον δὲ, τὸ παθητικὸν ἐπεπόλασεν. οὕτω δὲ καὶ τὸ σέβεσθαι καὶ μεταχειρίζεσθαι καὶ δρέπεσθαι, οἱ παλαιοὶ ἐνεργητικῶς προέφερον. φησὶ γοῦν Σοφοκλῆς. μαθησόμεθα δ' Ἀτρείδας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σέβειν. καὶ Ἡρόδοτος, δρέπειν φησί. καὶ λόγον δώσεις ὧν μετεχείρισας 1.76 χρημάτων. Σημείωσαι δ' ἐν τούτοις, καὶ ὅτι οὐδὲ ὁ ὕπνος τῷ σπουδαίῳ ἀνδρὶ ἄφροντις. Τηλέμαχος γοῦν, παννύχιος βούλευε φρεσὶν ἃ ὑπέθετο αὐτῷ ἡ Ἀθηνᾶ. ἐκεῖνο φρονῶν καὶ αὐτὸς, ὡς οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. ΥΠΟΘΕΣΙΣ ΤΗΣ Β. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Συναγαγὼν ἐκκλησίαν Τηλέμαχος, παραγγέλλει τοῖς μνηστῆρσιν ἐξιέναι τῆς οἰκίας τοῦ Ὀδυσσέως. καὶ λαβὼν παρὰ μὲν Εὐρυκλείας τὰ πρὸς τὴν ἀποδημίαν ἐπιτήδεια, παρὰ δὲ τῆς Ἀθηνᾶς ἑταίρους τε καὶ ναῦν, εἰς πλοῦν ἀνάγεται ἡλίου δύναντος. ΟΔΥΣΣΕΙΑΣ Β. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. Ὅτι τῆς ¯β ῥαψῳδίας ἐπιγραφὴ, αὕτη. Ἰθακησίων ἐκκλησία καὶ Τηλεμάχου. Ὅτι ὅτε μέν που κροκόπεπλον ἠῶ τουτέστι πρωΐαν λέγει ὁ ποιητὴς, διὰ τοῦ κρόκου, τὸ πολὺ μὲν τῆς νυκτὸς ὀλίγον δὲ τοῦ φωτὸς αἰνίττεται. ἡ μέντοι ῥοδοδάκτυλος Ἠὼς ἤγουν πρωΐα, τὸ πλεῖον μὲν τῆς ἡμέρας ἔλαττον δὲ τῆς νυκτὸς ὑποδηλοῖ. ὡς πάσης Ἠοῦς προηγεῖσθαι μὲν τὴν κροκόπεπλον, μετ' αὐτὴν δὲ εἶναι τὴν ῥοδοδάκτυλον. ἄλλως δέ γε μυθικῶς καὶ κατὰ σῶμα, κροκόπεπλον μὲν, ἡ κρόκεον ἤτοι κιῤῥὸν πέπλον φοροῦσα, ῥοδοδάκτυλος δὲ, ἧς οἱ δάκτυλοι ῥόδεοι ὡς ῥόδοις ἐοικότες. αἵματος φυσικοῦ χυμῷ καλῷ ἐρευθόμενοι. καθὰ καὶ ἡ Σαπφὼ τοὺς τῶν μυθικῶν χαρίτων πήχεις γυμνοῦσα, ῥόδοις εἰκάζει. ὡς εἶναι αὐτὰς ῥοδοπήχεις. εἶεν δὲ ἂν Ἠοῦς δάκτυλοι κατὰ ἀλληγορίαν, αἱ τοῦ ἡλίου ἀκτῖνες. ὃς καὶ ἑκατόγχειρ ἀλληγορικῶς ἐν Ἰλιάδι ἐῤῥέθη. ὅπου δὲ χεῖρες, οὐκ ἀπεοικῶς ἐκεῖ καὶ δακτύλους τὴν ἀλληγορίαν προσφύειν. ὡς καὶ αὐτὸ ἐν τοῖς εἰς τὴν Ἰλιάδα δηλοῦται. καὶ τοιαῦτα μὲν ἡ κροκόπεπλος καὶ ἡ ῥοδοδάκτυλος. ἡ δὲ ἠριγένεια Ἠὼς, ἔστιν οἱονεὶ ἠεριγένεια. ἤγουν ὑπὸ ἠέρος γεννωμένη. ἀὴρ γὰρ πεφωτισμένος ἡ ἡμέρα. ὁ δὲ πλείων λόγος καὶ καθωμιλημένος, ἠριγένειαν λέγει, τὴν ἐν τῷ ἦρι ἤτοι τῷ ὄρθρῳ γεννωμένην. ὡς γὰρ τὸν ἡμερινὸν ἁπλῶς Ἀπόλλωνα εἴτουν Ἥλιον ἡ Λητὼ γεννᾷ τουτέστιν ἡ νὺξ ὡς καὶ Σοφοκλῆς ἐν Τραχινίαις ἀλληγορεῖ, οὕτω καὶ τὴν τῆς ἡμέρας ἀρχὴν, ὁ τὴν νύκτα περατῶν ὄρθρος ποιεῖ. δύναται μὲν οὖν Ἠριγένεια ῥηθῆναι καὶ ἡ τὸν ὄρθρον γεννῶσα. μάλιστα δὲ, παθητικὸς ὁ τῆς λέξεως ταύτης σχηματισμὸς, ὡς ἡ Ἰφιγένεια δηλοῖ καὶ ἡ Τριτογένεια. αἱ γεννηθεῖσαι δηλαδὴ ἡ μὲν, ἀπὸ ἰσχυροῦ καὶ βασιλικοῦ γένους. ἡ δὲ ἀπὸ τριτοῦς ὅ ἐστι κεφαλῆς. ἦρ δὲ ὁ ὄρθρος λέγεται, ἢ ἀπὸ τοῦ αἴρω, τότε γὰρ αἰρόμεθα καὶ εἰς ἔργον ὀρθούμεθα ὅθεν καὶ ὄρθρος ἡ τοιαύτη ὥρα λέγεται. ἢ μάλιστα παρὰ τοῦ ἔαρ, πρὸς ὃ ἀναλογίαν σώζει ὁ ὄρθρος. μικρὸς γάρ τις ἐνιαυτὸς ἡ ἡμέρα. ἧς οἷα μὲν ἔαρ, ἡ πρωΐα, διὰ τὸ τηνικαῦτα εὔκρατον. θέρος δὲ οἷον, τὸ τῆς ἡμέρας μέσον. φθινοπώρῳ δὲ τὰ περὶ δείλην ἔοικε. χειμῶνος δὲ δίκην, σκυθρωπάζει τὰ πρὸς ἑσπέραν καὶ ἐπέκεινα. ἡ δὲ χρῆσις τοῦ ἦρ ἤτοι ὄρθρος, καὶ ἀλλαχοῦ μὲν, καὶ ἐν τῇ ¯υ δὲ τῆς Ὀδυσσείας. Δῆλον δὲ ὅτι τὲ πρωΐας ἐπίθετα ὡς καὶ ἐνταῦθα καὶ ἡ ἠριγένεια καὶ ἡ ῥοδοδάκτυλος καθὰ καὶ ἡ κροκόπεπλος, καὶ ὅτι ἐξαχῶς λέγεται ἡ ἠώς. καὶ γὰρ, ἡ πρωΐα. καὶ αὖθις, τὸ ἐξ αὐτῆς μέχρι μέσης ἡμέρας. καὶ πάλιν, τὸ ἐκ πρωΐας ἕως ἑσπέρας. καὶ τὸ πρωΐθεν δὲ, ἕως ἑτέρας πρωΐας, ὅ ἐστι νυχθήμερον. λέγεται δὲ ἠὼς, καὶ ἡ ἀνατολή. ἔτι δὲ, καὶ ἡ σωματοειδὴς θεά. ἣν ὁ μῦθος ἔποχον ἅρματι ἢ κελητίζουσαν ἐπὶ τοῦ Πηγάσου, ἔτι δὲ καὶ λαμπαδηφόρον, πλάττει. καὶ ταῦτα μὲν ἓξ τῆς ἠοῦς σημαινόμενα. ὧν πάντων αἱ χρήσεις παρὰ τῷ ποιητῇ. ὅτε δὲ εἴπῃ ἐν τῇ ¯ρ ῥαψῳδίᾳ δείελον ἦμαρ ὁ ποιητὴς, δίδωσι νοεῖν ὅτι καθάπερ ἡ πρωΐα ἠὼς λέγεται, οὕτω καὶ τὸ δειλινόν. ὡς εἶναι σὺν τούτῳ, ἑπτὰ σημαινόμενα τῆς ἠοῦς. Ὅτι δὲ κανονικῶς ὀξύνεται ἡ Ἠὼς, δηλοῖ ὁ γράψας ὡς τῶν εἰς ¯ως τὰ μὲν ὑπὲρ μίαν συλλαβὴν, βαρύνεται. τῶν δὲ μονοσυλλάβων, ἓν ὀξύνεται, μένον καὶ ἄκλιτον, ἡ δὼς, ὅ ἔστιν ἡ δωρέα. τὰ δ' ἄλλα, περισπῶνται καὶ κλίνονται. Κρῶς πόλις. Τλῶς ὁμοίως. Κῶς νῆσος 1.77 καὶ πόλις. (ηερς. 3.) Ὅτι τὸ, εἵματα ἑσσάμενος, τρόπος ἐτυμολογίας ἐστίν. ἀπὸ τοῦ ἕω γὰρ τὸ εἷμα γίνεται, ἀπὸ δ' αὐτοῦ, τὸ ἱμάτιον. γράφεται δὲ διὰ διφθόγγου τὸ εἷμα, ἢ ἀπὸ τοῦ ἕμα προσλήψει τοῦ ἰῶτα, ἢ ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φυλάξαν τὴν τοῦ πρωτοτύπου παρακειμένου αὔξησιν. ὃ καὶ ἡ ἐγρήγορσις ἔχει. καὶ ἡ πεποίθησις. καὶ ἡ ὀπωπή. καὶ ἡ ἀντιπεπόνθησις. Ὅρα δὲ ὅτι ἐν ἄλλοις πλατύτερον φράσας ὁ ποιητὴς τὴν τῶν ἡρώων ἐξ ὕπνου ἔγερσιν. οἷον, μαλακὸν ἔνδυνε χιτῶνα, περὶ δὲ μέγα βάλλετο φᾶρος. καὶ ἑξῆς. ἐνταῦθα ἐπὶ Τηλεμάχου, γοργότατα ἔφη ἐν δυσὶ λέξεσιν. ὄρνυτο ἐξ εὐνῆς εἵματα ἑσσάμενος. Σημείωσαι δὲ ὅτι ἐνταῦθα μὲν ἁπλῶς εἷμα ἔφη ὁ ποιητὴς. ὅτε δὲ μέγα φᾶρος εἴπῃ, παροιμίαν ποιεῖ τὴν λέγουσαν, ἐπὶ χεῖρας φέρειν, ἤγουν ἔνδοξον εἶναι. ὡς ἀπὸ τῶν μεγάλα φασὶν ἱμάτια ἐχόντων ὡς μείζονα εἶναι τὴν ἐπιβολήν. Κρατῖνος. εὐπρόσωπος ἦσθ' ὀνόματος οὐδὲν ἐπὶ χεῖρας φέρων, ἤγουν οὐ μέγα ἔχων ὄνομα. οὐδὲ φαινόμενος κατὰ τοὺς οὕτω μεγαλοείμονας ὡς καὶ ἐπὶ χειρῶν φέρειν τὰς ᾤας. (ηερς. 4.) Ὅτι λιπαροὺς πόδας ὥσπερ ἑτέρων τινῶν ἀλλαχοῦ, οὕτω κἀνταῦθα τοὺς τοῦ γυμναστικοῦ Τηλεμάχου καὶ τρυφεροῦ λέγει. οὗ τὸ ἀνάπαλιν, πόδες νήλιποι, οἱ αὐχμηροὶ καὶ ἀλιπεῖς. Ἰστέον δὲ ὅτι κατά τινα ὁμοιότητα τῶν ἐκ τρυφῆς λιπαρῶν ποδῶν, λέγονται παρὰ τοῖς παλαιοῖς ἀρχολίπαροι οὐ μόνον οἱ λιπαροῦντες ἵνα ἄρξωσιν, ἀλλὰ καὶ οἱ λιπαινόμενοι ἐκ τοῦ ἄρχειν. (ηερς. 5.) Ὅτι εὐμεγέθους καὶ θεοειδοῦς ἀνδρὸς δηλωτικὸν τὸ, βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην, τουτέστιν ἄντικρυς. (ηερς. 6.) Ὅτι ὡς ἐν Ἰλιάδι, οὕτω κἀνταῦθα κελευσθέντες κήρυκες λιγύφθογγοι κηρύσσειν ἀγορὴν δεκαρηκομόωντας Ἀχαιοὺς, οἱ μὲν, ἐκήρυσσον, οἱ δὲ, ἠγείροντο μάλ' ὦκα δι' εὐπειθείαν. εἰπὼν δὲ καὶ ὅτι ἤγερθεν οἱ Ἀχαιοὶ, ἑρμηνεύει αὐτὸ ὡς καὶ ἐν τῇ Ἰλιάδι, διὰ τοῦ, ὁμηγερέες τ' ἐγένοντο. (ηερς. 7.) Ἰστέον δ' ὅτι ἀγορὰ ἐν τούτοις, ὁ τόπος εἰς ὃν ἀγείρονται ὁ λαός. καὶ γίνεται ἡ λέξις ἐκ τοῦ ἀγείρω. ἐξ αὐτῆς δὲ, οὐ μόνον ἀγύρτης κατὰ τοὺς παλαιοὺς, ὁ ἀγείρων ὄχλον καὶ ἀπατεὼν καὶ ἀλαζὼν, καὶ ὄνομα δὲ βόλου κυβευτικοῦ, ἀλλὰ καὶ ἄγυρις. αἰολίζουσα οὐ μόνον τῇ τροπῇ τοῦ ¯ο εἰς ¯υ, ἀλλὰ καὶ τῷ τόνῳ. ὡς γὰρ ἑορτὴ ἔροτις Αἰολικῶς. οὕτω καὶ ἀγορὰ ἄγυρις. ἐξ οὗ καὶ ὁμήγυρις. ἦν δέ φασι καὶ ἀγορὰ Κερκώπων Ἀθήνῃσι πλησίον Ἠλιαίας, ἔνθα τὰ κλοπιμαῖα ἐπωλοῦντο, τοιοῦτοι γὰρ καὶ οἱ κέρκωπες περιᾴδονται. κλέπται δηλαδὴ καὶ πανοῦργοι. λέγεται δὲ κατὰ Αἴλιον Διονύσιον Ἁλικαρνασέα, ἀγείρειν, καὶ τὸ περιέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ ἢ ἑτέρῳ τινί φησι τοιούτῳ. ὅθεν ἴσως καὶ ὁ ἀγύρτης. Πλάτων δὲ ἐν πολιτικοῖς, καὶ τὴν ἄθροισιν, ἀγυρμόν φησιν. εἰπὼν συναγυρμὸν φρονήσεως. ὅτι δὲ οἱ Αἰολεῖς τὸ ¯ο εἰς ¯υ τρέπουσι, μυριαχόθεν δῆλον. οὐ μὴν δὲ, ἀλλὰ καὶ ἀπὸ τοῦ ῥοφεῖν. ὃ ῥυφεῖν λέγουσιν Ἴωνες καὶ Δωριεῖς, κατὰ τοὺς παλαιούς. Αἴλιος δὲ Διονύσιος, ῥόφειν φησὶ λέγεσθαι ὡς γράφειν. καὶ ῥόφουσιν ὡς γράφουσιν. (ηερς. 10.) Ὅτι ὁ Τηλέμαχος εἰς ἀγορὰν ἰὼν, ξίφος ὀξὺ θέτ' ὤμῳ, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος. τούτων δὲ τὸ πρῶτον καὶ Ἀγαμέμνων ἐν Ἰλιάδι ποιεῖ κατὰ ἔθος ἀρχαῖον. καθ' ὃ καὶ Ἀχιλλεὺς ἐκεῖ ξίφος φορεῖ ἐν τῇ ¯α ῥαψῳδία δημογορῶν. εἰ καὶ ὕστερον ἐξεκόπη ἀναγκαίως τὸ ἔθος, ὡς καὶ ἡ κατὰ τὸν Ζάλευκον ἱστορία δηλοῖ. (ηερς. 11.) Τὴν δὲ δορυφορίαν φόβῳ τῶν μνηστήρων ἔοικε ποιεῖν ὁ Τηλέμαχος. οὐ γὰρ δή πουθεν ἀντὶ σκήπτρου τὸ δόρυ φέρει καθά τις ἐν Ἰλιάδι ποιεῖ. σκῆπτρον γὰρ, ἐν τοῖς ἑξῆς λήψεται ἀπὸ κήρυκος. εἰ δὲ καὶ οἱ μνηστῆρες ἢ καί τινες ἕτεροι ἐξιφηφόρουν ἐν ταῖς ἀγοραῖς, σιωπᾷ Ὅμηρος. εἰκὸς δὲ οὕτω γίνεσθαι. καὶ τοιαῦτα μὲν ταῦτα. ὁ δὲ Τηλέμαχος, οὐ μόνος φησὶ προήει, ἀλλ' ἅμα τούτῳ, κύνες πόδας ἀργοὶ ἕποντο. οὐ μόνον ὅτι φιλακόλουθον τὸ ζῷον, καὶ μάλιστα ἐπὶ δεσπόταις, ἀλλὰ καὶ ὅτι οὐκ ἔχει ὁ εὐγενὴς νεανίας ἑτεροίους ἀκολούθους διὰ τὴν τῶν μνηστήρων ἐπιβουλὴν, δι' ἣν μεμόνωται. καὶ ἔχει καταιδέσειν οὕτω τοὺς ἐν Ἰθάκῃ ὁ νέος. εἴγε κύνες μὲν οὐκ ἀφίστανται τοῦ δεσπότου. αὐτοὶ δὲ, τοῦ βασιλέως Ὀδυσσέως ἐπελάθοντο ὃς καθ' Ὅμηρον ἐν αὐτοῖς βασιλεύων, πατὴρ ὣς ἤπιος ἦν. ἔτι ἀκολουθοῦσι τῷ Τηλεμάχῳ κύνες, καὶ διὰ τὸ ἀγροικικώτερον τοῦ ἡρωϊκοῦ βίου. καὶ ὡς κυνηγῷ δὲ, καθ' ὁμοίαν τῷ πατρὶ ἐπιτήδευσιν τῷ καὶ περὶ τὸν Ἄργον κύνα ἐσπουδακότι ὡς ἐν τοῖς μετὰ ταῦτα φανήσεται. καὶ ᾧ σύμβολον σώματος εἰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναγνωρισμὸν, ἡ ἀπὸ τοῦ κυνηγεσίου οὐλή. οὗ Ὀδυσσέως, καὶ ἐν τῇ χλανίδι παρὰ προτέροις ποσὶ, κύων εἶχε ποικίλον ἑλλόν. ἄδηλον δὲ εἴτε θηρευτικοὶ οἱ ῥηθέντες κύνες καὶ διὰ τοῦτο πόδας ἀργοὶ ὅ ἐστι ταχεῖς, εἴτε τραπεζῆες οὓς ἀγλαΐης ἕνεκεν κομέουσιν ἄνακτες, οἵους καὶ Ἀχιλλεὺς ἐν Ἰλιάδι ἔτρεφεν. οἳ πόδας ἂν ἀργοὶ λέγοιντο, ἀντὶ τοῦ, νωθροὶ καὶ οὐ ταχεῖς κατὰ 1.78 τοὺς θηρατικούς. ὅτι δὲ δύνανταί ποτε πόδας ἀργοὶ κύνες λέγεσθαι καὶ οἱ λευκόποδες, δηλοῖ καὶ τὸ ἐν Ἀθήναις Κυνόσαργες χωρίον, οὕτω κληθὲν ἀπὸ κυνὸς λευκοῦ θῦμά τι ἀφαρπάσαντος καὶ ἐκδραμόντος ἐκεῖ. ὅθεν, οὐδὲ ἀνόσιον πρόσρημα τὸ, ἐς Κυνόσαργες. ἀλλ' ἶσον τῷ, ἐς κόρακας. ὅτι δὲ εὐθεῖα τὸ Κυνόσαργες, δῆλον ἐκ τῆς δοτικῆς. ἐν Κυνοσάργει γὰρ εὕρηται. ἐκ δὲ τοῦ, πόδας ἀργοὶ, καὶ οἱ ἀργίποδες σύγκεινται ἐπὶ ποδῶν λευκότητος. παρὰ δὲ τὸ ἀργὸν, οὐ μόνον ὁ ἐναργὴς γίνεται, καὶ ὁ λέπαργος βοῦς ἤτοι ὁ λαπάρας ἔχων λευκὰς, ἀλλὰ καὶ λέπαργός φασιν ἡ χιὼν παρὰ τὸ λευκαίνειν τὸ λέπας. καὶ ἄργεμος, νόος ὀμμάτων. ἀφ' οὗ ἄργεμα κατὰ Δίδυμον, τὰ ἐπὶ ὀφθαλμῶν λευκώματα. ὧν μνήμη τῷ Αἰσχύλῳ ἐν τῷ, πρόσθεν ὄντ' ἐπάργεμα. ἐκεῖθεν, καὶ ἀργᾶντες ταῦροι παρὰ Πινδάρῳ καὶ ἀργαίνειν, τὸ λευκαίνειν παρ' Εὐριπίδῃ ἐν Ἀλκμαίωνι. καὶ ταῦρος ἀργιμήτης ἤγουν λευκός φασι παρὰ Φρυνίχῳ, ὁ διακομίσας τὴν Εὐρώπην. Σημείωσαι δὲ ὅτι ἔχει τι πάθος ὁ περὶ τῶν κυνῶν λόγος ἐνταῦθα τῷ ποιητῇ, εἴγε Πηνελόπη μὲν, ἔρχεται οὐκ οἵη ἅμα τῇ γε καὶ ἀμφίπολοι δύο. Τηλέμαχος δὲ οὐκ οἶος ἀλλ' ἅμα τῷ γε κύνες οὐ μὴν οἰκέται ἢ ἑταῖροι τινές. Ἐν τούτοις δὲ ὅρα καὶ ὅτι ἀρετὴ κἀνταῦθα κηρύκων, τὸ λιγύφθογγον. οἳ καὶ παρὰ τὸ γαρύειν καὶ τὴν γῆρυν ἐτυμολογοῦνται. καὶ ὅτι ἐπιμονὴν ποιεῖ τὸ, κηρύκεσσι καὶ κηρύσσειν καὶ ἐκήρυσσον, διὰ τὸ τῆς λέξεως καίριον. (ῃερς. 12.) Ὅτι θεσπίην ἄρα τῷ Τηλεμάχῳ χάριν κατέχευεν Ἀθήνη εἰς ἀγορὰν ἰόντι. τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο, τουτέστιν ἐθαύμαζον. οὐ μόνον τῆς ἔξω χάριτος, ἀλλὰ καὶ τῆς συνέσεως ἣν Ὅμηρος αἰνίττεται διὰ τῆς Ἀθηνᾶς, ἐλθὼν δέ φησιν, ἕζετο ἐν πατρὸς θώκῳ. εἶξαν δὲ γέροντες, διὰ τὸ τῆς βασιλείας δηλονότι γεραρὸν πρεσβεῖον. ἄλλως γὰρ, οἱ νέοι τοῖς πρεσβυτέροις ὑπανίστανται ὡς πολλαχοῦ δηλοῦται. Ὅρα δὲ τὸ κατέχευεν, ἀντὶ τοῦ, διὰ παντὸς τοῦ σώματος περιήγαγε, καὶ ἔστι καιριωτάτη ἡ λέξις ὡς ἐπὶ ὑγροῦ περικεχυμένου ῥηθεῖσα, διὰ τὸ χαρίεν τῆς τοῦ νέου ἐπιφανείας. (ῃερς. 13.) Ὅρα δὲ καὶ ὡς δὶς εἶπε τὸ ἄρα, ἐν δυσὶ στίχων ἀρχαῖς. Σημείωσαι δὲ καὶ ὅτι καὶ ἄλλως θηητὸς ὁ νεανίας ἔδοξεν. ἐπειδὴ οὐδέ ποτε ἀγορὴ ἐγένετο ἐν Ἰθάκῃ οὔτε θόωκος ἐξ οὗ Ὀδυσσεὺς εἰς Τροίαν ἔπλευσεν. ὅθεν θαυμάζεται ὁ μετὰ τοσούτους ἐνιαυτοὺς ἄρτι καθίζων ἀγοράν. Τοῦ δὲ θηεῦντο, θέμα, θηέω. ἐξ οὗ τὸ θηητόν. πρόεστι δὲ τοῦ θηέω, τὸ θεῶ ἤγουν βλέπω. θέα γὰρ ἐμβιβάζει τῇ ψυχῇ ὡς τὸ θάμβος, οὕτω καὶ τὸ θαῦμα καὶ τὸ θηεῖσθαι. εἰ δὲ ἐχρῆν ἐκ τοῦ θεῶ, προσλήψει τοῦ ἰῶτα γενέσθαι θειῶ τὸ θαυμάζω, ἀλλ' ἐπεὶ προκατελήφθη ἡ τοιαύτη γραφὴ ἐν τῷ θειῶ τὸ θυμιάζω οὗ χρῆσις ἐν τοῖς μετὰ ταῦτα, ἐτράπη τὸ ¯ε τοῦ θεῶ πρὸς διαστολὴν, εἰς ἦτα. καὶ οὕτω πεποίηται τὸ, θηῶ θηήσω. (ῃερς. 15.) Ὅτι κατάρχει τῆς νῦν δημηγορίας Αἰγύπτιος ἀνὴρ, οὕτω κατὰ κυριωνυμίαν καλούμενος ἐξ ἐθνικῆς λέξεως ὡς καὶ προδεδήλωται. ὃς δὴ γήραϊ κυφὸς ἔην. (ῃερς. 16.) Καὶ μυρία ᾔδη, τουτέστιν ἠπίστατο. Καὶ ὅρα κἀνταῦθα ὅτι πολυπειρία εἴτουν μυρία εἴδησις τῇ τῶν γερόντων ἡλικίᾳ παρέπεται. Ἰστέον δὲ ὅτι εὕρηται καὶ ἐν Ἰλιάδι κύριον, ἀνὴρ Ἴμβριος ὁμωνύμως τῷ τῆς Ἴμβρου τοπικῷ. καὶ ἔστιν ὅμοιον πρὸςτὸ Αἰγύπτιος κύριον. εἴη δ' ἂν τοιοῦτόν τι καὶ ὁ ἐκ Τροίας Πριαμίδης Πολίτης. τὸ δὲ τὸν ὑπέργηρων, καὶ πολύνουν εἶναι, ἀπαιτεῖ πάντως ὁ κατὰ φύσιν ὀρθὸς λόγος, ὡς ὅγε ἑτεροῖος γέρων, ἀκούσοι ἄν ποθεν τὸ, μὴ 'φευρεθῇς ἄνους τὲ καὶ γέρων ἅμα. Σημείωσαι δὲ καὶ ὅτι λόγιος ὢν ὁ ποιητὴς καὶ εἰδὼς ὡς κατάρξαι λόγου τὸν νεωτέρον παρὰ τοῖς εὖ εἰδόσι δυσχερὲς, προλογίζοντα ποιεῖ τὸν γέροντα Αἰγύπτιον, καὶ ἐρωτῶντα. εἶτα τὸν Τηλέμαχον, δεύτερον εἰς λόγους ἥκοντα καὶ λαλοῦντα πρὸς τὸ ἐρωτηθέν. ῥᾶον γὰρ τοῦτο ἤπερ τὸ πρωτολογεῖν. τοιοῦτον δέ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τι ποιήσει καὶ ἐν τῇ γάμμα ῥαψῳδίᾳ. ἔνθα τοῦ Νέστορος ἐρωτήσαντος, ἀρχὴν τοῦ λέγειν λαβὼν, ἀπολογήσεται ὁ Τηλέμαχος. (ῃερς. 16.) Τὸ δὲ γήραϊ κυφὸς, πρὸς διαστολὴν εἴρηται τοῦ γυροῦ. ἐκεῖνος γὰρ, φύσει τοιοῦτος. ὡς τὸ, γυρὸς ἔην ὤμοισιν, Ἰστέον δὲ ὅτι τὲ τὸ μυρία εἰδέναι διὰ γέρως πολυπειρίαν, οὐκ ἀεὶ ἐπαινεῖται, διότι ἐπί τινων, φυσᾷ καὶ ἐπαίρει φρένας. ὅθεν τυφογέροντες οἱ τοιοῦτοι καὶ τῦφοι καὶ τυφεδανοὶ σκώπτονται. εἰ καὶ ἄλλως τὰ τοιαῦτα συμβιβάζονται διὰ τὸ δεῖν εἶναι ἤδη τύφεσθαι τοὺς τοιούτους, ἤγουν καίεσθαι νεκρικῶς. ὅθεν καὶ τυμβογέροντες οἱ αὐτοὶ καὶ σορόπληκτοι καὶ σοροπλῆγες. καὶ ὅτι ἐκ τοῦ κυφὸς οὗ πρωτότυπος ὁ κέκυφα παρακείμενος, λέγεται σκωπτικῶς κατὰ συγγένειαν τοῦ ¯φ πρὸς τὸ ¯β, κυβάλης ὁ ὡσπερεὶ κυφὸς, ἐκ τοῦ κατακύπτειν συχνῶς. ὃν καὶ ἡμίανδρον καὶ ἡμιγύναικα καὶ σποδόρχην ἐβλασφήμουν. ἐκ τοῦ αὐτοῦ δέ φασι κυφοῦ, καὶ Κυβήβα διὰ τοῦ ¯α ἢ Κυβήβη διὰ τοῦ ¯η, ἡ Ῥέα. ᾗ φασιν ὁ κατεχό 1.79 μενος ἢ καὶ ἄλλῳ δαίμονι καταχρηστικῶς, κύβηβος ἐλέγετο. ὁ και σάβος καὶ σαβάζιος καὶ βάκχος καὶ βαβάκτης καὶ βάβαξ καὶ ἐμμανὴς καὶ φλεδών. ὡς δὲ ἐκ τοῦ κυφὸς γίνεται καὶ ὁ κύβος, δηλοῦσιν οἱ παλαιοί. καὶ οὕτω μὲν τάδε. Περὶ δὲ τοῦ ᾔδη ὅ ἐστιν ἠπίστατο, ἐν Ἰλιάδι γέγραπται ἱκανῶς. (ῃερς. 19.) Ὅτι αἰτίαν πιθανὴν τοῦ πρωτολογῆσαι τὸν Αἰγύπτιον προβάλλεται ὁ ποιητὴς, τὴν τοῦ παιδὸς Ἀντίφου μνήμην. οὗ συστρατευσαμένου τῷ Ὀδυσσεῖ καὶ ἀπολωλότος μνησάμενος ὁ πατὴρ, λαλεῖ τὰ εἰκότα. (ῃερς. 18.) Ὅτι εὔπωλον ὡς καὶ ἐν Ἰλιάδι τὴν Τροίαν λέγει, ἢ ἀντὶ τοῦ εὔζῳον. ἢ εὔιππον ὡς ἀπὸ μέρους. ἢ τὴν εὔγεων καὶ εὐβωλοστρόφητον. ἢ τὴν εὖ περιπολουμένην, κατὰ ἔκτασιν τοῦ ¯ο. ἤτοι τὴν εὐδαίμονα καὶ εὐοίκητον. (ῃερς. .) Ὅτι τρεῖς τῷ Αἰγυπτίῳ ἐγένοντο παῖδες. ὧν ὁ μὲν, μνηστῆρσιν ὡμίλει, ὁ Εὐρύνομος. μείζω τοῦ γένους φρονῶν. δύο δὲ, αἰὲν ἔχον πατρώϊα ἔργα, τὴν κατ' αὐτοὺς ὅ φασιν ἑλῶντες. καὶ αὐτὸς οὐχ' οὕτω τοῖς περιοῦσι παισὶν ἔχαιρεν, ὅσον ἐπὶ Ἀντίφῳ ἤχθετο. ὃν συστρατευσάμενον Ὀδυσσεῖ, ἄγριος ἔκτανε Κύκλωψ. πύματον δ' ὡπλίσατο ἤγουν ἐσκεύασε δόρπον. Καὶ ὅρα ὅτι οὐ ποσότης παίδων ἁπλῶς εὐφραίνει πατέρα, ποιότης δὲ ἀγαθή. εἴγε καὶ ὁ Αἰγύπτιος οὐκ ἀγαπᾷ τρεῖς ἔχων, ἀλλὰ ποθεῖ καὶ τὸν ἕνα τὸν αἰχμητὴν Ἄντιφον. καὶ οὐ λήθεται ὀδυρόμενος καὶ ἀχεύων. (ῃερς. 22.) Ὅρα δὲ τὸ αἰὲν, τὸ συνεχὲς δηλοῦν τῆς τῶν παίδων τοῦ Αἰγυπτίου σπουδῆς ἐπὶ τοῖς πατρῴοις ἔργοις. ἅπερ ὁ ποιητής τίνα ἦν, οὐκ ἐπεξειργάσατο, οἷα μὴ θέλων τοῖς περιττοῖς ἐμφιλοχωρεῖν. ὅτι δὲ τὰς πατρῴας οἱ παῖδες ἐξεδέχοντο τέχνας ὡς καὶ ἐν τῇ Ἰλιάδι ἐδηλώθη, Ἡρόδοτος ἱστορεῖ. αὐλητοῦ γὰρ αὐλητής. καὶ μαγείρου φησὶ μάγειρος. καὶ κῆρυξ κήρυκος. (ῃερς. .) Τὸ δὲ πύματον δόρπον, μέσως εἰρῆσθαι δοκεῖ πρὸς ἀστειότητα ὡς ἐν σχήματι ἀμφιβολίας. ἢ γὰρ πύματος ἦν ὁ Ἄντιφος τῶν ἓξ τοῦ Ὀδυσσέως ἑταίρων οὓς ὁ Κύκλωψ ἐθοινήσατο πρὸς ἑσπέραν, ἢ πύματος ἀνθρώπων εἴτε καὶ ἁπλῶς πάντων ὧν εἰς γαστέρα ὁ Κύκλωψ κατέσπα. ὃς δόρπος εἴη ἂν καὶ καθ' ἕτερον τρόπον, ὡς πρὸς ταῖς τοῦ βίου δυσμαῖς καὶ πρὸς τῷ ἐν τροπολογίᾳ μέλανι ἑσπέρῳ θοινηθείς. οὐκέτι γὰρ ὁ Κύκλωψ ἔφαγε, συναποβαλὼν τῷ φωτὶ καὶ τὸ ζῆν ὡς λέγεται. Ἰστέον δ' ὅτι τρισὶ τροφαῖς ἐχρῶντο οἱ παλαιοί. ὧν τὸ πρῶτον, ἐκαλεῖτο ἄριστον, γινόμενον πάνυ πρωῒ ἅμ' ἠοῖ φαινομένηφι, ἄρεος ἱσταμένου. ὡς καὶ ἡ τοῦ ὀνόματος ἐτυμολογία δηλοῖ. εἶτα, τὸ δεῖπνον μεθ' ὃ ἔδει πονεῖν, ὃ καὶ ἄριστον φασί τινες. τρίτον δὲ, δόρπος. ἐναντίον ἀρίστῳ. ἡνίκα δόρυ παύεται. ὅπερ ἡμεῖς παρὰ τὸ δεῖν τότε ὕπνου, δεῖπνον καλοῦμεν. διὸ καὶ Αἰσχύλος τάττων, μετρεῖ. ἄριστα. δεῖπνα. δόρπαθ' αἱρεῖσθαι, τρία. ὅτι δὲ τοῦτο αἰτιῶνταί τινες, ἐν τῇ Ἰλιάδι ἐῤῥέθη. δῆλον δὲ, καὶ ὅτι δεῖπνον μὲν οἱ πλείους, τὸ πρωϊνόν φασιν ἔμβρωμα. μεθ' ὃ, πόνου δεῖ. ἄριστον δὲ, τὸ κοινῶς λεγόμενον γεῦμα. οὐ παρὰ τὸν ἄρην ἀλλὰ παρὰ τὸ ἀρίστως ἔχειν κατ' ἐξοχήν. δόρπον δὲ, οὐδεὶς ὃς ἀμφέβαλε μὴ ἀπονενεμῆσθαι τῇ ἑσπέρᾳ. (ῃερς. 26.) Ὅτι ὥσπερ φῶς φόως κατὰ πλεονασμὸν, οὕτω καὶ θῶκος θόωκος, ἐν τῷ, οὐδέ ποθ' ἡμετέρη ἀγορὴ γένετο οὐδὲ θόωκος ἤτοι συνέδριον, ἐξ οὗ τόδε προέβη.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰκεῖος δὲ ὁ λόγος, ἐπὶ ἀργίᾳ πολιτικῶν συνελεύσεων. ὅτε δέ τις ἀνελπίστως τὴν τοιαύτην ἀργίαν εἰς ἔργον προαγάγηται, οἰκεῖον εἰπεῖν τὸ, νῦν δὲ τίς ὧδ' ἤγειρε. τίνα χρειὼ τόσσον ἵκει, ἠὲ νέων ἀνδρῶν ἢ οἳ προγενέστεροί εἰσι. (ῃερς. 29.) Καὶ ὅρα τὸ, οἳ προγενέστεροί εἰσιν. ἐνήλλακται γὰρ διὰ ποικιλίαν, ἀπὸ γενικῆς. ἦν γὰρ τὸ ἀκόλουθον, ἠὲ νέων ἀνδρῶν ἢ προγενεστέρων. Τὸ δὲ χρειὼ, χρεῖος ἐρεῖ προϊών. Ὅτι δὲ τὸ ἵκει ἀντὶ τοῦ ἔρχεται ἀεὶ ὁ ποιητὴς διὰ τοῦ ¯ι γράφει ἐξ οὗ καὶ τὸ ἱκάνω γίνεται, οὐκ ἔστιν ἀντειπεῖν. ἐπεὶ δὲ οἱ μεθ' Ὅμηρον διὰ τοῦ ¯η ἔγραψαν αὐτὸ, ἔδοξε τοῖς μετ' αὐτοὺς, συμβῆναι εἰς τὸ, τὰ μὲν ἐνεργητικὰ τοῦ ἥκω, ἐν τῷ ¯η γράφεσθαι. τὰ δὲ παθητικὰ, ἐν τῷ ἰῶτα. (ῃερς. 30.) Ὅτι αἰτία κοινῆς ἀγορᾶς, ἢ τὸ ἀγγελίαν τινὰ ἐθέλειν σάφα εἰπεῖν τοῖς πολίταις ὅτε τις πρότερός γε πύθοιτο, ἢ τὸ ἐθελῆσαι δήμιόν τι ἄλλο πιφαύσκεσθαι. καὶ ἔστι τὰ τοιαῦτα, συστατικὰ πολιτείας ὡς μάλιστα. (ῃερς. 31.) Ἔστι δὲ τὸ πύθοιτο, ἀντὶ τοῦ μάθοι. σημαίνει δέ ποτε καὶ τὸ ἐρωτήσοι. (ῃερς. 32.) Τοῦ δὲ πιφαύσκεσθαι διττοῦ ὄντος, δηλοῖ γὰρ καὶ τὸ δεικνύειν ὡς τὸ, πιφαυσκόμενος τὰ ἃ κῆλα, καὶ τὸ λέγειν, ἑρμηνεύων ἐνταῦθα τὴν λέξιν, φησί. πιφαύσκεται ἠδ' ἀγορεύει. μονονουχὶ λέγων ὅτι νῦν τὸ πιφαύσκεται, ἀντὶ τοῦ λέγειν κεῖται. οὕτω δὲ καὶ μετ' ὀλίγα ἐν τῷ, πιφαύσκομαι ἠδ' ἀγορεύω. καὶ μνηστῆρσι πιφαυσκόμενος τάδε εἴρω. (ῃερς. 33.) Ὅτι τοῦ Ἰθακησίου Αἰγυπτίου εἰπόντος ὡς ἐσθλός μοι δοκεῖ εἶναι. ὀνήμενος. εἴθε οἱ αὐτῷ Ζεὺς ἀγαθὸν τελέσειεν, ὅ, τι φρεσὶν ᾗσιν μενοινᾷ, τουτέστιν 1.80 ὁ τὴν ἀγορὰν ἀθροίσας, ἀγαθός μοι δοκεῖ, καὶ ὀνήμενος εἴη τουτέστιν ὄναιτο ταύτης. (ῃερς. 35.) Καὶ εἰς ἀγαθὸν τελεσθείη ὅπερ ἐθέλει, ἔχαιρε τῇ φήμῃ ὁ Τηλέμαχος. ἔστι δὲ φήμη, λόγος δηλωτικὸς μέλλοντός τινος ἐξ αὐτομάτου λαλούμενος. καὶ τοίνυν τὴν τοιαύτην φήμην τοῦ γέροντος εἰς ἀγαθὸν δεξάμενος οἰωνὸν, ἀνέστη δημηγορήσων. οὕτω καὶ ἐν Ἰλιάδι τῆς Ἀφροδίτης εἰπούσης τῇ Ἥρᾳ, οὐδέσε φημὶ ἄπρακτον γενέεσθαι, ὅ, τι φρεσὶ σῇσι μενοινᾷς, φήμην ἡ Ἥρα τὸ πρᾶγμα νοεῖ. καὶ τῇ ἀπάτῃ τοῦ Διὸς ἐγχειρεῖ, καὶ ἐπιτυγχάνει. καὶ Ὀδυσσεὺς δέ που ἐν τοῖς ἑξῆς, τέρας μὲν ἔξωθεν ζητήσας ἐκ Διὸς, φήμην δὲ ἔνδοθεν ἐκ τῶν ἐν τῷ αὐτοῦ οἴκῳ, ἀκούει φήμην ἀγαθὴν καὶ θαῤῥεῖ ἐφ' οἷς ἀνδρίσεται. φέρεται δὲ λόγος, καὶ πόλιν Ἰταλικὴν ἐκ τοιαύτης αἰτίας κλῆσιν εὑρεῖν. ἡ μὲν γὰρ, ἐπολιοκρεῖτο. ἀνὴρ δὲ πολέμιος πελάσας, χαῖρε ἤκουσε πρός τινος τῶν ἐπὶ τοῦ τείχους. κἀκεῖνος οἰωνίσατο. καὶ ἡ πόλις νικηθεῖσα, Καῖρε ἐκλήθη δι' ἐκεῖνο τὸ χαῖρε, βαρβαρισθεῖσα κατὰ τὴν ἐγχώριον γλῶσσαν. Ἰστέον δὲ ὅτι τὸ ὀνήμενος, κοινότερον μὲν, ἐκ τοῦ ὀνῶ ὄνημι παρῆκται. ὁμοίως τῷ, διζῶ δίζημι, ὅθεν τὸ, ἵππους διζήμενος. καὶ τῷ, φιλῶ φίλημι ὅθεν τὸ φίλατο παρ' Ὁμήρῳ. καὶ τῷ, αἰνῶ αἴνημι. ὡς τὸ, οὔ μιν ἔγωγ' αἴνημι. καὶ ἄλλοις μυρίοις. ὁ δὲ Ἀλεξανδρεὺς Ἡρακλείδης, καινήν τινα περιεργίαν ἑτεροίαν ὑποβάλλει ἐν οἷς γράφει οὕτως. ὁ ἐνεργητικὸς παρατατικὸς ὅτε τὸ θεματικὸν ¯ω εἰς τὴν ο¯υ δίφθογγον μεταθῇ, πλεονάζει τὸ ¯ν ἐπὶ τέλους. οἷον. ἠχῶ ἤχουν, οἰκῶ ᾤκουν ὀκνῶ ὤκνουν. οὐκοῦν ἀπὸ τοῦ ὦ ἐνεργητικοῦ ὑπαρκτικοῦ θέματος, εἴη ἂν ὁ ἐνεργητικὸς παρατατικὸς, οὖν ἀντὶ τοῦ ὑπῆρχον. καὶ παθητικὸς οὔμην. ἐξ ὧν Αἰολικῶς ὁ οὖν, γέγονεν ἦν. καὶ ὁ οὔμην, ἥμην. Αἰολεῖς γάρ φησι τὴν ο¯υ δίφθογγον παρατέλευτον οὖσαν ἐν τοῖς τοιούτοις, εἰς ¯η μετατιθέασιν. οἳ καὶ τὸ ἐκαλούμην καὶ ἐνοούμην καὶ ὅσα ὅμοια τῆς πρώτης συζυγίας τῶν περισπωμένων, ἐκαλήμην καὶ ἐνοήμην λέγουσι. καὶ ἐπὶ μετοχῶν, καλήμενος καὶ νοήμενος. μεταπιπτούσης τῆς ο¯υ διφθόγγου εἰς τὸ ἦτα. δίδωσιν οὖν ὁ εἰρημένος Ἡρακλείδης, καὶ τοῦ ὀνήμενος Αἰολέων διαλέκτῳ ἀρχὴν εἶναι τὸ ὀνούμενος. δῆλον δ' ὅτι ἐκ τοῦ ὡς ἐῤῥέθη ὄνημι, καὶ τὸ ὤνητο διὰ τοῦ ἦτα παρῆκται. καὶ τὸ ὤνατο. καὶ τὸ ὄνασθαι. καὶ ὠνάμην. καὶ ὀνάμενος. καὶ εἴ τι ἄλλο τοιοῦτον. (ῃερς. 36.) Ὅτι μετὰ τὴν ῥηθεῖσαν φήμην μενοινήσας ὁ Τηλέμαχος, ἔστη ἐν μέσῃ ἀγορᾷ. σύνηθες ποιῶν. ὡς ἂν ἐξ ἴσου πάντοθεν ἀκούοιτο. Ἀγαμέμνων μέντοι ἐν Ἰλιάδι ἅπαξ ποτὲ κατ' ἀνάγκην μὴ οὕτω ποιήσας ἀλλ' αὐτόθεν ἐξ ἕδρης λαλήσας,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπολογεῖται ὑπὲρ τούτου ὡς ἐκεῖ γέγραπται. (ηερς. 37.) Τὸ σκῆπτρον δὲ τῷ Τηλεμάχῳ ἐνέβαλε χειρὶ κῆρυξ Πεισήνωρ, οὐ γὰρ ἦν θέμις ἄλλως δημηγορεῖν τοὺς βασιλεῖς. ὡς οὐδὲ κήρυξι θεμιτὸν ἄνευ κηρυκείου προϊέναι. διὸ καὶ ἐν τῷ ἐπιταφίῳ, Μενέλαος διαπληκτιζόμενος πρὸς Ἀντίλοχον ὡς ἐν δίκῃ, σκῆπτρον χειρίζεται. οἰκεῖον δὲ ὄνομα κήρυκι τὸ Πεισήνωρ, ἔργον γὰρ τῷ τοιούτῳ, πεῖθεν ἄνδρας ὑπακούειν. (ηερς. 39.) Ὅτι ἐν τῷ, πρῶτον ἔπειτα γέροντα καθαπτόμενος προσέειπε, καθάπτεσθαι λέγει τὸ ἀμείβεσθαι ἢ ἀποτείνεσθαι ἁπλῶς διὰ λόγου πρός τινα. ἐπεὶ καὶ ἅπτεσθαι τινῶν, οὐ μόνον σωματικῶς ἀλλὰ καὶ ἐν λόγοις λεγόμεθα. οὕτω καὶ τὸ καθαπτόμενος φίλον ἦτορ, ἀντὶ τοῦ ἑαυτῷ λαλῶν. παρὰ μέντοι τοῖς ὕστερον, καθάπτεσθαι λέγεται τὸ τραχύτερον ἐν λόγοις προσφέρεσθαι, καὶ μετὰ γενικῆς. (ηερς. 40 ετ σθθ.) Ὅτι ὁ ζητούμενος πρός τινος καὶ θαῤῥαλέος προπηδῶν, εἴποι ἂν, οὐχ' ἑκὰς οὗτος ἀνὴρ, τάχα δ' εἴσεαι αὐτός. Ὅτι ἡ τοῦ Τηλεμάχου δημηγορία κριτὰς μὲν οἷον καθίζει τοὺς Ἰθακησίους. προοίμιον δὲ κατὰ Ὁμηρικὴν μέθοδον ἔχει, ἀπὸ τῶν προκειμένων λόγων οὓς δηλαδὴ ὁ Ἰθακήσιος Αἰγύπτιος προεχειρίσατο. καταφέρεται δὲ τῶν μνηστήρων. καὶ βίας αὐτοὺς ἑλεῖν σπεύδει, οἷς τῇ τε μητρὶ οὐκ ἐθελούσῃ ἐπέχραον. καὶ ἐν ἀλλοτρίῳ οἴκῳ βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας, εἰλαπινάζουσι. πίνουσί τε αἴθοπα οἶνον μαψιδίως. ἔστι οὖν τὰ τῆς δημηγορίας οὐκ ἀποδεικτικά. ὡς ἐπὶ ὁμολογουμένῳ δὲ πράγματι ἐπιλογική ἐστι καὶ καταφορικὴ καὶ αὐξητική. διὸ καὶ ἡ διήγησις ἔχουσά τι καὶ ἐκφραστικῆς διασκευῆς, οὐ διδάσκει οὐδ' ἁπλῶς διηγεῖται τὴν μνηστείαν, ἀλλὰ τὴν βίαν ἐπαύξει ἐμβριθῶς. ἔχει δὲ καὶ ἐλέου εἰσβολὴν ἐν τῷ, νεμεσήθητε καὶ αὐτοί. ἄλλους τ' αἰδέσθητε ἀνθρώπους, οἳ περιναιετάουσι. θεοῦ δ' ὑποδείσατε μῆνιν. μή τι μεταστρέψῃ ἀγασάμενος κακὰ ἔργα. λίσσομαι θεοῦ τε Ὀλυμπίου καὶ Θέμιστος. ἥ τ' ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει. σχέσθε φίλοι. καί με οἶον ὅ ἐστι μόνον, ἐάσατε. οὐχ' ὥστε δηλαδὴ τρυφᾶν, ἀλλὰ πένθεϊ λυγρῷ τείρεσθαι. πάντως γὰρ ἔλεον προκαλεῖταί τινα σὺν αἰδοῖ καὶ δέει τὸ, νεμεσήθητε. αἰδέσθητε. ὑποδείσατε θεόν. λίσσομαι. σχέσθε φίλοι. ἐπὶ δὲ τούτοις αἰτιώμενος 1.81 καὶ τοὺς ὡσανεὶ κριτὰς Ἰθακησίους, φησὶν. εἰ μή που τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς κακὸν ἔρεξεν. ὧν με ἀποτινύμενοι, κακὰ ῥέζετε, τούτους ὀτρύνοντες καὶ τὰ ἑξῆς, ἐν οἷς καὶ ἐρεθίζει τοὺς Ἰθακησίους κατὰ τῶν μνηστήρων, ἢ γὰρ ὀτρύνουσι τούτους ποιεῖν ἃ ποιοῦσιν ἐν τοῖς τοῦ Ὀδυσσέως, καὶ τρόπον τινὰ πατραλοῖαι εἰσὶ βασιλέα βλάπτοντες ὃν πατρὸς δίκην εἶναι ἤπιον φησίν. ὃ οὐδ' αὐτοὶ ἂν ἀπαρνήσωνται. οἵγε τοῦ Τηλεμάχου ἐσθλὸν αὐτὸν εἰπόντος καὶ οὐκ ἀπεοικότα πατρὸς εἰς αὐτοὺς ἐδέξαντο τὸν λόγον ἐφησυχάσαντες. ἢ τοίνυν ὀτρύνουσι τοὺς μνηστῆρας, καὶ τετάξονται εἰς πατραλοίας. ἢ οὐκ ὀτρύνουσι, καὶ δεῖ ἐξελάσαι αὐτούς. ὅπερ ἴσως καὶ εὐλαβηθέντες οἱ μνηστῆρες καὶ μάλισθ' ὅτι ἐν τοῖς ἑξῆς καὶ ὁ Μέντωρ ὑπὲρ τοῦ Ὀδυσσέως δημηγορήσας μέμψεται τοὺς Ἰθακησίους ὡς πολλοὶ ὄντες οὐ παύουσι τοὺς ὀλιγωτέρους μνηστῆρας, λύουσιν ὡς δηλωθήσεται τὴν ἀγορὰν ἣν οὐκ ἐκάθισαν. ἐπὶ δὲ τούτοις ὁ νεανίας ἐπαύξων τὸν ἔλεον καὶ οἶκτον πλείω προκαλούμενος, τὸ σκῆπτρον βάλλει πρὸς τῇ γῇ, δάκρυα ἀναπρήσας. ὅ ἐστι διὰ τοῦ ἐγκεφάλου ἀναπεράσας. ἤγουν σὺν ὁρμῇ ἐξαγαγὼν καὶ οἷον ἐκφυσήσας, παρὰ τὸ πρήθω τὸ φυσῶ. ποιεῖ δὲ τοῦτο καὶ Ἀχιλλεὺς ἐκ Ἰλιάδι δίχα γε τοῦ δακρύσαι. εἶτα ἐπὶ πᾶσι μετὰ τὴν δημηγορίαν δεικνύων ὁ ποιητὴς ὡς ἔλεον τὰ τοιαῦτα εἰσάγει τοῖς ἀκροαταῖς καὶ οἰκτίζεσθαι ποιεῖ καὶ μάλιστα τὸ δακρύειν, φησίν. οἶκτος δ' ἕλε λαὸν ἅπαντα. καὶ τοιαύτη μὲν ὡς ἐν ὀλίγῳ εἰπεῖν, ἡ τοῦ Τηλεμάχου δημηγορία ἧς τὰ κατὰ μέρος λελέξεται. οἵα δὲ καὶ ἣ τῶν μνηστήρων, ἐν τοῖς ἐφεξῆς δηλωθήσεται. Σημείωσαι δὲ τὴν τοῦ Τηλεμάχου σύνεσιν. εἰ καὶ νέος ὢν, οὕτω καταδημαγωγεῖ τὸν Ἰθακήσιον ὄχλον. ἐστοχασμένος οἷα εἰκὸς, εὐκατάσειστον εἶναι τὸν δῆμον καὶ εὐρίπιστον ὡς ῥᾷον ὑπανάπτεσθαι εἰς θυμὸν πυρόεντα. ὅπερ πολλοὶ δηλοῦσιν οἳ διὰ πολιτικὰς ἔχθρας ἠτύχησαν χόλῳ τοῦ δήμου. ἐν οἷς καὶ οἱ Μιλήσιοι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρ' οἷς καὶ ἀλοητὸς τέκνων ἐγένετο, ἐπιθεμένου τοῖς πλουσίοις τοῦ δήμου. εἰ καὶ αὖ πάλιν οἱ πλούσιοι καταπίστωσιν ἐποίησαν τῶν δημοτῶν οἳ γέργηθες ἐκαλοῦντο, καὶ καῦσιν εὐέξαπτον διὰ τὴν πίσσαν. ὅτε φασὶ καὶ ἐλαία ἱερὰ ἐξανήφθη αὐτόματος. καὶ τὸ θεῖον ἐνεμέσησεν αὐτοῖς ἐν χρησμῷ, ὑπέρ τε τοῦ τῶν γεργήθων φόνου καὶ τοῦ πισσηροῦ μόρου καὶ τοῦ ἀειθαλοῦς δενδρέου. Ἔνθα ὅρα τὸ δενδρέου, σύνηθες ὂν τοῖς ποιηταῖς. οὗ ἡ εὐθεῖα, τὸ δένδρεον ἀναντιῤῥήτως. τὸ δέ γε πληθυντικὸν τὰ δένδρεα, διχόθεν πρόεισιν. οὐ μόνον γὰρ ἐκ τρισυλλάβου τοῦ δένδρεον τὸ τοιοῦτον πληθυντικὸν δοκεῖ φύεσθαι, ἀλλὰ καὶ ἀπὸ δισυλλάβου εὐθείας τῆς δένδρος ὡς βέλος. διὸ καὶ ὡς βέλεα βέλη, οὕτω καὶ δένδρεα δένδρη παρὰ τῷ Ἀθηναίῳ ἐν τῷ, τὰ δὲ δένδρη τἀν τοῖς ὄρεσι, χορδαῖς ὀπταῖς ἐριφείοις φυλλοροήσει καὶ τευθιδίοις, καὶ ἑξῆς. (ῃερς. 46.) Ὅτι ἐν τῷ, κακόν μοι ἔμπεσεν οἴκω δοιὰ, οἱ μὲν, τὸ δοιὰ, ἐπίῤῥημα νοοῦσιν, ἀντὶ τοῦ διχῶς, τὸ μὲν, πατέρα ἐσθλὸν ἀπώλεσα. ὅς ποτ' ἐν ὑμῖν τοῖσδεσσι βασίλευε, πατὴρ δ' ὣς ἤπιος ἦεν. νῦν δ' αὖ, καὶ πολὺ μεῖζον. ἡ τῆς μητρὸς δηλονότι βία καὶ τὰ ἑπόμενα ταύτῃ κακά. ἕτεροι δὲ, ἐπιδιόρθωσιν φασὶ τὸ δοιά. εἰπὼν γὰρ κακὸν ἑνικῶς, εἶτα ἐπιλογισάμενος ὡς οὐχ' ἕν ἐστι τὸ κακὸν, ἐπιδιορθοῦται. εἰπών. καὶ τί λέγω κακόν; οὐχ ἕν μοι ἐστὶ τὸ κακὸν, ἀλλὰ δύο. πατρὸς ἀπώλεια καὶ βία κατὰ μητρός. (ῃερς. 48.) Ἐν τούτοις δὲ ὅρα οἷόν τε τὸν κυρίως βασιλέα εἶναι χρή. ὅτι δηλαδὴ πατέρα ὥσπερ τῶν ἀρχομένων, καὶ μὴ κατὰ τὸν Ἔχετον, βασιλέα βροτῶν δηλήμονα πάντων. καὶ ὅπως ὑψοῖ ὁ ῥήτωρ Τηλέμαχος τὸ κατὰ τοὺς μνηστῆρας κακὸν, καὶ μεῖζον αὐτὸ λέγει τοῦ κατὰ τὸν πατέρα. καὶ οὐχ' ἁπλῶς μεῖζον, ἀλλὰ καὶ πολὺ μεῖζον. οὐκ ἀληθεύων, ἀλλὰ ῥητορικῶς τὸν λόγον ὑψῶν. διὸ καὶ πάλιν ὁ Ἀντίνοος ὑψαγόρην αὐτὸν ἐρεῖ ὡς μεγαληγοροῦντα ἐν μὴ τοιούτοις. αἰτίαν δὲ ἐρεῖ τοῦ πολὺ μεῖζον εἰπεῖν αὐτὸ, ταύτην. ὃ δή φησι τάχα ἤτοι ταχέως οἶκον ἅπαντα πάγχυ διαῤῥαίσει. βίοτον δ' ἀπὸ πάμπαν ὀλέσσει. χείρω γὰρ ταῦτα δοκεῖ τοῦ κατὰ τὸν Ὀδυσσέα, παρόσον εἰ καὶ μὴ πατέρα. τὰ τοῦ πατρὸς γοῦν ἔχει ἐξ ὧν αὐτῷ ἡ πατρικὴ μνήμη ἐζωπυρεῖτο. νῦν δὲ, καὶ αὐτὰ οἰχήσονται. Ὅρα δ' ἐν τούτοις καὶ τὸ, οἶκον ἅπαντα. καὶ τὸ, πάγχυ τουτέστι πάνυ διαῤῥαίσει. καὶ τὸ, ἀπὸ πάμπαν ὀλέσει. αὐξητικὰ ὄντα καὶ κατασκευαστικὰ τοῦ, πολὺ μεῖζον. Ὅρα δὲ καὶ τὰ ἐν σκυθρωπότητι λόγου ὑπομειδιῶντα πάρισα, τὸ διαῤῥαίσει, καὶ ὀλέσσει. (ῃερς. 49.) Τὸ δὲ τοῖσδεσσιν, Ἰωνικόν. τῇ μὲν προφορᾷ, ἐοικὸς μεταπλασμῷ. τῷ δὲ κατ' ἀρχὴν περισπωμένῳ τόνῳ, πλεονασμὸν δηλοῦν τῆς τελευταίας συλλαβῆς. Σημείωσαι δὲ εἰς τὸ, πατὴρ ὣς ἤπιος ἦν, καὶ τὸ τοῦ Ἡροδότου, τὸ, Καμβύσης μὲν δεσπότης, Κύρος δὲ, πατήρ. ὁ μὲν, ὅτι χαλεπὸς ἦν καὶ ὀλίγωρος. ὁ δὲ, ὅτι ἤπιος καὶ 1.82 ἀγαθὰ σφίσιν ἐμηχανίσατο, ἤτοι τοῖς Πέρσαις. Ὅρα δὲ καὶ τὸ πάμπαν συσταλὲν ὡς τὸ ἄγαν καὶ λίαν. καὶ καινὸν οὐδὲν, εἴγε καὶ τὸ ἅπαν, ὄνομα ὂν, Ἴωνες συστέλλουσι καὶ ὁ ποιητής. οἷον. τῶν δ' ἅπαν ἐπλήσθη πεδίον. Ἀττικοὶ δὲ κατὰ Αἴλιον Διονύσιον, ἐκτείνουσι τὴν ὑστέραν τοῦ ἅπαν. ἕτερος δὲ ῥήτωρ ἐν οἰκείῳ λεξικῷ, γράφει ὅτι ὁ λόγος βραχύνειν ἀξιοῖ τὸ ἅπαν. τὰ γὰρ παρασχηματιζόμενα τοῖς εἰς ¯α¯ς οὐδέτερα, βραχύνονται. οἷον. μέλαν. τάλαν. οὕτως οὖν καὶ ἅπαν. εἰ δὲ ταῦτα, πολλῷ πλέον τὸ πάμπαν ἐπίῤῥημα συσταλήσεται. (ῃερς. 50.) Ὅτι καὶ ἐν τῷ μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ, τῶν ἀνδρῶν φίλοι υἷες, οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι, ψεύδεταί πως ὁ Τηλέμαχος. οὐ γὰρ πάντες οἱ μνηστῆρες, Ἰθακήσιοι, ἀλλὰ δώδεκα μόνοι. σκοπὸς δὲ τῷ ῥήτορι, τούτους παῦσαι. ὡς συγκαταλυθησομένων αὐτοῖς καὶ τῶν λοιπῶν. υἱοὶ γάρ εἰσιν ἀνδρῶν, οἳ ἐνθάδε φησὶν ἄριστοι. ὧν Ἀντίνοος καὶ Εὐρύμαχος, ἀρετῇ ἔξοχ' ἄριστοι καὶ εὐέλπιδες τὴν Πηνελόπην γῆμαι. Τὸ δὲ ἐπέχραον, ἀντὶ τοῦ ἐν χρῶ ἐγένοντο. ἐπέπεσον. ἐβάρυναν. ἐκ τούτου δὲ καὶ τὸ χραῦσαι πλεονασμῷ τοῦ ¯υ. ἤδη δὲ καὶ ὁ ζαχρηής. ἐκ τούτου καὶ παρ' Ἡροδότῳ καὶ τὸ, ἐνέχραεν ἐς τὸ πρόσωπον τὸ σκῆπτρον, ἤγουν ἔπληξε τῷ σκήπτρῳ. (ῃερς. 52.) Ὅτι ἐν τῷ ἀπεῤῥίγασιν ὃ δηλοῖ τὸ δειλιῶσι καὶ φρίσσουσι, περιττὴ ἡ ἀπ¯ο. ὡς καὶ ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ ἀπεμνήσαντο. καὶ ἐν τῷ, ἐμεῦ ἀπομηνίσαντος. μέσος δὲ παρακείμενος τὸ ἔῤῥιγα, συγκοπεὶς ἐκ τοῦ ἐῤῥίγηκα ὁμοίως τῷ βέβουλα καὶ τοῖς τοιούτοις. (ῃερς. 53.) Ὅτι ἐν τῷ, αὐτὸς ἑεδνώσαιτο θύγατρα, ἔδνα ἐμφαίνεται, τὰ ἀπὸ γυναικὸς τῷ νυμφίῳ. χρήσιμον δὲ εἰς θέλημα πατρικὸν ἐπὶ γάμῳ τὸ, ὡς αὐτὸς ἑεδνώσαιτο θύγατρα. δοίη δ' ὧκ' ἐθέλοι καί οἱ κεχαρισμένος ἔλθοι. Καὶ ὅρα ἐνταῦθα ὅτι λείπει τὸ ὃς ἀπὸ κοινοῦ ληφθὲν ἵνα λέγῃ, καὶ ὃς αὐτῷ κεχαρισμένος ἔλθοι. τοιοῦτον μετ' ὀλίγα καὶ τὸ, ᾧ πατὴρ κέλεται καὶ ἁνδάνει αὐτῇ. ἤγουν καὶ ὃς ἀρέσκει αὐτῇ. (ῃερς. 56.) Ὅτι ἱερεύειν, οὐ μόνον τὸ θύειν, ἀλλὰ καὶ τὸ ἁπλῶς σφάζειν. ἱερεῖον γὰρ Ἀττικῶς, τὸ σφαγιαζόμενον ζῷον. φησὶ γοῦν. βοῦς ἱερεύοντες, ὡς καὶ προεγράφη. ἐν οἷς καὶ εἰλαπίνην λέγει Τηλέμαχος ὡς καὶ προεδηλώδη, τὴν ἐν τῷ αὐτοῦ οἴκῳ δαῖτα τῶν μνηστήρων. εἰλαπινάζειν γὰρ λέγει αὐτούς. (ῃερς. 58.) Ὅτι πρωτότυπον τοῦ ἀνύω, τὸ ἄνω. φησὶ γοῦν. τὰ δὲ πολλὰ κατάνεται. ἤγουν ἀνύεται. τελειοῦται. ὄλλυται. τὰ δὲ πολλὰ ταῦτα ὁμολογῶν Ἀντίνοος καὶ ἑρμηνεύων ἐν τοῖς ἑξῆς, πολὺν βίοτον φησί. Τηλέμαχος δὲ, πολλά τε καὶ ἐσθλὰ κτήματα. Ἰστέον δὲ ὅτι τὲ τοῦ ἄνω, χρῆσις καὶ ἐν τοῖς ἑξῆς ἐν τῷ, ἦνον ὁδὸν ἤγουν ἤνυον. καὶ ὅτι καθ' Ἡρακλείδην, ἄμεινον λέγειν ἀνύω ἤπερ ἄνω, ἵνα μὴ παραλόγως μηκύνηται τὸ ἄλφα. οὐδέποτε γάρ φησι μηκύνεται προηγουμένου τοῦ ν¯υ ἐπὶ τῶν εἰς ν¯ω. σκοπητέον δὲ εἴπερ ἠκρίβωται οὗτος ὁ λόγος ἐπὶ πάντων. καὶ ἐνθυμητέον τὸ ἱκάνω, ἐκτεῖνον ἐν πολλοῖς τὴν παραλήγουσαν. (ῃερς. 61.) Ὅτι ἐπὶ ἀπροστατεύτῳ οἴκῳ, οἰκεῖον εἰπεῖν τὸ, οὐ γὰρ ἔπ' ἀνὴρ οἷος ὁ δεῖνα ἔσκεν ἀρὴν ἀπὸ οἴκου ἀμῦναι. οἱ δὲ μὴ ἔχοντες ἑαυτοὺς ἐκδικεῖν, εἴποιεν ἂν τὸ, ἡμεῖς δ' οὐ τοῖοι ἀμυνέμεν, οἷα λευγαλέοι καὶ οὐ δεδακηκότες ἀλκήν. ἦτ' ἀμυναίμην εἴ μοι δύναμίς γε παρείη. οὐ γὰρ ἔτ' ἀνσχετὰ ἔργα τετεύχαται. Εἰσὶ δὲ λευγαλέοι, οἱ πρόχειροι εἰς λοιγόν. ἢ εἰς τὸ λέγεσθαι ὅ ἐστι κοιμᾶσθαι νήγρετον. τινὲς δὲ, καὶ τοὺς φεύγειν ἑτοίμους ἐνόησαν. Δεδαηκέναι δὲ ἀλκὴν, τὸ σχεῖν ἐκ μαθήσεως. διδακταὶ γὰρ αἱ ἀρεταί. ὧν μία καὶ ἡ ἀλκὴ, ὅ ἐστιν ἀνδρεία. ἡ μέντοι ῥώμη, οὐ τοιοῦτον. οὐδὲ ὁ ῥωμαλέος. αὐτὰ γὰρ, φύσεως καὶ μόνης. (ῃερς. 63.) Τὸ δὲ ἀνσχετὰ, συγκέκοπται ὡς καὶ τὸ ἀμφαδὸν καὶ τὸ ἄμπαλος ἤτοι ἀνάπαλος, ἤγουν ἀνάδασμος, ὁ ἐκ δευτέρου πάλος ὅ ἐστι κλῆρος, ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐγράφη. Ὅτι νέμεσις κυρίως, ἡ ἐξ ἑτέρων μέμψις πρὸς τὸν κακόν τι πράσσοντα, εἴτε διορθοῖτο ἐκεῖνος εἴτε καὶ μή. αἰδὼς δὲ, ἡ διὰ νέμεσιν γενομένην πρός τινων εἴτε καὶ ἐλπιζομένην, ἐπιστροφὴ καὶ διόρθωσις τοῦ κακοῦ. καὶ εἴτις δὲ ἑαυτῷ νεμεσῶν διορθοῖτο, καὶ ἡ τοιαύτη νέμεσις, τῆς ἐλπιζομένης ἐξ ἑτέρων νεμέσεως ἤρτηται, καὶ εἰς αἰδῶ ἀποτελευτᾷ. καὶ ταῦτα δηλοῖ Ὅμηρος εἰπών. νεμεσσήθητε καὶ αὐτοὶ, ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους. εἶτα ἑρμηνεύων τίνες οἱ περικτίονες, ἐπάγει. οἳ περιναιετάουσιν. Ἰστέον δὲ ὅτι καὶ Ἡσίοδος ἄμφω ταῦτα αἰδῶ καὶ νέμεσιν, τὸν ἀνθρώπινον βίον οἶδε συνιστᾶν. ὧν οἰχομένων, λείψεταί φησι κατὰ βίον ἄλγεα λυγρά. καὶ ὅτι ἐν συνοικίᾳ μὲν, γείτονας αἰδεστέον ὡς καὶ Ἡσίοδος βούλεται. νῆσος δὲ καὶ πόλις, τοὺς ἀνάλογον γείτονας αἰδέσονται. οἵ πέρ εἰσιν, οἱ περίοικοι. (ῃερς. 68.) Ὅτι ἐν τῷ, λίσσομαι ἠμὲν Ζηνὸς Ὀλυμπίου ἠδὲ Θέμιστος, λείπει πρόθεσις ἡ ἐπ¯ι ἢ πρ¯ος. ἵνα λέγῃ, λίσσομαι πρὸς Διὸς καὶ Θέμιστος. ἢ ὡς ἐπὶ 1.83 Διός. ἤ τι τοιοῦτον. (ῃερς. 69.) Ἰστέον δὲ ὡς μέτεστι καὶ τῷ Διῒ τῆς ἀργορᾶς, οἷα πανομφαίῳ καὶ φήμης αἰτίῳ καθὰ προεδηλώθη. διὸ καθ' Ἡρόδοτον, καὶ Διὸς ἀγοραίου βωμὸς περὶ Σικελίαν. Ὅτι τὸ, ἡ Θέμις ἀνδρῶν ἀγορὰς λύει, ἠδὲ καθίζει γνωμικῶς ῥηθὲν, σχῆμα ὅ ἐστι τρόπον ὑστερολογίας ἤγουν πρωθυστέρου ἔχει. πρῶτον γὰρ τὸ καθίζειν τοῦ λύειν. δηλοῖ δὲ ἡ γνώμη, τὸ διὰ ζήτησιν τὰς ἐκκλησίας γίνεσθαι. τινὲς δὲ ἄγαλμα Θέμιδος ἐνόμισαν τοῖς ἐκκλησιάζουσιν εἰς κομίζεσθαι, πρὸς ὃ καὶ κάθηνταί φασι καὶ ἐγείρονται. (ῃερς. 73.) Ὅτι τοῦ δυσμεναίνω ῥήματος οὗ χρῆσις παρὰ τοῖς μεθ' Ὅμηρον, προϋπάρχει τὸ δυσμενέω, καὶ δῆλον αὐτὸ ἐξ Ὁμηρικῶν ἐνταῦθα μετοχῶν τοῦ, ἐσθλὸς Ὀδυσσεὺς δυσμενέων κάκ' ἔρεζε. καὶ τοῦ, κακὰ ῥέζετε δυσμενέοντες.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φαίνεται δὲ ὅτι ἀναλόγως τῷ δυσμενέω οὗ συναίρεμα ὡς εἰκὸς τὸ δυσμενῶ, εἴη ἂν καὶ εὐμενέω εὐμενῶ, ἐξ οὗ καὶ εὐμενέτης. ὡς καὶ εὐχέτης. ἀπὸ σεσιγημένου ῥήματος τοῦ εὐχῶ. καὶ ναέτης ἐκ τοῦ ναῶ. σύστοιχα δὲ πάντως ὡς ὁ εὐμενέων καὶ ὁ εὐμενὴς, οὕτω καὶ ὁ δυσμενέων καὶ ὁ δυσμενής. οὗ πρὸς ἐχθρὸν διαφορὰ παρὰ τοῖς παλαιοῖς, αὕτη ἐχθρός φασιν, ὁ πρότερον φίλος. δυσμενὴς, ὁ πρὸς τὸν ποτὲ φίλον ἔχθραν τηρῶν καὶ δυσδιάλλακτος. πολέμιος δὲ, ὁ δι' ὅπλων χωρῶν πρὸς τὸν πέλας. Τὸ δὲ κάκ' ἔρεζε δι' ἑνὸς ¯ρ, κοινόν ἐστιν. Ἀττικὸν μέντοι, τὸ ἔῤῥεζε. τούτου δὲ, πάντως καὶ μέσος κοινὸς παρακείμενος, ἔρογα. ἀφ' οὗ ἐν μεταθέσει, τὸ ἔοργα. (ῃερς. 74.) Ὅτι πρὸς τοὺς ὀτρύνοντας βλάπτεσθαι καὶ δαπανᾶσθαι τὰ ἀλλότρια, ἐρεῖ ἂν ὁ προσήκων, τὰ ὑπὸ Τηλεμάχου πρὸς τοὺς Ἰθακησίους λεχθέντα. ἐμοὶ δέ κε κέρδιον εἴη, ὑμέας ἐσθέμεναι κειμήλιά τε πρόβασίν τε. εἴχ' ὑμεῖς φάγοιτε, τάχ' ἄν ποτε καὶ τίσις εἴη. τόφρα γὰρ ἂν κατὰ ἄστυ ποτιπτυσσοίμεθα μύθῳ, χρήματ' ἀπαιτίζοντες, ἕως κ' ἀπὸ πάντα δοθείη. νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ. Σημείωσαι δὲ ὡς ἡ ῥηθεῖσα ἔννοια, λύσις ἐστὶν ἀντιθέσεως. ἐπεὶ γὰρ εἰκὸς τοὺς Ἰθακησίους εἰπεῖν ὡς ἡμεῖς οὐδὲν δαπανῶμεν, λύων ὁ Τηλέμαχος, κέρδιον αὐτῷ εἶναι τοῦτο φησίν. εἶτα καὶ κατασκευάζει τὴν τοιαύτην πρότασιν. (ῃερς. 75.) Σημείωσαι δ' ἐν τούτοις ὅτι κειμήλια μὲν ἔφη, τὰ κείμενα. ὅ ἐστι τὰ παρ' ἡμῖν ἀκίνητα. πρόβασιν δὲ, ἅπερ ἡμεῖς φαμὲν αὐτοκίνητα, τὰ διὰ ποδῶν προβαίνοντα. ἐξ οὗ ἰδίως κατά τινα ἐξοχὴν, ἐκλήθησαν τὰ πρόβατα. (ῃερς. 77.) Προσπτύσσεσθαι δὲ μύθῳ, τὸ λόγοις συμπλέκεσθαι. ἀπὸ μεταφορᾶς τῶν πτυσσομένων σωμάτων, οἷς πελάζοντά εἰσιν ἀλλήλοις τὰ μόρια. ἴσως δὲ καὶ κλόνον τινὰ δικαστικὸν αἰνίττεται τὸ προσπτύσσεσθαι. οὕτω γὰρ καὶ ἔγχεα πτυσσόμενα ἐν Ἰλιάδι ἔφη ὁ ποιητής. οἱ δέ γε μεθ' Ὅμηρον, ἐπὶ φιλήματος ἢ σωματικῆς περιπλοκῆς τιθέασι τὸ προσπτύσσεσθαι. (ῃερς. 78.) Τὸ δὲ ἀπαιτίζω, παραγωγὴν ἔχει. ὁποίαν καὶ τὸ νεμεσίζω καὶ πολεμίζω. διαφέρει δὲ τοῦ αἰτεῖν τὸ ἀπαιτεῖν, ὡς καὶ τοῦ διδόναι τὸ ἀποδιδόναι. αἰτεῖ μὲν γάρ τις καὶ δίδωσι, τὸ μὴ χρεωστούμενον. ἀπαιτεῖ δὲ ἢ ἀποδίδωσι, χρέος. ὡς καὶ ἐνταῦθα Τηλέμαχος μὲν, ἀπαιτίζοι ἄν. Ἰθακήσιοι δὲ, ἀποδοῖεν ἂν πάντα. τοῖς μέντοι κωμικοῖς οἷα ἐχρήγησε παίγνια τὸ δημοσθενικὸν ἀποδοῦναι, ἱστορεῖ σὺν ἑτέροις, καὶ ὁ Ἀθήναιος. Ἀπρήκτους δὲ ὀδύνας λέγει, ἐφ' αἷς οὐκ ἔστιν ἐκδίκησις. αἳ καὶ μαψιδίως λέγοιντο ἂν γίνεσθαι. κατὰ τὸ, εἰλαπινάζουσι πίνουσί τε αἴθοπα οἶνον μαψιδίως. ἤγουν ἐφ' οἷς οὐκ ἔστι τίσις ὅ ἐστιν ἀπόδοσις. (ῃερς. 84. σθθ.) Ὅτι ἐν τῷ, ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν, οὐδέ τις ἔτλη Τηλέμαχον μύθοισιν ἀμείψασθαι χαλεποῖσιν ὅπερ ἀναντίῤῥητον εἶναι δηλοῖ τὴν ἐκείνου δημηγορίαν, κεῖταί πως καὶ ἐτυμολογία τοῦ ἀκήν. εἰ γὰρ μηδεὶς ἔτλη ἐκεῖνον ἀμείψασθαι, οὐκ ἔχανεν ἄρα λαλῆσαι ἀλλ' ἔμεινεν ἀχανής. ἐντεῦθεν δὲ τὸ ἀκήν. γίνεται γὰρ ἐκ τοῦ ¯α στερητικοῦ καὶ τοῦ χαίνειν, ἀχήν. καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, ἀκήν. οὐ μόνον Ἰωνικῶς, ἀλλὰ καὶ ἵνα μὴ προσκρούῃ συνεμπίπτον πρὸς τὸ ἀχὴν, ὅς ἐστιν ὁ πτωχὸς παρὰ τὸ μὴ ἔχειν. Ὅτι εἰ καὶ ἀναντίῤῥητος ἡ τοῦ Τηλεμάχου τοῦ θυμοσόφου ῥήτορος δημηγορία, ἀλλ' ὁ Ἰθακήσιος μνηστὴρ Ἀντίνοος τὸν ὑπὲρ πάντων μνηστήρων ἀναδεξάμενος λόγον, καὶ δείξας ἔργοις αὐτοῖς ὡς οἱ Ἰθακήσιοι μνηστῆρες τὸ πᾶν δύνανται, καὶ μάλιστα τῶν ἄλλων αὐτοὺς ἔτι δὲ καὶ Εὐρύμαχος ὡς καὶ μετ' ὀλίγα δειχθήσεται. ὁ τοίνυν ἐξ Ἰθάκης Ἀντίνοος ἐπὶ τῇ προβολῇ τοῦ Τηλεμάχου καὶ αὐξήσει τῇ κατὰ πηλικότητα, μεθιστᾷ τὴν αἰτίαν εἰς τὴν Πηνελόπην. λέγων ὅτι τοῦ παραμένειν αὐτοὺς τῷ οἴκῳ τοῦ Τηλεμάχου, οὐχ' οἱ μνηστῆρες αἴτιοι, ἀλλὰ φίλη μήτηρ. ἣ πέρι κέρδεα οἶδεν οὐ θέλουσα γήμασθαι ὡς αὐτὸς ἀφηγεῖται. καὶ τοῦτο μὲν, ἀληθές. οὐ προσλογίζεται δὲ ὁ βίαιος Ἀντίνοος, εἰ καὶ καλῶς ἡ Πηνελόπη ἀπαρνεῖται τὸ γήμασθαι. καὶ μὴν, πᾶσα γυνὴ μὴ ὑπακούουσα ἐν τῷ βιάζεσθαι, αὐτὴ αἰτία ἐστὶ τοῦ οὕτω πάσχειν, 1.84 οὐ μόνον διὰ κάλλος ἀλλὰ μάλιστα διά τι ἕτερον καλὸν ὃ αὐτὴ ἔχει. καὶ οὐ δήπου ψεκτέον τὸ τῆς γυναικὸς καλὸν, ἀφέντας τὸν βιαζόμενον. οὕτω καὶ ἡ καλὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πηνελόπη αἰτία τοῦ μὴ γήμασθαι, διὰ τὸ σῶφρον. καὶ οὐ μωμητέον τὴν σωφροσύνην, ἀλλὰ τὸν ἐπικείμενον πρὸς βίαν. οὔκουν ἡ τοῦ Ἀντινόου ἐπιχείρησις γενναία, μή ποτε δὲ καὶ εἰς τὸ ἐναντίον λέληθεν ἑαυτῷ τὴν δικαιολογίαν περιτρέπων ὁ Ἀντίνοος. οἷς γὰρ ἐρεθίζει τὸν Τηλέμαχον κατὰ τῆς μητρὸς, ἀνάπτει αὐτῷ τὴν πρὸς ἐκείνην στοργήν. εἰ γὰρ καλῶς ἡ φίλανδρος μήτηρ διὰ σωφροσύνην ὀκνεῖ τὸν γάμον, στερκτέα ἄρα. ὁ μέντοι Ἀντίνοος καὶ τοῦτο διαβαλεῖν πειρᾶται. παραλαλῶν, ὡς οὐ διὰ σωφροσύνην ἡ Πηνελόπη διατρίβει τὸν γάμον, ἀλλὰ διὰ τῦφον γυναικεῖον. ἐρεῖ γάρ. ὡς μέγα μὲν κλέος ἑαυτῇ ποιεῖται, σοὶ δὲ ποθὴν πολλοῦ βιότου. Καὶ ὅρα ὅπως ἐφ' ἑκάτερα μελετᾷ ὁ ποιητής. τὸν μὲν Τηλέμαχον ποιήσας καταφερόμενον τῶν μνηστήρων σφοδρῶς ὡς εἴρηται. τὸν δὲ Ἀντίνοον ἀντιπαραγαγὼν, ἐναγωνιώτερον ἀπολογούμενον. οὗ περ ὁ ἀγὼν, δύο κεφαλαίων ἀπόδειξιν ἔχει. τοῦ τὴν Πηνελόπην αἰτίαν εἶναι. καὶ τοῦ διὰ μόνην οἰκείαν εὔκλειαν ἀναβάλλεσθαι τὸν γάμον. Σημείωσαι δὲ ὅτι Ὅμηρος μὲν καὶ οἱ καθ' Ὅμηρον, σώφρονα ἐν ταῖς μάλιστα ἱστοροῦσι τὴν Πηνελόπην. Λυκόφρων δὲ καὶ εἴ τις ἄλλος τοιοῦτος, κασσωρίδα τὴν καλὴν Πηνελόπην παραδιδόασι, καὶ τὸ πάντῃ ἀπίθανον, καὶ πᾶσι τοῖς μνηστῆρσιν αὐτὴν καθυπάγουσι. καὶ ἐκ τοιαύτης ὑποθέσεως, τὸν μυθικὸν γεννῶσι Πᾶνα. ἕτεροι δὲ σεμνότερον ληροῦντες, Ἑρμῇ συνευνάζουσι τῇ Πηνελόπῃ, ὅθεν ὁ Πάν, ὃν καὶ κατάρξαι τῆς ὑφαντικῆς φασί τινες. ὅθεν καὶ τὸ πανίον παρῆκται. Ἡρόδοτος δὲ ἄλλον τινὰ Πᾶνα ἱστορῶν, φησὶν ὅτι Πὰν ἀρχαιότατος παρ' Αἰγυπτίοις, ἕτερος παρὰ τὸν ἐκ Πηνελόπης καὶ Ἑρμοῦ. (ῃερς. 85.) Ὅτι πρὸς τὸν ἐφ' οἷς οὐ δεῖ αἰτιώμενόν τινας, εἴποιεν ἂν ἐκεῖνοι τὸ τοῦ Ἀντινόου πρὸς Τηλέμαχον. οἷον. ὦ δεῖνα ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες ἡμέας αἰσχύνων, ἐθέλεις δέ κε μῶμον ἀνάψαι. τίς δὲ ὁ ὑψαγόρης, προείρηται σαφῶς. Τὸ δὲ μένος ἄσχετε, εἰρώνευται. θάρσος μὲν γὰρ, ἐνδείκνυται ὁ Τηλέμαχος. μένος δὲ, οὔπω. Τὸ δὲ ἔειπες, ἔχει τις γράψαι καὶ ἔειπας. φησὶ γὰρ Αἴλιος Διονύσιος ὅτι εἶπον καὶ εἶπα, ἀμφότερα παρὰ Ἀττικοῖς. μᾶλλον δὲ, τὸ πρότερον. καὶ τὰ προστακτικὰ δὲ, ἀμφοτέρως, εἰπὲ καὶ εἰπὸν. ὀξυτόνως. καὶ αἱ μετοχαί, ὁ εἰπὼν καὶ ὁ εἴπας. Ἰστέον δὲ ὅτι καθάπερ εἶπον καὶ εἶπα, οὕτω καὶ ἤνεγκα καὶ ἤνεγκον. καὶ μᾶλλον τοῦτο. ὡς ὁ κωμικὸς ἐν Λυσιστράτῃ. τάλαιν' ἐγώ. τὸ ῥόδιον ἤνεγκον μύρον. τοῦ δὲ ἑτέρου, χρῆσις παρ' Εὐριπίδῃ. ἤνεγκα κἀξέσωσα. (ῃερς. 86.) Τὸ δὲ αἰσχύνων, ἀναιδῶς ἐῤῥέθη. δηλοῦντος Ἀντινόου, ὡς οὐκ ἐπιστρέφονται τῆς αἰδοῦς οἱ κατ' αὐτόν. Τὸ δὲ ἀνάψαι, ἢ ἀπὸ τοῦ ἅπτειν ἐξ οὗ καὶ ὁ ἥφαιστος. ἵνα λέγῃ ἐκφῆναι καὶ ἐκφλογῶσαι μῶμον δίκην φανοῦ. ἢ ἀντὶ τοῦ προσάψαι καὶ οἱονεὶ ἐκδῆσαι. καθ' ὃν λόγον καὶ πεῖσμα νηὸς, ἐκ πέτρας ἀνάπτεσθαι λέγεται. ἑρμηνευτικὸν δέ ἐστι τοῦ αἰσχύνων, τὸ μῶμον ἀνάψαι. αἰσχύνει γάρ τινα ὁ μῶμον ἐκείνῳ ἀνάπτων. (ῃερς. 89.) Ὅτι διηγούμενος ἐνταῦθα τὰ κατὰ τὴν Πηνελόπην ὁ Ἀντίνοος, λέγει. ἤδη γὰρ τρίτον ἐστὶν ἔτος τάχα δ' εἶσι τέταρτον, ἐξ οὗ παρέλκει τὸν γάμον. πάντας μέν ῥ' ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ ἀγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ. τοῦτο δὲ ἁρμόζει ἐπὶ παντὸς εἰπεῖν δολίου μὲν λόγοις δὲ θέλγοντος. (ῃερς. 89. σθθ.) Τὸ δὲ τάχα δὲ εἶσι τέταρτον, ἀντὶ τοῦ, ταχὺ ὅσον οὔπω δίεισι καὶ συμπληροῦται καὶ τὸ τέταρτον, ὡς ὁ ποιητὴς μετ' ὀλίγα ἑρμηνεύσει. εἶτα ἐκτιθεὶς τὰ κατὰ τὸν ἱστὸν τῆς Πηνελόπης, φησίν. ἡ δὲ, δόλον τόν δ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξε. στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν, ὕφαινε, λεπτὸν καὶ περίμετρον. πλασαμένη, χρῆναι μένειν ἡμᾶς ἐπειγομένους τὸν αὐτῆς γάμον ἕως φᾶρος ἐκτελέσει Λαέρτῃ ἥρωϊ ταφήϊον. μή μοι φησὶ μεταμώλια νήματα ὄληται. ἔνθα καὶ ἑρμηνεύων τὸ ταφήϊον, φησίν. ὅτε ἂν αὐτὸν μοῖρα καθέλῃ θανάτου ὅ ἐστι καταῤῥίψῃ. ὃν θάνατον, καὶ τανηλεγέα ἐνταῦθα λέγει ὡς καὶ ἀλλαχοῦ, πρὸς διαστολὴν τοῦ ἀδελφοῦ ὕπνου. ὁ μὲν γὰρ, ὡς οἷον εἰπεῖν, μικρολεγής. ὡς ἐπὶ μικρὸν λέγων ὅ ἐστι κατακοιμίζων τὸν ἄνθρωπον. ὁ δὲ θάνατος, ἐπὶ μακρὸν παρατείνει τὸ τοιοῦτον λέξασθαι. λέγει δὲ καὶ ἄλλην πρόφασιν τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πηνελόπης, τοιαύτην. μή τις μοι φησὶ κατὰ δῆμον Ἀχαιΐδων νεμεσήσῃ αἴκεν ἄτερ σπείρου κεῖται ὁ γέρων πολλὰ κτεατίσσας ἤτοι κτέατα σχών. ὡς εἶναι τρία ταῦτα τῇ Πηνελόπῃ τὰ εἰς ἀφορμὴν τοῦ ἱστοῦ. τὴν ἐκ τῶν σωφρόνων γυναικῶν νέμεσιν. καὶ τὸ ἁπλῶς ὅσιον. τὸ χρῆναι δηλαδὴ τῷ τεθνεῶτι ὁσιοῦσθαι ἐντάφιον. καὶ τὸ μὴ ἐθέλειν ὀλέσθαι τὰ νήματα τῇ εἰς πλέον ἀναβολῇ. ἐφ' οἷς καὶ ἐπείσθησαν οἱ ἀγήνορες. ἔνθα καὶ ἠματίη μέν φησιν ὑφαί 1.85 νεσκε μέγαν ἱστόν. νύκτας δ' ἀλλύεσκεν ἐπὴν δαΐδας παραθείη. ὣς τρίετες μὲν ἔληθε δόλῳ καὶ ἔπειθεν Ἀχαιούς. ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι, καὶ τότε δή τις ἔειπε γυναικῶν ἣ σάφα ᾔδη. καὶ τήν γ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν. Ὣς τὸ μὲν, ἐξετέλεσε καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης. Σοί δ' ὧδε μνηστῆρες ὑποκρίνονται ἵν' εἰδῇς Αὐτὸς σῷ θυμῷ, εἰδῶσι δὲ πάντες Ἀχαιοί. Μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι Τῷ, ὅτεῴ τε πατὴρ κέλεται καὶ ἁνδάνει αὐτῇ. Εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν. Τὰ, φρονέουσ' ἀνὰ θυμὸν, ἅ οἱ περιδῶκεν Ἀθήνη.Ἔργα τ' ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλάς. Κέρδεά θ' οἷα οὔπω τίν' ἀκούομεν οὐδὲ παλαιῶν Τάων, αἳ πάρος ἦσαν ἐϋπλοκαμῖδες Ἀχαιαί. Τυρώ τ' Ἀλκμήνη τε ἐϋπλόκαμός τε Μυκήνη. Τάων οὔτιςὁμοῖα νοήματα Πηνελοπείῃ Ἤιδη ἀτὰρ μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησεν. Τόφρα γὰρ οὖν βίοτόν τε τεὸν καὶ κτήμαθ' ἔδονται, Ὄφρά κε κείνη τοῦτον ἔχῃ νόον ὅντινά οἱ νῦν Ἐν στήθεσσι τιθεῖσι θεοί. μέγα μὲν κλέος αὐτῇ Ποιεῖτ'. αὐτὰρ σοί γε, ποθὴν πολέος βιότοιο. Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε πῃ ἄλλῃ, Πρίν γ' αὐτὴν γήμασθαι Ἀχαιῶν ᾧ κ' ἐθέλῃσιν. Καὶ ὅρα ἐν τούτοις ὅπως Τηλέμαχος μὲν, ἐν πάνυ στενῷ ἐδήλωσε τὰ κατὰ τὴν Πηνελόπην. εἰπὼν τοῦτο καὶ μόνον. μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ. ἁπλοῦν γὰρ ἡ ἀλήθεια. καὶ οὐ δεῖται ποικίλων ἑρμηνευμάτων τὸ δίκαιον ὡς ἡ τραγῳδία δηλοῖ. Ἀντίνοος δὲ πλατὺ διηγούμενος, δείκνυοι μὲν δῆθεν καὶ ὃ προέθετο, ὅτι δηλαδὴ αἰτία ἐστὶν ἡ Πηνελόπη. ὁμολογεῖ δὲ καὶ τὴν βίαν ἀριδηλότητα, ὡς ἐν τοῖς κατὰ μέρος φαίνεται. καὶ οὐ μόνον ἐν τῇ πολυετεῖ ὑπερθέσει, ἀλλὰ καὶ μάλιστα ἐν τῷ ἐκτελέσαι τὸν ἱστὸν ὑπ' ἀνάγκης. ἔτι δὲ καὶ ἐν τῷ ποιεῖν τῷ Τηλεμάχῳ ποθὴν πολλοῦ βιότου. καὶ ἐν τῷ ἐνίστασθαι, μὴ ἂν ἀποτραπέσθαι τοῦ οἴκου, πρὶν γήμασθαί τινι τὴν Πηνελόπην. ὃ δὴ καὶ πρὸς κακοῦ πάντως ἔσται τοῖς μνηστῆρσιν. οἷς ἐξὸν ὂν σωθῆναι ἄλλην τραπομένοις, ὅμως πάντες ὁμοῦ εὑρεθέντες, πανωλεθρίαν ἔπαθον. καὶ εἴη ἂν ὁ τελευταῖος τοῦ Ἀντινόου λόγος, ὡς οἷα τις κατὰ τῶν μνηστήρων προεκθετικὴ ἀναφώνησις. (ῃερς. 91.) Ἰστέον δὲ ὅτι τὸ ἔλπει, ταυτόν ἐστι τῷ. εἰς ἐλπίδας ἄγει. καὶ ὅτι ὥσπερ ὀχῶ ἄλλον ὀχοῦμαι δὲ αὐτός. καὶ πορεύω ἕτερον πορεύομαι δὲ ἐγὼ, οὕτω καὶ ἔλπω τὸ εἰς ἐλπίδας ἄγω καὶ ποιῶ εὐέλπιδα. ἔλπομαι δὲ δὲ αὐτὸς ἤτοι ἔχω ἐλπίδας. τοιοῦτον καὶ τὸ ψεύδω. οἷον. ἔψευσάς με τῆς ἐλπίδος. καὶ δηλοῦσι τὰ τοιαῦτα ῥήματα, δύο ἐνεργείας προσώπου ἑνός. τὴν μὲν, αὐτοῦ καθ' ἑαυτὸ ἐν φωνῇ παθητικῇ. οἷον. ὀχοῦμαι. πορεύομαι. ἔλπομαι. ψεύδομαι. τὴν δὲ, ἀπ' αὐτοῦ εἰς ἄλλο κατὰ φωνὴν ἐνεργητικήν. οἷον. ὀχῶ καὶ πορεύω καὶ ἔλπω καὶ ψεύδω ἄλλον. Τὸ δὲ ὑπίσχεται, πρωτότυπόν ἐστι τοῦ ὑπισχνεῖται. ὡς γὰρ ἵκω ἱκνῶ, οἴχω οἰχνῶ, οὕτως ὑπίσχω ὑπισχνῶ. Τὸ δὲ στησαμένη μέγαν ἱστὸν, τρόπος ἐτυμολογίας ἐστί. τὸ δὲ μέγαν ἱστὸν ἐν μεγάροις, ἔχει τι παρηχήσεως κατὰ τὸ μέγα. Μέγαν δὲ ἱστὸν εἰπὼν, προσέθετο καὶ λεπτὸν καὶ περίμετρον, ἵνα εἴη πιθανὸν τὸ πολυχρόνιον τῆς αὐτοῦ κατασκευῆς, διὰ τὸ δυστήρητον τῆς προκοπῆς τοῦ λεπτοϋφοῦς καὶ περιμέτρου ἔργου. ἐπίτασις δὲ πάντως τοῦ μεγάλου ἱστοῦ, τὸ περίμετρον, ἐπαύξει δὲ τὸν χρόνον, καὶ τὸ ἀγλαὸν εἶναι τὸν ἱστόν. ὃ ταυτόν ἐστι τῷ, περικαλλὲς ἔργον. (ῃερς. 94.) Τοῦ δὲ ὑφαίνειν ἐξ οὗ τὰ ὑφαντὰ, πρωτότυπον οὐ χρηστὸν τὸ ὑφῶ. αὐτὸ δὲ, προϋπάρχει καὶ τοῦ ὑφάζω, ἀῤῥήτου καὶ αὐτοῦ θέματος. ἀφ' οὗ τὸ ὕφασμα. ἐκ τοῦ ὑφῶ δὲ, καὶ τὸ ὕφος. ἔτι δὲ καὶ ἡ παρυφή. ἔστι καὶ αὕτη κατὰ τὸν Ἀθήναιον, κόσμου εἶδος ἐν ἱματίῳ, οὐκ εὐδιάρθρωτος πάνυ σαφῶς. ὁποῖα ἴσως τὰ λεγόμενα ἐξεμπλωτὰ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλουμιστά. ἔοικε δὲ μὴ δὲ εἶναι ᾧα πρόθετος διὰ τοῦτο ἡ παρυφή. ἀλλά τι κάλλος συνυφασμένον περί τινα μέρη, οὐ μὴν κατὰ διηνεκὲς ποίκιλμα ὁποία ἡ τῆς Ἑλένης δίπλαξ. χρῆσις δὲ τῆς λέξεως, ἔν τε ἄλλοις καὶ ἐν τῷ, ἐφόρουν παρυφὴν διαφανῆ πάντες οἷς νῦν ὁ τῶν γυναικῶν ἁμβρύνεται βίος. φανερόν δ' ὅτι ἐκ τῆς παρυφῆς, εὐπάρυφος στολὴ ἐν βραχείᾳ τῇ παραληγούσῃ. ὥσπερ ἐκ τοῦ ὕφους ἢ τῆς ὑφῆς, μακροπαράληκτος ὁ καὶ ἡ εὔυφος. καὶ ὅτι τοῦ ὑφάζω καινὸς Ἀττικὸς παρακείμενος, ὑφυφασμένος. ὑπὲρ οὗ λαλοῦσιν οἱ τεχνικοὶ τὰ πείθοντα. ὅτι ὥσπερ τὸ ὕφασμα διὰ τοῦ σίγμα οὕτω καὶ μετοχὴ ἐστιν ὑφασμένος, Ἡρῳδιανὸς δηλοῖ. ὃς καὶ Ἀττικῶν αὐτό φησιν εἶναι. οἳ καὶ μεμολυσμένος φασὶ καὶ μεμαρασμένος. εἰ καὶ ἄλλως ὥσπερ αἰσχύνω ᾐσχυμμένος, οὕτως ὤφειλεν εἶναι καὶ μολύνω μεμολυμμένος καὶ μαραίνω μεμαραμμένος. (ῃερς. 97.) Φᾶρος δὲ νῦν, ἢ τὸ ἁπλῶς ὕφασμα παρὰ τὸ τῇ ὑφῇ ἀρηρέναι. διὸ καὶ προπερισπᾶται διὰ τὴν συναίρεσιν ἀνάπαλιν πρὸς τὸ τοπικὸν, ἢ τὸ ἁπλῶς ὑφαινόμενον ὡς γενέσθαι ὕστερον δι' αὐτοῦ 1.86 φᾶρος εἴτουν ἱμάτιον. τοῦτο δὲ, καὶ σπεῖρον παρακατιὼν φησὶν, ἢ ὡς ὕφασμα δυνάμενον σπειροῦν ὅ ἐστι σπαργανοῦν καὶ περιέχειν τὸν αὐτὸ περιτιθέμενον, ἢ καὶ ὡς λυσιτελοῦν εἰς ἱμάτιον. σπεῖρον γάρ που καὶ τὸ ἱμάτιον. ὡς τὸ, σπεῖρα κάκ' ἀμφ' ὤμοισι. (ῃερς. 98.) Μεταμώλια δὲ ἢ μεταμώνια, ποιητὴς μὲν, χαίρει γράφων. πεζογράφος δὲ ῥήτωρ ἐξαθερίζει καὶ αὐτὸ καθὰ καὶ τὸ ἀτέμβει θυμόν. ἤγουν εἰς ἄτην ἐμβιβάζει. στερίσκει. γίνεται δὲ τὸ μεταμώνια, παρὰ τὸ μὴ ὀνεῖν, μηόνια. καὶ κατὰ κρᾶσιν καὶ σύνθεσιν μεταμώνια, ὁμοίως τῷ ἐπιβοήσομαι ἐπιβώσομαι ὡς προεγράφη. καὶ Ἀττικῶς, μεταμώλια. ὡς καὶ νίτρον λίτρον, καὶ πνεύμων πλεύμων. ὅθεν καὶ πλευμονία. καὶ παρ' Ὁμήρῳ. πάγη δ' ἐνπλεύμονι χαλκὸς καθά τις γράφει τῶν παλαιῶν. Τὰ δὲ ἀπόθετα νήματα, συντελεῖ πρὸς τὴν προδηλωθεῖσαν ἐτυμολογίαν τῆς Πηνελόπης. γίνεται δὲ τὸ νῆμα, παρὰ τὸ νήθω. ἢ μᾶλλον παρὰ τὸ νῶ ἐξ οὗ καὶ τὸ νήθω παρῆκται. ὡς ἐκ τοῦ κνῶ, τὸ κνήθω. καὶ ἐκ τοῦ μῶ ἤτοι ζητῶ, τὸ μήθω. ὅθεν ὁ Προμηθεύς. χρῆσις δὲ τοῦ νῶ, παρ' Ἡσιόδῳ. (ῃερς. 99.) Τὸ δὲ ταφήϊον, καθ' ὁμοιότητα παρῆκται τοῦ πολεμήϊον. ἤγουν κατὰ πλεονασμὸν τοῦ ¯η, οὐ κατὰ διάλυσιν ὡς τὸ πρεσβήϊον. (ῃερς. 100.) Τὸ δὲ μοῖρ' ὀλοὴ, πρὸς διαστολὴν εἴρηται τῆς εὐμοιρίας. ὥς που καὶ μοῖραν λέγει δυσώνυμον, κατὰ διαφορὰν τῆς μὴ τοιαύτης. Τὸ δὲ καθελεῖν καὶ ἡ καθαίρεσις, ὡς ἐπὶ ταπεινώσεως λέγεταί τινος καὶ καταῤῥίψεως, ἀριδηλότατόν ἐστι. Γυναικῶν δὲ νέμεσιν ὑφορᾶται ἡ Πηνελόπη, καθά που καὶ ἄνδρες ἀνδρῶν. ἴσως δὲ καὶ διὰ τὸ μεμψιμοιροτέρας αὐτὰς τῶν ἀνδρῶν εἶναι ὡς καὶ ἀλλαχοῦ δηλοῦται. Σπεῖρον δὲ νῦν, οὐκ ἐξ ἀνάγκης εὐτελὲς ὕφασμά τι, ἀλλὰ οἷον ἐπιπρέπειν τῷ ἥρωϊ Λαέρτῃ. φασὶ γοῦν τριχῶς τὸ σπεῖρον. πολυτελὲς ἱμάτιον. ῥάκος. καὶ ἱστίον. ὅθεν δὲ ἡ τοῦ ὄφεως σπεῖρα καὶ τὸ σπειρᾶσθαι ἤτοι σπαργανοῦσθαι, συσφίγγεσθαι, ἐκεῖθεν καὶ τὸ σπεῖρον. Τὸ δὲ ὑφαίνεσκε καὶ ἀλλύεσκεν ἀντὶ τοῦ ἀνέλυε, ποιητικά εἰσι πάρισα πρέποντα τῷ περὶ Πηνελόπης ἐνταῦθα λόγῳ, τῆς καλῆς καὶ περίφρονος. Εὐτελείας δὲ καὶ ἐνταῦθα ἡρωϊκῆς δηλωτικὴ ἡ τῶν δαΐδων τῇ Πηνελόπῃ παράθεσις. Τὸ δὲ τρίετες ὥσπερ καὶ τὸ τετράετες καὶ τὰ ὅμοια προπαροξύτονα, χρόνου εἰσὶ δηλωτικὰ οἷα χρονικὰ ἐπιῤῥήματα. τὸ μέντοι τριετὲς ἢ τετραετὲς οἷον παιδίον ἢ ἄλλό τι, ὀξύνονται πρὸς διαφοράν. ἀκριβέστερον δὲ ὅπως τονίζονται τὰ παρὰ τὸ ἔτος, ἐν τῇ τῆς Ἰλιάδος Βοιωτίᾳ δηλοῦται. Τὸ δὲ καὶ ἐπήλυθον ὧραι, συμπληροῦσθαι τὸ τέταρτον ἔτος δηλοῖ. οὐ γὰρ μία ἐπῆλθεν ὥρα. ἀλλ' ὡς ἔοικεν, ἢ ὅλαι ἢ αἱ πλείους. πρὸς ὃ συμφωνεῖ καὶ τὸ, τάχα δ' εἶσι τέταρτον, ἤγουν δίεισιν ὡς καὶ πρὸ ὀλίγου εἴρηται. (ῃερς. 108.) Ἐν δὲ τῷ, ἔειπέ τις γυναικῶν, ἡ δουλικὴ ἀπιστία δηλοῦται. εἴγε ἡ ἐπὶ τῷ ἱστῷ ἀνάγκη τῇ Πηνελόπῃ, διὰ τὴν κατειποῦσαν δούλην ἐπήνεκται. καλῶς ἄρα αἱ τοιαῦται ὕστερον μετὰ τὴν μνηστηροκτονίαν κρεμασθήσονται. (ῃερς. 109.) Τὸ δὲ ἐφεύρομεν, ἀστείως ἐῤῥέθη, ὡς οἷον ἐν ἀνιχνεύσει εὑρεθέντος τοῦ δόλου τῆς Πηνελόπης. Τὸ δὲ ἀγλαὸν εἶναι τὸν ἱστὸν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμβάλλεταί τι ὡς ἐῤῥέθη καὶ αὐτὸ, πρὸς τὴν διατριβὴν τοῦ ἔργου καὶ τὸ λεπτὸν καὶ περίμετρον. (ῃερς. 110.) Τὸ δὲ οὐκ ἐθέλουσα καὶ τὸ ὑπ' ἀνάγκης, τὴν τῶν μνηστήρων ὡς καὶ προείρηται βίαν ἐνδείκνυται. καὶ τοιαῦτα μὲν ἄχρις ὧδε τὰ κατὰ τὸν ἱστὸν τῆς Πηνελόπης. τὸν εἴτε ὡς ἐν ὑποθέσει, εἴτε καὶ καθ' ἱστορίαν ἀληθῆ. ἡ μέντοι ἀλληγορία κατὰ ἀστειοτέραν ἀναγωγὴν, φιλοσοφίαν μὲν καὶ πάλιν τὴν Πηνελόπην νοεῖ. ἱστὸν δὲ ὑπ' αὐτῆς ὑφαινόμενον, τὴν φιλόσοφον τῶν προτάσεων ἐπισύνθεσιν. ἐξ ὧν αἱ συλλογιστικαὶ ὑφαινόμεναι γίνονται συμπλοκαί. ἀνάλυσιν δὲ ὑπ' ἀνάγκης γινομένην τοῦ τοιούτου ἱστοῦ ὑπονοεῖ, τὴν οὕτω παρὰ τοῖς φιλοσόφοις λεγομένην τῶν ἐξ ἀνάγκης πλεκομένων συλλογισμῶν ἀνάλυσιν. ἧς οὐκ ἐπαΐουσιν οἱ σπάταλοι καὶ παχεῖς μνηστῆρες τῆς Πηνελόπης, οἷα μὴ δὲ ἐξευρεῖν οἴκοθέν τι λεπτὸν ἐξισχύοντες. θεῖον γὰρ ἀληθῶς τὸ τοιοῦτον ἔργον. διὸ καὶ ἡ Πηνελόπη λέγει που ἐν τοῖς ἑξῆς, θεὸν ἐμπνεῦσαι αὐτῇ τὰ κατὰ τὸν τοιοῦτον ἱστόν. καὶ οὕτω μὲν οἱ τρυφηταὶ μνηστῆρες οὐδὲν οἴδασι. θεράπαινα δέ τις τῶν ἔνδον, ἐκφαίνει τὸ ἔργον. εἴη δ' ἂν αὕτη, ἡ τῇ φιλοσόφῳ ταύτῃ ὑφαντικῇ προστετηκυῖα καὶ ταύτην φιλοπονοῦσα, ἀναλυτικὴ συλλογιστικὴ μέθοδος. εἰ καὶ οἱ ἀμέθοδοι καὶ οὐ ποθοῦντες τὴν τοιαύτην ὑφαντικὴν, ταχὺ παύουσι τὸ φιλόσοφον ἔργον, κύβοις αὖθις ἑαυτοὺς ἐπιῤῥίπτοντες καὶ αἰγανέαις παραβάλλοντες. καὶ νῦν μὲν ὦ οὗτος, οὐκ οἶδας εἴπερ καλῶς ἡμῖν ἀνῆκται ὁ λόγος ὁ περὶ τοῦ ἱστοῦ, ἔτι γὰρ τῶν εἰσαγωγικῶν εἶ προθύρων. ὅτε δὲ εἰς μνηστῆρα τῆς φιλοσόφου Πηνελόπης ἐγγραψάμενος καὶ αὐτὸς, τὸν ἱστὸν περιεργάσῃ τοῦτον, καὶ σοὶ τὰς τῆς γνώσεως δαΐδας 1.87 ἡ Πηνελόπη φιλοσοφία καθ' ἡσυχίαν ὑπανάψασα τὴν ἀνάλυσιν τοῦ τοιούτου ἱστοῦ ὑποφήνῃ, γνοίης ἂν ὅτι καλῶς αὐτῇ συνυφάναμεν τὰ τῆς τοιαύτης ἀναγωγῆς. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. (ῃερς. 111.) Τὸ δὲ μνηστῆρες ὑποκρίνονται, ἀντὶ τοῦ ἀποκρίνονται Ἰωνικῶς καθὰ καὶ ἐν Ἰλιάδι. καὶ ὑποκριτήςφασιν. ἐντεῦθεν, ὁ ἀποκρινόμενος τῷ χορῷ. λέγει δὲ καὶ Ἡρόδοτος. οἱ μὲν, ταῦτα ὑποκρινάμενοι, ἀπηλλάττοντο. δοκεῖ δὲ καὶ Ἀττικὴ ἡ λέξις εἶναι. φησὶ γοῦν Θουκυδίδης. οὐδὲν ὑπεκρίνοντο. Ὅρα δὲ ὅπως ὁ Ἀντίνοος ἑαυτῷ τοὺς ὅλους μνηστῆρας προσλογίζεται, ὡς αὐτὸς ὢν οἱ πάντες. διὸ αὐτὸς λαλῶν, ὅμως φησί σοί. δ' ὧδε μνηστῆρες ὑποκρίνονται. καλῶς ἄρα πρὸ πάντων αὐτὸς πεσεῖται ὑπὸ Ὀδυσσέως βληθείς. (ηερς. 114.) Τὸ δὲ ᾧ πατὴρ κέλεται καὶ ἁνδάνει αὐτῇ, πρὸς ἀκρίβειαν ἐῤῥέθη πολιτικήν. οὐ γὰρ δουλικῶς ὁ πατὴρ τῇ θυγατρὶ τὰ τοιαῦτα κελεύσει, ἀλλ' αἱρήσεται καὶ αὐτή. Σημείωσαι οὖν ὅτι καὶ πρὸ ὀλίγων ἐν τῷ, δοίη δ' ᾧ κ' ἐθέλῃ καὶ οἱ κεχαρισμένος ἔλθῃ, τὸ μὲν δοίη ᾧ ἂν ἐθέλῃ, διὰ τὸν πατέρα κεῖται. τὸ δὲ καί οἱ κεχαρισμένος ἔλθῃ, διὰ τὴν θυγατέρα. ἵνα λέγῃ, καὶ ὃς ἂν τῇ Πηνελόπῃ χαρίεις δόξῃ. (ῃερς. 115.) Τὸ δὲ εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν, ἢ ἀναπόδοτον ἔμεινε καθὰ καὶ ἐν Ἰλιάδι τὸ, ἀλλ' εἰ μὲν δώσουσι γέρας Ἀχαιοί. ἀγωνιῶν γὰρ ὁ Ἀντίνοος, ἐπέσχετὴν συντακτικὴν ἀπόδοσιν εἰς τὸ, οὔτις ὁμοῖα νοήματα τῇ Πηνελόπῃ ἤδη μετὰ στίχους ἑπτά. ἴσως δὲ καὶ μὴ ἔχων εἰπεῖν τι ἐξ αὐτοσχεδίου καίριον. ἢ μετὰ δώδεκα στίχους ἀποδίδωσι τὴν σύνταξιν, ἐν τῷ, ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα ἴμεν. ἵνα λέγῃ ὅτι εἰ δὲ καὶ εἰσέτι ἡμᾶς ἀνιᾷ ἡ Πηνελόπη, ἡμεῖς δὲ οὐκ ἀπαλλαττόμεθα πρὶν αὐτὴν γήμασθαι ᾧ ἂν ἐθέλῃ. δύναται δὲ ὀρθῶς ἀποδίδοσθαι καὶ μετὰ στίχους δέκα ἐν τῷ, μέγα μὲν κλέος αὐτῆς. καὶ ἔστι καὶ τοῦτο, παράδειγμα μακροῦ ὑπερβατοῦ. (ῃερς. 117. σθθ.) Ὅρα δὲ καὶ ὅτι ἐν τῷ ῥηθέντι Ὁμηρικῷ χωρίῳ, δῶρα λέγεται Ἀθηνᾶς, τὸ ἔργα ἐπίστασθαι περικαλλῆ. καὶφρένες ἐσθλαί. καὶ κέρδεα. ὅ ἐστιν ἐπίνοιαι. μηχαναί. ὧν μετεῖναι τῇ Πηνελόπῃ ὁ Ἀντίνοος λέγει εἴπέρ τινι ἄλλῃ τῶν παλαιῶν ἡρωΐδων. ὁποία καὶ ἡ Μυκήνη. ἧς ἐπώνυμος ἡ ἐν Ἄργει πόλις Μυκήνη. καὶ ἡ Τυρὼ περὶ ἧς ἐν τοῖς ἑξῆς που ῥηθήσεται. καὶ ἡ Ἀλκμήνη ἡ τοῦ Ἡρακλέος μήτηρ. ὧν καὶ μόνων ἐμνήσθη Ἀντίνοος, κατ' ἐξοχὴν ἀρέσκουσαν αὐτῷ κατὰ τὸ αὐτοσχεδίως ἐπελθόν. Ἰστέον δὲ, ὅτι ἔργα ἐπίστασθαι δίδωσιν Ἀθηνᾶ, ἐπεὶ κατὰ Παυσανίαν ἐργάνη λέγεται,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς ἔργοις ἐπιστατοῦσα. αὐτὴ γὰρ εὗρε τὰς τέχνας. (ῃερς. 119.) Ὅρα δὲ καὶ ὅτι κἀνταῦθα ἐπὶ γυναικῶν ὁ πλόκαμος. ὅθεν καὶ Μυκήνη εὐπλόκαμος. καὶ εὐπλοκαμῖδες Ἀχαιαί. καὶ ὅτι ὥσπερ ἡ κληῒς καὶ ἡ σφραγὶς καὶ ἡ κνημὶς καὶ ἡ ψηφὶς, οὕτω καὶ ἡ εὐπλόκαμις ἴσως δὲ καὶ ἡ πλοκάμις, ἐκτείνει παραλήγουσαν, ὡς δηλοῖ τὸ, αἳ πάρος ἦσαν εὐπλοκαμῖδες Ἀχαιαί. ὃ μετρεῖται κατὰ δάκτυλον. σκοπητέον δὲ μή ποτε φαῦλα τῶν ἀντιγράφων ἐν οἷς ὀξύνεται ἡ εὐπλοκαμίς. δέον γὰρ, ὥσπερ κρηπὶς μελαγκρήπις. ψηφὶς πολυψήφις ὡς τὸ πολυψήφιδα παρ' ὅρμον. κνημὶς εὐκνήμις, οὕτω καὶ πλοκαμὶς εὐπλοκάμις. καὶ πληθυντικὸν εὐπλοκάμιδες. (ῃερς. 121.) Νοήματα δὲ Πηνελόπης λέγει, ἅπερ ἀνωτέρω ἔφη κέρδεα. ἔνθα καὶ ἑρμηνεύει τὸ περίφρων. πῶς γὰρ οὐ περίφρων Πηνελόπη, ἡ τοιαῦτα νοήματα εἰδυῖα οἷα οὐδεμία τῶν ἡρωΐδων; (ῃερς. 125.) Αἰνίττεται δ' ἐνταῦθα καὶ θεόσοφον τὴν Πηνελόπην ὁ Ἀντίνοος εἰ τὸν νοῦν ὃν ἔχει ἐν στήθεσιν αὐτῇ θεοὶ τιθέασιν. ἐπίτηδες δὲ ταῦτα ὁ μνηστὴρ λαλεῖ. εἰπὼν γὰρ ἐν τῇ δημηγορίᾳ πολλὰ οὐ πρὸς ἡδονῆς ἐσόμενα τῇ Πηνελόπῃ, καὶ ὑποπτεύσας λύπην ἐκείνης, μεταλαμβάνει ἐγκώμιον αὐτῆς πρέπον γυναικὶ ἀγαθῇ. (ῃερς. 128.) Σημείωσαι δ' ἐν τούτοις καὶ φήμην ἐσχηματισμένην ἣ φύγεν ἕρκος ὀδόντων τῷ Ἀντινόῳ. τὸ γὰρ οὐδαμοῦ πάρος ἴμεν πρὶν αὐτὴν γήμασθαι Ἀχαιῶν ᾧ κ' ἐθέλῃσιν, ἀληθῶς οὕτως ἀπέβη. οὐδαμοῦ γὰρ ἀπῆλθον οἱ μνηστῆρες ἕως ἐλθὼν Ὀδυσσεὺς ᾧ ἐκείνῃ γήμασθαι ἤθελεν, ἐποίησεν ἅπερ ἐποίησεν. ἐπαινετέος οὖν καὶ τῶν τοιούτων ὁ ἀστειότατος ποιητής. Ἐν δὲ τῷ, ποιεῖταί σοι ποθὴν πολέος βιότοιο, κατὰ τῆς ὡς αὐτὸς εἰρωνικῶς ἔφη φίλης μητρὸς ἐρεθίζει τὸν Τηλέμαχον. οὐ γὰρ ἂν εἴη φίλη μήτηρ, ἡ οὕτω ζημιοῦσα τὸν υἱόν. (ῃερς. 130.) Ὅτι πυκνότητα καὶ συντομίαν καὶ ἰσχὺν νοημάτων ἐνδείκνυται ὁ Τηλέμαχος ἐν οἷς ἀντιλέγει Ἀντινόῳ εἰπόντι μητέρα σὴν ἀπόπεμψον. φησὶ γὰρ, οὐ πρὸς καλῶν αὐτῷ εἶναι ἀπώσασθαι τὴν τεκοῦσαν καὶ θρεψαμένην. καὶ ταῦτα, ἀέκουσαν. ὅπου γε καὶ ἄδηλον εἴτε ζῇ ὁ πατὴρ ἐπ' ἀλλοδαπῆς εἴτε τέθνηκε. προσέτι δὲ κακόν φησι, καὶ χρήματα πολλὰ καταθέσθαι τῷ πάππῳ Ἰκαρίῳ, καὶ κακὰ πρὸς ἐκείνου παθεῖν, εἴπερ ἑκών φησιν αὐτὴν ἐκπέμψω. καὶ θεῷ δὲ ἀπεχθὴς διεκπεσεῖν. ὑποστέλλεται δὲ 1.88 καὶ τὰς Ἐριννῦς. καὶ τὴν ἐξ ἀνθρώπου ὑφορᾶται νέμεσιν. καὶ πείθει ἑαυτὸν, μὴ μόνον οὐκ ἀπώσασθαι τὴν μητέρα, ἀλλ' οὐδὲ μῦθον τοιοῦτον εἰπεῖν πρὸς αὐτὴν ἣν φθάσας καὶ ὁ ἐχθρὸς Ἀντίνοος ἐπαίνοις ἐσέμνυνεν. εἰπὼν αὐτὴν καὶ φίλην μητέρα τῷ Τηλεμάχῳ ὡς εἴρηται. ἔστι δὲ ἡ Ὁμηρικὴ φράσις, τοιαύτη. Ἀντίνο', οὔπως ἐστὶ δόμων ἀέκουσαν ἀπῶσαι, ἥ μ' ἔτεχ' ἥ μ' ἔθρεψε. πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης ζώει, ὅ γ' ἢ τέθνηκε, κακὸν δέ με πόλλ' ἀποτίνειν Ἰκαρίῳ, αἴκ' αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω. Ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι. ἀλλὰ δὲ δαίμων Δώσει, ἐπεὶ μήτηρ στυγερὰς ἀρήσετ' ἐριννῦς Οἴκου ἀπερχομένη. νέμεσις δέ μοι ἐξ ἀνθρώπων Ἔσσεται. ὡς οὐ τοῦτον ἐγὼ ποτὲ μῦθον ἐνίψω. καὶ τὰ ἑξῆς ὡς προεγράφη ἐν τῷ ἐξιέναι μεγάρων ἄλλας δ' ἀλεγύνετε δαῖτας. ἀπαραλλάκτως γὰρ τὰ ἐκεῖ ῥηθέντα, κεῖνται κἀνταῦθα. ὀκνοῦντος καὶ ἐν τούτοις τοῦ ποιητοῦ, τὰ εὖ πεποιημένα μεταποιεῖν. πλὴν ὅσον, εἰπὼν ἐκεῖ ἐξιέναι μεγάρων, ἐνταῦθα ἔξιτέ μοι μεγάρων φησὶ, κοινότερον καὶ σαφέστερον. (ῃερς. 131.) Ἰστέον δὲ ὅτι τὸ ἥ μ' ἔθρεψεν, ἐπίτασιν δηλοῖ γνησιότητος. εἰσὶ γὰρ μητέρες, αἳ τίκτουσι μὲν, οὐκ ἐκτρέφουσι δὲ, ἀλλ' ὡς εἰπεῖν, ἐκτιθέασι ταῖς τιθηνοῖς. οἷα μὴ δὲ φιλοῦσαι τίκτειν αἱ πολλαί. ἀλλὰ τὴν μὲν γαμήλιον στέργουσαι, ἀποστέργουσαι δὲ πορνικῶς τὴν γενετυλίδα διὰ τὴν οὐκ ἄπονον Εἰλείθυιαν. Ἐπαναφορᾶς δὲ σχῆμα γοργὸν, τὸ, ἥ μ' ἔτεκεν, ἥ μ' ἔθρεψε. Τὸ δὲ ἀέκουσαν ἀπῶσαι, πληρέστερον ἂν ἦν εἴπερ εἶχε προσκείμενον καὶ τὸ ἑκόντα. ἵνα ἔφη. ὡς οὔπως ἐστὶν ἑκόντα με δόμων ἀέκουσαν ἀπῶσαι τὴν μητέρα. διὸ μετ' ὀλίγα φησίν. ἑκὼν ἀπὸ μητέρα πέμψω. σίγησας τὸ ἀέκουσαν ὡς ἤδη ῥηθέν. Καὶ ὅρα ὅτι, ταυτόν ἐστιν ἀπῶσαι καὶ ἀποπέμψαι. ἅπερ οἱ μεθ' Ὅμηρον παθητικῶς ἀπώσασθαι φασὶ καὶ ἀποπέμψασθαι. (ῃερς. 132.) Τὸ δὲ εὐλαβεῖσθαι πολλὰ ἀποτίνειν Ἰκαρίῳ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σμικρολογίας αἰτίαμα φασὶν οἱ παλαιοὶ τῷ Τηλεμάχῳ προσάπτειν. διὸ καὶ θέλουσιν οἱ τοιοῦτοι στίζειν τελείαν ἐν τῷ πολλ' ἀποτίνειν· καὶ νοοῦσιν αὐτὸ, οὐκ ἐπὶ χρημάτων ἀλλ' ἐπὶ τῆς θεόθεν ποινῆς. κατὰ τὸ, σύν τε μεγάλῳ ἀπέτισαν σὺν σφῇσι κεφαλαῖς καὶ ἑξῆς. ἵνα λέγῃ ὅτι κακὸν δέ με πόλλ' ἀποτίνειν ὅ ἐστι θεόθεν ποινηλατεῖσθαι ἐὰν αὐτὸς ἑκὼν τῷ Ἰκαρίῳ ἀποπέμψω ἀέκουσαν τὴν μητέρα. (ῃερς. 134.) Ποῖα δὲ πολλὰ ἀποτίσει; ἐκ τοῦ πατρὸς κακά φησι πείσομαι, ὅ ἐστιν ἐκ τοῦ Ὀδυσσέως εἰ τυχὸν ἐπανέλθοι. οὕτω γάρ τινες καὶ οὐκ ἐπὶ τοῦ Ἰκαρίου νοοῦσι τὸ πατρός. ἄλλα δὲ δαίμων καὶ ἐριννύες δώσουσι. περὶ ὧν ἐν τοῖς εἰς τὴν Ἰλιάδα διείληπται, διατί τὲ ἐριννῦς καλοῦνται, καὶ διατί στυγεραί. Ἔνθα, σημείωσαι καὶ ὅτι τὸ ἐριννῦς ἀρήσεται, ἢ ὅλως θεόν τινα, ἐπιθεάζειν ἔλεγον οἱ παλαιοί, ἀντὶ τοῦ, καταρᾶσθαι. προφέροντες καὶ χρῆσιν Φερεκράτους ταύτην. ὕστερον ἀρᾶται καὶ ἐπιθεάζει τῷ πατρί. (ῃερς. 136.) Ὅρα δὲ καὶ ὅτι ὥσπερ ἡ μήτηρ εὐλαβεῖται τὴν ἐξ Ἀχαιΐδων νέμεσιν, οὕτω καὶ ὁ υἱὸς Τηλέμαχος τὴν ἁπλῶς ἐξ ἀνθρώπων, πλατυτέραν οὗτος ἔχων εὐλάβειαν. Τὸ δὲ ἐνίψω, οὐχ' ἁπλῶς ἀντὶ τοῦ εἴπω, ἀλλὰ μετὰ σφοδρότητος καὶ ἀπειλῆς, ὡς καὶ ἡ ἐνιπὴ δηλοῖ. Ὥσπερ δὲ ἀπὸ τοῦ ῥέπω γίνεται τὸ ῥίπτω, καὶ ἀπὸ τοῦ πέτω τὸ πίπτω, οὕτω καὶ ἐνέπω ἐνίπτω. (ῃερς. 146.) Ὅτι μέλλοντι μὲν δημηγορῆσαι τῷ Τηλεμάχῳ, φήμη ἐλαλήθη ὡς προεῤῥέθη θαῤῥύνουσα. παυσαμένου δὲ τῆς δημηγορίας, αἰετοὺς δύο Ζεὺς ὑψόθεν ἐκ κορυφῆς ὄρεος προέηκε πέτεσθαι. δηλοῦντας καὶ αὐτοὺς τὸ μέλλον ὡς ῥηθήσεται. (ῃερς. 148.) Οἳ ἕως μὲν, ἀντὶ τοῦ τέως καὶ μέχρι τινὸς, ἐπέτοντο μετὰ πνοιῇς ἀνέμοιο, Πλησίω ἀλλήλοισι τιταινομένω πτερύγεσσιν, Ἀλλ' ὅτε δὴ μέσσην ἀγορὴν πολύφημον ἱκέσθην, Ἔνθ' ἐπιδινηθέντε, τιναξάσθην πτερὰ πολλά. Ἐς δ' ἰδέτην πάντων κεφαλάς. ὄσσοντο δ' ὄλεθρον δρυψαμένω δ' ὀνύχεσσι παρειὰς ἀμφί τε δειρὰς, Δεξιὼ ἤϊξαν διά τ' οἰκία καὶ πόλιν αὐτῶν. Θάμβησαν δ' ὄρνιθας ἐπεὶ ἴδον ὀφθαλμοῖσιν. (ῃερς. 156.) Ὥρμηναν δ' ἀνὰ θυμὸν, ἅπερ τελέεσθαι ἔμελλον. ὃ δὴ οἰκεῖον εἰπεῖν τῶν ἐπὶ στοχαζομένων τοῦ μέλλοντος, καὶ ταῦτα μὲν τὰ τοῦ Ὁμήρου. εἰωθότος καὶ τοιούτοις ἐνασχολεῖν ἐνιαχοῦ τοὺς λόγους διὰ ποικιλίαν φράσεως καὶ πολυμάθειαν. (ῃερς. 146.) Εἰσὶ δὲ ἀετοὶ, Ὀδυσσεὺς καὶ Τηλέμαχος. διόθεν μὲν ἥκοντες, ἐπεὶ ὡς καὶ ἐν Ἰλιάδι ἐφάνη, τῷ Διῒ ἀνάκεινται τὰ τοιαῦτα. ἐκ κορυφῆς δὲ ὄρεος πετόμενοι, ἐπειδὴ ἀγρόθεν ἥξουσι τὰ κατὰ τῶν μνηστήρων ἀρτύσαντες. καὶ τέως μὲν, πρὸς ἄνεμον ἁπλῶς πέτονται, ὡς ἡσυχῇ τὰ πρῶτα τὸ ἔργον διαχειριζόμενοι. καὶ πλησίοι ἀλλήλοις, ἐπεὶ οὐκ ἀποστατοῦσιν ἀλλήλων ταῖς βουλαῖς. ὅτε μέντοι πρὸς τοῖς μνηστῆρσι γένωνται οὓς νῦν ἡ ἀγορὰ ἔχει, τότε δὴ ἐπιδινηθέντες, τινάσσονται οἰκεῖα πτερὰ πολλά. ἢ διότι ἐπανελθόντες πολλοὺς ἀποβαλοῦνται καὶ τῶν ὑπηκόων μνηστῆρας δηλαδὴ 1.89 καὶ κήρυκας καί τινας τῶν τοῦ οἴκου, θανατώσαντες καὶ αὐτόν. ἢ καὶ διότι θανατώσουσι τοὺς ὅλους μνηστῆρας, ὀϊστοὺς ἐπαφιέντες πτερόεντας. εἰσιδόντες δὲ πάντων κεφαλὰς καὶ δρυψάμενοι ἑαυτοὺς ὄνυξιν, ἀπελεύσονται. ἐπειδὴ οὐ μόνον μνηστῆρσιν, ἀλλὰ καὶ πολλοῖς ἄλλοις τῶν Ἰθακησίων ἔσται κακόν. καὶ πολλοὶ τὰς παρειὰς ἐπ' αὐτῷ δρύψονται. τὰ γὰρ κεφαλικὰ τῶν Ἰθακησίων κακὰ, ἐν ἑαυτοῖς ἐνδείκνυνται οἱ ἀετοί. καὶ τοιαῦτα μὲν δηλοῦσιν οἱ οἰωνοί. πόθεν δὲ γίνεται ἀετὸς καὶ ὅτι τῷ Διῒ ἀνάκειται ἐκ γενετῆς, ἐν τῇ Ἰλιάδι δηλοῦται. (ῃερς. 154.) Τὸ δὲ πλησίω, ἀπὸ εὐθείας κέκλιται τῆς ὁ πλησίος ὡς καὶ ἀλλαχοῦ πολλαχοῦ φαίνεται, οὗ καὶ θηλυκὸν εὕρηται ἡ πλησία. ἧς χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ, παρούσης τῆσδε πλησίας ἐμοί. Τὸ δὲ τιταινόμενοι πτερύγεσσι, γραφικῶς ἐῤῥέθη, ὡς οὕτω τοῦ πέτεσθαι γινομένου. Ἔνθα καὶ ὅρα ὅτι πτέρυγες ἢ πτερύγες κατὰ Ἀρίσταρχον, μέρος ἐστὶ σώματος περὶ ὃ τὰ πτερὰ τὰ τινασσόμενα κατὰ τῶν ἐν τῇ ἀγορᾷ. οὐ γὰρ πτέρυγες ἐκ τῶν ἀετῶν ἀλλὰ πτερὰ ῥίπτονται κάτω. Πολύφημον δὲ ἀγορὰν λέγει, ἐν ᾗ πολλαὶ ἐνίοτε φῆμαι λαλοῦνται, ἤγουν μαντικοί τινες λόγοι, ὁποία τις φήμη καὶ ἐν τῇ σήμερον δημηγορίᾳ παρά τε τοῦ Ἀντινόου προσεχῶς ἐλαλήθη καὶ παρὰ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Αἰγυπτίου ὡς εἴρηται. φήμην δὲ εἰπεῖν τὸν ἁπλῶς λόγον, οὐκ ἔστιν Ὁμηρικόν. (ῃερς. 151.) Τὸ δὲ ἐπιδινηθέντες, πιθανότης ἐστὶ τῆς ἐκτινάξεως τῶν πτερῶν, ἄλλως γὰρ οὐκ ἦν γενέσθαι. (ῃερς. 152.) Τὸ δὲ πάντων κεφαλὰς, κοινὴν βλάβην δηλοῖ ὡς καὶ ἀνωτέρω γέγραπται, διὰ τὸ μηδὲ ἀναιτίους εἶναι μηδὲ τοὺς Ἰθακησίους, ὡς δηλώσει καὶ Τηλέμαχος ἐν οἷς ἐρεῖ ὡς τάδε διατρίβουσιν Ἀχαιοὶ μάλιστα δὲ μνηστῆρες. ὄλεθρον μὲν οὖν οὐ πάντων Ἰθακησίων ὄσσονται οἱ ἀετοὶ, ζημίαν δὲ καὶ λύπην εἰ καὶ μὴ πάντων, τῶν γοῦν πλειόνων. διὸ καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται ὅτι τοῖς μνηστῆρσι μέγα πῆμα κυλίνδεται πᾶσι. πολλοῖς δὲ καὶ ἄλλοις κακὸν ἔσται. Ἔνθα καὶ ὅρα τὸ κυλίνδεται, συντελοῦν εἰς γνῶσιν τοῦ, ἐκ κορυφῆς ὄρεος καταπτῆναι τοὺς ἀετοὺς, ὅπερ ἔοικε δηλοῦν τὸ ἄνωθεν κυλινδόμενον πῆμα. δῆλον δὲ ὅτι ὀφθαλμὸς Μούσης διακρίνει, τοὺς ἀετοὺς ἀπερεῖσαι τὸ ὀπτικὸν εἰς πάντων κεφαλάς. ἄλλως γὰρ οὐκ ἔστιν εὐδιάκριτον. ἴσως δὲ καὶ τοῦ δήμου πεπυκνωμένου, μόναι κεφαλαὶ τοῖς ἀετοῖς ἐβλέποντο. Ἰστέον δὲ καὶ ὅτι μνηστήρων μὲν κεφαλὰς ἐσίδον, ἐπ' ὀλέθρῳ. οἱ σὺν σφῇσι κεφαλαῖς ἀπέτισαν. ἃς παραθέμενοι κατὰ τὸν ποιητὴν, ἐδαπάνων τὰ τοῦ Ὀδυσσέως. τὰς δὲ τῶν λοιπῶν Ἰθακησίων, ἐπὶ μόνῃ ζημίᾳ καὶ χρημάτων ἢ κτημάτων ἐκτίσει. (ῃερς. 153.) Δρύπτεσθαι δὲ ὡς καὶ ἐν Ἰλιάδι ἐδηλώθη, τὸ ξέεσθαι. κατὰ μεταφορὰν τῶν ἐκδερομένων ξύλων. ὡς ἀπὸ τοῦ δόρυ δορύπτω καὶ δρύπτω. Τὸ δὲ παρειὰς, καταχρηστικῶς ἐῤῥέθη ἐπὶ ἀετῶν. ὡς καὶ τὸ χεῖλος ἐν τῷ, ἀγκυλοχείλης. ῥάμφος γὰρ ἐπὶ ὀρνέων τὸ χεῖλος ὥσπερ ἐπὶ συῶν τὸ ῥύγχος. τινὲς μέντοι βιαζόμενοι τὴν κυριολεξίαν ἀπιθάνως μὲν λέγουσι δ' οὖν, ὅτι παρειὰς καὶ δειρὰς, οὐ τὰς ἑαυτῶν, οἱ ἀετοὶ ἐδρύψαντο ἀλλὰ τὰς τῶν ἐν τῇ ἐκκλησίᾳ, ὡς βαθύναντες τὴν πτῆσιν καὶ κατ' αὐτῶν ὁρμήσαντες ὡς ἐνῆν. καὶ τοιούτῳ ἔργῳ θρασύτερον ἐπιτολμήσαντες. κρεῖττον δὲ τὸ πρῶτον. ἐπεὶ καὶ Ἰάμβλιχος οἶδε τοιούτους ὄρνιθας, οἳ ἀποῤῥήσσουσιν αὐτοὶ ἑαυτοὺς, καί που ἀναιροῦσιν ἐπὶ δηλώσει μέλλοντός τινος, ὅπερ οὐ κατὰ φύσιν εἶναι φησὶν, ἀλλ' ὑπερφυές. (ῃερς. 154.) Δεξιοὶ δὲ ἤϊξαν, ἀντὶ τοῦ ἀνατολικοὶ, ὡς αἴσιοι. δηλοῦντες ὅτι Ὀδυσσεὺς μὲν καὶ Τηλέμαχος νικήσαντες, ὑπὸ φωτὶ ἔσονται. μνηστῆρες δὲ ὑπὸ ζόφῳ γενήσονται. ὅτι δὲ δεξιὰ τὰ ἀνατολικὰ, δηλοῖ ὁ ποιητὴς ἐν οἷς φησὶν, εἴτ' ἐπὶ δεξιὰ ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε, εἴτ' ἐπ' ἀριστερὰ ποτὶ ζόφον ἠερόεντα. Οἰκία δὲ καὶ πόλιν, καλὸν μὲν ἐπὶ τῶν Ἰθακησίων νοεῖν ὡς διὰ μέσης τῆς πόλεως ὑποχωρισάντων τῶν οἰωνιστικῶν ἀετῶν. ἕτεροι δὲ, τὴν τῶν ἀετῶν κατάπαυσιν, διὰ τιμὴν τοῦ βασιλικοῦ τούτου ζῴου, οἰκία καὶ πόλιν ἐνόησαν. καθ' ὁμοιότητα τοῦ, ὁ κύμα τ' οἰκῶν ὄρνις. καὶ τῶν ὁμοίων. ὡς τῶν ἀετῶν ἐπαναστραφέντων ἔνθα ᾧκουν ὃ καὶ ἐδήλου, ὡς καὶ Ὀδυσσεὺς καὶ Τηλέμαχος ἀνελόντες τοὺς μνηστῆρας αὖθις εἰς ἀγροὺς ἀπελεύσονται ὡς ἱστορήσει ὁ ποιητὴς ἐν τῷ τοῦ βιβλίου τέλει. καὶ ἔστι καὶ ὁ τοιοῦτος νοῦς ἀγαθός. ἐπεὶ καὶ ἐν Ἰλιάδι οἰκία καὶ δόμος ἐπὶ σφηκῶν καὶ μελισσῶν λέγεται. καὶ φίλα οἰκία, ἐπὶ ἀετοῦ. (ῃερς. 155.) Ὄρνιθας δὲ καὶ νῦν λέγει, οὐχ' ἁπλῶς τὰ πτηνὰ κατὰ κοινὴν γλῶσσαν ἀλλὰ τοὺς μηνύοντάς τι μέλλον. οὓς καὶ ἐναισίμους ἐρεῖ ὁ ποιητής. ἤγουν αἶσαν τινὰ δηλοῦντας. ἀφ' ἧς, τινὲς μὲν, αἴσιοι. ἕτεροι δὲ, ἀπαίσιοι λέγονται. ἐξ ὧν ὀρνίθων, καὶ εὐορνιθία κατὰ τοὺς παλαιοὺς παρὰ Σοφοκλεῖ, τὸ ἀγαθὸν οἰώνισμα. καθὰ καὶ εὐερμία, τὸ διὰ τὸν Ἑρμῆν ἀγαθὸν ἕρμαιον ὅ ἐστιν εὕρημα. οὗ καὶ ῥῆμά ἐστι τὸ εὐερμεῖν. 1.90 ὅτι δὲ Ἀττικὸν μὲν τὸ ὄρνις Δωρικὸν δὲ τὸ ὄρνιξ, δηλοῦσιν οἱ παλαιοί. Τὸ δὲ ἐπεὶ ἴδον ὀφθαλμοῖσιν, ἐτυμολογίαν παρεμφαίνει τοῦ θαμβεῖν, ὃ παρὰ τὴν θέαν ὡς προεῤῥέθη γίνεται καθὰ καὶ τὸ θηεῖσθαι καὶ τὸ ἐξ αὐτοῦ θηητόν. (ῃερς. 157.) Ὅτι νησιώτῃ ἁλιευτικῷ ἀνδρὶ πρέπον ὄνομα τὸ Ἁλιθέρσης, οἱονεὶ ὁ ἐν τῇ ἁλὶ θερόμενος ὑπὸ ἡλίου. παρὰ μέντοι τοῖς ναυτικωτάτοις νησιώταις Φαίαξιν, ἐκφανέστατα πλεονάζει τὰ ἁλιευτικὰ ὀνόματα. ὁ Ἀκρόνεως. ὁ Ὠκύαλος. ὁ Ναυτεύς. ὁ Ἀμφίαλος. ὁ Εὐρύαλος καὶ οἱ λοιποί. καὶ τοιοῦτος μὲν ὁ Ἀλιθέρσης. (ῃερς. 158.) Ὁ δὲ Μάστωρ, ζητητικοῦ ἀνδρὸς ὄνομα, παρὰ τὸ μῶ ἢ μαίω τὸ ζητῶ. ἀφ' οὗ καὶ ἡ μαῖα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μαστορίδην γοῦν τινὰ ὁ ποιητὴς Ἁλιθέρσην, πλάττει δεξιὸν ἐκζητήσεως πάντως καὶ μαθήσεως, ὄρνιθας γνῶναι καὶ ἐναίσιμα μυθήσασθαι. ὃς καὶ λύων κεφαλαιωδῶς τὸ κατὰ τοὺς ῥηθέντας ἀετοὺς ἑρμήνευμα οἰωνοσκοπητικῷ τρόπῳ, λέγει τοῖς μνηστῆρσιν, ὅτι τι μέγα πῆμα ὡς ἐῤῥέθη κυλίνδεται αὐτοῖς, καὶ ὅτι Ὀδυσσεὺς οὐκ ἐπὶ πολὺ ἀπάνευθε τῶν αὐτῷ φίλων ἔσεται. ἀλλά που ἤδη ἐγγὺς ὢν, ὡς ἐδήλου τὸ πλησίον ἀλλήλων τοὺς ἀετοὺς πέτεσθαι, φόνον τούτοις καὶ κῆρα ὡς καὶ προεγράφη φυτεύει πάντεσσι. πολέσι δὲ καὶ ἄλλοισι κακὸν ἔσται οἳ νεμόμεθ' Ἰθάκην εὐδείελον, ἤγουν εὐπεριόριστον, ἢ εὖ πρὸς δείλην κειμένην ὡς ἐν τοῖς ἑξῆς που ῥηθήσεται σαφέστερον. (ῃερς. 157.) Ἰστέον δὲ ὅτι τὸν διειλημένον Ἁλιθέρσην, γέροντα οἶδεν ὁ ποιητὴς, τοιούτων γὰρ ἀνδρῶν ἡ πολυπειρία. καλεῖ δὲ αὐτὸν καὶ ἥρωα, τῆς παῤῥησίας καὶ μαθήσεως ἀποδεξάμενος. (ῃερς. 158.) Ὄρνιθας δὲ καὶ νῦν ἔφη, τοὺς οἰωνοὺς, ἐξ ὧν οἱ κατὰ τέχνην οἰωνοπόλοι καὶ ὀρνιθοσκόποι λέγονται. καὶ ἐναίσιμα δὲ, τὰ τῆς κατὰ τὸ μοιρίδιον αἴσης δηλωτικά. δῆλον δὲ ὅτι λέγεται καὶ ἐπὶ δικαίου καὶ πρέποντος πράγματος τὸ ἐναίσιμον, ὡς δηλοῖ τὸ, ἀτὰρ τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησε, πρὸ ὀλίγου διὰ τὴν Πηνελόπην ῥηθέν. (ῃερς. 165.) Τὸ δὲ φυτεύει, ἀντὶ τοῦ, ἐπιμελῶς κατηργάζεται. ὅθεν οἱ ὕστερον λαβόντες ἀρχὴν, ὑπορύττειν φασὶ τὸ δολιεύεσθαι. ὃ καὶ αὐτὸ, τοῖς φυτεύουσι παρέπεται. Ἰστέον δὲ ὡς εἴ τις τῷ φυτεύοντι κῆρα, συντάξει καὶ τὸν συκοφάντην, γλυκερῷ μὲν φυτῷ παρωνυμούμενον κατὰ τὸ συκαῖ τε γλυκεραὶ κηραίνοντα δὲ τὰ εἰς τέλος οὐ γλυκύπικρον ἀλλὰ πευκεδανὸν, οὐκ ἀφυῶς ἂν ἐπιβαλεῖ. (ῃερς. 167.) Ἐν δὲ τῷ, νεμόμεθα, καὶ ἑαυτὸν ὁ Ἁλιθέρσης διὰ τὸ φιλάληθες καὶ ἀνεπαχθὲς συνεισάγει τοῖς κακωθῆναι μέλλουσι. καὶ ταῦτα, εἰδὼς αὐτὸς πταῖσαι μηδέν. Ὅρα δὲ τὰ ἐν τῷ τραχεῖ λόγῳ τοῦ Ἁλιθέρσου ἱλαρὰ ποιητικὰ πάρισα ἐν δυσὶ κείμενα στίχοις. τὸ, τοῖσδεσι. πάντεσσι. πολέσιν. ἄλλοισιν. ἔνθα καὶ πρὸς ὀρνιθοθήραν τεχνικὸν, ἀστείως ἂν ῥηθείη τὸ, ὃ γὰρ οἶος ὁμηλικίην ἐκέκαστο ὄρνιθας γνῶναι. ὅπερ δύο ἐλλείψεις ἔχει. μίαν μὲν, προθέσεως. ἑτέραν δὲ, ἄρθρου. λέγει γὰρ ὅτι μόνος κατὰ τοὺς ὁμήλικας ἐκέκαστο τῷ εἰδέναι ὄρνιθας. Ὅτι ὁ διὰ κοινὸν φόβον ἐθέλων παῦσαί τι κακὸν, καλῶς ἂν εἴποι τὸ, ἀλλὰ πολὺ πρὶν φραζώμεσθ' ὥς κεν καταπαύσομεν. οἱ δὲ καὶ αὐτοὶ, ἤγουν οἱ ἄτακτοι, παυέσθων. καὶ γάρ σφιν ἄφαρ τόδε λώϊόν ἐστιν ὑπερβατῶς δὲ ἐφράσθη. τὸ γὰρ ὀρθὸν, οἱ δὲ, καὶ αὐτοὶ παυέσθων ἄφαρ ἤγουν εὐθέως καὶ ὡς εἰπεῖν. συναπτῶς, ὡς ἀπὸ τοῦ ἅπτω. οὗ παρακείμενος, ἧφα. ἐξ οὗ ἄφαρ ἐπίῤῥημα ψιλούμενον Αἰολικῶς. (ῃερς. 170.) Ὅτι ὁ πεποιθότως προλέγων, ἐρεῖ τὸ, οὐ γὰρ ἀπείρητος μαντεύσομαι ἀλλ' εὖ εἰδώς. (ῃερς. 171.) Ὅτι ὁ ῥηθεὶς Ἁλιθέρσης ἑαυτὸν συνιστῶν ἐπὶ μαντικῇ τέχνῃ, φησί. καὶ γὰρ ἐκείνῳ τουτέστι τῷ Ὀδυσσεῖ, φημὶ τελευθῆναι ἅπαντα. Ὡς οἱ ἐμυθεόμην ὅτε Ἴλιον εἰσανέβαινον Ἀργεῖοι, μεταδέ σφιν ἔβη πολύμητις Ὀδυσσεύς. Φῆν, κακὰ πολλὰ παθόντ' ὀλέσαντ' ἄπο πάντας ἑταίρους, Ἄγνωστον πάντεσσιν ἐεικοστῷ ἐνιαυτῷ οἴκαδ' ἐλεύσεσθαι. (ῃερς. 174.) Καὶ ὅρα σύνοψιν τῆς Ὀδυσσείας ἐνταῦθα ἐν οὐδὲ ὅλοις τρισὶ στίχοις. συνελόντα γὰρ φάναι, ἡ τῆς Ὀδυσσείας περιοχὴ οὐδὲν ἄλλο ἐν καιρίῳ ἱστορεῖ, ἀλλ' ἢ τὰ ἐπελευστικῶς ἐνταῦθα ῥηθέντα. Τί δὲ τὸ εἰς Ἴλιον ἀναβαίνειν, πολλαχοῦ δηλοῦται. Ὅρα δὲ τὸ, καὶ γὰρ ἐκείνῳ φημὶ, ὡς καιρίως λεχθέντες τοῦ φημί. ἀξιωματικῶς γὰρ εἴρηται τὸ φημί. κατὰ τὸ, αὐτὸς ἔφατο, τὸ Πυθαγορικόν. ἐπεὶ γὰρ οὐδὲν ὧν φησὶ προειπεῖν, δόξοι ἂν τελευτᾶσθαι ἤτοι τελεῖσθαι ὡς κατωτέρω φησὶ, διατοῦτο λέγει ὅτι φημί. μονονουχὶ λέγων, ὡς ἐγὼ προορῶν καὶ εὖ εἰδὼς, φημὶ ἐκεῖνα πάντα τελευτᾶσθαι. (ῃερς. 178.) Ὅτι ὁ καταλαζονευόμενος γέροντος προλέγοντός τι ὡς αὐτὸς κρεῖττον εἰδὼς, εἴποι ἂν, Ὦ γέρον. εἰ δ' ἄγε δὴ μαντεύεο σοῖσι τέκεσσιν Οἴκαδ' ἰὼν, μή που τι κακὸν πάσχωσιν ὀπίσσω. ταῦτα δ' ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι. ἔστι δὲ κἀν 1.91 ταῦθα τὸ, εἰ δ' ἄγε δὴ, παρακελευσματικὸν ὡς πολλαχοῦ ἐφάνη. (ῃερς. 181.) Ὅτι τὴν οἰωνοσκοπητικὴν διαβαλεῖν ἐθελήσας ὁ τοῦ Ὁμήρου Εὐρύμαχος, ῥιζόθεν μὲν αὐτὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ ἐκσπᾶ, ἐδόκει γὰρ ἐπιστήμη τις εἶναι ἀκριβὴς, ἐπί τι δὲ αὐτὴν διασείει. εἰπών. ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο φοιτῶσ'. οὐδέ τε πάντες ἐναίσιμοι. Καὶ ὅρα ὅπως ἣν ἐξαίρει πανταχοῦ οἰωνοσκοπίαν ὁ ποιητὴς, ὅμως νῦν διαλεκτικώτερον ἐπιχειρῶν, καταῤῥιπτεῖ. δηλῶν, ὡς παντὶ λόγῳ λόγος παλαίει. καὶ τὸ ἀμφοτερόγλωσσον ἐξασκῶν. λέγει δέ τι τοιοῦτον ἐν ἀλλοίῳ σχήματι καὶ ἐν Ἰλιάδι ὁ Ἕκτωρ. καὶ ὁ βουλόμενος ζητείτω ἐκεῖνο. κατεπιχειρεῖ δὲ καὶ ἡ παρὰ τῷ Σοφοκλεῖ Ἰοκάστη τῆς μαντικῆς, Ὁμηρικῷ ζήλῳ. καὶ ζητητέον τῷ ἐθέλοντι. Σημείωσαι δὲ καὶ ὡς ἀστείως ἐνταῦθα παρείληπται τὸ, ὄρνιθες πολλοὶ, ἵνα εἰ μὲν ὄρνιθας νοήσοι τις ἁπλῶς τὰ πτηνὰ, εἴη ἀληθὲς ὡς οὐ πάντες ἐναίσιμοι. εἰ δὲ ὄρνιθες νοηθεῖεν οἱ τοῦ μέλλοντος δηλωτικοὶ καθ' ὃ σημαινόμενον εἴρηται τὸ, θάμβησαν δ' ὄρνιθας ἐπεὶ ἴδον ὀφθαλμοῖς, ψεύδηται ὁ Εὐρύμαχος. πάντες γὰρ οἱ τοιοῦτοι ὄρνιθες, ἐναίσιμοι. Ἰστέον δὲ ὅτι παρὰ τοῖς παλαιοῖς ὄρνιθες κεῖνται καὶ αἱ ἰδικῶς οὕτω καλούμεναι. καὶ φέρεται εἰς τοῦτο χρῆσις ἐκ Μενάνδρου, εἰπόντος. ἀλεκτρυών τις ἐκεκράγει μέγα, οὐ σοβήσετ' ἔξω τὰς ὄρνιθας ἀφ' ἡμῶν; καὶ ὅτι οὐ μόνον ἀρσενικῶς οἱ ὄρνιθες ὡς ἐνταῦθα, ἀλλὰ καὶ θηλυκῶς. οἷον, ὄρνιθι λιγυρῇ. καὶ ὅτι οὐ μόνον ὄρνιθες, ἀλλὰ καὶ ὄρνις. καὶ αἰτιατικὴ ἑνικὴ οὐ μόνον ὄρνιν, ἀλλὰ καὶ ὄρνιθα. καὶ ὅτι Δωριεῖς τὸ ὄρνις ὄρνιξ λέγοντες, κλίνουσιν αὐτὸ διὰ τοῦ ¯χ ὄρνιχος. Τὸ δὲ ὑπ' αὐγὰς, συντίθησι τὸν παρὰ τοῖς μεθ' Ὅμηρον ὕπαυγον. αὐτὸ δὲ τὸ ὑπ' αὐγὰς ἠελίοιο, περίφρασίς ἐστι τοῦ, ὑφ' ἡελίῳ ἢ ὑφ' ἥλιον. (ηερς. 182.) Τὸ δὲ ἐναίσιμοι, ἀντὶ τοῦ, πεπρωμένον τι δηλοῦντες. ἀλλαχοῦ δὲ ἡ λέξις, σεβασμιότητα ἐμφαίνει τὴν κατὰ τὸ καθῆκον. ὡς ἐν τῷ, γῆρας γὰρ, ἐναίσιμον ἄνδρα τίθησιν. Ὅρα δὲ τὴν ἀλαζονείαν τοῦ Εὐρυμάχου ἐν τούτοις, εἴγε τοῦ Ἁλιθέρσου ὃς εὖ οἶδε τὰ εἰς μαντικὴν, ἐπιστημονικώτερος εἶναι βρενθύεται. εἰπών. ἄγε δὴ μαντεύεο σοῖσι τέκεσι. καὶ τὰ ἑξῆς ὡς πρὸ βραχέων ἐγράφη. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπαρᾶται καταφθίσθαι σὺν τῷ Ὀδυσσεῖ τὸν Ἁλιθέρσην. (ηερς. 185.) Ὀνειδίζει δὲ καὶ δώρων λῆψιντῷ γέροντι ἐκ τοῦ Τηλεμάχου. καὶ θωὴν ἐπιθήσειν ἀπειλεῖται εἰ τὸν Τηλέμαχον ἀνήσει ὅ ἐστιν ἀναπείσει χαλεπαίνειν. θωὴν εἰπὼν ἐτυμολογικῶς, τὴν ἐπιτεθειμένην τινὶ ζημίαν. ὅθεν καὶ ἀθῷος ὁ μὴ θωὴν πάσχων. Ὅτι δωροδοκίαν φράζει τὸ, σῷ οἴκῳ δῶρον ποτιδέγμενος αἴκε πόρῃσιν ἤγουν παράσχῃ. οὗ μέλλων τὸ πόρσω. ἐξ οὗ τὸ πορσύνειν. (ηερς. 188.) Ὅτι ὃ φθάσας εἶπεν ἐπὶ Αἰγυπτίου ὡς μυρία ᾔδη, σαφέστερον ἐνταῦθα ἐπὶ Ἁλιθέρσου φησί. παλαιά τε πολλά τε εἰδώς. Ὅτι ἀπειλὴ κατὰ τοῦ ἐρεθίζοντος νεώτερον τινὰ εἰς ὀργὴν αὕτη ἀπὸ ἐνδόξου τινός. Αἴκεν νεώτερον ἄνδρα παλαιά τε πολλά τε εἰδὼς, Παρφάμενος ἐπέεσσιν ἐποτρύνῃς χαλεπαίνειν, Αὐτῷ μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσται. σοὶ δὲ γέρον, θωὴν ἐπιθήσομεν, ὅ ἐστι ζημίαν ὡς ἐῤῥέθη. ἣν ἐνὶ θυμῷ τίνων, ἀσχάλλοις. χαλεπὸν δέ τοι ἔσσεται ἄλγος. ἔστι δὲ τὸ παρφάμενος, ἀντὶ τοῦ παραπείσας. ἐξ οὗ καὶ ἡ παραίφασις γίνεται. δηλοῖ δὲ νῦν ἡ λέξις, οὐ τὴν ἁπλῶς πειθὼ ἐκ παραινέσεως, ἀλλὰ τὸ παράγειν λόγοις, ὅ ἐστι παραλογίζεσθαι. Τὸ δὲ ἐποτρύνειν, καὶ ἀνιέναι εἶπεν ὁ ποιητὴς, ὅπερ ἐστί φασι λέξις κυνηγετικὴ, ὅτε τις κύνα τοῦ δεσμοῦ ἀνεὶς, ἀφήσει κατὰ θηρός. λέγει δὲ ἐποτρύνειν, τὸ ἐπὶ τῇ φυσικῇ ὀτρυντύϊ, ἐπιβάλλειν καὶ ἑτέραν ἐρεθιστικῶς. (ηερς. 190.) Τὸ δὲ ἀνιηρέστερον, ὤφειλε μὲν εἶναι ἀνιηρότερον, μέτρου δὲ χάριν, οὕτω λαλεῖται. ὡς καὶ τὸ αἰδοιέστερον. καὶ λοιπὰ τοιαῦτα. ἐν οἷς καὶ τὸ ἀμορφέστατος γυνὴ παρ' Ἡροδότῳ ἐν ἀκριβεστέροις ἀντιγράφοις. καὶ τὸ ποδηγέστερον ἐκ τοῦ ποδηγὸς, ἀντὶ τοῦ, ὁδηγητικώτερον. ὅπερ ἐν τοῖς τοῦ Σουΐδα κεῖται. πλεονάζει δὲ τοιαύταις παραγωγαῖς καὶ ὁ Πίνδαρος. οἱ δὲ παλαιοὶ καὶ ταῦτα φασίν. εὕρηται καὶ δικαιέστερον. καὶ ἀκρατέστερον ἐκ τοῦ ἄκρατος. Ἐπίχαρμος δὲ καὶ ἀλλοιέστερον λέγει. καὶ ἐπιηρεστέραν. καὶ ἀναγκαιέστατον. καὶ ὡραιέστατον. Στησίχορος δέ, ὑπερθυμέστατον ἀνδρῶν. Ἑκαταῖος δὲ, οἱ Βιαντίδαι, ἄνδρες σπουδαιέστατοι ἐγένοντο. καὶ Ἡρόδοτος, τὰ σπουδαιέστερα τῶν πραγμάτων. Δημόκριτος δὲ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιτηδειέστατον φησί. καὶ Δεινόλοχος, γενναιέστατον. Ἀντίμαχος δὲ, ὅτι ἀφνειέστατος ἔσκεν. Εὔπολις δὲ, πόλιν θεοφιλεστάτην οἰκοῦσιν ἀφθονεστάτην τε χρήμασι. Πίνδαρος, ἀπονέστερον. Σέλευκος δὲ, παρ' Ὁμήρῳ φησὶ τὴν Ἀριστοφάνειον γραφὴν ἔχειν, Ἀτρείδη κύδιστε φιλοκτεανέστατε πάντων. εἰ δέ τῳ δοκεῖ χρῆναι τοιούτου τύπου θέσθαι καὶ Σοφοκλέους τὸ κακοπινέστατον ἄλημα στρατοῦ. ἵνα ᾖ ἐκ τοῦ πῖνος ὁ ῥύπος, κακοπινότατος καὶ ἐκεῖθεν 1.92 κακοπινέστατος, ἴστω μὴ ἀκριβῶς λέγων. ἐκεῖνο γὰρ, οὐκ ἐξ ἁπλοῦ τοῦ πίνου γέγονεν, ἀλλ' ἀπὸ συνθέτου τοῦ κακοπινοῦς. ἵνα γίνοιτο καθὰ ἐκ μακροκαταλήκτου τοῦ εὐγενὴς, ὁ εὐγενέστερος, οὕτω καὶ κακοπινὴς κακοπινέστερος καὶ κακοπινέστατος. χρῆσις κακοπινοῦς, παρὰ τῷ δειπνοσοφιστῇ ἐν τῷ, συνεσπασμένοι καὶ κακοπινεῖς, οὐ μόνον τοῖς ἤθεσιν ἀλλὰ καὶ τῇ ἕξει. ὥσπερ δέ φασι διὰ τοῦ ¯ε¯ς σχηματίζουσιν Ἀττικοὶ, οὕτω καὶ διὰ τοῦ ¯ις. ποτίστατον γάρ φασιν Ἀριστοφάνης. ὡς τὸ, ὦ θερμόταται γυναῖκες ὦ ποτίσταται, οὕτω καὶ λαγνίστατον. καὶ κλεπτίστατον. καὶ λαλίστερον εὕρηκά σε ὡς καὶ λαλίστατον. καὶ πολὺ πτωχίστερος. καὶ ψευδίστατος. καὶ ὅσα τοιαῦτα ἐξ ὑπερθετικῶν τῶν εἰς στ¯ος, ὑπερθετικὰ ἢ συγκριτικά. καὶ Πλάτων δὲ Κλεοφῶντι, ἵν' ἀπαλλαγῶμεν ἀνδρὸς ἁρπαγιστάτου. καὶ πληκτίστατος δὲ λέγουσιν. ἔστι δὲ Πλάτωνος καὶ τὸ, ἡδονὴ ἁπάντων ἀλαζονίστατον. τοῦ δὲ ἀκρατίστερος, οὐχ' εὕρηται ὑπερθετικόν. οἷον, οὔτ' ἀκρατίστερον οὔτε λιχνότερον οὔτε δοῦλον μᾶλλον, τῶν ἡδονῶν. εἰσὶ δέ φασι σχηματισμοὶ, καὶ διὰ τοῦ α¯ι. ἰσαίτατον γάρ φασι καὶ προὐργιαίστερον. Πλάτων δ' ἐν πρώτῳ πολιτείας, ἀσμεναίτατα λέγει. καὶ ἰσαίτερον. καὶ ἐν Χαρμίδῃ, ἡσυχαίτατα. ἔστι δὲ καὶ πλησιαίτερον. Ξενοφῶν δὲ, καὶ φιλαίτατον ἐν ἑβδόμῃ φησί. τοῦτο δὲ καὶ φιλώτατον ἐν πολλοῖς τῶν ἀντιγράφων εὕρηται. τὸ μέντοι φίλτατος, ἐκ τούτων συγκοπὲν, περιεῖλε τὰς ἀμφιβόλους ἐκείνας γραφάς. ἐν δὲ τῷ, σοὶ δὲ γέρον θωὴν ἐπιθήσομεν, τὸ μὲν γέρον, οὐκ ἔπαινον ἔχει. ὥσπερ οὐδὲ τὸ, ὦ γέρον μαντεύεο σοῖς τέκνοις. οὐδὲ τὸ, ἣν σὺ γηραιὲ μυθέαι ἀκράαντον. ταῦτα δὴ τὰ τοῦ Εὐρυμάχου. ἄλλως λέγοντος ἤπερ Ὅμηρος ἔφη τὸ, γέρων ἥρως Ἁλιθέρσης ὡς προεγράφη. καὶ ἐν τοῖς ἑξῆς τὸ, πείθεσθαί τε γέροντι. (ῃερς. 186.) Τὸ δὲ θωὴν ἐπιθήσομεν, τρόπος ἐτυμολογίας ἐστίν. ἀπὸ τοῦ θέσθαι γὰρ ἡ θωή. Τὸ δὲ μυθέαι, παροξύτονον ὡς καὶ τὸ πωλέαι ὃ ἐν τῷ τέλει τῆς δέλτα ῥαψῳδίας κεῖται. Ὅτι τὸ περὶ Πηνελόπης, Ἀθηνᾶ μὲν ἐσχημάτισεν ὅτε εἶπεν ἐς μέγαρον ἴτω πατρὸς καὶ ἑξῆς. Ἀντίνοος δὲ πρὸς αὐτὸν τὸν Τηλέμαχον ἔφη, μητέρα σὴν ἀπόπεμψον. Εὐρύμαχος δ' ἐνταῦθα φησί. μητέρα ἣν ἐς πατρὸς ἀνωγέτω ἀπονέεσθαι. καὶ τὰ ἑξῆς ὡς καὶ ἡ Ἀθηνᾶ εἶπεν. οὕτω πολυσχήμων ὁ ποιητής. (ῃερς. 0.) Ὅτι Ἀντίνοος μὲν, ὑψαγόρην τὸν Τηλέμαχον προσεῖπεν, ἀπὸ ποιότητος λόγων σκώψας ὡς προεδηλώθη. Εὐρύμαχος δὲ, πολύμυθον αὐτὸν λέγει. ὃ ταυτόν πως ἐστὶ τῷ, ἀκριτόμυθον. εἰς ποσότητα γὰρ λόγου τὸ σκῶμμα. λέγει δὲ καὶ ἀργαλέαν τὴν τῆς Πηνελόπης μνηστείαν. εἰπών. οὐ γὰρ πρὶν παύσασθαι ὀΐομαι υἷας Ἀχαιῶν μνηστύος Ἀργαλέης, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης. καὶ ἔστιν εὐλαβέστερον τὸ οὐ πρὶν παύσασθαι ὀΐομαι τοῦ, ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος ἴμεν οὔτε πῃ ἄλλῃ πρὶν αὐτὴν γήμασθαι. καὶ ἦν καλὸν εἴπερ καθὰ νῦν ἔφῃ οὐ πρὶν παύσασθαι ὀΐομαι, οὕτω καὶ ἀνωτέρω ἔφη, τὸ δὲ, καὶ τελέεσθαι ὀΐω. νῦν δὲ εἰπὼν, τόδε καὶ τετελεσμένον ἔσται, οὐ σωφρόνως εἶπεν. ἀποφῃνάμενος ἀνενδοιάστως ὃ οὐκ ἐγίνωσκεν. (ῃερς. 199.) Ἀργαλέαν δὲ τὴν τῆς Πηνελόπης μνηστὺν λέγει, ἢ ὡς μέχρι νῦν δυσκατέργαστον, ἢ κατά τινα φήμην καὶ αὐτὸ καὶ μαντείαν ἀκουσίαν νόμῳ τῆς πολυφήμου ἀγορᾶς. τῷ ὄντι γὰρ ἀργαλεωτάτη ἀπέβη τοῖς μνηστῆρσιν, οὔτε ἀνύσασιν οὐδὲν, καὶ προσαπολέσασι καὶ τὸ ζῆν. τὸ μέντοι οὔ τινα δείδιμεν θρασύτερον τοῦ Ἀντινόου Εὐρύμαχος εἶπεν. ὥσπερ αὖ πάλιν τὸ, οὔτε θεοπροπίης ἐμπαζόμεθ' ἣν σὺ γεραιὲ λαλεῖς ἀκράαντον, λειότερόν ἐστι τοῦ, Ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίου φοιτῶσιν, οὐδέ τε πάντες ἐναίσιμοι. τοῦτο μὲν γὰρ, κατὰ τῆς οἰωνοσκοπητικῆς ἐῤῥέθη. ἐκεῖνο δὲ, κατὰ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γέροντος ὡς ψεύστου ἐφ' οἷς δοκεῖ μαντεύεσθαι. ἔτι Ἀντινόου εἰπόντος ὡς οἱ τῆς Πηνελόπης ἀκκισμοὶ ποιοῦνται αὐτῷ ποθὴν πολέος βιότοιο, Εὐρύμαχος μεταποιῶν φησι πλατύτερον. (ῃερς. 3.) Χρήματα δ' αὖτε κακῶς βεβρώσεται. οὐδέ ποτ' ἶσα ἔσσεται, ὄφρα κεν ἥγε διατρίβῃσιν Ἀχαιοὺς ὃν γάμον. Ἔτι Ἀντινόου ἐπαινέσαντος πλατύτερον ὡς ἐῤῥέθη τὴν Πηνελόπην, Εὐρύμαχος ἐπιτόμως διὰ μιᾶς λέξεως ἐπαινῶν, φησίν. ἡμεῖς δὲ εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν. καὶ ὅλως, ἡ τοῦ Εὐρυμάχου δημηγορία τὰ πλείω μὲν ταὐτὰ λέγει τῷ Ἀντινόῳ παραφράζουσα ποικίλως, ὀλίγα δέ τινα καὶ προστίθησιν. Ὅρα δὲ τὸ κακῶς βεβρώσεται, ὁμολογοῦντος καὶ Εὐρυμάχου τὴν βίαν. Τὸ δὲ βεβρώσεται καὶ ἔσσεται, καίρια καὶ ἀπραγμάτευτα πάρισα. Τὸ δὲ οὐδέ ποτε ἶσα ἔσσεται, ἀστείως εἴρηται ἀντὶ τοῦ ἀεὶ ἐλαττωθήσεται. εἰ γὰρ μὴ ἶσα, πολλῷ μᾶλλον οὐ μείζονα. ἔσται ἄρα ἐλάττονα. (ῃερς. 4.) Διατρίβειν δὲ γάμον, τὸ χρονοτριβεῖν καὶ ἀναβάλλεσθαι. ὡς τὸ, τὰ δὲ, πάντα διατρίβουσιν Ἀχαιοί. προϊὼν δὲ, γενικῇ συντάσσει τὸ ῥῆμα. εἰπών. ἀλλ' ἄγε δὴ μὴ διατρίβωμεν ὁδοῖο. 1.93 τινὲς δὲ τὸ ὡς ἐῤῥέθη χρονοτριβεῖν μεταβαλόντες, τριψημερεῖν τὸ διατρίβειν ἑρμηνεύουσι. λέγοντες καὶ ὅτι τριψημερεῖν λέγεται, τὸ στραγεύεσθαι καὶ παρέλκειν τὴν ὥραν. ὃ στρεύγεσθαι κατὰ συγκοπὴν Ὅμηρος ἔφη. δῆλον δὲ ὅτι τὸ διατρίβειν οὐ μόνον χρονοτριβεῖν λέγεται καὶ τριψημερεῖν καὶ ἀναβάλλεσθαι, ἀλλὰ καὶ ὑπερβάλλεσθαι. ὡς δηλοῖ παρὰ Ἡροδότῳ τὸ, κελεύοντες ὑπερβαλέσθαι καὶ μὴ οἰδούντων τῶν πραγμάτων ἐπιτίθεσθαι. Ὅτι ἐν τῷ, οὐδὲ μετ' ἄλλας ἐρχόμεθ' ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ, ἐπιεικὲς, τὸ εἰκὸς καὶ πρέπον λέγει. τὸ μέντοι ἐπὶ πρᾳότητος αὐτὸ λέγεσθαι, τῆς ὕστερόν ἐστι χρήσεως. (ηερς. 7.) Ὅτι δὲ τὸ καθ' ἑαυτοὺς κηδεύειν τινὰς, ἄριστόν ἐστι. καὶ ὅτι τὸ ὀπυίειν ἐπὶ ἐννόμου γάμου κεῖται. καὶ ὅτι παρὰ τὸ δι' ὀπῆς ὕειν ἐτυμολογεῖται. καὶ ὅτι δίφθογγον ἔχει τὸ ὀπυίω ἐν τῇ παραληγούσῃ τὴν διὰ τοῦ ¯υ καὶ ¯ι. καὶ ὅτι διατοῦτο οὐδὲ εἰς μέλλοντα κλίνεται, οἱ παλαιοὶ δηλοῦσιν. (ῃερς. 8.) Ὅτι τὸ ἀντίον ἤυδα, ὅπου περ ἂν ῥηθείη, μυριαχοῦ δὲ κεῖται, ταυτόν ἐστι τῷ ἀντικρὺ καὶ ἄντην πρὸς ἅπερ ἤκουσέ τις ἐκ τοῦ προλαλήσαντος. καὶ ἔστι πως ὅμοιον τῷ ὑπαντὰξ, οὗ μέμνηται Αἴλιος Διονύσιος, λέγων ὡς δηλοῖ τὸ ἐξεναντίας. φέρων εἰς χρῆσιν ἐξ Ἀριστοφάνους τὸ, ἔφευγε. κἀγὼ τῆς ὑπαντὰξ εἰχόμην. (ῃερς. 210.) Ὅτι λαλήσας ὁ Τηλέμαχος ὅσα ἔδει καὶ ἀκούσας ὅσα οὐκ ἐχρῆν, καὶ εἰπὼν ὡς ταῦτα μὲν οὐχ' ὑμέας τοὺς μνηστῆρας ἔτι λίσσομαι οὐδ' ἀγορεύω, ἤδη γὰρ ταῦτα οἶδε θεὸς καὶ πάντες Ἀχαιοὶ οἱ Ἰθακήσιοι δηλαδὴ, τότε δὴ αἰτεῖται κοινῶς, νῆα καὶ εἴκοσιν ἑταίρους, μεθ' ὧν πλεύσας, ἀπελεύσεται καὶ ποιήσει ἅπερ αὐτῷ εἶπεν ὁ ἐν τῇ ἄλφα ῥαψῳδίᾳ ἤδη φανεὶς Μέντης. καὶ ὁ μὲν, οὕτω ζητήσας, ἐκαθέζετο. Μέντωρ δέ τις ἀναστὰς λέγει τὰ αὐτῷ δοκοῦντα. ἔχει δὲ λύπην εἰ μὴ δ' ἐπὶ τοῖς οὕτως εὐτελέσιν εἰσακούεται ὁ Τηλέμαχος πρός γε τῶν μνηστήρων. τῶν τινες μέντοι Ἰθακησίων ὡς μετ' ὀλίγα φανεῖται, πληροῦσι τὴν αὐτοῦ αἴτησιν. νομίσαντες ὡς εἰκὸς πρὸς αὐτοὺς τὸν λόγον ἀποτείνεσθαι διὰ τὸ, ταῦτα μὲν οὐχ' ὑμέας ἔτι λίσσομαι. καὶ κρίναντες ἄτοπον, εἰς Τροίαν μὲν τοσούτους ἀποστεῖλαι ἅμα νηυσὶ διὰ τὸν βασιλέα, τῷ δὲ βασιλικῷ παιδὶ μὴ δοῦναι μίαν ἐεικόσορον εἰς ἀναψηλάφησιν τοῦ βασιλέως Ὀδυσσέως. ὃ καὶ τοὺς Ἰθακησίους ἐντρέπει ὡς τοῦ πλόου διὰ τὸν ἀγαθὸν βασιλέα γενησομένου, καὶ τοὺς μνηστῆρας ἐπιστρέφει ὡς τοῦ Τηλεμάχου δι' ἐκείνους πλεύσοντος, ἵνα τὸν Ὀδυσσέα τεθνάναι μαθὼν ὡς ἐκεῖνοι οἴονται, δοίη τινὶ αὐτῶν τὴν μητέρα. (ῃερς. 225.) Ὅτι δὲ ὁ ποιητὴς χαίρει τῷ τοῦ Μέντορος ὀνόματι, ὡς ἑταίρου φίλου. καὶ ὡς διατοῦτο ἐνέθετο αὐτὸν τῇ ποιήσει πρὸς μνήμην, προείρηται ἐφ' ὅσον ἔδει. Ἰστέον δὲ ὡς οὓς ὁ Τηλέμαχος ζητεῖ ἑταίρους, βοηθοὺς ἁπλῶς νοητέον καὶ ὑπηρέτας, οὐ μὴν κατὰ τοὺς κυρίως, οἳ καὶ ἑταῖροι φίλοι λέγονται. καὶ κεῖται πολλαχοῦ τὸ ἑταῖρος, καὶ ἐπὶ τοιούτου σημαινομένου. (ῃερς. 214.) Ἐν τούτοις δὲ ὧν ἀρχὴ τὸ, εἶμι γὰρ ἐς Σπάρτην καὶ ἑξῆς ὡς ἡ Ἀθηνᾶ προπαρήγγειλε, κεῖται καὶ παλιλλογία ἀπαραποίητος αὐτὰ ἐκεῖνα λαλοῦσα ὅσα πρὸ τούτων ὁ δῆθεν Τάφιος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μέντης τῷ Τηλεμάχῳ ὑπέθετο. οἷα τοῦ ποιητοῦ μυριαχοῦ καὶ αὐτοῦ ποιοῦντος τοῦτο, καὶ ἑτέρους διδάσκοντος ποιεῖν ἔνθα δέον ἐστί. Τοῦ δὲ εἶμι, δῆλον ὡς προϋπάρχει τὸ ἔω τουτέστι πορεύομαι, μακρᾷ παραληχθὲν καὶ βαρυνθὲν, τῷ λόγῳ τῶν εἰς ¯μ¯ι. οὗ περ ἔξω πίπτει τὸ εἰμὶ ἤγουν ὑπάρχω, διὰ τὴν ὀξυτόνησιν. ἔτι δὲ καὶ διὰ τὴν τῆς διφθόγγου παράληξιν ἣν ἔπαθε καὶ τὸ εἶμι. ὠθήσαντος εἰς τοῦτο ἀμφότερα, τοῦ ἠμὶ ὅπερ ἐστι φημί. προκαταλαβόντος γὰρ αὐτοῦ τὸ ἦτα ἐν τῇ παραλήξει, ἀναγκαίως ἡ ¯ε¯ι δίφθογγος ἀπεκληρώθη τούτοις, τῷ μὲν, μετὰ βαρυτονήσεως. τῷ δὲ, μετὰ τόνου ὀξέος. ὁ δὲ Ἡρακλείδης ὑποβάλλει Βοιώτια νοεῖν καὶ τὸ εἶμι καὶ τὸ εἰμὶ, ἐν οἷς λέγει ὅτι οὐδὲν τῶν εἰς ¯μ¯ι περαιουμένων δίφθογγον ἔχει ἐν τῇ παραληγούσῃ, ὅτι μὴ Βοιωτικὸν καθέστηκεν. ἤγουν εἰ μὴ Βοιώτιον εἴη. ἐπεὶ γάρ φησι δι' ἔθους Βοιωτοῖς μηδέ ποτε τῷ ¯η χρῆσθαι ἐπὶ τῆς οἰκείας δυνάμεως ἀλλ' ἑκάστοτε εἰς ¯ε¯ι δίφθογγον μετατιθέναι, διατοῦτο καὶ τὰ τοιαῦτα διὰ τοῦ ¯ε¯ι προφέρονται. τίθειμι. κίρνειμι. ἵστειμι. καὶ πάνθ' ὁμοίως. καὶ τὸ εἰμὶ γοῦν, τῆς αὐτῆς ἔχεται διαλέκτου. ὁ δὲ τοιοῦτος λόγος τοῦ Ἡρακλείδου, βοηθεῖ καὶ τοῖς παραδιδοῦσι Βοιώτιον εἶναι τὸ τέθεικα καὶ τέθειμαι καὶ τεθεῖσθαι καὶ τεθειμένος καὶ τὰ κατ' αὐτά. καὶ ἔστι ἀληθῶς ἀνάλογον τοῦ τίθειμι παραληγουμένου τῇ ¯ε¯ι διφθόγγῳ, φυλάττεσθαι αὐτὴν καὶ ἐν ταῖς εἰρημέναις ἐκεῖθεν κινήσεσιν, (ῃερς. 225.) Ὅτι Μέντορι ἀνδρὶ Ἰθακησίῳ ἰὼν ἐν νηυσὶν εἰς Τροίαν Ὀδυσσεὺς ἐπέτρεπεν οἶκον ἅπαντα, Πείθεσθαί τε γέροντι, καὶ ἔμπεδα πάντα φυλάσσειν. οὗτος γοῦν ἐνδιαθέτως ἄρτι δημηγορῶν, φησὶ πρὸς τοὺς Ἰθακησίους τάδε. ὦ Ἰθακήσιοι, Μήτις ἔτι πρόφρων 1.94 ἀγανὸς, καὶ ἤπιος ἔστω Σκηπτοῦχος βασιλεὺς, μὴ δὲ φρεσὶν αἴσιμα εἰδώς. ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι. Ὡς οὔτις μέμνηται Ὀδυσσῆος θείοιο λαῶν οἷσιν ἄνασσε. πατὴρ δ' ὣς ἤπιος ἦεν. Εἶτα σφοδρότερον καταφερόμενος τῶν αἰτίων, φησίν. ἀλλ' ἤτοι μνηστῆρας ἀγήνορας οὔτι μεγαίρω Ἕρδειν ἔργα βίαια, κακοῤῥαφίῃσι νόοιο. Σφὰς γὰρ παρθέμενοι κεφαλὰς, κατέδουσι βιαίως Οἶκον Ὀδυσσῆος. τόν δ' οὐκ ἔτι φασὶ νέεσθαι. Νῦν δ' ἄλλῳ δήμῳ νεμεσίζομαι, οἷον ἅπαντες Ἧσθ' ἄνεῳ. ἀτὰρ οὔτι καθαπτόμενοι ἐπέεσσι, Παύρους μνηστῆρας κατερύκετε πολλοὶ ἐόντες. Καὶ ὅρα δημηγορίαν ταύτην, οὐδέν τι δικαιολογικὸν ἔχουσαν, ἀλλ' εἰς τὸ πᾶν καταφορικὴν καὶ ἀγαθῷ ἐπιτρόπῳ πρέπουσαν. (ῃερς. 226.) Τὸ δὲ ἐπέτρεπεν οἶκον, ἐπίτροπον τῶν κατὰ Τηλέμαχον εἶναι δηλοῖ τὸν Μέντορα. ὅ ἐστι προνοούμενον. οὕτω καὶ πόλεως ἐπίτροποι, οἱ αὐτῆς φροντισταί. καὶ ὁ βασιλεὺς δὲ, ἐπὶ μᾶλλον ἐπίτροπος, θεόθεν τοῦτο εἰληχώς. κατὰ τὸ, ᾧ λαοί τ' ἐπιτετράφαται. (ῃερς. 227.) Τὸ δὲ πείθεσθαι γέροντι ὅ ἐστι τῷ Λαέρτῃ, φιλοπατορίαν διδάσκει. ὡς γὰρ οἱ κατ' οἶκον τῷ Μέντορι, οὕτως αὐτὸς τῷ τοῦ Ὀδυσσέως πατρὶ πείσεται. (ῃερς. 231.) Τὸ δὲ σκηπτοῦχος, κατὰ φύσιν ἐῤῥέθη παρὰ τὸ ἔχειν σκῆπτον, ὃ σκᾶπτον Πίνδαρος λέγει. ἐξ οὗ τὸ σκῆπτρον προσλήψει τοῦ ¯ρ. (ῃερς. 230.) Τὸ δὲ μή τις ἔτι ἀγανὸς καὶ ἤπιος ἔστω καὶ ἑξῆς, κατά τι ἐξεναντίου ἐπιχείρημα ὥρμηται. ἵνα λέγῃ ὡς ἐὰν τοῦ θείου καὶ ἠπίου βασιλέως οὐ μέμνηνται, τοῦ ἀπεναντίας αὐτῷ χαλεποῦ καὶ αἰσυλοεργοῦ μεμνήσονται. (ῃερς. 232.) Τὸ δὲ εἴη καὶ ῥέζοι, οὐ κυρίως εὐκτικά. βαρέως δὲ ἀντὶ προστακτικῶν ἐσχημάτισται τοῦ ἔστω καὶ ῥεζέτω. Αἴσυλα δὲ, καὶ νῦν τὰ ἄδικα καὶ τῆς αἴσης ἤτοι τοῦ καθήκοντος σεσυλημένα, ὡς συγκεκόφθαι ἀπὸ τοῦ αἰσόσυλα. (ῃερς. 233.) Τὸ δὲ Ὀδυσσῆος θείοιο, ἐπίτασίς ἐστι τοῦ, πατὴρ ὣς ἤπιος ἦν. πλεῖον γάρ τι τὸ θεῖον δηλοῖ τοῦ, ὡς πατέρα εἶναι. πατέρες μὲν γὰρ πολλοί, δύσνοοι παισὶν ἐφάνησαν. θεὸς δὲ, οὔ. ὁ μέγας πατήρ. εἰκὸς δ' ἐνταῦθα καὶ ἐμφαντικῶς εἰρῆσθαι τὸ θείοιο. ἵνα λέγῃ, ὅτι μέμνηνται μέν τινες Ὀδυσσέως καθὰ καὶ οἱ μνηστῆρες, πλὴν οὐχ' ὡς θείου βασιλέως, ἀλλ' ὡς γυναῖκα εὐειδέα ἔχοντος. ὡς ἀφνειοῦ. ὡς ἁπλῶς βασιλέως. καὶ σπεύδουσι κυριεῦσαι τῶν ἐκείνου. οἱ δὲ τοιοῦτοι, οὐκ ἂν μνήμην ἐκείνου ὡς χρὴ ἔχειν λέγοιντο, ἀλλά τινα ἴσως μνείαν. ὧν πολλὴ δή που διαφορά. εἴπερ μνήμη μὲν κατὰ τοὺς παλαιοὺς, οὐ πάντως καὶ μνεία. μνεία δὲ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐθέως καὶ μνήμη. καὶ μνήμη μὲν γενικῶς, τύπωσις ψυχῆς. μνεία δὲ, λόγος φασὶ κατὰ ἀνανέωσιν λεγόμενος. καὶ μνήμη μὲν, ἡ τῷ μνημονικῷ συνοικοῦσα. μνεία δὲ, προγεγονότος τινὸς ὑπόμνησις εἰς ἶσον ἤκουσα τῇ ἀναμνήσει. (ηερς. 235.) Μεγαίρω δὲ, τὸ μέμφομαι. ἐπεὶ καὶ φθονεῖν, τὸ μέμφεσθαι ὡς ἐν τῇ ¯α ῥαψῳδίᾳ ἐφάνη. (ηερς. 236.) Κακοῤῥαφία δὲ λογισμοῦ, ἡ κακοσυνθεσία καὶ ἀναρμοστία, πρὸς διαστολὴν τοῦ φρενήρους ὃς ἀραρυίας ἔχει τὰς φρένας. ἔτι δὲ, καὶ ἡ κακοβουλία. ὅπερ ἀλλαχοῦ διαλύσας ὁ ποιητὴς, κακὰ ῥάπτειν φησὶν ἐπὶ ἑτέρας ἐννοίας. (ηερς. 237.) Τὸ δὲ παρθέμενοι κεφαλὰς, ἀντὶ τοῦ προτείναντες. ἢ ὡς ἐν ἐπιξήνῳ ἤτουν ἐπικόπῳ, ἤτοι ἐπικορμίῳ θέντες ὥστε κοπῆναι. οἱ δὲ παλαιοὶ, οὕτω φασίν. ὡς μὴ ἐπικείμενοι τὰς ἑαυτῶν φασὶ κεφαλὰς ἀλλὰ παρατεθειμένοι. προϊὼν δέ που ὁ ποιητὴς, καὶ ἐπιθαλαττίων λῃστῶν τοῦτο ἐρεῖ. (ηερς. 239.) Τὸ δὲ οἷον ἅπαντες, θαυμαστικῶς εἴρηται, ὡς καὶ πρὸ τούτου τὸ, οἷον ἀναΐξας ἄφαρ οἴχεται, καὶ, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται. (ηερς. 240.) Ἄνεῳ δὲ, οἱ ἄφωνοι, ὡς καὶ ἀλλαχοῦ κεῖται. ἀπὸ τοῦ ἄνω ἄναυος, ἄναος. καὶ Ἀττικῶς, ἄνεως ὡς Μενέλεως. καὶ πληθυντικὸν, ἄνεῳ. εὕρηται δέ που, καὶ ἀντὶ ἐπιῤῥήματος. Τὸ δὲ καθαπτόμενοι ἐπέεσσιν, αἰσχύνει τοὺς Ἰθακησίους εἰ μὴ δὲ λόγοις ἅπτονται τῶν βιαίων μνηστήρων. τοῦτο δὲ διέσταλται τοῦ, χερσὶν ἅπτεσθαι, ὡς δυσχερεστέρου ὄντος. ὁμοίως ἐντρέπει καὶ τὸ, πολλοὶ ἐόντες. ῥᾷον γὰρ δοκεῖ τοὺς πλείους τῶν ἡττόνων περιγενέσθαι. (ηερς. 241. σθθ.) Ὅτι ἀκμάζων ὁ ποιητὴς ἐν ταῖς τῶν μνηστήρων δημηγορίαις, τὸν μὲν Ἀντίνοον, ἁπλούστερον δημηγοροῦντα πεποίηκε καὶ ἀφελέστερον. τὸν δὲ Εὐρύμαχον, ἐμβριθέστερον ἐκείνου καὶ ἁδρότερον. ἐνταῦθα δὲ Λειώκριτόν τινα μνηστῆρα βραχύλογον μὲν πλάττει, θρασύτερον δὲ ἐκείνων. ὃς οὐ μόνον τὸν Ὀδυσσέα ἐξευτελίσει, ἀλλὰ καὶ τὴν ἀγορὰν ταχὺ λύσει ἣν οὐκ ἐκάθισεν αὐτός. ὥστε εἶναι εἰπεῖν, ὡς εἰ καὶ τὰς τῶν ἄλλων ἀνδρῶν ἀγορὰς κατὰ τὸν ποιητὴν Θέμις λύει καὶ καθίζει, ἀλλὰ τὴν σήμερον ἐν Ἰθάκῃ ταύτην, Θέμις μὲν ἐκάθισεν, ἀθεμίστου δὲ ἀνδρὸς ὕβρις ἔλυσε. δημηγορεῖ δὲ ὁ Λειώκριτος, οὕτω. Μέντορ ἀταρτηρέ. φρένας ἠλεέ. ποῖον ἔειπες, Ἡμέας ὀτρύνων καταπαυέμεν; ἀργαλέον δὲ ἀνδράσι καὶ 1.95 πλεόνεσσι μαχήσασθαι περὶ δαιτί. Εἴ περ γάρ κ' Ὀδυσσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν Δαινυμένους κατὰ δῶμα ἑὸν μνηστῆρας ἀγαυοὺς Ἐξελάσαι μεγάροιο μενοινήσει ἐνὶ θυμῷ, Οὔ κέν οἱ κεχάροιτο γυνὴ, μάλα περ χατέουσα, ἐλθόντι, ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι, Εἰ πλεόνεσσι μάχοιτο. σύ δ' οὐ κατὰ μοῖραν ἔειπες. Ἀλλ' ἄγε λαοὶ μὲν σκίδνασθ' ἐπὶ ἔργα ἕκαστος, Τούτῳ δ' ὀτρυνέει Μέντωρ ὁδὸν ἠδ' Ἁλιθέρσης. Οἱ ἐξ ἀρχῆς αὐτῷ πατρώϊοι ἑταῖροι. ἐφ' οἷς εἰπὼν ὡς δηθὰ καθήμενος ἐν Ἰθάκῃ, ἀγγελιῶν πεύσεται, τελέει δ' ὁδὸν οὔποτε ταύτην, λῦσεν ἀγορὴν αἰψηρήν. καὶ οἱ μὲν ἄλλοι, ἕκαστος εἰς τὰ ἑαυτοῦ ἐσκίδναντο. Μνηστῆρες δ' ἐς δώματ' ἴσαν θείου Ὀδυσσῆος. (ηερς. 246.) Καὶ ὅρα τὸ θείου, ὡς Ὅμηρος μὲν, οὕτω τὸν Ὀδυσσέα ἠξίωσεν εἰπεῖν. ὁ δὲ ἀλαζὼν Λειώκριτος, ὡς ἕνα τῶν τυχόντων, Ἰθακήσιον αὐτὸν ἐκάλεσεν. Ἔτι ὅρα καὶ ὡς ἀντεπιχειρῶν τοῖς τοῦ Μέντορος ὁ Λειώκριτος, ἀργαλέον τε λέγει τοὺς Ἰθακησίους ἀντικαταστῆναι καὶ πλέονας ὄντας, δαινυμένοις τοῖς μνηστῆρσιν, ὅπερ ἐστι κεφάλαιον τοῦ ἀδυνάτου, καὶ εἰς τὸν Ὀδυσσέα περιτρέπει αὐτὸς τὸ τοῦ Μέντορος νόημα, εἰπὼν τοὺς μνηστῆρας μᾶλλον περιγενήσεσθαι τοῦ Ὀδυσσέως ὡς αὐτοῦ πλείονας. τὰ δ' ἄλλα ἡ δημηγορία τῷ Λειωκρίτῳ, πάντῃ ὑπόκενος. οὔτε γὰρ δίκαιον οὐδὲ μὴν πιθανὸν ἢ εὐφυὲς λέγει οὐδέν. θρασὺς ὢν μόνον καὶ λύσαι τὴν ἀγορὰν ἀναγκαίως προθέμενος. ἀγερωχίαν μέντοι ἔχει τινὰ ὁ λόγος αὐτοῦ, ἐν τῷ, ἀργαλέον ἀνδράσι καὶ πλεόνεσσι μαχέσσασθαι. (ηερς. 245.) Νοουμένων ἀνδρῶν, τῶν ἀνδρείων. καὶ ἀντιτιθεμένης ποιότητος ἀνδρικῆς, πρὸς τὸ ἁπλῶς πλῆθος. ἵνα λέγῃ, ὅτι ἀργαλέον καὶ τοῖς πλεόνεσσι, μαχέσσασθαι πρὸς ἀνδρείους ἡμᾶς. (ηερς. 242.) Ἰστέον δὲ ὅτι ὁ μὲν Λειώκριτος εἴη ἂν τοῦ λεὼ ἔκκριτος κατὰ ἐτυμολογικὴν ἀνάπτυξιν. καὶ ἦν μὲν γράφεσθαι τὴν ἄρχουσαν διὰ τοῦ ¯η καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

¯ο κατὰ τὴν αὐτὴν ἔννοιαν, ὡς ἐκ τοῦ ληὸς ὁ λαός. οὗ μέμνηται Ἡρακλείδης καθ' ὁμοιότητα τοῦ νηὸς ναὸς καὶ παὸς πηὸς ὁ ἐξ ἀγχιστείας προσγενὴς, οὔπω δὲ ἦν ἐπὶ Ὁμήρου ἐν χρήσει τὸ ληὸς ὁ λαός. γραφῆναι δὲ αὖθις Λειόκριτον διὰ τοῦ ¯ο μικροῦ κατὰ τὴν προπαραλήγουσαν ὡς τὸ τῆς λείας ἔκκριτον κατ' ἀνδρίαν λαμβάνοντα, οὐκ ἤρεσεν οὐδ' αὐτὸ τοῖς παλαιοῖς. (ηερς. 243.) Τὸ δὲ ἠλεὲ, εἴληπται μὲν ἀντὶ τοῦ, ἠλίθιε. πεπλανημένε τὸν νοῦν. οἱονεὶ ἀλεὲ παρὰ τὴν ἄλην. εὕρηται δὲ ἐν Ἰλιάδι καὶ δισύλλαβον ἐν τῷ, φρένας ἠλὲ διέφθορας. καὶ οὐκ ἔστι διακρῖναι εἴτε πρωτότυπον μὲν ὁ ἠλὸς ἐξ οὗ κατ' ἐπένθεσιν ὁ ἠλεὸς ὡς κενὸς κενεὸς, εἴτε ἀνάπαλιν προτερεύει μὲν ὁ ἠλεὸς, ἐξ αὐτοῦ δὲ συγκέκοπται ὁ ἠλός. Ἰστέον δὲ ὅτι ἐν τῷ μεγάλῳ ἐτυμολογικῷ, εὕρηται κατά τινα γλῶσσαν, καὶ παλεὸς ὁ μάταιος πλεονασμῷ τοῦ ¯π. ὁμοίως τῷ, ἤγανον πήγανον. Ὅτι δὲ τὸ διέφθορας οὐ μόνον ἐνέργειαν δηλοῖ ἵνα λέγῃ ὅτι τὰς φρένας διέφθειρας, ἀλλὰ καὶ πάθος νόμῳ μέσου παρακειμένου ἀκραιφοῦς, ἵν' ᾖ λέγων ὡς διεφθάρης τὰς φρένας, δεδήλωται καὶ ἀλλαχοῦ. καὶ ἐγκρίνεται μάλιστα τοῖς παλαιοῖς ὁ παθητικὸς οὗτος νοῦς. (ηερς. 246.) Τὸ δὲ περὶ δαιτὶ, πρόσκειται, ἐπεί περ οἴονται οἱ ἐν δαιτὶ, ἀνυπόστατοι εἶναι τὴν ἀλκὴν, τοῦ οἴνου στρατηγοῦντος αὐτοῖς. τὸ δὲ τοιοῦτον νόημα σαφέστερον ἐμφαίνει ἐν τῷ, εἰ γὰρ αὐτὸς ἐπελθὼν δαινυμένους κατὰ δῶμα μνηστῆρας ἐξελάσαι τοῦ μεγάρου ἐθέλει, οὐκ ἂν αὐτῷ ἡ γυνὴ κεχάροιτο. ἅμα γὰρ ἐπανελθόντα ἰδοῦσα, στερήσεται αὐτοῦ. Τὸ δὲ περὶ δαιτὶ, καινότερον συντέτακται. δηλοῦν ἢ τὸ περὶ δαιτὸς, ἢ τὸ ἐν δαιτί. (ηερς. 247.) Ἀγαυὸς δὲ κατὰ τοὺς παλαιοὺς, σεμνός. καλός. λαμπρός. κόσμιος. ὅθεν πλεονασμῷ, καὶ ὁ ἀγαυρός. εἰ δέ τι μετέχει τοῦ τοιούτου ἀγαυροῦ τὸ ἀγαύρισμα ὅπερ ἐστι πάλης εἶδος, οὐκ ἂν εἴη ἀκριβῶς ἀποφήνασθαι. ὥσπερ ἴσως οὐδὲ εἰ τὸ ἀγαυρὸς μὴ ἀπὸ τοῦ ἀγαυὸς ἀλλ' ἀπὸ τοῦ γαῦρος γίνεται. εἰ γὰρ ἐκεῖνο μὲν οὐκ ἔχει ἀπορίαν ὡς τῆς ἐπενθέσεως τοῦ ¯ρ μὴ ἀναγκαζούσης προπαροξυτόνησιν, τοῦτο δὲ ἀπορηθείη ἄν, εἰ τὸ μὲν ἁ πλοῦν βαρύνεται ἤγουν τὸ γαῦρος, τὸ δὲ σύνθετον ἀγαυρὸς, ὀξύνεται, δέον ὂν προπαροξύνεσθαι. ἀλλὰ καὶ τοῦτο ἔχει λόγον, διὰ τὸ συνακολουθῆσαι τῷ ἀφαυρὸς, καὶ τῷ ἀμαυρὸς καὶ τοῖς ὁμοίοις. (ηερς. 257.) Λύεται δὲ ἀγορὰ, ὡς ἀπὸ δεσμοῦ τινὸς ἀφ' οὗ ὁ δῆμος παρῆκται. Αἰψηρὴν δὲ εἶπεν, οὐκ ἐπιθετικῶς. οὐ γὰρ αἰψηρή ἐστιν ἀγορὰ πᾶσα, ἐπιῤῥηματικῶς δὲ μᾶλλον ἀντὶ τοῦ ταχύ. καὶ ἔστιν ὅμοιον τῷ, τότε μοι χάνοι εὐρεῖα χθών. ἀντὶ τοῦ, εὐρύ. Ἰστέον δὲ καὶ ὅτι ἔνδειξις τῆς τῶν μνηστήρων βίας. μᾶλλον μὲν οὖν λυπηρὸν ὡς μάλιστα, τὸ τοὺς μὲν ἄλλους εἰς τὰ ἑαυτῶν σκίδνασθαι, τοὺς δὲ μνηστῆρας ἐς δώματα Ὀδυσσέως. (ηερς. 261.) Ὅτι καὶ εὔξασθαι μέλλων ὁ Τηλέμαχος, τὰς χεῖρας νίπτεται. καθὰ καὶ Πρίαμος ἐν τῷ τέλει τῆς Ἰλιάδος. καὶ Πηνελόπη δὲ ἐν τοῖς ἑξῆς, ὑδρηναμένη καθαρὰ χροῒ 1.96 εἵματα ἑλοῦσα, εὔχεται. ὡς ἀεὶ καθαριεύειν ἐν τοῖς θείοις χρεὼν ὄν. (ηερς. 263.) Ὅτι πόντον ἠεροειδέα λέγει κατὰ τοὺς παλαιοὺς, ἢ τὸν μέλανα δίκην ἀέρος, ἢ τὸν βαθύν. ἢ τὸν ἀναπεπταμένον καὶ πλατὺν ἐξ οὗ μόνος ἀὴρ καθορᾶται τοῖς πλέουσιν. Ὅτι τῷ ῥηθέντι Μέντορι Ἀθηνᾶ εἰκαθεῖσα λαλεῖ τε τὰ ἐφεξῆς εἰκότα, καὶ νῆα στεῖλαι φησὶν αὐτῷ, τουτέστιν εὐτρεπίσαι. ἀφ' οὗ ῥήματος, καὶ ὁ στόλος γίνεται. καὶ αὐτὸς ὑπισχνεῖται ἅμα ἕψεσθαι. καὶ ποιεῖ οὕτως. ἀνήρ τις ὢν, ὡς εἰκὸς, Ἀθηνᾷ κάτοχος. ὅ ἐστι συνετός. καὶ φρονήσας τὸ δέον. οὐ μὴν δὲ ἀλλὰ καὶ ζηλώσας ἐφ' οἷς ὁ Λειώκριτος εἶπε σκώπτων, ὡς ὀτρυνέει τῷ Τηλεμάχῳ Μέντωρ ὁδόν. δεινότητος δὲ Ὁμηρικῆς καὶ ταῦτα, ἵνα μὴ τὸν βασιλικὸν παῖδα εὐτελῶς ἀπασχολήσῃ πρὸς νηὸς ὅπλισιν καὶ ἐντυχίαν ὑπὲρ αὐτῆς πρὸς τοὺς πολίτας. (ηερς. 270.) Ὅτι πρὸς παῖδα εὖ γεγονότα, ῥηθήσεταί ποτε τὸ, οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων, εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ. οἷος ἐκεῖνος ἔην, τελέσαι ἔργον τε ἔπος τε. ἤγουν οἷος ἦν ἔργῳ καὶ λόγῳ. Ἔστι δὲ ἔργον μὲν τελέσαι, τὸ ἀπαρτίσαι τὸ ἐγχειρηθέν. λόγον δὲ τελέσαι, τὸ ἐντελῶς εἰπεῖν καὶ ἀμέμπτως. οὗ τὸ ἀνάπαλιν, ἀτὰρ οὐ τέλος ἵκεο μύθων. (ηερς. 271.) Τὸ δὲ ἐνέστακται, εἴρηται μὲν ἐκ μεταφορᾶς τῶν ὑγρῶν. ὡς εἴ τις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴπῃ, εἴ σοι ἐνέστακται τοῦ πατρικοῦ μέλιτος. οὐκ ἔστι δὲ μακρὰν κακοζήλου διὰ τὸ μὴ προσκεῖσθαί τι σύστοιχον κατὰ ἀκολουθίαν τροπῆς. ὅμοιον καὶ παρὰ Σοφοκλεῖ τὸ, σύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη. ὅ ἐστι συγκοινωνόν. οὐδ' ἐνταῦθα γὰρ κεῖται θαλασσία τις λέξις συγγενὴς πρὸς τὸ σύμπλουν. οὐκ ἀπέοικε δὲ τούτων οὐδὲ τὸ, ἀλλ' ἔμπης καλάμην γέ σε ὀΐομαι εἰσορόωντα, ὡς ἐν τοῖς ἑξῆς που φανήσεται. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα. Ἰστέον δὲ ὅτι ἔστιν εἰπεῖν ὡς τὸ ἐνέστακται ἔοικεν ἠρτῆσθαι τῆς ἀρχικῆς σπερματικῆς τοῦ εἶναι δυνάμεως, ἵνα οὕτω πως κυριολεκτουμένη ἡ λέξις, ἐκφύγῃ τὸ κακόζηλον. προϊὼν δὲ, παραφράζει τὸ, πατρὸς μένος ἐνέστακται. εἰπών. οὐδέ σε μῆτις Ὀδυσσέως προλέλοιπεν. (ῃερς. 270.) Ἀνοήμων δὲ, ὁ ἀνόητος. οὗ τὸ ἀνάπαλιν, νοήμων. ὡς τὸ, ἐπεὶ οὔτι νοήμονες οὐδὲ δίκαιοι. Σημείωσαι δὲ ὅτι τὸ χωρίον τοῦτο οὗ ἀρχὴ μὲν τὸ, οὐδ' ὄπισθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων, ὡς προσεχῶς ἐγράφη, τέλος δὲ τὸ, ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα, ὡς εἰρήσεται, στρυφνότερον προῆκται τῷ ποιητῇ κατὰ ἀντιθετικὴν ἀκολουθίαν. ἤτοι κατὰ σχῆμα ῥητορικὸν ἀντίθετον. ἔχει δέ τινα καὶ ἕτερα ἐμπερίβολα, οἷον νοήματος μετάταξιν τοῦ κατὰ τὴν ἀρχήν. οὐ γὰρ προτίθησι τὸν ¯ε¯ι σύνδεσμον ἐν τῷ, εἰ δήτοι καὶ ἑξῆς, ὡς ἐν ἀντιθέτῳ σχήματι σύνηθες, ἀλλ' ὑποτίθησιν ἐν τῷ δευτέρῳ στίχῳ. ἔτι δὲ, καὶ διὰ μακροῦ ἀποδίδωσι τὸ ἐπειδή. μετὰ στίχους γὰρ ὀκτώ. ἐπεμβάλλει δὲ καὶ γνωμικὸν, λόγῳ σεμνότητος. ἐν ᾧ περὶ διαθέσεως παίδων φιλοσοφεῖ. παραμέμικται δὲ τῇ τοιαύτῃ γνώμῃ, καὶ αἰτία τις ὡς κατωτέρω ῥηθήσεται. ἔχει δὲ καὶ ἑτέραν ἐπεμβολὴν, τὸν τοῦ Ὀδυσσέως ἔπαινον ὡς καὶ λογίου καὶ πρακτικοῦ. ταῦτα δὲ πάντα, περιβολῆς ἴδια. καὶ λόγον ποιεῖ ἐμπερίβολον Ἀθηνᾷ φρονήσει πρέποντα τῇ καὶ σοφῇ καὶ πρὸς παῖδα φιλοσόφου λαλούσῃ τὸν Τηλέμαχον. ἔστι δὲ τὸ σαφῶς ὀρθὸν τῆς ὅλης τοῦ χωρίου φράσεως, τοιοῦτον. εἰ δή σοι ὦ Τηλέμαχε μένος ἔνεστι τοῦ ἐνεργεστάτου πατρὸς Ὀδυσσέως, οὐκ ἂν εἰς τὸ μέλλον ἔσῃ κακὸς, οὐδὲ ἀτέλεστα πλεύσεις. εἰ δὲ μὴ ἐκείνου καὶ τῆς Πηνελόπης ἐξέφυς, οὔ μοι ἐλπὶς ἐπὶ σοὶ ἀγαθή. αἴτιον δέ μοι οὐκ ἀπεικὸς τοῦ διστάζειν ἐπὶ τῇ σῇ πρὸς τοὺς ἀγαθοὺς γονεῖς ὁμοιότητι, τὸ πλείονας εὑρίσκειν παῖδας ἀνομοίους τῇ πατρικῇ ἀγαθότητι. ἐπεὶ δὲ ὡς ἡ δημηγορία σου ἔδειξεν, οὐ πάνυ προλέλοιπέ σε ἡ τοῦ πατρὸς ἀρετὴ καὶ διατοῦτο οὐδὲ κακὸς καὶ ἀνοήμων ἔσῃ, ἐλπὶς τελευτηθῆναί σοι τὰ τοῦ σκοποῦ. καὶ ἔστιν ὡς ἐν ἐπιτόμῳ εἰπεῖν τὸ πᾶν τοῦ λόγου τοιοῦτον. εἰ πατρῴζεις, ἀγαθὸς ἔσῃ, καὶ οὐ μάτην ὁδεύσεις. μὴ τοιοῦτος δὲ ὢν, οὐκ ἀνύσεις ἃ θέλεις. ἀλλὰ μὴν, πατρῴζεις μὴ κακὸς ὢν, μὴ δὲ ἀνοήμων, ἔστιν ἄρα ἐπὶ σοὶ ἐλπὶς ἀγαθή. (ῃερς. 274.) Ὅρα δὲ ὅτι τὸ κατὰ γένεσιν πρεσβεῖον ὁ ποιητὴς τῷ πατρὶ διδοὺς, ἐμνήσθη μὴν καὶ τῆς Πηνελόπης, ἀνέκαμψε δὲ αὖθις εἰς μόνον τὸν Ὀδυσσέα, ἐν τῷ, παῦροι γὰρ παῖδες ὁμοῖοι πατρὶ. καὶ, παῦροι πατρὸς ἀρείους. καὶ, οὐδέ σε μῆτις Ὀδυσσῆος προλέλοιπεν. ἔστι δὲ ὁ νοῦς τοῦ εἰρημένου Ὁμηρικοῦ ἀντιθέτου, τοιόσδε. Τηλέμαχε εἴ σοι ἐνέστακταί τι πατρικῆς ἀρετῆς οἷος ἐκεῖνος ἦν δεινὸς ἐπιτελετὴς ὧν ἤθελεν, οὐκ ἂν εἰς κενὸν ὁδεύσῃς ἄρτι. εἰ δὲ ψεύδη τὸ ἐξ Ὀδυσσέως καὶ Πηνελόπης εἶναι, κακὸς αὐτὸς ὢν καὶ μὴ κατ' ἐκείνους ἀγαθὸς ὃ δὴ πολλοὶ τῶν παίδων πάσχουσιν, οὐκ οἶδα εἰ τελευτήσεις ἅπερ ἐθέλεις. ἀλλὰ μὴν πατρῴζεις τά τε ἄλλα καὶ τὰ εἰς νοῦν, οὐκοῦν ἐλπωρή τοι τελευτῆσαι τάδε ἔργα. 1.97 (ῃερς. 273.) Ὅτι ἐν τῷ, Οὕτοι ἔπειθ' ἁλίη ὁδὸς ἔσσεται οὐδ' ἀτέλεστος, ἀστείως πρόσκειται, τὸ οὐδ' ἀτέλεστος. ἄλλως μὲν γὰρ, ἁλία ἔσται τῷ Τηλεμάχῳ ἡ ὁδὸς, ὡς διὰ θαλάσσης πλεύσοντι. ἧς ἐπὶ θινὶ κιὼν, χεῖρας ὡς ἐῤῥέθη ἐνίψατο. οὐ μέντοι κατὰ τὸ ἀτέλεστον ἁλίη ἔσται ὅπερ ἐστὶ ματαία. Ἰστέον δὲ ὅτι ἐκ τῆς ὁδοῦ, οὐ μόνον ὁδοιδοκεῖν τὸ ὁδοσκοπεῖν, ἀλλὰ καὶ ὅδουροι κατὰ τοὺς παλαιοὺς, οἱ κακοῦργοι ὁδοφύλακες. (ῃερς. 275.) Ὅτι ἐπὶ μὲν δυσελπίστου οἰκεῖον εἰπεῖν τὸ, οὔ σε ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾷς. ἐπὶ δὲ τοῦ ἀνάπαλιν τὸ, ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα. εἰ δὲ καὶ συνετός ἐστιν ἐκεῖνος πρὸς ὃν τοῦτο ῥηθήσεται,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλὸν εἰπεῖν καὶ τὸ, ἀλλ' ἐπεὶ οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων, ἐλπωρή τοι ἔπειτα. καὶ τὰ ἑξῆς. (ῃερς. 278.) Τὸ δὲ ἀνοήμων ἐφερμηνεύων φησίν. οὐδέ σε πάγγυ γε μῆτις πατρικὴ προλέλοιπεν. (ῃερς. 276.) Ὅτι γνωμικῶς λαλεῖ τὸ, παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται. οἱ πλέονες κακίους. παῦροι δέ τε πατρὸς ἀρείους. ὁποῖος δηλαδὴ ὁ Ἡρακλῆς πρὸς Ἀμφιτρύωνα καὶ Ἀχιλλεὺς πρὸς Πηλέα καὶ Ἕκτωρ πρὸς Πρίαμον. καί τις δὲ Κοπρέως υἱὸς ἐν’Ιλιάδι, εὕρηται μέγ' ἀμείνων οἰκείου πατρός. οὐ περὶ φαύλων δὲ πατέρων ὁ λόγος, ἀλλ' ἀγαθῶν. διὸ καὶ ἐδέησεν εἰπεῖν ὡς οἱ πλείους υἱοὶ, κακίους. (ῃερς. 277.) Τὸ δὲ πατρὸς ἀρείους, πρὸς ἑρμηνείαν ἐπῆκται τοῦ, ὁμοῖοι πατρί. ἄλλως γὰρ, ὁμοῖοι καὶ οἱ ὁμονοητικοὶ καὶ φίλιοι, ὡς ἐν Ἡσιόδῳ δηλοῦται. (ῃερς. 282.) Ὅτι ἀφραδέας τοὺς μνηστῆρας εἰπὼν, ἑρμηνεύει εὐθὺς τὴν λέξιν διὰ τοῦ, ἐπεὶ οὔτι νοήμονες οὐδὲ δίκαιοι. πάλιν δὲ διασαφῶν τὸ, οὔτι νοήμονες, ἐπάγει. οὔδε τι ἴσασι θάνατον. Καὶ νῦν μὲν, ἀφραδέας ἤτοι κακοφράδμονας καὶ κακοβούλους τοὺς μνηστῆρας ἔφη. ἐν δὲ τοῖς ἑξῆς, καὶ ἐπὶ τῶν ἐν Αΐδου σκιοειδῶν ψυχῶν τὴν λέξιν τίθησιν. Ὅρα δὲ καὶ ὅτι ἀφραδέας ὀνομάσας τοὺς μὴ νοήμονας μὴ δὲ δικαίους, ἐνέφηνε, τῇ φρονήσει τὴν δικαιοσύνην ἀκολουθεῖν. ἐν τούτοις δὲ κεῖται καὶ ἀναφώνησις περὶ μνηστήρων πάνυ γοργὴ ἐν τῷ, θάνατος δήσφιν σχεδόν ἐστιν ἐπ' ἤματι πάντας ὀλέσθαι. (ῃερς. 285.) Ὅτι προθυμοποιὸν εἰς ὁδὸν τὸ, σοί δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾷς. φίλου δὲ ἀρχαίου ἔνδειξις τὸ, τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι. (ῃερς. 289.) Ὅτι ἑτοιμασίας ἐφοδίων φραστικὸν τὸ, ὅπλισόν τ' ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα. οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα μυελὸν ἀνδρῶν, δέρμασιν ἐν πυκινοῖσιν. ἔστι δὲ ὁπλίσαι μὲν, συνήθως τὸ ἑτοιμάσαι. ὡς καὶ ναῦς ὁπλίζεται κατωτέρω, ἤτοι σκευάζεται εἰς κέλευθον ἐν τῷ, ὦκα δ' ἐφοπλίσαντες, ἐνήσομεν εὐρέϊ πόντῳ. ὅ ἐστιν, ἐμβαλοῦμεν. ἐπαφήσομεν. Ἤϊα δὲ νῦν, τὰ ἐφόδια. ὅ ἐστι βρώματα εἰς ὁδὸν ἐπιτήδεια, παρὰ τὸ ἰέναι. κατ' ἔλλειψιν τοῦ ἐξ ἀρχῆς ἰῶτα διὰ τὸ εὐφωνότερον. κεῖται δέ που ἡ λέξις, καὶ ἐπὶ ἁπλῶς βρωμάτων παρὰ τῷ ποιητῇ, ἔτι δὲ καὶ ἐπὶ ἀχύρων. ἃ καὶ αὐτὰ λέγονται οὕτως, ἢ ὡς ἁπλῶς βρώματα ζώων δηλαδή. ἢ παρὰ τὸ ἰέναι, ὡς κοῦφα καὶ οἷα κινεῖσθαι πάσῃ πνοῇ. εἰ δὲ καὶ ῥῆμα ἐστὶν ἤϊα δηλοῦν τὸ ἐπορευόμην ὡς τὸ, ἤϊα γουνούμενος, ἑτέρου τοῦτο λόγου. οἱ δὲ παλαιοὶ, φασὶ καὶ τοιαῦτα. ἤϊα κυρίως κατὰ Ἐρατοσθένην, ὀσπρίων καλάμαι. καὶ δισυλλάβως ἐν συναιρέσει, ᾖα ὡς καὶ Φερεκράτης. τὴν γαστέρ' ᾖων καὶ ἀχύρων σεσαγμένους. Ὅμηρος δὲ τὰ ἁπλῶς βρώματα, ἤϊα λέγει. δηλοῖ δὲ καὶ τὸν εἰς ναῦς ἐπισιτισμόν. Τὸ δὲ ἄγγεσιν ἄρσον, ἀντὶ τοῦ γέμισον, ὡς ἐκ τοῦ παρακολουθοῦντος, ἥρμοσται γὰρ τὸ πληροῦν τῷ πληρουμένῳ. Τοῦ δὲ ἅπαντα, ἑρμηνεία τὸ, οἶνον καὶ ἄλφιτα. (ῃερς. 290.) Οἱ δὲ ἀμφιφορεῖς, κεραμειοῖ ἦσαν, ἀμφοτέρωθεν φερόμενοι. ὅ ἐστιν, ἄμφωτοι. δίωτοι, τούτοις ἀστείως ἄν τις εἰκάσῃ, τοὺς εὐριπίστους καὶ ῥᾷον ἀναπειθομένους κολακείαις ἢ διαβολαῖς. οὓς ἀράμενος τῶν ὤτων ὁ κολακεύων ἢ διαβάλλων, οἴχεται. καὶ μᾶλλον εἴπερ οἱ τοιοῦτοι φιλοῦσιν οἴνου ἔμφορτοι γίνεσθαι. Ἰστέον δὲ ὅτι πίθου μὲν εἴη ἂν ἐλάττων ὁ ἀμφιφορεύς. βίκου δὲ οὐκ ἐξ ἀνάγκης. τὸ γοῦν οἴνου φοινικίνου βίκος τις ὑπανεῴγνυτο, οὐ πάνυ βραχὺ ἀγγεῖον τὸν βίκον εἶναι δηλοῖ. ὁ δὲ παρὰ Ξενοφῶντι ἐν ἀναβάσει καί τισιν ἄλλοις, δόξει ἂν ἶσος λαγύνῳ εἶναι. Ὅρα δὲ ἐν τῷ, οἴνου φοινικίνου, ὅτι καὶ φοινίκων ἀπεθλίβετο οἶνος. οὕτω δὲ καὶ λωτοῦ. Ἰστέον δὲ ὅτι καθ' ὁμοιότητα τοῦ ἀμφιφορέως, λέγεται παρὰ τοῖς παλαιοῖς καὶ ἀμφίδουλος ὁ ἐξ ἀμφοτέρων γονέων δοῦλος. καὶ ἀμφίβολοι παρὰ Ἀῤῥιανῷ καὶ ἑτέροις, οἱ ἀμφοτέρωθεν βαλλόμενοι. καὶ παῖδες ἀμφιθαλεῖς, οἷς ἄμφω περίεισιν οἱ γονεῖς, τὸ μέντοι ἀμφισβητεῖν καὶ ἀμφίσβαινα ὄφις ἑκατέρωθεν βαίνων, ἐκ τοῦ ἀμφὶς ἐπιῤῥήματος γίνεται. οὗ χρῆσις καὶ ἐν τῷ, ἀμφὶς φράζονται. ὡς δὲ καὶ χρύσεοι ἀμφιφορεῖς ἦσαν, δηλοῖ ἐν τῇ Ἰλιάδι ὁ ποιητής. Ἄλφιτα δὲ οὐκ αὐτόχρημα πάντως ἄλευρα. φησὶ γοῦν Ἡρόδοτος ἄλευρά τε 1.98 καὶ ἄλφιτα. καὶ εἴη μὲν ἂν καὶ ἑτέρα τις


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτων διαφορά. δοκεῖ δὲ τὸ ἄλφιτον, εὐτελέστερον ἀλεύρου εἶναι. εἰ δὲ οἱ μεθ' Ὅμηρον ἐπὶ κριθίνων ἀλεύρων ἢ καὶ ἐπὶ πιτύρων τὸ ἄλφιτον τιθέασι παρὰ τὸ ἄλφεσθαι ἴταις ὅ ἐστιν εὑρίσκεσθαι πτωχοῖς δι' εὐτέλειαν, ἀλλ' ὁ ποιητὴς οὐχ' οὕτως ἐκδέχεται. ἀλλὰ τὸ ἁπλῶς ἄλευρον, ἄλφιτον λέγει διὰ τὸ ἐν τῷ ἀλεῖσθαι, φάειν, ἤγουν φαίνειν καὶ λευκαίνεσθαι, ἢ φονεύεσθαι. ὅθεν καὶ μυλήφατον ἄλφιτον, ὅπερ ὅ τι οὐκ ἐξ ἀνάγκης πίτυρον ἢ πιτυρῶδες ἐστὶ, δηλοῦσι καὶ τὰ τῶν τρυφώντων ψαιστὰ, ἄλφιτα ὄντα κατὰ Παυσανίαν, οἴνῳ καὶ ἐλαίῳ μεμαγμένα ἢ δεδευμένα. ὁμοίως καὶ ἡ Ἀχίλλεια μάζα, ἔχουσά τι ὡς εἰκὸς ἐξαίρετον. ἧς Ἀχίλλεια ἐλέγετο τὰ ἄλφιτα. ὧν μνημονεύειν καὶ τὸν κωμικὸν ἐν Ἱππεῦσι, φασί τινες. Μυελὸν δὲ ἀνδρῶν τὰ ἄλφιτα λέγει, ἀντὶ τοῦ μυελοποιά. θρεπτικά. τοῦτο δὲ εἶπε, διὰ τοὺς οἰομένους μὴ μετέχειν καὶ τὰ ὀστᾶ δυνάμεώς τινος ψυχικῆς ζωτικῆς. διὸ ἔφη που καὶ τὸ, λίπε δ' ὀστέα θυμός. καὶ ἔοικεν ὥσπερ χροῦν καὶ χρῶτα τὸ πᾶν σῶμα λέγειν ἀπὸ μέρους τῆς ἐπιφανείας δηλαδὴ, οὕτω καὶ ἐνταῦθα διὰ τοῦ ἐνδομυχοῦντος μυελοῦ, τὴν ὅλην παραδηλοῦν τοῦ θρεπτικοῦ ἐνέργειαν. ὁμοίως δὲ καὶ ἐν τῷ, λίπεν ὀστέα θυμὸς, ἐκ μέρους τῶν ὀστῶν, τὸ πᾶν δηλῶσαι σῶμα. ἵνα ὥσπερ τοῦτο παντελῆ δηλοῖ φθορὰν σώματος, οὕτω καὶ σύστασιν αὐτοῦ τὸ, μυελὸς ἀνδρῶν. (ηερς. 291.) Δέρματα δὲ πυκινὰ λέγει, ἢ ἁπλῶς τὰ στερεά, ἢ τὰ συνεῤῥαμμένα καλῶς. κακοῤῥαφία μὲν γὰρ, τὸ μὴ πυκινὸν δηλοῖ. πυκινὸν δὲ, τὸ εὐραφές. διὸ προϊὼν, εὐραφέα δέρματα ἐρεῖ τὰ εὐάρμοστα. ἔνθα παραφράσας τὸ, δέρμασι πυκινοῖς, ἐρεῖ εὐραφέεσσι δοροῖσιν. ὧν ζητητέον τὴν κλίσιν. ἅπερ ἐν μιᾷ λέξει κώρυκος λέγεται παρὰ τὸ χωρεῖν. ἔτι δὲ καὶ θύλακος. ἴσως δὲ καὶ φασκώλιον, ὡς δηλοῖ ὁ εἰπών. φασκώλιον, δερμάτινον βαλάντιον. οἷον, θυλάκιον. καὶ φάσκωλος, ἡ ἱματιοφορὶς, ὥς φησιν Αἴλιος Διονύσιος. εἰ δὲ καὶ τὸ φασκώλιον ἐπὶ ἄλλου μάλιστα σημαινομένου τίθεται, ἀλλ' αἱ ἀχάναι ὅ ἐστι κίσται, Περσικὰ μέτρα ἦσαν. ἐν οἷς ἀπετίθεντο ἐπισιτισμοὶ τοῖς θεωροῖς, ὡς καὶ ἐν τοῖς ἑξῆς που δηλωθήσεται. οἱ δὲ παλαιοὶ καὶ τὸν παρὰ τῷ κωμικῷ σάκταν, θύλακον ἑρμηνεύουσι ὡς δηλοῖ ὁ εἰπών. σάκτας, θύλακος. μάρσιππος. γίνεται δὲ αὐτὸς ἀπὸ τοῦ σάττω σάξω τὸ φορτίζω. Ὅρα δὲ καὶ ὅτι ἀρχαῖον ἔθος δέρμασιν ἀντὶ σάκκων χρῆσθαι εἰς ἀλφίτων φυλακὴν, ἵνα μηδὲν ἐκεῖθεν διαφορῆται στεγούσης τῆς πυκνότητος. (ηερς. 292.) Ὅτι οὓς οἱ μεθ' Ὅμηρον ἑκουσίους καὶ ἐθελουσίους φασὶ καὶ μάλιστα ἑκοντὰς καὶ ἐθελοντὰς Ἀττικῶς, ἐθελοντῆρας φησὶν ὁ ποιητής. εἰπών. ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους ἐθελοντῆρας συλλέξομαι. (ηερς. 293.) Ὅτι πολύναυς ἡ Ἰθάκη, ὡς δηλοῖ τὸ, εἰσὶ δὲ νῆες πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκη, νέαι ἠδὲ παλαιαί. Καὶ ὅρα ὡς τὸ νέον καὶ παλαιὸν, καὶ ἐπὶ νηῶν τίθεται. ὅθεν ὁ κωμικὸς λαβὼν ἀρχὴν, παίζει. τὰς μὲν μήπω πλευσάσας, παρθένους λέγων, καὶ μήπω ἀνδρῶν ἆσσον ἐλθούσας. τὰς δὲ παρ' Ὁμήρῳ παλαιὰς, γραίας ἀποκαλῶν. (ηερς. 294.) Ὅτι τὸ ἐπιόψομαι νῆα ἥτις ἀρίστη, ἀντὶ τοῦ πάνυ προσεκτῶς περιβλέψω. καὶ ἐπαινεῖται ἡ λέξις, καὶ δηλοῖ ἐπίτασίν τινα ἡ πρόθεσις. κεῖται δέ τι καὶ ἐν Ἰλιάδι τοιοῦτον. (ηερς. 299.) Ὅτι ἐκφραστικὸν γοργὸν δαπάνης τῆς τῶν μνηστήρων τὸ, εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας ἐν μεγάροισιν αἶγας ἀνιεμένους, σιάλους θ' εὕοντας ἐν αὐλῇ. (ηερς. 300.) Ἔστι δὲ τὸ μὲν εὕειν, ἀρχαῖον, οὔπω ἐπινοηθέντος τοῦ μαδᾶν ὕδατι ζέοντι. καὶ γίνεται ἀπ' αὐτοῦ καὶ ἡ εὗστρα, ὡς δηλοῖ καὶ ὁ κωμικός. ἥπερ ἐστὶν, ἐργαστήριον ἐν ᾧ χοῖροι καὶ τοιαῦτα εὕονται. οἱ δὲ παλαιοὶ, φασὶν οὕτω. εὗστρα, βόθρος ἐν ᾧ περιφλέγουσι τὰς τῶν ὑῶν τρίχας. κατὰ Παυσανίαν δὲ, τὸ ἐ¯κ σταχύων καυθέντων ἔδεσμα τοὺς ἀνθέρικας ἀποβαλόντων, ἤτοι ὁ περικεκαυμένος στάχυς. ἕτεροι δὲ, ὅτι ἡ ὡρίμη κριθὴ, ἡ καὶ ἀμφίκαυστις παρὰ Αἰλίῳ Διονυσίῳ. κωμικοὶ δὲ, καὶ ἐπὶ γυναικείου μορίου φασί. Κρατῖνος δὲ τὴν ὀσφὺν οὕτως ἔφη. ἀπὸ δὲ τοῦ εὕειν καὶ μάλιστα ἴσως τοῦ λάμπειν, καὶ τὸ σταθεύειν ἤτοι χλιαίνειν, καὶ ὁ ἐσταθευμένος. καὶ ὁ παρ' Αἰσχύλῳ σταθευτὸς ἡλίου φλογί. Τὸ δὲ ἀνιεμένους, ἀντὶ τοῦ ἐκδέροντας, ὡς ἀπὸ τοῦ συμβαίνοντος. ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν κάτω γὰρ ἐπὶ τὰ ἄνω ἴενται οἱ τοιοῦτοι. ἡ τοιαύτη οὖν ὁμοιότης, καὶ ἐν Ἰλιάδι λέγει τὴν Ἑκάβην κόλπους ἀνιεμένην, ἀντὶ τοῦ γυμνοῦσαν. διὸ ἐπάγει ἐκεῖ τὸ, ἑτέρη δὲ μαζὸν ἀνέσχε. Σημειοῦνται δ' ἐνταῦθα οἱ παλαιοὶ παρατηροῦντες ὡς οὔτε σπένδοντας οὔτε εὐχομένους θεοῖς Ὅμηρος τοὺς μνηστῆρας ποιεῖ. Ὀδυσσεὺς μέντοι δι' ὅλης τῆς ποιήσεως οὐ τοιοῦτος φαίνεται. ὅπου γε οὐδὲ ὁ Σωκράτης φασὶ παρῆκε τὸ ἐπὶ τοῖς τοιούτοις εὐσεβές. Σίαλος δὲ, ὁ σιτευτὸς χοῖρος, παρὰ τὸ σιτεῖσθαι ἅλις. (ῃερς. 301.) Ὅτι παντοῖος 1.99 ὢν τὴν ῥητορείαν ὁ ποιητὴς, ἀλλάσσει νῦν τῷ πρῴην σφοδρῷ Ἀντινόῳ τὸ ἦθος. καὶ ἱλαρώτερον ποιεῖ αὐτὸν μετὰ τὴν ἀγορὰν προσφερόμενον τῷ Τηλεμάχῳ, τρέψαντα τὸν θυμὸν εἰς ἄκαιρον γέλωτα. γελάσας γάρ φησιν, ἰθὺς ἥκει. (ῃερς. 303.) Καὶ ἐμφὺς τῇ χειρὶ καὶ ὑψαγόρην αὖθις προσειπὼν καὶ μένος ἄσχετον, λέγει ἃ καὶ πᾶς ἂν εἴποι, θυμοῦ μὲν ἀποτρέπων τινὰ τρυφᾶν δὲ παρακελευόμενος. φησὶ γάρ. μή τι τοι ἄλλο ἐν στήθεσσι κακὸν μελέτω ἔργον τε ἔπος τε. (ῃερς. 304.) Ἔπος μὲν, ὁποῖα ἐμβριθῶς εἶπας. ἔργον δὲ, ὁποίοις ἐγχειρήσειν μελετᾷς. ἀλλά μοι ἐσθιέμεν καὶ πινέμεν ὡς τὸ πάρος περ. ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν ὅ ἐστιν ἐκτελέσουσιν, οἱ δεῖνα. Καὶ ὅρα ὡς παροίνου ἀνδρὸς φθέγγεται ῥήματα. ἴσως δὲ καὶ ἐπικερτομεῖ τῷ μείρακι ὡς μέχρι μὲν ἄρτι ὄντι τοιούτῳ καὶ ἀφελῶς ἀσωτευομένῳ, νῦν δὲ αἴφνης ἐκ τοῦ σχολάζειν γαστρὶ, πειρωμένῳ μεταβάλλεσθαι. Ἐν δὲ τῷ, ἀλλά μοι ἐσθιέμεν, περισσὴ κεῖται συνήθως ἡ ἀντωνυμία. (ῃερς. 305.) Ὅτι λόγος ἐνταῦθα τῷ Ἀντινόῳ εἰρωνικὸς ἀποτελευτῶν εἰς μαντικὴν φήμην τὸ, ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν Ἀχαιοὶ, νῆα, καὶ τὰ ἑξῆς. οὕτω γὰρ ἀληθῶς ἀπέβη. (ῃερς. 308.) Ἐν τούτοις δὲ καὶ ἡ Πύλος θηλυκῶς λέγεται ἐν τῷ, ἐς Πύλον ἠγαθέην. (ῃερς. 310.) Ὅτι ὁ μὴ συναναπαυόμενος ἀνδράσι τρυφῶσιν, εἴποι ἂν τὸ τοῦ Τηλεμάχου. ὡς οὔπως ἐστὶν ὑπερφιάλοισι μεθ' ὑμῖν δαίνυσθαί τ' ἀέκοντα, καὶ εὐφραίνεσθαι ἕκηλον. (ῃερς. 312.) Ὁ δὲ ἀπειλούμενος βλάβην παλαιοῖς ἐχθροῖς δαπανηροῖς τῶν αὐτοῦ, δύναται εἰπεῖν τὸ, ἢ οὐχ' ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ κτήματ' ἐμὰ, ἐγὼ δ' ἔτι νήπιος ἦα. νῦν δ' ὅτε δὴ μέγας εἰμὶ, καὶ ἄλλων μῦθον ἀκούων πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμὸς, πειρήσω ὥς χ' ὕμμι κακὰς ἐπὶ κῆρας ἰήλω. Τηλεμάχου δὲ καὶ ταῦτα λόγοι πρὸς Ἀντίνοον. Ἔνθα ὅρα ὅτι καὶ ὁμολογεῖ πως τὰ κατὰ τὸν Μέντην ὡς ἐξ ἐκείνου ἀκούσας τὸ ποιητέον, οὐ μὴν θεόθεν διδαχθεὶς ὡς Ἀντίνοος φθάσας ἐπέσκωψεν. ἐν τούτῳ δὲ, καὶ διδακτὴν εἶναι δηλοῖ τὴν φρόνησιν, ὃ δὴ καὶ τῶν λοιπῶν ἀρετῶν ἐστὶν ἴδιον. (ῃερς. 312.) Τὸ δὲ κείρειν, συνήθης λέξις τῷ ποιητῇ ὡς προδεδήλωται, ὅπερ σημαίνει τὸ εἰς κόρον δαπανᾶν. Τὸ δὲ πολλὰ καὶ ἐσθλὰ, ἐπίτασις τοῦ κακοῦ. ἦν γὰρ ἂν φορητὸν εἰ πολλὰ μὲν ἔκειρον οὐκ ἐσθλὰ δέ. ἢ ἐσθλὰ μὲν, οὐ πολλὰ δέ. νῦν δὲ καὶ κατὰ ποσὸν καὶ κατὰ ποιὸν ἐπηύξηται. (ῃερς. 313.) Κτήματα δὲ καὶ νῦν λέγει, οὐ μόνον τὰ ἐν οἴκῳ ἅπερ οἱ μεθ' Ὅμηρον καὶ χρήματα παρὰ τὴν χρῆσιν καλοῦσιν, ἀλλὰ τὸν ἅπαντα βίοτον, τὸν ὡς ποιητὴς ἔφη, πολύν. (ῃερς. 314.) Εἰς δὲ τὸ, μέγας εἰμὶ, ἀφελῶς ἅμα καὶ ἐμφαντικῶς ῥηθὲν, χρήσιμον ἐτυμολογῆσαι τὸ μέγας. ὃ σύγκειται ὥσπερ τὸ μάκαρ ἐκ τοῦ μ¯η στερητικοῦ καὶ τοῦ κὴρ ἡ θανατηφόρος μοῖρα ὁ μὴ κηρὶ ὑποκείμενος, οὕτω καὶ αὐτὸ ἐκ τοῦ τοιούτου μ¯η καὶ τοῦ γῆ. ἵνα ᾖ μέγας, ὁ μὴ πρὸς γῇ ὢν ἀλλ' ὑπεραναβὰς τὴν γῆν. οὐκοῦν λέγει ὁ Τηλέμαχος, οὐκέτι ταπεινὸς εἶναι καὶ ὡς οἷον πρόσγειος καὶ πεδινὸς, ἀλλ' ὑπέργειος καὶ ὑψηλὸς, καὶ αὐτὸ δὴ τοῦτο, μέγας. ἡλικίας τε μεγέθει καὶ ἀξίας ποιότητι ὡς βασιλέως υἱὸς, καὶ διατοῦτο μὴ προσήκων ἀτιμίαις. Ἰστέον δὲ ὅτι ὁ μέγας οἷα συγκοπεὶς ἐκ τοῦ, ὁ μεγάλος, οὗ κλητικὴ μὲν ἑνικὴ παρ' Αἰσχύλῳ ἐν τῷ, ὦ μεγάλε Ζεῦ, αἱ δὲ λοιπαὶ πλάγιοι πάγχρηστοι, ἄκλιτος μένει διόλου. καθὰ καὶ ὁ Μέγας τὸ κύριον. ἐξ οὗ πατρωνυμικὸν, ὁ Μεγάδης. τοιούτῳ δὲ λόγῳ κατά τινας, οὐδὲ ὁ μάρτυς διαβαίνει εἰς κλίσιν, ἐπειδὴ συντέτμηται ἐκ τοῦ μάρτυρος. Ἡρῳδιανὸς δὲ, καθάπαξ ἡμαρτῆσθαι τὸ μέγας περὶ τὴν εὐθεῖαν γράφει καὶ διατοῦτο μηδὲ σχεῖν ἀκόλουθον κλίσιν, μέγας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ μεγάλου φαμέν. ἑτεροκλίτως δηλαδή. ἡμάρτηται δὲ κατ' ἐκεῖνον, ἐπείπερ ἢ βραχὺ ἔχον τὸ ἄλφα, ὤφειλεν ὀξύνεσθαι κατὰ τὸ ἀρκάς. φυγάς. ἢ βαρυνόμενον, ἐκτείνειν τὸ ἄλφα. ὧν οὐθέτερον ἔχει. (ῃερς. 315.) Τὸ δὲ ἀέξεται θυμὸς, οἱ μὲν, ἐπὶ ὀργῆς ἐνόησαν. ἵνα λέγῃ ὡς ἔμαθον ἤδη θυμοῦσθαι, καὶ μὴ διὰ τέλους ἀόργητος εἶναι. αὐξηθέντος τοῦ δυνάμει εἰς τὸ κατ' ἐνέργειαν. ἕτεροι δὲ, ἐπὶ ψυχῆς τὸν θυμὸν ἐκλαμβάνονται, χρώμενοι συνηγόρῳ τῷ Γαληνῷ, εἰπόντι ἐν τοῖς εἰς Τίμαιον, ὅτι αὐξανομένῳ τῷ σώματι, συναυξάνονται καὶ τῆς λογικῆς ψυχῆς αἱ δυνάμεις. λέγει δὲ καὶ Ἡρόδοτος ὅτι αὐξομένῳ τῷ σώματι, συναυξάνονται καὶ αἱ φρένες. γηράσκοντι δὲ, συγγηράσκουσιν, ὁ δέ γε πάραρος Σαρδανάπαλος παρανοήσας τὸν ἐνταῦθα Ὁμηρικὸν θυμὸν ἤγουν χόλον, ἔφη, εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε τερπόμενος θαλίῃσι καὶ ἑξῆς ὡς παρὰ τῷ δειπνοσοφιστῇ κεῖται. θυμὸν ἀέξειν ἐκεῖνος νοήσας, οὐ τὸ χολοῦσθαι ἐφ' οἷς χρεὼν, ἀλλὰ τὸ τὴν ψυχὴν τελειοῦσθαι εἰς τὸ τὰ σπουδαῖα ἐνεργεῖν, καὶ τὸ πρὸς ἐπιθυμίαν ζῆν. παραφέρει δὲ ὁ αὐτὸς σοφιστὴς καὶ ἑτέρους ὅμοια τῷ Σαρδανα 1.100 πάλῳ ληροῦντας. ἐν τούτοις δὲ διὰ τὴν τοῦ θυμοῦ διπλόην, ἐνθυμητέον καὶ τὸ, ἀνεθυμιᾶτο πάλιν τὸ προϋπάρχον μῖσος, ἤγουν ἀνενεοῦτο. ἴσως μὲν ῥηθὲν ὡς ἀπὸ θυμοῦ τοῦ κατὰ τὴν ὀργήν. μάλιστα δὲ, ληφθὲν ἀντὶ τοῦ, ἐκ δευτέρου εἰς ψυχὴν ἤρχετο. ἐπειδὴ καὶ δευτέρωμά ἐστιν ὅτε, ἡ ἀν¯α πρόθεσις δηλοῖ. Τὸ δὲ ἀκούων πυνθάνομαι, ἀντιστρόφως εἶπεν ἀντὶ τοῦ, πυνθανόμενος ἀκούω. (ῃερς. 316.) Τὸ δὲ πειρήσω, ἔχει καὶ παθητικὴν κίνησιν ἐν ἄλλοις παρὰ τῷ ποιητῇ, ὡς πολλαχοῦ δηλοῦται. Τὸ δὲ ἐπὶ κῆρας ἰήλω, ἀντὶ τοῦ ἐπιβαλῶ. ἐπιπέμψω θάνατον. θυμοῦ δὲ προβολὴ ὁ λόγος οὗτος Τηλεμάχῳ. πλευσεῖται μὲν γὰρ εἰς Πύλον, οὐ πειράσεται δέ τι τοιοῦτον. οἷα διὰ μόνην πλεύσας πατρὸς ἀκουὴν, οὐ μὲν ὥστε βλάψαι ἠὲ Πύλον δ' ἐλθὼν ἢ αὐτοῦ τῷ δ' ἐνὶ δήμῳ. (ῃερς. 317.) Ἔνθα καὶ ὅρα τὸ, τῷ δ' ἐνὶ δήμῳ, πρὸς σαφήνειαν ῥηθὲν τοῦ αὐτοῦ, ὅπερ ἐστὶ χρονικὸν ἐπίῤῥημα παθὸν ἔλλειψιν. ἔστι γὰρ τὸ αὐτοῦ, ἀντὶ τοῦ, ἐπὶ τούτου τοῦ χώρου ἢ τοῦ τόπου ἢ τοῦ δήμου. τούτοις δὲ ταυτόν ἐστι τὸ, τῷ δ' ἐνὶ δήμῳ. ὅμοιον γὰρ, εἰπεῖν ἐπ' αὐτοῦ τοῦ δήμου καὶ ἐν τούτῳ τῷ δήμῳ. (ῃερς. 319.) Ὅτι ἔμπορον ὁ ποιητὴς, τὸν ἀλλοτρίας νηὸς ἐπιβαίνοντα λέγει ὡς αὐτὸς ἑρμηνεύει, εἰπών. εἶμι ἔμπορος. οὐ γὰρ νηὸς ἐπήβολος οὐδ' ἐρετάων γίνομαι. τοῦτον δὲ οἱ μεθ' Ὅμηρον, ἐπιβάτην φασίν. ὡς ἐμπόρου παρ' αὐτοῖς λεγομένου, τοῦ μεταβολέως καὶ ὡς εἰπεῖν πραγματευτοῦ. καὶ μάλιστα τοῦ διὰ θαλάσσης περῶντος. παρὰ τὸν πόρον. καὶ τοιοῦτος μὲν ὁ παρ' Ὁμήρῳ ἔμπορος καὶ ὁ παρὰ τοῖς μεθ' Ὅμηρον ἐπιβάτης. Ἀττικοὶ δὲ τοὺς ἐν ταῖς τριήρεσι κωπηλάτας ἐπικώπους λέγοντες, ἐπιβάτας καλοῦσι τοὺς μαχητάς. Ἰστέον δὲ ὅτι ἀπορίαν ἔχει πῶς δή ποτε ὁ μὲν ἔμπορας καὶ ὁ μεγαλέμπορος προπαροξύνονται τῆς ὀξείας τοῦ πόρος ἀναστελλουμένης ἐν αὐτοῖς ὥς που φράζει ὁ Τρύφων, ὁ δὲ λογεμπόρος παρὰ τοῖς ὕστρον, κατεβίβασε τὸν τόνον εἰς τὴν παραλήγουσαν. ὅμοιον δὲ εἰς ἀπορίαν, καὶ τὸ ἤπιος ὀξυνθὲν ἐν τῷ Ἀσκληπιός. ἐκ τοῦ ἠπίου γὰρ ἔγνωσται συγκεῖσθαι ὁ ἀσκληπιός. ἀπορηθήσεται δὲ τὰ εἰς τόνον, καὶ τὸ γαῦρος εἰ ἐκ βαρυτόνου, ὀξύνεται μετὰ σύνθεσιν ἐν τῷ ἀγαυρός. ἔτι δὲ καὶ τὸ ἁβρὸς, εἴπερ ἐκ τοῦ ¯α στερητικοῦ καὶ τοῦ βάρος βαρυτόνου, δασυνθὲν Ἀττικῶς καὶ συγκοπὲν, ὠξυτονήθη. ἴσως δὲ καὶ τὸ ἀμυδρὸς, διὰ τὸ μύδρος. οὕτω δὲ καὶ τὸ ἀθρόος, διατὶ μὴ ἐξ ὀξείας καὶ βαρείας ἀθροῦς γέγονε, περισπασθὲν ὡς διπλόος διπλοῦς, ἀλλὰ ἄθρους. καθ' ὅμοιον δὲ λόγον καὶ διατί μὴ ἐκ τοῦ ὄϊς ὄϊος, τὸ συναίρεμα τῆς γενικῆς οἷος γέγονεν ὡς λάαος λᾶος, οἷον, λᾶος ὑπαὶ ῥιπῆς, ἀλλὰ οἰός. ὁμοίως καὶ διατὶ ὁ μωρὸς ὀξύνεται καὶ μὴ ἐκ τοῦ μὴ ὁρᾶν γινόμενος μήορος κατὰ κράσιν συνήθη, προπερισπᾶται ὡς τὸ μήαλλον μᾶλλον, ἀλλὰ ὀξύνεται. καὶ τὸ τετράορον δὲ τέτρωρον, εἵλοντό τινες προπερισπᾶν, διὰ τὴν ἐν τῷ ἁπλῷ τῆς παραληγούσης ὀξεῖαν καὶ τὴν ἐφεξῆς βαρεῖαν. Τούτων οὕτως ἠπορημένων, τὸ μὲν τέτρωρον, ἐκνικᾷ προπαροξύνεσθαι καὶ μετὰ κράσιν, διὰ τὴν ἀναγωγὸν τοῦ τόνου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σύνθεσιν. τὸ δὲ μωρὸς, πάλαι ποτὲ ὀρθῶς εἶχε τοῦ προπερισπᾶσθαι. ὡς τὸ, ὦ μῶρε μῶρε μὴ θεῶν κίνει φρένας. καὶ τὸ, ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι. ὕστερον δὲ, συνεξέδραμε τῷ πυλωρὸς θυρωρὸς καὶ τοῖς ὁμοίοις. ὡς καὶ τὸ ἀγαυρὸς καὶ ἁβρὸς καὶ ἀμυδρὸς, τῷ ἀφαυρός. ἀμαυρός. ἀγρός. ἁδρός. καὶ εἴπου τι ἕτερον τοιοῦτον καθὰ καὶ πρὸ ὀλίγου ἐῤῥέθη. τὸ δὲ ὅϊος οἰὸς, ὠξυτονήθη ὡς ὀκνῆσαν περισπασθῆναι, ἵνα μὴ συνεκδράμῃ τῷ οἷος ὁ μόνος. περὶ δέ γε τοῦ ἀθρόος, προείρηται μὲν ἐν τῇ ¯α ῥαψῳδίᾳ. ἔστι δὲ καὶ νῦν εἰπεῖν ὡς οὐκ εὐλόγως παροξυνθὲν ἐν τῇ ἁπλότητι, ὤφειλε γὰρ ὡς ἄλλως σύνθετον παροξύνεσθαι, εἰκότως μετὰ τὴν κράσιν βαρύνεται ὡς τὸ χειμάῤῥους, ἵνα ᾖ ὡς χειμάῤῥοος χειμάῤῥους, οὕτως ἀθρόος ἄθρους. καὶ ἀπολάβῃ ἐν γοῦν τῇ συναιρέσει, τὴν ὀφειλομένην ὀξεῖαν τῇ ἀρχούσῃ πρὸ συναιρέσεως. τὸν δὲ παραλόγως ὀξύνεσθαι δοκοῦντα Ἀσκληπιὸν, ὁ Δημοσθένης ἐθεράπευσεν, Ἀσκλήπιον προπαροξυτόνως τολμήσας προφέρειν αὐτὸν ὡς καὶ Πλούταρχος ἱστορεῖ. καὶ οὕτω μὲν ταῦτα. τὸ δὲ λογεμπόρος διατί παροξύνεται καὶ μὴ πρὸ δύο συλλαβῶν ἔχει τὴν ὀξεῖαν κατὰ τὸ συνέμπορος καὶ μεγαλέμπορος, λύσῃ ἂν ἕτερός τις εὖ εἰδὼς ἢ κατὰ Δημοσθένην ἢ καί πως ἑτέρως. τοῦ δὲ κοινότερον λεγομένου ἐμπόρου, χρῆσις καὶ παρὰ τῷ δειπνοσοφιστῇ ἐν τῷ, στώακας ἐμπόρους λήρου λόγων καὶ παιδοπίπας. ἔνθα στώακες μὲν ὑποκοριστικῶς, οἱ στωϊκοί. παιδοπίπαι δὲ, οὓς ἀγρίους ἔφη σεμνότερον ὁ κωμικός. σύγκειται δὲ ἡ λέξις, πρὸς ὁμοιότητα τοῦ παρθενοπίπα, ὃ κεῖται ἐν τῇ Ἰλιάδι. Ἐπήβολος δὲ, οὐ ποιητικὴ λέξις, ἀλλὰ Ἀττικὴ κατὰ τοὺς παλαιούς. οἳ καὶ προφέρουσι. Σοφοκλῆς. εἴθ' εὖ φρονήσαντ' ἐσίδοιμι φρενῶν ἐπήβολον καλῶν σε. Πλάτων ἐν πρώτῳ νόμων. 1.101 ἐπήβολον γεγονότα ὥστε τυχεῖν τῆς καλλίστης παιδείας. Ξενοφῶν ἐν τετάρτῳ Παιδείας. γίνονται κατὰ νόμον ἐπήβολοι. Ὑπερίδης κατὰ Δημάδου. μή τε πόλεως μήτε πολιτείας ἐπηβόλους γενέσθαι. Ἄρχιππος. ἐγενόμην χρημάτων ἐπήβολος. καὶ οὕτω μὲν οἱ παλαιοί. παρὰ δὲ τοῖς ὕστερον, ἡ λέξις ἠμέληται. γίνεται δὲ παρὰ τὸ βάλλειν τὸ τυγχάνειν σκοποῦ, βόλος, ἤβολος, καὶ ἐπήβολος ὁ ἐπιτυχής. ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη οὐ πρὸ πολλῶν. ἕτεροι δέ φασιν οὕτως. ἐπήβολος, ἐπιτυχής. ἐγκρατής. ἀπὸ τῆς βουλῆς ἢ βολῆς καὶ τοῦ βάλλειν. Πορφύριος δὲ μάλιστα τὴν ἐτυμότητα παρέδειξε τοῦ τοιούτου ὀνόματος. δοκεῖ δὲ ἀπὸ τοῦ ἐπιτυχῶς βάλλειν, οὐ μόνον ὁ ἐπήβολος παρῆχθαι, ἀλλὰ καὶ ὁ βελτίων, ἔτι δὲ καὶ ἀβέλτερος ὁ ἀνόητος φασὶ καὶ εὐήθης μετὰ χαυνότητος. (ῃερς. 321.) Ὅτι σχῆμα ἀμφιβολίας τὸ, ἐκ χειρὸς χεῖρα σπάσεν Ἀντινόοιο ῥεῖα. ἄδηλον γὰρ εἴτε τὴν ἑαυτοῦ ὁ Τηλέμαχος χεῖρα τῆς Ἀντινόου ἐξέσπασεν, εἴτε ἀνάπαλιν. διατί δὲ ἐξέσπασεν; ἢ διότι γελῶν ὁ Ἀντίνοος ἐδεξιώσατο ἐμφὺς τῇ τοῦ Τηλεμάχου χειρὶ ὡς προείρηται, ἢ καὶ ὡς δεδιὼς μὴ ἐπιβούλως ἅπτηται τῆς χειρός. Τὸ δὲ ῥεῖα, τὴν τοῦ νεανίου ἐμφαίνει ῥωμαλεώτητα. Σημείωσαι δὲ ὅτι καὶ ἐν Ἰλιάδι, ἐκ χειρῶν, ἀμφιβολίας γίνεται σχῆμα. ἐν τῷ, χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου. ἔνθα οὐ σαφὲς εἴτε τὰς ἑαυτοῦ χεῖρας ὁ Ἀχιλλεὺς τοῖς τοῦ Πατρόκλου ἐπέθετο στήθεσιν, εἴτε καὶ ἀνάπαλιν τὰς ἐκείνου τοῖς ἑαυτοῦ. (ῃερς. 323.) Ὅτι δηλωτικὸν ὕβρεως τὸ, οἵ δ' ἐπελώβευον καὶ κερτόμεον ἐπέεσσιν. ἔστι δὲ λώβη, ἡ ἐν κοινῷ ὕβρις, οἱονεὶ λαόβη, ἡ μέσον λαοῦ ἐπεμβαίνουσά τινι. ἢ παρὰ τὸ λώπιον, ἡ μετὰ ἔκδυσιν ἐπαγομένη γυμνῷ τινι. (ῃερς. 324.) Ὅτι μερίζει ὡς ἐν ἠθοποΐᾳ κατὰ προσωπικὴν ἀοριστίαν ὁ ποιητὴς τοὺς μνηστῆρας. καὶ τοὺς μέν τινας ποιεῖ δεδιότας, καὶ λέγοντας. ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει. ἢ ἐκ Πύλου ἀγαγὼν ἀμύντορας, ἢ καὶ Σπάρτηθεν, ἐπειδή περ ἵεται αἰνῶς. ἢ καὶ εἰς Ἐφύρην ἐθέλει πίειραν ἄρουραν ἐλθεῖν, ὄφρ' ἔνθεν θυμοφθόρα φάρμακ' ἐνείκῃ, ὅ ἐστιν ἐνέγκῃ. ἐν δὲ βάλῃ κρητῆρι, καὶ ἡμέας πάντας ὀλέσσῃ. (ῃερς. 331.) Ἑτέρους δὲ, θαρσαλεώτερον διακειμένους πλάττει, ἐν τῷ λέγειν. τίς δ' οἶδεν εἰ καὶ αὐτὸς πλεύσας, τῆλε φίλων ἀπόληται ἀλώμενος ὥσπερ Ὀδυσσεύς. (ῃερς. 334.) Εἶτα ποιεῖ αὐτοὺς προστιθέντας καί τι ἀστεῖον. ὡς οὕτω κεν καὶ μᾶλλον ὀφέλλειεν πόνον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄμμιν. τίς δὲ ὁ πόνος; κτήματα γάρ κεν πάντα δασαίμεθα. οἰκία δ' αὖτε, τούτου μητέρι δοῖμεν ἔχειν, ἠδ' ὅς τις ὀπυίει. (ῃερς. 335.) Καὶ ὅρα ὅπως δωμάτων μόνον παραχωρῆσαι θέλουσιν μνηστῆρες τῇ Πηνελόπῃ, ὅτι μὴ καὶ αὐτὰ εἰλαπινάσαι δύνανται. Σημείωσαι δὲ καὶ ὅτι δεξιώτατα ὁ ποιητὴς ὑποβάλλει τῷ ἀκροατῇ ἐπινοεῖν ὕλην γραφῆς. καὶ λογίσασθαι, ὡς ἐνῆν τῷ ποιητῇ πλάσασθαι, τὸν Τηλέμαχον ἐκ Πύλου λαβεῖν τὰ πρὸς ἄμυναν. ἢ ἀπὸ Σπάρτης. ἢ καὶ ἀπὸ Ἐφύρης τῆς προϊστορηθείσης, τῆς διὰ Μήδειαν πολυφαρμάκου ὡς ἱστορεῖ Ἀπολλόδωρος ὁ Ἀθηναῖος. ἀφῆκε δὲ τὰ τοιαῦτα, τὸ δυσκατεργαστότερον ἐπιλεξάμενος. ἐπεὶ μὴ δὲ εἶχεν ἀπὸ τῆς ἱστορίας ἐνδεδομένον τοιοῦτόν τι συμπλάσαι. Ὅρα δὲ καὶ οἷον οἱ κακοί. ἐν φόβοις ἀεὶ ὄντες, καὶ ἀνειδωλοποιούμενοι τὰ δεινά. Τὸ δὲ ἵεται αἰνῶς, σεμνότερον εἴρηται. ὡς ἶσον τῷ, ὁρμαίνει. δέον ὂν εἰπεῖν, χολοῦται ἢ μαίνεται ἤ τι τοιοῦτον. Ἐφύρην δέ φασι, τὴν ἐν Θεσπρωτίᾳ λέγει. οὐχ' ὡς ἔνιοι τὴν Κόρινθον. ἐκείνη γὰρ καὶ μετωνομάσθη φασὶ Κίχυρος. Εἰς δὲ τὸ πίειρα, ἔστιν εἰπεῖν ὡς καὶ ἡ ῥηθεῖσα Ἐφύρη πολλὰ μὲν φύει λυγρὰ, τὰ θυμοφθόρα δηλαδὴ φάρμακα, πολλὰ δὲ καὶ ἐσθλὰ, ἐξ ὧν δηλαδὴ ἔζων οἱ ἐκεῖ. Θυμοφθόρα δὲ, τὰ φθαρτικὰ λογισμοῦ κατὰ τοὺς παλαιοὺς καὶ ἀναιρετικά. (ῃερς. 334.) Τὸ δὲ ὀφέλλειεν ἀόριστος πρῶτος ἐστὶν εὐκτικὸς τοῦ ὤφελα. καθ' ὁμοιότητα τοῦ τύψειε ποιήσειε καὶ τῶν ὁμοίων. Πόνον δὲ, εἰρωνικῶς τὴν ἐνέργειαν λέγει, ἤτοι τὸ κατὰ τὴν μνηστείαν ἔργον. ὡς εἴ τις ἐν τρυφῇ ἀκκιζόμενος, μόχθον εἴπῃ τὸ τρυφᾶν, ᾧ χαίρειν μάλιστα οἶδεν ἀπόνως αὐτός. καὶ ἄλλως δὲ, ὁ πόνος οὗτος, τὸν πολὺν βίοτον ἐμφαίνει τοῦ Ὀδυσσέως. ὃν δάσασθαι, δύσεργον ἂν τοῖς ἐριστικοῖς μνηστῆρσι γένοιτο καὶ ὡς αὐτοί φασι, πόνος ηὐξημένος. Ἰστέον δὲ ὅτι καὶ τὸ ἀλεγύνεται δαῖτας, τοιούτου πόνου ἐστὶν ἐνδεικτικὸν, εἴπερ ἐκ τοῦ ἀλεγύνειν τὸ ἄλγος γίνεται, ὅπερ ἐστὶ πόνος. Τὸ δὲ δοῖμεν, ἀποβολῇ τοῦ ¯μ τὸ δοῖεν γεννᾷ. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα. (ῃερς. 337.) Ὅτι θάλαμος ἦν ὑψόροφος τῷ Ὀδυσσεῖ εὐρὺς, ὅθι νητὸς χρυσὸς καὶ χαλκὸς ἔκειτο. ἐσθής τ' ἐν χηλοῖσιν, ἅλις τ' εὐῶδες ἔλαιον. ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο ἔστασαν, ἄκρητον θεῖον ποτὸν ἐντὸς ἔχοντες. (ῃερς. 341.) Καὶ ὅρα ἔπαινον ἀγαθοῦ οἴνου. ἵσταντο δὲ ἑξείης ποτὶ τοῖχον ἀρηρότες, ἵνα τὸ μέσον τοῦ θαλάμου εἴη ἄλλως χρήσι 1.102 μον. ἐφυλάσσετο δὲ ὁ οἶνος εἴ ποτε φησὶν Ὀδυσσεὺς οἴκαδε νοστήσειε, καὶ ἄλγεα πολλὰ μογήσας. κληῗσταὶ δ' ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι. Δικλίδες. ἐν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ ἔσκεν. (ῃερς. 346.) ἣ πάντα φύλασσε νόου πολυιδρείῃσιν. ὃ δὴ περιφραστικὴ ἑρμηνεία ἐστὶ τοῦ κεδνή. καὶ κεδνὰ εἰδυῖα. καὶ πυκιμήδης. ἦν δὲ ἡ ταμία, Εὐρύκλεια. ἣν καὶ μαῖαν μετ' ὀλίγα προσφωνεῖ ὁ Τηλέμαχος. ἔνθα καὶ ἡδὺν οἶνον ἐρεῖ καὶ λαρόν. Καὶ ὅρα οἷά τε τὰ ἡρωϊκὰ ταμεῖα, καὶ ὡς οἰκονομικὴν μέθοδον ἐνταῦθα παραδίδωσιν ὁ ποιητὴς, διδάσκων χρῆναι τοὺς οἰκοδεσποτοῦντας, κειμήλια ἔχειν εἰς χρῆσιν τὴν ἐν καιρῷ. (ῃερς. 337.) Θάλαμον δὲ, τὸ ταμεῖον λέγει, ἐνδοτάτω πάντως ὂν καὶ αὐτό. καὶ διατοῦτο τὴν τοῦ θαλπεινοῦ κλῆσιν εἰληχός. ὑψορόφου μὲν ὄντος, διὰ τὸ ἴσως ὑπερῷον καὶ οὕτω ἀνεπιβούλευτον. εὐρέος δὲ, διὰ τὸν βασιλικὸν πλοῦτον πολὺν ὄντα. Πόθεν δὲ ὄροφος, ἐν τῇ Ἰλιάδι δηλοῦται. Ἰστέον δὲ ὅτι ἐντεῦθεν ὀροφίας ὁ ἐν ταῖς οἰκίαις μυοθήρας ὄφις. Νητὸς δὲ χρυσὸς, ὁ σεσωρευμένος εἰς πλῆθος, παρὰ τὸ νῶ νήσω. ἐξ οὗ καὶ τὸ ἐπενήνεον περὶ οὗ προδεδήλωται. ὁμώνυμον δὲ τῷ ῥηθέντι νῶ νήσω, καὶ τὸ παρ' Ἡσιόδῳ πρωτότυπον τοῦ νήθω. ὃ καὶ αὐτὸ, σώρευσίν τινα δηλοῖ τῶν νηθομένων σωμάτων. ὡς εἶναι καὶ ἐκεῖ τὰς κλωθομένας ἶνας, νητάς. (ῃερς. 339.) Χηλὸς δὲ, γίνεται μὲν ἀπὸ τοῦ χῶ χήσω τὸ χωρῶ, ἐξ οὗ καὶ ὁ χηραμός. ὃν οἱ τῆς Δωριέων γῆς ἄρτι, χηλαμὸν φασὶν ἰδιωτικῶς. λέγεται δὲ κατὰ τοὺς παλαιοὺς, καὶ ἀντίπηξ. καὶ κιβωτός. καὶ λάρναξ. καὶ σωρός. Εὐῶδες δὲ ἔλαιον, ἴσως μὲν καὶ τὸ ἐκ τῆς ἐλαίας. εἰκὸς δὲ καὶ ἐσκευάσθαι τιμιώτερον ὁποῖον καὶ τὸ παρὰ τοῖς παλαιοῖς ἴρινον ἢ σαμψύχινον ἢ εἴτι τοιοῦτον ἐλαιῶδες μῦρον. ὁποίοις ἐχρῶντο οἱ βασιλεῖς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ῃερς. 344.) Κληϊσταὶ δὲ σανίδες, αἱ θύραι. πρὸς διαστολὴν τῶν ἁπλῶς σανίδων. (ῃερς. 345.) Δικλίδες δὲ, διχόθεν κλειόμεναι. δίθυροι. περὶ ὧν ἐν τοῖς εἰς τὴν Ἰλιάδα εἴρηται ἀκριβῶς. (ῃερς. 340.) Οἶνον δὲ παλαιὸν Ὁμήρου εἰπόντος, οἱ ὕστερον ἀστείως μεταλαβόντες, γέροντα τὸν τοιοῦτον εἶπον. οἷον. γέρων Θάσιος οἶνος. ὅπερ ἡδύτερον ὁ κωμικὸς Ἄλεξις φράζων, φησίν. οἶνος καὶ μάλα πολύς γε. ὀδόντας οὐκ ἔχων. ἤδη σαπρός. γέρων δαιμονίως. τοιοῦτον δέ φασι παλαιὸν ἡδύποτον οἶνον τοῖς κωθωνιζομένοις δίδωσιν Ὅμηρος. εἰκὸς δὲ τὸν εἰρημένον γέροντα καὶ σαπρὸν οἶνον, καὶ σαπρίαν ἀρσενικῷ γένει λεχθῆναι. οὗ χρῆσις, ἐν τοῖς τοῦ Ἀθηναίου. παρ' ᾧ ἐπαινῶν τις οἶνον ὅν φησι καλέουσι σαπρίαν, ἐπάγει. οὗ καὶ ἀπὸ στόματος στάμνων ἀνοιγομένων, ὄζει ἴων, ὄζει δὲ ῥόδων, ὄζει δ' ὑακίνθου ὀσμὴ θεσπεσία. κατὰ πᾶν δ' ἔχει ὑψερεφὲς δῶ, ἀμβροσία καὶ νέκταρ. τὸν δὲ τοιοῦτον, ὑπονοητέον ἀνθοσμίαν εἶναι. οὗ τὸ σκευαστικὸν ἄρτυμα, παραδίδωσιν ὁ δειπνοσοφιστής. γνωστοῦ πάνυ τοῖς τότε ὄντος. ὃν διαλύσας Ἰωνικῷ τρόπῳ Ἀλκμὰν ὁ μελωποιὸς ἄνθεος ὄσδοντα ἔφη. ὡς δὲ καὶ παρέφρασέ τις τὸν παλαιὸν οἶνον ἐν τῷ, ἐὰν ᾖ πολλαῖς πρεσβεύων ἑτέρου οἴνου περικαλλέσιν ὥραις, ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται. ὡς δὲ ὁ παλαιὸς οἶνος, καὶ γεραὸς καὶ πολιὸς ἐκλήθη πρὸς τινῶν. καὶ ὅτι ὀμφακίας παραδέδοται οἶνος μετὰ πολλοὺς χρόνους ἀκμάζων. καὶ ὡς ἰταλικὸς οἶνός τις ἦν μέλας μὲν τὴν ἀρχὴν, μετὰ πολλὰ δὲ ἔτη λευκὸς γινόμενος, κοῦφος λίαν ἐκεῖνος καὶ τρυφερὸς, ὁ Ἀθήναιος ἱστορεῖ. λέγων, καὶ ὅτι ὁ παλαιὸς, οὐ πρὸς ἡδονὴν μόνον, ἀλλὰ καὶ πρὸς ὑγείαν προσφορώτερος. πέσσει τε γὰρ μᾶλλον τὰ σῖτα, καὶ λεπτομερὴς ὢν, εὐανάδοτός ἐστι. δύναμίν τε τοῖς σώμασιν ἐμποιεῖ. καὶ τὸ αἷμα ἐνέρευθες ποιεῖ καὶ εὐανάδοτον. καὶ τοὺς ὕπνους ἀταράχους παρέχει. ἐπιδέχεται δὲ καὶ πλείω κράσιν, διὰ τὸ μάλιστα θερμὸς γίνεσθαι παλαιούμενος. λέγει δὲ ὁ αὐτὸς, καὶ αἴθοπα τὸν μέλανα, ὡς δυναμικώτατον διὰ θερμότητα καὶ μένοντα ἐν ταῖς ἕξεσι τῶν πινόντων πλεῖστον χρόνον. ὁ γὰρ λευκὸς, ἀθενής φησι καὶ λεπτός. παρὰ Χίοις δέ φασι πρώτοις ἐγένετο μέλας οἶνος. οἳ πρῶτοι καὶ φυτεύειν καὶ θεραπεύειν ἀμπέλους μαθόντες παρὰ Οἰνοπίωνος υἱοῦ Διονυσίου τοῦ καὶ συνοικίσαντος τὴν νῆσον, τοῖς ἄλλοις ἀνθρώποις μετέδωκαν. κεῖται δὲ παρ' αὐτῷ καὶ Ἀλέξιδος τὸ, οὐδὲν ἔοικ' ἄνθρωπος οἴνῳ τὴν φύσιν. ὁ μὲν, γὰρ ἀπογηράσκων, ἀηδὴς γίνεται. οἶνον δὲ, τὸν παλαιότατον σπουδάζομεν ὅτι οὐ δάκνει ἀλλ' ἱλαροὺς ἡμᾶς ποιεῖ. (ῃερς. 345.) Ὅρα δὲ καὶ τὸ νύκτας τε καὶ ἦμαρ. ἑνικῶς γὰρ τὸ ἦμαρ, ἐπεὶ οὐκ ἀφῆκε τὸ μέτρον πληθυνθῆναι καὶ αὐτό. Παιδευτικὸν δὲ εἰς οἰκονομίαν καὶ τὸ, πολύϊδριν τὴν ταμίαν εἶναι ὅ ἐστι πολύπειρον. συνετήν. διὰ διφθόγγου δὲ ἡ πολυϊδρεία, ὡς καὶ ἡ ἀϊδρεία. ἀπὸ τοῦ ἴδρις ἴδρεως. ὡς καὶ ἡ ἐλεγχεία, διὰ τὸ, τά δ' ἐλέγχεα λέλειπται. (ῃερς. 349.) Ὅτι εἰς παρασκευὴν συμποσίου χρήσιμον τὸ, ἄγε δή μοι οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσ 1.103 σον ἡδύν. ἤγουν ἐκ πίθου ἀπάντλησον εἰς ἀμφιφορεῖς. (ῃερς. 350.) Ὅτι παιδεύων ὁ ποιητὴς ἄχρι καὶ τῶν σμικροτάτων τιμαλφεῖν τοὺς γονεῖς, ποιεῖ τὸν Τηλέμαχον ἐπιτάσσοντα τῇ μαίᾳ περὶ οἴνου ὅς φησι μετὰ τὸν λαρώτατος, ὃν σὺ φυλάσσεις, κεῖνον ὀϊομένη τὸν κάμμορον. τὸν πατέρα Ὀδυσσέα δηλαδή. τὴν δὲ μαῖαν ταύτην, προϊὼν Ὅμηρος, τροφὸν ἑρμηνεύσει ἐν τῷ, κώκυσεν δὲ φίλη τροφός. Ὅρα δ' ἐνταῦθα ὅτι ἢ ἐκτείνεται τὸ ¯ω τοῦ λαρώτατος κατὰ τὸν κανόνα τῶν διὰ τοῦ ¯ώ¯τ¯α¯τ¯ο¯ς ἵνα κατάρξῃ δακτύλου ποδὸς, καὶ πάντως ἔσται ἡ πρὸ τοῦ ¯ω συλλαβὴ, συνεσταλμένη, τουτέστι τὸ λ¯α, καὶ μεσολαβήσει ἐν ἡρώῳ στίχῳ τροχαῖος, καὶ οὕτω χωλεύσει τὸ ἔπος. ἢ ἐν ἐκτάσει μένει τὸ λ¯α, ὡς τοῦ λαρὸς ἐκτείνοντος τὸ δίχρονον, καὶ γίνεται κατὰ τὸν ῥηθέντα κανόνα συστολὴ τῆς ρ¯ο συλλαβῆς τοῦ λαρότατος, καὶ οὕτως εὑρεθήσονται συλλαβαὶ βραχεῖαι τρεῖς ἐφεξῆς, ἤγουν τρίβραχυς πούς. καὶ ἔστι μὲν οὐδὲ τοῦτο ἀγαθὸν ἐν μέτρῳ δακτυλικῷ. κρεῖττον δὲ ὅμως τοῦ προτέρου. ὡς τῆς ἐπικειμένης ὀξείας, δυναμένης τὸν βραχὺν χρόνον μηκῦναι τοῦ ¯ο. καθὰ καὶ ἐπὶ τοῦ, Τρῶες δ' ἐῤῥίγησαν ὅπως ἴδον αἰόλον ὄφιν. ὥστε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ λ¯α ἐκτεταμένου μένοντος, ἐκταθήσεται τὸ ρ¯ο συνήθως διὰ τῆς ὀξείας. ὡς καὶ ἐν τῷ, Τηλέμαχ' οὔτις σεῖο κακοξεινότερος ἄλλος. (ηερς. 351.) Τὸ δὲ, κεῖνον ὀϊομένη, ἀντὶ τοῦ ἐλπίζουσα. ὃ ταυτόν ἐστι τῷ, νομίζουσα ἐλθεῖν. (ηερς. 353.) Ὅτι ἐφοδίων συσκευῆς φραστικὸν τότε οἶνον ἀφύσσειν ὡς πρὸ βραχέων ἐγράφη, καὶ τὸ, τόσους ἔμπλησον ἀμφορεῖς, καὶ πώμασιν ἄρσον ἅπαντας. ὅπερ ἐστὶ περίφρασις τοῦ πωμάζειν. καθ' ὁμοιότητα λεχθὲν τοῦ, ἄγγεσιν ἄρσον ἅπαντα. ἐν δέ μοι ἄλφιτα χεῦον ἐϋῤῥαφέεσσι δοροῖσι. περὶ ὧν πρὸ ὀλίγων ἐγράφη. τόσα δ' ἔστω μέτρα μυληφάτου ἀλφίτου ἀκτῆς. περὶ οὗ καὶ αὐτοῦ εἴρηται οὐ πρὸ πολλῶν. Τηλεμάχου δὲ καὶ ταῦτα. ὃς τοὺς μὲν ἀμφιφορεῖς τοῦ οἴνου, εἰς δώδεκα μετρεῖ. τὰ δὲ μέτρα τοῦ ἀλφίτου, εἰς εἴκοσιν. (ηερς. 356. σθθ.) Ἀσφαλιζόμενος δὲ αὐτὸς καὶ ἐπισπεύδων τὴν γραῖαν μαῖαν, ἐπάγει. αὐτὴ δ' οἴη ἴσθι. τάδ' ἀθρόα πάντα τετύχθω. ἑσπέριος γὰρ ἐγὼν αἱρήσομαι. ὅτε δηλαδὴ τὴν μητέρα λήσεται κοίτου μεδομένην ἐν ὑπερῴοις. ὅ ἐστιν, ἐπὶ ὕπνῳ κοιταζομένην. προϊὼν δὲ, καὶ ὅρκον τῆς γραὸς λαμβάνει μὴ τάδε μυθήσασθαι τῇ μητρὶ πρίν γ' ὅτ' ἂν ἐνδεκάτη τε δυωδεκάτη τε γένηται. ἢ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι. τότε γὰρ, οὐ ψευστέον τῇ δεσποίνῃ. διὰ τί δὲ ταῦτα; ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃ. Καὶ ἡ γραῦς ἡ καὶ ὀλοφυραμένη καὶ κωκύσασα ἐπὶ τῇ ἀποδημίᾳ τοῦ τροφίμου δεσπότου, πείθεται. καὶ θεοῦ μέγαν ὅρκον ἀπόμνυσιν ὡς ἀπῃτήθη. βιωτικὰ δὲ καὶ ταῦτα τοῦ ποιητοῦ καὶ κοινωνίας ἀνθρώπων συστατικά. (ηερς. 354.) Ὅρα δὲ τὸ ἄλφιτα χεῦον, ὡς καὶ κατωτέρω πάλιν ἄλφιτα χεῦε, καθ' ὁμοιότητα ῥηθὲν τοῦ, τύμβον χεῦε, καὶ τῶν τοιούτων. ἐπεὶ καὶ χοῶδες οἷον τὸ ἄλφιτον, καὶ διατοῦτο χυτὸν καὶ αὐτὸ, καθὰ καὶ ἡ χυτὴ γῆ. Τὸ δὲ δοροῖσιν οἵου γένους ἐστὶν, οὐ πάνυ δῆλον. ἔστι δὲ πάντως ταυτὸν, δοροῖς εἰπεῖν ποιητικῶς. ἔτι δὲ καὶ κωρύκοις. καὶ κοινότερον, θυλάκοις. ὧν χρῆσις πολλὴ κατά τε τὸ ἁπλοῦν, καὶ κατὰ τὸ ὑποκοριστικὸν δὲ, οὐδὲν ἧττον. οἷον. πτίσσε πτίσσε τὸν Ἀναξάρχου θύλακον. καὶ πάλιν. φιλοσοφίας ὄφελος τὸ, μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι τοῦ θυλακίου τῶν κρευλλίων, ἤγουν τοῦ σώματος. οὕτω δὲ πάντως νοεῖται καὶ ὁ τοῦ Ἀναξάρχου θύλακος. (ηερς. 355.) Μέτρα δὲ ἀλφίτου λέγεσθαι, καινὸν οὐδὲν, εἴγε καὶ οἴνου μέτρα φασὶν οἱ πολλοί. καθ' ὁμοιότητα τοῦ, εἴκοσι μέτρα ὕδατος. ὅπερ ἐν τοῖς περὶ Κύκλωπος κεῖται. ὥστε τὸ μέτρον, ἐπί τε ξηρῶν ἐπί τε ὑγρῶν λέγεται. Ἀκτὴ δὲ ἀλφίτου, ἡ δωρεὰ κατὰ τοὺς παλαιοὺς, παρὰ τὸ προάγεσθαι ἢ προσάγεσθαι. ἢ τὸ κλάσμα, παρὰ τὸ ἄγω τὸ κλῶ. οὗ ἔμφασιν ἔχει οὐ μόνον τὸ ἄλφιτον ὡς προεδηλώθη, ἀλλὰ καὶ τὸ μυλήφατον. ὃ δηλαδὴ κλᾶται ὑπὸ μύλης. ἔστι γὰρ ἡ τοῦ μυληφάτου παραγωγὴ, ὁμοία τῇ τοῦ προσφάτου νεκροῦ καὶ ἀρηϊφάτου καὶ τῶν τοιούτων. εἴρηται δὲ περὶ τούτου κρεῖττον ἐν τοῖς εἰς τὴν Ἰλιάδα. ἐν ᾗ καὶ Δήμητρος ἀκτὴ ἐῤῥέθη που μετωνυμικῶς. ὡς γὰρ μετωνυμία ἦν, εἰπεῖν ἀντὶ πυρὸς Ἥφαιστον τὸν ἐπιστατοῦντα τῷ πυρὶ, οὕτω μετωνυμικόν ἐστι καὶ τὸ ἀντὶ ἀλφίτου ἀκτῆς, εἰπεῖν ἀκτὴν Δήμητρος ἣ τῶν ἀλφίτων αἰτία ἐστί. κατὰ τοιοῦτον τρόπον, καὶ τὸν ἄρτον Ὀππιανὸς Δήμητραν λέγει ἐν τῷ, τυρὸν ὁμοῦ Δήμητρι μεμιγμένον. Ἰστέον δὲ ὅτι τὸ, ἀλφίτου ἀκτῆς, θηλυκοῦ οἶδε γένους τὴν ἀκτήν. ὅθεν οὐδὲ εὐοδοῦται ὁ ἐν Ἡσιόδῳ τὸ Δήμητρος ἀκτὴν, κατὰ γένος νοήσας ἀρσενικόν. (ηερς. 357.) Τὸ δὲ ἑσπέριος αἱρήσομαι, ἀντὶ τοῦ λήψομαι, εἰ καὶ ἄλλως τὴν λέξιν οἱ μεθ' Ὅμηρον ἐπὶ βουλήσεως τίθενται. (ηερς. 375.) Τὸ δὲ ποθέσαι ἀντὶ τοῦ ποθῆσαι, δοκεῖ μὲν ποιητικὸν, ἔστι 1.104 δὲ ἀληθῶς Ἀττικόν. εἴγε καὶ Πλάτων ἐν τῷ περὶ ψυχῆς, φησὶ, παρεσκευασάμην ὡς οὐκέτι ποθέσων 1.104 ἄλλο εἶδος αἰτίας. λέγεται τοίνυν ἑκατέρως, καὶ ποθῆσαι καὶ ποθέσαι. ἀφ' οὗ καὶ ἀπόθεστος κύων ἐν τοῖς ἑξῆς, ὁ ἠμελημένος καὶ ἀπόθητος. Ἐνταῦθα δὲ καὶ σχήματός ἐστι καινότης. ἦν γὰρ εἰπεῖν τὸν ποιητὴν οὕτω. πρίν γ' ὅτ' ἂν τοσήδε ἡμέρα γένηται ἢ αὐτὴ ποθέσῃ καὶ ἀφορμηθέντος ἀκούσῃ. ὁ δὲ ἀσυνήθως ἐσχημάτισε διὰ τὴν τοῦ πρὶν ἐπιῤῥήματος δύναμιν. ὅπερ μετὰ μὲν τοῦ ὅτ' ἂν ὁριστικῷ συντάσσεται ῥήματι. οἷον. πρὶν ὅτ' ἂν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τόδε γένηται. αὐτὸ δὲ καθ' αὐτὸ, ἀπαρεμφάτου ζητεῖ σύνταξιν. οἷον. πρὶν τόδε γένεσθαι. (ῃερς. 376.) Ἐν δὲ τῷ, χρόα καλὸν, τὴν ὅλην διαρτίαν δηλοῖ τοῦ σώματος. οὗ πάσχοντος ἐντὸς, ἰάπτεται καὶ ὁ καλὸς χροῦς, ἤγουν τὸ ἐπιφαινόμενον τοῦ σώματος. ὃ καὶ χρὼς λέγεται. ἀπὸ δὲ τοῦ χροῦς, καὶ ἡ ἐν χρῷ κουρὰ, ἡ ψιλὴ κατὰ Αἴλιον Διονύσιον καὶ πρὸς τὸν χρῶτα. καὶ ἐν χρῷ δὲ κουρίας, ὁ οὕτω κειρόμενος. καὶ πλοῦς ἐν χρῷ, ὁ γῆς ἐγγύς. Θουκυδίδης. ἐν χρῷ παραπλεῦσαι τὰς ναῦς. ἀπ' αὐτοῦ δὲ, καὶ τὸ χρίμπτω. καὶ τὸ χρίω. ἔτι δὲ καὶ τὸ ἐγχρίω τουτέστι παίω. ὅθεν ἐνχρίσαι κατὰ τὸ αὐτὸν Διονύσιον, τὸν παῖσαι κέντρῳ σκορπίον ἢ σφῆκα ἤ τι τοιοῦτον. Ὅρα δὲ ὡς ἐνταῦθα φανερῶς ἰάπτειν, τὸ διαφθείρειν καὶ βλάπτειν λέγεται, οὐ μὴν ὡς ἀλλαχοῦ δοκεῖ τισι, τὸ προπέμπειν. (ῃερς. 377.) Ἐν δὲ τῷ, μέγαν ὅρκον, σεμνότης τοῦ ὅρκου τὸ μέγαν διὰ τὸ θεῖον ὅ τις ἐπόμνυται. ὡς μὴ δέον ὂν τὸν μέγαν ὅρκον τῷ ψεύδει καταῤῥιπτεῖν. Ἀπομνύναι δὲ, διαφέρει τοῦ ἐπομνύναι κατὰ τοὺς παλαιούς. καθότι ἐπόμνυσθαι μέν ἐστι, τὸ καταφατικῶς ὀμνύειν. οἷον. μὰ τὸν, ἢ μὰ τὰς, ποιήσω τό δέ τι. ἀπόμνυσθαι δὲ, τὸ ἐν ὅρκῳ ἀποφάσκειν. οἷον. μὰ τοὺς, ἢ μὰ τάδε, οὐ ποιήσω οὕτως. καθὰ καὶ ἐνταῦθα ὀμνύει ἀπωμοτικῶς ἡ Εὐρύκλεια ὡς οὐ μυθήσεται τῇ δεσποίνῃ τὰ κατὰ τὸν υἱὸν πρὶν ἂν τόσαι ἡμέραι διέλθειεν ἢ αὐτὴ ζητήσῃ. Σημείωσαι δὲ ὅτι ὥσπερ διαφέρει τὸ ἐπομνύναι καὶ ἀπομνύναι, οὕτω διαφέρει κατὰ Αἴλιον Διονύσιον, καὶ τὰ ὁρκωματικὰ ἐπιῤῥήματα. τὸ μὲν γὰρ νὴ τὸν, καὶ ναὶ μὰ τὸν, κατωμοτικά φασιν. ἐξ Ὁμήρου οἶμαι λαβὼν τὸ ναὶ μὰ τὸν, εἰπόντος, ναὶ μὰ τόδε σκῆπτρον. ἀπωμοτικὰ δὲ τὸ, μὰ τόν, καὶ οὐ μὰ τόν. Ἔτι σημείωσαι καὶ ὅτι γραῦς κοινῶς μὲν, ἡ παλαιὰ γυνὴ καὶ πολιὰ τῷ χρόνῳ. ἄλλως δὲ καθ' ὁμωνυμίαν, γραῦς καὶ τὸ ἐπαφρίζον ἐν ταῖς χύτραις καθὰ δηλοῖ καὶ ὁ κωμικός. καὶ ἡ ἐπὶ τοῦ ζωμοῦ. αὕτη δὲ, καὶ ἐπίπαγος κατὰ Παυσανίαν καλεῖται. (ῃερς. 363.) Ὅτι ὁ ἀποδημήσων ἀποδημίαν οὐκ ἀγαθὴν, ἀκούσῃ ἂν πρὸς τοῦ φιλοῦντος τοιαῦτα. τίπτε δέ τοι φίλε τέκνον ἐνὶ φρεσὶ τοῦτο νόημα ἔπλετο. πῇ δ' ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν. ἀλλὰ μέν' αὖθ' ἐπὶ σοῖσι καθήμενος. οὐ δέ τι σε χρὴ κακὰ πάσχειν, οὐ δ' ἀλάλησθαι. (ῃερς. 364.) Εἰ δὲ καὶ υἱὸς ὁ ἀποδημῶν, ἁρμόσει εἰπεῖν, πῇ δ' ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν, μοῦνος ἐὼν ἀγαπητός. (ῃερς. 372.) Ὁ δὲ ταῦτα ἀκούσας, εἴποι ἂν ἴσως τὸ θάρσει, ἐπεὶ οὔτι ἄνευ θεοῦ ἥ δέ γε βουλή. (ῃερς. 367.) Ἐν τούτοις δὲ κεῖται καί τις πρὸς Τηλέμαχον προαναφώνησις. εἰπούσης
τῆς μαίας Εὐρυκλείας, ὡς οἱ μνηστῆρες αὐτίκα ἰόντι αὐτῷ κακὰ φράσονται ὀπίσω. ὃ καὶ γέγονεν. Ἐν οἷς σημείωσαι καὶ ὅτι τὸ αὐτὸ νόημα πρὸς μὲν τοῦ Ἀντινόου ῥηθὲν, δυσμενῶς ἐλέχθη. παρὰ δὲ τῆς μαίας, οὐχ' οὕτως. τὸ γὰρ μένειν τὸν Τηλέμαχον αὐτόθι ἐπὶ τοῖς αὐτοῦ καθήμενον καὶ μὴ χρῆναι πλέειν, ὑπελάλησε πρὸ βραχέων καὶ ὁ κακόνους Ἀντίνοος. οὐ κατὰ διάθεσιν μέντοι τὴν τῆς τροφοῦ Εὐρυκλείας. (ῃερς. 363.) Ὅρα δὲ καὶ τὸ, φίλε τέκνον, Ἀττικῶς νῦν ῥηθὲν καθά που ῥηθήσεταικαὶ ἐν τοῖς ἑξῆς. ὡς ἐὰν εἶπε, φίλε υἱέ. ἢ φίλε Τηλέμαχε. τὸ δὲ εἰπεῖν φίλον τέκνον, εἰ καὶ σύνηθες, ἀλλ' ἰδιωτικόν. Ἐν τούτῳ δὲ τῷ τόπῳ, πυκνὰ καὶ γοργὰ ἡ τροφὸς Εὐρύκλεια προβάλλεται νοήματα πρὸς Τηλέμαχον λέγουσα. πῇ θέλεις ἰέναι. καὶ ταῦτα, πολλὴν ἐπὶ γῆν. (ῃερς. 365.) Καὶ μόνος ὢν τῇ μητρὶ, ὡς ἐν σοὶ πᾶσαν εἶναι τὴν τοῦ οἴκου διαδοχήν. καὶ ἔτι, ἀγαπητὸς αὐτῇ. ἤδη δὲ καὶ τῇ τροφῷ καὶ τοῖς λοιποῖς. διατοῦτο γὰρ ἀορίστως ἔφη τὸ ἀγαπητός. καὶ μὴν ὁ πατὴρ ὤλετό που ἀλλογνώτῳ ἐνὶ δήμῳ, τουτέστι μακράν. ἀλλὰ καὶ οἱ μνηστῆρες ὡς καὶ προεγράφη, αὐτίκα ἰόντι κακὰ φράσονται. (ῃερς. 367.) Τὰ δὲ δ' αὐτοὶ πάντα δάσονται. εἰ δὲ ἡ τροφὸς οὕτω λέγει κωκύουσα σὺν ὀλοφυρμῷ, τί οὐκ ἂν ἡ μήτηρ ἔδρασε τὸν τοῦ παιδὸς ἀπόπλουν μαθοῦσα. προμηθέστατα οὖν Τηλέμαχος λαθὼν ἐκείνην ἀπέπλευσε. (ῃερς. 366.) Δῆμος δὲ ἀλλόγνωτος, ἢ ὁ πολέμιος, ἢ ὁ ἄλλα γινώσκων ἤπερ ἡμεῖς, ἢ ὁ ἄλλοις καὶ οὐχ' ἡμῖν γινωσκόμενος. ἐκ τοῦ γνωτὸς δὲ σύγκειται ὁ ἀλλόγνωτος. ὃν γνωστόν φασιν οἱ ὕστερον. δοκεῖ δὲ ἀλλόγνωτος μᾶλλον εἶναι, ὁ ἄλλοις γνωτὸς, ἤγουν κατὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γένος 1.105 οἰκεῖος. παρὰ τοὺς γνωτοὺς ἤτοι ἀδελφούς. ἄλλως γὰρ, οὐκ ἐκώλυε τὸν ποιητὴν εἰπεῖν ἀλλογνώστῳ ἑνὶ δήμῳ. καθ' ὁμοιότητα τοῦ, ἄγνωστον πάντεσσιν ὡς πρὸ ὀλίγου ἔφη. ὅτι δὲ ὅμως καὶ γνωτὸν λέγεται τὸ γνωστὸν, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ, γνωτὰ κ' οὐκ ἄγνωτά μοι προσήλθεθ' ἱμείροντες. (ῃερς. 370.) Τὸ δὲ ἀλάλησθαι, προπαροξύνουσιν οἱ παλαιοί. καὶ ἔστιν ἴσως, ἄλασθαι ὡς ἄγασθαι ἔρασθαι. ἀπὸ τοῦ ἄλαμαι καὶ ἄγαμαι ἤτοι θαυμάζω, καὶ ἔραμαι ἤγουν ἐπιθυμῶ. καὶ ἐξ αὐτοῦ κατὰ τροπὴν καὶ πλεονασμὸν τῆς ¯α¯λ συλλαβῆς, ἀλάλησθαι, (ῃερς. 378.) Ὅτι ἐν τῷ, ἐπεὶ ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον, ὀμόσαι μέν ἐστι, τὸ εἰπεῖν τι θεῖον ὄνομα, οἷον. νὴ τοὺς λόγους. ἢ μὰ τὴν σὴν ἱερὰν κεφαλήν. ἢ ἄλλο τι. τελεύτησε δὲ ὅρκον, τὸ πληρῶσαι καὶ ἀποδοῦναι τὸν ἔνορκον λόγον ἢ ἐπωμοτικῶς ὡς προείρηται, οἷον ποιήσω τόδε, ἢ ἀπωμοτικῶς, οὐ ποιήσω. (ῃερς. 383.) Ὅτι τὸ τὴν Ἀθηνᾶν Τηλεμάχῳ εἰκυῖαν κατὰ πτόλιν οἴχεσθαι πάντῃ, καὶ ἑκάστῳ φωτὶ παρισταμένην φάσθαι μῦθον καὶ οὕτως ἀγείρειν τοὺς ἐκείνῳ συμπλεύσαντας, τοιοῦτόν τι αἰνίττεται, ὡς ἕκαστος τῶν Ἰθακησίων τὴν τοῦ νέου δημηγορίαν ἐπὶ νοῦν φέρων, καὶ τὸν τοῦ βασιλέως ἀνειδωλοποιούμενος παῖδα οἷον παρ' αὐτοῖς ἱστάμενον, καὶ κρίνων δίκαια ἐκεῖνον εἰπεῖν καὶ αἰτήσασθαι, ἀμῦναι μὲν οὐ θαῤῥοῦσι διὰ τὸ κινδυνῶδες τοῦ ἔργου, ποιοῦσι δὲ τὸ εὐμαρέστερον. καὶ δέον λογίζονται, νῆα δὲ δοῦναι καὶ αὐτῶν τινὰς εἰς ἐρέτας προσεπιδοῦναι. καὶ μᾶλλον, οἱ θερμότεροι καὶ προσήκοντες τῷ Τηλεμάχῳ χαρίζεσθαι ὡς ὁμήλικι. ἧλιξ γάρ φασιν ἥλικα τέρπει. διὸ καὶ ἐθελοντῆρες συνάγονται ἐσθλοὶ ἑταῖροι ἀθρόοι, θεᾶς ὀτρυνούσης ἕκαστον. Ἀθηνᾶς δηλαδὴ τῆς ἐν ἑκάστῳ φρονήσεως. καὶ ὡς ἐν τῇ γάμμα ῥαψῳδίᾳ ἐρεῖ, φιλότητι νεώτεροι ἄνδρες ἕπονται. πάντες ὁμηλικίῃ Τηλεμάχοιο φρονήσαντες τὸ δέον ὡς εἰκός. (ῃερς. 386.) Πάνυ δὲ ἀστείως καὶ ὁ τὴν νῆα δοὺς, Νοήμων κατὰ κυριωνυμίαν καλεῖται, καὶ Φρονίου υἱός. πάντως γὰρ ἂν ἐκεῖνος δέδωκε νῆα, ὁ μὴ κατὰ τοὺς μνηστῆρας ἀφραδὴς καὶ ἀνοήμων ἐπὶ τοῖς μέλλουσιν, ἀλλὰ νενοηκὼς καὶ πεφρονηκὼς δίκαιον τὸ αἰτηθέν. ὃν Νοήμονα, καὶ φαίδιμον λέγει, καθὰ καὶ τοὺς ἐέρτας τοῦ Τηλεμάχου, ἐσθλοὺς ἑταίρους. σεμνύνων, οἷς φιλεῖ αὐτοὺς τῆς εὐηκοΐας. λέγει δὲ, καὶ ὡς αἰτηθεὶς νῆα ὁ Νοήμων, πρόφρων ὑπέδεκτο, ἤγουν ἐθελοντὴς ὑπεδέξατο καὶ ὑπέσχετο. διὸ καὶ νὺξ τῷ ἔργῳ ἐπιλέγεται. καὶ τὴν νῆα ἐκεῖνος ἅλαδε ἐρύσας, πάντα ἐν αὐτῇ ὅπλα ἐτίθει. (ῃερς. 391.) Ἔστησε δ' ἐπ' ἐσχατιῇ λιμένος. φρονήσεως καὶ ταῦτα. καθὰ καὶ τὸ τοὺς ῥηθέντας ἑταίρους πρὸς τῷ αἰγιαλῷ κατελθόντας, μένειν. καὶ καθῆσθαι ἐπηρέτμους, τὴν τοῦ Τηλεμάχου ποτιδεγμένους ὁρμήν. (ῃερς. 390.) Καὶ ὅρα ὅτι ὅπλα κἀνταῦθα λέγει, τὴν σκευὴν τῆς νεώς. διὸ καὶ ἵνα μή τις αὐτὰ νοήσῃ στρατιωτικά, ἐπάγει. τά τε νῆες ἐΰσελμοι φορέουσι. Καὶ προϊὼν δὲ φησὶν ὅτι, Τηλέμαχος ἐκέλευσεν ὅπλων ἅπτεσθαι. τοί δ' ὀτρύνοντος ἄκουσαν. ἱστόν δ' ἔστησαν καὶ τὰ ἑξῆς, ἃ δὴ ὅπλα νηός. ὡς δηλοῖ καὶ τὸ ἐπαγόμενον. δησάμενοι δ' ἄρα ὅπλα. Ἐΰσελμος δὲ ναῦς, παρὰ τὸ σέλμα, ὃ δηλοῖ ζυγὰ νηῶν καὶ ζυλίνων κλιμάκων βαθμοὺς κατὰ τοὺς παλαιούς. (ῃερς. 391.) Σημείωσαι δὲ καὶ τὸ, ἐσχατιῇ λιμένος, διὰ τοὺς λέγοντας ἐσχατιὰν εἶναι, χωρίου ἔσχατα ᾧ γειτνιᾷ φασι τόπος ἔρημος. ἰδοὺ γὰρ ἐνταῦθα, τοιοῦτον οὐκ ἔστιν. ἀλλ' ἁπλῶς ἐσχατιὰ, τὸ τοῦ λιμένος ἄκρον μεθ' ὃ ἡ θάλασσα. (ῃερς. 403.) Ἐπήρετμοι δὲ, οἱ ἕτοιμοι ἐρέσσειν καὶ ἐπ' αὐτοῖς ὄντες ἐρετμοῖς. καὶ Ἀττικῶς εἰπεῖν, ἐπίκωποι. Σημείωσαι δὲ ὅτι εἰπὼν Ὅμηρος ὡς ἡ Ἀθηνᾶ ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον, οὐ πλάττει καὶ τί ἂν ἑκάστῳ εἶπεν ἐκείνη, ἀπαξιώσας λαλεῖν τὰ μὴ καίρια. καὶ ἀρκεσθεὶς τοῖς δημηγορηθεῖσι κοινῶς ὑπὸ τοῦ φίλου τῇ Ἀθηνᾷ Μέντορος. μόνην δὲ τὴν τοῦ μύθου ἀξίωσιν λέγει, ἤγουν τοῦ κατὰ τὴν Ἀθηνᾶν πρὸς ἕκαστον λόγου. τὸ, ἑσπερίους ἐπὶ νῆα θοὴν ἀγέρεσθαι. (ῃερς. 385.) Ὅτι ἐπὶ ἑσπερινῆς ἐγχειρήσεως λεχθήσεται τὸ, ἑσπερίους ἀγέρεσθαι ἀνώγει. δύσσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί. καὶ τότε ἐγίνετο τό δέ τι. Καὶ ὅρα ὅτι φιλοσόφως τὴν νύκτα σκιὰν εἶπε, γῆς δηλαδή. γινομένην, ὅτε ἥλιος ὑπὸ γῆν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γένηται. (ῃερς. 395.) Ὅτι ἄλλο νοήσασα ἡ Ἀθηνᾶ, μνηστήρεσιν ἐπὶ γλυκὺν ὕπνον ἔχευε. πλάζε δὲ πίνοντας. χειρῶν δ' ἔκβαλλε κύπελλα. Οἵ δ' εὕδειν ὥρνυντο κατὰ πτόλιν. οὐκέτι ἐπὶ πλεῖον καθῆσθαι ἔχοντες, ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν. μέθης δὲ ἔργον διασκευάζει ὁ ποιητὴς ἐν τούτοις ἣν ἡ Ἀθηνᾶ τεχνᾶται. ἴσως γὰρ, ἐπίτηδες λόγῳ φρονήσεως ἐνεδαψιλεύετο οἶνος τῷ πότῳ ὑπὲρ τὸ σύνηθες ὡς ἂν οἱ μνηστῆρες μεθύσκωνται πίνοντες. ὡς εἰ μὴ τοῦτο ἦν, τάχα ἂν καὶ διενυκτέρευσαν ἐν τῷ πότῳ. ἵνα καὶ ἑωλοκρασίαν ἔθεντο. ἣν κατεσκεδάννυσαν 1.106 φασὶ τῶν κατακοιμηθέντων οἱ διαπαννυχίσαντες ἐν τῷ πίνειν, χθιζὴν κράσιν οὖσαν, ἤτοι λείψανον τοῦ χθὲς κρατῆρος. ὁ τῇ ὑστεραίᾳ τῶν μὴ κρατερῶν τοῦ πίνειν κατεχέετο. Τὸ δὲ ἔχευε, τὸ ὑγρὸν τοῦ ὕπνου κἀνταῦθα δηλοῖ. (ῃερς. 396.) Τὸ δὲ πλάζειν, ἐλλειπτικῶς κεῖται, ἀντὶ τοῦ, παρεπλάνα τοῦ ἐγρηγορέναι ἢ τοῦ φρονεῖν ἢ τῆς κατὰ φύσιν ἐνεργείας. ὡς δηλοῖ τὸ, χειρῶν δ' ἔκβαλλε κύπελλα. δῆλον γὰρ ὡς ἀπεπλανᾶτο τοῦ συμποτικοῦ σκοποῦ ἡ τὸ κύπελλον ἀποβάλλουσα χείρ. Τὸ δὲ ἔπιπτε, βάρος ὕπνου δηλοῖ, ταχὺ τὰ βλέφαρα κλείοντος. (ῃερς. 398.) Ἰστέον δὲ ὅτι οὐκ ὀκνήσας ταυτολογῆσαι ὁ ποιητὴς, δὶς ἐνταῦθα εἶπε τὸ, ἥ δ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη. πολλαχοῦ δὲ ἐπαινετὸν ἡ καίριος ταυτολογία. Τὸ δὲ ἄλλο νοεῖν ποριμότητα νοημάτων δηλοῖ. Ὅτι δὲ ἀπὸ τοῦ γλαυκῶπις, γλαυκώπιον ἡ Ἀττικὴ ἐλέχθη ἀκρόπολις ἢ καὶ ἡ ἁπλῶς, δηλοῦσιν οἱ παλαιοί. παρ' οἷς καὶ ἡ γλαῦξ περισπᾶται. οἳ καὶ ὀξύνεσθαι μὲν λέγουσι τὸ γλαὺξ, πλὴν Δωρικῶς. ἐνταῦθα δὲ παρασημαντέον εὐκρινείας χάριν, ὡς τὸ λεγόμενον γλαυκίον, οὐκ αὐτόχρημα γλαύξ ἐστιν, ἀλλ' ἑτεροῖον. νησσοειδὲς γάρ φησιν ἐκεῖνο. νήσσης μικρότερον. καλούμενον ἀπὸ τῆς τῶν ὀμμάτων γλαυκότητος. (ῃερς. 404.) Ὅτι ἐπισπευστικὸν εἰς ὁδὸν τὸ, ἀλλ' ἴομεν μὴ δηθὰ διατρίβωμεν ὁδοῖο. εὐσεβῆ δὲ ἄνθρωπον σεμνυνεῖ τὸ, ὅ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο. (ῃερς. 410.) Ὅτι δημαγωγικῶς ὁ Τηλέμαχος φίλους τοὺς συμπλόους Ἰθακησίους καλεῖ, κολακεύων εὐκαίρως ἐν τῷ, δεῦτε φίλοι ἤϊα φερώμεθα. καὶ ὁ μὲν, ἐπιτάσσει. οἱ δὲ, πάντα φέροντες κατατιθέασιν ἐπὶ νηῒ ὡς αὐτὸς ἐκέλευσεν. εἶεν δ' ἂν οἱ τοιοῦτοι, οὐχ' ἁπλῶς φίλοι, ἀλλὰ καὶ συνθέτως, ἑταῖροι φίλοι. ὧν τὸ μὲν, Ὅμηρος αὐτοὺς ἐκάλεσεν ἐν τῷ, ἐσθλοὶ ἑταῖροι. (ῃερς. 409.) Τὸ δὲ, νῦν ὁ Τηλέμαχος. ὃν περιφράζων, φησίν. ἱερὴ ἲς Τηλεμάχοιο. σεμνότερον τοῦτο εἰπὼν ἤπερ τὸ, βίη Ἡρακλῆος, ἀντὶ τοῦ Ἡρακλῆς. Ὅρα δὲ καὶ τὸ φέρειν, ἐνταῦθα κυριολεκτούμενον. ἐξ οὗ καὶ τὸ φορεῖον. καὶ ὁ φόρτος. καὶ τὸ φοράδην ἐπίῤῥημα. καὶ φορμὸς ὁ κόφινος. καὶ φορμίσκος κατὰ Παυσανίαν, λεπτόν τι ἀγγεῖον. ἕτεροι δέ φασιν οὕτω. ἐκ τοῦ φέρω, φορμὸς ἤγουν πλέγμα. σπυρίς. ἐν ᾧ καὶ σῦκα ἔφερον. ἐκεῖθεν δέ φασι καὶ φορητὸς, φρύγανα. χόρτος. κοπρία. (ῃερς. 416.) Ὅτι ἐν τῷ, ἂν δ' ἄρα Τηλέμαχος νηὸς βαῖνε, γενικῇ συντέτακται τὸ ἀναβαίνειν δι' ἔλλειψιν προθέσεως. τὸ δὲ πλῆρες καὶ ὀρθὸν, ἀνέβαινεν ἐπὶ νηός. καὶ ἄλλως δὲ τὸ ῥηθὲν, ἀντὶ τοῦ ἄνω τῆς νηὸς ἔβαινεν εἴρηται. Λέγει δὲ καὶ ἐνταῦθα ὡς καὶ ἀλλαχοῦ ἐν πολλοῖς, ἄρχειν τὸ προηγεῖσθαι ὁδοῦ ἢ ἔργου. ὃ πρὸ βραχέων, ἡγήσατο Παλλὰς Ἀθήνη ἔφη. (ῃερς. 418.) Ὅτι πρυμνήσια, τὰ πρὸς τῇ γῇ δεσμοῦντα σχοινία τὴν ναῦν. ἃ καὶ πείσματα λέγονται, ὡς τῆς νηὸς πειθομένης αὐτοῖς. (ῃερς. 4.) Ὅτι τὸν ἐξ Ἰθάκης πλοῦν τοῦ Τηλεμάχου διασκευάζων Ὅμηρος, φησίν. τοὶ δὲ πρυμνήσι' ἔλυσαν. ἂν δὲ καὶ αὐτοὶ βάντες, ἐπὶ κληῖσι κάθιζον. τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη, τουτέστιν ἡ κατὰ τοὺς ναυτίλους ἐμπειρία καὶ φρόνησις. οἳ στοχασάμενοι καιροῦ ἔπλευσαν. ἴκμενον οὖρον ἵει, ἀκραῆ ζέφυρον, κελάδοντ' ἐπὶ οἴνοπα πόντον. Τηλεμάχου δὲ κελεύσαντος ὅπλων ἅπτεσθαι, αὐτοὶ ὀτρύνοντος ἄκουσαν. ἱστόν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν. ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσιν. ἔπρησεν δ' ἄνεμος μέσον ἱστίον. ἀμφὶ δὲ κῦμα στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης. ἥ δ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον. δησάμενοι δ' ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στήσαντο κρητῆρας ἐπιστεφέας οἴνοιο. λεῖβον δ' ἀθανάτοισι θεοῖς αἰειγενέτῃσιν. (ηερς. 433.) Ἐκ πάντων δὲ μάλιστα Διὸς γλαυκώπιδι κούρῃ. ἤγουν τῇ Ἀθηνᾷ. Ἔνθα ὅρα τὴν διπλὴν αὔξησιν. ἐπίτασιν γὰρ δηλοῖ καὶ ἡ ¯εκ πρόθεσις, καθὰ καὶ τὸ μάλιστα. εἶτα συμπληρῶν, λέγει. (ηερς. 434.) Παννυχίη μέν ῥ' ἤγε, καὶ ἠῶ πεῖρε κέλευθον. Κληῖδες μὲν οὖν τίνες εἰσὶν, ἡ Ἰλιὰς ἐδήλωσεν. (ηερς. 4.) Ἴκμενον δὲ καὶ νῦν οὖρον, ἢ τὸν ὑγρὸν λέγει παρὰ τὴν ἰκμάδα ὃ καὶ ἀρέσκει τοῖς παλαιοῖς ἐπεί περ ἀλλαχοῦ ἀνέμων μένος ὑγρὸν ἀέντων φησὶν, ἢ τὸν φορὸν καὶ εἰς τὸ ἱκέσθαι ἐπιτήδειον, ὡς οἱονεὶ ἱκόμενον. Οὖρον δὲ, τὸν εὐδιεινὸν ὡς δι' αὐτοῦ ὀρούειν ὅ ἐστιν ὁρμᾶν τὴν ναῦν. ἀφ' οὗ καὶ ὁ ἐξουρίας πλοῦς, ἤγουν ὁ ἐκ πνοῆς εὐδιεινῆς. ὃ καὶ πληθυντικῶς λέγεται ἐξ οὐρίων, ἤγουν ἐξ εὐδιεινῶν πνευμάτων. ἐκεῖθεν καὶ οὐρίσαι, τὸ ἀποκαταστῆναι εἰς οὔριον, ὥς φασιν οἱ παλαιοί. καὶ κατουρίζειν ῥῆμα τραγικῶς. ὁ μέντοι οὐρὸς ὀξυτόνως, ἄλλο τι ἐν τῇ Ἰλιάδι δηλοῖ. Ἰστέον δὲ ὅτι οὐ μόνον πνοὴ οὐρία λέγεται, ἀλλὰ καὶ κατὰ τὴν ἱστορίαν τοῦ δειπνοσοφιστοῦ, καὶ ὄρνεόν τι οὕτω καλεῖται. ὅπερ οὐ πολύ φασι λείπεται νήττης. τῷ χρώματι, ὑποκέραμος. ἔχουσα 1.107 ῥύγχος μακρόν τε καὶ στενόν. (ηερς. 421.) Ἀκραῆ δὲ λέγει, τὸν ἄκρως ἀέντα ἤτοι πνέοντα. οἱ δὲ, γράφουσιν εὐκραῆ. ὥς τε δύναταί τις ἀκραῆ λέγειν, καὶ τὸν μὴ κεκραμένον ἀλλ' ἀκριβῆ ζέφυρον. Κελάδοντα δὲ, οἱ μὲν, τοῦ ζεφύρου ἐπίθετον ἐκδέχονται. οἱ δὲ, τοῦ πόντου. ἐπεὶ καὶ ἐν Ἰλιάδι οἱ παλαιοὶ, ἵππον ἐγκέλαδον τῷ Ποσειδῶνι παραδιδόασιν, ὡς ἐν τῇ ¯ν ῥαψῳδίᾳ ἐγράφη. Ὅπλα δὲ τίνα λέγει, πρὸ ὀλίγων εἴρηται. (ηερς. 424.) Τὸ δὲ ἱστὸν στῆσαν, ἐτυμολογίας τρόπος καὶ αὐτὸ καθὰ καὶ τὸ στησαμένη μέγαν ἱστόν. Ὅρα δὲ ὅτι ἐνταῦθα μὲν, ἱστὸν στῆσαν ἔφη. κατωτέρω δὲ, παθητικῶς στήσαντο κρατῆρας. ὁποῖόν τι καὶ ἐν Ἰλιάδι κεῖται. Τὸ δὲ εἰλάτινον, τεχνικῶς εἶπεν. ὡς δέον ὂν τοιοῦτον εἶναι τὸν τῆς νηὸς ἱστόν. Μεσόδμη δὲ, ἡ ὀπὴ δι' ἧς ὁ ἱστὸς ἐνείρεται. λεχθεὶς οὕτω, παρὰ τὸ μέσον τῆς νηὸς δεδομῆσθαι. μέση γὰρ τοῦ τοιούτου πλείου ἔστι. (ηερς. 425.) Προτόνους δὲ ἢ προτόνα οὐδετέρως κατὰ μεταπλασμὸν λέγει, σχοινία δι' ὧν ὁ ἱστὸς ἀποδεσμεῖται ὡς ἂν ἔχῃ βεβαίως ἵστασθαι. οἱ δὲ παλαιοὶ, προτόνους φασὶ, κάλωας ἀπὸ τοῦ καρχησίου εἰς πρώραν καὶ πρύμναν διατείνοντας. εἴρηται δὲ περὶ προτόνων, καὶ ἐν Ἰλιάδι ἐν τῷ, προτόνοισιν ὑφέντες. ἐπίτονος μέντοι, δέρμα φασὶν ᾧ πλοίου ἱστὸς κατασφαλίζεται. καὶ ἔοικε διαφέρειν προτόνου εἴ τις ἐξακριβοῖτο αὐτόν. (ηερς. 426.) Τὰ δὲ λευκὰ ἱστία λινᾶ εἶναι δοκεῖ. διὸ καὶ λίνα τὰ τοιαῦτα λέγονται ὁμωνύμως τοῖς δικτύοις. ὧν ἡ κλῆσις, μέχρι καὶ νῦν φέρεται παρά τε ἄλλοις καὶ τοῖς περί που τὴν Παμφυλίαν. οἳ λινάριά τε καλοῦσι τὰ θηρατικὰ δίκτυα. καὶ ὅτε δὲ ζῶον ἐμπεσὸν αὐτοῖς ἐκφύγῃ, ἐκλινίσαι φασὶν αὐτὸ, ῥητορικῶς φράζοντες. ὅτι δὲ τὰ λευκὰ ἱστία καὶ εἰς οἰωνὸν ἦσαν ἀγαθὸν, ἐδήλωσε Θησεὺς οἷς τεκμήριον δυσπραγίας ἔθετο πλείων εἰς Κρήτην διὰ τὸν Μινώταυρον, εἴπερ ἡ κατ' αὐτὸν ναῦς ἐκεῖθεν εἰς Ἀθήνας ἐπαινιοῦσα, μέλανι ἐπιταχύνεται ἱστίῳ καὶ μὴ λευκῷ. Τὸ δὲ ἐϋστρέπτοισι βοεῦσιν ἕλκεσθαι τὰ ἱστία, χρήσεως ἀρχαίας ἐστί. καθ' ἣν καὶ νῦν οἱ περί που τοὺς ταύρους ἀρκτικοὶ, φωκῶν δέρμασι καί τισι τοιούτοις τὴν τῶν σχοίνων χρείαν ἀποπληροῦσι. λέγει δὲ βοέας καὶ ἐν συναιρέσει βοεῖς, τοὺς ἐκ βοείων ἱμάντων κάλωας. οὓς, καὶ κάλους οἱ ὕστερον φασίν. οἱ καὶ τὸν λαγὼν συστέλλοντες καὶ τὸ πληθυντικὸν λαγοὺς λέγοντες. Τὸ δὲ εὐστρέπτοις, ἀντὶ τοῦ εὐμαλάκτοις ἢ εὐκλώστοις. οὕτω γὰρ μάλιστα οἱ ἱμάντες χρήσιμοι ἐγίνοντο. ἀφ' ὧν καὶ ἱμονιὰ κατὰ Αἴλιον Διονύσιον, ἱμάς. σχοινίον. ᾧ ὕδωρ ἀντλοῦμεν. καὶ ἱμᾶν, τὸ ἀντλεῖν, ἐκεῖθεν δὲ καὶ τὸ ἀνιμᾶσθαι κάτωθεν δηλαδὴ ἄνω. καὶ τὸ ἀνάπαλιν καθιμᾶσθαι, οἷον. νύκτωρ πολλοὺς διὰ τῶν τειχῶν αὐτοὺς καθιμήσαντας, φεύγει ὡς δὲ καί τινες φλοιοὶ καὶ αὐτοῖ δὲ σχοῖνοι τὸ φύτον, ἀνεπλήρουν ὅσα καὶ οἱ καθ' Ὅμηρον βοέες, οὐκ ἄδηλόν ἐστι. καὶ σχοίνοις μὲν τοῖς κατὰ τὸ φυτὸν, τὰ κοινότερον σχοινία παρονομάζονται ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐῤῥέθη. ὁ δ' ἐκ φιλύρας φλοιὸς, πολλὴν ὅτι μάλα εἰς τὰ τοιαῦτα ὕλην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμβάλλεται. Ἀθήναιος δὲ ἱστορεῖ παρά τινος, καὶ ὅτι εἰς σχοινία, ἡτοιμάσατο λευκέαν μὲν, ἐξ Ἰβηρίας. κάνναβιν δὲ, ἐκ τοῦ Ἠριδανοῦ ποταμοῦ. εἴη δ' ἂν ἴσως λευκέα, δέρμα λεύκης παρόμοιον τῷ ἐκ φιλύρας. καὶ τοιάδε μὲν καὶ τάδε· οἷς προσθετέον, καὶ ὅτι Λάκωνες τοὺς ἱμάντας, βειέλοπας ἐκάλουν. ὁ δὲ τοῦτο γράψας τεχνικὸς, λέγει καὶ ὅτι παρ' ἐκείνοις βείδιοι οἱ ἄρχοντες. ἀμφοῖν δὲ τούτοιν αἱ ἄρχουσαι, διὰ τῆς ε¯ι διφθόγγου παραδέδονται. (ηερς. 427.) Τὸ δὲ ἔπρησεν, ἀντὶ τοῦ ἐφύσησεν, ἐκ τοῦ πρήθω. ἀφ' οὗ καὶ πρηστήρ. (ηερς. 428.) Στεῖραν δὲ τὴν τρόπιν λέγει, διὰ τὸ στεῤῥὰν αὐτὴν ὀφείλειν εἶναι. Τὸ δὲ πορφύρεον, ᾠκείωται τῇ θαλάσσῃ. ὅθεν ἁλιπόρφυρα παρὰ τοῖς παλαιοῖς, ἁλίκλυστα. ἁλουργά. πορφυρά. Τὸ δὲ ἴαχεν, ὠνοματοπεποίηται. τραχύτερον ὂν τοῦ ἤχου. Τὸ δὲ ἐπιστεφέας οἴνου ὅ ἐστι πλήρεις, παρέξεσται ἀπὸ τοῦ, κρατῆρας ἐπεστέψαντο ποτοῖο. (ηερς. 434.) Ἐν δὲ τῷ, παννυχίη καὶ ἠῶ, ὤφειλε μὲν ὀρθῶς, ἑῴα εἰπεῖν ἤ τι τοιοῦτον. δηλοῖ δὲ ἡ ἠὼς αὕτη, τὸν ὄρθρον, ὃς εὐθὺς μετὰ τὴν νύκτα ἐπιτέλλει. Τὸ δὲ ἔπειρεν, ἀντὶ τοῦ διεπέρα, οὗ ὁ μέλλων μεταχθεὶς εἰς ἐνεστῶτα, ποιεῖ τὸ περῶ. ἐξ οὗ ὁ πόρος. τούτου ἡ μετοχὴ ἐν τῷ, ἀλεγεινά τε κύματα πείρων. Σημείωσαι δὲ ὅτι πρῶτος ἂν ῥηθείη πλοῦς, ὁ ὑπὸ τοῦ Ὁμήρου ὡς ἐῤῥέθη φρασθείς. εἴγε δεύτερος πλοῦς λέγεται, ὅτε ἀποτυχῶν τις οὐρίου, κώπαις πλέει κατὰ Παυσανίαν. 1.108 ΥΠΟΘΕΣΙΣ ΤΗΣ Γ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Τηλέμαχον ἐλθόντα σὺν Ἀθηνᾷ ξενίζει Νέστωρ, καὶ διηγεῖται αὐτῷ τὰ συμβεβηκότα τοῖς Ἕλλησι, καὶ τὸν ἐκ Τροίας ἀπόπλουν. πυθόμενος δὲ τὰ περὶ τοὺς μνηστῆρας, καὶ γνωρίσας τὴν Ἀθηνᾶν ἀπιοῦσαν, θυσίαν αὐτῇ ἐπιτελεῖ. λαβὼν δὲ ὁ Τηλέμαχος ἅρμα σὺν Πεισιστράτῳ Νέστορος υἱεῖ, εἰς Σπάρτην ἀπαίρει. νυκτὸς δὲ ἐπιγενομένης ξενίζονται παρὰ Διοκλεῖ ἐν Φηραῖς. ΟΔΥΣΣΕΙΑΣ Γ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. Ὅτι τῆς γάμμα ῥαψωδίας ἐπιγραφὴ, ἄφιξις Τηλεμάχου εἰς Πύλον. Ὅτι τὸ, Ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην, Οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνῃ. Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν, περίφρασίς ἐστιν, ἀντὶ τοῦ, ἐγένετο ἡμέρα. ὥσπερ δὲ τὸ ὕδωρ ἀγλαόν που φησὶν, οὕτω καὶ περικαλλέα λίμνην τὸν Ὠκεανὸν, ἀφ' οὗ δοκεῖ ἀνατέλλειν ὁ ἥλιος. κρεῖττον δὲ, λίμνην λέγειν τὸν Ὠκεανὸν ἤπερ ποταμόν. ποταμοῦ γὰρ ἀνάγκη τάς τε πηγὰς δοῦναι καὶ τὸ τῆς ἐκβολῆς κατάντημα. Ὠκεανὸς δὲ οὐκ ἂν ἔχῃ ταῦτα. διὸ οἱ σοφοὶ Ὠκεανὸν θέλοντες εἰπεῖν, τὴν ἔξω θάλασσαν φασίν. ὅτι δὲ μέρος τι τοῦ τοιούτου Ὠκεανοῦ ἤτοι τῆς ὡς ἐῤῥέθη περικαλλέος λίμνης, Ὠκεανὸς ἐλέγετο ποταμὸς ἐκεῖνος ὢν, ἐν τοῖς ἑξῆς που ῥηθήσεται. Ὅρα δὲ καὶ τὸ ἀνόρουσεν ἐπὶ Ἡλίου λεχθὲν, ὡς οἷον ἀναπηδῶντος εἰς ἀνατολήν. μετ' ὀλίγα δὲ κυριολεκτῶν, ἐρεῖ οἵ δ' ἀνόρουσαν εὐκνήμιδες Ἀχαιοί. (ῃερς. 2.) Οὐρανὸς δὲ πολύχαλκος, μυθικῶς μὲν, διὰ τοὺς ἐκεῖ τοιούτους οἴκους οὓς Ἥφαιστος χαλκεύει. διὸ καὶ χαλκοβατὲς Διὸς λέγεται δῶμα. κατὰ δὲ λόγον ἄλλον, πολύχαλκος, ὁ στερεός. καὶ μὴ λυτός. μὴ δὲ χυτὸς ὡς ὕδωρ. ἢ κατὰ τὸν ἀέρα ῥυτός. δῆλον γὰρ ὅτι τὸ χάλκεον, καὶ ἐπὶ στερεότητος ἐν πολλοῖς λαμβάνεται. διὸ καὶ σιδήρειόν που λέγει τὸν οὐρανόν. Τὸ δὲ ἵν' ἀθανάτοισι φαείνῃ, μερικεύων ἀλλαχοῦ, φησὶν ἐπὶ τῆς ἠοῦς, Ζηνὶ φόως ἐρέουσα ἤγουν ἀνατολὴν σημαίνουσα. ὑπηρετικόν δ' ἐν τούτοις τὸν ἥλιον τοῖς θεοῖς ὑποτίθεται καθάπερ καὶ τὴν ἠῶ. (ῃερς. 2.) Ὅτι εἰπὼν ὡς οἱ περὶ Τηλέμαχον Πύλον ἷξον, ἐπάγει. τοί δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον, τουτέστιν οἱ Πύλιοι, οἳ νοοῦνται διὰ τῆς Πύλου. πόλις γὰρ, οἱ πολῖται. εἴγε κατὰ τὸν τραγικὸν, οὐδὲν οὔτε πόλις οὔτε ναῦς ἔρημος ἀνδρῶν τῶν ἔσω. Τὸ δὲ ἷξον, οὐκ εὔχρηστον τοῖς πεζογραφοῦσι. προπερισπᾶται δὲ, ὡς διὰ τὴν αὔξησιν φύσει μηκυνθείσης τῆς παραληγούσης. Θῖνα δὲ θαλάσσης λέγει, πρὸς διαστολὴν ἑτέρων θινῶν. ἔστι γὰρ θὶς κατὰ τοὺς παλαιοὺς, ὄχθος. βουνός. ἄμμος. δῆλον δ' ἐκ τῶν παλαιῶν, ὅτι θὶς ἐπὶ αἰγιαλοῦ μὲν, θυλυκοῦ γένους ἐστίν. ἀρσενικοῦ δὲ, ἐπὶ χρημάτων καὶ λίθων. οἱ δ' αὐτοὶ, λέγουσιν ὅτι ἐν τῷ, θὶν καὶ θὶς. ἀκτὶν ἀκτίς. δελφὶν δελφίς. καὶ τοῖς ὁμοίοις δικαταλήκτοις οἰκειοτέρα καὶ ἀνάλογος ἡ εἰς ¯ν κατάληξις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ δῆλον αὐτὸ ἐκ τῶν πλαγίων ἐν αἷς φυλάσσεται τὸ ν¯υ. λέγουσι δὲ καὶ ὡς μετάθεσις Δωρικὴ γέγονε τοῦ ¯ν εἰς ¯σ ἐν αὐτοῖς. ὡς καὶ ἐν τῷ λέγομες καὶ τοῖς ὁμοίοις. Ἀγαθὸς δὲ τῷ Τηλεμάχῳ οἰωνὸς, εὑρεῖν τοὺς Πυλίους θύοντας ὡς φανήσεται. (ηερς. 6.) ἡ δὲ θυσία, ταῦροι παμμέλανες τῷ Ποσειδῶνι. τά τε ἄλλα ὡς ἐν ἄλλοις ἐῤῥέθη, καὶ διὰ τὸ τοῦ ὕδατος μέλαν. ὃ δηλοῦται ἐν τῷ, πορφύρεον κῦμα. καὶ πόντον μέλανα. καὶ ἠεροειδέα. καὶ ἰοειδέα. ὃ καὶ αὐτὸ, ταυτόν ἐστι τῷ, πορφυροῦν, μέλανα. διὸ εὐφυῶς ἐπῆκται τὸ, ἐνοσίχθονι κυανοχαίτῃ. οἰκεῖον γὰρ τὸ μέλαν τῷ κυανοχαίτῃ. Καὶ ὅρα τὸ παμμέλανας. οὐ γὰρ ἐπί τι μέλανας, ἀλλὰ παμμέλανας. οἱ δὲ ταῦροι ἀργᾶντες ὅ ἐστι λευκοὶ ἐν Πινδάρῳ θύονται τῷ Ποσειδῶνι. δύναται μὲν καὶ τοῦτο εἶναι διὰ τὴν πολιὴν ἅλα. οἱ δὲ παλαιοὶ, ἀργᾶντας ἐκεῖ τοὺς διὰ λίπος ἤτοι πιμελὴν λευκοὺς, νοοῦσι. καθότι καὶ κρήδεμνα λιπαρὰ, τὰ λευκὰ καὶ λεῖα. ὅτι δὲ οἰκεῖον θύμα τῇ θαλάσσῃ ὁ ταῦρος, δηλοῖ καὶ Ἡρόδοτος ἐν τῷ, σφαγιασάμενοι τῇ θαλάσσῃ ταῦρον. (ηερς. 7.) Ὅτι ἐννέα τοῖς Πυλίοις ἦσαν ἕδραι. πεντηκόσιοι δ' ἐν ἑκάστῃ εἵατο. καὶ προὔχοντο ἑκάστοθι ἐννέα ταύρους. ἤγουν παρεῖχον. προεβάλ
1.109 λοντο. πρὸ ἑαυτῶν εἶχον ὥστε σφάξαι. ὃ καὶ προΐσχοντο λέγεται. χρῆσις δέ τις καὶ παρὰ τῷ κωμικῷ ἐν Νεφέλαις κεῖται τῆς τοιαύτης λέξεως. Ὅρα δὲ ὡς κἀνταῦθα συνήθως καθὰ καὶ ἐν Ἰλιάδι, εὐεπίφορός ἐστιν ὁ ποιητὴς εἰς τὸν ἐννέα ἀριθμόν. οἱ δὲ παλαιοὶ φασὶν ἐννέα Πυλίοις ἕδρας εἶναι διὰ τὸ καὶ πόλεις τοσαύτας ὑπὸ ἐξουσίαν κεῖσθαι τῷ Νέστορι. Πύλον. Ἀμφιγένειαν. Πτελεόν. Ἕλος. Δώριον. καὶ λοιπὰς τὰς ἐν τῇ Βοιωτίᾳ. ὡς ἑκάστης πόλεως, ἕδραν εἶναι. Τὸ δὲ πεντηκόσιοι ἐν ἑκάστῃ, τὸν ἀριθμὸν ὑπεμφαίνει τῶν συστρατευσαμένων τῷ Νέστορι. νηῶν γὰρ οὐσῶν αὐτῷ ἐνενήκοντα, ὄντων δὲ ἐν ἑκάστῃ ἀνὰ πεντήκοντα, εἰς τετρακισχιλίους καὶ πεντακοσίους συνάγεται ὁ στόλος αὐτῷ ἐκεῖνος ὁ περὶ Τροίαν, ὅσοι καὶ οἱ ἐν ταῖς ἐννέα καθέδραις. ὧν ἔοικε τὸν ἀριθμὸν τιμᾶν ὁ Νέστωρ καὶ μετὰ τὸν νόστον. ὡς καὶ Λακεδαιμόνιοι τὸν ἀριθμὸν τῶν τριακοσίων μετὰ τὰ Περσικά. (ηερς. 8.) Ἰστέον δὲ ὡς ἡ προκειμένη θυσία τῶν ὀγδοήκοντα βοῶν καὶ τοῦ ἑνὸς, οὐκ ἂν λέγοιτο ἑκατόμβη κυριολεκτικῶς. ἦν δὲ τῷ ὄντι καὶ οὐ ψευδωνύμως ἑκατόμβη σὺν ἄλλαις, καὶ ἣν Κόνων τῇ περὶ Κνίδον ναυμαχίᾳ νικήσας Λακεδαιμονίους, ἔθυσεν. ἐξ ἑκατὸν οὖσαν βοῶν. ὁ τοίνυν, ὥς που καὶ ἐν Ἰλιάδι ἐσημειώθη, ᾠῶν ἑκατόμβην εἰπὼν, παίζων ὠνόμασεν. οὕτω δὲ καὶ ὁ Ἀκραγαντῖνος Ἐμπεδοκλῆς τὸν βοῦν ἐψεύσατο, ἡνίκα ἵπποις Ὀλύμπια νικήσας, βοῦν πλασθέντα ἐκ σμύρνης καὶ λιβανωτοῦ καὶ ἑτέρων φασὶν ἀρωμάτων πολλῶν, διένειμε τοῖς ἐν τῇ πανηγύρει. ποιήσας οὕτω, διὰ τὸ ἐμψύχων αὐτὸς ἀπέχεσθαι. ἦν δέ τις αὐτὸ μίμησις δῆθεν Ἀλκιβιάδου. ὃς ἐν Ὀλυμπίᾳ θύσας ἐπὶ νίκῃ Διῒ Ὀλυμπίῳ, τὴν πανήγυρινπᾶσαν εἱστίασε. καθά φασι καὶ ὁ Χῖος Ἴων τραγῳδίᾳ νικήσας Ἀθήνῃσιν, ἑκάστῳ τῶν Ἀθηναίωνἔδωκε Χῖον κεράμιον. ἀλλὰ ταῦτα μὲν, φιλοτιμίας ἔργα. τὸ δὲ καὶ μυίαις Ὀλυμπίαζε βοῦν ἐν τῇ πανηγύρει κατακόπτεσθαι, φιλότιμον μὲν οὐκ ἂν εἴη, ἀργαλεότητα δὲ τοῦ ζωϋφίου δηλοῖ πολλήν. ἧς ἕνεκεν ἐκμειλίσσεσθαι αὐτὸ ἤθελον διὰ τοὺς ἀγηγερμένους. Ὅτι δὲ οὐ μόνον ἑκατόμβαι ἀλλὰ καὶ χιλιόμβαι ἦσαν παρὰ τοῖς παλαιοῖς ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, δηλοῖ ὁ γράψας ὅτι ἐν τῇ Μιλτιάδου νίκῃ χιλίας χιμαίρας Ἀθηναῖοι τῇ ἀγροτέρᾳ Ἀρτέμιδι ἔθυσαν. ἧς καὶ ὁ κωμικὸς θυσίας μέμνηται. καὶ ἔθυον δέ φασι κατὰ ἕκτην Θαργηλιῶνος μηνός. καθ' ὃν δὴ μῆνα, πολλὰ τοῖς Ἀθηναίοις ἐγένοντο ἀγαθά. ὅτι δὲ τὸ χίλια ζῷα ὑποσχέσθαι, κατὰ χιλίων εὔξασθαι ἐφράζετο, δηλοῦσι χρήσεις παλαιαί. οὕτω δὲ ὡς εἰκὸς καὶ κατὰ ἑκατὸν βοῶν καὶ λοιπῶν. (ηερς. 4.) Τὴν δὲ Πύλον, κτίσμα Νηλέως ἡ ἱστορία ἔχει. φασὶ γοῦν καὶ τὸν Ἑλλάνικον ἱστορεῖν, ὅτι Νηλεὺς Πελίᾳ τῷ ἀδελφῷ μαχεσάμενος, ἦλθεν ἐξ Ἰωλκοῦ εἰς τὰ κατὰ Μεσσήνην, καὶ ἔκτισε Πύλον, τῶν Μεσσηνίων μοῖραν τινὰ τῆς χώρας χαρισαμένων αὐτῷ. (ηερς. 9.) Ὅτι ὀκνήσας ὁ ποιητὴς ἐνταῦθα διασκευάσαι ὡς καὶ ἐν Ἰλιάδι τὰ κατὰ τὴν θυσίαν τοῦ Νέστορος, ἀρκεῖται στίχῳ παραλαλήσας ἑνὶ, πολύστιχον ἐκείνην διασκευήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ῃερς. 10.) Φησὶ γάρ. εὖθ' οἳ σπλάγχνα πάσαντο, θεῷ δ' ἐπὶ μηρία καῖον, οἵ δ' ἰθὺς κατάγοντο. ἤτοι ἐνελιμενίζοντο. εἶτα εὐθὺς ἐπάγει διασκευὴν σύντομον ἐλλιμενισμοῦ, ἰδ' ἱστία νηὸς ἐΐσης στεῖλαν ἀείραντες. τήν δ' ὥρμισαν. ἐκ δ' ἔβαν αὐτοί. Τί δέ ἐστι τὸ σπλάγχνα πάσασθαι καὶ τὸ καίειν μηρία. καὶ ὅτι τὸ ἰθὺς, καὶ δίχα τοῦ ¯σ λέγεται ἰθύ. καὶ ὅτι ἐΐση λέγεται Ἀττικῶς ἡ ἴση καὶ ἰσόπλευρος. ἢ ἡ πορευτικὴ ἀπὸ τοῦ ἐΐω τὸ ὁρμῶ. (ῃερς. 11.) καὶ τίς ὁ ὅρμος. καὶ ὅτι ὁρμεῖ μὲν ναῦς, ὁρμίζει δὲ ἄλλος νῆα, δεδήλωται ἀλλαχοῦ. Τὸ δὲ ἔστειλαν, ἀντὶ τοῦ συνέστειλαν. Καὶ ὅρα ὅτι ἄλλως μὲν στέλλει νῆα θοὴν ὁ Μέντωρ, ἀντὶ τοῦ, εὐτρεπίζει γάρ. ἄλλως δὲ στέλλουσιν ἱστία οἱ ἐρέται, συστέλλουσι γάρ. Τὸ δὲ ἀείραντες, πρὸς διαστολὴν εἴρηται τοῦ καταῤῥίψαι. συνέστειλεν γὰρ τὰ ἱστία, οὐ κάτω ῥίψαντες, ἀλλ' ἀναδήσαντες πρὸς τῷ κέρατι τῆς νηός. (ῃερς. 14.) Ὅτι εὐφυῶς πλάττει Ὅμηρος Μέντην τινὰ καὶ Μέντοραν, συνετοὺς ἄνδρας, ἑταίρους τῷ βασιλικῷ παιδὶ Τηλεμάχῳ. ἐπειδὴ αὐτοὶ μὲν, καὶ συνετοὶ καὶ ἀπὸ τοῦ μένος δοκοῦσιν ἐτυμολογεῖσθαι, ἢ ἀπὸ τοῦ μένω. ἵνα ᾖ ἐκ τοῦ μένω μὲν, ὁ Μέντης. ὡς ὁ ὀφέλτης ἐκ τοῦ ὀφέλλω. ἐκ δὲ τοῦ Μέντης, ὁ Μέντωρ. ὡς καὶ ἐκ τοῦ θηρητὴς καὶ ἡγητὴς, ὁ θηρήτωρ καὶ ὁ ἡγήτωρ. Τηλεμάχῳ δὲ καὶ αὐτῷ θεόθεν φρονοῦντι μένος τε καὶ θάρσος ἐδόθη, καὶ πατρικὸν ἐνέστακται μένος, καὶ ἄσχετος τὸ μένος εἶναι δοκεῖ. καθάπαξ δὲ τοιούτῳ φανέντι, συμπαρέπεται ὁ Μέντωρ, τουτέστιν ἡ ἐμφανιζομένη αὐτῷ Ἀθηνᾶ. καὶ συμπλέει. καὶ τὰ πρακτέα ὑποτίθεται. καὶ δὴ καὶ ἐν τῇ Πύλῳ παραινεῖ τῷ μαθητῇ Τηλεμάχῳ, μὴ αἰδεῖσθαι τὴν πρὸς τὸν γέροντα Νέστορα ὁμιλίαν. λέγουσα. Οὐ μέν σε χρὴ ἔτ' αἰδοῦς οὐ δ' ἠβαιόν. ἵνα δηλαδὴ μὴ ἐν κενοῖς ὁ πλοῦς γένηται. καὶ ἦν τῷ ὄντι συστο 1.110 λῆς αἴτιον καὶ αἰδοῦς, ἐντυχία τηλικούτου γέροντος ἀτελεῖ μείρακι, καὶ ὡς ὁ Τηλέμαχος ἐρεῖ, αἰδὼς νέον ἄνδρα ὃς μήπω μύθοις πεπείραται πυκινοῖς, ἄνδρα γεραίτερον ἐξερέεσθαι. διὸ καὶ ἐρωτᾷ ὁ νεανίας τὴν διδάσκαλον Ἀθηνᾶν, πῶς ἂν ἔλθοι καὶ προσπτύξηται τὸν γέροντα ὅ ἐστιν ὁμιλήσῃ. προσαγορεύσῃ. καὶ ἡ διδάσκαλος, τὸ μὲν πῶς ἂν ἔλθοι, διδάσκει. προηγησαμένη αὐτῷ τῆς ὁδοῦ. γενήσεται δὲ καὶ εὐχῆς αὐτῷ μετ' ὀλίγον καθηγητὴς, εὐξαμένῳ καθὰ καὶ ἡ Ἀθηνᾶ. ἐρεῖ γάρ. ὡς δ' αὕτως ἠρᾶτο καὶ ἑξῆς. μεθόδους μέντοι δημηγορίας, οὐ δίδωσιν. οὐ γὰρ προτίθεται ὁ ποιητὴς τέχνας διδάξαι ῥητορικάς. ἐρεῖ δὲ, ὡς ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις, ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται. καὶ τὸ ἑξῆς. καὶ τοίνυν ἐρωτήσαντος Νέστορος ὦ ξένοι τίνες ἐστὲ καὶ τὰ λοιπὰ, πορίζεται αὐτόθεν ὁ νεανίας ἀφορμὴν τῆς πρὸς τὸν Νέστορα ὁμιλίας ὡς Ὁμήρῳ σύνηθες. καὶ θάρσος θεόθεν λαβὼν, καὶ ἀρξάμενος τῆς πρὸς τὴν ἐρώτησιν ἀποκρίσεως, περαίνει οὕτω τὴν ὁμιλίαν. Ἐν τούτοις δὲ τὸ, οὐ μέν σε χρὴ ἔτι αἰδοῦς, ἀντίπτωσίς ἐστιν ἀρχαϊκὴ συνήθης. ἀντὶ τοῦ οὐ μήν σοι χρεία αἰδοῦς. Ἔστι γὰρ κἀνταῦθα, ἡ μὲν αἰδὼς, πρὸς ἀνολβίῃ. τὸ δὲ θάρσος, ὄλβιον. Τὸ δὲ οὐδ' ἠβαιὸν, ἀντὶ τοῦ, οὐδόλως. καθ' ὁμοιότητα τοῦ ἧττον ἀντὶ τοῦ οὐδαμῶς. καὶ τοῦ, τί βαιὸν, οὕτως παρὰ Σοφοκλεῖ. καὶ τοῦ, ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. Τοῦ δὲ προσπτύξασθαι χρῆσις κεῖται καὶ ἐν τοῖς φθάσασι. (ῃερς. 23.) Τὸ δὲ πεπειρῆσθαι, πρὸ ὀλίγων ἐνεργητικὸν εἶχε τὸ πειρήσω καθὰ προδεδήλωται. (ῃερς. 24.) Τὸ δὲ, αἰδώς δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι, γνωμικῶς μὲν ἐῤῥέθη. σχῆμα δὲ ἀμφιβολίας ἔχει. οἰήσεται γάρ τις, ἀμφίβολον εἶναι εἴτε αἰδὼς, νέον ἄνδρα ἐρώτησιν διδόναι ἀνδρὶ γέροντι. εἴτε καὶ ἀνάπαλιν. τοιαῦτα γὰρ ὑποβάλλουσι νοεῖν αἱ συνεχεῖς δύο αἰτιατικαί. ὡς καὶ ἐν τῷ, ὦ Ζεῦ, δὸς καταβαλεῖν τὸν σὺν ἐμέ. (ῃερς. 15.) Ὅτι τὸ, πόντον ἐπέπλως, ἀντὶ τοῦ ἐπέπλευσας, ἢ ἀπὸ τοῦ πλῶμι γίνεται ὡς ἐκ τοῦ δίδωμι τὸ ἐδίδως. ἢ μᾶλλον κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ ἐπέπλωσας κατὰ ἀποκοπήν. (ῃερς. 16.) Ὅτι ἀσαφῶς εἰπὼν τὸ, ὅπου κύθε γαῖα τὸν Ὀδυσσέα ἤγουν ἔκρυψε, ἐπάγει ἑρμηνείαν τὸ, καὶ ὅν τινα πότμον ἐπέσπε. δῆλον γὰρ ὅτι ὃν ἡ γῆ ἔκρυψεν, ἐκεῖνος καὶ πότμον ἐπέσπεν. Ἔστι δὲ τὸ μὲν κύθε, δεύτερος ἀόριστος τοῦ κεύθω. τοῦ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπέσπε, σύστοιχα, τὸ ἐπισπεῖν. καὶ ἐπισπώμενος. καὶ ἐφέψει. καὶ τὰ τοιαῦτα. Ὅτι θέλησις τοῦ μαθεῖν βουλὴν τὸ, εἴδομεν ἥν τινα μῆτιν ἐνὶ στήθεσσι κέκευθε. Καὶ ὅρα τὸ εἴδομεν. ἐνεστὼς γάρ ἐστι κἀνταῦθα οὐκ εὔχρηστος τοῖς μὴ γράφουσι ποιητικῶς. (ῃερς. 18.) Ὅτι ἐν τῷ, λίσσεσθαι δέ μιν αὐτὸν ὅπως νημερτέα εἴπῃ, τὸ μὶν αὐτὸν, οὐ κεῖται ὡς ἀλλαχοῦ, ἀντὶ συνθέτου ἀντωνυμίας ἤγουν ἀντὶ τοῦ ἑαυτὸν, ἀλλὰ κατ' ἐξοχὴν εἴρηται τὸ αὐτόν. ὡς εἴ τις εἴποι, αὐτὸν ἐκεῖνον καὶ μή τινα τῶν αὐτοῦ. ἐν μέντοι τῷ, αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσας. τὸ αὐτόν μιν, φανερῶς ἀντὶ τοῦ ἑαυτὸν κεῖται. (ῃερς. .) Ὅτι γνωμικὴ παίδευσις εἰς ἀλήθειαν τὸ, ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί. ἐπεὶ καὶ ἐνταῦθα, οὐδὲν τὸ πεῖθον τὸν Νέστορα, ψεύσασθαι πρὸς Τηλέμαχον. ὅτι δὲ ἄλλως ψεύσεται κατὰ καιρὸν ὁ σοφὸς, δῆλον. εἴγε καὶ Ἡρόδοτος φησὶν, ἔνθα τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω. ὁ γοῦν Ὀδυσσεὺς ἐν τοῖς ἑξῆς πλασμάτων τὴν ποίησιν ἔπλησε. καὶ ἐπαινεῖται διότι πολλὰ λέγει ἐτύμοις ὁμοῖα. οἷς τούς τε Φαίακας ὡς φιλοτοιούτους ἐφέλκεται, καὶ τοὺς κατ' οἶκον ἐν καιρῷ ἀπατᾷ. καί πως, οὕτω συλλογίζεται ὁ ποιητής. ὁ Νέστωρ, πεπνυμένος ἐστίν. ὁ πεπνυμένος, οὐ ψεύσεται. ὁ Νέστωρ ἄρα οὐ ψεύσεται. ὅτι δὲ οὐ πάντῃ πάντως ψεκτὸν τὸ ψεῦδος, καὶ Ἰσοκράτης δηλοῖ ἐν τῷ Παναθηναϊκῷ γράψας οὕτως. πολλῆς μὲν ἐμπειρίας γέμοντα καὶ φιλοσοφίας, παντοδαπῆς τε μεστὸν ποικιλίας καὶ ψευδολογίας, οὐ τῆς εἰθισμένης μετὰ κακίας βλάπτειν, ἀλλὰ τῆς δυναμένης μετὰ παιδείας ὠφελεῖν ἢ τέρπειν τοὺς ἀκούοντας. Ἔνθα σημείωσαι ψευδολογίαν ἐπαινετὴν ὁποία ἐναβρύνοιτ' ἂν καὶ ὁ τῶν μύθων καθά τις ἔφη Ὅμηρος ἢ Πλάτων ἢ Δημοσθένης, Αἴσωπος. εἰ δὲ ἀσύνηθες τὸ οὕτω νοῆσαι ἄψογον ψευδολογίαν, ἐνθυμητέον ὡς ὁ αὐτὸς ῥήτωρ πολλὴν ἄνοιαν καὶ μωρίαν καταγνοὺς τῶν τὴν ἀδικίαν πλεονεξίαν εἶναι νομιζόντων, βούλεται, τὴν πλεονεξίαν ἐπὶ εὐπορίας νοεῖν, ἀσυνήθως πάντως. Ἰστέον δὲ ὅτι τὸν Ὁμηρικῶς εἰρημένον λόγον ὃς τῇ Ἀθηνᾷ ἐνταῦθαπροσπλάττεται, καὶ ὁ συνετὸς Νέστωρ ἀπαραποιήτως ἐν τοῖς ἑξῆς ἐρεῖ τῷ Τηλεμάχῳ, εἰς Μενελάου στέλλων αὐτόν. δηλοῦντος τοῦ ποιητοῦ, ὡς οὐδὲν διαφέρει Ἀθηνᾶν εἰπεῖν καὶ φρόνησιν καὶ ἄνδρα φρόνιμον, ταυτόν δ' εἰπεῖν, πεπνυμένον, καὶ πυκινόν. ἔτι δὲ καὶ δριμύν. Εὐριπίδης γὰρ, ἐπὶ συνετοῦ 1.111 εἴρηκε τὸ δριμὺ ὡς λέγει Ἀριστοφάνης ὁ γραμματικός. ἃ γοῦν Ἀθηνᾶ φρόνησις ἐνταῦθα ὑποτίθεται τῷ νεανίᾳ, τὰ αὐτὰ ὑποθήσει καὶ Νέστωρ ὁ φρόνιμος. (ῃερς. 22.) Ὅτι ἀπειρίαν ἐπὶ φιλικῇ συντυχίᾳ δηλοῖ τὸ, πῶς τ' ἂρ ἴω. πῶς τ' ἂρ προσπτύξομαι αὐτόν. οὐδέ τι πω μύθοισι πεπείρημαι πυκινοῖσιν. περὶ δὲ τοῦ προσπτύξομαι καὶ τοῦ πεπείρημαι, προδεδήλωται. (ῃερς. 26.) Ὅτι πεποίθησις εἰς τὸ θεῖον τὸ, ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις. ἄλλα δὲ καὶ θεὸς ὑποθήσεται. Καὶ ὅρα ὅτι νοεῖν μὲν, τὸ αὐτόθεν καὶ οἴκοθεν. ὑποθέσθαι δὲ, τὸ ἐκ παραινέσεως νοῦν ἐμποιεῖν. ὅθεν καὶ τὸ νουθετεῖν σύνθετον. καὶ ὑποθήκη ἡ παραίνεσις. τὸ δὲ ὑποθήσεται, καὶ ὑποθήσει λέγεται ἐνεργητικῶς. (ῃερς. 28.) Ὅτι ἐν τῷ, οὐ γὰρ ὀΐω οὔ σε θεοῦ ἀέκητι γενέσθαί τε τραφέμεν τε, φασί τινες λέγειν τὸν ποιητὴν, ὡς οὐκ οἴομαι νόθον σε εἶναι τῇ Πηνελόπῃ. οἷα τῶν νόθων, μὴ θείως γεννωμένων διὰ τὸ τῆς μίξεως οὐκ ἔνθεσμον. ὅθεν φασὶ τεθεῖσθαι καὶ τὸ νόθος ὄνομα, παρὰ τὴν ν¯ο στέρησιν καὶ τὸ θεῖον. ἵνα ᾖ νόθος, ὁ τοῦ θειοτέρου ἐστερημένος. ὅ ἐστι τῆς ἐξ ἐννόμου γάμου γεννήσεως. εἰ δέ γε σκοτίους τινὰς καὶ παρθενίους παῖδας ἡ ποίησις περιφέρει σεμνόν τι ἔχοντας, καὶ τῷ Πριάμῳ δὲ πλείους τῶν γνησίων οἱ νόθοι, ἔχει τι καλὸν καὶ περὶ τῶν τοιούτων λέγειν ἀνὴρ λόγιος. ἄλλως δὲ ἀέκητι θεοῦ γενέσθαί τις καὶ τραφῆναι λέγεται, εἰ διὰ βίου ἄθλιος εἴη καὶ θεῷ ἀνεπισκόπητος. Τὸ δὲ γενέσθαί τε τραφέμεν τε, ὀρθῶς κεῖται. ἀνάπαλιν δὲ ἀλλαχοῦ ὡς πρωθύστερον τὸ, τράφεν ἠδὲ γένοντο. (ῃερς. 30.) Ὅτι ἐπί τινος θείου ἀνδρὸς ῥηθήσεται τὸ, ὅ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο. (ῃερς. 31.) Ὅτι ἀκολούθως τῷ, ἐννέα δ' ἕδραι ἔσαν, εἴρηται καὶ τὸ, Ἶξον δ' ἐς Πυλίων ἀνδρῶν ἄγυρίν τε καὶ ἕδρας. τί δὲ ἡ ἄγυρις, προδεδήλωται. ὅθεν καὶ ἡ ὁμήγυρις. Ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ τῆς ἕδρας, καὶ ἑδριάασθαι μετ' ὀλίγα ἐρεῖ. ὅθεν δὲ ἡ ἕδρα, ἐκεῖθεν καὶ τὸ, ἵδρυσε παρὰ δαιτί. (ῃερς. 33.) Ὅτι δαψίλειαν ἡρωϊκὴν εὐτελοῦς τροφῆς δηλοῖ τὸ, ἀμφί δ' ἑταῖροι δαῖτ' ἐντυνόμενοι, κρέα ὤπτων, ἄλλα δ' ἔπειρον. ἔστι δὲ ἐντύνεσθαι μὲν, ὃ συνήθως ὁ ποιητὴς ὁπλίζεσθαι λέγει. ἐπεὶ καὶ ἔντεα, τὰ ὅπλα. Τὸ δὲ ὀπτᾶν, πρωτότυπόν ἐστι τοῦ ὀπτοῦ, ὃ συγκέκοπται ἀπὸ τοῦ ὀπτητοῦ. ὡς καὶ τὸ ἑφθὸν ἀπὸ τοῦ ἑψητοῦ. ἄλλως γὰρ τὸ ἀπαθὲς ὀπτὸν, τὸ θεατὸν δηλοῖ, ὡς καὶ ὁ Ἀθήναιος ἀστεΐζεται ὅπου λέγει ὀπτὸν ὠμὸν ἰχθῦν. Πείρειν δὲ, πρὸ βραχέων μὲν, τὸ περᾶν ἐῤῥέθη. νῦν δὲ, ἄλλως. ὅθεν καὶ ἡ περόνη. καὶ τὸ περονᾶν. καὶ ὁ πόρπαξ. καὶ τὸ πόρπημα. καὶ ὅσα τοιαῦτα. (ῃερς. 34.) Ὅτι φιλοξένων ἀνδρῶν ἴδιόν τι ποιοῦντες οἱ Πύλιοι, ὡς ξείνους ἴδον, ἀθρόοι ἦλθον ἅπαντες. χερσίν τ' ἠσπάζοντο, καὶ ἑδριάασθαι ἄνωγον. πρὸ δὲ τῶν ἄλλων, ὁ Πεισίστρατος ἐγγύθεν ἐλθὼν Τηλεμάχου τε καὶ τοῦ φαινομένου Μέντορος, ἀμφοτέρων ἕλε χεῖρα, καὶ ἵδρυσε παρὰ δαιτί. κώεσιν ἐν μαλακοῖσιν, ἐπὶ ψαμάθοις ἁλίῃσι. παρά τε κασιγνήτῳ καὶ πατρί. Μέντορα μὲν, ὡς γέροντα δεξιωσάμενος. Τηλέμαχον δὲ, ὡς ὁμήλικα. καὶ ὅμως, προτέρῳ τῷ Μέντορι δοὺς σπλάγχνων μοίρας καὶ ἐγχέας οἶνον χρυσέῳ δέπαϊ ὡς ἂν σπείσῃ, τιμῶν τὸ γῆρας. (ῃερς. 35.) Καὶ ὅρα τὸ, χερσὶν ἠσπάζοντο, ἀντὶ τοῦ ἐπεσπῶντο καὶ εἷλκον διὰ δεξιώσεως εἰς ἑαυτούς. καὶ τοιοῦτον ἀεὶ τοῖς παλαιοῖς κυρίως ὁ ἀσπασμός. ἔστι δὲ καὶ νῦν πολλοὺς τῶν ἐξ ἐθνῶν ἰδεῖν, ἐν τῷ ἀλλήλοις συναντᾶν, διαπεταννῦντας τὼ χεῖρε. καὶ τά τε στήθη πελάζοντας. καὶ τὰς χεῖρας ἐπικυρτοῦντας. καὶ εἰς κύκλον περιάγοντας. καὶ περιπλεγνυμένους ἠρέμα. καί ἐστι τοῦτο αὐτοῖς ὁ ἀσπασμός. γενομένης τῆς λέξεως, ἀπὸ τοῦ σπᾶσθαι κατὰ πλεονασμὸν τοῦ ¯α. καὶ εἴρηται τὸ χερσὶν ἀσπάζεσθαι, πρὸς διαστολὴν τῶν λόγοις ἀσπαζομένων. ἐπὶ γὰρ αὐτοῦ δὴ τοῦ χείλεσι φιλεῖν, οὔπω τότε ἡ λέξις ἐλέγετο. ἀλλ' εἴ που καὶ ἔδει τοιοῦτον σημῆναι, οὕτως οἱ παλαιοὶ ἔλεγον. ἀσπάσασθε ἀλλήλους φιλήματι. (ῃερς. 37.) Τὸ δὲ ἀμφοτέρων ἕλε χεῖρα, εἶχε μὲν εἰπεῖν δυϊκῶς, χεῖρε. ἀλλὰ διὰ τὸ καινότερον, οὕτως εἶπε. καὶ νοητέον ὡς ἢ ἰδίᾳ τὴν ἑκατέρου ἔλαβε χεῖρα ἑκατέραις ταῖς ἑαυτοῦ χερσὶν ὡς ἔν τινι τύπῳ χοροῦ, ἢ μίαν καὶ μίαν ἐξ ἑκατέρων τὰς δεξιὰς, τῇ ἑαυτοῦ δεξιᾷ δηλαδή. λαιᾷ γὰρ οὐκ ἦν ἅπτεσθαι ὡς καὶ προγέγραπται. Ἐν δὲ τῷ κώεσιν, ὅρα ἡρωϊκὴν εὐτέλειαν. ὁ γὰρ τοῦ βασιλέως Νέστορος παῖς, ἵδρυσε παρὰ δαιτὶ τοὺς ξένους, οὐκ ἐπὶ ἁλιπορφύρων ταπήτων, ἢ ἄλλης τινὸς περιέργου στρωμνῆς τιμωμένης πολλοῦ, ἀλλ' ἐπὶ ψάμμου ἐν δέρμασι, μαλακοῖς μέντοι. δῆλον δὲ ὅτι τὸ κώεσιν, οὐκ ἐκ τοῦ κῶας γίνεται, ἦν γὰρ ἂν κώασιν ὡς κρέασιν, ἀλλ' ἐκ τοῦ κῶος. κατὰ τὸ, βέλος βέλεσιν. ἵνα διφορῆται. καθὰ καὶ τὸ, ὕδας ὕδος καὶ γῆρας γῆρος. ἐξ οὗ καὶ ὁ παρὰ τῷ Σοφοκλεῖ γηροβοσκός. καὶ τὸ γυροτροφεῖν. καὶ τὰ ὅμοια. ὅτι δὲ καὶ νάκος τὸ κῶας ἐλέγετο, δηλοῖ 1.112 ὁ σκώψας βυρσοδέψην τινὰ διὰ τοιαύτης λέξεως. ἀφ' οὗ βυρσέως ἀκούσας ἐκεῖνος τὸ, ὦ κακόδαιμον, ἀντέσκωψεν εἰπὼν τὸ, ὦ νακόδαιμον. εἰ δὲ τὸ τοιοῦτον νάκος, τὸ κνακὸν θρέμμα παρήγαγε, ζητητέον ἄλλοθεν. Ἁλίας δὲ ψαμάθους λέγει, διαστέλλων τῶν ποταμίων αὐτάς. Ὅτι δὲ τοὺς Πυλίους εὗρε περὶ θάλατταν θύοντας Ποσειδῶνι ὁ Τηλέμαχος, μαρτυρεῖ καὶ ὁ γεωγράφος. εἰπὼν ὅτι ἐν ἱερῷ Σαμίου Πωσειδῶνος εὗρε Τηλέμαχος τοὺς Πυλίους θύοντας. (ῃερς. 40.) Τὸ δὲ, δῶκε δ' ἄρα σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευε χρυσέῳ δέπαϊ, ἁρμόσοι ἂν κατά τινα ἐννοίας παραφθορὰν, ἐπί τινος σπλαγχνιζομένου εἰς ἔλεον πτωχικόν. (ῃερς. 49.) Σημείωσαι δὲ καὶ ὡς εἰ καὶ λυπεῖν ἴσως εἶχε τὸν βασιλικὸν παῖδα Τηλέμαχον τὸ προτιμηθῆναι τὸν Μέντορα, ὅμως παραμυθεῖται τὸ πρᾶγμα ὁ δεξιωσάμενος Νεστορίδης ἐν τῷ, ἀλλὰ νεώτερός ἐστιν ὁ Τηλέμαχος δηλαδὴ, ὁμηλικίη δ' ἐμοὶ αὐτῷ. διὸ εἰ καὶ προτιμήσασθαι τὸν ὁμήλικα θέλει ὁ Νεστορίδης, ἀλλ' αἰδεῖται τὸ γῆρας τοῦ Μέντορος καθὰ καὶ τὸ τοῦ πατρὸς Νέστορος. καὶ ἔστι καὶ τοῦτο παιδεία Ὁμηρική. Τὸ δὲ ὁμηλικίη, ἢ ἔλλειψιν ἔχει λέξεως θηλυκοῦ ὀνόματος ἵνα λέγῃ ὅτι ἡλικία ὁμηλικία. ἢ κατάστασις ὁμηλικία. ἢ ἄλλο τι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιοῦτον. ἢ εἴληπται ἀντὶ τοῦ ὁμοία ἡλικία. Ἐν τούτοις δὲ καὶ δαίτην συνήθως βαρυτόνως τὴν δαῖτα φησί. (ῃερς. 48.) Λέγει δὲ βιωτικῶς ἅμα καὶ γνωμικῶς, καὶ τὸ ἐπεὶ καὶ τοῦτον ὀΐομαι θεῷ εὔχεσθαι. πάντες δὲ θεοῦ χατέουσ' ἄνθρωποι. φησὶ δὲ καὶ χρύσειον ἄλεισον κατὰ λόγον πολυωνυμίας, τὸ ἀνωτέρω ῥηθὲν χρύσειον δέπας. (ῃερς. 51.) Καὶ οἶνον δὲ νῦν ἡδὺν λέγει, ὃν φθάσας μηλιηδέα ἔφη. Ἐν τούτοις δὲ καὶ τὸ ἤντησε δοτικῇ συντάττεσθαι εἰωθὸς, μετὰ γενικῆς συνέταξεν, εἰπών. δαίτης ἠντήσατε. ὅ ἐστιν ἐτύχετε. ἄντην ἤλθετε. τοιοῦτον καὶ ἐν τοῖς ἑξῆς τὸ, ἤντησας ὀπωπῆς. (ῃερς. 52.) Ὅτι τὸ τῆς τιμῆς ἐπαγωγὸν παραδεικνὺς κἀνταῦθα ὁ ποιητὴς, πλάττει τὴν ἐν τῷ Μέντορι Ἀθηνᾶν, χαίρουσαν οἷς προτέρα ἐδεξιώθη πρὸς τοῦ Νεστορίδου Πεισιστράτου. φησὶ γάρ. χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ, Οὕνεκά οἱ προτέρῃ δῶκε χρύσειον ἄλεισον, τὸ ἀνωτέρω ῥηθέν. Σημείωσαι δὲ ὡς οὐ μόνος Ὅμηρος Ἀθηναίαν λέγει τὴν Ἀθηνᾶν, ἀλλὰ καὶ τῶν μετ' αὐτὸν πεζολόγων πολλοὶἈττικοὶ, ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. οἱ σύμμαχοι, ἀριστεῖον τῇ Ἀθηναίᾳ ἀνέθεσαν.καὶ Πλάτων Εὐθυδήμῳ, ἑρκεῖος Ζεὺς καὶ φράτριος καὶ Ἀθηναίη φρατρία. φασὶ δὲ οἱ παλαιοὶ ὡς ἐπειδὰν ἤρξαντο Ἀθηναῖαι γυναῖκες λέγεσθαι ἀντὶ ἀστῶν, καὶ Ἀττικῶν, ὡς Φερεκράτης, Ἀθηναίαιςαὐταῖς τε καὶ ταῖς συμμάχοις, τό τε ἤρξατο ἐκείνη λέγεσθαι τρισυλλάβως Ἀθηνᾶ. περὶ δὲ τούτων, εἴρηται καὶ ἐν τῇ ¯α τῆς Ἰλιάδος. Ὅρα δὲ τὸ ἔχαιρεν Ἀθηνᾶ πεπνυμένῳ ἀνδρὶ δικαίῳ. πιστωτικὸν ὂνκαὶ αὐτὸ τοῦ χαίρειν τῷ ὁμοίῳ τὸ ὅμοιον. Ἀθηνᾶ γὰρ φρόνησις, ἀγαπῴη ἂν ἄνδρα τὸν κατ' αὐτήν. (ῃερς. 55.) Ὅτι ἐπισπευστικὸν ἱκετείας τὸ, κλῦθι μὴ δὲ μεγήρῃς ἡμῖν εὐχομένοισι, τελευτῆσαι τάδε ἔργα. περὶ ὧν δηλαδὴ τὸ ἱκετεύειν. ἡ μυθικὴ δὲ Ἀθηνᾶ τοῦτο φησίν. εἰδυῖα ὡς οὐκ ἂν χαίροι ὁ Ποσειδῶν οἷς Ἀθηνᾶ ὑπὲρ τοῦ Ὀδυσσέως ποιεῖ. διὸ καὶ αὐτὴ τελευτᾷ τὴν εὐχὴν, ὡς μετ' ὀλίγα φασὶν Ὅμηρος οἷα τοῦ Ποσειδῶνος μὴ ἂν τελέσαντος αὐτήν. (ῃερς. 57.) Ὅτι τῷ Νέστορι μὲν καὶ τοῖς υἱοῖς, ὁ φαινόμενος Μέντωρ κῦδος μόνον ἐπεύχεται. τῶν γὰρ ἄλλων ἁπάντων ἅλις εἶχε. πλοῦτος γάρ φασιν ἦν αὐτῷ. χρόνου μῆκος. εὐπαιδία. μεγάλων πράξεων εὐτυχία. φρόνησις. ἀκμὴ λόγου. τοῖς μέντοι ἄλλοις Πυλίοις, δοθῆναι χαρίεσσαν ἀμοιβὴν τῆς ἑκατόμβης, εὔχεται. μὴ ὁρίσας τὸ τῆς ἀμοιβῆς εἶδος, ἀλλ' ἀρκεσθεὶς εἰς μόνον τὸ, χαρίεσσαν. (ῃερς. 62.) Ὅτι ἐπὶ τοῦ προσποιουμένου μὲν εὔχεσθαί τι, δυναμένου δὲ ποιεῖν ἃ εὔχεται, οἰκεῖον τὸ, ὣς ἄρ ἔπειτ' ἠρᾶτο, καὶ αὐτὸς ἢ αὐτὴ πάντα τελεύτα. (ῃερς. 63.) Ὅτι τὸν χρυσὸν συνήθως τῷ τοῦ καλοῦ ἐπιθέτῳ κοσμῶν, καλὸν δέπας καὶ ἐνταῦθα φησὶν, ὃ φθάσας εἶπε χρύσειον δέπας καὶ χρύσειον ἄλεισον. (ῃερς. 65.) Ὅτι ἐν τῷ, ὤπτησαν κρέα ὑπέρτερα ὃ καὶ ἐν τοῖς ἑξῆς που κεῖται, ἢ τὰ νωτιαῖα οὕτω καλεῖ, ἢ τὰ ὑπεράνω κείμενα τοῦ πυρός. τινὲς δέ φασι, καὶ τὰ ἔξωθεν τῶν ἔνδον. πρὸς διαστολὴν εἰπόντες τοῦτο τῶν σπλάγχνων ἅπερ προήσθιον. (ῃερς. 66.) Ὅτι τὸ, μοίρας δασσάμενοι, δαίνυν τ' ἐρικυδέα δαῖτα, εὐσχήμονι τραπέζῃ ἐπιλεχθήσεται. ὅτε δὲ καιρός τινος ἐρωτήσεως, καλὸν εἰπεῖν τὸ, νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἔρεσθαι. (ῃερς. 69.) Νέστωρ δὲ Γερήνιος ἱππότα, τοῦτο φησὶν, αὐθωρὸν τοὺς ξένους ἐρωτῶν. καὶ οὐκ ἀναμένων τὴν ἐν ἄλλοις ἱστορουμένην ἐνναήμερον. (ῃερς. 70.) Εἰ δὲ καὶ δαιτός ἐστι καιρὸς, καλὸν ἐπαγαγεῖν καὶ τὸ, ἐπεὶ τάρπησαν ἐδωδῆς. ἤγουν 1.113 νῦν ἐρωτητέον αὐτοὺς ἐπεὶ ἔφαγον. Καὶ ὅρα ὡς διὰ σαφήνειαν τοῦ νῦν, ἐπήνεγκε τὸ, ἐπεὶ τάρπησαν. ἵνα μὴ τὸ νῦν, πλατικὸν νοηθῇ. Τὸ δὲ τάρπησαν, ἀντὶ τοῦ ἐκορέσθησαν. ἢ μᾶλλον ἐτέρφθησαν δι' ἐδωδῆς. ἣν πρὸ ὀλίγων δαίτην εἶπε κατὰ πολυωνυμίαν. ἔστι γὰρ αὐτὴν καὶ ἐδητὺν εἰπεῖν. καὶ δαῖτα. καὶ βρώμην. καὶ βρῶσιν. ὡς τὸ, δότ' ἀμφίπολοι βρῶσιν τε πόσιν τε. Περὶ δὲ τοῦ Γερήνιος, ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. (ῃερς. 68.) Καὶ περὶ τοῦ ἱππότα δὲ, ποιητικῆς ταύτης εὐθείας τῶν ἑνικῶν. ἣν καὶ ὅσαι δὲ κατ' αὐτὴν, ὁ τοξότα, ὁ ἱππηλάτα, καὶ τὰς ὁμοίας, Εὐδαίμων ὁ Πηλουσιώτης, Μακεδόνων γλώσσης εἶναι λέγει. οἳ τρέπουσιν εὐθειῶν κλινομένων διὰ τῆς ¯ο¯υ, τὸ ¯η¯ς εἰς ἄλφα, ἵνα μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπαραμύθητος ἀμφίμακρος πέσῃ ἐπὶ πολλῶν. οἷς συνεξηκολούθησε καὶ τὸ, Θυέστ' Ἀγαμέμνονι λεῖπεν. ὁρᾶται δὲ τοῦτο κατὰ τὴν ἐκείνου παρατήρησιν, οὐ μόνον ἐπὶ εὐθειῶν, ἀλλὰ καὶ ἐπὶ ἄλλων πτώσεων. Ἄρατος γοῦν φησὶ, πρότεροι πόδες ἱππότα φηρός. ἤγουν ἱππότου. παράγει δὲ ἐκεῖνος καὶ Ἰλλυρικὸν ὄνομα ἐν ἐπιγράμματι τὸ, πατὴρ δέ μ' ἔφυσε Κόπαινα. ἤτοι ὁ Κοπαίνης. καὶ Συρακούσιον τὸ ὁ Μύριλλα. οὗ μεμνῆσθαι λέγει τὸν Σώφρονα. ἱστορῶν καὶ ὅτι τοῦ Συρακουσίου τούτου κύριον, Δημόκοπος ἦν ἀρχιτέκτων. ἐπεὶ δὲ τελεσιουργήσας τὸ θέατρον, μύρον τοῖς ἑαυτοῦ πολίταις διένειμε, Μύριλλα ἐπεκλήθη. πάντως δὲ τοῖς εἰρημένοις ὀνόμασι τοῖς ὡς ἄλλοι φασὶν Αἰολικοῖς, συντέτακται καὶ τὸ, ὁ νεφεληγερέτα. Αἰολικὰ δὲ καὶ τὸ, ὁ μητίετα καὶ ὁ ἀκάκητα. (ῃερς. 69.) Ἰστέον δὲ καὶ ὅτι τὸ μεταλλῆσαι καὶ ἔρεσθαι, διασαφεῖ ὡς οὐ κυριολεκτεῖται ἐν τούτοις τὸ ἔρεσθαι, ἀλλὰ πολυπραγμοσύνην δηλοῖ προσήκουσαν τῷ πυνθάνεσθαι. ὧν τὴν διαφορίαν τὴν παρὰ πολλοῖς καθιστῶντες εἴς τι ὡρισμένον οἱ παλαιοὶ, πολλὰ μὲν καὶ ἄλλα φασὶν, ἐν δὲ ἐκείνοις καὶ ταῦτα. ἐρωτᾶν ἐστὶ, τὸ ἐθέλειν κεφαλαιώδη λαβεῖν ἀπόφασιν περὶ ὑποκειμένου πράγματος. οἷον, εἴρεαι ὁππόθεν εἰμὲν, ἐγὼ δέ κέ τοι καταλέξω. καὶ, ἀλλ' ἴθι νῦν Πάτροκλε Διΐ φίλε Νέστορ' ἔρειο. πυνθάνεσθαι δὲ, τὸ διεξοδικῶς ἀκούειν ἐρωτήσεως δίχα, τὰ ὑπό τινων λεγόμενα, οἷον, νῦν δ' ὅτε δὴ μέγας εἰμὶ καὶ ἄλλων μῦθον ἀκούων πυνθάνομαι. καὶ, πυνθανόμην Ἰθάκης. καὶ οὕτω μέν τινες. φιλοσόφως μέντοι, ἐρώτησίς ἐστι, φράσις συμβολικὴν ἀπόκρισιν ζητοῦσα. οἷον. ἆρά γε οὕτως ἔχει; πρὸς ὃ ἐπαχθὲν τὸ ναὶ ἢ οὒ ἢ τὸ ἀναμφιβόλως, ἢ τοιοῦτόν τι, συμβολικὴν ἀπόφανσιν ἐποίησε. τοιοῦτον δὲ καὶ τὸ, σαφές. ἢ ἄδηλον. καὶ τὰ τοιαῦτα. ἔστι δ' ὅτε φασὶ καὶ ἑτέρως ἀποκρινόμεθα πρὸς ἐρώτησιν. οἷον. ἡμέρα ἐστίν; ἔστιν, ἢ οὐκ ἔστι. καὶ τοιοῦτον μὲν ἡ ἐρώτησις. πεῦσις δέ ἐστι, φράσις πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνασθαι. οἷον. ποῦ κατοικεῖ ὁ δεῖνα; ἐρεῖ γὰρ ὁ ἐρωτηθεὶς, ὅτι ἐν τῷδε τῷ τόπῳ. καὶ πῇ ἔβη Ἀνδρομάχη; ἐπὶ πύργον μέγαν Ἰλίου. καὶ οὐκ ἔστιν ἐν τούτοις εἰπεῖν συμβολικῶς, ναὶ ἢ οὔ. καὶ ἄλλως δέ φασιν, ἐρώτησις μέν ἐστιν, ἡ σύντομον ἀπόκρισιν ἀπαιτοῦσα. πεῦσις δὲ, μακρᾶς πράξεως ἀπαγγελία. (ῃερς. 70.) Ὅτι τὸ, ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα; ἢ τί κατὰ πρῆξιν ἢ μαψιδίως ἀλάλησθε, οἷά τε ληϊστῆρες ὑπὲρ ἅλα, τοί τ' ἀλόωνται ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες. τὰ τοίνυν τοιαῦτα ἔπη κεῖνται καὶ ἐν τοῖς κατὰ τὸν Κύκλωπα. (ῃερς. 71.) Λέγει δὲ κέλευθα ὑγρὰ, διαστέλλων τῶν κατὰ ξηράν. κέλευθος γὰρ, καὶ ἐπὶ γῆς. ὥσπερ αὖ πάλιν καὶ ἐπὶ θαλάσσης ὁδός. δεδήλωται δὲ καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ὁ τοῦ κάππα πλεονασμὸς, ἐν τῷ κέλευθος. καὶ ἐν τῷ καυλωνία. παρὰ τὸν αὐλῶνα γὰρ ἐκεῖνο λέγεται. καὶ ἐν τῷ ἀνθήλια κανθήλια ὥς φασιν οἱ παλαιοί. Τοῦ δὲ ἐστὲ, πρωτότυπος κίνησις, ἐκ τοῦ εἰμὶ, ἐμὲν, ἐτέ. καὶ ἄλλως μὲν προσθέσει τοῦ ἰῶτα, εἰμέν. εἰτέ. Δωρικῶς μέντοι, ἐσμὲν ἐστέ. ἡμάρτηται δὲ καθ' Ἡρακλείδην τὸ ἐστέ. ὡς γὰρ οὐ λέγομεν δείκνυστε ἢ φαστὲ, οὕτως οὐδὲ ἐτὲ ἐστέ. ἔτι δὲ καὶ καθότι ὀξύνεται, οὐδὲν γὰρ τῶν εἰς ¯τ¯ε ληγόντων ὀξυτονεῖται, ἡμαρτημένου τοῦ φατέ. καὶ Ἀρίσταρχος ἁμαρτάνει φησὶν ἐγκλίνας ἐν Ἰλιάδι τὸ, ὑμεῖς μάρτυροί ἐστε. οὐ γὰρ ἀνήρηταί τι μὴ πρότερον ὀξυτονούμενον. εἰ δὲ ἀνήρηται τὸ ὀξυτονούμενον, ἄτοπός φησι καὶ ἡ ἔγκλισις. οὕτω δὲ καὶ περὶ τούτων γράψας, ἑτέρωθι λέγει ὅτι τὸ ἐσμὲν ἐστὲ εἰσὶν εἰ καὶ ἡμάρτηται ὀξυτονούμενα, ὅμως ἔπαθον τοῦτο, διὰ τὰ ἑνικὰ οἷς ὀφείλουσιν ὁμοτονεῖν. εἶτα ἐπιφέρων καὶ χρῆσιν τοῦ ἐμὲν ὅθεν γίνεται τὸ ἐσμὲν, λέγει ὅτι Ὅμηρος μὲν, σὺν τῷ ἰῶτα ἔφη ἀπήμονες εἰ μέν. τὸ δὲ ἀνάλογον, παρὰ Καλλιμάχῳ ἐν τῷ, γρῆες ἐμέν. ἤγουν γραῖαι ἐσμέν. (ῃερς. 72.) Ὅρα δὲ καὶ ὅτι τοὺς πορευομένους ἢ ἄλλως οὐκ ἐπὶ κακῷ πλέοντας, κατὰ πρῆξιν πλέειν φησί. τοὺς δὲ ληϊστῆρας ὅ ἐστι πειρατὰς, μαψιδίως. ὃ καὶ ἐπὶ τῶν βιαίων μνηστήρων ἐῤῥέθη. λέγει δὲ καὶ ἀλᾶσθαι τοὺς ληϊστῆρας, τὸ ἄσκοπον καὶ 1.114 ἀόριστον τοῦ σφῶν πλοῦ ἀπεικάζων πλάνῃ. (ῃερς. 74.) Τὸ δὲ ψυχὰς παραθέμενοι, κεφαλὰς ἐπὶ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μνηστήρων εἶπεν. ὡς ταυτὸν ὂν οὕτως ἢ οὕτως εἰπεῖν. καθὰ καὶ αὐτὸ προείρηται. Ἐν δὲ τῷ ἀλλοδαπὸς καθὰ καὶ ἀλλαχοῦ ἐῤῥέθη, ἔγκειται τὸ ἔδαφος. ἵνα ᾖ ἀλλοδαπὸς, ὁ ἀπὸ ἄλλου ἐδάφους. τραπέντος Ἰωνικῶς τοῦ ψιλοῦ εἰς δασύ. τοῦτο δὲ οἱ παλαιοὶ παρέλκουσι καὶ εἰς τὸ ἡμεδαπὸς καὶ ἐνδαπὸς καὶ εἴ τί που ὅμοιον. τῶν τινὲς δὲ παλαιῶν εἶπον ὡς ἀλλοδαπὸς, ὁ ἀπὸ ἄλλου δαπέδου. καὶ τὰ σύστοιχα δὲ τούτου, ὁμοίως. (ηερς. 73.) Τὸ δὲ ὑπὲρ ἅλα ἀλῶνται ὃ δὴ καὶ παρηχεῖται, εἰς ἑρμηνείαν ἐπῆκται τοῦ ληϊστῆρες. ἵνα οὕτω μὴ χερσαῖοι νοηθῶσι λησταὶ ἀλλὰ κατὰ θάλασσαν. Ἰστέον δὲ ὅτι τέχνη τοῖς παλαιοῖς καὶ τὸ πειρατεύειν, καὶ οὐ πάνυ ἐπίψογον οὐδ' αἰσχρὸν ὡς καὶ Θουκυδίδῃ δοκεῖ, οὐδὲ ἄδοξον, τὸ ληΐζεσθαι. Τηλέμαχος οὖν φησίν. οὕς μοι ἐληΐσατ' Ὀδυσσεύς. καὶ Νέστωρ δὲ νῦν ἐρωτᾷ τοὺς ξένους, εἰ κατὰ πρῆξιν ἢ μάτην ἀλῶνται οἷα ληϊσταί, ὡς ἐκείνων ἀποκρινουμένων ἓν ἐξ ἑκατέρων. πῶς δ' ἂν ἀπεκρίναντο λῃσταὶ εἶναι εἴπερ φαῦλον ἐδόκει τὸ ἐπιτήδευμα; καὶ τοιοῦτοι φωραθέντες, ἔμελλον ἁλόντες δοῦναι δίκην. ἱστορεῖ δὲ καὶ Ἡρόδοτος τῶν τισὶ παλαιῶν καὶ μάλιστα τοῖς περὶ Θρᾴκην, γῆν μὲν ἐργάζεσθαι, ἄτιμον εἶναι. ζῆν δὲ ἀπὸ πολέμου καὶ λῃστείας, κάλλιστον. συμφωνεῖ δὲ τοῖς ταῦτα λέγουσι καὶ ὁ ἱστορήσας ὅτι βίος τῶν Ἑλλήνων τοῖς πρώτοις ἀπὸ λῃστείας τὸ πολὺ ἐπορίζετο. καὶ ὅτι τὸ ἀπὸ λῃστείας βιοτεύειν τοσοῦτον ἀπεῖχε τοῦ αἰσχύνην φέρειν, ὡς καὶ ἐν καλῷ μᾶλλόν τι καθεστηκέναι. καὶ ἕδνα ταῖς νύμφαις οἱ νυμφίοι τὰ ληϊσθέντα σὺν κλέϊ ἔφερον. καὶ οὕτω μέν τινες. Ἀρίσταρχος δὲ μοχθηρὸν τὸ λῃστεύειν ἡγεῖται, διὰ τὰ συμφραζόμενα. ἐν οἷς ὁ ποιητὴς μαψιδίως πλανᾶσθαι φησὶ, ψυχὰς παραθέμενοι. κακὸν ἀλλοδαποῖς φέροντες. ἀλλ' οὐδ' Ἀχιλλεύς φησιν ἢ ἄλλος τῶν ἡρώων, λῃστεύειν ἐλέγχθη. εἰ δὲ τῆς ληΐδος ὁ Πηλείδης ἄρχει ὡς ἐρεῖ ὁ ποιητὴς μετ' ὀλίγα, ἀλλ' οὐκ ἤδη τοῦτο λῃστεύειν ἐστίν. εἰ δὲ καὶ Ἀθηνᾶ ληῗτις ἐκ τῆς ληΐδος λέγεται, ἀλλ' οὐ ταυτὸν λῃστεία καὶ ληῒς ὅ ἐστι λαφυραγωγία. (ηερς. 81.) Ὅτι τὴν Ἰθάκην ὑπονήϊον ἐνταῦθα φησίν. εἰπών. ἡμεῖς ἐξ Ἰθάκης ὑπονηΐου ἤλθομεν. καὶ ἐγράφη περὶ τούτου ἐν τῇ ¯α ῥαψῳδία. (ηερς. 82.) Ὅτι ἀντιδιέσταλται τὸ ἴδιον τῷ δημίῳ πράγματι, καθὰ δηλοῖ τὸ πρῆξις δ' ἥδ' ἰδίη οὐ δήμιος. ἐξ ὧν οἱ μεθ' Ὅμηρον τὸ ἰδιωτικόν φασι καὶ δημόσιον. Ὅρα δὲ ὡς λέξις χρηστὴ ἐπ' ἀγαθῷ παρὰ τοῖς παλαιοῖς, ὕστερον εἰς ἑτεροίαν σημασίαν μετέπεσε, κολαστὴς γὰρ ὁ δήμιος παρὰ τοῖς μεθ' Ὅμηρον. (ηερς. 83.) Ὅτι τὸ μετελθεῖν καὶ τὸ μετέρχεσθαι, οἱ μὲν ὕστερον ἐπί τινος φασὶν ἐκδικήσεως, ἔτι δὲ καὶ μεταχειρίσεως. Ὅμηρος δὲ εἰπὼν διὰ τοῦ Τηλεμάχου ὅτι πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, οὐχ' οὕτω νοεῖ. ἀλλ' ἁπλῶς φησὶν ὡς δι' ἀκοὴν ἔρχομαι τοῦ πατρός. οὗ καὶ ἔπαινον ἐπιπλέκει τὸ, δίου καὶ ταλασίφρονος. Καὶ σημείωσαι ὅτι κάλλιον εἶπεν ἄρτι ὁ Τηλέμαχος ἤπερ πρῴην ἡ Πηνελόπη. αὐτὴ μὲν γὰρ ἐστενοχώρησε τὸ τοῦ ἀνδρὸς κλέος κατὰ Ἑλλάδα καὶ Ἄργος. ὁ δὲ, διὰ μιᾶς λέξεως τοῦ εὐρὺ, ἐπλάτυνε τὸν τοῦ πατρὸς ἔπαινον. ἀδιορίστως εἰπὼν καὶ μὴ ἐμπεριγράψας αὐτὸν τόπῳ ῥητῷ. (ηερς. 88.) Ἰστέον δὲ ὅτι τὸ, κλέος εὐρὺ, ἐσθλὸν ἐλέγχθη ἐν τῷ, ἥδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποις ἔχει. Ὅτι ἀπευθὴς ἀλλαχοῦ μέν, ὁ μηδέν τι μαθών. ἐνταῦθα δὲ, ὁ μὴ ἀκουσθείς. φησὶ γοῦν τὸν τοῦ Ὀδυσσέως ὄλεθρον, ἀπευθέα, ἤγουν ἀνήκουστον. ὅπερ καὶ αὐτὸς Ὅμηρος ἡρμήνευσε διά τε τῶν εὐθὺς πρὸ αὐτοῦ καὶ τῶν αὐτίκα κειμένων μετ' αὐτό. φησὶ γάρ. ἄλλους μὲν γὰρ πάντας πευθόμεθα ὅποι ἕκαστος ἀπόλωλεν. ἐκείνου δὲ ὁ ὄλεθρος, ἀπευθής. οὐ γάρ τις δύναται σάφα εἰπεῖν. ἐξ οὗ δηλαδὴ πευσόμεθα. Ἰστέον δὲ ὅτι ἐκ τοῦ τοιούτου πεύθω, γίνεται καὶ πευθὴν πευθῆνος ὡς σωλὴν σωλῆνος, ὁ στελλόμενος ἐφ' ᾧ τὰ τῶν πολεμίων πεύθεσθαι. καὶ πολλὴ τῆς λέξεως ταύτης χρῆσις παρὰ τοῖς παλαιοῖς. (ηερς. 91.) Ὅτι καὶ ἐνταῦθα ἡ μετ¯α πρόθεσις, δοτικῇ συντάσσεται. φησὶ γὰρ. ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης. περὶ ἧς μῦθος ὅτι ἐν Νάξῳ τὴν Ἀμφιτρίτην χορεύουσαν ἰδὼν Ποσειδῶν ἥρπασεν. (ηερς. 92.) Ὅτι τὸ γουνάζεσθαι περιφράζων ἅμα καὶ παραφράζων, φησί. τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι. ὅ ἐστιν, ἵκω.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱκετεύω δηλαδή. (ῃερς. 94.) Τὸ δὲ ἐὰν εἶδες ἢ ἤκουσας περιφραστικῶς προάγων, λέγει, εἴπου ὄπωπας ὀφθαλμοῖσι τεοῖσιν ἤγουν σοῖς, ἢ ἄλλου μῦθον ἄκουσας. Καὶ ὅρα τὸ τεοῖσι, ῥηθὲν πρὸς ἀκρίβειαν, ἐπεὶ ἔστι βλέπειν καὶ ἑτέρων ὀφθαλμοῖς. ὁποῖοι καὶ οἱ κατὰ τοὺς ἱστορικοὺς ὀφθαλμοὶ τῶν βασιλέων. Ἐκ δὲ τοῦ ὄπωπα, κεῖται μετ' ὀλίγα ὄνομα ῥηματικὸν ἡ ὀπωπὴ μετὰ τῆς τοῦ οἰκείου παρακειμένου αὐξήσεως. ἣν ἔχει καὶ ἡ ἀντιπεπόνθησις. καὶ ἡ ἐγρήγορσις. καὶ 1.115 ἡ πεποίθησις. (ῃερς. 92.) Ἐκ δὲ τοῦ ῥηθέντος ἵκω, εὕρηται καὶ ἀφίκτωρ παρὰ τοῖς παλαιοῖς ὁ ἱκέσιος. (ῃερς. 96.) Ὅτι ὁ τὰ ἐπὶ λύπην μαθεῖν ἀξιῶν ἔκ τινος, εἴποι ἂν, μὴ δέ τι μ' αἰδόμενος μειλίσσεο μὴ δ' ἐλεαίρων. ἀλλ' εὖ μοι κατάλεξον. Καὶ ὅρα τὸ κατάλεξον. οὗ τὸ παράγωγον ὁ λόγος οὐκ ἔγνωσταί φασι τῷ ποιητῇ ὡς πολλαχοῦ ἐσημειώθη. (ῃερς. 96.) Τὸ δὲ μειλίσσεο, οὐ δηλοῖ συνήθως τὸ καταπράϋνε, ἀλλ' ἐπὶ τοῦ λέγειν τὰ μείλιχα εἴληπται. (ῃερς. 94.) Ὅτι στοχαζόμενος ὁ Τηλέμαχος τοῦ εἰκότος, φησὶ πρὸς Νέστορα, εἴ ποτέ τοι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς, ἢ ἔπος, ἢ ἔτι ἔργον ὑποστὰς ἐξετέλεσσε δήμῳ ἐνὶ Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί. τούτων ἄρτι μνησθεὶς, νημερτές μοι εἰπέ. χάριν ταύτην ἀντιδιδοὺς ἀνεπαχθῆ. καὶ νῦν μὲν, οὕτω δεξιῶς ἔφη. φθάσας δὲ, καὶ ἄλλως προεθώπευσε τὸν γέροντα, εἰπών. ὃν ποτέ φασι σὺν σοὶ μαρνάμενον Τρώων πόλιν ἐξαλαπάξαι, ὑπασπιστὴν αὐτοῦ τρόπον τινὰ τὸν πτολίπορθον Ὀδυσσέα ποιῶν. ὡς εἴ τις καὶ τὸν Μηριόνην σὺν τῷ Ἰδομενεῖ μάχεσθαι εἴπῃ. ἢ σὺν τῷ Ἀχιλλεῖ τὸν Πάτροκλον. (ῃερς. 98.) Τὸ δὲ ἐσθλὸς Ὀδυσσεὺς, οὐ παρέῤῥιπται εἰκῇ, ἀλλ' ἐν ἔργῳ. εἰ γὰρ ἐσθλὸς ὡμολόγηται, πάντως καὶ ἔπραξεν ἄντι πρὸς χάριν τῷ Νέστορι. Ὅτι δὲ ὑφίστασθαι τὸ ὑπισχνεῖσθαι ὁ ποιητὴς οἶδε καὶ διὰ τί, ἐν τῇ Ἰλιάδι ἐῤῥέθη. Ἰστέον δὲ ὅτι τὸ,δήμῳ ἐνὶ Τρώων ὅθι πάσχετε πήματ' Ἀχαιοὶ, παραφράζων αὐτίκα ὁ Νέστωρ, φησίν. ὀϊζύος ἣν ἐν ἐκείνῳ δήμῳ ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν. τοὺς μὲν Ἀχαιοὺς, καὶ ἐπαίνῳ σεμνύνας. τὸ δὲ πάσχειν, ἀνατλῆναι εἰπών. τὰ δὲ πήματα, ὀϊζύν. (ῃερς. 103.) Ὅτι τὸ ἐπεὶ, ὡς πολλαχοῦ, οὕτω καὶ ἐνταῦθα ἢ ἀναπόδοτον τέθειται κατὰ ἔλλειψιν ἐν τῷ, ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος, καὶ τὰ ἑξῆς, ἢ μετὰ δέκα στίχους ἀποδίδοται ἐν τῷ, τίς κεν ἐκεῖνα πάντα γε μυθήσαιτο ἢ καὶ κατωτέρω αὐτοῦ, ἐν τῷ, οὐδ' εἰ πεντάετες καὶ ἑξάετες. Ἔνθα καὶ ὅρα τὸ πεντάετες καὶ ἑξάετες, καθ' ὁμοιότητα παραχθέντα τοῦ τρίετες περὶ οὗ προγέγραπται. καὶ τοῦ αὐτόετες ὃ ἐν τοῖς ἑξῆς που λεχθήσεται. καὶ τοῦ εἰνάετες ὃ μετ' ὀλίγα κεῖται παρὰ τῷ ποιητῇ. Ὅρα δὲ τὸ ἔμνησας γενικῇ συνταχθέν. τοιοῦτον δὲ καὶ τὸ ἀνέμνησας, ἤγουν εἰς μνήμην ἤγαγες. δῆλον δὲ ὅτι ἐκ τοῦ ἔμνησα γίνεται αὐτοπαθῶς τὸ ἐμνησάμην. ὡς τὸ, μνήσατο Αἰγίσθοιο. καὶ μετοχή, μνησάμενος. τοῦ δὲ ἀμνήσας ὁ μέλλων, ἐν τῷ, μνήσει δέ σε καὶ θεὸς αὐτός. Ὅτι ἀνεπιφθόνως ὁ γέρων Νέστωρ ἐνταῦθα περιαυτολογεῖ, οὐ καταμόνας ἑαυτὸν σεμνύνων, ἀλλ' ἐν τῷ κοινῷ, εἰπὼν οὕτω πως. ὦ φίλε, ἐπεί μ' ἔμνησας ὧν ἐν Τροίᾳ ὑπέστημεν μένος ἄσχετοι Ἀχαιοὶ, καὶ τὰ ἑξῆς. (ῃερς. 105.) Ἐν οἷς διαιρῶν τὰ τοῦ πολέμου, φησίν. ἠμὲν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροειδέα πόντον πλαζόμενοι κατὰ ληΐδ' ὅπῃ ἄρξειεν Ἀχιλλεὺς, ἠδ' ὅσα καὶ περὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος μαρνάμεθα. περὶ γῆν καὶ περὶ θάλασσαν ἱστορῶν εἶναι τὸν Τρωϊκὸν πόλεμον ὡς καὶ ἐν Ἰλιάδι δεδήλωται. ὅτι δὲ καὶ τῆς κατὰ χέρσον μάχης ἦρχεν ὁ Ἀχιλλεὺς ὡς πολέμαρχος καὶ τῆς λοιπῆς, ἱστόρηται καὶ αὐτὸ ἐν πολλοῖς. καὶ ὅτι ἄστυ μέγα ἦν ἡ Τροία, καὶ ὅτι δὲ τὸ τῶν ληϊζομένων ἔργον, πλάνη ἔοικεν ὡς δηλοῖ καὶ τὸ, ληϊστῆρες ὑπὲρ ἅλα ἀλόωνται, καὶ τὸ, πλαζόμενοι κατὰ ληΐδα, οὐκ ἄδηλόν ἐστιν. ὥσπερ οὐδὲ τὸ, τοὺς μὲν τῶν Ἀχαιῶν παραμένειν τότε τῇ Τροίᾳ, τοὺς δὲ πλάζεσθαι περὶ ληΐδα σὺν τῷ Ἀχιλλεῖ. (ῃερς. 108.) Ὅτι Νέστωρ ἐξαριθμούμενος ἐν ἐπιτομῇ ἄνδρας ἐν τῷ Τρωϊκῷ πολέμῳ τρωθέντας ἀρίστους, καὶ οὕτω καταποικίλλων τὴν Ὀδύσσειαν τοῖς ἐξ Ἰλιάδος ἐλλείμμασι, χρῆται σχήματι ἐπιμονῆς. εἰπών. Ἔνθα δὲ κατέκταθεν ὅσσοι ἄριστοι. ἔνθα μὲν Αἴας κεῖται Ἀρήϊος. ἔνθα δ' Ἀχιλλεύς. ἔνθα δὲ Πάτροκλος. ἔνθα δὲ Ἀντίλοχος. πεντάκις εἰπὼντὸ ἔνθα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχει δὲ ὁ τόπος οὗτος καὶ γοργότητα οὐ μόνον τῇ ἐπιτομῇ τῶν ἱστοριῶν, ἀλλὰ καὶ τῇ ἐλλείψει. τὸ γὰρ κεῖται, ἀπὸ κοινοῦ τρὶς λαμβάνεται. (ηερς. 109.) Ὅρα δὲ καὶ ὡς ἐν τῇ ἀπαριθμήσει ταύτῃ τῶν ἱστοριῶν, τὸν μὲν Ἀχιλλέα, ψιλὸν ἄτερ ἐπιθέτου ἐκφωνεῖ, τῆς μήνιδος ἴσως αὐτῷ ἐγκοτῶν, καὶ ὅτι μὴ ἔπεισεν ὑποτιθέμενος μὴ ἐρίζειν τῷ βασιλεῖ. τοὺς δὲ λοιποὺς, ἐπανεῖ. εἰπών. Αἴας Ἀρήϊος. Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος. ἀποδέχεται γὰρ τὸν ἄνδρα, ἐπειδὴ ἔπεισε τὸν Ἀχιλλέα διὰ μέσου αὐτοῦ, ἀποθέσθαι τὴν μῆνιν. τὸν μέντοι Ἀντίλοχον ὡς πρόσθεν αὐτοῦ στάντα ὅτε βαρὺς ὁ αἰθίοψ, Μέμνων ἐπέκειτο καὶ τὸν θάνατον προαρπάσαντα καὶ ὅλως ὡς ἀγαθὸν παῖδα, οὕτω φράζει. ἐμὸς φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀμύμων, Ἀντίλοχος. περὶ μὲν θείειν ταχὺς ἠδὲ μαχητής. (ηερς. 112.) Καὶ ὅρα τὸ περὶ μὲν θείειν ἐξ οὗ ὁ Περίθοος. καὶ πλεονασμῷ τοῦ ¯ι καὶ συναιρέσει, Πειρίθους τὸ κύριον. ἐπεὶ δὲ οἱ ῥηθέντες θάνατοι, ὀλίγοι παντελῶς εἰσὶν, ἐπιφέρει ὁ γέρων ῥήτωρ τὸ, ἄλλα τε 1.116 πόλλ' ἐπὶ τοῖς, πάθομεν κακά. εἶτα πάλιν τοῦτο ἐπαύξων ὡς ἔδει ῥητορικώτερον, φησί. τίς κεν ἐκεῖνα πάντα γε μυθήσαιτο κατὰ θνητῶν ἀνθρώπων; ἐφ' οἷς ὁρίζων κατὰ χρόνον τὰ πολλὰ κακὰ, ἐπάγει. οὐδ' εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων, ἐξερέοις ἤγουν ἐρωτᾷς ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί, πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο. οἷα δηλαδὴ καὶ τῆς πολυλογίας καὶ πολυηκοΐας, ἀνίαν τῷ κόρῳ ποιούσης. ἐπεὶ δὲ οὔ που σαφῶς τὰ πολλὰ κακὰ ἐδήλωσε, λέγει πρὸς ἐνάργειαν, καὶ τὰ ἐφεξῆς. εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες, παντοίοισι δόλοισι. καὶ τὰ ἑξῆς. εἰ δὲ οὕτω κακὰ εἰνάετες ἐῤῥάπτοντο τοῖς Τρωσὶ, τίς ἂν ἐννέα ἐτῶν παντοίους δόλους ῥᾳδίως φράσειεν; οὐ μάτην οὖν ὁ ποιητὴς ἐν Ἰλιάδι τὰ ἐκ τοῦ πρώτου ἔτους Τρωϊκοῦ πολέμου παραλιπὼν διὰ τὸ δυσεξίτητον, μόνων τῶν περὶ τὸ δέκατον ἔτος ἐγένετο. καὶ ἐκείνων, οὐ πάντων. ἀλλὰ τῶν καιριωτάτων. (ηερς. 111.) Ἰστέον δὲ ὅτι ὁ υἱὸς ὡς ἀλλαχοῦ δεδήλωται, εἴτε ἀπὸ τοῦ ὕω τὸ βρέχω γίνεται κατὰ τοὺς παλαιοὺς εἴτε ἀπὸ τοῦ φύω τὸ γεννῶ, διὰ μόνου τοῦ ¯υ ψιλοῦ ὤφειλεν εἶναι. διὸ καὶ οἱ παλαιοὶ Ἀττικοὶ, οὕτως ἔγραφον ὥς φασιν οἱ τεχνικοί. ἐγράφη δὲ ὅμως διὰ τοῦ ¯υ ψιλοῦ καὶ ἰῶτα ἐν διφθόγγῳ, πρὸς διαστολὴν τοῦ ὗς ὑὸς ὁ χοῖρος. (ηερς. 114.) Ἐν δὲ τῷ, κατὰ θνητῶν ἀνθρώπων, περιττεύειν δοκεῖ ἡ πρόθεσις. ὁποῖα καὶ ἄλλα παρασημειοῦνται πολλά. Τὸ δὲ τίς κεν ἐκεῖνα πάντα γε μυθήσαιτο καὶ ἑξῆς ἕως τοῦ, πατρίδα γαῖαν ἵκοιο, δύναταί ποτε παρῳδηθῆναι πρός τινος, ἐπὶ ἀφηγήσεως πολλῶν δυσχερῶν. (ηερς. 118.) Σημείωσαι δὲ ὅτι τὸ μὲν κακὰ ῥάπτειν διαλελυμένως λεχθὲν, οὐκ ἐπὶ ψόγῳ ἐτέθη. τὸ μέντοι σύνθετον ἡ κακοῤῥαφία, ἐπίψογον. ὡς δηλοῖ καὶ τὸ, κακοῤῥαφίῃσι νόοιο. οὕτω καὶ τὸ, δίκην μὲν ἐν χερσὶν εἶναι, ἀγαθόν ἐστιν. ὁ δὲ χειροδίκης, φαυλότητα ἔχει, ὡς Ἡσίοδος δηλοῖ. ὁμοίως δὲ καὶ τὸ μὲν ὑπὸ σκιᾷ μαχούμεθα, φαῦλον δηλοῖ οὐδέν. οὐ μέντοι καὶ τὸ σύνθετον τὸ σκιαμαχεῖν. Τὸ δὲ ἀμφιέποντες, ἢ ἀντὶ τοῦ, κυκλοῦντες ὡς καὶ ὅτε τρίποδα πῦρ ἀμφέπει. ἢ βλαπτικῶς ἐνεργοῦντες. ὡς τὸ, τοὺς, δέρον ἀμφί θ' ἕπον. (ηερς. 119.) Ἐν δὲ τῷ, παντοίοις δόλοις, ἐπαινετοὺς δόλους ὁ γέρων λέγει, ὁποῖοι καὶ οἱ κατὰ πόλεμον. διὸ καὶ τὸν Ὀδυσσέα ἐπαινέσει, ὡς μάλα πολὺ νικῶντα παντοίοις δόλοις ὡς αὐτίκα λεχθήσεται. Ὅτι συγκεφαλαιωσάμενος ὁ Νέστωρ πρὸ βραχέων ἐν στίχοις τρισὶ τὸν Τρωϊκὸν πόλεμον ἔνθα ἔφη τοὺς Ἀχαιοὺς πολλὰ ξὺν νηυσὶ παθεῖν ἐπὶ πόντον πλαζομένους κατὰ ληΐδα καὶ περὶ ἄστυ μέγα Πριάμου μαρναμένους, ἐνταῦθα ἐν δυσὶν ἔπεσι τὸ αὐτὸ ποιεῖ, εἰπών. εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες, ὡς ἐῤῥέθη, παντοίοισι δόλοισι. μόγις δ' ἐτέλεσσε Κρονίων. ἤγουν. τὸ τέλος ἐπήγαγεν οὗ ἕνεκεν ὁ Τρωϊκὸς πόλεμος. (ηερς. 1.) Ὅτι Νέστωρ τὸν Ὀδυσσέα ἐπαινῶν, φησίν. Ἔνθα τουτέστι κατὰ Τροίαν, οὔτις ἐκείνῳ ποτὲ, μῆτιν ὁμοιωθήμεναι ἄντην ἤθελεν ὅ ἐστι ἠδύνατο, καθὰ καὶ ἀλλαχοῦ ἐφάνη. ἐπεὶ μάλα πολλὸν ἠνίκα δῖος Ὀδυσσεὺς, παντοίοισι δόλοισι πατὴρ τεός. (ηερς. 123.) Εἶτα ἐνδοιάσας εἰ ἐτεόν γε κείνου ἔγγονός ἐστιν, ἐπάγει ὅτι σέβας μ' ἔχει εἰσορόωντα, τὸν τῆς μορφῆς δηλαδὴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χαρακτῆρα. καὶ τοὺς αὐτοῦ λόγους τοῖς τοῦ Ὀδυσσέως εἰκάζει. (ηερς. 124.) Εἰπὼν ὅτι τε μῦθοι ἐοικότες τοῖς τοῦ πατρὸς δηλαδὴ, καὶ ὅτι οὐκ ἂν φαίης ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι, ὅ ἐστι καθήκοντα. Καὶ ὅρα ὅτι ἐν τόπῳ ἑνὶ, ἐπὶ δύο σημαινομένων τὸ ἐοικέναι ἔθετο ἤγουν ἐν τῷ, μῦθοι ἐοικότες. καὶ ἐν τῷ, ἐοικότα μυθήσασθαι. Σημείωσαι δὲ καὶ ὅτι ὁ μὲν Τάφιος Μέντης, κεφαλὴν καὶ ὄμματα καλὰ ἐοικέναι τὸν Τηλέμαχον τῷ πατρὶ λέγει. Ἑλένη δ' ἐκ τοῦ εἴδους στοχασαμένη, ἐρεῖ οὔπω τινὰ γενέσθαι ἐοικότα οὕτως οὔτε ἄνδρα οὔτε γυναῖκα, ὡς αὐτὸς Ὀδυσσεὺς υἱῷ ἔοικε. καὶ ὁ Μενέλαος δὲ, οὕτως εἴπῃ νοεῖν. ἐκείνου γάρ φησι τοιοίδε πόδες τοιαί δέ τε χεῖρες ὀφθαλμῶν τε βολαὶ κεφαλή τ' ἐφύπερθέ τε χαῖται. ὁ μέντοι ῥήτωρ Νέστωρ, οἰκείως ἐκ τοῦ λόγου αὐτὸν εἰς ὁμοιότητα τοῦ πατρὸς ἐξεικόνισε. Καὶ ὅρα τὸ τοῦ Ὁμήρου πλούσιον καὶ ποικίλον καὶ ἐν τοῖς τοιούτοις εἰκασμοῖς. (ηερς. 126.) Σημείωσαι δὲ καὶ ὅτι ὁ Νέστωρ εἰπὼν ὡς ἐν Τροίᾳ οὐδεὶς βουλεύεσθαι ἦν ὅμοιος τῷ Ὀδυσσεῖ, καὶ οὕτω πάντων ὑπερεξάρας ἐκεῖνον ἤδη δὲ καὶ ἑαυτοῦ, ὕστερον λεληθότως ἑαυτὸν εἰς ἶσον ἄγει τῷ Ὀδυσσεῖ φειδόμενος τοῦ μείζονος διὰ τὸν ἀκροατὴν Τηλέμαχον. καὶ φησὶν ὅτι ἐγὼ καὶ Ὀδυσσεὺς ἐν Τροίᾳ οὔ τέ ποτ' εἰν ἀγορῇ δίχα βάζομεν, οὔτ' ἐνὶ βουλῇ, ἀλλ' ἕνα θυμὸν ἔχοντε, νόῳ καὶ ἐπίφρονι βουλῇ φραζόμεθα ὅπως ὄχ' ἄριστα γένηται. φιλίας δὲ πάντως χαρακτὴρ τὸ οὕτως ἐφ' ἅπασι συμφωνεῖν. Ὅρα δὲ ὅτι οὐκ εἶπεν ὁ Νέστωρ ὡς καὶ ἐν πολέμῳ συμπαρέμενε τῷ Ὀδυσσεῖ, ἀνδρεῖος γὰρ ἐκεῖνος, ὡς οὐ πέμπελος κατὰ τὸν Νέστορα. (ηερς. 1.) Ἰστέον δὲ καὶ ὅτι ὁμοιω 1.117 θῆναι ἄντην ἔφη, ἀντὶ τοῦ ἄντικρυς καὶ αὐτόχρημα. τὸ γὰρ ἄλλως ἁπλῶς ὁμοιωθῆναι, οὐκ ἀδύνατόν ἐστιν. οὐχ' ὁμοιοῦται δέ τις ἄντην, τῷ λίαν κρείττονι. διὸ ἔφη, ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεύς. (ηερς. 122.) Τὸ δὲ εἰ ἐτεόν γε κείνου ἔκγονός ἐσσι, πάνυ γοργῶς ἔφρασε καὶ οὐδὲ κατὰ τὸν Τάφιον Μέντην. ἐκεῖνος γὰρ, ἠρώτησεν εἰ δὴ ἐξ Ὀδυσσέως τόσος πάϊς ὁ Τηλέμαχος. ἔργον θέμενος τὴν ἐρώτησιν. Νέστωρ δὲ, ὡς ἐν παρέργῳ καὶ ἐκ παρόδου ἐνεδοίασε. (ηερς. 123.) Τὸ δὲ ἔκγονος, τινὰ τῶν ἀντιγράφων ἔχουσιν ἔγγονος. καὶ τοῦτό ἐστι τὸ τὴν ἀμφιβολίαν εἰσαγαγὸν τοῖς ὕστερον, τινῶν μὲν λεγόντων, ἔγγονον τὸν υἱὸν, ὡς ἐγγὺς γόνον. ἔκγονον δὲ τὸν υἱωνὸν, ὡς ἐκ γόνου ὄντα. ἑτέρων δὲ, τὸ ἀνάπαλιν. ἔκγονον μὲν, τὸν υἱόν. ἔγγονον δὲ, τὸν ἐκ παιδός. ὃ καὶ κρατεῖ μάλιστα. (ηερς. 126.) Ἐν τούτοις δὲ, κεῖται καὶ τὸ ἕως ἀντὶ τοῦ τέως, καθὰ καὶ ἀλλαχοῦ. φησὶ γάρ. ἔνθ' ἤτοι εἵως μὲν, ἐγὼ καὶ Ὀδυσσεὺς ταῦτα ἐποιοῦμεν. (ηερς. 128.) Τὸ δὲ ἕνα θυμὸν ἔχοντες, ἀντίθετόν ἐστι πρὸς τὸ δίχα βάζειν δῆλον γὰρ ὡς οἱ δίχα βάζοντες, οὐκ εἰσὶν ὁμόψυχοι. ἡ δὲ Ἰλιὰς καὶ ἐπὶ ἀνδρείων δύο ἑταίρων τὸ, ἕνα θυμὸν ἔχειν, ἔφρασε. μεταποιήσασα τὸ ἕνα εἰς ἶσον πρὸς πλείω ἔμφασιν ὁμοιότητος ἀνδρικῆς. τοιοῦτον γὰρ τὸ ἔχειν ἶσον θυμόν. (ηερς. 127.) Τὸ δὲ νόῳ καὶ ἐπίφρονι βουλῇ, διαστολή ἐστι πρὸς τοὺς ἀφρόνως καὶ ἀβούλως ὁμοψυχοῦντας. Ὅρα δὲ καὶ ὡς διέστειλεν ἀγορὰν καὶ βουλήν. ἀγορὰ μὲν γὰρ ὡς πολλαχοῦ ἐφάνη, σύναξις κοινή. βουλὴ δὲ, ἡ κατὰ σύγκλητον. (ηερς. 132.) Ὅτι λυγρὸς Ἀργείοις ἐγένετο νόστος κατὰ μῆνιν Ἀθηνᾶς, ἐπεὶ οὔτι νοήμονές φησι οὐδὲ δίκαιοι πάντεςἔσαν. (ηερς. 135.) Ἦν δὲ μῆνις τῆς Ἀθηνᾶς, ὅτι μὴ ἐκολάσθη κοινῶς ὁ Λοκρὸς Αἴας, ἐνυβρίσας τῇ Κασάνδρᾳ κατὰ πρόσωπον τῆς Ἀθηνᾶς. Καὶ ὅρα ὡς ὁ γέρων οὐκ ἐνύβρισε δι' αἰσχρορῥημοσύνης τεθνεῶτι τῷ Λοκρῷ ἥρωϊ, ἀλλ' ἐν τῷ καθόλου διέβαλεν. εἰπών. ἐπεὶ οὐ πάντες νοήμονες. οὐ μὴν, ἐπεὶ οὐ νοήμων ὁ Λοκρός. ἴσως δὲ μὴ νοήμονας εἶναι φησὶ, καὶ τοὺς μὴ κολάσαντας τὸν Λοκρόν. (ηερς. 136.) Ὅτι δεικνύων ὁ ποιητὴς κἀνταῦθα ὡς ἡ μὲν ὁμόνοια τῶν ἀρχόντων μέγα τι ἀνύει, φθορᾶς δὲ αἴτιον ἡ διχόνοια, καὶ μάλιστα εἰ κατὰ θεομηνίαν γίνοιτο, ἱστορεῖ ὡς ἡ τῆς Ἀθηνᾶς μῆνις ὀλοὴ, ἔριν ἀμφοτέροις Ἀτρείδαις ἔθηκεν ἐν Τροίᾳ μετὰ τὴν ἅλωσιν. (ηερς. 137.) Οἱ δὲ, καλεσσάμενοι ἐς ἀγορὴν τὸν λαὸν μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐς ἠέλιον καταδύντα. οἵ δ' ἦλθον οἴνῳ βεβαρηότες, υἷες Ἀχαιῶν. μῦθον μυθείσθην, τοῦ εἵνεκα λαὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄγειραν. ἔνθα Μενέλαος μὲν, ἀνώγει νόστου μιμνήσκεσθαι (ηερς. 142.) ἐπ' εὐρέα νῶτα θαλάσσης. κακόν τι ὡς εἰκὸς προορώμενος, θεομηνίαν τυχὸν ἢ καὶ στρατοῦ ἐπέλευσιν. (ηερς. 143.) Οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε. ἐβούλετο γάρ φησιν ἐπισχεῖν τὸν λαὸν ῥέξαι τε τὰς ἱερὰς ἑκατόμβας, ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο. νήπιος. οὐδὲ τὸ, ᾔδη ὃ οὐ πείσεσθαι ἔμελλεν. (ηερς. 147.) Οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων, οὐχ' ὅτι ἀκαμπὴς τὸ θεῖον, στρεπτοὶ γὰρ καὶ θεοὶ αὐτοὶ ὡς ἐν Ἰλιάδι ἐῤῥέθη, ἀλλ' ὅτι οὐ ταχὺ μετατρέπονται. ὃ δὴ καὶ ἀνθρώπων μεγαλοψύχων ἴδιον. εἶτα ἱστορεῖ ὁ ποιητὴς καὶ ὡς ἐπεὶ χαλεποῖσιν ἠμείψαντο ἐπέεσιν ἀλλήλους οἱ ἀδελφοὶ βασιλεῖς ἑστῶτες ἀγορᾶς νόμῳ, ἀνορούσαντες μετὰ ἤχου οἱ Ἀχαιοὶ, ἐμερίσθησαν, καὶ οἱ μὲν, παρὰ τῷ Ἀγαμέμνονι ἔμειναν. οἱ δὲ λοιποὶ, ἀπέπλευσαν. οἳ καὶ ἐλθόντες εἰς Τένεδον, ἔθυσαν. οἴκαδε ἱέμενοι. θέος δ' οὔπω μήδετο νόστον, ὃς ἔριν ὦρσε κακὴν ἐπὶ δεύτερον αὖτις. καθ' ἣν οἱ μὲν ἀμφὶ τὸν Ὀδυσσέα, ἔβησαν ἀποστρέψαντες ἐπ' Ἀτρείδῃ Ἀγαμέμνονι ἦρα φέροντες. Νέστωρ δὲ καὶ οὓς αὐτὸς ἀπαριθμεῖται, ἔφευγον. (ηερς. 146.) Ἐπεί φησι γίνωσκον ἃ δὴ κακὰ μήδετο δαίμων. πόθεν δὲ καὶ πῶς ἐγίνωσκεν, οὐκ ἀφηγεῖται. οἷα μὴ θέλοντος τοῦ ποιητοῦ λαλῆσαί τι ἐνταῦθα σημεῖον ἢ τέρας. τέως γε μὴν δηλοῖ ὁ γέρων, εἰδέναι τεκμαίρεσθαι τὰ μέλλοντα. (ηερς. 136.) Ἰστέον δὲ ὅτι τὸ, ἔριν Ἀτρείδαις ἔθηκεν, οὐ φύσει ἀλλὰ θέσει δηλοῖ τὴν κακὴν ἔριν εἶναι. (ηερς. 138.) Τὸ δὲ ἐς ἠέλιον καταδύντα, ἀντὶ τοῦ περὶ δύσιν ἡλίου. ἐν μέντοι τῇ Ἰλιάδι, τὸ ἕως ἡλίου δύσεως δηλοῖ. φησὶ γάρ. πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα. Ἰστέον δὲ ὡς οὐ ψέγει ἁπλῶς ὁ ποιητὴς τὸ ἐς ἥλιον δύντα ἐπ' ἀγορὰν ἐλθεῖν τοὺς Ἀχαιούς. τοῦτο γὰρ καλῶς ἄν ποτε γένοιτο, καθὰ καὶ τὸ ἐν νυκτὶ, ὡς ἐν πολλαῖς τῶν ἱστοριῶν καὶ ἐν ταῖς Ὁμηρικαῖς δὲ νυκτεγερσίαις εὕρηται. οὔκουν ὡς ἐῤῥέθη, ἐς τὸ πᾶν ἀπαρέσκεται ὁ ποιητὴς τῇ πρὸς ἑσπέραν ἀγορᾷ, ἀλλ' ὅτι οὐ κατὰ κόσμον ἦλθον, οἴνῳ βεβαρημένοι. διὸ καὶ ἀκόσμως στασιάσαντες, ἐμερίσθησαν. ἴσως δὲ καὶ ἄλλως, νὺξ μὲν ἀγαθὴ ἐν τοῖς τοιούτοις, εἴ γε καὶ ἐν νυκτὶ βουλὴ κατὰ τὴν παροιμίαν. καὶ εὐφρόνη δὲ διὰ 1.118 τοῦτο ἡ νύξ. ἥλιος δὲ δύνων, οὐκ εὔθετος εἰς βουλὴν τοῖς ἀπομάχοις, οἳ μάχης μὴ ἐπικειμένης εἰς κόρον ἐμβρωματίζονται. ἔτι δὲ καὶ ἐντεύξεσι μὲν, πρέπων ἂν εἴη ὁ τοιοῦτος καιρὸς ἐπὶ τῶν ὑποπινόντων, οὐ μέντοι καὶ ἀγορᾷ. ἐπεὶ καὶ Σκύθαι κατὰ τὴν ἱστορίαν, ὅσα κατὰ πότον βουλεύονται, κυροῦσιν ἕωθεν νήφοντες. (ηερς. 139.) Τὸ δὲ οἴνῳ βεβαρῆσθαι, καὶ καρηβαρεῖν εἴη ἄν, ὅπερ καὶ καραιβαρᾶν λέγει Φερεκράτης, ὥς φησιν Αἴλιος Διονύσιος. ὃς λέγει καὶ ὅτι καρηβοᾶν τὸ ἰλιγγιᾶν καὶ πεπληρῶσθαι τὴν κεφαλὴν ὑπὸ κραυγῶν. (ηερς. 140.) Τὸ δὲ οἴνῳ βαρεῖσθαι, καὶ οἰνοβαρείειν ἀλλαχοῦ συνθέτως λέγεται. Τὸ δὲ μῦθον μυθείσθην, σύνηθες καὶ αὐτὸ Ἀττικοῖς ὡς καὶ ἄλλα μυρία ὅμοια. ἐν οἷς καὶ τὸ, δαίτην δαινύμενοι. καὶ παρὰ Σοφοκλεῖ τὸ πῶς δῆτα λέγω λόγον ἄῤῥητον. καὶ ἕτερα. (ηερς. 148.) Τὸ δὲ ἐκ τῆς ῥηθείσης μέθης κακόν τε καὶ ἄκοσμον δηλοῖ ὁ ποιητὴς, ἔνθα φησὶν ὡς ἔτι τῶν βασιλέων ἱσταμένων καὶ λογομαχούντων, ἀνορούσαντες μετὰ ἠχῆς ὁ λαὸς ἀσυντάκτως, ἔλυσαν αὐτοὶ τὴν ἀγορὰν ἣν οὐκ ἐκάθισαν. (ηερς. 142.) Νῶτα δὲ θαλάσσης ὥσπερ καὶ πεδιάδος, ἡ ἐπιφάνεια. ἐκ μεταφορᾶς τῶν ἐπὶ νῶτα κειμένων ζῴων καὶ πατουμένων ἐν τῷ κεῖσθαι πρηνῆ. ὑπτία μέντοι θάλασσα ἡ γαληνιῶσα, ἐκ τῶν ἄλλως ἐπὶ ἀναπαύσει κατακεκλιμένων ὑπτίων. καὶ πεδίον δὲ ὕπτιον ἐντεῦθεν λέγεται. καὶ λειμὼν ὕπτιος. (ηερς. 145.) Τὸ δὲ δεινὸν χόλον Ἀθηναίης, πιθανολογεῖ τὸ βαρύμηνι καὶ δυσμετάτρεπτον αὐτῆς εἰς τὸ ἄχολον. (ηερς. 146.) Τὸ δὲ ἐξακέσαιτο, νόσον δηλοῖ καὶ τὸν δεινὸν χόλον ἀκέσεως δαιόμενον. Τὸ δὲ νήπιος, συνήθως καὶ νῦν ἀναφθέγγεται. ὡς τοῦ βασιλέως μικρόθυμον τὸ θεῖον ἡγησαμένου καὶ ῥαδίως παλίντροπον. ὅπερ οὐδὲ Ἰάμβλιχος παραδέχεται ὅπου περὶ εὐχῆς φιλοσοφεῖ. Τὸ δὲ πείσεσθαι, μέσως ἔχει. δηλοῖ γὰρ καὶ τὸ πείσειν τὴν Ἀθηνᾶν καὶ τὸ πεισθῆναι τὴν Ἀθηνᾶν. (ηερς. 148.) Τὸ δὲ χαλεποῖς ἔπεσιν, οὐχ' ἡρμήνευσεν ὁ ποιητὴς, ἵνα μήδ' ἐνταῦθα ὁ Νέστωρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακολογήσῃ, ὁ μὴ δὲ τὴν τοῦ Λοκροῦ Αἴαντος φράσας κακίαν ὡς πρὸ ὀλίγων ἐῤῥέθη. (ῃερς. 160.) Τὸ δὲ τρέπεται νόος, ταυτόν ἐστι τῷ πείθεται. Τὸ δὲ οἴκαδε ἵεσθαι, ὅμοιον τῷ νοστῆσαι. διὸ εἰπὼν οἴκαδε ἱέμενοι, ἐπάγει. Ζεὺς δ' οὔπω μήδετο νόστον. Ὅρα δὲ καὶ ὅτι ὁ μὲν ἐν Ἰλιάδι φιλοβασιλεὺς Νέστωρ, τοῦ συμφέροντος στοχασάμενος, ᾤχετο φεύγων, μὴ καὶ πειραθείη τῶν ἐκ δαίμονος κακῶν, καὶ ἅμα δόξῃ καὶ αὐτὸς νήπιος κατὰ τὸν Ἀτρείδην. ὃς πολλαχοῦ τῆς Ἰλιάδος εἰπὼν τὸ φεύγωμεν, ἐνταῦθα μένειν ἔκρινεν. οὔτε ἐκεῖ φθεγγόμενος εὐγενῶς, καὶ νῦν δὲ, κρίνας κακῶς. Ὀδυσσεὺς δὲ τῷ βασιλεῖ ἐπὶ κακῷ οἰκείῳ χαρίζεται. τοῦτο γὰρ δηλοῖ τὸ, ἦρα φέρειν ὅ ἐστι χάριν. ὅπερ ἐπίηρα φασὶν οἱ ὕστερον. γίνεται δὲ τὸ ἦρα κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ ἐρῶ ἤρανον τὸ ἐπιθυμητόν, ὡς κόπτω κόπανον. πληθυντικὸν, ἤρανα. καὶ ἀποκοπῇ, ἦρα. (ῃερς. 167.) Τὸ δὲ φεῦγον, σπουδαῖον δηλοῖ πλοῦν τὸν εἰς ἀποφυγὴν κακοῦ. διὸ καὶ τὸν Διομήδην φεύγειν ἐκ Τροίας τότε φησὶν, ἐπιμείνας τῇ λέξει. Τὸ δὲ, φεῦγον ἐπεὶ γίνωσκον ὃ δὴ κακὰ μήδετο δαίμων, ἐρεῖ ἂν ἅπας προμηθευσάμενος φυγεῖν ἐκ δαιμονίου κακοῦ. ὥσπερ στάσεως ἐριστικῆς δηλωτικὸν τὸ, ὣς οἱ μὲν χαλεποῖσιν ἀμειβόμενοι ἐπέεσσιν, ἔστασαν. οἱ δ' ἀνόρουσαν ἠχῇ θεσπεσίῃ. δίχα δέ σφισιν ἥνδανε βουλή. (ῃερς. 150.) Καὶ ὅρα τὸ ἥνδανε κοινότερον ἐνταῦθα λεχθέν. πρὸ βραχέων γὰρ, ἑήνδανε Ἀττικῶς ἐφράσθη. (ῃερς. 151.) Ὅτι ἀέσαμεν, ποιητικὴ ἐνταῦθα λέξις ἀντὶ τοῦ, ἀνεπνεύσαμεν. ἐκοιμήθημεν. ὅθεν οὐ μόνον ὑγρὸν ἀέντες ἤγουν πνέοντες ἄνεμοι, ἀλλὰ καὶ ἀεσίφρων ὁ οἱονεὶ κατὰ φρένας κοιμώμενος καὶ ἐναντίος τῷ νηφαλίῳ καὶ ἐγρηγορότι. (ῃερς. 152.) Ὅτι Ὁμήρου εἰπόντος πῆμα κακοῦ ἐν τῷ, ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο, λαβὼν ἐντεῦθεν ὁ ζηλωτὴς αὐτοῦ Σοφοκλῆς, πῆμα ἄτης φησίν. ὅ ἐστιν ἄτη περιφραστικῶς. Ἀρτύει δὲ πῆμα κακοῦ ὁ Ζεὺς, καθὰ καί τις ἀρτύει πῶμα χηλοῦ, ἤγουν ἀραρότως ἐπιτίθησιν. ἢ καὶ ἄλλως, ἀπαρτίζει. καθά που καὶ Εὔμαιος ἀράρισκε πέδιλα. (ῃερς. 154.) Ὅτι βαθυζώνους γυναῖκας τὰς Τρώας φησὶν, ἀντὶ τοῦ εὐστόλους. αἱ βάρβαροι γὰρ, τοὺς ὑποδύτας φασὶν, εἰς βάθος ἐπισύρουσιν. εἶεν δ' ἂν ὑποδύται, οἱ τοῖς ἐπενδύταις ὑποκείμενοι. (ῃερς. 155.) Ὅτι σχῆμα ἐπαναφορᾶς τὸ, ἡμίσεες λαοὶ ἐρητύοντο μένοντες παρ' Ἀτρείδῃ Ἀγαμέμνονι. ἡμίσεες δ' ἀναβάντες, ἐλαύνομεν. τὸ μέντοι ἀναβάντες ἐλαύνομεν, αἱ δὲ μάλ' ὦκα ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον, εὐδίας δηλωτικόν. (ῃερς. 156.) Ἔνθα ὅρα τὸ, μένοντες παρὰ Ἀγαμέμνονι. ἐτυμολογικὸς γάρ τις τρόπος ἐστὶν, ὡς τοῦ Ἀγαμέμνονος παρὰ τὸ μένειν ἐτυμολογουμένου. (ῃερς. 157.) Ἀναβῆναι δὲ καὶ νῦν, τὸ ἀναπλεῦσαι ἐκ τοῦ λιμένος. (ῃερς. 158.) 1.119 Τὸ δὲ στορέσαι, πρωτότυπόν ἐστι τοῦ στρῶσαι καὶ καταστρῶσαι, ἀφ' οὗ τὰ στρώματα. εἰ γὰρ κοιμίζεται θεόθεν πόντος, εἰκότως καὶ καταστορεσθῆναι λεχθείη ἄν. διὸ καὶ Ἡρόδοτος εὐδίαν φράζων, φησίν. ἐπαύσατο ἄνεμος καὶ τὸ κῦμα ἔστρωτο. διὸ εὔλογον καὶ εὐνὰς ἐντεῦθεν τὰς ἀγκύρας λέγεσθαι. καὶ εὐνάζεσθαι κλύδωνα. λέγει δὲ ὁ ποιητὴς στορεσθῆναι τὸν πόντον, πρὸς πιθανότητα τοῦ ἐλαύνομεν. πεσόντος γὰρ ἀνέμου καὶ στορεσθέντος τοῦ πόντου, ἀναγκαῖον ἐλαύνειν. ὅ πέρ ἐστι δεύτερος πλοῦς. ὁ μέντοι πρῶτος πλοῦς, μετ' ὀλίγα ἔσται ὅτε λιγὺς οὖρος ὦρται καὶ αἱ νῆες μάλ' ὦκα διαδραμοῦνται. Ἰστέον δὲ καὶ ὅτι τῶν περὶ θάλασσαν ζῴων εἰς ἰχθύας διαιρουμένων καὶ εἰς κήτη, Ὅμηρος δι' αὐτὰ, ποτὲ μὲν ἰχθυόεντα πόντον φησὶν, ἢ ἰχθυόεντα κέλευθα ὡς μετ' ὀλίγα ἐρεῖ. ποτὲ δὲ, μεγακήτεα πόντον ὡς ἐνταῦθα. (ῃερς. 161.) Ὅτι ὥσπερ ἐν τοῖς ἑξῆς σχέτλιον ὕπνον φησὶ κατὰ λόγον βαρύτητος, τὸν βλάψαντα, οὕτω καὶ ἐνταῦθα Δία σχέτλιον. τοῦτο δὲ καὶ ἐν Ἰλιάδι εἶπε. καὶ ἡ αἰτία ἐγράφη ἐκεῖ. (ῃερς. 163.) Ὅτι τὸν Ὀδυσσέα, ἄνακτα δαΐφρονα ποικιλομήτην ὁ Νέστωρ καλεῖ, θεραπεύων τὸν ἀκροατὴν Ὀδυσσείδην Τηλέμαχον. ποιεῖ δὲ τοῦτο, ἵνα μὴ δόξῃ καὶ αὐτὸν, καθὰ καὶ τὸν βασιλέα, νήπιον ἔχειν ὡς εἰς ἐκεῖνον ἐπαναστραφέντα. διὸ οὐδὲ ῥητῶς εἶπεν ὅτι ἀπέστρεψε τὰς νῆας ὁ Ὀδυσσεὺς αὐτὸς ἐκεῖνος, ἀλλ' οἱ ἀμφ' Ὀδυσσῆα. Ὅρα δὲ ὅτι δυνάμενος ὁ ποιητὴς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποικιλομήτην Ὀδυσσέα εἰπεῖν ὁμοίως τῷ, εὔμητιν καὶ πολύμητιν, ὅμως οὐκ ἔγραψεν οὕτως. ἐνδεικνύμενος, ἐξεῖναι καὶ οὕτω φράζειν καὶ οὕτως. τὸ μὲν δηλαδὴ, ἐκ τοῦ μῆτις ἡ βουλή. τὸ δὲ, ἀπὸ κινήσεως τοῦ μήδω ῥήματος ἐξ οὗ καὶ ὁ ἀγκυλομήτης. (ῃερς. 168.) Ὅτι τῷ Νέστορι ἐκ Τροίας οἴκαδε ὁ πλοῦς διὰ Λέσβου ἐγένετο καὶ τῶν ἐφεξῆς νήσων. φησὶ γὰρ ὁ Νέστωρ ὅτι ὀψὲ εἰς ἡμᾶς ἐλθὼν Μενέλαος, ἐν Λέσβῳ ἔκιχε δολιχὸν πλόον ὁρμαίνοντας, ὅ ἐστιν ὁρμῶντας. ἢ διαλογιζομένους. ὡς τὸ, ὥρμηνε δ' ἀνὰ θυμόν· εἶτα ἑρμηνεύων τί ὥρμαινον, φησίν. (ῃερς. 170.) ἢ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης, νήσου ἐπὶ Ψυρίης, αὐτὴν ἤγουν τὴν Χίον ἐπ' ἀριστέρ' ἔχοντες. ἢ ὑπένερθε Χίοιο παρ' ἠνεμόεντα Μίμαντα. τοῦτο δὲ, ἐμπειρικῶς λέγει. ὡς δυνατὸν ὂν καὶ οὕτως, καὶ οὕτω πλεῦσαι. δῆλον δὲ ὡς ὕπερθε μὲν Χίου πλέει, ὁ ἐπ' ἀριστερὰ ἐκείνην ἀφείς. ὑπένερθε δὲ, ὁ παρὰ τὸν Μίμαντα. Ἰστέον δὲ ὅτι ἡ μὲν Λέσβος, νῆσος πεντάπολις. ἔχουσα πόλεις, Λέσβον ἀφ' ἧς καὶ ὠνόμασται. Ἄντισσαν ἢ Ἴσσαν. Πύῤῥαν. Μήθυμναν. καὶ Μιτυλήνην ἐξ ἧς ἡ νῆσος ἔχει ἄρτι τὸ ὄνομα ὥσπερ πάλαι ποτὲ ἐκ τῆς Λέσβου. περὶ ἧς καὶ ἐν Ἰλιάδι τὰ δέοντα εἴρηται. ταύτης παρώνυμον καὶ τὸ Λέσβιον ποτήριόν τε καί τι λουτρόν. μνεία δέ τις Λέσβου ἀρκοῦσα κεῖται καὶ ἐν ταῖς κατὰ τὴν Ἰλιάδα λιταῖς. (ῃερς. 169.) Τὸ δὲ πλόον εἰ καὶ συναιροῦσιν ἄλλοι ὡς ἂν μὴ παράλληλα τὰ αὐτὰ σύμφωνα εἴη καθ' Ἡρωδιανὸν εἰπεῖν, ὃ δὴ γίνεται καὶ ἐν τῷ Σαπφόος καὶ ἄλλοις μυρίοις ἃ συναλείφονται εἰς τὴν ο¯υ δίφθογγον, ἀλλ' Ὅμηρος ἀναλόγως φράζει καὶ οὐδὲ πόῤῥω σεμνότητος. καθὰ καὶ τὸ νόον καὶ ῥόον. ἀφιεὶς, ἄλλα παρ' ἄλλοις εἶναι καλά. Χίος δὲ κατὰ τὸν γεωγράφον περὶ ἧς καὶ ἐν τοῖς τοῦ περιηγητοῦ ἐγράφη, περίπλουν ἔχει σταδίων ἐνακοσίων. ναύσταθμος δὲ αὐτῇ, νηῶν ὀγδοήκοντα. εἶχε δέ φησι καὶ ἄλσος φοινίκων. ὅτι δὲ ἀμφισβητοῦσιν Ὁμήρου Χῖοι, ἐν τῇ Ἰλιάδι γέγραπται. ἀπὸ ταύτης δὲ καὶ παροιμία τὸ, Χιαστὶ τίλλειν. ὡς τῶν Χίων παρατιλλομένων κατὰ τοὺς παλαιούς. καὶ ἑτέρα παροιμία κειμένη παρ' Εὐπόλιδι τὸ, Χίος δεσπότην ὠνήσατο, ἐπὶ τῶν βλαπτομένων ἔκποθεν προσώπων μεμισθωμένων ἐπ' ὠφελείᾳ. Χίοις γάρ φασι πρώτοις χρησαμένοις ὠνητοῖς ἀνδραπόδοις, ἐμήνισε τὸ δαιμόνιον. διὸ καὶ ἐβλάβησαν πολλὰ ὑπὸ δούλων ἀποστάντων καὶ ἐπαναστάντων αὐτοῖς. ὅθεν δὲ αἱ ῥηθεῖσαι παροιμίαι δύο, ἐκεῖθεν καὶ Χῖος λόφος, τὸ ἀποτιλθῆναι φασὶ τὴν κεφαλὴν τὸ μέσον. ὡς οἷον, λόφον ἀπολιπόντων. ὅτι δὲ καὶ τὸ κίβδηλον ἀπὸ Χίας ἱστορίας εἴληπται ὡς οἱονεὶ χίβδηλον, οἱ ἐτυμολόγοι δηλοῦσιν. ἦν μὲν γὰρ καιρὸς ὅτε Ἀθηναῖοι προσεῖχον τοῖς Χίοις. ὥστε καὶ θύοντες, ηὔχοντο ἀγαθὰ γενέσθαι αὐτοῖς καὶ τοῖς Χίοις. ἔπεσε δέ ποτε αὐτοῖς καὶ ἄλλως τὰ τῆς τύχης, καὶ ἐμισοῦντο ὑπὸ Ἀθηναίων οἱ Χῖοι. ὅτε καὶ τοῦ χαράγματος ὅσον ἀχρεῖον ἦν ἐν Ἀθήναις, χιάζοντες οἱ πολῖται τουτέστι τὸ ¯χ στοιχεῖον ἐντυπούμενοι, ἐσημειοῦντο οὕτως τὴν τοῦ κέρματος φαυλότητα. αἰνιττόμενοι ὡς οὕτως ἀποβάλλονται καὶ τοὺς Χίους ὧν κατάρχει τὸ ¯χ. καὶ ὠνομάζετο τὸ τοιοῦτον νόμισμα, κίβδηλον Ἰωνικώτερον, ὡς οἱονεὶ χίδηλον. ὅ ἐστι δηλούμενον διὰ τοῦ ¯χ. πλεονάσαντος τοῦ βῆτα, διὰ φωνῆς ὄγκον. ὡς καὶ ἐν τῷ ἀλυβδήσασα παρὰ Λυκόφρονι καὶ ἐν ἑτέροις πολλοῖς. Ὅτι δὲ τῇ Χίῳ νήσῳ παρωνόμασται καί τις 1.1 βόλος πεττευτικὸς οὗ μέμνηται καὶ Ἀριστοφάνης ἐν τῷ, πέπτωκεν ἔξω τῶν κακῶν οὐ Χῖος ἀλλὰ Κῷος ἢ κατά τινας Κεῖος, ἐν τῇ ¯α ῥαψῳδίᾳ προγέγραπται. Ψυρία δὲ, νησίδιον, Χίου φασὶν ἀπέχον σταδίους ὀγδοήκοντα. λιμένα ἔχον νεῶν εἴκοσι. λέγεται δὲ καὶ οὐδετέρως τὰ Ψύρα. ὡς Ἀλκμάν. παρά τε ἱερὸν σκόπελον παρά τε Ψύρα τὸν Διόνυσον ἄγοντες. ἤγουν ὡς οἷον ἐν οὐδενὶ τιθέμενοι τὸν Διόνυσον. καὶ ἔστι παροιμία τὸ, Ψύρα τὸν Διόνυσον. διὰ τὴν τῆς νήσου λυπρότητα. ὁ δὲ γεωγράφος λέγει καὶ ὅτι τὰ Ψύρα κύκλος σταδίων τεσσαράκοντα καὶ πόλις ἐν αὐτῇ ὁμώνυμος. Μίμας δὲ, ὄρος φασὶ κατέναντι Χίου, μεταξὺ Ἐρυθρῶν καὶ τοῦ ὑποκρήμνου. ἀπὸ Μίμαντος γίγαντος ἐν αὐτῷ κειμένου. ἔστι δὲ εὔθηρον καὶ πολύδενδρον καὶ ἠνεμόεν ἤγουν ὑψηλόν. μέση δέ φασι Ψύρων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ Μίμαντος ἡ Χῖος κεῖται. ὅτι δὲ οὐ λιπαρὰ ἡ Χῖος, δηλοῖ ὁ ποιητὴς εἰπὼν αὐτὴν παιπαλόεσσαν. παροξύνεται δὲ τὸ Χίος ἐπὶ τῆς νήσου. καθὰ καὶ Ἴος ἡ νῆσος. ὁ μέντοι Χῖος ἀνὴρ ἢ οἶνος ἤ τι τοιοῦτον, προπερισπᾶται διὰ τὴν συναίρεσιν τὴν ἐκ τοῦ Χΐος. (ηερς. 176.) Ὅτι λιγὺς οὖρος ἐνταῦθα, ὁ ὀξὺς διὰ τὸν ἦχον. ὅπερ ταυτόν ἐστι τῷ, Ζέφυρον κελάδοντα. Σοφοκλῆς δὲ, εἰς ἓν ἄγει ἄμφω ἐν τῷ, ὀξὺν κέλαδον ἐνσείσας δι' ὤτων. (ηερς. 177.) Ὅτι Γαιρεστὸς, λιμὴν Εὐβοίας. περὶ ἧς καὶ αὐτῆς ἐγράφη ἀλλαχοῦ. ἐς ταύτην ἐννύχιαι κατήγοντο αἱ τοῦ Νέστορος νῆες. ἤγουν· διὰ μιᾶς νυκτὸς κατέστησαν εἰς τὸν ἐκεῖ λιμένα. ὡς δηλοῖ ὁ μεταβαλὼν οὕτω. εὐπλοίᾳ θαυμαστῇ χρησάμενοι καὶ πλοῦν ἀμύθητον κατανύσαντες καὶ διὰ νυκτὸς Γαιρεστῷ προσσχόντες. κεῖται δὲ κατὰ τὸν γεωγράφον ἐπικαιρίως τὸ χωρίον τοῖς διαίρουσιν ἐξ Ἀσίας εἰς τὴν Ἀττικὴν, πλησιάζον τῷ Σουνίῳ. ἔχει δέ φησιν ἱερὸν Ποσειδῶνος ἐπισημότατον. ἔνθα καὶ θύσαι περὶ τὸν βωμὸν δοκεῖ ταύρων πολλὰ μηρία τῷ Ποσειδῶνι ὁ Νέστωρ. ἔστι δὲ καὶ κατοικία φησὶν ἀξιόλογος. μετὰ δὲ Γραιστὸν, Ἐρέτρια πόλις μεγίστη φησὶ τῆς Βοιωτίας μετὰ Χαλκίδα. (ηερς. 179.) Ὅτι τὸ, πέλαγος μέγα μετρήσαντες, ἀντὶ τοῦ διαπεραιωσάμενοι. ὅθεν λέγεται καὶ ἐν τοῖς ἑξῆς τὸ τὴν χάρυβδιν ἀναμετρῆσαι. εἴληπται δὲ ἡ λέξις ἐκ τοῦ παρακολουθοῦντος. δῆλον γὰρ, ὡς ὁ ὁδεύων μετρεῖ ὅσον ὥδευσεν. ἴσως δὲ καὶ ἀπὸ τοῦ μεταίρειν ἡ λέξις παρῆκται. μεταίρει γάρ ποθέν ποι ὥσπερ ὁ ὁδεύων, οὕτω καὶ ὁ πλέων. (ηερς. 180.) Ὅτι τριῶν ἡμερῶν πλοῦν δοκεῖ μετρεῖν ὁ ποιητὴς τὸν ἀπὸ Τροίας εἰς Ἄργος. λέγων ὅτι τέτρατον ἦμαρ ἔην ὅτε ἐν Ἄργεϊ αἱ τοῦ Διομήδους νῆες κατέστησαν. οὕτω καὶ ἀλλαχοῦ μετρεῖ ὁδὸν ἐν τῷ, ἔνδιοι ἱκόμεσθ' ἱερὸν ῥόον Ἀλφειοῖο. οἱ γὰρ ἐξ Ἀρήνης νυκτερεύσαντες, ἔνδιοι ὅ ἐστι μεσημβρινοὶ κατὰ τὸν γεωγράφον, ἀφικνοῦνται εἰς Ἀλφειόν. (ηερς. 182.) Ὅτι ἐν τῷ, αὐτὰρ ἔγωγε Πύλονδ' ἔχον, τὸ ἔχειν, ἀντὶ τοῦ ἐλαύνειν, πλὴν οὐχ' ἁπλῶς, ἀλλὰ ναυτικῶς. κατὰ τὸ, ἡμίσεες δ' ἀναβάντες ἐλαύνομεν. ἄλλως δὲ, τὸ ἔχειν καὶ ἐπέχειν, καὶ ἐπὶ σκοποῦ κεῖται. ὅθεν καὶ παρὰ Πινδάρῳ τὸ, ἔπεχε σκοπῷ τόξον. διὸ καὶ οὕτως οἰκεῖον ἐπὶ νηὸς τὸ ἔχειν καὶ τὸ ἐπέχειν, καθὰ καὶ τὸ βάλλειν. ὡς τὸ, ἐς Φηρὰς ἐπέβαλλεν, ἡ ναῦς δηλαδή. τουτέστιν ἐπιτυχῶς καὶ εὐστόχως ἔθεεν. Ὅτι ἐν τῷ, οὐδέ ποτ' ἔσβη οὖρος, οὐ κακοζήλως οὕτω καὶ ψυχρῶς ἐῤῥέθη τὸ ἔσβη. ἀλλ' ἐπειδήπερ ἡ τῶν ἀνέμων ὕλη ἀτμίς ἐστιν οὐ μόνον ὑγρὰ ἀλλὰ καὶ ξηρὰ μάλιστα, ταυτὸν δὲ εἰπεῖν καπνώδης καὶ θερμὴ, διὸ τὸ μὲν ὑγρὸν ὁ ποιητὴς δηλοῖ ἐν τῷ, ἴκμενος οὖρος. καὶ ἀνέμων μένος ὑγρὸν ἀέντων. τὸ δὲ καπνῶδες καὶ οὕτω θερμὸν, ἐν τῷ, οὐδέ ποτ' ἔσβη οὖρος. διαρκῆ δὲ ἄνεμον οὔριον δηλοῖ τὸ οὐδέ ποτ' ἔσβη οὖρος, ἐπειδὴ πρῶτα θεὸς προέηκεν ἀῆναι. Τὸ δὲ ποτὲ, τὸ οὐ διηνεκὲς καὶ ἐνταῦθα δηλοῖ ἀλλὰ πρὸς καιρόν. (ηερς. 183.) Τοῦ δὲ ἀῆναι τὸ θέμα οὐκ εὔχρηστον. ἀαίνω γὰρ ὡς τὸ φοραίνω ὑδραίνω καὶ τὰ τοιαῦτα. τοῦτο δὲ, ἀήμεναι ἀνωτέρω ἔφη ὁ ποιητής. (ηερς. 184.) Ὅτι ὥσπερ ἡ Εὐρύκλεια πρὸ τούτων, οὕτω καὶ ἐνταῦθα φίλε τέκνον Ἀττικῶς ὁ ῥήτωρ Νέστωρ τὸν Τηλέμαχον προσφωνεῖ. εἰπών. ὣς ἦλθον φίλε τέκνον ἀπευθής. ἐπεὶ δὲ πρὸ μικροῦ ἀπευθὴς ὄλεθρος ἐῤῥέθη ὁ ἀνήκουστος καὶ περὶ οὗ οὐδεὶς οἶδε πυθόμενος, ἐνταῦθα δὲ ἄλλως κεῖται τὸ ἀπευθὴς, ἑρμηνεύων ὁ ποιητὴς τοῦτο, φησίν. οὐδέ τι οἶδα. καὶ τὰ ἑξῆς. ἵνα ᾖ νῦν ἀπευθὴς, ὃς οὐδὲν οἶδεν. ἤγουν ὃς οὐδὲν ἐπύθετο. (ηερς. 187.) Διὸ ἐπάγει. ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος πεύθομαι, ᾗ θέμις ἐστὶ δαήσεαι. οἱονεὶ λέγων, ὅτι τῶν ἄλλων μὲν, ἀπευθής εἰμι. τὰ δὲ ἐφεξῆς πεύθομαι οἴκοι καθήμενος. Τὸ δὲ ᾗ θέμις ἐστὶν, ἀντὶ τοῦ καθά ἐστι δίκαιον. χρὴ γὰρ μὴ μαψιδίως οὕτω ψεύδεσθαι εἰς οὐδὲν δέον. Σημείωσαι δὲ ὅτι ἐπίτηδες ἀναρτᾷ 1.121 κατὰ τοὺς παλαιοὺς τὸν λόγον ὁ ποιητὴς ἐπὶ Νέστορος, ἵνα τὰ λοιπὰ δι' ἄλλου χωρίου δηλώσῃ. τὸ γὰρ ἐνὶ ἀνθρώπῳ πάντων φησὶ τῶν περὶ τὸν νόστον τὴν ἐμπειρίαν περιθεῖναι, οὐ πιθανόν. ἐν μέρει δὲ δηλουμένων, ἀξιόπιστον γίνεται τὸ πᾶν. οὐκ ἄλογος οὖν φασὶν οὐδὲ ἡ πρὸς Μενέλαον ἐκπομπή. ἵνα σὺν ἄλλοις, καὶ τὰ περὶ Ἑλένης ἐνταῦθα διατυπωθῇ. (ηερς. 188.) Ὅτι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσιστορῶν ὁ Νέστωρ καὶ ἕτερα τῶν μετὰ τὴν ἅλωσιν τῆς Τροίας, φησίν. εὖ μὲν Μυρμιδόνας φασὶν ἐλθεῖν ἐγχεσιμώρους, οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός. ὃν οἱ νεώτεροί φασιν ἐλθεῖν εἰς τὴν οὕτω καλουμένην ἤπειρον, ὡς καὶ κατωτέρω ῥηθήσεται. εὖ δὲ Φιλοκτήτην Ποιάντιον ἀγλαὸν υἱόν. πάντας δ' Ἰδομενεὺς Κρήτην εἰσήγαγ' ἑταίρους, οἳ φύγον ἐκ πολέμου. Ἀτρείδην δὲ, καὶ αὐτοὶ ἀκούετε. ὥστε ἦλθεν, ὥστ' Αἴγισθος ἐμήσατο κακὸν ὄλεθρον. Καὶ ὅρα τὴν ἐν τῷ χωρίῳ τούτῳ γοργότητα, καὶ τὸ τῆς ἱστορίας ἐπίτροχον. ἔτι δὲ καὶ τὸ πολύσχημον τὸ, εὖ μέν φασιν ἐλθεῖν τοὺς δεῖνα πληθυντικῶς. εὖ δὲ τὸν δεῖνα. πάντας δὲ ὁ δεῖνα τοὺς μετ' αὐτοῦ περιεποιήσατο. τὸν δὲ δεῖνα, καὶ αὐτοὶ ἀκούετε τί πέπονθε. συμβάλλεται δέ τι πρὸς πολυσχημοσύνην, καὶ τὸ τοὺς μὲν ἄλλους ὀνομάσαι, τὸν δὲ Νεοπτόλεμον καὶ τὸν Ἀγαμέμνονα, πατρόθεν δηλῶσαι διὰ τὸ ἄγαν ἄλλως ἐπισήμους εἶναι. ἀναφέρεται δὲ τὸ μὲν τῶν Μυρμιδόνων καὶ τὸ τοῦ Φιλοκτήτου, εἰς ἀόριστον ἱστορίαν, ὡς δηλοῖ τὸ φασί. τὸ δὲ τοῦ Ἰδομενέως, εἰς εἴδησιν ἀκριβῆ. ἀποφαίνεται γὰρ ὁ Νέστωρ, ἐπανελθεῖν οἴκοι αὐτόν τε καὶ πάντας οὐ τοὺς ἐξ ἀρχῆς αὐτῷ συμπλεύσαντας, ἀλλ' ὅσοι οὐκ ἔπεσον ἐν μάχῃ. τὸ δὲ τοῦ Ἀτρείδου, εἰς ἀκουὴν ὡρισμένην τε καὶ ἀόριστον ὡς δηλοῦται διὰ τοῦ καὶ αὐτοὶ ἀκούετε, ἤγουν καὶ ὑμεῖς καὶ ἕτεροι. Ἐγχεσίμωροι δὲ ὡς καὶ ἐν Ἰλιάδι, οἱ αἰχμηταί. οἱ περὶ ἔγχη μεμορημένοι ὅ ἐστι κακοπαθοῦντες, κατὰ ἔκτασιν τοῦ ¯ο. ἢ ἐγχεσίωροι, ὡς ὥραν ἔχοντες τῶν ἐγχέων, πλεονασμῷ τοῦ ¯μ (ηερς. 189.) Υἱὸν δὲ Ἀχιλλέως, τὸν Νεοπτόλεμον λέγει ὃν καὶ Πύῤῥον φασὶ κληθῆναι. ὡς καὶ Σοφοκλῆς διὰ τοῦ Φιλοκτήτου αἰνίττεται ἐν τῷ, ὦ πῦρ σύ. περὶ οὗ φασί τινες, καὶ ὅτι Νεοπτόλεμος ἐπειδὰν τὸ μέχρι Θετταλίας διεμέτρησε πέλαγος, ἐνέπρησεν ἃ εἶχε σκάφη, συμβουλῇ Θέτιδος. καὶ χρησθεὶς ὑπὸ Ἑλένου, μένειν ὅπου ἂν οἴκῳ ἐντύχῃ θεμελίους μὲν ἔχοντι σιδηροῦς τοίχους δὲ ξυλίνους καὶ ὄροφον ἐρεοῦν, καὶ πεζὸς ἐλθὼν εἰς τὴν παμβῶτιν λίμνην ἠπείρου, εὗρέ τινας ἐκεῖ δόρατα πήξαντας καὶ χλαίνας καταπετάσαντας ἄνω, καὶ οὕτω σκηνοῦντας καὶ συμβάλλει τὸν χρησμόν. καὶ οἰκεῖ ἐκεῖ. καὶ ἴσχει υἱὸν τὸν Μολοσσὸν ἐξ Ἀνδρομάχης τῆς γυναικὸς Ἕκτορος, ἀφ' οὗ Μολοσσία ἡ χώρα. (ηερς. 190.) Τὸ δὲ Ποιάντιον διὰ διφθόγγου ὀφεῖλον γραφῆναι ὡς κτητικὸν, ἀποβολὴν ἔπαθε τοῦ ¯ε διὰ μέτρον. ὡς καὶ τὸ, αἰπύτιον παρὰ τύμβον ἐν Ἰλιάδι. καὶ τὸ, Αἰολίη νῆσος ἐν τοῖς ἑξῆς. καὶ ἄλλα δὲ διάφορα. Ὅρα δὲ καὶ νῦν τὴν Ὁμηρικὴν εὐλογίαν ἐν τοῖς ἐπιθέτοις. τούς τε γὰρ Μυρμιδόνας ἐπῄνεσεν ὡς ἐῤῥέθη, καὶ τὸν καλὸν τοξότην Φιλοκτήτην. καὶ τὸν Ἀχιλλέα. καὶ τὸν αὐτοῦ υἱόν. τὸν δέ γε Ἰδομενέα, οὕτως ἁπλῶς ἐξεφώνησε, διὰ ποικιλίαν καὶ τοῦτο γραφῆς. ἐποίησε δὲ καὶ κάλλος κομματικὸν ἐν τῷ, ὥστ' ἦλθεν ὥστ' Αἴγισθος. (ηερς. 195.) Ὅτι ἀμύνης δηλωτικὸν τὸ, ἀλλ' ἤτοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτισε. περὶ Αἰγίσθου δὲ ὁ λόγος, παθόντος οἷα ἔπαθεν ἐφ' οἷς τὸν Ἀτρείδην ἀνεῖλε. Ἔστι δὲ σμυγερῶς, τὸ ἐπιπόνως. ὀδυνηρῶς. καὶ ὡς εἰπεῖν, καυστικῶς. ἀπὸ τοῦ σμύχω τὸ καίω. ὅθεν τὸ, σμύξαι πυρὶ νῆας. τοῦ δὲ σμύχω, δεύτερος ἀόριστος, ἔσμυγον. ὅθεν τὸ σμυγερόν. Τί δὲ ἀπέτισεν Αἴγισθος; ἢ πάντως ὅπερ ὤφειλε. τόδε ἦν, τὸ μὴ θανεῖν ἁπλῶς ἀλλὰ σμυγερῶς. (ηερς. 190.) ὅτι γνωμικὸν τὸ, ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι ἀνδρός. ἐν ᾧ ἀπὸ κοινοῦ νοητέον τὸ, ἀγαθὸν παῖδα. τί γὰρ ἄλλως ἀγαθὸν ἐὰν ἐξώλης υἱὸς πατέρα ἀγαθὸν διαδέχοιτο. οὕτω καὶ ἐν τῷ, ἀγαθὴ παραίφασις ἑταίρου, τὸ ἀγαθοῦ ἀπὸ κοινοῦ συνεπινοεῖται. ἵνα λέγῃ ἀγαθὴν παραίφασιν, τὴν τοῦ ἀγαθοῦ ἑταίρου. (ηερς. 199.) Ὅτι χρήσιμον εἰς προτροπὴν εὐγενοῦς τὸ, καὶ σὺ φίλος, μάλα γάρ σ' ὁρέω καλόν τε μέγαν τε. καὶ ἑξῆς, ὡς ἐν τῇ ¯α ῥαψῳδίᾳ ἡ Ἀθηνᾶ ἔφη. ταυτὰ εἰποῦσα οἷς ἐνταῦθα ὁ γέμων Ἀθηνᾶς Νέστωρ, φησίν. ὡς καὶ ἀλλαχοῦ πεποίηταί τι ὅμοιον. (ηερς. 2.) Ὅτι χρηστολογηθεὶς ὁ Τηλέμαχος ἐν οἷς πρὸ μικροῦ πατρῴζειν ἐν λόγοις ἤκουσε πρὸς τοῦ Νέστορος, καὶ θαῤῥήσας, καὶ ἐν φρεσὶν ἤδη νοῶν ὡς ἡ Ἀθηνᾶ εἶπε, κατά τινα δαιμονίαν ὑποθήκην λαλεῖ πρὸς τὸν ῥήτορα Νέστορα, ὅσα ὁ ποιητὴς δηλοῖ. προθεὶς ἔπαινον τοῦ γέροντος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ, ὦ Νέστορ Νηλαιάδη μέγα κῦδος Ἀχαιῶν. εἶτα μακαρίζει τὸν Ἀγαμεμνονίδην Ὀρέστην, εἰπών. καὶ λίην κεῖνος μὲν ἐτίσατο, καὶ οἱ Ἀχαιοὶ οἴσουσι κλέος εὐρύ. 1.122 καὶ ἑρμηνεύων τί τὸ εὐρὺ, ἐπάγει. (ηερς. 4.) καὶ ἐσσομένοισι πυθέσθαι. ἢ κατὰ ἑτεροίαν γραφὴν, καὶ ἐσσομένοισιν ἀοιδήν. ὡς εἶναι κλέος εὐρὺ, τὸ πλατυνόμενον καὶ εἰς τὰς ἔπειτα γενεάς. (ηερς. 3.) Τὸ δὲ κεῖνος, ἔοικε κατ' ἐξοχὴν εἰρῆσθαι. οὐ γὰρ ἔφθη μνησθῆναι πρὸς ὄνομα τοῦ Ὀρέστου. ὥσπερ οὐδὲ πρὸ ὀλίγων ἐν τῷ, ἐπεὶ καὶ κεῖνος ἐτίσατο πατροφονῆα. τοιοῦτον καὶ παρὰ τῷ κωμικῷ τὸ αὐτὸ ἐπὶ Σωκράτους ῥηθέν. καὶ τὸ, αὐτὸς ἔφα τὸ ὑπὸ τῶν Πυθαγορικῶν ἐπὶ τῷ διδασκάλῳ λεγόμενον. (ηερς. 5.) Ὅτι εὐχὴ ἐπὶ ἀμύνῃ τὸ, αἲ γὰρ ἐμοὶ τοσσήν δε θεὸς δύναμιν παραθείη τίσασθαι τοὺς δεῖνα ὑπερβασίης ἀλεγεινῆς. οἵ τέ μοι ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται. (ηερς. 8.) Δυστυχίαν δὲ μετὰ καὶ παραμυθίας φράζει τὸ, ἀλλ' οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον πατρί τ' ἐμῷ καὶ ἐμοί. νῦν δὲ, χρὴ τετλάμεν ἔμπης. (ηερς. 6.) Ἡ δὲ ὑπερβασία, καὶ παραιβασία καλεῖται. εἴληπται δὲ τὸ μὲν, ἀπὸ τῶν ὑπερβαινόντων ὁροθέσια τυχὸν ἢ τοιαῦτά τινα. τὸ δὲ, ἀπὸ τῶν παρὰ τὴν εὐθεῖαν βαινόντων. Τὸ δὲ ὑπερβασίας ἀλεγεινῆς, ἀντίπτωσίς ἐστι. τὸ γὰρ ὀρθὸν ἦν, τίσασθαι μνηστήρων ὑπερβασίαν. ἔχει οὖν τὸ ἕνεκεν προσυπακουόμενον, καὶ ἔστιν ὅμοιον τῷ, ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους. καὶ τοῖς τοιούτοις. (ηερς. 211.) Ὅτι τοῦ ἀνέμνησας, αἰτιατικῇ ἐνταῦθα συντάσσει, εἰπών. ὦ φίλ' ἐπειδὴ ταῦτα μ' ἀνέμνησας. πρὸ μέντοι βραχέων, ἄλλως ἔφη ἐν τῷ, τῶν μνῆσαι καί μοι νημερτὲς ἔνισπε, γενικῇ συντάξας κοινότερον τὸ μνῆσαι. ἐν δὲ τῇ Ἰλιάδι, καὶ αὐτὸ μετὰ αἰτιατικῆς ἔταξεν. εἰπών. μέμνημαι τόδε ἔργον, καὶ ἑξῆς. ἔνθα δοκεῖ μνημονικὸς εἶναι ὁ Νέστωρ, εἰ καὶ μὴ κατὰ Σιμωνίδην ἴσως τὸν ἱστορούμενον ἐν τοῖς ὕστερον, ἢ κατὰ τὸν δαιμόνιον Τυανέα. ὃς οὕτω φασὶ διαμνημονικὸς ἦν, ὡς ἑκατοντούτης γενόμενος, ἐῤῥῶσθαι τὸ μνημονικὸν ὑπὲρ τὸν Σιμωνίδην. (ηερς. 214.) Ὅτι θαυμαστὸν ἡγησάμενος ὁ Νέστωρ εἴπερ οἱ τῆς Πηνελόπης μνηστῆρες ἄκοντος Τηλεμάχου κακὰ μηχανῶνται, ἐρωτᾷ οὕτως. εἰπέ μοι ἢ ἑκὼν ὑποδάμνασαι, ἤ σέ γε λαοὶ ἐχθαίρουσ' ἀνὰ δῆμον ἐπισόμενοι θεοῦ ὀμφῇ, τουτέστι χρησμῷ. πολλάκις γάρ φασι μεθίστασαν τοὺς βασιλεῖς, μαντείας ἐπιγινομένης. διὸ καὶ ἐν τοῖς ἑξῆς που εἰπών τις δεινὸν εἶναι γένος βασιλήϊον κτείνειν, ἐθέλει, πρῶτον θεῶν εἴρεσθαι βουλάς. (ηερς. 216.) Ὅτι θαῤῥύνων τὸν Τηλέμαχον ὁ Νέστωρ ἐπὶ τῷ πατρὶ, καὶ συνιστῶν αὐτῷ ἐκεῖνον ὡς ἀνδρεῖόν τε ἅμα καὶ ἀνθρώπων ἐπίστροφον εἴτουν πολύφιλον, φησί. τίς δ' οἶδεν εἰ καί ποτε τοῖς μνηστῆρσι βίας ἀποτίσεται ἐλθών, ἢ ὅγε μοῦνος ἐὼν, ἢ καὶ σύμπαντες Ἀχαιοί. (ηερς. 218.) Εἶτα κατασευάζων ὁ γέρων πῶς ἂν εἷς μόνος Ὀδυσσεὺς τῶν τοσούτων μνηστήρων περιγένοιτο, αἰτιᾶται τοῦ μεγάλου τούτου ἔργου, τὸ τοῦ ἥρωος θεοφιλές. φησὶ γὰρ εὐχόμενος εἰ γάρ σε ὧς ἐθέλοι φιλέειν ἡ Ἀθηνᾶ ὡς Ὀδυσσέως ἐκήδετο ἐν τῇ Τροίᾳ. ὅπερ διασαφῶν, ἐπάγει. οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας, ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη. εἴ σ' οὕτως ἐθέλει φιλέειν κήδοιτό τε θυμῷ, τῷ κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο. Ἰστέον δὲ ὅτι τὸ, εἰ γάρ σε ὧς ἐθέλοι φιλέειν Ἀθηνᾶ, οὐκ εὐκτικῶς ἀλλ' ἐνδοιαστικῶς πρός τινος ληφθὲν καὶ ἐπεμβολὴν παθὸν τοῦ, οὐ γάρ πω ἴδον ὧδε θεοὺς καὶ ἑξῆς, εἶτα ἐπαναληφθὲν ἐν τῷ, εἴσ' οὕτως ἐθέλει φιλέειν, ἀποδέδοται ἐν τῷ, ἐκλελάθοιτο ἄν τις ἐκείνων τοῦ γάμου. (ηερς. 217.) Ὅρα δὲ καὶ ὅτι ἐν τῷ, ἢ καὶ σύμπαντες Ἀχαιοὶ, παρεμφαίνει ὁ ποιητὴς ὡς εἴπερ ἐπανελθὼν Ὀδυσσεὺς ἱκέτευσε, σύμπαντες ἂν Ἀχαιοὶσὺν αὐτῷ τοὺς μνηστῆρας ἐτίσαντο. καὶ οὐ μόνον οἱ Πύλιοι καὶ οἱ Σπαρτιάται ὡς πρὸ τούτου οἱ μνηστῆρες ὑπώπτευσαν. καὶ ἦν μὲν εὐχερὲς Ὁμήρῳ ποιῆσαι τοῦτο πλασαμένῳ. ἐπιλέγεται μέντοι τὸ ἐναγωνιώτερον, τὸ, μόνον αὐτὸν θειότερον περιγενέσθαι τῶν μνηστήρων καὶ τερατωδέστερον. (ηερς. 221.) Τὸ δὲ ἀναφανδὰ, δηλοῖ μὲν τὸ ἐναργῶς. ἐλέχθη δὲ δὶς διὰ τὸ καίριον. ἐσχημάτισται δὲ πληθυντικῶς ἐκ τοῦ ἀναφανδὸν ἐπιῤῥηματικοῦ ὀνόματος. (ηερς. 224.) Τὸ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκλελάθοιτο γάμοιο, τὸ πολὺ τοῦ φόβου δηλοῖ εἰ δι' αὐτὸν τοῦ τοσούτου λάθοιτό τις ἔρωτος. Ἰστέον δὲ ὅτι τὸ τίς, πολλάκις οὐχ' ἕνα δηλοῖ ἁπλῶς ἀλλὰ πάντας, ληφθὲν ἀντὶ τοῦ, εἷς ἕκαστος. οὕτως παρὰ Σοφοκλεῖ λέγουσιν ὁ χορὸς οἱ Σαλαμίνιοι, ὡς νῦν καιρός τινι ποδοῖν κλοπᾶν ἀρέσθαι. ἤγουν ἄρτι καιρὸς ἡμῖν φυγεῖν λάθρα. οὕτω κἀνταῦθα ἐκλελάθοιτό τις γάμου. ὅ ἐστιν, ἕκαστος τῶν μνηστήρων. ἄλλως γὰρ, οὐδὲν λυσιτελὲς τῷ Ὀδυσσεῖ, εἴπερ τῶν τοσούτων εἷς τις δειλανδρήσειεν. (ηερς. 226.) Ὅτι ἀπογνόντος ἀνθρώπου λόγος τὸ, οὔπω τοῦτο ἔπος τελέεσθαι ὀΐω. λίην γὰρ μέγα εἶπες. ἄγημ' ἔχει. οὐκ ἂν ἔμοιγε ἐλπομένῳ τὰ, γένοιτο. οὐ δ' εἰ θεὸς ὣς ἐθέλοι. (ηερς. 230.) Ἐπεὶ δὲ ὁ λόγος οὗτος οὐ πόῤῥω βλασφημίας διὰ 1.123 ἀφέλειαν τοῦ εἰπόντος Τηλεμάχου, ἐπανορθοῦται ὁ ποιητὴς διὰ τοῦ κατὰ τὴν Ἀθηνᾶν Μέντορος, τὸ ὑπερβολικῶς καὶ ἠθικῶς ῥηθέν. εἰπών. Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι. οὕτω δὲ καὶ ἐν τοῖς ἑξῆς ὁ Μενέλαος διορθοῦται τοὺς βασιλικοὺς παῖδας εἰπόντάς τι τῶν μὴ δεόντων. ὥσπερ δὲ τὸ, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων εἰκὸς λέγειν ὅτε ἀκούσομέν τι ἀθέλητον πρός τινος, οὕτως ἐπὶ θεοῦ τὸ, ῥεῖα θεός γ' ἐθέλων τό δέ τι ποιήσει. Τὸ δὲ Τηλέμαχε ποῖόν σε ἔπος φύγε, λαγαρότητα ἔπαθε κατὰ τοὺς παλαιοὺς, διὰ τὴν λήγουσαν τοῦ Τηλέμαχε. ἥτις διὰ τὴν ἐν μέσῳ στίχου βραχεῖαν κατάληξιν, λαγόνα οἷον ἐνθεῖσα τῷ στίχῳ, λαγαρὸν ἐποίησε καλεῖσθαι. ὅπερ ἡ χυδαία γλῶσσα, λαγρὸν λέγει. ὅτι δὲ κοιλότητά τινα ἡ λαγαρότης σημαίνει, δῆλον ἐκ τοῦ λαγαρόκυκλος λύρα ἢ κιθάρα. τοιοῦτος δὲ στίχος καὶ τὸ, αἴκε κακὸς ἆ, νόσφιν ἀλυσκάζω πολέμοιο. ὅμοιον δὲ καὶ ἐν τοῖς ἑξῆς τὸ, βῆν εἰς Αἰόλου κλυτὰ δώματα. καὶ ἐκεῖ γὰρ ἡ παραλήγουσα τοῦ Αἰόλου, λαγαρὸν τὸν στίχον ποιεῖ ὡς οἷον σφίγγουσα. θεραπεία δὲ αὐτῆς ἡ ὀξεία, ὡς δυναμένη ἐκτείνειν. ἐνταῦθα μέντοι θεραπεύει τὴν λήγουσαν τῆς κλητικῆς τοῦ Τηλεμάχου, οὐ μόνον ἡ στιγμὴ καὶ τὸ ἐπαγόμενον ¯π, ἀλλὰ καὶ ἡ περισπωμένη τοῦ, ποῖόν σε ἔπος φύγεν. ὡς ἡ δύναμις ἔχει τῆς κοινῆς συλλαβῆς. καθ' ἣν δύναμιν, καὶ ἡ στιγμὴ χαρίζεταί τι χρόνου τῷ πρὸ αὐτῆς βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι, καὶ τὰ ἐν ἀρχῇ λέξεων ἄφωνα ὡς πεφυκότα διπλοῦσθαι. ὧν ἓν καὶ τὸ ¯π. καὶ ἡ περισπωμένη δέ. ἧς τόποι τρεῖς ἐκτάσεως. δυναμένης ἐκτείνειν ὥσπερ τὸ φωνῆεν ᾧ ἐπίκειται, οὕτω καὶ τὸ μετ' αὐτὴν, καὶ τὸ πρὸ αὐτῆς δὲ, ὡς ἐνταῦθα. περὶ δὲ τούτων καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. ἥτις ἔδειξεν οὐ μόνον τοὺς τόνους ἐκτατικοὺς ἔστιν ὅτε βραχέων φωνηέντων οὐδὲ μόνα τὰ διπλᾶ ἔτι δὲ καὶ τὰ κατὰ σύνθεσιν διπλούμενα ἄφωνα, ἀλλὰ σὺν τῇ στιγμῇ, καὶ τὴν δασεῖαν. δι' αὐτὴν δὲ, καὶ τὰ παρώνυμα ταύτῃ δασέα. ἐν γοῦν τῷ, αἰόλον ὄφιν, ἤρεσε τοῖς παλαιοῖς, εἰπεῖν ὡς ἀρκεῖν ὁ ποιητὴς ἡγήσατο τὸ πνεῦμα πρὸς ἀναπλήρωσιν χρόνου ἐν τῷ ὄφιν. τάχα γάρ φασι τοῦ ¯φ δασέος ὄντος, ᾔσθετο ἐκφώνησιν πλείω ἔχειν τὸν ἕκτον πόδα. ἵνα δηλαδὴ καταλογισθείη ὁ πυῤῥιχιζόμενος ὄφις ἐν τῷ, αἰόλον ὄφιν, ἀντὶ τροχαίου. ἐπεὶ καὶ Ἡλιοδώρῳ δοκεῖ, ἐπὶ πολλῶν τὴν δασεῖαν πλέον τι νέμειν χρόνου δηλονότι. ὃ δὴ φαίνεται καὶ ἐν τῷ, ζεφυρίη πνείουσα. καὶ ἐν αὐτῷ γὰρ, ἡ δασύτης τοῦ ¯φ, ἔνειμέ τι τοιοῦτον τῇ ζ¯ε συλλαβῇ. Σημείωσαι δ' ἐνταῦθα καὶ ὅτι οὐκ ἐξανάγκης πᾶσα τάσις ἐκτείνειν δύναται τρόπῳ κοινῆς συλλαβῆς. ἀλλὰ οἱ τόνοι μὲν μουσικῆς ὄντες ἀπηχήματα ὥς φασιν οἱ παλαιοὶ, ἔχουσι τοιαύτην δύναμιν. ἔστι δέ τι φασὶ τοιοῦτον καὶ ἐν πνεύμασιν. ἔτι δὲ καὶ ἐν πάθεσι. πλὴν ἀδυνατεῖ τὰ πάθη κοινὴν ποιεῖν συλλαβήν. ἤγουν ἡ ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή. ἔστι δέ φασι μουσικὴ ἀπήχησις καὶ ἐν τούτοις. οὕτως. ἐν κουφισμῷ μὲν, φωνῆς ὑπέρβασις. ἐν δὲ τῇ ὑφὲν ποιότης ἑτεροία φωνῆς ἐν τῇ τῶν ἡνωμένων λέξεων σημασίᾳ. ἐν ὑποδιαστολῇ δὲ, τῷ τῶν λέξεων χωρισμῷ. (ηερς. 232.) Ὅτι παραμυθούμενος ὁ κατὰ τὴν Ἀθηνᾶν Μέντωρ τὸν διὰ μακροῦ χρόνου νόστον Ὀδυσσέως, συγκρίνει αὐτὸν τῇ τοῦ Ἀγαμέμνονος ταχείᾳ ἐπανόδῳ. ἀποφαινόμενος οὕτω σεμνῶς κατὰ ἐπίκρισιν. βουλοίμην δ' ἂν ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας, οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἦμαρ ἰδέσθαι. ἢ ἐλθὼν, ἀπολέσθαι ὡς Ἀγαμέμνων ὤλετο ἐφέστιος. οἱονεὶ λέγων, ὡς οὐ χρὴ δυσχεραίνειν ἐπὶ διατριβῆς χρόνου. οὐδὲ γὰρ οὐδ' Ἀγαμέμνονι, τὸ ταχὺ νοστῆσαι συνήνεγκεν. (ηερς. 236.) Ὅτι ὥσπερ νεῖκος ἀλλαχοῦ καὶ γῆρας καὶ πόλεμον ὁμοΐον, οὕτω καὶ θάνατον ὁμοΐον ἐνταῦθα λέγει, ἢ τὸν ὁμοίως πᾶσιν ἀποκείμενον θνητοῖς. ἢ τὸν ὁμοίως πᾶσι φορτικόν. ἢ περὶ οὗ πάντες ὁμοίαν ἔχουσι δόξαν. καὶ οὐχ' οἱ μὲν ταύτην οἴδ' ἐκείνην. ἐνταῦθα δὲ ἀποφαίνεσθαι δοκεῖ ὁ ποιητὴς, ὅτι θάνατον μὲν τὸν ὡς ἐῤῥέθη ὁμοΐον, οὐδὲ θεὸς καὶ φίλῳ ἀνδρὶ δύναται ἀλαλκεῖν. τὸν δέ γε εἰς καιρὸν, ἀλάλκοι ἂν ἐθέλων. ὥσπερ αὖ πάλιν, ἐπιτέμοι ἂν τὸ ζῆν ἐν καιρῷ. καὶ εἰσὶ παρά τε τοῖς μύθοις καὶ ταῖς ἱστορίαις, οὐκ ὀλίγα τούτων παραδείγματα. (ηερς. 240.) Ὅτι δυσελπιστία ἐπὶ νόστῳ ἀνδρὸς ἀποδήμου τὸ, μηκέτι ταῦτα λεγοίμεθα κηδόμενοί περ. κείνῳ δ' οὐκ ἔτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη φράσατο θεὸς θάνατον καὶ κῆρα μέλαιναν. (ηερς. 242.) Ἐνταῦθα δὲ κεῖται καὶ σώφρων παρήχησις τὸ, ἀλλά οἱ ἤδη φράσσαντ' ἀθάνατοι θάνατον. (ηερς. 240.) Ὅρα δὲ καὶ τὸ λεγοίμεθα. οὗ τὸ ῥηματικὸν ὁ λόγος, οὐκ ἔστι παρὰ τῷ ποιητῇ ὡς πολλαχοῦ σησημείωται τοῖς παλαιοῖς. Τὸ δὲ κηδόμενοί περ ἐναντιωματικοῦ ληφθέντος τοῦ π¯ερ συνδέσμου, ταυτόν ἐστι τῷ βλαπτόμενοι καὶ οὕτω λυπούμενοι καὶ δηλαδὴ 1.124 ἐκφοροῦντές τι τῆς λύπης ἐν τῷ προφέρειν τὰ θλίβοντα. (ηερς. 243.) Ὅτι τῷ ἐρωτῶντι συνετόν τινα, οἰκεῖον τὸ, νῦν ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἔρεσθαι, ἐπεὶ περίοιδε δίκας ἠδὲ φρόνιν ἄλλων. ἤτοι περισσότερον τῶν ἄλλων δίκαιός ἐστι καὶ φρόνιμος. φρόνιν γὰρ νῦν μὲν, ἐπὶ τῆς φρονήσεως τίθησιν. ἐν δὲ τῷ, κατὰ δὲ φρόνιν ἤγαγε, δοκεῖ καὶ τὴν καταφρόνησιν οὕτω καλεῖν ὡς ἐκεῖ ῥηθήσεται. οὐ πάνυ δὲ δῆλον εἴτε πρωτότυπον ἡ φρόνις, εἴτε συγκέκοπται ἀπὸ τοῦ φρόνησις. (ηερς. 245.) Ὅτι παραφράζων συντόμως ὁ ποιητὴς τὸ ἐν Ἰλιάδι περὶ Νέστορος πλατύτερον ἱστορηθὲν, τῷ δ' ἤδη δύω μὲν γενεαὶ μερόπων καὶ τὰ ἑξῆς, φησί. τρὶς γὰρ δή μιν φασὶν ἀνάξασθαι γένε' ἀνδρῶν. ὅ ἐστι βασιλεῦσαι κατὰ τὰς ἀνδρῶν γενεάς. (ηερς. 246.) εἶτα σεμνύνων τὸ πολυχρόνιον, φησίν. ὥς τέ μοι ἀθανάτοις ἰνδάλλεται εἰσοράασθαι. τουτέστι θεῷ ἔοικε διά τε τὸ ἄλλως μακρὸν τοῦ χρόνου, καὶ διὰ τὸ ἐν βασιλείᾳ πολυχρόνιον, ὡς θεῖον ὂν τὸ τοιοῦτον πολυετές. Καὶ ὅρα τὸ ἰνδάλλεται. οὐ γὰρ θεὸς ἄντικρυς ὁ ἐπὶ μακρὸν βιοὺς, ἀλλὰ θεοῦ ἴνδαλμα. καὶ λέγει ἂν τοιοῦτόν τι ὁ Τηλέμαχος. θεοῦ ἴδιον, τὸ μακρὸν τοῦ εἶναι. μακρόβιος δὲ ὁ Νέστωρ, ὥστε καὶ ἴνδαλμά τι ἔχει πρὸς θεόν. (ηερς. 245.) Τὸ δὲ τρὶς ἀνάξασθαι γένεα, πλατύτερον μὲν ἐν τῇ Ἰλιάδι ἐῤῥέθη. νῦν δὲ, ἀρκέσει τοσοῦτον εἰπεῖν. ὡς δύο μὲν ἡλικίαι ἀνδρῶν ὑπηκόων τῷ Νέστορι ἐκ νέων ἀκμάσασαι καὶ παρακμάσασαι, ἔφθιντο, αὐτὸς δὲ τρίτης ἦρχε γενεᾶς. (ηερς. 248.) Ὅτι σύντομος καὶ σαφὴς ἐρώτησις καὶ ποικίλη τὸ, πῶς ἔθανεν Ἀγαμέμνων. ποῦ Μενέλαος ἔην. τίνα δ' αὐτῷ μήσατ' ὄλεθρον Αἴγισθος. ἢ οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ, ἀλλά πῃ ἄλλῃ πλάζετο. ἔοικε δέ πως καὶ συνήθει προεκθέσει ἡ τοιαύτη ἐρώτησις, ὑπισχνουμένη, διδαχθήσεσθαι πάντα τὰ ἐρωτηθέντα. (ηερς. 250.) Ἐν τούτοις δὲ καὶ δολόμητιν εἰπὼν τὸν Αἴγισθον, ἐπάγει. ἐπεὶ ἔκτανε πολλὸν ἀρείω. ὡς δῆθεν τοῦ δόλου ὑπὸ τῶν ἀσθενεστέρων τεχνωμένου. Ἄργος δὲ Ἀχαϊκὸν τὴν Πελοπόννησον λέγει, πρὸς διαστολὴν ἑτέρων μὴ Ἀχαϊκῶν. οἷον τοῦ Ἀμφιλοχικοῦ, τοῦ Θετταλικοῦ. τοῦ Κιλικίου. τοῦ κατὰ Νίσυρον. τοῦ Μακεδονικοῦ, τοῦ Τροιζηνίου. καὶ ἄλλων. τὸ δὲ τοιοῦτον Ἄργος, ἐκλήθη ποτὲ καὶ ἱππόβοτον ὡς καὶ μετ' ὀλίγα δηλοῦται, διὰ τὸ εἰς νομὴν ἵππων ἀνεθῆναι τῷ Ποσειδῶνι. καὶ ἴασον δὲ, ἀπὸ Ἰάσου τινὸς ἥρωος. ἐρεῖ γοῦν ἐν τοῖς ἑξῆς ὁ ποιητὴς, εἰ πάντες σε ἴδοιεν ὅσοι ἀνὰ ἴασον Ἄργος. Ὅτι δὲ Ἀχαιϊκὸν μὲν οἱ παλαιοὶ γράφουσιν, Ἀχαϊκὸν δὲ οἱ μεθ' Ὅμηρον, δεδήλωτκαὶ ἀλλαχοῦ ἱκανῶς. Ἐν δὲ τῷ, ἢ οὐκ Ἄργεος ἦεν Ἀχαϊκοῦ. ἡ πρόθεσις λείπει ἵνα λέγῃ ὅτι οὐκ ἦν ἐπὶτοῦ Ἄργους ὁ Μενέλαος, ἢ ἀπὸ κοινοῦ νοητέον τὸ π¯η. οἷον οὐκ ἦν πῃ τοῦ Ἄργους, ἀλλὰ πῃ ἄλλῃ. (ηερς. 253.) Ὅτι Γερήνιος ἱππότα Νέστωρ κἀνταῦθα, ὥσπερ καὶ ἐν Ἰλιάδι. καὶ ζητητέον τὰ ἐκεῖ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλὰ γὰρ τῶν ἐνταῦθα σιγῶνται ὡς ἐκεῖ γραφέντα. Ἰστέον δὲ ὅτι δύο τούτων ταυτοσήμων λέξεων τοῦ, ὁ ἱππότης καὶ ὁ ἱππότα, ὁ μὲν ἱππότης, ἄχρηστος εἰς μέτρον τῷ ποιητῇ διὰ τὸ ἀμφίμακρον. ὁ δὲ ἱππότα, χρηστὸς διὰ τὸ δακτυλικῶς ποδίζεσθαι. (ῃερς. 258.) Ὅτι ὥσπερ ὁ τραγικὸς Κρέων, τοῦ Πολυνείκους, οὕτω καὶ ὁ Ὁμηρικὸς Νέστωρ, τοῦ Αἰγίσθου τὸ, καὶ ἄταφον καὶ ἄκλαυστον ῥιφῆναι καταψηφίζεται. ἐν οἷς φησὶν ὅτι, εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροις ἔτετμεν ἐκ Τροίας ἰὼν ξανθὸς Μενέλαος, οὐδὲ θανόντι χυτὴν ἂν ἐπὶ γαῖαν ἔχευαν. ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν κείμενον ἐν πεδίῳ ἑκὰς ἄστεος. οὐδ' ἄν τίς μιν ἔκλαυσεν Ἀχαιΐδων. (ῃερς. 261.) διὰ τί; μάλα γὰρ μέγα μήσατο ἔργον. ποῖον γὰρ ἐκεῖνο; ἢ τὸ ἀνελεῖν τὸν βασιλέα. ἢ τὸ τῇ βασιλείᾳ ἐπιθέσθαι καὶ κρατῆσαι. ἢ τὴν τῆς Κλυταιμνήστρας μοιχείαν. ἢ πάντα. ἵνα καὶ γοργὸς οὕτως εἴη καὶ σεμνὸς ὁ λόγος οὗτος τοῦ Νέστορος. καὶ νῦν μὲν, ἐμήσατό φησι μάλα μέγα ἔργον. μετ' ὀλίγα δὲ ἐρεῖ, ἐκτελέσας μέγα ἔργον. προσθεὶς ἐκεῖ ἀντὶ τοῦ μάλα τὸ, ὃ οὔποτε ἔλπετο θυμῷ. (ῃερς. 256.) Ἰστέον δὲ ὅτι τὸ μὲν ἔτετμεν, ἀπὸ τοῦ τέμω γίνεται ἀφ' οὗ καὶ ἡ συντομία. ἵνα ᾖ ὡς καὶ ἐν ἄλλοις δηλοῦται, τέμω τμῶ, καὶ ἀναδιπλασιασμῷ, τέτμω. ὅθεν τὸ ἔτετμεν. ἤτοι κατέλαβεν. εὗρε κατ' ἐπιτομὴν δηλαδὴ ὁδοῦ. ποιηταῖς δὲ μόνοις φιλεῖται ἡ λέξις. (ῃερς. 258.) Χυτὴ δὲ κἀνταῦθα γαῖα, χοώδης. ἡ λυτὴ εἰς ξηρὸν χοῦν. ἀφ' ἧς τὰ τῶν τύμβων χώματα, ἤγουν ἀναχωματισμοὶ τάφων. (ῃερς. 259.) Τὸ δὲ δάπτειν, πρωτότυπόν ἐστι τοῦ δαρδάπτειν. ὡς καὶ τὸ μαίρειν, τοῦ μαρμαίρειν. ἀπ' αὐτοῦ δὲ, καὶ δαπταὶ αἱ μυῖαι παρὰ Λυκόφρονι. Αἱ δὲ Ἀχαιϊάδες, καὶ τετρασυλλάβως Ἀχαιΐδες λέγονται. ὡς δηλοῖ καὶ τὸ, Ἀχαιΐδα γαῖανίκάνω. (ῃερς. 262.) Ὅτι ὑπὸ στρατηγῶν πολυπόνων ῥηθήσεται τὸ, ἡμεῖς μὲν κεῖθι πολέας τελέοντες ἀέθλους ἥμεθ'. ὅδ' εὔκηλος ἐποίη τάδε. Καὶ ὅρα ὡς ἀέθλους ἔφη τοὺς ἐν πολέμῳ πόνους διὰ τὸ 1.125 ἐναγώνιον. (ῃερς. 263.) Ὅτι μυχὸν Ἄργεος ἱπποβότου, τὰς Μυκήνας λέγει, ὧν ὁ Ἀγαμέμνων ἦρχε.προϊὼν οὖν ἐρεῖ πρὸς σαφήνειαν, ὡς ἑπτάετες ἤνασσε πολυχρύσοιο Μυκήνης. δηλοῖ δὲ ὁ μυχὸς, τὸ μὴ ἐν ἄκρῳ Πελοποννήσου κεῖσθαί που τὰς Μυκήνας ἀλλ' ἐν βάθει. (ῃερς. 264.) Ὅτι πολλὰ Αἴγισθος τὴν ἀγαμεμνονέην ἄλοχον θέλγεσκεν ἔπεσιν. ἡ δὲ, τὸ πρὶν μὲν, ἀναίνετο ἔργον ἀεικὲς δῖα Κλυταιμνήστρη, φρεσὶ γὰρ κέχρητο ἀγαθαῖς. ἢ καθ' ἑτέραν γραφὴν, κέκρητο. ἤγουν συνεκέκρατο, ἀναμέμικτο. πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνὴρ, ᾧ πόλλ' ἐπέτελλεν Ἀτρείδης Τροίηνδε κιὼν, εἴρυσθαι ἄκοιτιν. ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι, δὴ τότε τὸν μὲν ἀοιδὸν, ἄγων ἐς νῆσον ἐρήμην, κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κῦρμα γενέσθαι. τήν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅν δε δόμον δε. Καὶ ὅρα τὸ ἀνήγαγεν ἁπλῶς οὕτω λεχθὲν ἀντὶ τοῦ ἤγαγε. (ῃερς. 264.) Τὸ δὲ Ἀγαμεμνονέην ἄλοχον, σκωπτικῶς νῦν εἶπε, διαβάλλων εὐφήμως ἐπὶ μοιχείᾳ τὸν Αἴγισθον. Περὶ δὲ τοῦ θέλγειν, καὶ ἐν τῇ ¯α ῥαψῳδίᾳ ἐῤῥέθη καὶ ἀλλαχοῦ. (ῃερς. 265.) Ἐν δὲ τῷ, ἡ δὲ ἀναίνετο, ἡ τοῦ Αἰγίσθου δηλοῦται ἀναίδεια καὶ τὸ ἐν κακίᾳ παράμονον, εἴγε καὶ δύσελπις ὢν, ὅμως ἐπέμενεν. Ὅρα δὲ καὶ οἷον ἡ διὰ λόγων πολιορκία, εἴγε τὴν Κλυταιμνήστραν ἀναινομένην ἔργον ἀεικὲς καὶ φρένας ἔχουσαν ἀγαθὰς, διὸ καὶ δῖαν αὐτὴν ὁ ποιητὴς λέγει, παρεστήσατο προσεδρείᾳ λόγων ὁ Αἴγισθος. πλὴν οὐκ ἄλλως, ἀλλ' ἐκ ποδῶν ποιησάμενος τὸν λόγιον ἀοιδὸν ὡς λόγοις ἑτέρωθεν ἀντιπράττοντα. Ἔργον δὲ ἀοικὲς, τὴν μοιχείαν λέγει κατὰ σχῆμα σεμνότητος. (ῃερς. 269.) Τὸ δὲ ἀλλ' ὅτε δή μιν μοῖρα ἐπέδησε δαμῆναι, τριπλῆν ἔχει ἔννοιαν. ἢ γὰρ λέγει ὅτε μοῖρα ἦν θανεῖν τὸν ἀοιδόν. ἢ ὅτε ἐχρῆν ἀποθανεῖν τὸν Αἴγισθον. ἢ ὅτε μοῖρα ἦν, τὴν Κλυταιμνήστραν ὑπὸ τῷ Αἰγίσθῳ γενέσθαι, ὃ καὶ κρεῖττον διὰ τὸ δαμῆναι. ἀφ' οὗ καὶ ὁ γάμος γίνεται δάμος τις ὤν. (ῃερς. 270.) Τοὺς δὲ ἀοιδοὺς οἱ παλαιοὶ ὅ ἐστι τοὺς περὶ μουσικὴν καὶ ποιητικὴν, ἐν μοίρᾳ φιλοσόφων ἔταττον, καὶ διδασκάλοις ἐχρῶντο. διὸ καὶ τῇ Κλυταιμνήστρᾳ φύλαξ ἀοιδὸς ἦν. (ῃερς. 267.) κεχρημένῃ μὲν καὶ φρεσὶν ἀγαθαῖς, χρῃζούσῃ δὲ καὶ τούτου. διὸ ἔφη. πὰρ γὰρ ἔην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀοιδός. οὔτε γὰρ ἀγαθὴ φρὴν ἀνενδεὴς ἀοιδοῦ τοιούτου, καὶ ὁ ἀοιδὸς δὲ, ἀγαθὰς ἂν φρένας διδάξῃ. ἀποσεμνύνει δὲ ὁ ποιητὴς ἐνταῦθα τὴν κατ' αὐτὸν τέχνην, εἴγε καὶ αὐτὸς ἀοιδός ἐστιν. ἀπολύτως δὲ ἀοιδὸς ὁ τοιοῦτος λέγεται, κατὰ τρόπον ἐξοχῆς. οἱ μέντοι ἀοιδοὶ τῶν θρήνων καὶ οἱ περὶ γάμους καὶ εἴ τινες τοιοῦτοι, ἑτεροῖόν τι γένος ἦσαν ἀοιδῶν. τινὲς δὲ ἀοιδὸν, τὸν εὐνοῦχον παρενόησαν, ὡς αἰδοῖα μὴ ἔχοντα. οἱ δὲ παλαιοὶ περὶ τοῦ Ὁμηρικοῦ τούτου ἀοιδοῦ, γράφουσι καὶ τοιαῦτα. τὸν ἀοιδὸν τὸν παρὰ τῇ Κλυταιμνήστρᾳ, οἱ μὲν Χαριάδην οἴδασι καλεῖσθαι. οἱ δὲ Δημόδοκον. οἱ δὲ Γλαῦκον. ὁ δὲ Φαληρεὺς Δημήτριος ἱστορεῖ ὅτι Μενέλαος ἅμα Ὀδυσσεῖ ἐλθὼν εἰς Δελφοὺς ἤρετο περὶ τῆς εἰς Ἴλιον στρατείας ἀγωνοθεροῦντος Κρέοντος τὸν ἐνναετηρικὸν ἀγῶνα τῶν Πυθίων. ἐν ᾧ ἐνίκα Δημόδοκος Λάκων, μαθητὴς Μυκηναίου Αὐτομήδους τοῦ δι' ἐπῶν γράψαντος τὴν Ἀμφιτρύωνός τε μάχην πρὸς Τηλεβόας, καὶ τὴν ἔριν Κιθαιρῶνος καὶ Ἑλικῶνος. ἀφ' ὧν τὰ ἐν Βοιωτίᾳ ὄρη ἐκλήθησαν. ἦν δέ φησι καὶ αὐτὸς μαθητὴς Περιμήδους Ἀργείου, διδάξαντος αὐτόν τε καὶ τὸν ῥηθέντα Μυκηναῖον Αὐτομήδην. καὶ Λικύμνιον τὸν Βουπρασιέα. καὶ Φαρίδαν τὸν Λάκωνα. καὶ Πρόβολον τὸν Σπαρτιάτην. τότε δὴ Μενέλαος μὲν τῇ προνοίᾳ Ἀθηνᾷ τὸν τῆς Ἑλένης ὅρμον ἀνέθηκεν ἐν Δελφοῖς. Ἀγαμέμνων δὲ, τὸν Δημόδοκον εἰς Μυκήνας ἀκολουθῆσαι πείσας, ἔταξε, τὴν Κλυταιμνήστραν τηρεῖν. ἐτίμα γὰρ λίαν φησὶ τοὺς ἀοιδοὺς, ὡς διδασκάλους τῶν τε θείων καὶ ἀνθρωπίνων. δηλοῖ δέ φησι καὶ Κλυταιμνήστρα τὴν εἰς αὐτὸν τιμήν. οὐ γὰρ φονεύειν ἀλλ' ἀφορίζειν αὐτὸν ἀφῆκε. Τιμόλαος δὲ, τὸν ἀοιδὸν τοῦτον, ἀδελφὸν ἱστορεῖ τοῦ Φημίου. ὃν ἀκολουθῆσαι φησὶ τῇ Πηνελόπῃ εἰς Ἰθάκην φύλακα. διὸ καὶ βίᾳ παρὰ τοῖς μνηστῆρσιν ᾄδει. Ἰστέον δὲ ὅτι καὶ ὁ Ἀθήναιος ἀποσεμνύνων τοὺς ἀοιδοὺς καὶ βιωφελὲς εἶναι τὸ κατ' αὐτοὺς φῦλον παραδιδοὺς, λέγει ὅτι σῶφρον ἦν τι τὸ τῶν ἀοιδῶν γένος, καὶ φιλοσόφων διάθεσιν ἐπέχον. ὁ βασιλεὺς οὖν ἀοιδὸν καταλείπει τῇ γυναικὶ φύλακα καὶ παραινετῆρα. ὃς πρῶτα μέν φησιν, ἀρετὰς γυναικῶν διερχόμενος καθὰ δηλαδὴ Ἀχιλλεὺς ἄειδε κλέα ἀνδρῶν, ἐνέβαλλέ τινα τῇ βασιλίδι φιλοτιμίαν εἰς καλοκαγαθίαν. εἶτα διατριβὴν παρέχων ἡδεῖαν, ἀπεπλάνα τὴν διάνοιαν φαύλων ἐπινοιῶν. διὸ Αἴγισθος οὐ πρότερον διέφθειρε τὴν γυναῖκα, πρινὴ τὸν ἀοιδὸν ἐκποδῶν ἔθετο. τοιοῦτος καὶ ὁ παρὰ τοῖς μνηστῆρσι Φήμιος ὃς ἤειδεν ἀνάγκῃ, τοὺς ἐφεδρεύοντας τῇ Πηνελόπῃ βδελυττόμενος. κοινῶς δέ που πάντας τοὺς ἀοιδοὺς, ἀοιδοίους ἀνθρώπους εἶναί φησι καὶ 1.126 Μουσῶν μαθητὰς καὶ φίλους. εἰ δὲ ὁ παρὰ Φαίαξι Δημόδοκος μοιχείαν Ἄρεος ᾄδει ἐπὶ Ἀφροδίτῃ, οὐκ ἀποδεχόμενός φησιν ᾄδει, ἀλλ' ἀποτρέπων αὐτοὺς παρανόμων ὀρέξεων, εἰδὼς ἐν τρυφερῷ βίῳ τεθραμμένους. κἀντεῦθεν ὅμοια τοῖς τρόποις αὐτῶν προσφέρων. καθὰ καὶ τοῖς μνηστῆρσιν ὁ Φήμιος, πρὸς τὴν αὐτῶν βουλὴν ᾄδει νόστον Ἀχαιῶν. οὕτω δὲ καὶ αἱ Σειρῆνες τῷ Ὀδυσσεῖ, τὰ τέρψοντα, ὡς οἰκεῖα τῇ αὐτοῦ φιλοτιμίᾳ καὶ πολυμαθείᾳ. εἰ δέ τι χρὴ καὶ ἐξ ἀψύχου ὕλης ἀποσεμνύναι ἀοιδὸν, ἰστέον ὅτι Ἀλεξάνδρου τοῦ μεγάλου κατασκάπτοντος τὰς ἑπταπύλους Θήβας, ἐνέθετό τις ὡς ὁ Ἀθήναιος ἱστορεῖ, χρυσίον εἰς ἱμάτιον κοῖλον ἀνδριάντος Κλέωνος Θηβαίου ἀοιδοῦ. συνοικιζομένης δὲ τῆς πόλεως ὕστερον ἐπανελθὼν, εὗρε τὸ χρυσίον μετὰ ἔτη τριάκοντα. λογιστέον δ' ἐνταῦθα καὶ ὡς ἀοιδὸν μὲν ἄνδρα σοφὸν ἀπεχθῶς ἔχειν πρὸς μοιχείαν, καινὸν οὐδέν. ἐκεῖνο δὲ ξενίζει ὡς μάλιστα, εἰ καὶ ἀλόγῳ ζῴῳ τοιαύτη ἀρετὴ ἐμφαίνεται. πορφυρίων γοῦν φασι τὸ ὄρνεον ὃς λίβυς μέν ἐστιν ἱερὸς δὲ τῶν ἐκεῖ θεῶν καθὰ καὶ ἡ ἶβις, λέγεται διαιτώμενος ἐν οἰκίαις τηρεῖν τὰς ὑπάνδρους τῶν γυναικῶν, πικρῶς ἔχων τοιαύτην αἴσθησιν φασὶν ἐπὶ ταῖς μοιχευομέναις, ὥς θ' ὅταν τοῦ θ' ὑπονοήσῃ, προσημαίνει φασὶ τῷ δεσπότῃ ἀγχόνῃ τὸ ζῆν περιγράψας. ἔχει δέ φασιν ὁ τοιοῦτος ὄρνις μέγεθος κατὰ ἀλεκτρυόνα. ἐχθαίρων δὲ τοὺς προσιόντας αὐτοῦ τῇ τροφῇ, λαμβάνει τροφὴν ἐν σκότῳ καταδυόμενος. καλεῖται δὲ πορφυρίων, διὰ τὸ τοῦ ῥύγχους φοινικοῦν. Ἔνθα ὅρα ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ μόνον ῥάμφος ἐπὶ ὀρνέων, ἀλλὰ καὶ ῥύγχος. εἰ καί τινες ἐπὶ συῶν αὐτὸ ἰδιάζουσι. δῆλον δὲ ὡς οὐδέν τι κοινὸν δίχα μόνης ἐκφωνήσεως ἔχουσιν ἡ ἥβη καὶ ἡ ἴβις ὡς οὐδὲ ἡ Ἥρη καὶ ἡ Ἶρις. (ῃερς. 270.) Τὸ δὲ ἐρήμην, οὐ μόνον ποιητικόν ἐστιν, ἀλλὰ καὶ ἄλλως Ἀττικόν. ὡς δηλοῖ καὶ ὁ γράψας τὸ, ἐρήμην αὐτὴν ἄνεμοι καταπνέουσιν. οὕτω δὲ Ἀττικῶς πέφρασται καὶ τὸ, ὁ δεῖνα ἐρήμην ἑάλω. ἤτοι κατεδικάσθη. ὅπερ ἐλλειπτικῶς δηλοῖ κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα, ὅτι ὅ δέ τις ἐρήμην δίκην κατεδικάσθη, ἤγουν ἐρήμην ἑαυτοῦ, οἷα ἐν τῷ ἀπεῖναι καταδεδικασμένου. (ῃερς. 271.) Τὸ δὲ κῦρμα, ταυτόν ἐστι τῷ, εὐτυχὲς εὕρημα. ἢ ἁπλῶς ἐντυχία. καθ' ὁμοιότητα τοῦ κατὰ συγκυρίαν. (ῃερς. 270.) Ἰστέον δὲ ὅτι ῥηθεὶς ὁ τοῦ ἀοιδοῦ εἰς νῆσον ἐρήμην ἀφορισμὸς, μύσους καὶ ἄγους ἐστὶν ἔκκλισις, καὶ οἷον εἰπεῖν, ἀφοσίωσις. ὡς δῆθεν μὴ κακοῦ τινὸς γενομένου τῷ ἀοιδῷ εἰ ζῶν ἐξετέθη ἐν νήσῳ. οὕτω καὶ οἱ τραγικῶς τὴν Ἀντιγόνην καταχώσαντες, ἀφωσιώσαντο μὴ ἐναγεῖς εἶναι, συγκατορύξαντες αὐτῇ καί τι τροφῆς. τὸ δ' ἦν, συνθάψαντες. (ῃερς. 262.) Τὸ δὲ ἐθέλων ἐθέλουσαν, διευκρινεῖ ἄριστα ὁ Πορφύριος. ἐκθεὶς τὸν ἐθέλοντα μὴ θελούσῃ μιγνύμενον. καὶ τὸν, μὴ θέλοντα ἐθελούσῃ, καὶ τὸν, ὃς ἐθέλων ἐθέλουσαν ἀνήγαγε τὴν βασιλίδα εἰς τὰ ἑαυτοῦ. μὴ θέλων γάρ τις μὴ θελούσῃ, οὐκ ἂν συνέλθοι. ὅτι δὲ τὸ ἐθέλειν, ἀεὶ τρισυλλαβεῖ παρὰ τῷ ποιητῇ, ἐκδηλότατον. (ῃερς. 273.) Ὅτι πολλὰ μηρία Αἴγισθος ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς. πολλά δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε, ἐκτελέσας μέγα ἔργον, ὃ οὔποτε ἔλπετο θυμῷ. ταῦτα δὲ παρῳδηθήσεταί ποτε εἴς τινα μέγα τι ἀνύσαντα ὡς οὐκ ἤλπιζεν. Ὅρα δὲ ὡς ἀχρεῖαι θυσίαι καὶ αὗται ὅτι μάλιστα καθὰ καὶ πρὸ μικροῦ αἱ τοῦ Ἀγαμέμνονος. ἱεροὶ δὲ βωμοὶ, πρὸς διαστολὴν ἑτέρων μὴ τοιούτων. ὁποῖοι ἐν Ἰλιάδι ἐφ' ὧν ἅρματα τίθενται. καὶ ἐν τοῖς ἑξῆς δὲ, οἱ εὕδμητοι παρὰ Φαίαξι βωμοὶ ἐφ' ὧν ἵστανται χρύσειοι κοῦροι δαΐδας ἐν χερσὶν ἔχοντες. (ῃερς. 274.) Ἀγάλματα δὲ παρὰ μὲν τοῖς ὕστερον, τὰ ξόανα. παρὰ δὲ τῷ ποιητῇ, πᾶν ᾧ τις ἀγάλλεται, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα φανεῖται. διὸ εἰπὼν ἀγάλματα, ἐπάγει. ὑφάσματά τε χρυσόν τε. οὕτω καὶ Ἑκάτης ἀγάλματα, αἱ κύνες. ταύτῃ γάρ φασι θύονται. ἣν καὶ κυνοπρόσωπον διαπλάττονται. Ἀριστοφάνης. καὶ κύων ἀκράχολος Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι. Τὸ δὲ ἀνῆψεν, ἀντὶ τοῦ, ἐξέδησεν ἀνέθετο. ἐξήρτησεν. ὅθεν καὶ τὸ, βρόχον ἀνῆψε παρὰ τῷ χρυσῷ τὴν γλῶτταν. τὸ μέντοι περιῆψε, δηλοῖ μὲν καὶ αὐτὸ τοιοῦτόν τι. ὅθεν καὶ τὸ περιάπτον. μάλιστα δὲ περιάπτειν, τὸ περιειλίσσειν λέγεται. (ῃερς. 272.) Ὅτι τὸ φιλοῦντες περιφράζων, φησί. φίλα εἰδότες ἀλλήλοισιν. (ῃερς. 272.) Ὅτι τὸ Σούνιον, ἱερὸν ἄκρον ἤγουν ἀκρωτήριον Ἀθηναίων φησί. καὶ ἴσως ἱερὸν αὐτό φησιν, ἐπεὶ Ζεὺς Σουνιεὺς ἐτιμᾶτο ἐκεῖ. ὃν διθυραμβικῶς παίζων ὁ κωμικὸς, καλεῖ σουνιάρατον. (ῃερς. 279.) Ὅτι πλεόντων ἅμα ἐκ Τροίας Μενελάου τὲ καὶ Νέστορος, καὶ κατασχόντων περὶ τὸ ῥηθὲν Σούνιον. ἐνταῦθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων οἷς ἀγανοῖς βελέεσσιν ἐπιχόμενος κατέπεφνε, πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα, Φρόντιν Ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων νῆα κυβερνῆσαι ὁπότε 1.127 σπέρχωσιν ἄελλαι, ὅπερ ἴδιον ἀρίστου κυβερνήτου. τὸ γὰρ ἐν νηνεμίᾳ κυβερνᾶν, οὐ πολλῆς ἔργον τέχνης. (ῃερς. 280.) Ὅρα δὲ καὶ ὅτι ἐν τῇ Ὀδυσσείᾳ τοὺς τῶν ἀνδρῶν αἰφνιδίους θανάτους Ἀπόλλωνι ἀνατίθησιν. ἐν δὲ τοῖς ἑξῆς, Ἀρτέμιδι τοὺς τῶν γυναικῶν. ὅ ἐστιν ἡλίῳ καὶ σελήνῃ. ἐνταῦθα γοῦν ἀναιρεῖ τὸν ῥηθέντα κυβερνήτην Ἀπόλλων βέλεσσιν ἀγανοῖς, οὐ προϋποτεθέντα νοσεῖν ἀλλὰ πηδάλιον μετὰ χερσὶ νηὸς θεούσης ἔχοντα. αἴφνης ἄρα ἐκεῖνος τέθνηκε. καὶ βέλη μὲν ἐν Ἰλιάδι ἐχεπευκῆ ἀφίησιν ὁ Ἀπόλλων, ἐπειδὴ ἐπώδυνα τὰ τοῦ λοιμοῦ. ὧδε μέντοι, ἀγανὰ τὰ βέλη. ὅ ἐστιν ἡδέα. προσηνῆ. ἀνεπαίσθητοι γὰρ ὀδύνης οἱ αἴφνης θνήσκοντες. Σημείωσαι δὲ ὅτι τὸ οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνε, προσαρμόσοι ἄν ποτε ὑπούλῳ ἐχθρῷ ἐπιλεχθῆναι. ὃς ἐν σχήματι φιλίας ἀναιρεῖ τὸν δῆθεν φιλούμενον. (ῃερς. 282.) Ὁ δὲ Φρόντις καὶ ὁ αὐτοῦ πατὴρ ὁ Νήτωρ, πέπλασται ἴσως. ἢ καὶ φερώνυμος καθ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱστορίαν ἡ κλῆσις. φροντιστικός τε γάρ ἐστιν ἅπας κυβερνήτης, καὶ ὀνεῖν ἐπαγγέλλεται. Τὸ δὲ ἐκαίνυτο, ποιητικὴ λέξις, ἐκ τοῦ καίνυμι. εἴληπται δὲ ἀντὶ τοῦ πάνυ ἐνίκα. κυριολεκτεῖται δέ φασιν, ἐπὶ τῶν ἐν πολέμῳ νικώντων, ὡς ἐκ τοῦ καίνειν ὃ δηλοῖ τὸ κόπτειν. δοκεῖ δ' ἐντεῦθεν καὶ ἡ τῶν ἰδιωτευόντων γλῶσσα παρελκύσαι τὴν ἀποκοπτὴν νίκην, ἐπεὶ καὶ ταυτὸν τὸ καίνυσθαι καὶ τὸ κόπτειν. Ὅτι περὶ ἑτάρου ταφὴν πονούμενος ὁ Μενέλαος κατὰ τὸ δηλωθὲν Σούνιον, τῇ περὶ πλοῦν δυστυχίᾳ περιέπεσε. θάψας γὰρ ἐκεῖνον καὶ κτέρεα ἐπ' αὐτῷ κτερεΐσας εἶτα πλεύσας, ὡς ἷξε θέων μαλειάων ὄρος αἰπὺ, τότε δὴ στυγερὴν ὁδὸν ὁ Ζεὺς ὅ ἐστιν ὁ ἀὴρ, ἐφράσατο. λιγέων ἀνέμων ἐπ' ἀΰτμένα χεύας, κύματά τε τροφέοντα πελώρια ἶσα ὄρεσσιν. ἔνθα διατμήξας, τὰς μὲν τῶν νηῶν Κρήτῃ ἐπέλασσεν, ἧχι Κύδωνες ἔναιον, Ἰαρδάνου ἀμφὶ ῥέεθρα. καὶ αὐτὰς μὲν, ποτὶ σπιλάδεσσιν ἔαξαν κύματα. σπουδῇ δ' ἤλυξαν ὄλεθρον ἄνδρες. πέντε δὲ λοιπὰς νῆας κυανοπρωρείους, Αἰγύπτῳ ἐπέλασσε, φέρων ἄνεμός τε καὶ ὕδωρ. μεθ' ὧν πλέων ὁ Μενέλαος, ἐπλανᾶτο καθὰ καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται. (ῃερς. 287.) Ἰστέον δὲ ὅτι ἐκ Μαλειῶν ὅθεν ἐξώσθη Μενέλαος εἰς Κρήτην καὶ περὶ ἃς ἐδυστύχησεν ὁ Ἀγαμέμνων εἰς τὸν πλοῦν ὡς ἐν τοῖς ἑξῆς εἰρήσεται, παροιμία κεῖται τὸ, Μαλείας δὲ κάμψας, ἐπιλάθου τῶν οἴκαδε. οὐ γὰρ εὔπλους φασὶν ὁ τόπος. λέγεται δὲ καὶ Μάλεια ἑνικῶς καὶ Μάλειαι πληθυντικῶς πρὸς ἔμφασιν τοῦ κατὰ τὸ ἀκρωτήριον μεγέθους. οὕτω δὲ καὶ Κρήτη καὶ Κρῆται. καὶ ἄλλα πολλά. ἡ δὲ Μάλεια, καὶ Μαλέας κοινῶς λέγεται. (ῃερς. 288.) Ὅρα δὲ τὸ, ἷξε θέων. διὰ γὰρ τὴν θοὴν νῆα θέειν λέγεται καὶ ὁ ἐν αὐτῇ. ὅθεν καὶ θοὸν εἰρεσίας ζυγὸν φησὶ Σοφοκλῆς. (ῃερς. 289.) Τὸν δὲ ἀΰτμένα, σπανίως ἔστιν εὑρεῖν. ἡ ἀϋτμὴ γὰρ ἐν χρήσει πλείονι. Τὸ δὲ χεύας, ὑγρότητα δηλοῖ ἀϋτμῆς. κατὰ τὸ, ἀνέμων μένος ὑγρὸν ἀέντων. (ῃερς. 290.) Τὸ δὲ τροφέοντα, γράφεται καὶ τροφόεντα. ἔστι δὲ τροφόεν κῦμα, ὅπερ ἀλλαχοῦ τρόφι ἐῤῥέθη ἀπὸ εὐθείας τῆς, ὁ τρόφις. οὗ αἰτιατικὴ μὲν παρὰ Ὀππιανῷ ἐν τῷ, ἱερὸν τρόφιν ἐννοσιγαίου. εὐθεῖα δὲ πληθυντικὴ παρὰ Ἡροδότῳ, ἐν τῷ, ἐπὰν γένωνται τρόφιες ἤγουν τέλειοι ἄνδρες. Φοβερὸν δὲ χωρίον καὶ ἀγριότητα θαλάσσης φράζον γοργῶς τὸ, κύματα τροφέοντα πελώρια ἶσα ὄρεσσιν. ὃ καὶ σημείωσαι διὰ τὴν εὔτακτον παραύξησιν. μεῖζον μὲν γὰρ φρικὸς, τὸ ἁπλῶς τροφόεν κῦμα. πλεῖον δὲ, τὸ πελώριον. ἔτι δὲ μεῖζον, τὸ ἶσον ὄρεσσι καὶ ὡς ἂν εἴποι τις, πέλας ὄρους. ἐξ οὗ δόξοι ἂν, εἶναι καὶ τὸ πελώριον, κραθὲν τὴν παραλήγουσαν ἀπὸ τοῦ ¯α καὶ ¯ο. ἐπεὶ οὐδὲ ἡ πρυμνώρεια καὶ ἡ ὑπώρεια ἐστέρηνται κράσεως. (ῃερς. 289.) Ἰστέον δὲ ὅτι ἐν τῷ, ἀΰτμένα χεύας κύματά τε τροφόεντα, οὐ προσυπακουστέον ἀπὸ κοινοῦ τὸ χεύας καὶ ἐπὶ τῶν κυμάτων, ἀλλ' ἐξ ἀναλόγου νοητέον τὸ ἐγείρας ἢ κορυφώσας. οὕτω καὶ ἐπὶ τοῦ, σῖτον καὶ οἶνον ἔσθων, ἡ ἀκολουθία, τὴν τοῦ πίνειν μετοχὴν ἔξωθεν τῷ οἴνῳ κομίζει. ὡς τοῦ ἔσθων, τῷ σίτῳ προσαρηρότος. τοιούτου δὲ σχήματος καὶ τὸ, καπνὸν ἐλεύσσομεν καὶ φθογγήν. φθογγὴ γὰρ, οὐ λεύσσεται πάντως, ἀλλ' ἐξακούεται. ὡς χρῆναι νοεῖν ἐντελῶς, ὅτι καπνὸν ἐλεύσσομεν καὶ φθογγὴν ἠκούομεν. εἰ καὶ σεσίγηται τὸ τῆς ἀκοῆς ἀφελῶς ἢ γοργῶς. (ῃερς. 292.) Κύδωνες δὲ, Κρήτης ἔθνος καὶ Κυδωνὶς, πόλις αὐτόθι ποταμὸν ἔχουσα Ἰάρδανον. εἰ δ' ἐκ τοῦ τοιούτου Κρητικοῦ τόπου καὶ τὰ Κυδώνια παρωνόμασται μῆλα, οὐκ ἔστι βεβαίως εἰπεῖν. ὁμοίως δὲ ἀβέβαιον καὶ τὸ φάναι ἀπὸ Κύδωνος αὐτοὺς ὠνομάσθαι τοῦ πάνυ φιλοξένου, περὶ οὗ παροιμία κεῖται τὸ, ἀεί τις ἐν Κύδωνος. (ῃερς. 298.) Σπιλάδες δὲ ὡς οἱ παλαιοί φασιν, αἱ παράλιαι πέτραι παρὰ τὸ σπιλοῦσθαι τῇ ἄχνῃ. (ῃερς. 300.) Αἴγυπτον δὲ ἀρσενικῶς τὸν Νεῖλον φησὶ, ὡς πολλαχοῦ ἐν τοῖς ἑξῆς φανήσεται. ἀφ' οὗ καὶ ἡ χώρα Αἴγυ 1.128 πτος. δῶρον οὖσα τοῦ ποταμοῦ κατὰ τοὺς παλαιοὺς ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. τὴν Αἴγυπτον δὲ θηλυκῶς, οὐκ οἶδεν ὁ ποιητής. ἐν δὲ τῷ, φέρων ἄνεμός τε καὶ ὕδωρ, ἀπὸ κοινοῦ νοητέον καὶ οὐδέτερον τὸ φέρον, διὰ τὸ ὕδωρ. ἐκ δὲ τοῦ τοιούτου φέρειν, καὶ φορὸς ἄνεμος κοινότερον, ὁ τὴν νῆα φέρων. (ῃερς. 298.) Ὅρα δὲ ὅτι τοὺς ναύτας τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νηῶν τοῦ Μενελάου ἃς τὰ κύματα ἔαξαν, σιωπᾷ ὁ ποιητὴς εἴτε τῇ Κρήτῃ ἐσαπέμειναν εἴτε καί τινες τῷ Μενελάῳ συνεισέβησαν εἰς τὰ πέντε σκάφη. (ηερς. 297.) Ἐν τούτοις δὲ, ὅρα καὶ τὸ, σπουδῇ ἤλυξαν ὄλεθρον. συντελοῦν εἰς τὸ, μὴ μὰν ἀσπουδεί γε νεῶν ἐπιβαῖεν, ἤτοι ἀπόνως. (ηερς. 299.) Τὸ δὲ κυανοπρωρείους, ἢ κατὰ πλεονασμὸν τῇ ε¯ι διφθόγγῳ παραλήγεται, ἢ ὡς κτητικὸν ὅμοιον τῷ, ἡμετέρειος. (ηερς. 293.) Ὅτι καὶ ἐνταῦθα καθὰ καὶ πολλαχοῦ τῆς Ἰλιάδος, σχήματι ἀφηγηματικῷ χρῆται ἀρχομένῳ ἀπὸ τοῦ ἔστι ῥήματος. εἰπών. ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη ἐσχατιῇ Γόρτυνος, ἐν ἠεροειδέϊ πόντῳ. ἔνθα Νότος μέγα κῦμα περὶ σκαιὸν ῥίον ὠθεῖ ἐς Φαιστόν. μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει. (ηερς. 296.) ὅπερ ἀστεῖον εἰπεῖν, ὅτε τις λιθάριον δοὺς τίμιον, ἐκφύγῃ μεγάλην ἐπήρειαν. τοπογραφικὰ δὲ ταῦτα πρὸς ἱστορίαν ἀληθῆ ὁποῖα πολλὰ παρυφαίνει Ὅμηρος τῇ ποιήσει. (ηερς. 293.) Λισσὴ δὲ πέτρα, ἢ ἡ λεία, ἢ ὀνοματικῶς οὕτω λεγομένη κατά τι κύριον ὄνομα. παρὰ δέ γε τοῖς Κρησὶ, βλισσὴ σὺν τῷ βῆτα κατὰ τοὺς παλαιούς. ἔστι δὲ ἀκρωτήριον τῆς Γορτυνίας. Κράτης δέ φασι, σὺν τῷ ¯ν γράφει βλισσήν. καὶ δοκεῖ κατὰ εὐθεῖαν πτῶσιν ἀρσενικῶς προφέρειν ὁμοίως τῷ, σωλὴν καὶ τοῖς τοιούτοις. Τοῦ δὲ εἰς ἅλα, σαφέστερον τὸ, ἐν ἠεροειδέϊ πόντῳ. (ηερς. 294.) Ἰστέον δὲ καὶ ὡς Ὅμηρος μὲν Γόρτυν Γόρτυνος κλίνει. τινὲς δὲ τῶν ὕστερον, Γορτύνην φασί. καὶ εἴρηται περὶ αὐτῆς ἐν τοῖς τοῦ περιηγητοῦ. (ηερς. 295.) Σκαιὸν δὲ ῥίον, τὸ δυτικόν. ὃ καὶ μικρὸν λίθον φησὶν, ὡς πρὸς σύγκρισιν ἄλλων ἐκεῖ μειζόνων ἀκρωτηρίων. νοητέον δὲ ὅτι τῷ οὕτω νοουμένῳ σκαιῷ ὡς δηλαδὴ ἀριστερῷ, τὸ δεξιὰν ἀντίκειται. ὅπέρ ἐστιν ἀνατολικόν. Ἰστέον δὲ ὅτι σκαιὸν ἄνθρωπον Ἀττικοὶ, τὸν ἀπαίδευτόν φασι καὶ ἀνόητον, ὡς δηλοῖ σαφῶς καὶ ὁ κωμικός. ἀκολούθως δὲ καὶ σκαιὸν πρᾶγμα, τὸ μὴ κατὰ νοῦν ἀποβεβηκός. γίνεται δέ φασι παρὰ τὸ σκάζειν. ἵνα ᾖ σκαιὸς, ὁ σκάζων εἰς μάθησιν ὡς ἀνόητος, ἐξ αὐτοῦ δὲ, καὶ σκαιοσύνη. καὶ σκαιοβατεῖν, τὸ σκαιῶς καὶ ἀῤῥύθμως βαίνειν. εἰκὸς δὲ ἀπὸ τοῦ εἰρημένου σκάζω οὗ δοκεῖ προϋπάρχειν τὸ σκῶ κατὰ τὸ σχῶ σχάζω, ῥῶ ῥάζω τὸ ῥαίνω καὶ τὰ ὅμοια, γενέσθαι καὶ τὸ ἀσκεῖν κατὰ στέρησιν τοῦ περί τι σκάζειν. ἴσως δὲ, ἐκεῖθεν καὶ ἀσκηθὴς ὁ ἀβλαβὴς καὶ μὴ πάσχων τὸ σκάζειν τὰ εἰς ἐνέργειαν. ἐπισημαντέον δὲ καὶ ὡς εἴπερ σκαιὸν λέγεται καὶ τὸ ὡς ἐῤῥέθη ἀριστερὸν, λέγοιτ' ἂν σκαιὸς καὶ ὁ παρ' Ἀττικοῖς, ἐπαρίστερος, ὃ δὴ ἀλλαχοῦ ἐγράφη. ὅτι δὲ καὶ σκαιαὶ πύλαι Τρωϊκαὶ καὶ Σκαιὸς κύριον, ἡ Ἰλιὰς δηλοῖ. Τὸ δὲ ὠθεῖν, οἰκεῖον ἐπὶ Νότου. ὥσπερ ἐπὶ Βορέου τὸ κυλίνδειν. καθὰ καὶ ἐν Ἰλιάδι ἐφάνη. (ηερς. 296.) Φαιστὸς δὲ, οὐ μόνον πόλις Κρήτης, ἀλλὰ καὶ ἀκρωτήριον Γόρτυνος. ἀπὸ μὲν τῶν ἄλλων μερῶν, κύμασι κλυζόμενον καὶ εἰ βραχεῖά τις φασὶν αὖρα γένηται. ἀπὸ δὲ μεσημβρίας, οὐ δόλως· καί τοι τοῦ Νότου μέγιστα ἐγείροντος κύματα. αἴτιον δὲ, τὸ κατὰ τοῦτο φασὶ τὸ μέρος προηκούσαις εἰς θάλασσαν πέτραις προσαράσσεται τὰ κύματα καὶ οὕτω λύεσθαι καὶ μὴ κυμαίνειν τὰ ἔξω. Εἰς δὲ τὸ, μικρὸς δὲ λίθος, γράφουσιν οἱ παλαιοὶ ὅτι τὸ κῦμα τοῦ Νότου ἐποίει ἂν τὴν Φαιστὸν ἀλίμενον εἰ μὴ προκείμενος ὁ λίθος ἐκώλυε μέγα κῦμα ἐντὸς γίνεσθαι καταγνυμένων τῶν κυμάτων περὶ αὐτόν. γράφεται δέ φασι, καὶ Μαλείου δὲ λίθος. Μάλειον γὰρ ὠνομάζετο τὸ πρὸ τοῦ λιμένος τῶν Φαιστίων ἀκρωτήριον. Ἀντιθέτου δὲ σχήματος τὸ, μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει. ἐπεὶ καὶ ἀντίκειται ἀλλήλοις τὸ μικρὸν καὶ τὸ μέγα. Ὅτι δὲ ὁ ὡς εἴρηται μικρὸς λίθος ὁ κατὰ Φαιστὸν, τετελεσμένος ἦν πρός τινος Μαλέου. καὶ ὡς ἀνιερώθη Ποσειδῶνι πρὸς τὸ μὴ τὰ κύματα πελάζειν τῇ Φαιστῷ, ἐν τοῖς τοῦ Σουίδα κεῖται. (ηερς. 301.) Ὅτι τὸ ἐπὶ Μενελάου ῥηθὲν, ὣς ὁ μὲν πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων ἠλᾶτο κατ' ἀλλοθρόους ἀνθρώπους, παντὶ ἀγείροντι προσαρμόττει. εἰ δὲ πρόσκειται καὶ τὸ ξὺν νηυσὶν, οἷον, ἠλᾶτο ξὺν νηυσὶν, ἐμπορευομένῳ τινὶ ἐξ ἀλλοδαπῆς χώρας οἰκεῖος ὁ λόγος. Καὶ ὅρα τὸ ἀγείρων ἐξ οὗ ἀγύρτης ὡς καὶ προείρηται. (ηερς. 302.) Σημείωσαι δὲ ὅτι ἐκ τῶν τοῦ Μενελάου ἀγυρτικῶν τούτων κτημάτων ἅπερ ἐπὶ νεῶν πλέων ἔφερεν, ἔστιν εὑρεῖν τὴν τῶν ἐπίπλων ἐτυμολογίαν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔπιπλα γὰρ κατὰ Παυσανίαν, τὰ μὴ ἔγγαια κτήματα, ἀλλ' ἡ κατ' οἶκον κτῆσις ἡ δυναμένη πλεῦσαι. ὥσπερ δὴ καὶ παρὰ 1.129 τῷ Μενελάῳ ἔπλεε τὰ τοιαῦτα. καὶ μὴν ἄλλως ἔπιπλα καθ' ἑτέρους, ἐκ τῆς ἐπιπολῆς, τὰ οἱονεὶ ἐπιπολάζοντα ἐν τῷ προφαίνεσθαι. (ῃερς. 303.) Ὅτι καὶ πάλιν σεμνοῖς ὀνόμασι φράζων ὁ Νέστωρ τὰ κατὰ τὸν Αἴγισθον, φησί. τόφρα δὲ, ταῦτα ἐμήσατο οἴκοθι λυγρὰ, κτείνας Ἀτρείδην. οὐκ ἠθέλησε γὰρ ὁ γέρων ἄσεμνα εἰπεῖν, καί τοι τοῦ πράγματος ἐνδιδόντος ἀφορμάς. ὅς γε καὶ τὴν Κλυταιμνήστραν φρεσὶν ἀγαθαῖς εἶπε κεχρῆσθαι. ὅτε δὲ καὶ ἔκρινε κατειπεῖν τῶν τοιούτων, ἠρκέσθη τὸν μὲν Αἴγισθον, δολόμητιν καὶ ἄναλκιν εἰπὼν, στυγερὴν δὲ τὴν Κλυταιμνήστραν. (ῃερς. 305.) Ὅτι ἑπτάετες ἤνασσε τῆς Μυκήνης Αἴγισθος. ἣν καὶ ἐνταῦθα, πολύχρυσον λέγει. τῷ δέ οἱ ὀγδοάτῳ, κακὸν ἤλυθε δῖος Ὀρέστης, ἂψ ἀπ' Ἀθηνάων. κατὰ δ' ἔκτανε καὶ ἑξῆς. Καὶ σημείωσαι ὡς ἐκ τῆς ἑρμηνείας τοῦ ἑπτάετες ὃ δηλοῖ τὸ ἐπὶ ἑπτὰ ἔτεσιν, ἔλαβεν ἀπὸ κοινοῦ τὸ ἔτει. εἰπὼν. τῷ δέ οἱ ὀγδοάτῳ. δηλαδὴ τῷ ὀγδόῳ ἔτει. οὕτω καὶ ἐν Ἰλιάδι εἰπὼν ἐννῆμαρ ὅ ἐστιν ἐπὶ ἐννέα ἡμέραις, ἐπάγει, τῇ δεκάτῃ δέ. ἡμέρᾳ δηλαδή. ἣν ἔλαβε κατὰ κοινοῦ ἐκ τῆς ἀναπτύξεως τοῦ ἐννῆμαρ. (ῃερς. 306.) Τὸ δὲ ὀγδόατον, παραγωγὴν ἔπαθεν ὁποίαν τὸ τρίτατος, τέτρατος, ἑβδόματος. (ῃερς. 307.) Τὸ δὲ ἂψ ἀπ' Ἀθηνάων, τινὲς γράφουσιν ἂψ ἀπὸ Φωκήων, ὡς ἐκεῖ ὄντος παρὰ τῷ θείῳ Στροφίῳ τοῦ Ὀρέστου. θεραπεύουσι μέντοι καὶ τὸ ἀπ' Ἀθηνῶν οἱ παλαιοί. λέγοντες ὡς ἀπὸ Φωκίδος εἰς Ἀθήνας κατὰ ζήτησιν σταλεὶς Ὀρέστης μαθήσεώς τε καὶ παιδεύσεως, ἐκεῖθεν κατελθὼν οἴκοι, ἐποίησεν ἅπερ ἐποίησεν. ἵνα εἶεν δύο καταγώγια τῷ Ὀρέστῃ Φωκὶς μὲν, ἐπὶ ἀναστροφῇ. Ἀθῆναι δὲ, ἐπὶ παιδείᾳ. (ῃερς. 309.) Ὅτι καθ' ἣν ἡμέραν Ὀρέστης δαίνυ τάφον Ἀγείοισιν ἤγουν ἐτέλει τὸ νεκρικὸν δεῖπνον ὡς ἐκτείνας Αἴγισθον καὶ τὴν μοιχαλίδα, αὐτῆμαρ ἦλθεν ἐκ πλάνης Μενέλαος πολλὰ κτήματ' ἄγων, ὅσά οἱ νέες ἄχθος ἄειραν. Καὶ ὅρα ὅπως αὔξοι τῇ ἀοριστίᾳ τὸ τῶν κτημάτων πολυπληθές. οὐκ ἀρκεσθεὶς τῷ πολλὰ εἰπεῖν ἀλλὰ προσθεὶς καὶ τὸ, ἄχθος αὐτὰ εἶναι ταῖς ναυσίν. οὐκ ἔχει γὰρ ἐκθέσθαι ὡρισμένον ἀριθμόν. Ἐν τούτοις δὲ ἔστι νοῆσαι, ὡς ἑκὼν ἴσως ὁ Μενέλαος ἐπλανᾶτο ἐπὶ μακρὸν, ἀγείρων οὕτως ὡς προεῤῥέθη κτήματα. οὐ γὰρ πᾶσα πλάνη, κατὰ τὴν τοῦ Ὀδυσσέως ἀκουσία ἐστίν. εἴγε καὶ ληϊστῆρες πλανῶνται, πάντως ἑκόντες διὰ χρηματισμόν. Ἰστέον δὲ ὅτι τε τὸ τῆς νηὸς ἄχθος, φόρτος ἐλέχθη τοῖς ὕστερον, ὅθεν καὶ ναῦς φορτηγός. καὶ ὅτι ὁ αὐτὸς φόρτος, καὶ γόμος λέγεται, ὡς δηλοῖ καὶ Δημοσθένης ἐν τῷ, τὴν μὲν ναῦν εἰς Ῥόδον κατεκόμισε, καὶ τὸν γόμον ἐκεῖσε ἐξελόμενος ἀπέδοτο. καὶ ὅτι φόρτος μεταφορικῶς, καὶ ἡ ἐπί τινι πράγματι φορτικότης λέγεται. χρῆσις δὲ αὐτοῦ, παρὰ τῷ κωμικῷ. καὶ ὅτι ὡς ὁ βαρὺς λίθος ἀνδρὸς ἄχθος λέγεται ὅθεν σύνθετος ὁ ἐν τοῖς ἑξῆς που ἀνδραχθής. καί τις ἀνὴρ ἀεργὸς, γῆς ἐτώσιον ἄχθος. οὕτω καὶ νηὸς ἄχθος, ὁ ἐν αὐτῇ πολὺς γόμος. Τάφος δὲ νῦν ἡ ἐπὶ νεκρῷ δαὶς, οὐ διὰ τὴν ἔκπληξιν ἣν ὁ τῶν θαπτομένων ἔχει τάφος, ἀλλ' ὅτι ἐπὶ τάφῳ ἢ ταφῇ ἀνθρώπου γίνεται. περὶ δὲ τούτου, σαφέστερον ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. καθὰ καὶ περὶ τοῦ, πόσα σημαινόμενα τάφου. πολλὰ γάρ τινα ἡ λέξις δηλοῖ. (ῃερς. 313.) Ὅτι ὁ παραινούμενος μὴ ἐπὶ πολὺ τῶν οἰκείων ἀποδημεῖν ἵνα μὴ πρὸς τῶν ἐχθραινόντων ζημιοῖτο, ἀκούσοι ἂν πρὸς τοῦ παραινοῦντος τὸ, καὶ σὺ φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο κτήματά τε προλιπὼν ἄνδρας τ' ἐν σοῖσι δόμοισι οὕτως ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσιν. ὅ ἐστι καταφάγωσι. καταδαπανήσωσιν. ἡ γὰρ κατ¯α πρόθεσις, ἔμφασιν ἔχει δαπάνης πολλῆς. Ἰστέον δὲ ὅτι τὸ, καὶ σὺ φίλος, ἶσον ὂν τῷ, καὶ σὺ ὦ φίλε Ἀττικόν ἐστι. καὶ ὅτι ἀνὴρ Ἀττικὸς ἐρεῖ ἂν, καὶ σὺ φιλότης. οὐ γὰρ ἀεὶ πλῆθος ἡ φιλότης δηλοῖ, ἀλλά ποτε καὶ κατὰ ἑνός τινος ἡ τοιαύτη κεῖται λέξις. Σημείωσαι δὲ ὅτι κλητικὴ μὲν ἑνικὴ, οὐκ ἄν ποτε ἀντὶ εὐθείας ληφθείη. εὐθείαις δὲ ἀντὶ κλητικῶν κατακέχρηνται οἱ Ἀθηναῖοι. ὦ Αἴας λέγοντες ἀντὶ τοῦ ὦ Αἶαν. ὡς παρὰ τῷ Σοφοκλεῖ κεῖται. καὶ ὁ παῖς ὁ Ξανθίας παρὰ τῷ κωμικῷ, ἀντὶ τοῦ, ὦ παῖ καὶ ὦ Ξανθία. (ῃερς. 316.) Ὅτι λέξις ἐνταῦθα κεῖται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φορτικὴ λόγῳ πεζῷ, τὸ, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς. ἔστι δὲ ἡ τῆς λέξεως σκευωρία, τοιαύτη. δεύω τὸ ὑγραίνω. δεύσω. δευσίη. καὶ κατὰ διάλυσιν καὶ ἔκτασιν τῆς ἀρχούσης, δηϋσίη. ὥσπερ εὔκομος ἠΰκομος. καὶ ταύγετον τηΰγετον ὄρος Ἀρκαδικόν, καὶ τροπῇ τοῦ ¯δ εἰς ¯τ, τηϋσίη. φιλεῖ δὲ τὸ δέλτα τοιαύτην τροπήν. ὡς δηλοῖ καὶ τὸ, χάρις χάριδος χάριτος. θέμις θέμιδος θέμιτος. καὶ πλεονασμῷ θέμιστος. καὶ οὐδέτερον οὐθέτερον. καὶ ἐξουδενῶ, ἐξουθενῶ. καὶ ἔστι λοιπὸν τηϋσίη ὁδὸς, ἡ ὑγρὰ κέλευθος, καὶ ἁλία. καὶ κατὰ μετάληψιν, ματαία. περὶ δὲ 1.130 τοιαύτης μεταλήψεως, ἐν τῇ Ἰλιάδι γέγραπται. (ῃερς. 317.) Ὅτι τὰ τῆς Ἀθηνᾶς συμβουλευόμενοςκαὶ ὁ Νέστωρ τῷ Τηλεμάχῳ, φησί. ἀλλ' ἐς μὲν Μενέλαον, ἐγὼ κέλομαι καὶ ἄνωγα ἐλθεῖν. κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν ἐκ τῶν ἀνθρώπων, ὅθεν οὐκ ἔλποιτό γε θυμῷ ἐλθέμεν ὅν τινα πρῶτον ἀποσφήλωσιν ἄελλαι ἐς πέλαγος μέγα τοῖον, ὅθεν τέ περ οὐδ' οἰωνοὶ αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δεινόν τε. ἐνταῦθα δέ φασιν οἱ παλαιοὶ ὡς οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων μὴ ἔχοντες ὠφελῆσαι, κωλύουσι καὶ τὸ παρ' ἄλλων μαθεῖν. ὁ δὲ Νέστωρ, οὐ τοιοῦτος. δεῖ γάρ φασι τὸν συνετὸν, ἄλλων ἄλλοις μαθημάτων παραχωρεῖν. οὗτος δέ φασιν ὁ τόπος, διὰ τὸν μ¯εν σύνδεσμον ἀνέπεισε τὸν γραμματικὸν Ζηνόδοτον ἐν τῇ ¯α ῥαψῳδίᾳ, γράψαι ὡς καὶ προεδηλώθη, πέμψω δ' ἐς Κρήτην τε καὶ ἐς Πύλον. καὶ πρῶτα μὲν ἐς Πύλον ἐλθὲ, κεῖθεν δ' ἐς Κρήτην παρ' Ἰδομενῆα ἄνακτα. ὃς γὰρ δεύτατος ἦλθεν. οἴεται γὰρ ὁ Ζηνόδοτος, κατὰ τὸ σιωπώμενον ἀκηκοέναι τὸν Νέστορα παρὰ τοῦ Τηλεμάχου ὅτι καὶ ἀλλαχόσε παρεσκεύασται πλεύσειν, οἷον, καὶ ἐς Κρήτην, ὅθεν ἐκείνου μὲν τοῦ πλοῦ, ἀποτρέπει. μάλιστα δὲ προτρέπει ἐλθεῖν εἰς τὸν Μενέλαον. ὃς νέον ἐλθὼν, δεύτατος ἦλθεν ὡς προδεδήλωται. ἵνα λέγῃ ὁ Νέστωρ, ὅτι ἐς μὲν Μενέλαον κέλομαι ἀπελθεῖν, εἰς Κρήτην δὲ οὔ. εἰ δὲ τοῦτο καλῶς ὑπενόησεν ὁ Ζηνόδοτος, εἴη ἂν ὁ Νέστωρ τῆς μυθικῆς Ἀθηνᾶς συνετώτερος. Ὅρα δ' ἐν τούτοις ἐν τῷ, ἐγὼ κέλομαι καὶ ἄνωγα. τὸ μὲν ἐγὼ, ἐπικριτικῶς λεχθὲν ἀξιωματικώτερον. τὸ δὲ κέλομαι καὶ ἄνωγα, παραλληλίαν ταυτολογικὴν ἔχοντα κατά τι καὶ αὐτὰ ἀξίωμα. (ῃερς. 3.) Τὸ δὲ ἀποσφήλωσιν ἄελλαι, ἀντὶ τοῦ ἀποπλανήσωσιν ὁδοῦ. εἴωθε γὰρ τὸ σφάλλειν ἐμπόδιον ὁδοῦ σημαίνειν. οὗ διόρθωσις, τὸ ἀνασφάλλειν. (ῃερς. 322.) Τὸ δὲ αὐτόετες, ἀντὶ τοῦ δι' ὅλου ἔτους. ἐν ὑπερβολῇ δὲ ὁ λόγος, διὰ τὸ τοῦ πελάγους ἀχανές. ἀληθῶς γὰρ οὐκ ἀπέραντον ἐκεῖνο, εἴγε κατὰ τὸν ποιητὴν δυνατὸν ἀπὸ Κρήτης πεμπταίους τινὰς Αἴγυπτον ἱκέσθαι. ἔοικεν οὖν τὸ ἀδυνάτως, οὕτως λεχθὲν, ἐπὶ ἐκπλήξει τοῦ μείρακος λεχθῆναι. πῶς γὰρ δι' ὅλου ἔτους οἰωνὸς ἐξαρκέσει πετόμενος ἄπαυστα ὡς ἂν ἐξ ἄκρου εἰς ἄκρον ἵκηται. οἱ δὲ παλαιοὶ, φασὶ καὶ ὅτι τῇ ταχυτῆτι τοῦ οἰωνοῦ προσέθετο μῆκος χρόνου ὁ Νέστωρ, ὑπὲρ τοῦ ἐμφῆναι τὸ πολὺ τοῦ πελάγους διάστημα. τοῦτο δὲ ποιεῖ, διὰ τὸ ἀκμήν φασι ξενικὰ τὰ χωρία ταῦτα εἶναι τοῖς Ἕλλησιν. Ἰστέον δὲ ὅτι ἔσται πιθανὸς καὶ δυνατὸς ὁ ῥηθεὶς λόγος, εἰ τοιαύτην ἔχει ἔννοιαν. ὅτι οὐκ ἄν τις παρατηρῶν δι' ὅλου ἔτους, ἴδοι ἂν οἰωνὸν διὰ τοῦ τοιούτου πελάγους πετόμενον, διά τε τὸ μέγα, καὶ μάλιστα διὰ τὸ δεινόν. ὡς εἶναί πως τῷ τοιούτῳ λόγῳ, καὶ τὴν θάλασσαν ταύτην ἄορνον. (ῃερς. 323.) Ὅτι ἐμφαίνει ἐνταῦθα ὁ ποιητὴς ἐν τῷ, ἀλλ' ἴθι νῦν σὺν νηῒ εἰ δὲ θέλεις πεζὸς μετὰ δίφρου καὶ ἵππων, ὡς ἠδύνατο μὲν καὶ εἰς Σπάρτην διὰ θαλάσσης πλάσαι ἀπελθεῖν τὸν Τηλέμαχον. ἐπελέξατο δὲ τὸ διὰ ξηρᾶς, χάριν ποικιλίας καὶ ἐξαλλαγῆς ῥητορικῆς. καὶ ἵνα τι καὶ τοπογραφήσῃ. ἔχει δὲ ταῦτα καὶ προαναφώνησιν τῶν ἐφεξῆς. (ῃερς. 329.) Ὅτι ἑσπέραν φράζει τό, ἠέλιος δ' ἂρ ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε. συντομώτερον δὲ μετ' ὀλίγα τὸ, ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον. πλατύτερον δὲ τὸ, δύσετό τ' ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί. (ῃερς. 332.) Ὅτι ἐν τῷ, ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον, ἔθος παλαιὸν δηλοῖ ὁ ποιητής. μέλλοντες γὰρ κοιμηθῆναι μετὰ θυσίαν οἱ παλαιοὶ, ἔθυον τὰς τῶν ἱερείων γλώσσας κατὰ ἔθος Ἰώνων ἢ Ἀττικῶν, βάλλοντες ἐν πυρί. ἀπένεμον δὲ αὐτὰς ὁσιοῦντες θεοῖς, ἢ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δυσφημιῶν καθαίροντες ἑαυτούς. ἢ ὅτι κράτιστον τῶν μελῶν ἡ γλῶσσα. ἢ καὶ ὅτι τὰ ῥηθέντα, θεοῖς ἀνετίθεσαν ὡς ἐπιμαρτύρων αὐτῶν λαληθέντα. ἀμέλει καὶ κατὰ τὸ οὖς τῶν ἐκπωμάτων ἔσπενδον, τὴν θείαν οἰωνιζόμενοι ἀκοήν. ἢ καὶ διότι χρὴ τὰ ἐν συμποσίῳ σιγᾶν. ὅθεν καὶ παροιμία, μισῶ μνάμονα συμπόταν. ὅ ἐστι τὸν τὰ ἄξια σιγῆς ἐν μνήμῃ ἔχοντα καὶ ἐκκαλύπτοντα. ἄλλως γὰρ, ἐπαινετέος ὁ τῶν ἀξίων σπουδῆς μεμνημένος συμπότης. καὶ ἀντὶ τῆς χθιζῆς ἑωλοκρασίας, σπουδαίους λόγους ἐξερευγόμενος οὓς χθὲς τὸ συμπόσιον εἶχε τῷ κρατῆρι συμμεμιγμένους. καὶ ἑτέρως δὲ γλῶσσαι θύονται, ἵνα φυλάττοιτο τῇ γλώσσῃ ἐκεῖθεν μόνον τὸ κατ' αὐτὴν καλλιστεῖον, καὶ μὴ ἔχοι κατ' αὐτῆς ὡς ἐπαμφοτεριζούσης, αὐχεῖν ὁ ἐπικρίνας αὐτὴν δύναμιν εἶναι, διὰ τὸ ἐν πολλοῖς τῶν ἀνθρώπων ἀμφοτερόγλωσσον. ἦν δὲ ἐκεῖνος, ὁ ζητηθεὶς τὸ ἐν τοῖς ἱερείοις κάλλιστον καὶ ἀποστείλας γλῶσσαν. εἶτα προσεπιζητηθεὶς τὸ ἐν τοῖς ἱερευομένοις κάκιστον, καὶ πάλιν ἐκπέμψας γλῶσσαν. ὅπερ αἴνιγμα ἦν, τοῦ, πολλοὺς τῇ γλώσσῃ καὶ ὠφελεῖν καλλιστεύοντας, καὶ βλάπτειν δὲ κακύνοντας. ὃ δὴ ἔργον διαβολῆς. δίστομον γὰρ οἷόν τι ξίφος ἡ γλῶσσα. δύναμιν καὶ αὐτὴ τῶν ἐναντίων 1.131 ἔχουσα, τοῦ τε κακύνειν δηλαδὴ καὶ τοῦ ἐπωφελεῖν. καὶ ἄλλως δὲ τὰς γλώσσας ὡσίουν θεοῖς πρὸς ἑσπέραν, ὡς ἤδη σιγήσοντες, καὶ τὴν γλῶσσαν ἀπόθετον φυλάξοντες. διὸ καὶ Ἑρμῇ αὐτὰς ἀνετίθουν ὡς λόγου δοτῆρι. ἴσως δὲ, καὶ διότι πάσης καθά τις ἔφη λογοδιαῤῥοίας ἀπηλλάγησαν, τραπεζοῤῥήτορες ὄντες, ὡς τὰ πολλὰ συμπίπτει τοῖς συμποσιάζουσιν. Ὅτι δὲ καὶ δίχα γλωσσῶν Ἑρμῇ πυμάτῳ σπένδεσκον οἱ Ἀχαιοὶ ὅτε μνησαίατο κοίτου, δηλοῖ καὶ αὐτὸ Ὅμηρος. καὶ ἴσως τοιούτου καιροῦ ἦν καὶ ὁ παρὰ τοῖς ὕστερον πότιμος Ἑρμῆς περὶ οὗ ἱστορῶν ὁ δειπνοσοφιστὴς, λέγει ὅτι ἑρμῆς, εἶδος πόσεως παρὰ Στράτιδι. ὡς δὲ ἡ ἐπὶ Διονυσίῳ σπονδὴ ἶσον ἴσῳ κεκραμένον οἶνον ὕδατι κατὰ τὸν κωμικὸν εἶχεν, ἑτέρωθι δεδήλωται. ἑτεροία πάντως οὖσα παρὰ τὰς καθ' Ὅμηρον εἰπεῖν, ἀκρήτους ἤγουν ἀκράτους. εἰ δὲ πρὸς τὰς τοιαύτας, διάφοροί τινες ἦσαν αἱ κατ' Αἰσχύλου σπονδαὶ χαλίκρητοι, ζητητέον. τοιαῦται δὲ, αἱ ἐπὶ Διονυσίῳ κραθεῖσαι. χάλις γάρ φασιν, ὁ Διονύσιος. ἐξ ἐκείνου δὲ, καὶ ὁ ἄκρατος οἶνος. ὅθεν καὶ χαλιμὰς γυνὴ κατὰ τοὺς παλαιοὺς, ἡ ὑπὸ μέθης χαλωμένη τὸ σῶμα. καὶ ταῦτα μὲν οὕτω. Γλώττης δὲ, οὐ μόνον τὸ καταγλωττίζεσθαι παράγωγον, ἀλλὰ καὶ ὁ ἐγγλωτογάστωρ, ἤγουν ἀπὸ γλώσσης διατρεφόμενος, πρός τινα ὁμοιότητα τοῦ ἐγχειρογάστορος. ἔτι δὲ καὶ ὁ γλώσσασπις. ἤτοι ὁ τῇ γλώσσῃ ὁποίᾳ καί τινι προβολῇ χρώμενος διὰ τὸ στωμύλλεσθαι ἀναιδέστερον. ὁ δ' αὐτός φασι, καὶ κρότημα ἐλέγετο. καὶ κρόταλον. καὶ δοΐδυξ. καὶ τορύνη. καὶ βορβοροτάραξις. καὶ πολυκυλίνδητος. καὶ τρύπανον. ὅπερ ἐμφαίνει καὶ Ἀριστοφάνης ὅπου τρύμην θηλυκῷ γένει τὸν τοιοῦτον ἄνδρα ἔφη. Σημείωσαι δ' ἐν τούτοις, ὅτι τε τὸ τρύπανον, καὶ κίναιδον σκώπτει ἐν τῷ, τρύπανον αἰπολικὸν, ὃ παρὰ Καλλιμάχῳ κεῖται. καὶ ὅτι οὐ μόνον κυλίνδω βαρυτόνως καθ' Ὅμηρον ὡς πολλαχοῦ φαίνεται, ἀλλὰ καὶ περισπωμένως κυλινδῶ κυλινδήσω. ὅθεν ὁ ὡς ἐῤῥέθη πολυκυλίνδητος. Ὅτι δὲ ἐκ τῆς ζωϊκῆς γλώσσης μετηνέχθησαν καὶ αἱ κατὰ τοὺς αὐλοὺς γλῶσσαι, καθωμίληται. ἐπὶ τούτοις, πάλιν ἰστέον ὅτι ὡσιοῦντο γλῶσσαι, καὶ ἵνα φήμας ἀκούωσιν ἀγαθὰς αἷς λαλουμέναις ἡ γλῶσσα καθυπουργεῖ. Ἑρμῇ δὲ αὐτὰς ἔθυον, ὡς τοῦ λέγειν ἐφόρῳ. διὸ καὶ ὁ κωμικὸς δύσφημά τινα τοῦ Ἑρμοῦ εἰπόντος, ἐξονειδίζει λέγων. ἡ γλῶσσα, τῷ κήρυκι τούτων γίνεται. ὅπερ ὅμοιόν ἐστι τῷ, εἰς μάτην αἱ γλῶτται θύονται τῷ τὰ τοιαῦτα κηρύσσοντι. ἐν δὲ παλαιῷ ὑπομνηματισμῷ φέρεται καὶ συμβολικῶς εἰρῆσθαι τὸ, ἀλλ' ἄγε τάμνετε μὴν γλώσσας. ἵνα λέγῃ, ἀλλ' ἄγε σιγῶμεν πεισθέντες νυκτί. εὔηθες γάρ φασι τὸ λέγειν, σύντεμε τοὺς λόγους. ὅθεν διὰ τοῦ ἐθίμως τέμνειν γλώσσας, ᾐνίξατο καὶ αὐτό. λέγει δὲ καὶ τὸ σχόλιον ἐκεῖνο, καὶ ὡς ἐπὶ μόνης τῆς Νέστορος θυσίας εἴρηκεν ὁ ποιητὴς τὸ ἔθιμον. καὶ ὅτι Ἀττικὸν τὸ ἔθος, λαβὸν τὴν ἀρχὴν ἐντεῦθεν. ὁ δὲ δειπνοσοφιστὴς εἰπὼν ὅτι αἱ γλῶσσαι νέμονται τῷ Ἑρμῇ διὰ τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑρμηνείαν, καὶ ὅτι ἔσπενδον οἱ παλαιοὶ ἀπὸ τῶν δείπνων ἀναλύοντες, προσιστορεῖ καὶ ὅτι τὰς τοιαύτας σπονδὰς ἐποιοῦντο Ἑρμῇ, καὶ οὐχ' ὡς ὕστερον, Διὶ τελείῳ. δοκεῖ γὰρ Ἑρμῆς ὕπνου προστάτης εἶναι. Ἔτι ἰστέον καὶ ὅτι ἔχει τις ποτὲ ἀστεϊζόμενος ἐπιτραπέζια, εἰπεῖν, τὸ, ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας κεράασθε δὲ οἶνον, καὶ ὅτε τυχὸν γλῶσσαι ταριχευταὶ κελεύονται παρατίθεσθαι. Τάμνετε δὲ γλώσσας, ἀντὶ τοῦ θύετε. Ἰώνων δὲ ἡ λέξις ὡς καὶ ἡ Ἰλιὰς ἐδήλωσεν. Ὅτι δὲ καὶ ἐκαίοντο αἱ ῥηθεῖσαι γλῶσσαιμετὰ σπονδῆς δηλοῖ τὸ, γλώσσας δ' ἐν πυρὶ βάλλον ὅ ἐστιν ἐτίθουν. ἀνιστάμενοι δ' ἐπέλειβον. ὡς δ' ἡ ζωϊκὴ γλῶσσα καὶ μάλιστα ἡ κατ' ἄνθρωπον, ἀπομερίζει ἑαυτῆς τὴν κατὰ διάλεκτον ὡς τὸ, γλῶσσ' ἐμέμικτο, δηλοῖ καὶ ὁ γράψας ἐν τῷ περὶ τῶν πέντε διαλέκτων, ὅτι γλῶσσα ἐστὶν, ἰδίωμα διαλέκτου. τὰ δὲ ἐκ τῆς γλώττης οἷον ἡ γλωσσαλγία. τὸ καταγλώττισμα. αἱ τῶν αὐλῶν γλῶτται. ὁ ἐγγλωττογάστωρ. καὶ τἄλλα, εἰς κοινὴν χρῆσιν τετρίφαται. Ὅτι δὲ λείβειν, ταυτόν ἐστι τῷ σπένδειν, δηλοῖ ἐπαγαγὼν εὐθὺς τὸ, αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός. τοῦτο δὲ, καὶ πόσεώς ἐστιν αὐτάρκους δηλωτικόν. δῆλον δὲ πολλαχόθεν, ὡς ταυτόν ἐστι, λείβειν καὶ εἴβειν. καὶ ὡς Ἰώνων καὶ Αἰολέων ἐστὶ τὸ εἴβειν ἐκ τοῦ λείβειν. καθὰ καὶ τὸ αἰψηρὸς ἐκ τοῦ λαιψηρός. καὶ ὡς ἐκ τοῦ λείβειν μὲν, λείβηθρα τόπος ὕδασι κατάῤῥυτος χρηστοῖς. οὗ ἐθνικὸν οἱ λειβήθριοι. ἐκ δὲ τοῦ εἴβειν, εἴβιμος ὁ στάζων. καθὰ καὶ ἐκ τοῦ ἀμείβειν, θηλυκὸν ἡ ἀμειβώ. ἑτεροιουμένη πρὸς τὴν ἀμοιβὴν καὶ τὰ κατ' αὐτὴν ὅσα τὴν ο¯ι δίφθογγον ἔχουσιν. Ἰστέον δὲ ὅτι καὶ δίχα τῆς ἐπὶ ταῖς γλώσσαις σπονδῆς καὶ πόσεως, ἦν τι ποτήριον ὡς ἱστορεῖ Αἴλιος Διονύσιος, ἀγαθοῦ δαίμονος λεγόμενον, τὸ μετὰ ἄρσιν τραπεζῶν προσφερόμενον. καὶ ἄλλως δὲ ἦν φασὶν ἀγαθὸς δαίμων, ᾧ μετὰ ἄρσιν τραπεζῶν ἔπινον. (ῃερς. 334.) Ὅτι 1.132 παρακέλευσμα εἰς ὕπνον τὸ, κοίτοιο μεδώμεθα, τοῖο γὰρ ὥρη. δηλοῖ δὲ ὁ κοῖτος μὲν τὴν κοίτην. αὐτὴ δὲ, τὴν ἀνάκλισιν δι' ἧς ὕπνος περιγίνεται. (ῃερς. 336.) Ὅτι ἐν τῷ, οὐ δὲ ἔοικε δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἤγουν οὐ χρὴ ἐπὶ μακρὸν ἐν θυσίᾳ καθῆσθαι καὶ διατρίβειν τὸ συμπόσιον, αἴτιον τοῦ λόγου, εὐλάβεια μὴ καὶ εἰς κακόν τι ἐξενεχθῶσιν οἱ πίνοντες μεθυσθέντες καὶ τὴν θυσίαν αἰσχύναντες. ἐν μὲν γὰρ ἑορταῖς εἴθισταί φασι καταπαννυχίζειν. ἐν δὲ θυσίαις, οὐχ' ἥρμοσε διατρίβειν νύκτωρ πίνοντας, μὴ τοῦ πότου προκόπτοντος συμβῇ τι ἄτοπον. λέγεται δὲ καὶ ὅτι τοῖς ἐπουρανίοις μεθ' ἡμέραν ἔθυον. διὸ τὰς δειλινὰς θυσίας οἱ μάντεις παραιτούμενοι, ἀνίσχοντος ἡλίου ἐπετέλουν αὐτάς. Ἀθήναιος δὲ γοργῶς εἰπὼν ὡς καὶ νῦν δὲ νόμος ἔκ τινων θυσιῶν πρὸ ἡλίου δύνοντος ἀπιέναι, λέγει καὶ ὅτι διδάσκει ἡμᾶς Ὅμηρος, δεῖν τοὺς κεκλημένους ἐφ' ἑστίασιν, παρακαλεῖν τοὺς κεκληγότας ἀπανίστασθαι, ὡς Τηλέμαχος ποιεῖ πρὸς Μενέλαον. καὶ Ἀθηνᾶ προσποιουμένη Μέντωρ εἶναι πρὸς Νέστορα. εἰσηγουμένη γνωμικῶς, ὡς ἐν θεῶν ἑορταῖς οὐχ' ὅσιον πλέον χρόνον παραμένειν. (ῃερς. 345.) Ὅτι καὶ ἐνταῦθα τὸ, καθαπτόμενος ἐπέεσσιν, ἀντὶ τοῦ φιλοφρονούμενος. ὅπερ ἐντελέστερον ἔχει ἐν τῷ, μαλακοῖς καθαπτόμενος ἐπέεσσιν. (ῃερς. 346.) Ὅτι τὸ, θεὸς τό γ' ἀλεξήσειεν, ὅμοιόν ἐστι τῷ, μὴ γένοιτο. ὅπερ ἐν ἄλλοις ἐρεῖ, μὴ τοῦτο θεὸς τελέσῃ. Σημείωσαι δὲ ὅτι ὁ Νέστωρ ἐνταῦθα εἰπὼν, Ζεὺς τό γ' ἀλεξήσειε καὶ ἑξῆς, ἐνστατικῶς ἀπείπατο, ἐάσαι τὸν Τηλέμαχον εἰς τὴν νῆα ἐλθεῖν. Ὁμήρου καὶ τοῦτο καταστήσαντος εὐμεθόδως εἰς τὸ καὶ πιθανὸν καὶ ἔνδοξον. οὔτε γὰρ ἐχρῆν τοὺς βασιλικοὺς παῖδας ἐάσαι κοιμηθῆναι ἐπὶ τῶν τῆς νηὸς ἰκρίων ὡς αὐτὸς ἐρεῖ, ἀλλὰ μαλακὰς εὐνὰς ὑποστρῶσαι εἰς πλούτου ἐπίδειξιν. καὶ τὸν τῆς Ἀθηνᾶς δὲ τεράστιον ἀφανισμὸν ἐν σχήματι φήνης, ἔδει οὐκ ἐν ἀπανθρώπῳ γενέσθαι τόπῳ, ἀλλ' ἐπὶ πολλῶν καὶ ἀξιολόγων ἀνδρῶν. οἳ καὶ θαμβήσουσι καὶ ὕλην ἀξίαν λόγου τῷ ποιητῇ δώσουσι. Τὸ δὲ Ζεὺς τό γ' ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, οὕτω γὰρ ἡ Ὁμηρικὴ φράσις ἔχει, ἀρχήν τινα ὑποβάλλει τοῦ ἀλεξίκακον τὸ θεῖον λέγεσθαι. (ῃερς. 348.) Ὅτι ἀνείμονος ἠὲ πενιχροῦ εἰπὼν εἶτα ἑρμηνεύων τὰς λέξεις, φησίν. ᾧ οὔτε χλαῖναι καὶ ῥήγεα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πόλλ' ἐνὶ οἴκῳ, οὔτ' αὐτῷ μαλακῶς οὔτε ξείνοισιν ἐνεύδειν. Καὶ ἔστι ταῦτα ὁρισμὸς ἀνείμονος καὶ πενιχροῦ. τοιοῦτος γὰρ πάντως ὁ μὴ ἔχων χλαίνας καὶ ῥήγεα πολλὰ, ὡς αὐτόν τε καὶ τοὺς ξεναγωγουμένους, μαλακῶς ἐγκοιμᾶσθαι. τούτων μέντοι τὸ ἀνάπαλιν δηλοῖ ὁ Νέστωρ ἐν τῷ, αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά. (ῃερς. 349.) Ῥῆγος δὲ, τὸ βαπτὸν ἱμάτιον ἢ ὕφασμα. ἢ καὶ ἄλλως ῥήγεα, τὰ περιστρώματα καὶ πάντα τὰ βαπτὰ, παρὰ τὸ ῥῆξαι ὅ ἐστι βάψαι κατὰ γλῶσσαν ὥς φασιν οἱ παλαιοί. (ῃερς. 350.) Τὸ δὲ μαλακῶς ἐνεύδειν, ἑτεροῖόν ἐστι τοῦ ἐπὶ στιβάδος εὕδειν. ἐκείνη γὰρ ὡς τὰ πολλὰ οὐ μαλακή. Ἰστέον δὲ, ὡς εἰ καὶ ὁ Νέστωρ αὐχεῖ χλαίνας ἔχειν καὶ ῥήγεα καὶ λοιπά τινα τοιαῦτα, ὅπερ εἰκὸς καὶ ἄλλοις εἶναι εἰπεῖν τῶν κατ' αὐτὸν ἡρώων, ἀλλὰ Τελλίας ὁ Ἀκραγαντῖνος, πολλῷ τῶν τοιούτων ἁπάντων ὑπερφέρει. ὅς φασι φιλόξενος ὢν, πεντακοσίοις ἱππεῦσι καταλύσασιν ὡς αὐτὸν χειμῶνος ὥρᾳ, ἔδωκεν ἑκάστῳ χιτῶνα καὶ ἱμάτιον. Καὶ σημείωσαι κἀνταῦθα ὡς ἔστι διαφορὰ χιτῶνος καὶ ἱματίου. ἔτι ἰστέον ὡς εἰ καὶ ὁ Τελλίας οὕτως ἦν ὡς εἴρηται πολυτελὴς, ἀλλὰ οἱ παλαιοί φασι στρωμνὰς εἰδέναι διαπρεπούσας, τὴν Ἀρήτην καὶ τὸν Νέστορα. ἱστοροῦντες, καὶ ὡς εὐφόρει καὶ Κόρινθος περὶ τὰ στρώμματα. οἷς σύστοιχόν ἐστι καὶ τὸ ὄνομα τοῦ στρώτου. ὃς πάλαι μέν ποτε ἁπλούστερον διέκειτο εἴ τε ἀνὴρ ἦν εἴ τε γυνή. παρὰ δὲ τοῖς ὕστερον, πάνυ ἐσπούδαστο. πρῶτοι δέ φασι Πέρσαι στρώτας ἐφεῦρον ἵνα κόσμον ἔχῃ ἡ στρῶσις καὶ εὐάφειαν. καὶ τοῦτο δῆλον ἐκ πολλῶν ἱστοριῶν. χωρίζεται δέ φασιν ἡ τῶν στρωμάτων σύνθεσις, περιβολῇ καὶ ὑποβολῇ. ἤγουν τοῖς ὑποστρώμασιν ἃ ὑποβάλλονται, καὶ τοῖς ἐπικειμένοις σκεπάσμασιν. Ὅτι ἴκρια νῦν μὲν, καταστρώματα νηός. ταυτόν δ' εἰπεῖν σανιδώματα, ὡς δηλοῖ τὸ, νηὸς ἐπ' ἰκριόφιν καταλέξεται. λέγονται δὲ ἴκρια, καὶ τὰ ἐγκοίλια τῆς νηός. καὶ τοῦ καταστρώματος δὲ τὸ ἐν τῇ πρύμνῃ μέρος, ἔνθα ὁ τοῦ κυβερνήτου τόπος. καὶ ὁ ἱστὸς δὲ τῆς νηός. ὅθεν τὸ κέρας ἐπίκριον. δῆλον δὲ, ὡς οἱ ναυτικοὶ ἐπὶ τῶν ῥηθέντων καταστρωμάτων κοιμῶνται. Ἰστέον δὲ ὅτι ἴκρια προπαροξυτόνως ἐλέγοντο καὶ τὰ ἐν τῇ ἀγορᾷ ἀφ' ὧν ἐθεῶντο τὸ παλαιὸν τοὺς Διονυσιακοὺς ἀγῶνας πρινὴ σκευασθῆναι τὸ ἐν Διονύσου θέατρον. ὅτι δὲ τὰ τοιαῦτα θέατρα θάλασσα κοίλη ἐλέγοντο, Παυσανίας δηλοῖ. (ῃερς. 355.) Ὅτι Ἀττικὸν τὸ, ξείνους ξενίζειν, ὅς τις ἐμὰ δώμαθ' ἵκηται. ὡς μετ' ὀλίγα τὸ, κρητῆρα ἐκέρασε καὶ κρητῆρα κεράσατο. καὶ ὅλως ἡ συνεκ 1.133 φώνησις τοῦ ῥήματος καὶ τοῦ ἐξ αὐτοῦ γινομένου ὀνόματος. Τὸ δὲ ὅς τις ἵκηται, ἀσφαλῶς ἐπῆκται. οὐ γάρ ἐστι πάντας ξενίζειν ἀνθρώπους, ἀλλ' ἀγαπητὸν εἰ καὶ ὃς ἂν ἵκηται. (ῃερς. 357.) Ὅτι ἔπαινος εὖ εἰπόντος γέροντος τὸ, εὖ δὴ ταῦτά γ' ἔφησθα γέρον φίλε. (ῃερς. 358.) Ὁ δὲ παρακαλῶν εἰς πειθὼ, εἴποι ἂν ὡς ἔοικε πείθεσθαι, ἐπεὶ κάλλιον οὕτως. (ῃερς. 364.) Ὅτι τῷ Τηλεμάχῳ φιλότητι νεώτεροι ἄνδρες ἕπονται. πάντες ὁμηλικίῃ μεγαθύμου. Τηλεμάχοιο, ἧλιξ γάρ φασιν ἥλικα τέρπει. καὶ τοῦτό ἐστι τὸ ἐξαρτύσαν τὸν πλοῦν τῷ Τηλεμάχῳ, ἡ τῶν ἡλικιωτῶν ὡς καὶ προεδηλώθη φιλία. ἦσαν δὲ ἂν αὐτοὶ οὐδὲν, εἰ μὴ καὶ ὁ γέρων Μέντωρ ἐφείπετο, ὁ εἰπὼν ἐνταῦθα ὅτι οἷος μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι. ὃς τὴν ἐεικόσορον κατεκέρασεν εἰς φρόνησιν, εἷς αὐτὸς τοῖς εἴκοσιν ἀναμιγεὶς κατὰ τὸ ἐν τοῖς ἐφεξῆς κράμα τοῦ Μαρωνείτου οἴνου. ὃ ἑνὶ μέτρῳ, εἴκοσιν ἀνὰ ὕδατος μέτρα ἐκίρνα. (ῃερς. 366.) Ὅτι εἰς Καύκωνας τοὺς Πελοποννησίους δηλαδὴ, πλάττεται νῦν ἀπελεύσεσθαι ἡ τοῦ μύθου Ἀθηνᾶ, οὓς καὶ μεγαθύμους καλεῖ. ἔνθα χρεῖός μοι, φησὶν, ὀφέλλεται οὔτι νέον γε οὐδ' ὀλίγον, ἵνα δηλαδὴ ἀμελήσω τούτου ὡς ἢ ἔναγχος ἐκδανεισθέντος ἢ ὀλίγου ὄντος. (ῃερς. 367.) Τὸ δὲ ὀφέλλεται, ἁπλούστερον μὲν, νοεῖται ἀντὶ τοῦ ὀφείλεται, ἔτι δὲ νοῆσαι, καὶ ἀντὶ τοῦ αὔξεται, ὅ πέρ ἐστι τοῦ τόκου ἀφορμή. πάντως γὰρ τὸ χρέος ὀφελλόμενον ἐγκυμονεῖ ὥσπερ τὸν ἐσύστερον τόκον. τοῦ δὲ ὀφέλλειν ἔστι καὶ ὄνομα παρὰ τῷ Ὀππιανῷ, τὸ, ὀφέλλιμος. ὅ τινες ὀφέλσιμος ἔγραψαν Αἰολικώτερον. ἕτεροι δὲ περὶ Καυκώνων φασὶν, ὅτι ἀπὸ Καύκωνος τοῦ Ἀρκάδος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκλήθησαν, οὗ μνῆμα ἦν ἐν τῇ Λεπρεατικῇ, κείμενοι ἐν τῇ Τριφυλίᾳ μεταξὺ Ἠλείας καὶ Πύλου. ὁ δὲ γεωγράφος εἰπὼν ὅτι τὸ τῶν Καυκώνων γένος ἐξέφθαρται νῦν πάντοθεν τελέως, προσιστορεῖ καὶ ὅτι ποταμός ἐστιν ἐν Δυμαίᾳ Καύκων λεγόμενος θηλυκῶς, ἀφ' οὗ οἱ Καύκωνες. πλάνητες τὸ ἔθνος τοῦτο καθὰ καὶ τὸ Πελασγικὸν φῦλον. ἔτι δὲ καὶ τὸ τῶν οὕτω κληθέντων Λελέγων, διὰ τὸ συλλέκτους εἶναι φασὶ καὶ μιγάδας. ἢ ἀπὸ Λέλεγος, οὗ θυγατριδοῦς ὁ Τηλεβόας, ᾧ παῖδες εἰκοσιδύο γενέσθαι λέγονται. Ὅτι δὲ πλάνητες καὶ οἱ Καύκωνες, δῆλον. καὶ ὅτι οὐ μόνον Ἀρκαδικοὶ οὗτοι Καύκωνες, ἀλλὰ καὶ ἐκ Παφλαγωνίας, Τρώων σύμμαχοι, ὅμοροι Μαριανδινοῖς, ἐφεξῆς τῇ ἐκεῖ παραλίᾳ μέχρι παρθενίου ποταμοῦ. καὶ τῶν τοιούτων Καυκώνων, ἔστι πόλις τὸ Τήϊον. Οὐκ ἐθέλει δέ φασιν ἡ Ἀθηνᾶ συναφικέσθαι τῷ Τηλεμάχῳ εἰς Σπάρτην, διότι γάμους ἐτέλει ὁ Μενέλαος τοῦ υἱοῦ καὶ τῆς θυγατρός. ἀλλοτρία δέ φασι τούτων ἡ Ἀθηνᾶ. (ῃερς. 371.) Ὅτι ἔπαινος ἵππων τὸ, ἵππους οἵ τοι ἐλαφρότατοι θείειν καὶ κάρτος ἄριστοι. (ῃερς. 372.) Ὅτι ἀετώδης ἡ φήνη ὡς δηλώσει ἐν τοῖς ἑξῆς που καὶ ὁ ποιητὴς ἐν τῷ, οἰωνοὶ φῆναι αἰγυπιοὶ γαμψώνυχες. ἀετοῦ γὰρ εἶδος οἱ αἰγυπιοί. ταύτῃ τὴν Ἀθηνᾶν ὁ ποιητὴς εἰκάζει ὅτε ἀπέβη ἐκ τῆς Πύλου. καὶ ἔστι σεμνότερον τοῦτο τοῦ, ὄρνις δ' ὣς ἀνόπαια διέπτατο. φήνη γὰρ παρὰ τὸ φαίνειν ἔοικε παρῆχθαι. φωσφόρος δὲ ἡ Ἀθηνᾶ. ὅτι δὲ καὶ φιλότεκνον ἡ φήνη, δηλοῦσιν οἱ παλαιοί. Ὅτι ἐκπλήξεως παραστατικὸν τὸ, θάμβος δ' ἕλε πάντας. θαύμαζεν δ' ὁ γεραιὸς ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν. ἔστι δὲ καὶ μέχρι νῦν λέγειν πρὸς τὸν αἴφνης ἀσυντάκτως ὑποχωροῦντα, ὡς οὐχ' οὕτως ἡ Ὁμηρικὴ Ἀθηνᾶ φήνης ἀναλαβοῦσα πτερὰ ἐξ ὀφθαλμῶν ᾤχετο, ὡς σὺ σεαυτὸν ἠφάνισας ἐξ ἡμῶν. (ῃερς. 375.) Ὅτι τὸ, ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι εἰ δή τοι νέῳ ὧδε θεὸς πομπὸς ἕπεται, θεοφιλεῖ ἀνδρὶ ἐπιλεχθήσεται παρῳδηθέν. τὸ μέντοι Ὁμηρικὸν, θεοὶ πομπῆες ἕπονται. λέγει γὰρ Ἰωνικῶς πομπεὺς, ὁ πομπός. ὥσπερ ὁ Αἰθίοψ, Αἰθιοπεύς. καὶ ὁ ἄριστος, ἀριστεύς. καὶ ὁ ἡνίοχος, ἡνιοχεύς. καὶ ὁ ἡγεμὼν, ἡγεμονεύς. (ῃερς. 373.) Θαυμάζει δέ φασιν ὁ γέρων, οὐ τὴν ἐπιφάνειαν τῆς Ἀθηνᾶς, πολλὰς γὰρ ὡς εἰκὸς ἐναργείας θεῶν ἑώρακεν, ἀλλ' ὅτι οὕτω νεωτέρῳ τῷ Τηλεμάχῳ παρῆν θεός. (ῃερς. 375.) Τὸ δὲ ἔολπα, γίνεται ἀπὸ τοῦ ἔλπω ἔλψω, μέσος παρακείμενος ὄλπα κατὰ κανόνα τὸν τρέποντα τὸ ¯ε τοῦ δισυλλάβου μέλλοντος εἰς ¯ο ἐν τῷ μέσῳ παρακειμένῳ. εἶτα κατὰ Ἀττικὸν πλεονασμὸν, ἔολπα. ἵνα σχῇ ὁ παρακείμενος αὔξησίν τινα. τὸ δ' ὅμοιον, καὶ ἐπὶ τοῦ ἔοργα ὡς ἀπὸ τοῦ ἔργω ἐνεστῶτος. αὐτὸ μέντοι καὶ ἄλλως κανονίζουσιν οἱ παλαιοί. ῥέζω γάρ φασι ῥέξω. μέσος παρακείμενος ἔρογα. καὶ μεταθέσει, ἔοργα. καὶ ταῦτα μὲν, ποιητικώτερα. ὥσπερ καὶ τὸ ἧκεν ἕηκεν. ὅθεν τὸ ξυνέηκε καὶ ἐφέηκε. τὸ δὲ ἔοικεν, ἐξορθοῦ κοινὸν Ἀττικόν. Ὅτι δὲ τὸ ἔοργα καὶ ἐκ τοῦ ἐέργω κανονίζουσί τινες, ἀλλαχοῦ ἐδηλώθη. καὶ εἰκὸς οὕτω παρῆχθαι καὶ τὸ ἔολπα ὡς ἀπὸ τρισυλλάβου ἐνεστῶτος τοῦ ἐέλπω. (ῃερς. 378.) Ὅτι ὡς ἐν Ἰλιάδι, οὕτω καὶ ἐνταῦθα ἡ Ἀθῆνα ἀγελείη μὲν, ἡ ἄγουσα λείαν, ὡς ληῗτις 1.134 ἡ ἄγουσα λεὼν, τουτέστι λαόν. Τριτογένεια δὲ, ἢ ὡς ἐκ τριτοῦς κατὰ Κρῆτας ὅ ἐστι κεφαλῆς τῆς τοῦ Διὸς γεννηθεῖσα. ἢ ὡς ἐν τρίτῃ μηνός. ἢ ἐκ Τρίτωνος Λιβυκοῦ ποταμοῦ. ἢ καὶ ἄλλως ὡς ἐν Ἰλιάδι γέγραπται. ὅτι δὲ οἱ περὶ τὴν Τριτωνίδα λίμνην τῇ Ἀθηνᾷ μάλιστα ἔθυον, ἐγράφη καὶ τοῦτο ἐκεῖ. Τὸ δὲ ἀγελείη Τριτογένεια, γράφεται καὶ κυδίστη Τριτογένεια, ὑφ' ἧς ὁ Νέστωρ τὸν Ὀδυσσέα τιμᾶσθαι φησίν. ὃν καὶ πρὸ τούτων ἀναφανδὰ θεοῖς εἶπε φιλεῖσθαι. ὅπερ τὸ θεοφιλές τε δηλοῖ τοῦ ἀνδρὸς, καὶ τὴν ἄκραν σύνεσιν, ἣν καὶ ἡ Ἰλιὰς ἐπεμαρτύρησεν. ἐντεῦθεν δὲ μίμησιν ὁ Σοφοκλῆς λαβὼν πλάττει ὡς καὶ ἐκ μόνης φωνῆς Ὀδυσσεὺς ἐγνώριζε τὴν Ἀθηνᾶν. (ῃερς. 380.) Ὅτι εὐκτικὸς λόγος πρὸς μέγαπρόσωπον τὸ, ἀλλὰ ἄνασσ' ἵληθι, ἢ ἀλλὰ ἄναξ. δίδωθι δέ μοι κλέος ἐσθλόν. τοῦ δὲ ἵληθι, ὃ καὶ ἵλαθι λέγεται, οὐκ ἀπέοικε τὸ ἱλήκοις, ἀντὶ τοῦ, ἵλεως εἴης. Ἰστέον δὲ ὅτι στρυφνῶς μὲν καὶ ὑποδυσκόλως, βούλεται δ' οὖν ὁ δειπνοσοφιστὴς τὸ ἵληθι καὶ τὰ τούτῳ σύστοιχα τὸν ἱλαρὸν καὶ τὸν ἵλεων, καὶ ὅσα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιαῦτα, παρὰ τὸ ἵεσθαι παρῆχθαι, οὗ σύνθετον τὸ μεθίεσθαι, γράφων οὕτω. παρὰ τὸ μεθίεσθαι τοὺς παλαιοὺς εἰς εὐφροσύνην καὶ ἄνεσιν ἐν τῷ τιμᾶν τὸ θεῖον, τὸ μὲν ποτὸν, ἐκαλεῖτο μέθυ, καθ' ὃ δηλαδὴ μεθιέμεθα. καὶ ὁ τοῦτο δοὺς θεὸς, μεθυμναῖος. καὶ λυαῖος. καὶ εὔϊος. καὶ ἤϊος. ὡς καὶ ὁ μὴ σκυθρωπὸς καὶ σύννους, ἱλαρός. διὸ καὶ τὸ δαιμόνιον, ἵλεον ἠξίουν εἶναι, ἐπιφωνοῦντες ἰὴ ἰή, ὅθεν καὶ ἱερὸν, ὁ τόπος ἐν ᾧ τοῦτο ἔπραττον. Ἰστέον δὲ ὅτι τὸ ἵληθι δόξοι μὲν ἂν θέμα ἔχειν ἀνέξοιστον τὸ ἵλημι, ὅθεν γενοιτ' ἂν, ὥσπερ φὰς φάντος φάθι. βὰς βάντος βάθι. οὕτω καὶ ἱλὰς ἱλάντος, ἵλαθι. καὶ τροπῇ, ἵληθι ὡς βᾶθι βῆθι. δύναται δὲ καὶ ἄλλως ἀπὸ τοῦ ἱλάω ἵλαον ἵλαες ἵλαεν, ὅθεν τὸ προστακτικὸν ἵλαε γενέσθαι, λόγῳ μεταπλασμοῦ, ἵλαθι. Ὅθεν τὸ ἵληθι. ἵνα ᾖ ὡς κλῦε κλῦθι, οὕτω καὶ ἵλαε ἵλαθι. οὐκ ἄδηλον δὲ ὅτι τοῦ ἱλάω πολλά εἰσι παράγωγα. ἱλαρός. ἵλαος. καὶ εἴ τι ἄλλο. καὶ αὐτὸ δὲ τὸ ἱλάσκω. οὗπερ οὐκ ἔστι κίνησις ἐπέκεινα παρατατικοῦ, καθὰ οὐδὲ τῶν ἄλλων θεμάτων ὅσα λήγουσιν εἰς τὴν κ¯ω συλλαβὴν ἧς πρόκειται τὸ σίγμα. δῆλον γὰρ ὅτι καθὰ τὰ διὰ τοῦ ¯ανω ῥήματα, οὕτω καὶ τὰ διὰ τοῦ ¯ασκω καὶ ¯ησκω διὰ τοῦ ἦτα, καὶ ¯ισκω διὰ τοῦ ἰῶτα, μέχρι παρατατικοῦ κινοῦνται πανταχοῦ. οἷον μανθάνω ἐμάνθανον. διδάσκω ἐδίδασκον. θνήσκω ἔθνησκον. εἴσκω ἤϊσκον. καὶ οὕτω μὲν ταῦτα. (ηερς. 381.) Τὸ δὲ δίδωθι, ἔκτασιν ἔχει συνήθη τῆς παραληγούσης. ἄλλως γὰρ ὡς ἀπὸ τοῦ διδοὺς διδόντος συστέλλεσθαι ὤφειλεν. ἐνταῦθα δὲ εἰ καὶ δῶρα γάμου ἔχει ὁ εὐχόμενος, προσθήσει καὶ τὰ ἐφεξῆς, αὐτῷ καὶ παίδεσσι καὶ αἰδοίῃ παρακοίτι. εἰ δὲ δεισιδαίμων ἐνταῦθά τε καὶ ὅλως ἐν τοῖς τοιούτοις ὁ ποιητὴς καθὰ μυριαχοῦ φαίνεται, ὅμως νοητέον, ὅτι ἐνθύμιον ἔχει θείας δυνάμεως. ὃ δηλοῖ ἀριδήλως καὶ ἐν τῷ, πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι. εἰ δὲ ἐν τοῖς ὕστερον ἄθεοι ἀπέβησαν Διαγόρας ὁ Μιλήσιος. καὶ Εὐήμερος ὁ Μεσσήνιος. καὶ Διογένης ὁ Φρύξ. καὶ Ἵππων. καὶ Σωσίας. καὶ Ἐπίκουρος, διδότωσαν εὐθύνας ὁποίας οὐκ ἂν ἁλωτὸς εἴη Ὅμηρος. (ηερς. 382.) Ὅτι ὁ Νέστωρ ὑπισχνεῖται ῥέξειν τῇ Ἀθηνᾷ, βοῦν ἤνιν. εὐρυμέτωπον. ἀδμήτην. τουτέστιν ἀδάμαστον. καὶ ὡς ὁ Ὅμηρος ἐνταῦθα φησὶ, τὴν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ. ἵνα μή τις νοήσῃ ἀδμήτην, ἣν οὔπω ταῦρος ἐπιβὰς ἐδάμασεν. ἡ δὲ τοιαύτη καὶ ἠκέστη ἐν ἄλλοις ὅ ἐστιν ἀκέντητος. καλοῦσι γὰρ κατὰ Παυσανίαν βόας ἠκέστας, φορβάδας. ἀδαμάστους. νομάδας. (ηερς. 384.) Θύσει δὲ τοιαύτην βοῦν, χρυσὸν κέρασαι περιχεύας. ἵνα εἴη οὕτω χρυσόκερως ἡ τοιαύτη βοῦς. (ηερς. 382.) Ἤνιν δὲ, τὴν ἐνιαυσιαίαν λέγει. τὴν ἑνὸς μόνου ἔνου. ἀφ' οὗ καὶ ἡ διὰ τοῦ ¯η γραφὴ κατὰ τροπὴν τοῦ ¯ε. ἄλλως ἤπερ ἔχει ἡ παρὰ Λυκόφρονι παρὰ τὴν ἶνα ἶνις ἤγουν υἱός, οἰκεία δὲ ἡ τοιάδε βοῦς τῇ καὶ ἀεὶ νεαζούσῃ Ἀθηνᾷ καὶ ἄζυγι. τὸ δὲ ἤνιν ὅτι ἐκτείνει τὴν λήγουσαν Ἀττικῶς, ὁ μετρικὸς δηλοῖ ποδισμός. Τὸ δὲ εὐρυμέτωπον, κοινὸν ἐπίθετον βοός. (ηερς. 386.) Ὅτι οὐ μόνον ἄρχειν ὁδοῦ καὶ ἡγεῖσθαι, ἀλλὰ καὶ ἡγεμονεύειν φησὶν ὁ ποιητής. Νέστωρ γοῦν ἐνταῦθα ἡγεμονεύει τοῖς ἑαυτοῦ, ἑὰ πρὸς δώματα καλὰ, ἃ καὶ ἀγακλυτὰ λέγει. λέγεται δὲ καὶ ἡγεμὼν ὁδοῦ. ὅθεν τὸ ῥηθὲν ῥῆμα γίνεται. (ηερς. 390.) Ὅτι ἀνὰ κρατῆρα ὁ Νέστωρ ἐκέρασσεν οἴνου ἡδυπότοιο. τὸν, ἐν δεκάτῳ ἐνιαυτῷ ὤιξε ταμίη καὶ ἀπὸ κρήδεμνον ἔλυσεν. οἰκονομικὸν δὲ καὶ τοῦτο τοῦ ποιητοῦ. ὡς οὐδὲν ἀπεικὸς ὂν, καὶ οἶνον ταμειουχεῖν. ὡς ἀπὸ τῆς κατὰ γλεῦκος νεότητος εἰς γῆρας ἥκειν καὶ αὐτόν. Τὸ δὲ ἀνὰ κρατῆρα ἐκέρασεν, ἀντὶ τοῦ, ἀνεκέρασε κρατῆρα σπονδῆς, ἤτοι δὶς ἐκέρασεν. ἐκεράσθη γὰρ καὶ πρὸ βραχέων ὅτε τὰς γλώσσας ταμόντες ἔκαυσαν. Τὸ δὲ κέρασε, κατωτέρω κεράσατο λέγει. καὶ ἔστιν ὅμοιον τῷ, στῆσε κρατῆρα καὶ στήσατο. (ηερς. 391.) Τὸ δὲ ἐν 1.135 δεκάτῳ ἐνιαυτῷ, ἀμφίβολον εἴτε ἐν τῷ ἑνδεκάτῳ ἵνα οὕτω δασύνηται ἡ ἄρχουσα, εἴτε ἐν τῷ δεκάτῳ, ἵνα ἔχῃ ψιλὴν ὡς πρόθεσις. καὶ ἴσως οὕτω κρεῖττον. καθ' ὁμοιότητα τοῦ, οὐδέ κεν ἐς δεκάτους ἐνιαυτούς. (ηερς. 392.) Τὸ δὲ οἶνον ὤϊξε, καταχρηστικῶς ἐῤῥέθη ὡς ἐν σχεδιασμῷ. πίθος γὰρ ὁ περιέχων ἀνοίγεται ἢ ἀμφιφορεύς. κρήδεμνον δὲ νῦν, τὸ τοῦ πίθου πῶμα καθ' ὁμοιότητα τοῦ γυναικείου κόσμου. Καὶ ὅρα ὡς οὐ μόνον πόλεων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κρήδεμνα κατὰ μεταφορὰν, ἀλλὰ καὶ ἀγγείου κρήδεμνον. ἔστι δ' ἐνταῦθα καὶ σχῆμα πρωθύστερον ὅ ἐστιν ὑστερολογία. οὐ γὰρ πρῶτον οἶνος οἴγεται εἶτα κρήδεμνον λύεται, ἀλλὰ τὸ ἀνάπαλιν. Ἰστέον δὲ καὶ ὅτι τῷ κρηδέμνῳ φανερῶς τὸ ἀγγεῖον συνεπινοεῖται οὗ πέρ ἐστι τὸ κρήδεμνον. Σημείωσαι δὲ καὶ ὡς εἴπερ οὐ μόνον χείλη ποτηρίων φαμὲν ὅθεν τὸ ἐπιχειλὲς καὶ ὑπερχειλὲς, ἔτι δὲ καὶ κεφαλὴν ἀγγείου ὡς τὸ, ὑπὲρ κεφαλῆς τὸν ἀμολγέα πληροῖ, οὐ πάνυ σκληρὸν, καὶ κρήδεμνον σκεύους εἰπεῖν, τὸ σκέπασμα. εἰ δὲ τοῦτο οὕτω λεαίνεται, ἔχοι ἂν λόγον καὶ τὸ, κρατῆρες ἐπιστεφέες οἴνοιο. καὶ τὸ, κρατῆρας ἐπεστέψαντο ποτοῖο. σύστοιχον γάρ πως καὶ οἰκοῖον ἔνθα κεφαλὴ καὶ κρήδεμνον, ἐκεῖ καὶ τὸ στέφεσθαι. Ἔτι ἰστέον καὶ ὅτι ἀντίθετον κρηδέμνῳ τὸ ἔλυσεν. εἰ γὰρ κρήδεμνόν ἐστι δέμα κεφαλῆς, οἰκεῖον εἰπεῖν λύεσθαι καὶ τὸ τοιοῦτον δέμα, ὅ ἐστιν ἀφαιρεῖσθαι. (ηερς. 394.) Ὅτι ὥσπερ ἀπομηνείειν τὸ ἁπλῶς μηνίειν, οὕτω καὶ ἀποσπένδειν ἐνταῦθα, τὸ ἁπλῶς σπένδειν. διὸ εἰπὼν εὔχετ' ἀποσπένδων, ἐπάγει. αὐτὰρ ἐπεὶ σπεῖσαν. (ηερς. 397.) Ὅτι καὶ ἐνταῦθα τὸ, ἐκοίμησεν ἄλλον, διὰ τοῦ ¯η γράφεται ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων. φησὶ γάρ. τόν δ' αὐτοῦ κοίμησε Νέστωρ. Καὶ ἐῤῥέθη περὶ τούτου καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ὅσα ἐχρῆν. (ηερς. 399.) Ὅτι αἴθουσαν ὡς ἐν Ἰλιάδι οὕτω καὶ ὧδε λέγει τὴν ἐξωτάτω ἐν μεγάροις οἴκησιν, τὴν εὐθὺς μετὰ τὴν αὐλήν. ὥσπερ τὴν ἐνδοτάτω, θάλαμον καὶ μυχὸν δόμου. Νέστωρ μὲν οὖν, ἐν τῷ τοιούτῳ μυχῷ ἀνακλίνεται νῦν. Τηλέμαχος δὲ καὶ Πεισίστρατος, ὑπ' αἰθούσῃ ἐριδούπῳ. ᾗ συμβέβηκεν ὑπὸ ἡλίου τε αἴθεσθαι ὅθεν αἴθουσα λέγεται, καὶ ἀνέμοις καταπνέεσθαι. διὸ καὶ ἐρίδουπος καὶ ἐρίγδουπος, ἡ προβεβλημένη ἀνέμοις τε καὶ ἡλίῳ. (ηερς. 401.) Ὅτι ἠΐθεος τῶν παίδων ἦν τῷ Νέστορι, ὁ Πεισίστρατος. ὄνομα δὲ ἡλικίας ὁ ἠΐθεος. τοῦτο ἐν ἀνδράσιν αὐτὸς ὢν, ὅπερ ἡ παρθένος ἐν γυναιξὶν, ὡς ἐν καὶ Ἰλιάδι δεδήλωται. (ηερς. 403.) Ὅτι τὸ τὴν γυναῖκα τῷ ἀνδρὶ συγκαθευδῆσαι σεμνῶς φράζων ὡς ἐν ποιήσει, φησί. τῷ δ' ἄλοχος δέσποινα λέχος πόρσυνε καὶ εὐνήν. καὶ ἔστι σεμνότερον τοῦ, ἐμὸν λέχος ἀντιόωσαν. ἐκεῖνο μὲν γὰρ διὰ τοῦ, ἀντιόωσαν, ἔχει πλείω ἔμφασιν. ἐνταῦθα δὲ τὸ πορσύνειν, ὑπηρετικώτερον εἴρηται. Δέσποιναν δὲ, τὴν τοῦ Νέστορος ἄλοχόν φησι, σεμνῶς ὀνομάσας. ἡ δὲ ἦν, Εὐρυδίκη πρέσβα Κλυμένοιο θυγατρῶν, ὡς μετ' ὀλίγα ἱστορεῖ ὁ ποιητής. Λέχος δὲ καὶ εὐνὴ, τὸ αὐτό ἐστιν. (ηερς. 404.) Ὅτι ξεστοὶ λίθοι ἔσαν τῷ Νέστορι προπάροιθε θυράων ὑψηλάων, λευκοί. ἀποστίλβοντες ἀλείφατος. ἐφ' οἷς πρὶν μὲν Νηλεὺς ἐκάθητο. νῦν δὲ Νέστωρ, σκῆπτρον ἔχων. καὶ ποιεῖται τὴν ἐπὶ Ἀθηνᾷ θυσίαν. Καὶ ὅρα κἀνταῦθα τὴν ἡρωϊκὴν εὐτέλειαν. οὐ γὰρ ἐξ ὕλης τιμίας οἱ ἄλλως ἀγλαοὶ θρόνοι συγκεκρότηνται, ἀλλ' εὐπόριστος ὕλη βαρβάρου λίθου αὐτοὺς ἀποτελεῖ. (ηερς. 408.) στίλβοντος, ἢ ἐξ ἐπιτεχνήσεως, ἢ ἐκ τοῦ τρίβεσθαι ὑπὸ τῶν ἐκ παλαιοῦ ἐπικαθημένων. Τὸ δὲ ἀποστίλβοντες ἀλείφατος, ἀντὶ τοῦ ὡς ἐλαίου. λείπει γὰρ κἀνταῦθα τὸ ὡς. ὡς καὶ ἐν τῷ, ἐμάχοντο δέμας πυρὸς, ἀντὶ τοῦ ὡς πῦρ. καὶ ἐν ἑτέροις πολλοῖς οἷς ἡ Ἰλιὰς ἔχει. (ηερς. 413.) Ὅτι τὰ ὀνόματα τῶν υἱῶν τοῦ Νέστορος, ταῖς τοῦ πατρὸς ἀρεταῖς παρωνόμασται. ὁ μὲν Ἐχέφρων ἐκαλεῖτο παρὰ τὸ ἔχειν φρόνησιν. ὁ δὲ, Στρατίος παροξυτόνως, διὰ τὸ ἐν Ἰλιάδι ῥηθὲν τρίβραχυ. (ηερς. 414.) ἕτερος, Περσεὺς, διὰ τὸ κατὰ τὸν γέροντα ἦν ὅτε πτολίπορθον. ἄλλος, Ἄρητος. παρὰ τὸν Ἄρην, ἐν ᾧ εὐδοκιμῶν ἦν ὁ πατήρ. ὃς Ἄρης, καὶ διὰ τοῦ τὸς κλίνεται Ἄρητος ὡς λέχητος. ἀφ' οὗ Ἀρητιάδης καθὰ καὶ ἀλλαχοῦ ἐγράφη. ἐξ ἧς γενικῆς ἀναδρομῇ τῇ εἰς εὐθεῖαν, ὁ Ἄρητος. ὁ δὲ πέμπτος υἱὸς τῷ Νέστορι, Θρασυμήδης. ὃν καὶ ἀντίθεον ὁ ποιητὴς καλεῖ καὶ μενεπτόλεμον καὶ ὑπέρθυμον. (ηερς. 415.) Ὁ δὲ λοιπὸς ἕκτος, Πεισίστρατος. ὃν ἔοικε ὁ πατὴρ φιλῶν, ἑταιρίζειν τῷ Τηλεμάχῳ. καθὰ δείξει καὶ ἡ εἰς τὴν Σπάρτην ὁδός. Ἰστέον δὲ ὅτι καὶ τῷ ὕστερον τυράννῳ Πεισιστράτῳ, ἐκ τοῦ τοιούτου Νεστορίδου Πεισιστράτου δόξοι ἂν ἴσως ἀπομνημονευθῆναι ἡ κλῆσις. ἐπειδὴ ἀνέκαθεν καθ' Ἡρόδοτον, Πύλιοι καὶ Νηλεῖδαι ἦσαν οἱ Πεισιστρατίδαι. (ηερς.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

414.) Τὸ δὲ Ἄρητος, πρὸς διαστολὴν προπαρωξύνθη τοῦ ἀρητὸς οὐ μόνον ὁ ἐπάρατος καὶ βλαβερὸς κατὰ τὸ, ἀρητὸν γόον, 1.136 ἀλλὰ καὶ ὁ εὐκταῖος. τοιούτου δὲ τονικοῦ λόγου, καὶ ἡ Ἀρήτη. σύνθετον δὲ Ἀρήτου, ὁ παρὰ Ἡροδότῳ Δημάρητος. δῆλον δ' ὅτι ὁ παρ' Ὁμήρῳ Ἄρητος, Ἄρατος, παρὰ τοῖς μεθ' Ὅμηρον(ἠερς. 421.) Ὅτι τὸ, ἐναργὴς ἦλθεν ἀντὶ τοῦ, κατ' ὄψιν ἐφάνη σωματικῶς. καὶ ἀργῶς ὅ ἐστι λευκῶς καὶ φανερῶς καὶ ὡς εἰπεῖν ἀναφανδά. διὸ καὶ ἥλιος καὶ σελήνη, ἐναργεῖς ἐλέγοντο τοῖς πάλαι θεοί. Ὅτι δαῖτα θάλειαν προπαροξυτόνως φησὶ κατὰ ἐπίθετον. αὐτὴ μέντοι καταμόνας, παροξύνεται καὶ διὰ τοῦ ἰῶτα γράφεται. παράγουσα τὴν ἀτασθαλίαν ὡς προδεδήλωται. ὅτι δὲ καὶ Μοῦσα Θάλεια κατὰ κυριωνυμίαν, δῆλόν ἐστιν. (ἠερς. 422.) Ὅτι διακόνοις ὁ Νέστωρ εἰς θυσίαν τοῖς υἱοῖς χρᾶται, οὐ μόνον διὰ τὸ τίμιον, ἀλλ' ὅτι καὶ ἄλλως αὐτουργοῦσιν οἱ ἥρωες ἐν πολλοῖς τῶν ἔργων, ὡς πολλαχοῦ φαίνεται. μακαριστὸς δέ φασιν οἶκος οὐχ' οὕτως ὁ ἐξανδραπόδων, ὡς ὁ ὑπὸ παίδων τούτων ὑπηρετούμενος. (ἠερς. 423.) Ὅτι τὸ, βοῦν κατὰ σπουδὴν ἀγαγεῖν, ἐλάσαι φησίν. εἰπών. ὄφρα τάχιστα ἔλθῃ, ἐλάσει δὲ βοῶν ἐπιβουκόλος ἀνήρ. δηλοῖ δὲ καὶ τὸ κροῦσαι ἡ λέξις. ἐρεῖ γοῦν μετ' ὀλίγα. ἤλασεν ἄγχι παραστάς. τουτέστι, πελέκει ἔπληξε. κεῖται δέ ποτε καὶ ἐπὶ τεκτονήσεως σιδήρου. καὶ ἐπὶ ἐκτάσεως τειχισμοῦ καὶ ἀνορύξεως. ὡς τὸ, τεῖχος ἤλασε. καὶ τάφρον ἤλασε. καὶ ἐπὶ ζῴου συντόνου κινήσεως. ὅθεν καὶ τὸ ἱππηλατεῖν καὶ βοηλατεῖν καὶ στρατηλατεῖν. τοιοῦτον δέ τι καὶ ἐπὶ νηῶν τὸ ἐλαύνειν καὶ κωπηλατεῖν. τὸ δὲ κατήλασεν, ἄλλο παρὰ τὰ εἰρημένα ἐστί. σημαίνει γάρ τι οὐ σεμνόν. ὡς ἐν ἄλλοις ἐδηλώθη. Ὅτι δὲ ἐν τῷ, βοῶν ἐπιβουκόλος ἀνὴρ ἐκ περισσοῦ κεῖται τὸ βοῶν ὡς καὶ ὁ οἶνος ἐν τῷ, οἶνον ἐνοινοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσιν ὃ μετ' ὀλίγα φησὶν ὁ ποιητής. καὶ τὸ ποδῶν, ἐν τῷ, ποδάνιπρα ποδῶν ὡς ἐν τοῖς μετὰ ταῦτά που λέγεται. καὶ ὅτι ἐν τῷ ἐπιβουκόλος, παρέλκει ἡ πρόθεσις ὡς καὶ ἐν τῷ ἐπίουρος καὶ ἐν ἄλλοις, δεδήλωται ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἱκανῶς. (ἠερς. 426.) Ὅτι Λαέρκεα χρυσοχόον ὁ ποιητὴς ἐνταῦθα φησὶν, ἢ ἐπιθετικῶς τὸν λαοῖς ἐπαρκοῦντα, ὅ ἐστι τῷ δήμῳ. διὸ καὶ δημιοεργοὶ λέγονται οἱ χειροτέχναι. ἢ καὶ κατὰ κυριότητα ὀνόματος φερωνύμου. Ἰστέον δὲ ὡς εἰ μὲν εἴη κύριον, βαρυνθήσεται ὡς τὸ Λαέρτης. εἰ δὲ ἐπίθετον, ὀξυνθήσεται ὡς τὸ εὐερκής. Ἔτι ἰστέον καὶ ὅτι δύναται ὥσπερ ὁ Λαέρκης, οὕτω καὶ ὁ Λαέρτης, παρὰ τὸν λαὸν εἶναι. ὡς τὸν ὑπ' αὐτὸν λαὸν ἀείρων ἤγουν ὑψῶν τῇ εὐηγεσίᾳ. οἱ μέντοι παλαιοὶ, παρὰ τὸν λᾶαν ὅ ἐστι λίθον, τὸν Λαέρτην συντιθέασι. καὶ ἔστι κατ' αὐτοὺς Λαέρτης, ὁ λᾶας ἤγουν λίθους ἀερτάζων ὅ ἐστιν αἴρων. κουφίζων. ὅθεν καὶ ἀέρδην ἐπίῤῥημα τὸ, βαστακτικῶς. (ἠερς. 427.) Ὅτι ἐτυμολογικοῦ τρόπου τὸ, χρυσοχόον ἐλθεῖν ὄφρα βοὸς χρυσὸν κέρασι περιχεύῃ. ἀπὸ τοῦ χεύειν γὰρ χρυσὸν ὁ χρυσοχόος λέγεται. καὶ μετ' ὀλίγα, γέρων χρυσὸν ἔδωκεν ὅ δ' ἔπειτα χρυσὸν κέρασι περιχεῦεν ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα. Ἔνθα καὶ ὅρα τὸ ἀσκήσας, ἀντὶ τοῦ, οὐχ' ἁπλῶς περιχεύας ἀλλ' ἐπιμεληθεὶς, ὡς καὶ ἀλλαχοῦ εἶπε. καὶ τὸ ἄγαλμα, ἀντὶ τοῦ ἀγαλλίαμα, ὃ πρὸ μικροῦ ἔφη. διὸ καὶ ἐπήγαγεν ἐτυμολογικῷ τρόπῳ, τὸ κεχάροιτο. τουτέστιν ἀγαλλιασθείη, ἐξ οὗ τὸ ἄγαλμα. δηλοῖ δὲ ἀστείως ὁ τόπος οὗτος, ὡς ἐπαγωγόν ἐστι καὶ θειοτέρων προσώπων τὸ τιμᾶσθαι πολυτελῶς. Ἰστέον δὲ ὅτι τοῦ κέρας, παράγωγον ἡ κεραία. ὁμοίως τῷ, πέρας περαία. εἰ καὶ ἄλλως ἡ περαία ἐκ τοῦ πέρην δοκεῖ γίνεσθαι. οἷον πέρην ἁλός. ἢ καὶ ἀπὸ τῆς πέρης ὅ πέρ ἐστι γῆς, ἧς ἡ αἰτιατικὴ πέρην οὖσα, εἰς ἐπιῤῥήματα τὸ πέρην καὶ πέραν μετέπεσεν. (ἠερς. 429.) Ὅτι παρασκευὴν φράζει δαιτὸς τὸ, εἴπατε δ' εἴσω δμωαῖς, δαῖτα πένεσθαι ἕδρας τε ξύλατ' ἀμφὶ καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ. Καὶ ὅρα οἷα τὰ τῶν δουλίδων ἐν τοῖς τοιούτοις ἔργα. (ἠερς. 430.) Σπουδῆς δὲ ὑπηρετικῆς δηλωτικὸν τὸ, ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐποίπνυον, ὅ ἐστιν ἐπόνουν. περὶ οὗ εἴρηται ἀλλαχοῦ ὡς ἐκ τοῦ πονῶ πονύω γίνεται κατὰ ἀναδιπλασιασμὸν, καὶ ἐπένθεσιν τοῦ ἰῶτα. ὁμοίως τῷ ποιφύσσω καὶ τοῖς τοιούτοις.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ηερς. 429.) Ἀγλαὸν δὲ ὕδωρ, ἢ τὸ κρηναῖον καὶ ἀπόῤῥυτον, ἢ τὸ φύσει αἰγλῆεν ὡς διαφανές. ἐκτείνει δὲ τὸ ὕδωρ ἐνταῦθα τὴν παραλήγουσαν ὡς καὶ ἐν ἄλλοις. ἐν πολλοῖς δὲ, καὶ συνεσταλμένον εὑρίσκεται. (ηερς. 431.) Ὅτι σχῆμα γοργὸν τὸ, ἦλθε μὲν βοῦς ἐκ πεδίου. ἦλθον δὲ Τηλεμάχου ἕταροι. ἦλθε δὲ χαλκεύς. ἦλθε δ' Ἀθήνη. ἔχει δὲ ταῦτα, καὶ κάλλος διὰ τὰς ἐπαναφορὰς τοῦ ἐλθεῖν. καλὸν δὲ καὶ ἡ ἐπιμονὴ τῆς αὐτῆς λέξεως. (ηερς. 433.) Χαλκεὺς δὲ, ὁ πρὸ βραχέων χρυσοχόος, κατὰ ὄνομα γενικόν. ἀπὸ τοῦ πρώτου φανέντος μετάλλου. διὸ καὶ ὁ Ἥφαιστος, χαλκεὺς ἐλέγετο. καὶ χαλκεύειν τὸ οἱανοῦν ἐλατὴν ὕλην σφύρᾳ παίειν. καὶ τὰ εἰς αὐτὸ δὲ ὅπλα, χαλυήϊα λέγει. καὶ πείρατα τέχνης. ὅ ἐστι περατωτικά. δι' ὧν ἡ χαλκευτικὴ 1.137 τέχνη περατοῦται. ἃ καὶ ὀνομάζων, φησίν. ἄκμονά τε σφῦράν τε, εὐποίητόν τε πυράγρην. οἷσίν τε 1.137 χρυσὸν εἰργάζετο. ἤγουν καὶ τὰ, οἷς ἐχώνευεν, ἃ καὶ εἰπεῖν ἔχων ἐν μιᾷ λέξει χόανα, ὅμως ἐπίτηδες περιέφρασεν. (ηερς. 436.) Ὅτι δὲ τὴν πυράγραν καὶ χαλκευτικὸν καρκίνον οἱ παλαιοὶ ἔλεγον, οὐκ ἄδηλον. Ἰστέον δὲ ὡς πρὸς ὁμοιότητα τοῦ πυράγρα, καὶ ἡ κρεάγρα παρῆκται. ἡ δέ γε χειράγρα καὶ ἡ ποδάγρα, ἑτεροίως ἔχει. (ηερς. 433.) Σημείωσαι δὲ ὅτι χαλκεὺς, καὶ ὄνομά ἐστιν ἰχθύος ὡς ὁ δειπνοσοφιστὴς ἱστορεῖ ἐν οἷς λέγει ὅτι ἰχθὺς, ἡ χαλκίς. οἷον. χαλκίδες τὰς καλέουσι καὶ σαρδίνους. αὐταὶ δὲ καὶ χαλκιδικαὶ ὀνομάζονται. διάφοροι φησὶν οὖσαι πρὸς τοὺς χαλκέας, οἳ ἐν τῇ τῶν Κυζικηνῶν χώρᾳ, περιφερεῖς εἶναι λέγονται καὶ κυκλοειδεῖς. (ηερς. 436.) Τὸ δὲ ἦλθε δ' Ἀθήνη, τὸ τῆς θυσίας εὔλογον δηλοῖ. ὡς οἷς μὲν ὁ Ἀγαμέμνων ἔθυε καὶ οἷς ὁ Αἴγισθος, μὴ ἐξὸν ὂν προσχεῖν τὸ θεῖον. ἐνταῦθα δὲ εἰς τὸ καλὸν, ἐλθούσης τῆς Ἀθηνᾶς. παρὰ δὲ τοῖς παλαιοῖς, κεῖται καὶ ταῦτα. οἱ ἀρχαῖοι εἰδότες μὲν ἀκάθεκτον τὴν ἐπὶ τὰς ἀπολαύσεις ὁρμὴν προθέμενοι δὲ κοσμίως ἐθίζειν ταύταις χρῆσθαι τοὺς τότε, χρόνους ἀφορίσαντες, καὶ θυσίας προθύσαντες, καὶ τὸ θεῖον ἀνθρωποειδὲς ὑποστησάμενοι, οὕτω μεθῆκαν ἑαυτοὺς εἰς ἄνεσιν. ἵνα ἕκαστος ἡγούμενοι θεοὺς ἥκειν ἐπὶ τὰς ἀπαρχὰς καὶ σπονδὰς, αἰδοῖ τὴν συνουσίαν ποιῶνται. Ὅμηρος οὖν φησὶν, ἦλθε δ' Ἀθήνη ἱρῶν ἀντιόωσα. καὶ Ζεὺς χθιζὸς ἔβη μετὰ δαῖτα. κἂν ἄνθρωπος δέ που παρῇ τῇ προαιρέσει σπουδαῖος, αἰδοῦνται ἀσχημονεῖν. ὡς δηλοῖ καὶ Ἐπίχαρμος εἰπών. ἀλλὰ καὶ σιγῆν ἀγαθὸν ὄκκα παρέοντι κάῤῥοντες. ἤγουν σιγᾶν ἀγαθόν ἐστιν ὅτε πάρεισί τινες κρείττονες. ἤγοντο τοίνυν αἱ ἑορταὶ κοσμίως, οἷα θεῶν αὐταῖς παρόντων. διὸ οὔτε κατεκλίνοντο ἀλλὰ δαίνυνθ' ἑζόμενοι, οὔτε εἰς μέθην ἔπινον. ἀλλὰ πιόντες καὶ σπείσαντες ὅσον ἤθελε θυμὸς, ἔβαν οἶκονδε ἕκαστος. οἱ δὲ νῦν ὅτε θύουσι, καταρῶνται. λοιδοροῦνται. πλήττουσιν. ἀπειλοῦσι. μονονουχὶ λέγοντες, ἔρχεσθ' ἐπὶ δεῖπνον ἵνα ξυνάγωμεν Ἄρηα. (ηερς. 437.) Ὅτι ὥσπερ ὁ ἱππότης ἀσυντελὴς ἐδείχθη πρὸ ὀλίγων εἰς μέτρον διὰ τὸ ἀμφίμακρον, οὕτω καὶ τὸ ἱππηλάτης οὐκ εὐχρηστεῖται εἰς μέτρον δακτυλικὸν, διὸ ἱππηλάτα φησὶν αὐτὸ ὁ ποιητής. οἷον. γέρων ἱππηλάτα Νέστωρ. ὅπερ ὅμοιον τῷ, Γερήνιος ἱππότα Νέστωρ. (ηερς. 441.) Ὅτι ἐν τῷ, χέρνιβα δὲ ἐν ἀνθεμόεντι λέβητι ἦλθε φέρων ὁ δεῖνα ἑτέρῃ δ' ἔχεν οὐλὰς ἐν κανέῳ, ἔοικε μὲν λέγειν λέβητα, τὴν πρόχοον, ἤτοι τὸν ἰδιωτικῶς λεγόμενον ξέστην, περιέχοντα χέρνιβα, ὅ ἐστιν ὕδωρ κατὰ χειρῶν. τόδ' ἐστὶν, οὐχ' οὕτως ἔχον. ἀρέσκει γὰρ τοῖς παλαιοῖς λέβητα κἀνταῦθα νοεῖν, τὸ καθ' ἡμᾶς χερνίβιον. ἐντὸς δὲ αὐτοῦ κεῖσθαι τὴν πρόχοον, φέρουσαν χέρνιβα. ὁ μέντοι ποιητὴς ἀπὸ μέρους τὸ πᾶν δηλῶσαι θελήσας, χέρνιβα μὲν εἶπε, τουτέστι τὸ περιεχόμενον ὕδωρ. τὸ δὲ περιέχον ἐσίγησεν ἤγουν τὴν πρόχοον. ἀλλαχοῦ δὲ ἐντελέστερον φράζων, ἔφη. χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα. (ηερς. 442.) Οὕτω καὶ οὐλὰς μετ' ὀλίγα εὐθὺς τοὺς οὐλοχύτας καλεῖ κατὰ ἁπλότητα, ἐκ μέρους τῶν οὐλῶν ὅ ἐστι κριθῶν, δηλώσας τὸ πᾶν ὑποκατιὼν δὲ, καὶ συνθέτως προφέρει τὴν λέξιν ἐν τῷ, οὐλοχύτας προβάλοντο. καὶ οὐλοχύτας κατήρχετο. περὶ ὧν ἡ Ἰλιὰς δηλοῖ. (ηερς. 441.) Ἀνθεμόεις δὲ λέβης ὡς καὶ ἐν Ἰλιάδι, ὁ ἀναθεματικὸς ἢ ἀνθηρός. καὶ ζητητέον ἐκεῖ. (ηερς. 443.) Ὅτι διασκευὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θυσίας καὶ αὕτη. πέλεκυν δὲ ὁ δεῖνα ὀξὺν ἔχων ἐν χερσὶ παρίστατο, βοῦν ἐπικόψων. ὁ δεῖνα δ' ἀμνίον εἶχεν. ὁ δεῖνα δὲ ἤγουν ὁ Νέστωρ, χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο. πολλά δ' εὔχετ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων. μετὰ δὲ τὴν εὐχὴν καὶ τοὺς οὐλοχύτας, ὁ δεῖνα ἤλασεν ἄγχι παραστάς. πέλεκυς δ' ἀπέκοψε τένοντας αὐχενίους. λῦσε δὲ βοὸς μένος. αἱ δὲ γυναῖκες ὀλόλυξαν. οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸς εὐρυοδείης, ἔσχον. ἀτὰρ σφάξεν ὁ δεῖνα. τῆς δ' ἐπεὶ ἐκ μέλαν αἷμα ῥύη λίπε δ' ὀστέα θυμὸς, αἶψ' ἄρα μιν διέχευαν. ἄφαρ δ' ἐκ μηρία τάμνον πάντα κατὰ μοῖραν. εἶτα λέγει ὅτι τε κνίσσῃ αὐτὰ ἐκάλυψαν, δίπτυχα ποιήσαντες, καὶ ὡς ὠμοθέτησαν ἐπ' αὐτοῖς καθὰ καὶ ἐν Ἰλιάδι. καὶ τὴν ἐπὶ σχίζαις καῦσιν. καὶ τὴν δι' οἴνου σπονδήν. καὶ τὰ πεμπώβολα. καὶ ὡς ἐπάσαντο σπλάγχνα μετὰ τὸ καῆναι τὰ μηρία. καὶ ὡς μίστυλλον τ' ἄλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν. καὶ ὡς ὤπτων ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες. ἤγουν ὀξεῖς. κατὰ τὸ ἄκρον πείροντας. καὶ τοιαύτη μὲν ἡ ῥηθεῖσα διασκευή. Ἐνταῦθα δὲ χρὴ ἐπισημήνασθαι, ὡς εἰ καὶ τὸ λείβειν καὶ τὸ σπένδειν ταὐτά ποτε εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οὕτως εὕρηνται παραγωγαὶ αὐτῶν, ἔχουσαί τινα διαφοράν. τὸ γοῦν ἐκ τοῦ λείβω λοιβάσιον, καὶ τὸ ἐκ τοῦ σπένδω σπονδεῖον, διαφέρουσιν ἀλλήλων κατὰ τὸν εἰπόντα ὡς λοιβάσιον μὲν, ᾧ ἔλαιον ἐπισπένδουσιν ἱερεῖς. 1.138 σπονδεῖον δὲ, ᾧ τὸν οἶνον. ὅτι δὲ οὐδὲ ἀεὶ ταυτὸν τὸ λείβειν καὶ τὸ σπένδειν, πολλαχόθεν δῆλον. δάκρυσι γοῦν λείβεταί τις, οὐ μὴν καὶ σπένδεται. λείβονται δέ ποθεν καὶ ὕδατα, ὅθεν καὶ τὰ λείβηθρα τόπος. καὶ τοπικὸν, λειβήθριοι. καὶ οὐδὲ τοῦτό ἐστι σπένδεσθαι. ἔτι σπένδεταί τις ἐπὶ φιλίᾳ, οὐ μὴν λείβεται. τοῦ δὲ κοινῶς λεγομένου λείβειν, παράγωγον καὶ ἡ κελέβη, ὡς οἷον χελείβη, παρὰ τὸ χέειν λοιβὴν εἰς αὐτό. ἢ καὶ ἄλλως, παρὰ τὸ χέειν καὶ λείβειν. καὶ ἔστι χρῆσις αὐτῆς, ἐν τῷ, στέψον τὰν κελέβαν. Ἀθήναιος δὲ, παράγει καὶ Ἀνακρέοντος τὸ, ἄγε δὴ φέρ' ἡμῖν ὦ παῖ κελέβην ὅπως ἄμυστιν προπίω. τὰ μὲν δέκ' ἐγχέας ὕδατος, τὰ πέντε δ' οἴνου, κυάθους. τίς δὲ ἡ ἄμυστις καὶ ὅτι παρὰ τὸ μὴ μύειν γίνεται ὃ δὴ τῶν χανδὸν καὶ ὅ φασιν ἀμυστὶ πινόντων ἴδιον, ἐν ἄλλοις δεδήλωται. (ῃερς. 444.) Ὅρα δὲ τὸ, βοῦν ἐπικόψων, ἀντὶ τοῦ ἐπάνω τοῦ τραχήλου πλήξων. ὅθεν καὶ ἐπίκοπον παρὰ τοῖς παλαιοῖς τὸ ἐπίξηνον. ὅπερ ἰδιωτικῶς ἐπικόρμιον λέγεται. (ῃερς. 445.) Τὸ δέ γε ἀπέκοψε τένοντας, ἄλλο τι παρὰ τὸ ἐπικόψαι. δηλοῖ γὰρ τὸ ἀπέτεμεν. Ἀμνίον δέ φασιν ὡς πηνίον παροξυτόνως, τὸ τοῦ αἵματος ὅ ἐστι τοῦ ἀποσφάγματος δεκτικὸν ἀγγεῖον. ἀμένιόν τι ὄν. τουτέστι μένους ἤγουν αἵματος στερητικόν. Κρῆτες δὲ, ἄμνιον φασὶν, ἀγγεῖον εἰς ὃ τὸ αἷμα τῶν ἱερείων ἐδέχοντο. αἵμνιόν τι ὂν παρὰ τὸ αἷμα. Πόρσιλος οὖν ὁ ἱεραπύτνιος, ἱστορεῖ φασι παρὰ τοῖς ἱεραπυτνίοις ἔτι σώζεσθαι τὴν φωνήν. αἵμνιον δασέως μετὰ τοῦ κατ' ἀρχὴν ἰῶτα προφερομένην, παρὰ τὸ αἷμα. φησὶ δὲ καὶ Ἀπολλόδωρος, ὡς εἰκὸς ἦν καὶ παρὰ τῷ ποιητῇ οὕτως αὐτὸ προφέρεσθαι, περιαιρεθῆναι δὲ τὸ ἰῶτα ὑπό τινων. Νίκανδρος δὲ, καὶ Θεοδωρίδας, δάμνιον ἀναγινώσκουσιν ἀσυνδέτως, παρὰ τὸ δάμνασθαι τὸ σφαζώμενον ζῷον. Ἀττικοὶ δὲ, σφάγιον τὸ τοιοῦτον ἀγγεῖον ἐκάλουν. εἰς ὃ πρῶτον αἷμα δεχόμενοι, τῷ βωμῷ ἐπέχεον. ἅπαξ δέ φασι παρὰ τῷ ποιητῇ εὕρηται τὸ εἴτε ἄμνιον, εἴτε ἀμνεῖον, εἴτε αἵμνιον, εἴτε δάμνιον. (ῃερς. 446.) Τὸ δὲ χέρνιβα καὶ οὐλοχύτας κατήρχετο, οὐ συνήθη σύνταξιν ἔχει. ὡς οὐδὲ παρὰ Λυκόφρονι ἐν τῷ, στρόμβῳ τὸν αἱματηρὸν κατάρχων νόμον. γενικῇ γὰρ οἱ μεθ' Ὅμηρον συντάσσουσι τὸ κατάρχεσθαι. καιρία δὲ αὕτη ἡ λέξις. ὥσπερ καὶ τὸ, οὐλοχύτας προβάλοντο. εἴγε προθύματα οἱ οὐλοχύται ὡς καὶ ἐν Ἰλιάδι δεδήλωται. οὕτω δὲ ἀπαρχή τις εἴτε καταρχὴ καὶ πρόθυμα καὶ προβολὴ, καὶ ὁ τιλμὸς καὶ ἡ καῦσις τῶν τριχῶν τῆς τοῦ ἱερείου κεφαλῆς, γινόμενος καὶ αὐτὸς ὡς καὶ ἐν τῇ Ἰλιάδι ἐῤῥέθη, πρὸς ἀνάμνησιν τῆς παλαιᾶς ἐκ τριχῶν καὶ δορῶν ἐνδύσεως. ὡς καὶ οἱ οὐλοχύται, τῆς παλαιᾶς τροφῆς ἀνεμίμνησκον, τῆς ἐκ τῶν οὐλῶν ὅπέρ ἐστι τῶν κριθῶν. διὸ καὶ τοὺς οὐλοχύτας τῶν τις παλαιῶν, κριθὰς ἡρμήνευσεν. εἰπόντος γάρ τινος, τοὺς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐλοχύτας φέρε δεῦρο, ἐρωτᾷ τις. τοῦτο δ' ἔστι τί; ἕτερος δέ τις ἀποκρινόμενος, διασαφεῖ ὅτι κριθαί. δηλῶν καὶ ἐκεῖνος παρὰ τῷ δειπνοσοφιστῇ, ἐκ μέρους τὸ πᾶν. εἰ δὲ καὶ ὁ γέρων βασιλεὺς αὐτοδιακονεῖ ἐν τούτοις, οὐ θαυμαστέον. ἐν τῷ ἀφορᾷν καὶ εἰς Ἀντίγονον, ὃς πρὸς τὸν υἱὸν βίαιον ὄντα τοῖς ὑπηκόοις, οὐκ οἶσθα εἶπε τὴν βασιλείαν ἡμῶν, ὦ παῖ, δουλείαν ἔνδοξον εἶναι; Αὐχενίους δὲ τένοντας εἶπε, πρὸς διαστολὴν ἑτέρων τε, καὶ τῶν περὶ τοὺς πόδας. (ῃερς. 451.) Τὸ δὲ λύσε βοὸς μένος, ἀντίκειται πρὸς τὸ δέμας. τὸ μὲν γὰρ ζῶν, συνδέδεται. λέλυται δὲ τὸ φονευθέν. καὶ ἄλλως δὲ, λύεται μένος τῷ ζῴῳ, ἐν τῷ ἀψυχῆσαι τῇ νεκρώσει τὰ ἅψεα. ὧν ἐτυμολογία, τὸ ἅπτεσθαι. ὅπερ ἑτεροῖον ἐστὶ τοῦ λελύσθαι. διὸ ἐν τοῖς ἑξῆς ἐρεῖ, λύθεν δέ οἱ ἅψεα. Τὸ δὲ ὀλολύζειν ὅτι ἐπὶ γυναικείας εὐχῆς λέγεται, δεδήλωται ἐν τοῖς εἰς τὴν Ἰλιάδα σαφῶς. οἱ μέντοι μεθ' Ὅμηρον, ἐπὶ τοῦ κλαίειν τὴν λέξιν τιθέασι. (ῃερς. 454.) Τὸ δὲ ἀνελόντες ἤτοι ἀναβαστάσαντες, ἐναντίον τῷ καθελόντες. Χθὼν δὲ εὐρυοδεία, ἡ μεγαλάμφοδος κατὰ τοὺς παλαιούς. (ῃερς. 455.) Τὸ δὲ σφάξαι, ἄλλό τι ἐστὶ παρὰ τὸ ἐλάσαι καὶ πελέκει τοὺς τένοντας ἀποκόψαι. ταῦτα μὲν γὰρ παθοῦσαν τὴν βοῦν καὶ πεσοῦσαν, ἀνελόντες ἀπὸ χθονὸς, ἔσχον. ἔσφαξε δὲ αὐτὴν Πεισίστρατος. ὅ ἐστιν, εἰς τέλος ἀπέτεμε. καὶ τομῆς μέγα χάσμα ἤνοιξεν. ὅθεν καὶ ἡ διασφὰξ τῆς διασφάγος. ὃ παρ' ἄλλοις τε κεῖται, καὶ παρὰ τῷ Ὀππιανῷ. (ῃερς. 457.) Τὸ δὲ διέχευαν, ἀντὶ τοῦ, εἰς μέλη ἁδρὰ τὴν βοῦν διέτεμον. καὶ συνεχῆ οὖσαν, οἱονεὶ ἔχεον τῇ εἰς πολλὰ τομῇ. τὸ μέντοι μιστύλλειν, λεπτότερον τοῦ διαχέειν. δηλοῖ γὰρ τὸ εἰς μεῖστα ἤγουν βραχύτατα μόρια τέμνειν. καὶ ὡς εἰπεῖν, εἰς μερίδας. καὶ τοιοῦτον μὲν τὸ μιστύλλειν ὡς καὶ ἐν Ἰλιάδι ἐῤῥέθη. αἱ δέ γε μυστίλαι ὧν ἡ μὲν ἄρχουσα, διὰ τοῦ ¯υ ἡ δὲ παραλήγουσα. διὰ τοῦ ἰῶτα, ψωμοὶ εἰσὶ κοῖλοι. οἷον μύστρα κατὰ Αἴλιον Διονύσιον. τουτέστι μυστρία, εἰπεῖν ἰδιωτικῶς. καὶ μυστιλᾶσθαι φησὶ, τὸ οὕτως ἐσθίειν. κατὰ 1.139 δὲ ἄλλους, τὸ κοιλαίνειν ψωμούς. (ῃερς. 457.) Τὸ δὲ μηρία τάμνον πάντα, ἀντὶ τοῦ ὅλα. ὅ ἐστιν ὁλόκληρα. ἄλλως γὰρ, περιττὸν τὸ πάντα, ἐπὶ δύο μόνον μηρῶν κείμενα. Τὸ δὲ δίπτυχα ποιῆσαι, λέγεται μὲν καὶ ἄλλως. ἀρέσκει δὲ τοῖς παλαιοῖς μάλιστα, νοεῖν ἀντὶ τοῦ, τὰ κνίσση φασὶ διπλᾶ θέντες, ἓν ἄνω τῶν μηρῶν καὶ ἓν κάτω. ἐφ' ὧν ὠμοθέτουν, τῶν λοιπῶν μερῶν ἀπαρχόμενοι. (ῃερς. 461.) Τὰ δὲ πεμπώβολα, δῆλον ὅτι κατά τι μίμημα τριαίνης ἢ καὶ χειρὸς ἦσαν. καὶ ἐῤῥέθη ἐν τοῖς εἰς τὴν Ἰλιάδα καὶ περὶ αὐτῶν, ὧν ἡ μὲν σύνθεσις, ἐν δυσὶν ¯ο ὡς ἀπὸ τοῦ ὀβολοῦ. τὸ δὲ ἁπλοῦν, διὰ τοῦ ¯ο καὶ ¯ε, ὀβελοὺς γάρ φησιν ἐν χερσὶν ἔχοντες. (ῃερς. 465.) Ὅτι καθά περ ἐν Ἰλιάδι ἡ Ἥβη λούει τινὰ,οὕτω κἀνταῦθα καλὴ Πολυκάστη Νέστορος ὁπλοτάτη θυγάτηρ, ἔλουσε τὸν Τηλέμαχον καὶ ἔχρισε λίπ' ἐλαίῳ, ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα. ὁ δὲ, ἐκ τῆς ἀσαμίνθου ἔβη δέμας ἀθανάτοισιν ὁμοῖος. χρὴ δὲ νοεῖν ὡς κελεύσαντος τοῦ πατρὸς κατὰ τὸ σιωπώμενον, ἔλουσε τὸν νεανίαν ἡ βασιλικὴ παῖς. Πεισίστρατον δ' ἐν τοῖς ἑξῆς καὶ αὐτὸν δὲ Τηλέμαχον, αἱ δμωαὶ τοῦ Μενελάου ὁμοίως λούουσι. καὶ ἦν ἔργον γυναικῶν τὸ τοιοῦτον ἀνεπιφθόνως τότε γινόμενον. Ὅμηρος γὰρ, ἔθη καταλέγει οὐ μόνον ὅσα πολιτείας ἐστὶν ἀστείας καὶ ἀπηκριβωμένης καὶ ἐμβριθοῦς, ἀλλὰ καὶ ὅσα ἐπεχωρίαζε τοῖς τότε. εἰ καὶ ἁπλουστέρως ἔχοντα, πρὸς ἐκλογισμὸν τοῖς ὕστερον ἔκκεινται. καὶ τὸν Ὀδυσσέα δὲ, ἔλουσαν ἂν ἐν Φαιακίᾳ γυναῖκες, εἰ μὴ αὐτὸς αἰδεῖσθαι εἶπε κούραις εὐπλοκάμοις μετελθών. Πολυκάστη δὲ, ἀναλογεῖ μὲν πρὸς τὸ Ἰοκάστη. δηλοῖ δὲ, τὴν πάνυ κοσμίαν ἢ πολυκόσμητον. (ῃερς. 466.)

Ὅρα δὲ τὸ, ὁπλοτάτη θυγάτηρ. εἰ γὰρ καὶ κυριολεκτεῖται ἡ λέξις ἐπὶ ἀνδρῶν, ἀλλ' ἰδοὺ καὶ ἐπὶ γυναικὸς κεῖται. (ῃερς. 467.) Τὸ δὲ λίπα, ἐκ τοῦ λιπαρὸν ἀποκέκοπται. Ἐλαίῳ δὲ ἐχρίοντο οἱ λουσάμενοι, ἐμπλάττοντες τοὺς σωματικοὺς πόρους ὡς ἂν μετὰ λουτρὸν στέγοιεν τὴν ὑγρότητα. (ῃερς. 468.) Τὸ δὲ φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα, ὑστερολογίας τρόπον ἔχει. πρῶτον γάρ τις χιτῶνα περιδύεται εἶτα φᾶρος. ὁμοίου δὲ τρόπου ἐστὶ καὶ τὸ, ἐπεὶ φᾶρος καλὸν ἀμφέβαλεν αὐτὸν ἡ παῖς καὶ χιτῶνα,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔκ ῥ' ἀσαμίνθου ἔβη. ἤγουν ἐξέβη τῆς κατὰ τὸ λουτρὸν πυέλου. πρῶτον γάρ τις ἔξεισι τῆς ἀσαμίνθου εἶτα ἐνδύεται. διὸ ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ, φησὶν ὁ ποιητὴς οὕτως. ἔς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας, λούσαντο. τούς δ' ἐπεὶ δμωαὶ λοῦσαν καὶ ἔχρισαν ἐλαίῳ. ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον, ἠδὲ χιτῶνας. (ῃερς. 471.) Ὅτι καὶ ἐνταῦθα, κρέα ὑπέρτερα λέγει ὡς καὶ πρὸ μικροῦ. καὶ ὅτι ὡς καὶ πρὸ ὀλίγων δεδήλωται, οἶνον ἐνοινοχοεῖν φησὶν, οὐ πρὸς διαστολήν. οὐ γάρ ἐστι καὶ ὕδωρ οἰνοχοεῖν. ἀλλ' ἁπλούστερον ἀντὶ τοῦ ἐγχέειν. ὡς καὶ ὅτε εἴπῃ νέκταρ ἐῳνοχόει. καὶ μὴν, ἐκεῖνο κατὰ παράχρησιν ἐῤῥέθη ὡς καὶ τὸ, ἵπποι ἐβουκολοῦντο ἀντὶ τοῦ, ἁπλῶς ἐνέμοντο. καὶ ἕτερα ὅμοια καθὰ καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα σεσημείωται. ἔστι δὲ ἡ περὶ τοῦ, οἶνον οἰνοχοεῖν φράσις, αὕτη. ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο, οἶνον ἐνοινοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσι. δῆλον δὲ ὅτι περιττὴ ἐνταῦθα πρόθεσις, ἢ τοῦ ἐνοινοχοεῖν ἢ τοῦ ἐν δεπάεσσιν. Ἐσθλοὺς δὲ ἀνέρας λέγει, τοὺς ἀλλαχοῦ κήρυκας. (ῃερς. 475.) Ὅτι ὡς ἐν Ἰλιάδι, οὕτωκαὶ ἐνταῦθα τὸ ἅρμα πληθύνει σεμνότερον καὶ ἡρωϊκώτερον, εἰπών. ἔζευξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους. τὸ δὲ ἀνωτέρω τούτου ζεύξαθ' ὑφ' ἅρματ' ἄγοντες, οὐ πάνυ δῆλον εἴτε ζεύξατε ὑφ' ἅρματα, εἴτε καὶ ἑνικῶς ὑπὸ τῷ ἅρματι. ὃ καὶ κρεῖττον δοκεῖ. εὑρίσκεται γὰρ καὶ ἑνικῶς παρὰ τῷ ποιητῇ τὸ ἅρμα, εἰ καὶ σπανίως. Κεῖται δ' ἐνταῦθα καὶ τὸ πρήσσειν ὁδοῦ, ἐπὶ ξηρᾶς. καὶ οὐ κατὰ τὸ, διαπρήσσουσα κέλευθον. (ῃερς. 480.) Ὅτι πολυτελείας ἔνδειξις τὸ, ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν, ὄψά τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες. (ῃερς. 483.) ἡνιοχείας δὲ διασκευὴ τὸ, ἐς δίφρον ἀνέβαινε καὶ ἡνία λάζετο χερσί. μάστιξε δ' ἐλάαν. τώ δ' οὐκ ἄκοντε πετέσθην ἐς πεδίον. (ῃερς. 480.) Ἰστέον δὲ ὅτι ὄψα λέγονται τὰ τοῦ σίτου ἡδύσματα, παρὰ τὸ ὀψέ. καὶ τοῦτο, διχῶς. ἢ γὰρ ὅτι ὀψὲ ὥρας εἰς δόρπον προσεφέροντο αὐτὰ παυσάμενοι ἤδη τῶν ἔργων. ἢ ὅτι ὀψὲ χρόνου ἐξευρέθησαν μετὰ τὰς ἀναγκαίας ἐξ ἀκροδρύων καὶ σπορίμων τροφάς. ὅτι δὲ κατά τινα ἐξοχὴν ἡ λέξις κληρωθεῖσα τοῖς ἰχθύσι παρήγαγε τὸ ὀψάριον, ὁ Ἀθήναιος δηλοῖ. Τὸ δὲ οἷα ἔδουσι βασιλεῖς, ἔμφασιν ἔχει, μὴ κοινὰ εἶναι ταῦτα καὶ συνήθη τοῖς πλείοσιν ὄψα, βασιλεῦσι δὲ πρέποντα. Ὅρα δὲ ὡς ἐπὶ Τηλεμάχου μὲν πλατύτερον διεσκεύασε τὰ περὶ τῶν ἐφοδίων, ἐνταῦθα δὲ στενῶς εἶπε, διὰ τὸ δυσὶ μόνοις στίχοις ἐπιμετρηθῆναι τὰ εἰς ὁδόν. οὕτω καὶ δῶρα βασιλικὰ προϊὼν μὲν, ἐξονομάσει. ἐνταῦθα δὲ, μετ' ὀλίγα ἐπὶ Ὀρτιλόχου, ἀρκεσθήσεται εἰπὼν ὡς τοῖς ἐνδημήσασι νέοις πὰρ ξείνια θῆκε. (ῃερς. 485.) Τὸ δὲ μάστιξε δ' ἐλάαν καὶ 1.140 ἑξῆς, δὶς λέγει ἐνταῦθα ταυτολογῶν. (ῃερς. 486.) Τὸ δὲ ἐς πεδίον, ἀσφαλῶς πρόσκειται εἰς διαστολὴν τῶν ἐν ἀέρι πετομένων. δῆλον δὲ ὡς τὸ οὕτω πέτεσθαι, ἡ μάστιξ ἐνεποίησε τοῖς ἵπποις. οἳ ἄλλως μὲν, οὐκ ἀέκοντες ὥδευον. ὑπὸ δὲ μάστιγος, καὶ ἐπέτοντο. εἰ δὲ οὗτοι παραβολικῶς πέτεσθαι λέγονται, οὐκ ἂν, οὐδὲ ὁ τοῦ Βελλεροφόντου πήγασος, ἄλλως πέτοιτο. (ῃερς. 487.) Ὅτι τὸ, πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες, ἀντὶ τοῦ, ἐῤῥωμένως ἐκινοῦντο. καὶ εἴρηται ἀπὸ τοῦ παρακολουθοῦντος. ἕπεται γὰρ τοῖς οὕτω κινουμένοις ζῴοις, σείειν τὸν ζυγὸν ὑφ' ὃν εἰσί. καὶ φασὶν οἱ παλαιοὶ ὅτι παρεκδοχικῶς ἐῤῥέθη ἀπὸ τοῦ παρεπομένου τὸ προηγούμενον, ἀντὶ τοῦ ὥδευον. Ἰστέον δὲ καὶ ὅτι τὸ πανημέριοι, παρὰ ἑτέροις ποιηταῖς, εὕρηται πανήμεροι ὁμοίως τῷ ἐφήμεροι, ἐκβληθέντος τοῦ Ὁμηρικοῦ ἰῶτα. ὥσπερ αὖ πάλιν τὸ Ὁμηρικὸν νήδυμος, νηδύμιος λέγεται προσλήψει τοῦ ἰῶτα. ὡς δηλοῖ παρὰ τῷ Ὀππιανῷ τὸ, πνοιῇ νηδυμίῃ. (ῃερς. 489.) Ὅτι Φεραὶ μὲν, πόλεις Θεσσαλίας. Φειαὶ δὲ Ἤλιδος αἱ καὶ Φεαί. Φηραὶ δὲ, τῆς Λακωνικῆς. εἰς ταύτας ἵκοντο κατὰ πρώτην ἡμέραν ἐφ' ἅρματος ὁ Τηλέμαχος καὶ ὁ Νεστορίδης Πεισίστρατος. καὶ ἀναπαυσάμενοι τὴν νύκτα Διοκλῆος ποτὶ δῶμα υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα ὥς που καὶ ἡ Ἰλιὰς δηλοῖ, καὶ ξένιλαβόντες ἀπ' αὐτοῦ, ἅμα ἡμέρᾳ ἵππους τ' ἐζεύγνυντο, ἀνά τε ἅρματα ποικίλα ἔβαινον. καὶ ἐξελάσαντες προθύροιο, ἦλθον ἐς πεδίον πυρηφόρον τὸ ἐγγὺς Λακεδαίμονος. λεγόμενον οὕτως, ἢ ὀνομαστικῶς, ἢ ὡς εὔφορον σίτου. ἐκεῖθεν δὲ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἶψα ἦνον ὁδόν. τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι. δύντος δὲ ἡλίου, εἶχεν ἡ Λακεδαίμων αὐτούς. δευτέραν ἡμέραν ἐκ Πύλου ἐλθόντας ἐκεῖ. (ηερς. 497.) Καὶ ὅρα τὸ ἦνον, ἐκ τοῦ ἄνω ῥήματος. ἐξ οὗ ἐν τῇ ¯α ῥαψῳδία τὸ πολλὰ κατάνεται. πλὴν ὅσον ἐκεῖνο μὲν, τὸ καταδαπανᾶν δηλοῖ καὶ εἰς ὄλεθρον τελειοῦν, καθ' ὁμοιότητα τοῦ καταφαγεῖν. καὶ ἐκεῖθεν τὸ εἰς ὄλεθρον ἀνύειν. ὡς τὸ, ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας. ἐνταῦθα δὲ τὸ ἦνον, τὸ ἁπλῶς ἤνυον καὶ ἐτελείουν δηλοῖ. Τὸ δὲ τοῖον ὑπέκφερον, σπουδαῖον δρόμον σημαίνει. ἔστι δὲ τὸ ὑπέκφερον, ἀντὶ τοῦ ἐκινοῦντο, ἐκ τοῦ φέρω. ἀφ' οὗ καὶ φυρὰ ἡ κατὰ τόπον κίνησις. Ὅτι δὲ τὸ ἐκφέρειν, καὶ ἐκκομιδὴν δηλοῖ ἑτεροίαν τέ τινα καὶ νεκρικὴν δὲ ὅθεν καὶ ἐκφορὰ ἡ ταφὴ, πολλαχοῦ φαίνεται. σημαίνει δέ ποτε καὶ αὔξησίν τινα. οὕτω γὰρ τὸ μικρὸν, μέγα τι ἐκφέρει ἔστιν ὅτε. Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ ὑπέκφερον, ἐπίτασιν ἡ ἐκ πρόθεσις ἐμφαίνει καὶ ὑπεροχήν. ἵνα ᾖ, ὅτι ὄντες ὑπὸ τῷ ζυγῷ οἱ ἵπποι, λίαν ταχὺ ἐκινοῦντο. καὶ ὡς εἰπεῖν, ὑπερφερῶς. Τοῦ δὲ σπουδαίου δρόμου τῶν τοιούτων ἵππων, δηλωτικὸν ἐν τοῖς ἑξῆς καὶ τὸ, ἔλυσαν ἱδρώοντας. Ἐνταῦθα δὲ κεῖται καὶ σχῆμα πρωθύστερον ἐν τῷ, ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου. οὐδεὶς γὰρ προεξελαύνει προθύρου εἶτα αἰθούσης, ἀλλὰ ἀνάπαλιν. ΥΠΟΘΕΣΙΣ ΤΗΣ Δ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Παρὰ Μενελάῳ ξενισθεὶς σὺν Πεισιστράτῳ Τηλέμαχος, ἀπαγγέλλει τὰ κατὰ τὴν Ἰθάκην ὑπὸ τῶν μνηστήρων πραττόμενα. ἔπειτα ἐξηγεῖται αὐτῷ ὁ Μενέλαος περὶ τοῦ νόστου τῶν Ἑλλήνων, καὶ τῆς Πρωτέως μαντείας, δι' ἧς ἔγνω τὸν Ἀγαμέμνονος θάνατον, καὶ ὡς Ὀδυσσεὺς παρὰ Καλυψοῖ εἴη. βουλὴδὲ γίνεται τῶν μνηστήρων περὶ τοῦ τὸν Τηλέμαχον ἀνελεῖν. παραμυθεῖται δὲ ἡ Ἀθηνᾶ δι' ὀνείρου τὴν Πηνελόπην ἐπὶ τῇ τοῦ παιδὸς ἀποδημίᾳ δυσχεραίνουσαν, διὰ εἰδώλου ὁμοιωθεῖσα Ἰφθίμῃ τῇ τῆς Πηνελόπης ἀδελφῇ. ΟΔΥΣΣΕΙΑΣ Δ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. (ηερς. 1. σθθ.) Ὅτι ἐπιγραφὴ τοῦ γράμματος τούτου, αὕτη. Τηλεμάχου ἄφιξις εἰς Σπάρτην. Ὅτι κοίλην τὴν Λακεδαίμονα καλεῖ καὶ κητώεσσαν. ἐκεῖνο μὲν, διὰ τὸ κύκλῳ μακροῖς ὄρεσι περιειλῆφθαι, ὥσπερ καὶ ἡ κοίλη Συρία δι' ὁμοίαν αἰτίαν τὴν τοιαύτην κλῆσιν εἴληχε. κητώεσσαν δὲ, ὡς 1.141 μεγάλην. παρὰ τὸ κῆτος. τινὲς δὲ ὧν καὶ Ζηνόδοτος, καιετάεσσαν γράφουσιν. ὅθεν παρὰ Καλλιμάχῳ τὸ, ἵππους καιετάεντας ἀπ' Εὐρώταο κομίσεαι. ποταμὸς δὲ Λακωνικὸς ὁ Εὐρώτας ὡς καὶ ὁ περιηγητὴς δηλοῖ. εἰ δὲ καί τι μόριον σώματος εὐρώτας λέγεται, δηλοῖ ὁ γράψας ἐλεγεῖον τὸ, οὐχ' ὅλον εὐρώταν ἀλλ' ὅσον ἠδύνατο. φασὶ δὲ λέγεσθαι καιετάεσσαν, τὴν καλαμινθώδη, ἢ τὴν πολλοὺς ἔχουσαν καιετοὺς, ὅ ἐστι σχισμὰς καὶ ῥωχμοὺς ἀπὸ σεισμῶν. εὔσειστος γὰρ ἡ Λακωνική. ἀπὸ δὲ τῆς τοιαύτης λέξεως, καὶ δεσμωτήριόν τι σπηλαιῶδες παρὰ Λάκωσιν ὁ καιέτας, ἢ διὰ τοῦ ¯α καιάτας. οἱ δὲ, κώους φασὶ καλεῖσθαι τὰ τοιαῦτα κοιλώματα. ὅθεν καὶ τὸ, φηρσὶν ὀρεσκῴοις παρ' Ὁμήρῳ εἰρῆσθαι οἴονται. ὁ δὲ τὰ ἐθνικὰ γράψας, ἱστορεῖ ὅτι κῶς, ὄρυγμα ἐν Κορίνθῳ, ὅπου φῶρας καὶ δραπέτας καθείργνυον. καὶ οἱ ἐν αὐτῷ τραφέντες, κῶες ἐλέγοντο. κώους γὰρ, τὰ κοιλώματα τῆς γῆς καὶ πᾶν σπήλαιον ἔλεγον. Ἰστέον δὲ ὅτι παρὰ τὸ κῶ τὸ κεῖμαι γίνεται οὐ μόνον τὸ προσεχῶς ῥηθὲν ὄρυγμα, ἀλλὰ καὶ ὁ καιέτας καὶ ὁ κῶος. οὗτος μὲν, κατὰ πρόσληψιν συλλαβῆς, ὡς τὸ, ζῶ ζῷον. ἐκεῖνος δὲ, ἀπὸ τοῦ κῶ καίω ὡς κλῶ κλαίω. ἵστανται μὲν γὰρ, τὰ ὑπερκείμενα. κεῖνται δέ πως, τὰ κάτω καὶ ταπεινά. (ηερς. 3.) Ὅτι εὐτυχῶς καταλύει Τηλέμαχος παρά τε Νέστορι θύοντα ἐκεῖνον ἐφευρηκῶς, παρά τε Μενελάῳ, ὃν εὗρε δαινῦντα γάμον πολλοῖσιν ἔτησιν υἱέος ἠδὲ θυγατρός. τῆς Ἑρμιόνης δηλαδή. ὧν τὴν μὲν, τῷ τοῦ Ἀχιλλέως υἱῷ ἔπεμπεν ἔνθ' ἵπποισι καὶ ἅρμασι Μυρμιδόνων προτὶ ἄστυ. ὡς ἐν Τροίᾳ πρῶτον οὐχ ἁπλῶς ὑπέσχετο ἀλλὰ καὶ κατένευσε δώσειν. τοῖσι δὲ θεοὶ γάμον ἐξετέλειον. τῷ υἱῷ Μεγαπένθει Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην. ἐγχωρίαν δηλαδή. οὐκ ἂν οὐδὲ τὴν Ἑρμιόνην πέμψων εἰς Μυρμιδόνας, εἰ μὴ φθάσας ὑπέσχετο καὶ κατένευσε. λέγει δὲ καὶ ὡς ὁ Μεγαπένθης, τηλύγετος αὐτῷ ἐκ δούλης ἐγένετο. Ἑλένῃ δὲ, θεοὶ γόνον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ ἔτ' ἔφαινον ἐπειδὴ τοπρῶτον ἐγείνατο παῖδα ἐρατεινὴν Ἑρμιόνην. ἵνα φασὶν ἐπὶ πλέον ἀκμάζῃ μὴ δαπανωμένη πρὸς τέκνων τροφήν. ἢ καὶ ἵνα ἐξ Ἀλεξάνδρου παῖδα μὴ σχῇ πρὸς ἐπιγονὴν ἀναμνηστικὴν τῆς ἁρπαγῆς. καὶ οὕτω μὲν ὁ ποιητής. οἱ δὲ ὕστερον, καὶ υἱὸν τῷ Μενελάῳ γενεαλογοῦσι, Νικόστρατον. καὶ Ἀλεξάνδρου καὶ Ἑλένης, Κόριθόν φασιν υἱὸν ἢ Ἕλενον. γέγραπται δέ τι περὶ τούτων, καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. οἱ δὲ παλαιοὶ, γράφουσι καὶ τοιαῦτα. Ἀγαμέμνονος Ἀχιλλεῖ θυγατέρα ὑποσχομένου ἐν ταῖς λιταῖς, διέπεσεν ὁ γάμος ἀποθανόντων ἀμφοτέρων. συνέπεσε δὲ ἄλλως τὸ πρᾶγμα, Ἑρμιόνης τῆς Μενελάου εἰς γάμον ἐκδοθείσης Νεοπτολέμῳ τῷ τοῦ Ἀχιλλέως υἱῷ. Σοφοκλῆς δέ φασιν ἐν Ἑρμιόνῃ ἱστορεῖ, ἐν Τροίᾳ ὄντος ἔτι Μενελάου, ἐκδοθῆναι τὴν Ἑρμιόνην ὑπὸ τοῦ Τυνδάρεω τῷ Ὀρέστῃ. εἶτα ὕστερον ἀφαιρεθεῖσαν αὐτοῦ, ἐκδοθῆναι τῷ Νεοπτολέμῳ κατὰ τὴν ἐν Τροίᾳ ὑπόσχεσιν. αὐτοῦ δὲ Πυθοῖ ἀναιρεθέντος ὑπὸ Μαχαιρέως ὅτε τὸν Ἀπόλλω τινύμενος τὸν τοῦ πατρὸς ἐξεδίκει φόνον, ἀποκαταστῆναι αὖθις αὐτὴν τῷ Ὀρέστῃ. ἐξ ὧν γενέσθαι τὸν Τισαμενόν. φερωνύμως οὕτω κληθέντα, παρὰ τὴν μετὰ μένους τίσιν. ἐπεὶ ὁ πατὴρ Ὀρέστης ἐτίσατο τοὺς φονεῖς τοῦ Ἀγαμέμνονος. (ηερς. 9.) Ὅρα δὲ καὶ ἐν τῷ ῥηθέντι χωρίῳ τὸ ἐπαινετικὸν εἶδος. ἐν ᾧ περικλυτὸν μὲν λέγει τὸ τῶν Μυρμιδόνων ἄστυ, ὅ ἐστιν ἴσως, ἡ Φθία. κρατερὸν δὲ, τὸν Μεγαπένθην. τὴν δὲ Ἑρμιόνην, οὐ μόνον ἀμύμονα, ἀλλὰ καὶ περικαλλεστάτην. φησὶ γάρ. ἡ εἶδος ἔσχε χρυσῆς Ἀφροδίτης. (ηερς. 8.) Τὸ δὲ πέμπειν, πρωτότυπόν ἐστι τῆς θριαμβικῆς πομπῆς. καιρία δὲ ἡ λέξις. διὸ καὶ δὶς αὐτὴν ἐνταῦθα εἶπεν ὁ ποιητής. πρῶτον μὲν, ἁπλῶς εἰπὼν τὴν μὲν ἔπεμπεν. εἶτα καὶ περιφραστικῶς, ἐν ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι. ὃ καὶ μάλιστά ἐστι πομπή. Ἔνθα καὶ ὅρα τὸ νέεσθαι, οὐ νόστον δηλοῦν ἀλλὰ πορείαν ἁπλῶς. (ηερς. 7.) Τὸ δὲ θεοὺς τὸν γάμον ἐκτελεῖν, σύνηθες ἐπὶ εὐδαιμόνων γάμων τῷ μύθῳ, οὕτω γὰρ καὶ οἱ τοῦ Πηλέως γενέσθαι μυθεύονται. Καὶ ὅρα ὅτι τὸ ἐξετέλειον, τελετὴν εἶναί τινα καὶ τὸν γάμον ἐμφαίνει. (ηερς. 10.) Ὁ δὲ ῥηθεὶς Ἀλέκτωρ, Ἀργείου γενεαλογεῖται τοῦ Πέλοπος καὶ Ἡγησάνδρας τῆς Ἀμύκλα. θυγάτδ' αὐτοῦ, Ἰφιλόχη φασὶν ἢ Ἐχέμηλος. Ἰστέον δὲ ὅτι τὸ ἀλέκτωρ, ἐπὶ ὀρνέου οὐκ ἔστιν εὑρεῖν παρὰτῷ ποιητῇ. ἐπὶ δὲ ἡλίου, δοκεῖ αὐτὸ εἰδέναι μετὰ ἐκτάσεως τῆς ἀρχούσης. Ἠλέκτωρ γάρ. δῆλον δ' ἐκ τῶν παλαιῶν, ὅτι τοῦ ἀλέκτωρ ὁ ὄρνις ὃς οὕτω λέγεται διὰ τὸ ἐκ τοῦ λέκτρου ἡμᾶς ἐγείρειν, ἔστι καὶ θηλυκὸν ἡ ἀλεκτορίς. ἤδη δὲ καὶ ἡ ἀλεκτρύαινα ὡς ἐμφαίνει ὁ κωμικός. καὶ ὅτι καθὰ ὁ ὄρνις καὶ ἡ ὄρνις διγενῶς, οὕτω διχῶς καὶ ἀλεκτρυών. καὶ τοῦ μὲν ἀρσενικοῦ, χρήσεις πολλαί. τοῦ δὲ θηλυκοῦ, αὗται παρὰ τῷ Ἀθηναίῳ. πολλαὶ τῶν ἀλεκτρυόνων ὑπηνέμια τίκτουσι. καὶ, αἱ δ' ἀλεκτρυόνες ἅπα 1.142 σαι καὶ τὰ χοιρίδια τέθνηκεν. Ἴων δὲ ὁ τραγικὸς, ἀλέκτορα τὸν αὐτὸν εἶπε, διὰ τὸ ἡδύ. οὗ χάριν, οὐκ ἔχει ὁ ἀκροατὴς λέγεσθαι ἤγουν κοιμᾶσθαι. ἄλλῳ δὲ λόγῳ, ἀλέκτωρ καὶ ἡ ὁμόλεκτρος καθὰ καὶ ἀγάστωρ, ὁ ὁμογάστριος. ἄλλως δὲ πάλιν, παρθένος ἀλέκτωρ, ἡ μὴ πειραθεῖσα λέκτρου. κατὰ τὸ, γενέθλιός ἐστι τῆς ἀλέκτορος Ἀθηνᾶς καὶ ἄδικος, ἡ τῆτες ἡμέρα. γριφώδεις δὲ λέξεις αὗται, δριμύτητος ἰδέαν ὑποκοριζόμεναι. διὸ οὔτε τὸ, ἀλέκτωρ Ἀθηνᾶ τέτριπται, οὔτε τὸ, ἄδικος ἡμέρα καθ' ἣν οὐ κροτεῖται δίκη. τοιοῦτον δὲ καὶ τὸ, ἐκ Δελφῶν ἐπανῆκεν ἄχρηστος. ἤγουν μὴ λαβὼν χρησμόν. καὶ τὸ, ναῦται δὲ, μηρύσαντο νηὸς ἰσχάδα. ἤγουν ἄγκυραν δι' ἧς ἴσχεται ἡ ναῦς. πρὸς ὅπερ ὁμόστοιχον, καὶ τὸ εἰπεῖν τὰς ἀγκύρας, Ἕκτορας πλημυρίδος ἤγουν κυμάτων ἐφεκτικάς. τούτων δὲ γλυκύτερον, τὸ εἰπεῖν ἰοχέαιραν, τὴν ἀσπίδα τὸ ζῷον. καὶ ταῦτα μὲν οὕτω εἰρήσθω. μνηστέον δὲ καὶ Ἀδαίου ὃς περιώνυμος ἦν ἐν τοῖς Φιλίππου ξένοις, ὅτι ἀλεκτρυὼν ἐπεκαλεῖτο. περὶ οὗ Ἡρακλείδης ὁ κωμικὸς παίζων ὡς περὶ ὄρνιθος, λέγει ὅτι ἀλεκτρυόνα τὸν τοῦ Φιλίππου λαβὼν ἀωρὶ κοκκύζοντα καὶ πλανώμενον, κατέκοψεν, οὐ γὰρ εἶχεν οὐδέ πω λόφον. κᾆτα κόψας, μάλα συχνοὺς ἐδείπνισε Χάρης Ἀθηναίους. ὅτε δηλαδὴ ὁ τοιοῦτος Χάρης τοὺς Ἀθηναίους ἐν τῇ ἀγορᾷ εἱστίασε, θύσας ἐπινίκια μάχης τῆς πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοὺς Φιλίππου ξένους, ὧν ὁ ῥηθεὶς Ἀδαῖος ἡγεῖτο. ἔστι δὲ τὸ μὲν ἀωρὶ κοκκύζειν τὸν Ἀδαῖον ἀλεκτρυόνα, τὸ παρὰ καιρὸν ἐπιβαλεῖν τῇ μάχῃ. τὸ δὲ μήπω λόφον ἔχειν, τὸ ἄοπλον ἔτι ὄντα περιπεσεῖν κινδύνῳ. ὡς δὲ τὸ ὄρνεον ὁ ἀλεκτρυὼν, καὶ Ἄρεϊ ἀνέκειτο ὥς που καὶ ἐν τοῖς ἑξῆς φανεῖται, καὶ ὡς ἐν ἱεροῖς ἀνετίθετο, οἱ παλαιοὶ δηλοῦσιν. ἱστορεῖται δὲ καὶ ὅτι ἀλεκτρυὼν εἰσιὼν οἱανδή τινα θύραν, ἐπικλίνει τὸν λόφον. οὗ δὴ ἀλέκτορος καθὰ καὶ ἀλεκτρυόνος, καὶ παρ' ἄλλοις μὲν πολλοῖς χρῆσις. καὶ παρὰ Κρατίνῳ δέ φασιν ἐν τῷ, κοκκύζειν τὸν ἀλεκτρυόνα οὐκ ἀνέχονται. ἤγουν ᾄδειν ὡς αὐτῷ ἔθος. ἐξ οὗ δὴ κοκκύζειν, καὶ ὁ παρ' Ἡσιόδῳ κόκκυξ. καὶ ἐπίῤῥημα κόκκυ παρὰ τῷ κωμικῷ. ὑποβάλλει δὲ τοιοῦτον νοῦν καὶ Σοφοκλῆς φασὶν ἐν τῷ, κοκκοβόας ὄρνις. ἐναργέστερον δὲ, Δίφιλος ἐν τῷ καὶ νὴ Δί' ὄντως εὐθὺς ἐξέπεμπέ με ὀρθριόκοκκυξ ἀρτίως ἀλεκτρυών. καὶ Πλάτων δὲ ἐμφανῶς φασὶν ὁ κωμικὸς ἐν τῷ, σὲ δὲ κοκκύζων ἀλέκτωρ προκαλεῖται. Ὅρα δὲ ὅτι τῶν ἐκ τοῦ λέγω τὸ κοιμῶμαι γεγονότων, ἐνεργητικοῦ μὲν παρακειμένου, τὸ λέχος διὰ ¯ε καὶ ἡ λεχώ. διὰ δὲ τοῦ ¯ο, ἡ ἄλοχος καὶ τὸ λοχεύειν. παθητικοῦ δὲ τρίτου προσώπου, τὸ λέκτρον καὶ ὁ ἀλέκτωρ ἴσως δὲ καὶ ἡ Ἠλέκτρα. καὶ ὁ ἀλεκτρυὼν δέ. Τὸ δὲ ἤγετο κούρην, πάνυ σύνηθες ἐπὶ γάμου λέγεσθαι. τοιοῦτον γὰρ καὶ τὸ, ἠγαγόμην γυναῖκα. εἰς τὸ πᾶν δὲ εἰπεῖν, τὸ ἄγειν καὶ τὰ ἐξ αὐτοῦ, σεμναὶ λέξεις εἰσίν. εἰ δὲ ψεκτὸν ὄνομα ὁ προαγωγὸς ἔτι δὲ καὶ τὸ προαγωγεύειν, πάντως γὰρ οὐκ ἐπαινετὰ ταῦτα εἰσὶν, ἀλλ' αὐτὸ τὸ προάγειν, σεμνότητα ἔχει. ὥσπερ καὶ ἡ προαγωγή. τιμὴν γὰρ αὐτὴ δηλοῖ. οἷον. ὑποδραμὼν τὸν βασιλέα, τῶν φίλων ἐγένετο μεγίστης τυχὼν προαγωγῆς. (ηερς. 11.) Περὶ δὲ τοῦ τηλύγετος, ἱκανῶς ἡ Ἰλιὰς δηλοῖ. νῦν δὲ εἰς τοσοῦτον ῥητέον. ὡς τηλύγετος παῖς παρὰ τοῖς παλαιοῖς, οὐ μόνον μεθ' ὃν οὐκ ἔστι τεκνώσασθαι, ἢ ὁ μόνος υἱὸς ὡς ὁ Μεγαπένθης ἐνταῦθα τῷ Μενελάῳ, ἀλλὰ καὶ ὁ τῆλε ὄντι τῷ πατρὶ γεννηθεὶς, ἢ καὶ αὐξηθεὶς μετὰ γέννησιν. παράδειγμα τοῦ πρώτου, Τηλέγονος ὁ ἐκ Κίρκης τῆλέ που γεννηθεὶς τῷ Ὀδυσσεῖ. ὅθεν καὶ τοὔνομα ἔσχε. τοῦ δὲ δευτέρου, Ὀρέστης τε ὁ Ἀγαμεμνονίδης καὶ ὁ τοῦ Ὀδυσσέως Τηλέμαχος. ᾧ τοὔνομα οὕτως ἔπεσεν, ἐπειδὴ τῆλε μαχομένου τοῦ πατρὸς ἐτράφη. (ηερς. 12.) Ἰστέον δὲ ὡς ἐπειδὴ τῇ Ἑλένῃ γεννησαμένῃ τὴν Ἑρμιόνην οὐκ ἔτι γόνος ἐφαίνετο, εἴη ἂν καὶ αὐτὴ τηλυγέτη τοῖς τεκοῦσιν, οἷα μόνη θυγάτηρ. ὡς καὶ ὁ Μεγαπένθης, μόνος υἱός. Ἔτι ἰστέον, καὶ ὡς ἐν τούτοις καινόσχημόν ἐστι κατὰ σύνταξιν τὸ, υἱέϊ δὲ ἤγετο κούρην ὅς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης. τὸ γὰρ κοινῶς ἀκόλουθον ἦν, υἱέϊ κρατερῷ Μεγαπένθει. ὁ δὲ, καινότερον ἀπέδωκεν αὐτὸ πρὸς τὸ, ὃς τηλύγετος γένετο. Τὴν δὲ διαληφθεῖσαν δούλην, Ζευξίππου τέ τινος εἶπον θυγατέρα, καὶ κύριον αὐτῆς ἐξέθεντο ὄνομα. οὗ τὸ ἀκριβὲς, ἀφανὲς ἐν τοῖς παλαιοῖς ὑπομνήμασιν. καὶ ὁ τῶν νόστων δέ φασι ποιητὴς, κύριον ὄνομα λέγει τὸ, δούλης. διὰ τὸ μηδέ ποτε λέγειν τὸν ποιητὴν δούλας τὰς θεραπαίνας, ἀλλὰ δμωὰς ἢ δμωΐδας. διὸ καὶ τὸ, εἰσόκέ σε ἢ ἄλοχον ποιήσεται ἢ ὅγε δούλην, ἀθετεῖται κατὰ τοὺς παλαιούς. (ηερς. 11.) Ὅρα δὲ καὶ ὡς εἰ καὶ μὴ ἐφαίνετο τῇ Ἑλένῃ γόνος ἐπεὶ ἐγείνατο τὴν Ἑρμιόνην, ἀλλ' ἐκ τῆςδούλης ἀνεπληρώθη τὸ ἐκ τῆς Ἑλένης ἐλλεῖπον τῷ Μενελάῳ. ἔσχε γὰρ ἐξ ἐκείνης υἱὸν τὸν Μεγαπένθην. ὃς ἔοικεν ἁρπαγείσης τεκνωθῆναι τῆς Ἑλένης. διὸ καὶ φερωνύμως ὠνομάσθαι διὰ τὸ μέγα πένθος εἶναι 1.143 τότε τῷ τοῦ Μενελάου οἴκῳ. Ἔτι ὅρα καὶ ὡς ἦν μὲν διὰ πλεῖον κάλλος, ἄπαιδα μεῖναι τὴν Ἑλένην. ἐπεὶ δέ φασι δύσδαιμον ἡ ἀτεκνία, γεννᾷ εἰσάπαξ, καὶ οὐκ εἰς δεύτερον, ἵνα τὸ κάλλος αὐτῇ ὡς ἐῤῥέθη φυλάττηται. θηλυγονεῖ δὲ, ὡς ἂν ἔχῃ χαίρειν αὐτὴ τῷ ὁμοίῳ. Ἰστέον δὲ ὅτι κατὰ Πορφύριον, καὶ ἕτερος Μεγαπένθης ἦν παλαιὸς, ἀπόγονός φησιν Αἰγύπτου ἀδελφοῦ Δαναοῦ. κληθεὶς οὕτω, διὰ τὸ πενθῆσαι τὸν Προῖτον ἐπὶ τῇ μανίᾳ τῶν θυγατέρων. ἃς ὁ Μελάμπους καθήρας, ἔλαβε τὰ δύο μέρη τῆς ἐκείνου βασιλείας, καὶ τῷ ἀδελφῷ Βίαντι ἔδωκεν. ἔσται δέ τις μνήμη τῆς τοιαύτης ἱστορίας, καὶ ἐν τοῖς ἑξῆς. (ηερς. 16.) Ὅτι ἐν τῷ, δαίνυντο γείτονες ἠδὲ ἔται Μενελάου τερπόμενοι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαφορὰ δηλοῦται τῶν λέξεων. γείτονες μὲν γὰρ, οἱ πλησιασταὶ μόνοι. ἔται δὲ, οἱ καὶ ἄλλως συνήθεις. δῆλον δὲ ὅτι καὶ ὁ γείτων ὡς ἐθὰς, ἔτης ἂν εἴη καὶ αὐτός. διὸ πρὸ βραχέων ἐν τῷ, δαινύντα γάμον πολλοῖσιν ἔτῃσιν, οἱ ἔται, καὶ τοὺς γείτονας περιεῖχον εἰ καὶ ἐνταῦθα διωρίσθησαν. ψιλοῦται δὲ τὸ ἔτης κατὰ τοὺς παλαιοὺς, εἴτε ἐπὶ πολίτου εἴτε ἐπὶ ἑταίρου λέγεται. δῆλον δὲ καὶ ὅτι ἀπὸ τοῦ ἔθους, οὐ μόνον ὁ ἑταῖρος καὶ ὁ ἔτης, ἀλλὰ φανερῶς καὶ ὁ ἐθάς. ὃν τινὲς, καὶ ἠθάδα λέγουσιν ὥς φησιν Αἴλιος Διονύσιος. ὅτι δὲ ψιλοῦται τὸ ἔτης, κάλλιον ἐν τῇ Ἰλιάδι γέγραπται. (ῃερς. 18.) Ὅτι ἐν τῷ τοῦ Μεγαπένθους γάμῳ, τοῖς δαινυμένοις ἐμέλπετο θεῖος ἀοιδὸς φορμίζων. δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσον. ὅ ἐστι κατὰ δῖνον ἐστρέφοντο. Καὶ ὅρα ὅτι τε θεῖόν τι κἀνταῦθα ὁ ἀοιδὸς, καὶ ὡς οὐδέν τι φορτικὸν καὶ ἀπᾷδον οὐδ' ἐν τούτοις ὁ βασιλικὸς ἔχει γάμος, ἀλλ' ἀρκεῖται ὀρχήσει καὶ μολπῇ. Τὸ δὲ ἐμέλπετο καὶ τὸ μολπὴ, τρόπος ἐτυμολογίας ἐστίν. Ἐνταῦθα δὲ, σημείωσαι τὰ τοῦ Ἀθηναίου. εἰπόντος ἐν τῇ κατὰ τὸν Μενέλαον γαμοποιΐᾳ μὴ συνέντες οἱ περὶ Ἀρίσταρχον ὅτι τῶν ἀκμαίων ἡμερῶν παρεληλυθυιῶν τοῦ γάμου, μονάζοντες διῃτῶντο οἱ βασιλεῖς. ἀλλ' ἐξαπατηθέντες ὑπὸ τοῦ πρώτου στίχου λέγοντος, τόν δ' εὗρον δαινύντα γάμον πολλοῖσιν ἔταισι, προσσυνῆψαν τοιαῦτα ἔπη. ὣς οἱ μὲν δαίνυντο. καὶ ἑξῆς πέντε στίχους τούτους. παραγράψαντές φησιν ἐκ τοῦ Κρητικοῦ χοροῦ τῆς ἐν Ἰλιάδι ὁπλοποιΐας σὺν αὐτῷ τῷ περὶ τὴν λέξιν ἁμαρτήματι. οὐ γὰρ ἐξάρχοντές φησιν οἱ κυβιστητῆρες ἀλλὰ πάντως ἐξάρχοντος τοῦ ᾠδοῦ, ὠρχοῦντο. τὸ γὰρ ἐξάρχειν, τῆς φόρμιγγος ἴδιον. διὸ Ἡσίοδος ἐν ἀσπίδι φησί. θεαί δ' ἐξῆρχον ἀοιδῆς Μοῦσαι. Καὶ Στησίχορος δὲ, καλεῖ τὴν Μοῦσαν ἀρχεσίμολπον. καὶ Πίνδαρος, ἀγησίχορα τὰ προοίμια. ἔτι φησὶν ἐν τοῖς ῥηθεῖσιν, ἀνίατον παντάπασι τὸ ἐξάρχοντες, μὴ δυναμένης τῆς ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶς σώζεσθαι. κεῖται δέ φησιν κρεῖττον ἐν Ἰλιάδι, προηγουμένου τοῦ, πολύς δ' ἱμερόεντα χορὸν περιΐσταθ' ὅμιλος. Διόδωρος δέ φησιν ὁ Ἀριστοφάνειος, ὅλον τε τὸν γάμον περιγράφει. ἤγουν ἀθετεῖ. ἐκβάλλει. καὶ κελεύει γράφειν, δοιὼ δὲ κυβιστητῆρε καθ' αὑτούς. σολοικίζειν φησὶν ἀναγκάζων ὁ ῥηθεὶς δηλαδὴ Διόδωρος. τὸ μὲν γὰρ κατ' αὐτοὺς, κατὰ σφᾶς ἔστιν αὐτούς. τὸ δὲ λέγειν ἑαυτοὺς, σόλοικον. Καὶ ὅρα ὅτι λελήθασι σολοικίζοντες ὡς Ἀθήναιος βούλεται, οἱ λέγοντες ἑαυτοῖς καὶ ἑαυτοὺς καὶ ἑαυτῶν. αἴτιον δ' ὅτι ἐν ἑνικοῖς μὲν, τὸ ἑαυτοῦ καὶ ἑαυτῷ καὶ ἑαυτὸν, ἐκ δύο ἕκαστον ὁμοιοπτώτων γενικῶν σύγκεινται, οἷον ἕο αὐτοῦ. ἑοῖ αὐτῷ. ἓ αὐτόν. ὁποῖόν τι καὶ τὸ, ἓ ἕδ' αὐτὸν ἐποτρύνει μάχεσθαι. συναιρεθέντα δὲ, ποιοῦσι τὸ ἑαυτοῦ ἑαυτῷ ἑαυτὸν. ἐπὶ δέ γε πληθυντικῶν πτώσεων τοῦ, αὐτῶν αὐτοῖς αὐτοὺς, οὐκ ἔχει χώραν συνθέσεως ἡ ἀντωνυμία τὸ ἓ. ἀλλ' ὁ προσθέμενος αὐτὴν ἀνομοιόπτωτον οὖσαν τοῖς τοιούτοις πληθυντικοῖς, οὐ ποιεῖ καθ' Ἕλληνας. ὥσπερ οὐδὲ ὁ τολμήσας εἰπεῖν ἐμαυτοὺς ἢ σαυτῶν ἤ τι τοιοῦτον. διὸ κάλλιον ἐν τοῖς τοιούτοις ἀρκεῖσθαι τῇ τῆς ἀρχούσης δασείᾳ. καὶ ἀντὶ τοῦ, ἑαυτοῖς καὶ ἑαυτοὺς, δασύνειν τὸ ἄλφα πρὸς διαστολὴν τῶν κατ' ἄλλην ἔννοιαν ψιλουμένων. ὃ δὴ ποιοῦσιν ἀξιολόγως, οἱ γράφοντες τὸ καθ' αὑτοὺς καὶ καθ' αὑτὸ καὶ καθ' αὑτά. καὶ ὅσα τοιαῦτα. πλὴν ἐπειδὴ πολλῶν καὶ πολλοῦ λόγου ἀξίων ἀνδρῶν χρωμένων καὶ ταῖς εἰρημέναις συνθέτοις πληθυντικαῖς ἀντωνυμίαις, οὐκ ἔστι σολοικίαν καταλέγειν ἁπάντων, ῥητέον ὅτι οὐκ ἀναμφιλέκτως σύνθεσις ἀντωνυμιῶν δύο προήγαγε τὸ, ἑαυτῶν ἑαυτοῖς ἑαυτοὺς. ἀλλ' ὡς ἁπλαὶ λογίζονται μετὰ πάθους πλεονασμοῦ, δοκεῖ γὰρ δασυνθέντων ὡς ἐῤῥέθη τοῦ, αὑτῶν αὑτοῖς αὑτοὺς, προκαθεσθῆναι πλεονάσαν τὸ ¯ε. καὶ αὐτίκα ἐφελκύσασθαι εἰς ἑαυτὸ τὴν δασεῖαν τῆς ¯α¯υ διφθόγγου πρὸς ὁμοιότητα τοῦ, ὥρακα ἑώρακα. καὶ τῶν ὁμοίων. καὶ οὕτω παῤῥησιάσασθαι ὁμοίως ταῖς ὡς λέλεκται δασυνομέναις δισυλλάβοις ἀντωνυμίαις, καὶ τὰς τρισυλλάβους. (ῃερς. 24.) Ὅτι βιωτικὸν καὶ ἀφελὲς τὸ διὰ θεράποντος αὐτῷ δὴ τῷ βασιλεῖ ἀγγελθῆναι τὴν τῶν 1.144 ξένων ἔλευσιν. φησὶ γὰρ ὅτι κρείων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐτεωνεὺς ὀτρηρὸς θεράπων Μενελάου ἔβη ἀγγελέων ποιμένι λαῶν. ἀγχοῦ δ' ἱστάμενος ταυτόν δ' εἰπεῖν παριστάμενος, ἔφη. ξείνω δή τινε τώ γε διοτρεφὲς ὦ Μενέλαε ἄνδρε δύω καὶ ἑξῆς. ποιεῖ δὲ καὶ ποικιλίαν ἡ διὰ τοῦ Ἐτεωνέως ἀγγελία. ἵνα τῷ Νέστορι μὲν, αὐτόματοι ἐντύχωσιν οἱ νέοι. τῷ Μενελάῳ δὲ, δι' ἀναφορᾶς. Καὶ ὅρα εἰσβολὴν λόγου διηγηματικὴν ἀφελῆ, ἐν τῷ, ξείνω δή τινε τώ γε. Κρείοντα δὲ τὸν ῥηθέντα θεράποντα λέγει, ὡς βασιλικὸν ἄνδρα. ἢ καὶ ὡς τῶν συνθεραπόντων ὑπερέχοντα οὓς κέκλεται μετ' ὀλίγα, σπέσθαι αὐτῷ. δηλοῖ δὲ ἡ λέξις φανερῶς, καὶ μὴ δὲ δοῦλον εἶναι τὸν θεράποντα. οὐ γὰρ ἂν εἴη κρείων ὁ δοῦλος. καὶ μὴν ἄλλως, οὐ καινὸν κρείοντα εἰρῆσθαι θεράποντα, εἴγε καὶ δοῦλος ἐν τοῖς μετὰ ταῦτα πιστὸς, ὄρχαμος ἀνδρῶν λεχθήσεται, ἤτοι κρείων. οὗ παραγωγὴ, ἐκ τοῦ κρατῶ κρατείω. καθά φασι καὶ γαμείων, ἐκ τοῦ γαμείω. (ῃερς. 27.) Τὸ δὲ δύω, περιττὸν καὶ ἐνταῦθα κεῖται, ὡς καὶ ἐν τῷ, δύω κοσμήτορε. καὶ ἐν ἄλλοις. ἴσως δὲ, καὶ διὰ σαφήνειαν. ἵνα τὸ, ξείνω τώ γε ἄνδρε, καθαρῶς νοηθῶσι δυϊκὰ διὰ τὸ ἔστιν οὗ καὶ ἐπὶ πληθυντικῶν τὰ τοιαῦτα λαμβάνεσθαι. καθὰ καὶ τὰ πληθυντικὰ, πολλάκις κεῖνται ἀντὶ δυϊκῶν. Ὅτι τὸ μὲν ἐΐκτην ἐν Ἰλιάδι, ἀπὸ ὑπερσυντελίκου ἦν, διὸ καὶ ἀμοιβῇ τοῦ ¯ο εἰς ¯η προήνεκτο. ἐνταῦθα δὲ τὸ, γενεῇ Διὸς μεγάλοιο ἐΐκτον, παρακειμένου ἐστὶ χρόνου τρίτον δυϊκόν. διὸ καὶ ὁμοφωνεῖ τῷ δευτέρῳ. ἔστι δὲ πρῶτον ἑνικὸν τούτου, τὸ εἶκα καὶ κατὰ διάλυσιν ἔϊκα. οὐκ ἂν δὲ πεζογραφῶν τις, ἐρεῖ οὔτε τὸ ἔϊκτον, οὔτε τὸ ἐΐκτην. (ῃερς. 28.) Ὅτι τὸ καταλύσομεν ὠκέας ἵππους, ἀντὶ τοῦ, ἀποζεύξομεν. λύσομεν τοῦ ἅρματος. ὅθεν μετηνέχθη καὶ τὸ καταλύειν ἀντὶ τοῦ ξενοδοχεῖσθαι. καὶ ὁ τῆς ξενίας δὲ τόπος, ἐντεῦθεν λέγεται κατάλυμα, ἐν ᾧ δηλαδὴ τὰ ὑποζύγια ἢ τὰ φορτία λύονται. διὸ μετ' ὀλίγα φησὶν, ἀλλὰ λύε ἵππους, τοῦ ζυγοῦ δηλαδή. ἄλλως γὰρ, δεθήσονται αὖθις πρὸς ταῖς φάτναις. (ῃερς. 31.) Ὅτι ὥσπερ Πάνθοος κύριον ἐξ οὗ Πανθοΐδης πατρωνυμικὸν καὶ ἐν συναιρέσει Πανθοίδης Πολυδάμας. οὕτω καὶ ὧδε Βοηθοΐδης Βοηθοίδης ὁ Βοηθόου υἱὸς Ἐτεωνεύς. ὁμώνυμος δὲ λέξις ὁ βοηθόος. ἄνδρα τε γὰρ δηλοῖ μάχιμον ἐξ οὗ καὶ βοηθόον ἅρμα ἐν Ἰλιάδι, καὶ κύριον δὲ ἐνταῦθα ὄνομα, ὃ συγκοπὲν, τὸν παρὰ τοῖς ὕστερον βοηθὸν ἐποίησεν. Ὁ δὲ Ἐτεωνεὺς, Ἐτεωνῷ πόλειπαρωνόμασται. περὶ ἧς ἡ Βοιωτία δηλοῖ. (ῃερς. 32.) Ὅτι ἐπὶ συνετοῦ μὲν ἀνάξια δὲ λέγοντος ὧν χρὴ, οἰκεῖον εἰπεῖν τὸ, οὐ μὲν νήπιος ἦσθα τοπρίν. ἀτὰρ μὲν νῦν γε παῖς ὣς νήπια βάζεις. πρὸς Ἐτεωνέα δὲ τὸν θεράποντα φησὶν ὁ Μενέλαος τοῦτο, ἐρωτῶντα εἰ τοὺς ξένους εἰσακτέον. (ηερς. 33.) Λέγων καὶ ὅτι ἡμεῖς ξένια πολλὰ φαγόντες ἄλλων ἀνθρώπων, δεῦρ' ἱκόμεθα. λόγος δὲ οὗτος εὐχαρίστου πλάνητος, ὁμολογοῦντος τὴν ξενίαν. (ῃερς. 35.) Προστίθησι δὲ ὁ Μενέλαος καὶ τὸ, αἴκε ποθὶ Ζεὺς ἐξοπίσω περ παύσει ὀϊζύος. ἔοικε γὰρ εἶναι δύσελπις ἕως τὴν Ἑλένην ἔχει. (ῃερς. 31.) Ἰστέον δὲ ὅτι τὸ, οὐ μέν τι νήπιος ἦσθα ὦ δεῖνα, ἀπεναντίας ἐσχημάτισται πρὸς τὸ, νήπιος εἶς ὦ ξεῖνε. ὃ ἐν τοῖς μετὰ ταῦτά που κεῖται. (ῃερς. 35.) Ὅτι φιλοξένου λόγος τὸ, ἀλλὰ λύε ἵππους ξείνων. ἐς δ' αὐτοὺς προτέρω ἄγε θοινηθῆναι. ἔστι δὲ τὸ προτέρω ἀντὶ τοῦ προσωτέρω. (ηερς. 39.) Ὅτι καταλύσεως ξενικῆς φραστικὸν τό, οἵ δ' ἵππους λῦσαν ὑπὸ ζυγοῦ ἱδρόωντας. καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἱππείῃσι κάπῃσι. Πάρ δ' ἔβαλον ζειάς. ἀνὰ δὲ κρῖ τουτέστι κρίμνον λευκὸν ἔμιξαν. ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα. αὐτούς δ' εἰσῆγον θεῖον δόμον. τοιοῦτος δ' ἐνταῦθα ὁ τοῦ Μενελάου. διὸ καὶ ἰδόντες, θαύμαζον κατὰ δῶμα οἱ ξένοι ἐφ' οἷς ἑρμηνεύων πῶς θεῖος ὁ ῥηθεὶς δόμος ἐπάγει, ὥστε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης δῶμα καθ' ὑψερεφές. προιὼν δὲ σαφέστερον ἑρμηνεύσει τὸ τοῦ δόμου θεῖον, εἰπὼν τοιαύτην εἶναι τὴν τοῦ Διὸς αὐλήν. ἐκθήσει δὲ καὶ τὴν ἐκτιμίας ὕλης τοῦ δόμου λαμπρότητα. καὶ τοιαῦτα μὲν ταῦτα. ἐν δὲ τῷ, λῦσαν ὑπὸ ζυγοῦ ἀντὶ τοῦ ὑπέλυσαν, ὅρα ὅτι ὃ φθάσας εἶπε λύειν ἵππους καὶ καταλύειν, τοῦτο καὶ ὑπολύειν ἔφη. (ῃερς. 40.) Ἱππείας δὲ κάπας φησὶ, πρὸς διαστολὴν τῶν βοείων. κάπη δὲ ἡ φάτνη, παρὰ τὸ κάπτω τὸ χανδὸν ἐσθίω,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅθεν καὶ τὸ ἀνέκαψε παρὰ τῷ κωμικῷ. ἀφ' οὗ, ἔγκαφος ὁ ψωμὸς, ἤτοι βλωμός. ὡς Εὔπολις. οὐ γὰρ λέλειπται τῶν ἐμῶν οὐδ' ἔγκαφος. οἱ χυδαῖοι δὲ, τὸ τοιοῦτον κάπτω, χάπτω φασί. (ῃερς. 41.) Περὶ δὲ τοῦ κρῖ λευκὸν καὶ τοῦ, ἐνώπια παμφανόωντα, δηλοῖ τὰ εἰς τὴν Ἰλιάδα, ὁμοίως δὲ καὶ περὶ τοῦ παραβαλεῖν. Τὸ δὲ ζειὰς ἀναμιγνύειν κριθῇ, ἔθος ἱπποκομικόν. (ῃερς. 45.) Τὸ δὲ ἠλίου αἴγλη ἢ σελήνης, σημειοῦνται οἱ παλαιοὶ, διὰ τὴν ἀπὸ συγκριτικοῦ 1.145 ὕψους κατάβασιν πρὸς τὸ ταπεινότερον. ἔδει γάρ φασι σελήνην εἰπεῖν πρῶτα, εἶτα εἰς τὸν ἥλιον ἐπαναβῆναι, ὡς ἂν προκόπτῃ τὰ τῆς συγκρίσεως. ἔστι δ' εἰπεῖν, ὅτι πιθανῶς ὁ ποιητὴς ἐκ τοῦ μείζονος εἰς τὸ ἧττον κατέβη, ὡς ἂν μᾶλλον ὁ λόγος πιστεύοιτο. (ῃερς. 46.) Τὸ δὲ ὑψερεφὲς, κατὰ φύσιν γέγραπται καθὰ καὶ ὁ ἐρετμός. ὅτε μέντοι γράφοιτο ὑψηρεφὲς, ἐκτέταται ὡς τὸ ἐπήρετμοι. (ῃερς. 47.) Ὅτι ἐπὶ τῶν μετὰ θέαν λουομένων εἶτα δαινυμένων, καλὸν εἰπεῖν τὸ, αὐτὰρ ἐπὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν, ἔς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας, λούσαντο. τούς δ' ἐπεὶ οὖν αἱ δεῖνα λοῦσαν ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον, ἠδὲ χιτῶνας, ἔς ῥα θρόνους ἕζοντο καὶ τὰ ἑξῆς. φιλόφρονος δὲ ἀνδρὸς λόγος τὸ, σίτου ἅπτεσθον καὶ χαίρετον. αὐτὰρ ἔπειτα δείπνου παυσαμένω, εἰρησόμεθα. ἔστι δ' ἐν τούτοις τὸ κατὰ σιωπὴν σχῆμα, καθὸ λούονται οἱ βασιλικοὶ ξένοι κατὰ σιωπηρὰν τοῦ βασιλέως κέλευσιν. Ὅρα δὲ τὸ, τάρπησαν ὁρώμενοι ὀφθαλμοῖς, ἀντὶ τοῦ ὁρῶντες. παθητικῶς ῥηθὲν καθ' ὁμοιότητα τοῦ, θνήσκοντας ὁρᾶτο. διττὸς δὲ ὁ νοῦς. ἢ γὰρ ἐτάρπησαν ἐν ὀφθαλμοῖς. ἢ ὁρῶντες τοῖς ὀφθαλμοῖς. (ῃερς. 48.) Ἀσάμινθος δὲ, ἡ πύελος ἤτοι λεκάνη, παρὰ τὸ τὴν ἄσιν ὅ ἐστι τὸν ῥύπον μινύθειν ἤγουν ἐλαττοῦν. τὴν δὲ ἄσιν, ἧς ἡ χρῆσις ἐν Ἰλιάδι, διφοροῦσιν οἱ παλαιοί. καὶ διὰ διχρόνου γράφοντες καὶ διὰ τοῦ ¯η. καὶ ἔχει καὶ ἡ διὰ τοῦ ἦτα γραφὴ λόγον, διὰ τὸ ἄλφα τὸ κείμενον ἐν τῇ προπαραληγούσῃ τοῦ ἀσάμινθος δωρικώτερον. ὅσον γὰρ ἐκ τοῦ ἄσις, ἀσίμινθος ὤφειλεν εἶναι. ὅτι δὲ χαίρουσι Δωριεῖς τῇ τοῦ ¯η εἰς ¯α μεταποιήσει, δῆλον μὲν καὶ ἐξ ἄλλων. οὐ μὴν δὲ, ἀλλὰ καὶ ἐκ τῶν Αἰλίου Διονυσίου. ὃς ἀχέτην ἐκτίθησι τὸν ἠχητικὸν τέττιγα. καὶ κάλην τὴν κήλην. καὶ καλήτην φησὶν οὐχὶ κηλήτην. εἰ δὲ αὐτὸς Ἀττικὰ ταῦτα εἶναι φησὶν, ἀλλὰ τὸ δᾶμος ἐπὶ δήμου καὶ κλᾶρος ἐπὶ κλήρου καὶ ὅσα τοιαῦτα φανερῶς Δωρικά. Ὅρα δὲ ὡς οὐ παρεσημήνατο μὲν ὁ ποιητὴς ἐνταῦθα ὁποίῳ ὕδατι λούονται οἱ βασιλικοὶ παῖδες, εἴτε δηλαδὴ θερμῷ εἴτε ψυχρῷ. ὑποβάλλουσι δὲ αἱ κατ' οἶκον ἀσάμινθοι, θερμὰ νοεῖν λουτρὰ, ὁποίοις ὡς μάλιστα οἱ Φαίακες ἔχαιρον, ψεκτοῖς γε οὖσιν ὡς τὰ πολλά. ὡς δηλοῖ καὶ Ἀθήναιος ψόγον γράφων τοῦ θερμολουτεῖν. ἱστορῶν δὲ καὶ ὡς τὰ βαλανεῖα, οὐδ' ἐντὸς τῆς πόλεως ἤθελον εἶναι οἱ παλαιοί. αὐτὸς δὲ καὶ εἰς ἔπαινον ἄλλως λουτροῦ στρέφων τὴν γλῶσσαν, λέγει ὅτι ἴσασιν ἥρωες καὶ λουτρὰ ἄκη πόνων, παντοῖα. κόπον μὲν, θαλάττῃ λύοντες. ἣ μάλιστα τοῖς νεύροις ἐστὶ πρόσφορος. ἀναχαλῶντες δὲ ταῖς ἐμβάσεσι, τὰς τῶν μυῶν συντάσεις. εἶτα ἐπαλείφοντες λίπα πρὸς τὸ μὴ ξηρανθέντος τοῦ ὕδατος ἀπεσκληρύνθαι τὰ σώματα. ὡς οἱ ἀπὸ τῆς σκοπιᾶς ἐπανελθόντες ἐν Ἰλιάδι ποιοῦσι. λύει δὲ κάματον, καὶ καταιόνησις ἡ κατὰ κεφαλῆς. οἷον θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμου. αἱ γὰρ ἐμβάσεις περικεχυμένου πάντοθεν τοῖς πόροις τοῦ ὕδατος, φράττουσι τὴν τῶν ἱδρώτων ἔκκρισιν. καθά περ ἂν εἴ τις ἠθμὸς εἰς ὕδωρ βληθῇ. διέξεισι γὰρ οὐδὲν, εἰ μή τις αὐτὸν μετεωρίσας, ἀναψυχὴν τοῖς πόροις καὶ διέξοδον εἰς τὰ ἔξω παράσχῃ. Ὅτι δὲ τὸ λούειν καὶ λοέειν διαλελυμένως λέγεται καθὰ καὶ τὰ λουτρὰ λοετρὰ, καὶ ὁ τόπος αὐτῶν οὐ μόνον βαλανεῖον ἀλλὰ καὶ λουτρὼν οὗ γενικὴ λουτρῶνος τύπῳ περιεκτικῷ κοινότερον, δῆλον ἐκ τῶν παλαιῶν. (ῃερς. 51.) Οὗλαι δὲ χλαῖναι τίνες οἰσὶ, καὶ ἀλλαχοῦ δηλοῦται. ὅτι δηλαδὴ αἱ ὑγιεῖς, παρὰ τὸ ὅλον. ἢ τριχωταὶ, παρὰ τὸ τῆς τριχὸς οὖλον. ἢ εὔκλωστοι παρὰ τὸ εἰλεῖν. ἃς ἀμφιβάλλονται οἱ Ὁμηρικοὶ ἄρτι νεανίαι ἤγουν ἐνδύονται. ἄλλως γὰρ τὸ ἀμφιβάλλειν ἐπὶ ἐνδοιασμοῦ, οὐκ οἶδεν ὁ ποιητής. Θρόνος δὲ ὅτι ἐλευθέριός ἐστι καθέδρα σὺν ὑποποδίῳ. καὶ ὅτι θρῆνυν τὸ ὑποπόδιον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλοῦντες, ἐντεῦθεν καὶ τὸν θρόνον ὠνόμασαν, τοῦ θρήσασθαι χάριν ὅπερ ἐπὶ τοῦ καθέζεσθαι λέγουσιν, ὁ Ἀθήναιος λέγει. παρ' ᾧ καὶ χρῆσις Φιλήτα, τὸ θρήσασθαι δὲ πλατάνῳ γαίῃ ὕπο. ὁ δέ γε κλισμός φησι, περισσοτέρως κεκόσμηται ἐπὶ ἀνακλίσει. διορισμὸς δὲ τούτων, ἐν τῷ, κατὰ κλισμούς τε θρόνους τε. τούτων δ' εὐτελέστερον, ὁ δίφρος. τῷ γοῦν Ὀδυσσεῖ ἐπαίτῃ δοκοῦντι, δίφρος ἀεικέλιος παρατίθεται ὀλίγη τε τράπεζα. ἴσως δὲ ἐκεῖ τὸ ἀεικέλιος, διαστολήν τινα δηλοῖ. ὡς ὄντος δίφρου καὶ μὴ ἀεικελίου. (ῃερς. 59.) Ἐν τούτοις δὲ κεῖται ὡς καὶ ἀλλαχοῦ, τὸ δείκνυσθαι ἀντὶ τοῦ δεξιοῦσθαι, ἀπὸ τοῦ δέκω δέξω ὅθεν καὶ ἡ δεξιά. φησὶ γάρ. τὼ καὶ δεικνύμενος, προσέφη Μενέλαος. (ῃερς. 62.) Ὅτι φυσιογνωμικῶς ἀπὸ τοῦ εἴδους στοχάζεται ὁ Μενέλαος, εὐγενεῖς εἶναι τοὺς παραβαλόντας νεανίας. εἰπών. οὐ γὰρ σφῷν γε, γόνος ἀπόλωλε τοκήων. ἀλλ' ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων σκηπτούχων. ἐπεὶ οὔ κε κακοὶ τοιούσδε τέκοιεν. ἐπὶ εὖ δὲ γεγονότων καὶ περιφανῶν ἁρμόζει ὁ λόγος. Ἰστέον δὲ ὅτι ἐν τῷ οὐ γὰρ σφῷν γε, 1.146 βούλονται οἱ παλαιοὶ σὺν τῷ ἰῶτα γράφειν τὸ σφῷν, ἵνα δηλοῖ τὸ σφῶϊν δυϊκὸν. ἐν δὲ τῷ, οὐκ ἂν κακοὶ τοιούσδε τέκνοιεν, κακοὺς λέγει, τοὺς δυσγενεῖς. (ῃερς. 65.) Ὅτι νῶτα βοὸς παρὰ πίονα θῆκε τοῖς βασιλικοῖς νέοις ὁ Μενέλαος ὅπτ' ἐν χερσὶν ἑλὼν, τὰ ῥά οἱ γέρα πάρθεσαν αὐτῷ. ἐνταῦθα δέ φασιν οἱ παλαιοὶ, ὅτι ἔοικε, τοῖς βασιλεῦσι μείζων μοῖρα παρατίθεσθαι εἰς γέρας. ἀφ' ἧς εἶχον ἂν καὶ ἄλλοις ἐπιδιδόναι, ὡς νῦν ποιεῖ ὁ Μενέλαος, τοῖς ξένοις παρατιθεὶς τὸ ἑαυτοῦ γέρας. καὶ Ἀγαμέμνων δὲ ἐν Ἰλιάδι νώτοις γεραίρει τὸν Αἴαντα. ὅθεν καὶ Λυκοῦργος τοῖς Λακεδαιμονίων βασιλεῦσι διμοιρίαν ἐνομοθέτησε δίδοσθαι, παρελκύσας φασὶν ἐξ Ὁμήρου τὸ νόμιμον. Ὅρα δὲ καὶ νῦν εὐτέλειαν δαιτὸς βασιλικῆς. οὐ γάρ τι χλιδανὸν αὐτῷ παρατέθειται, ἀλλὰ νῶτα βοός. καθὰ καὶ παρ' ἄλλοις γίνεται. πίονα μέντοι, ὡς ἂν τοῦτό γε τρυφερὸν γέρας εἴῃ τῷ βασιλεῖ. (ῃερς. 66.) Ὡς δὲ τὰ μὲν ἑφθὰ ἐκ τοῦ ἕπω γίνεται, ἵνα εἶεν ἑπτὰ τὰ περιεπόμενα χάριν βρώσεως, καὶ διὰ συνεμπτώσεως ἀποφυγὴν τῆς πρὸς τὸν ἑπτὰ ἀριθμὸν, ἑφθὰ, τραπέντος τοῦ ¯τ εἰς ¯θ καὶ αὐτίκα καὶ τοῦ ¯π εἰς ¯φ ἵνα δασὺ δασέος ἡγῆται κατὰ γραμματικὸν κανόνα, τὰ δὲ ἑψητὰ ἐκ τοῦ ἕπω ἕψω γίνεται μεταπεσόντος εἰς τὸ ἑψῶ ἑψήσω, τὰ δέ γε ὀπτὰ ἐκ τοῦ ὀπτητὰ συγκέκοπται, δηλοῦται καὶ ἀλλαχοῦ. δῆλον δ' ὅτι οὐ μόνον ὀπτοῖς ἀλλὰ καὶ ἑφθοῖς ἐχρῶντο κρέασιν οἱ ἥρωες, καὶ φαίνεται αὐτὸ, ἔκ τε τοῦ λέβητος ὃς ἐν παραβολῇ ζέει ἕψων ἁπαλοτρεφέα σίαλον, καὶ ἐκ τοῦ βοείου ποδὸς ὃς ἀφείθη κατὰ τοῦ Ὀδυσσέως ἐπιτραπέζιος κείμενος. πόδα γάρ φασι βόειον οὐδεὶς ὀπτᾷ. Πρὸς δὲ τὸ ὡς ἐῤῥέθη, ἑπτὰ εἶτα ἑφθὰ ὁμοιότητα περισώζει καὶ τὸ τίφθ' οὕτως ἀντὶ τοῦ τί ποτε οὕτως. καὶ τὸ ἐπιφθύζειν παρὰ Θεοκρίτῳ, γενόμενον ἐκ τοῦ πτύειν. καὶ τὸ ἐτύφθην ἐκ τοῦ τύπτω. καὶ τὸ ἐβλάφθην ἐκ τοῦ βλάπτω. κατ' ἄλλον δὲ λόγον, καὶ τὸ τέθριππον. καὶ τὸ φροίμιον. καὶ ὁ φροῦδος. καὶ ἡ φρουρὰ καὶ ἄλλα μυρία ὅσα. ὧν ἀπέοικεν ὥσπερ ἡ μητρυὰ οὕτω καὶ ὁ πατρυός. ἀλλ' αὐτὸς μὲν, ἐκπέφευγε τὸ ἀνόμοιον, παρὰ τοῖς λέγουσιν αὐτὸν πατρῳόν. οὔκουν δὲ καὶ ἡ μητρυιά. τάχα οὖν ἀστείως εἰπεῖν, κἀνταῦθα μητρυιὰ τῷ υἱῷ ἡ τοιαύτη. δι' ὃν συγχεθεῖσα, ἐλάθετο τῆς κατ' αὐτὴν κοινῆς ἀναλογίας. καὶ παρεκκλίνασα εἰς τοὺς ψιλωτικοὺς Αἰολεῖς, μητρυιὰ ἐξεφωνήθη ἀντὶ μηθρυιᾶς. (ῃερς. 70.) Ὅτι ὡς ἐν τῇ ¯α ῥαψῳδίᾳ τῷ Μέντῃ ὡμίλησε τὴν ἀρχὴν ὁ Τηλέμαχος, οὕτω καὶ νῦν, ἄγχι σχὼν κεφαλὴν ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι. (ῃερς. 70.) ὡς ἂν μὴ κολακεύειν δοκοίη ἀγεννῶς ἢ καὶ ἀφελὴς εἶναι διὰ τὸ πολὺ τοῦ θαύματος, φησί. φράζεο Νεστορίδη τῷ μῷ κεχαρισμένε θυμῷ, χαλκοῦ τε στεροπὴν καὶ δώματα ἠχήεντα. χρυσοῦ τ' ἠλέκτρου τὲ καὶ ἀργύρου ἠδ' ἐλέφαντος. ἃ δηλαδὴ τὸν τοῦ βασιλέως Μενελάου δόμον ἐκόσμουν, τεχνικῶς παρακείμενα. (ῃερς. 74.) εἶτα συγκρίνων, φησί. Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή. Καὶ ὅρα ὡς τὸ ἶσον συνάγει ἐν τῇ συγκρίσει. οὐ γὰρ ἦν τὸ ἔλαττον ἀποδοῦναι τοῖς τοῦ Διὸς δώμασιν, ἔνθα καὶ τὸ ἶσον, αὔθαδες. διὸ καὶ ἔφη τὸ, Ζηνός που τοιήδε αὐλὴ, ἀντὶ τοῦ ἴσως τοιαύτη ἐστίν. ὃ καὶ δέδωκε θάρσος μετ' ὀλίγα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ Μενελάῳ, εἰς τὴν κατὰ τὸ μεῖζον σύγκρισιν. ἐρεῖ γὰρ ἐκεῖνος οὐκέτι ῥητορικώτερον ἀλλ' ὡς πρὸς ἀλήθειαν, ἀθάνατα εἶναι τὰ θεῖα. καὶ διατοῦτο οὐ τοιάδε οἷα τὰ τοῦ θνητοῦ Μενελάου. καὶ ἄλλως δὲ φράσαι κάλλιον κατὰ τοὺς παλαιοὺς, τὸ μὲν εἶναι πλούσιος, οὐκ ἀρνεῖται ὁ βασιλεύς. περιελὼν δὲ κἀνταῦθα τὸν φθόνον καὶ ὡς οἷον εἰπεῖν ἐκθυσάμενος αὐτὸν, πολλά φησι παθὼν, ἔχει πλοῦτον. οὐ μήν φησι καὶ ἀξιοῖ θεῷ συγκρίνεσθαι θνητὸς αὐτὸς ὤν. (ῃερς. 71.) Σεμνύνει δὲ πάντως τοὺς βασιλικοὺς παῖδας τὸ, πρῶτον ἐν ἀλλοτρίᾳ οἰκίᾳ ἐλθόντας εἰς δεῖπνον, μὴ γαστρισαμένους εὐθὺς τοῦ συμποσίου γενέσθαι ὅλους, ἀλλά τι δοῦναί φασι πρότερον τῷ φιλοθεάμονι ἐν τῷ κατανοεῖν τὴν οἰκίαν. διὸ ποιεῖν δοκοῦσι καὶ αὐτοὶ, ὅ φασι καὶ ὁ παρὰ Ἀριστοφάνει παῖς, ὃς ῥυθμίσας γέροντα ὡς δεῖ κατακλίνεσθαι ἐπάγει τὸ, ἐπαίνεσόν τι τῶν χαλκωμάτων. (ῃερς. 75.) Ἐπὶ δὲ τούτοις αὔξων τὸ θαῦμα ὁ Τηλέμαχος, ἐπάγει. ὅσα τά δ' ἄσπετα πολλά. σέβας μ' ἔχει εἰσορόωντα. οὐκ ἂν δ' ἐνταῦθα τοὺς βασιλικοὺς οἴκους εἴπῃ τις παροιμιακῶς θαῦμα μωροῖς διὰ τὸ ἐν θαύματι κεῖσθαι τοῖς εὐγενέσι νεανίσκοις. αὐτὸ γὰρ ἐκωμικεύσατό τις εὐφυῶς κατὰ τῶν ἀκριβούντων τί ποιοῦσιν οἱ ἰχθύες. πῶς κοιμῶνται. πῶς διαιτῶνται. καὶ τὰ ἑξῆς ὡς γράφει Ἀθήναιος. Τριπλῆ δ' ἐνταῦθα ἡ αὔξησις διὰ τριῶν ἀορίστων ἐξοχῶν, τοῦ ὅσσα. τοῦ ἄσπετα. καὶ τοῦ πολλά. ὧν ἐκ παραλλήλου ἡ αὐτὴ σημασία, ποσότητα μόνην δηλούντων, ὡς τῆς ποιότητος τοῦ κόσμου φανερᾶς οὔσης ἐκ τῶν ὀνομάτων. τίμια γὰρ, ὁ ἀστράπτων χαλκός. ὁ χρυσός. καὶ τὰ λοιπά. τὴν γὰρ στεροπὴν, 1.147 ὥσπερ τῷ χαλκῷ οὕτω καὶ ταῖς ἑξῆς ὕλαις ἐπεμέρισε δίχα γε τῶν δωμάτων. αὐτὰ γὰρ εἰ καὶ συνεξέλαμπον διὰ τὰς ἀστραπτούσας περὶ ἐκεῖνα ὕλας, οὐκ εἶχε συμφράσαι κατὰ πτῶσιν γενικὴν, διὰ τὸ κωλύεσθαι τῷ μέτρῳ. διὸ καὶ σχηματίσας αὐτὰ κατὰ γενικὴν πτῶσιν, οὐ τὴν συννοουμένην στεροπὴν ἀλλὰ τὸ ἠχῆεν αὐτοῖς ἀπεκλήρωσε. Καὶ οὕτω μὲν πρὸς οὓς ἐλάλει ὁ νεανίας. (ῃερς. 76.) Ἐπεὶ δὲ περίεργός ποτε καὶ ὁ συνετὸς ἐν δέοντι, παραβαλὼν δεξιῶς ἀκοὴν ὁ βασιλεὺς, ἀκούει τὸ ψιθυρισθὲν καὶ λαλεῖ τὰ ἐφεξῆς. φησὶ γὰρ ὁ ποιητής. τοῦ δ' ἀγορεύοντος ξύνετο ξανθὸς Μενέλαος. καὶ εἶπε. τέκνα φίλα, Ζηνὶ μὲν, βροτῶν οὐκ ἄν τις ἐρίζοι. ἀθάνατοι γὰρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν. ἀνδρῶν δ' ἤ κέν τις μοι ἐρίσσεται ἠὲ καὶ οὐκὶ, κτήμασιν. ἃ δὴ καὶ δηλῶν ὅπως περιῆλθον αὐτῷ, ἐπάγει. ἦ γὰρ, πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς ἠγαγόμην ἐν νηυσί. καὶ ὀγδοάτῳ ἔτει ἦλθον. ὃ καὶ ὁ Νέστωρ πρὸ ὀλίγων ἱστόρησεν. (ῃερς. 83.) Εἶτα καὶ τὸ πολλὰ ἐπαληθεὶς ἀορίστως λεχθὲν, ὁρίζων ἱστορικῶς, ἐπιφέρει. Κύπρον Φοινίκην τε καὶ Αἰγυπτίους ἐπαληθείς. Αἰθίοπάς θ' ἱκόμην. καὶ Σιδονίους. καὶ Ἐρεμβούς. καὶ Λιβύην ἵνα τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι. τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν. ἔνθα μὲν οὔτε ἄναξ ἐπιδευὴς, οὔ τέ τι ποιμὴν τυροῦ καὶ κρειῶν οὐδὲ γλυκεροῖο γάλακτος. ἀλλ' αἰεὶ παρέχουσιν ἐπηετανὸν γάλα θῆσθαι. καὶ τὰ ἑξῆς. Καὶ ὅρα ἐξ αὐτῆς καταρχῆς, ὡς ἱστοριῶν χορηγία τῷ ποιητῇ γέγονεν ὁ τοῦ Τηλεμάχου εἰς τὴν Σπάρτην πλοῦς. ἐν αἷς οὐ μόνον ξενικὰ ἐκτεθήσεται διηγήματα, ἀλλὰ καὶ Τρωϊκὰ καὶ Ἑλληνικά. πάνυ οὖν δεινῶς ἔπλασεν Ὅμηρος εἰς καλὸν τῇ ἑαυτοῦ ποιήσει ὡς καὶ προδεδήλωται, τὸν τοῦ Τηλεμάχου πλοῦν. δι' οὗ πολλὰ ποικίλματα ἡ Ὁμηρικὴ Μοῦσα τῷ τῆς ποιήσεως ταύτης πέπλῳ ἐνέπασεν. (ῃερς. 72.) Ἰστέον δὲ ὅτι τὸ στεροπὴν, μίαν ταύτην λέξιν, ἠρκέσθη προσαρμόσας ὁ ποιητὴς, τῷ χαλκῷ. τῷ χρυσῷ. τῷ ἠλέκτρῳ. τῷ ἀργύρῳ. καὶ τῷ ἐλέφαντι. οὐχ' ὡς ἀπορῶν πλειόνων ἐπιθέτων, ἀλλὰ κατὰ λόγον γοργότητος. ὡς καὶ ἐπαναπαυσάμενος τῇ λέξει διὰ τὸ αὐτῆς σεμνόν. Ἠχήεντα δὲ δώματα τὰ μεγάλα. τοῖς γὰρ μικροῖς, οὐκ ἔστι προσαρμόσαι τὸ ἐπίθετον, ψεύσεται γὰρ ἐπιλεχθέν. ὀνοματοποιεῖται δὲ ὁ ἦχος καὶ τὸ ἠχεῖν καὶ ἡ ἠχὴ ὅθεν τὸ ἠχῆεν. ὡς δηλοῖ καὶ ἡ ἠχήεσσα θάλασσα. λέγεται δὲ ἡ λέξις καὶ ἐπὶ ζῴων. ὅθεν καὶ ἠχέτα τέττιξ. Ὅτι δὲ τῶν ἡρωϊκῶν οἴκων τοὺς μείζους Ὅμηρος δώματα καλεῖ καὶ μέγαρα καὶ κλισίας, οἱ δὲ νῦν, ξενῶνας καὶ ἀνδρῶνας, ἐν τοῖς τοῦ Ἀθηναίου δηλοῦται. (ῃερς. 73.)



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἤλεκτρος δὲ, ἴσως μὲν, καὶ ὕλη τις κατὰ τοὺς πολλοὺς, χαλκώδης ἰδιαιτάτη παρὰ τὸν ἁπλῶς χαλκόν. μάλιστα δὲ, μίγμα τι χρυσοῦ καὶ ἀργύρου. δοκεῖ δὲ καὶ ὁ λοιπὸς δηλοῦσθαι νῦν ἤλεκτρος. ὃν ὁ μῦθος διὰ τὸ οἷον ἡλιῶδες τῆς χρόας δάκρυον εἶναι τῶν ἡλιάδων λέγει. ἀφ' οὗ καὶ λαβαὶ μαχαίραις γίνονται ἀχύρων ἐπισπαστικαί. εἰκὸς γὰρ, καὶ τοιοῦτον παρεντεθεῖσθαι τοῖς τοῦ Μενελάου δόμοις εἰς δαίδαλμα. Σοφοκλῆς μέντοι ἐτόλμησε καὶ αὐτὸν τὸν χρυσὸν ἤλεκτρον εἰπεῖν ἐν τῷ, κερδαίνετ' ἐμπολᾶτε τῶν πρὸς σάρδεων ἤλεκτρον. καὶ δόξοι ἂν ἐκ τοῦ τοιούτου καὶ ἡ βασιλικὴ θυγάτηρ Ἠλέκτρα κληθῆναι. καθὰ καὶ ἀδελφὴ αὐτῆς ἑτέρα, Χρυσόθεμις. καὶ ἤλεκτρα δὲ τὰ κατὰ Αἴλιον Διονύσιον ἐν κλίναις ποικιλλόμενα, ἐκ τοῦ ἠλέκτρου φαίνεται λέγεσθαι. ἃ καὶ θηλυκῶς προάγονται ὡς δηλοῖ τὸ, ἐκπιπτουσῶν τῶν ἠλέκτρων. ὧν ἡ εὐθεῖα, αἱ ἤλεκτροι κατὰ τοὺς τοῦ κωμικοῦ σχολιαστάς. οἵ φασι, καὶ ὅτι αἱ ἀρχαῖαι κλίναι, τοὺς πόδας εἶχον κατησφαλισμένους ἄνθραξι καὶ ἠλέκτροις. ἡ δὲ τῶν ἰδιωτῶν γλῶσσα βερονίκην λέγει τὸ ἤλεκτρον. ἠλέκτωρ μέντοι ὁ ἥλιος εἴπερ καὶ αὐτὸς οὕτω πως παράγεται, οὐκ ἔστι βεβαίως εἰπεῖν. δοκεῖ γὰρ καὶ ἀλέκτωρ εἶναι ὡς μὴ ἐῶν ἐν λέκτροις κεῖσθαι ἀλλ' ἐξεγείρων εἰς ἔργα. Ἐλέφαντα δὲ καὶ νῦν ὡς καὶ ἐν Ἰλιάδι, τὰ τοῦ ἐλέφαντος λέγει ὀστᾶ, ἐκ τοῦ ὅλου καλέσας τὸ μέρος. Ὅτι δὲ ἡ Λιβύη περὶ ἣν καὶ αὐτὴν ὁ Μενέλαος ἐπλανήθη, μήτηρ ἐλεφάντων ἦν, δηλοῖ καὶ ὁ γράψας Ἕρμιππος τὸ, ἡ δὲ καλὴ Κρήτη, κυπάριττον τοῖσι θεοῖσιν, ἡ Λιβύη δ' ἐλέφαντα πολὺν παρέχει κατὰ πράσιν. χρῆσις δὲ Ὁμηρικοῦ ἐλέφαντος, καὶ ἐν τῷ, ἀσπίδα εἶχεν ἐκ χρυσίου καὶ ἐλέφαντος. ὁ δὲ τοιοῦτος ποιητικὸς τρόπος, καὶ βοῦν, τὸ δέρμα λέγει τοῦ βοός. (ηερς. 74.) Τὸ δὲ Ζηνὸς αὐλὴ, ὡς ἐπὶ βασιλέως ἐῤῥέθη. ὅθεν καὶ Αἰσχύλος λαβὼν, ἔφη. ὅσοι τὴν Διὸς αὐλὴν οἰχνεῦσι. Σημείωσαι δὲ ὅτι τῷ τῆς αὐλῆς ὀνόματι, τὰ δώματα δηλοῖ. οὐ γὰρ ἂν αὐλὴ χρυσῷ καὶ τοιούτοις κοσμοῖτο. δηλοῖ δέ που τοῦτο καὶ Ἀθήναιος. παρ' ᾧ καὶ στίχος τις ἐνταῦθα μεταγεγραμμένος φέρεται. λέγει γὰρ ὅτι βέλτιον γράφειν κατὰ Σέλευκον, Ζηνός που τοιαῦτα δόμοις ἐν κτήματα κεῖται. ἢ ὡς Ἀρίσταρχος, Ζηνός που τοιῆδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή. 1.148 οὐ γὰρ τῆς οἰκίας φησὶ τὸ κάλλος ἀποθαυμάζουσιν οἱ ξένοι. ἐπεὶ μὴ δὲ ἦν ἤλεκτρος καὶ ἄργυρος καὶ ἐλέφας ἐν τοίχοις. ἀλλὰ περὶ μὲν τῶν δωμάτων εἶπον, ὡς ἔστιν ἠχήεντα. τοιαῦτα δὲ, τὰ ὑψόροφα καὶ μεγάλα. (ηερς. 73.) Περὶ δὲ τῶν σκευῶν, τὸ, χρυσοῦ καὶ ἠλέκτρου καὶ ἀργύρου καὶ ἐλέφαντος. οἷς εἰκότως ἐπάγεται τὸ, Ζηνός που τοιαῦτα δόμοις ἐν κτήματα κεῖται. ὅσσα τάδ' ἄσπετα πολλά. (ηερς. 74.) Τῷ δὲ Ζηνός που τοίη αὐλὴ, οὐκ ἔστιν ἀκόλουθον ἐπειπεῖν, ὅσσα τάδ' ἄσπετα. σόλοικον ὄν φησι τῷ ἀσυνήθη τῆς ἀναγνώσεως. ἀλλ' οὐδὲ ἡ αὐλή φησιν ἁρμόττει ἐπὶ τοῦ οἴκου. ὁ γὰρ διαπνεόμενος τόπος, αὐλὴ λέγεται. καὶ διαυλωνίζειν φαμὲν χωρίον, τὸ δεχόμενον ἐξ ἑκατέρου πνεῦμα. ἔτι δὲ, αὐλὸς, ὄργανον ᾧ διέρχεται πνεῦμα. τοιαῦτα δὲ γράψας ὁ Ἀθήναιος, ἐν οἷς καὶ ὅτι Ὅμηρος τὴν αὐλὴν ἀεὶ ἐπὶ ὑπαίθρου τάττει τόπου, λέγει καὶ ὅτι νῦν δὲ, τὰ βασίλεια λέγονται αὐλαὶ, ἢ διὰ τὸ μεγάλους ἔχειν τοὺς πρὸ τῶν οἴκων ὑπαιθρίους τόπους, ἢ τὸ παραυλίζεσθαι καὶ παρακοιμᾶσθαι τοὺς δορυφόρους τοῖς βασιλείοις. ἐπιφέρει δὲ καὶ Διφίλου χρῆσιν ταύτην. αὐλὰς θεραπεύειν βασιλικὰς δηλαδὴ, ἔστιν ὡς ἐμοὶ δοκεῖ, ἢ φυγάδος ἢ πεινῶντος ἢ μαστιγίου. ἐν τούτοις δὲ ὁ ῥηθεὶς ῥήτωρ, αὐλών φησι καλεῖσθαι ὡς καὶ ἐν ἄλλοις παρεσημάνθη, καὶ τὸ διατεταμένον εἰς εὐθύτητα σχῆμα, ὁποῖον τὸ στάδιον. ὃ καὶ συνθέτως δίαυλος ὀνομάζεται. καὶ τὸν κρουνὸν δὲ τοῦ αἵματος. οἷον, αὐτίκα δ' αὐλὸς ἀνὰ ῥίνας παχὺς ἦλθεν. ἐντεῦθεν δὲ καὶ τὴν περικεφαλαίαν ὅταν ἐκ τοῦ μέσου ἀνατείνῃ, αὐλῶπιν φαμέν. λέγονται δέ φησι καί τινες ἱεροὶ αὐλῶνες Ἀθήνησιν. ἀρσενικῶς δέ φησιν ὁ αὐλὼν παρὰ Θουκυδίδῃ καὶ τοῖς καταλογάδην συγγραφεῦσι. παρὰ δὲ ποιηταῖς, θηλυκῶς. ἐκδεκτέον οὖν φησὶ καὶ τὸ παρὰ Ἐρατοσθένει βαθὺς αὐλὼν, θηλυκῶς εἰρῆσθαι. ὁποῖον δηλαδὴ καὶ τὸ, θῆλυς ἐέρση. καὶ τὸ, ἡ πουλύς. καὶ τὸ, ἡδὺς ἀϋτμή. καὶ ὅσα τοιαῦτα. (ηερς. 78.) Ὅτι δὲ ὁ Τηλέμαχος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ δώματα μόνον ἀλλ' ὁμοῦ οἶκον καὶ κτήματα ἐπήνεσεν, ἑρμηνεύει ὁ βασιλεὺς ἐν τῷ, τέκνα φίλα. Ζηνὶ μὲν, οὐκ ἄν τις ἐρίζοι. οὗ ἀθάνατοι δόμοι καὶ κτήματά εἰσιν. Ἐν τούτοις δὲ τῶν τοῦ Ὁμήρου, παρασημειοῦνται οἱ παλαιοὶ ὡς καὶ τὴν περὶ τοὺς οἴκους οἶδεν Ὅμηρος πολυτελείαν. καθὰ καὶ ἐν τῇ τῶν Φαιάκων γῇ. καὶ ἐν Ἰθάκῃ δέ. Πολύβιος γοῦν ὁμοίαν τῇ τοῦ Μενελάου οἰκίᾳ ὑφίσταται Ἴβηρός τινος βασιλέως λαμπρότητα οἰκήσεως. ὃν καὶ ἐζηλωκέναι λέγει τὴν τῶν Φαιάκων τρυφήν. ἐκείνῳ μέντοι τῷ Ἴβηρι ἐπὶ κρατῆρσιν ἀργυροῖς καὶ χρυσέοις, οἶνον ἱστορεῖ κρίθινον. (ῃερς. 75.) Σέβας δὲ, συνήθως τὴν ἔκπληξιν λέγει. Τὸ ξύνετο, ἀντὶ τοῦ, ᾔσθετο. συνήθης δὲ ἡ τοῦ ξυνιέναι σύνταξις μετὰ γενικῆς. γράφεται δὲ καὶ ξύνθετο, ἴσως δὲ τοῦτο οὐ καλῶς. (ῃερς. 78.) Τὸ δὲ ἐρίζειν ἐνταῦθα, ἐπὶ συγκρίσεως εἴληπται. (ῃερς. 80.) Τὸ δὲ ἤ τίς μοι ἐρίσσεται ἠὲ καὶ οὐκὶ, καθ' ὁμοιότητα ἐῤῥέθη τοῦ, ἂν κράτος ἠὲ φερείμην. ἵνα ὥσπερ ἐκεῖ ἀμφήριστος ἡ νίκη, οὕτω καὶ ὧδε ὁ πλοῦτος. θρύπτεται δέ φησιν ἐν τούτοις ὁ Μενέλαος, μετὰ ἤθους ἐκφέρων ὡς τὰ αὐτοῦ ἀμφήριστα τοῖς ἀνθρώποις. (ῃερς. 81.) Τὸ δὲ κτήμασιν, ἐπιεικῶς ἐῤῥέθη. οὐ γὰρ ἐπὶ ἀνδρίᾳ φησὶν ἢ ἄλλαις ἀρεταῖς ἀλλ' ἐπὶ πλούτῳ. (ῃερς. 82.) Τὸ δὲ ἠγαγόμην, ἐπὶ κτημάτων ἀντὶ τοῦ ἔφερον κεῖται. προσυπακούεται δὲ καὶ ἐνταῦθα ἐκ κοινοῦ τὸ πολλά. ἵνα λέγῃ ὡς πολλὰ παθὼν καὶ πολλὰ πλανηθεὶς, πολλὰ ἠγαγόμην κτήματα. καὶ ἔστιν ὅμοιον τῷ, οὐ δεινὰ, πάσχειν δεινὰ τοὺς ἐργασμένους, δεινὰ δηλαδή. Ἰστέον δὲ ὅτι ἐκ τοῦ τοιούτου ἄγεσθαι, καὶ τὸ ἀγώγιμον ἐπὶ φορτίου νηῶν λέγεται. καὶ ὁ παρὰ τῷ Δημοσθένει ἀγώγιμος τῇ τῶν Ἀθηναίων πολιτείᾳ. Ὅρα δὲ ὡς ὁμολογεῖ τουτέστι συμφωνεῖ ὁ Μενέλαος τῷ Νέστορι ἐφ' οἷς ἐκεῖνος εἶπε τοῦτον ἀλᾶσθαι, πολὺν βίοτον καὶ χρυσὸν ἀγείροντα. οὐ μόνον γὰρ πολλὰ ἔφη ἀγαγέσθαι, ἀλλ' ὑποκατιὼν, λέγει καὶ αὐτὸς ἐκεῖνο τὸ τοῦ γέροντος ὡς δηλωθήσεται. ἀλλὰ τί ἂν ἔσχεν ἀγεῖραι ὁ Ἑλληνικὸς βασιλεὺς Μενέλαος; πηλίκον δ' ἂν περιεβέβλητο πλοῦτον, ἀντιπαρατιθέμενος πρὸς τοὺς ὕστερον; ἐν οἷς τῶν ἄλλων πλούτων σιωπωμένων, βασιλικὴ περσικὴ περιᾴδεται ἄμπελος. οὐ κατὰ τὴν Ὁμηρικὴν ἣν ἐκεῖνος τημελεῖ φυτεύσας ἐν τῇ τοῦ φίλου Ἀχιλλέως ἀσπίδι. ἐκείνη μὲν γὰρ, σωφρόνως ἐφάνταζε τὰ κατ' αὐτήν, ἡ δὲ τοῦ Περσῶν βασιλέως, λιθοκόλλητος χρυσῆ τὸν βασιλικὸν ἐκόσμει κοιτῶνα. ὑπὲρ τῆς αὐτοῦ φασι κλίνης οὖσα. ἔχουσα δὲ καὶ βότρυας ἐκ τῶν πολυτελεστάτων ψήφων συντεθειμένους, λίαν πάνυ πολὺ κατεπλούτει τὸ ὑπερήφανον. καθὰ καὶ τὸ καλούμενον βασιλικὸν προσκεφάλαιον. οἴκημά τι ἐκεῖνο πεντάκλινον. ἐν ᾧ χρυσίου πεντακισχίλια διὰ παντὸς ἔκειντο τάλαντα. ἔτι δὲ καὶ τὸ προσαγορευόμενον βασιλικὸν ὑποπόδιον. ἕτερον αὐτὸ πρὸ ποδῶν οἴκημα τρίκλινον. οὗ τάλαντα 1.149 τρισχίλια ἔκειντο ἀργυρίου. ὁ δὲ ταῦτα γράψας Ἀθήναιος, ἐπέκεινα τῶν ἄλλων παμπλουσίων, λέγει καὶ ὡς Νῖνος ὁ Ἀσσύριος κατὰ τὸν Κολοφώνιον Φοίνικα, χρυσίου τάλαντα, εἶχε πολλῷ πλείονα Κασπίης ψάμμου. ἔστι δὲ ὁ λόγος οὗτος, μέρος τῆς κατὰ τὸν Ἀχιλλέα ἐν ταῖς Ὁμηρικαῖς λιταῖς ὑπερβολῆς. ἐν ᾗ κεῖται τὸ, οὐ δ' ὅσα ψάμαθός τε κόνις τε. (ῃερς. 83.) Περὶ δὲ Κύπρου καὶ Φοινίκης καὶ τῶν ἐφεξῆς ἐθνῶν, ἐγράφη μὲν καὶ ἐν τοῖς τοῦ περιηγητοῦ. ῥηθήσεται δὲ καὶ νῦν, ὡς χρεὼν, τὰ ἀρκοῦντα. Κύπρος μὲν γὰρ ὅτι ἀνεῖται τῇ Ἀφροδίτῃ, καὶ διὰ τί τοῦτο, καὶ ὅτι Κύπρις ἐντεῦθεν ἐκείνη ὥσπερ καὶ Παφία ἐκ Πάφου Κυπρίας πόλεως, πολλαχοῦ δηλοῦται. (ῃερς. 84.) Ἐν δὲ τῷ, Φοινίκην καὶ Σιδονίους, τῷ γένει τὸ εἶδος ἐπήνεγκε. μᾶλλον δὲ, τῷ ὅλῳ τὸ μέρος. μέρος γὰρ Φοινίκης, ἡ Σιδών. ὡς καὶ ὁ γεωγράφος σημειοῦται. οὕτω καὶ ἐν τῷ, Τρῶάς τε καὶ Ἕκτορα, τῷ ὅλῳ τοῖς Τρωσὶ τὸ μέρος ὁ Ἕκτωρ συνεκφωνεῖται. καὶ ἐν τῷ, οὐκέτι Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν, θάνε δὲ ξανθὸς Μελέαγρος. ὃς μέρος ἦν τῶν Οἰνειδῶν. καὶ ἐν τῷ Ἴδην ἵκανον Γάργαρον. τῆς γὰρ Ἴδης τὸ Γάργαρον ὡς καὶ τῆς Εὐβοίας ἡ Χαλκὶς καὶ ἡ Ἐρέτρια, ἐν τῷ, οἵδ' Εὔβοιαν ἔχον Χαλκίδα τ' Εἰρέτριάν τε. (ῃερς. 83.) Ὅτι δὲ καὶ ἀπὸ Φοίνικος ἀνδρὸς ἢ καὶ παρὰ τὸ Φοινικοῦν χρῶμα ἡ φοινίκη, ἐδηλώθη καὶ αὐτὸ ἀλλαχοῦ. ὥσπερ καὶ ὅτι πονηροὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἱ Αἰγύπτιοι. ὅθεν αἰγυπτιάσαι καὶ αἰγυπτιάζειν, οὐ μόνον τὸ ἐπικαῦσαι. οἷον. χρόαν δὲ τὴν σὴν ἥλιος λάμπων φλογὶ αἰγυπτιάσει, ἀλλὰ καὶ τὸ πανουργεῖν καὶ κακοτροπεύεσθαι, ὡς ὁ κωμικός φασι Κρατῖνος δηλοῖ. Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ, Αἰγυπτίους ἐπαληθεὶς, τινὲς τὸ ἐπαληθεὶς, εἰς δύο μέρη λόγου διαλύσαντες, νοοῦσιν ὅτι ἐπὶ τοὺς Αἰγυπτίους τοὺς ἀληθεῖς. τοῦτο δὲ, διὰ τὴν ἐκείνων μαντικήν. ἐφ' ᾗ γεγόνασι περίπυστοι. ἔοικε δὲ χαίρειν ὁ Μενέλαος τῇ ἀληθείᾳ. οὗ καὶ ὁ οἰκεῖος θεράπων, Ἐτεωνεὺς ὡς προείρηται παρὰ τὸ ἐτεὸν καλούμενος. ἀφ' οὗ καὶ Ἐτεωνὸς κύριον. οὗ πόλις ὁμώνυμος ἐν Βοιωτίᾳ ἡ Ἐτεωνός. ὡς ἐοικέναι ὅτι καθὰ πομπὸς πομπεύς. οἷον θεοὶ πομπῆες ἕποντο. (ηερς. 84.) Οὕτω καὶ Ἐτεωνὸς Ἐτεωνεύς. καὶ οὕτω μὲν ταῦτα. Εἰς δὲ τὸ, Αἰθίοπας ἱκόμην καὶ Σιδονίους, λέγει ὁ γεωγράφος καὶ ὅτι τοὺς ἐν τῷ Περσικῷ κατά τινας κόλπῳ, λέγει. ὧν ἄποικοι οἱ περὶ ἡμᾶς. ὡς καὶ Τυρίους τινὰς ἐκεῖθεν ἱστοροῦσι καὶ Ἀραδίους. ὧν ἄποικοι φησὶν οἱ παρ' ἡμῖν. ἤγουν οἱ ἐκ τῆς καθ' ἡμᾶς Τύρου καὶ Ἀράδου. Δῆλον δὲ ὅτι εἰς τοὺς νωτίους Αἰθίοπας ἐλθὼν ὁ Μενέλαος εἴγε καὶ εἰς τοὺς Ἐρεμβοὺς ἦλθε. μέρος γὰρ ἐκείνων οἱ Ἐρεμβοὶ, πολλῷ πρότερον εἰς τοὺς λοιποὺς Αἰθίοπας ἀφίκετο οὓς ὁμόρους Αἰγυπτίοις Ἡρόδοτος ἱστορεῖ. παρ' οἷς δηλαδὴ τοῖς Αἰγυπτίοις, καὶ διαφερόντως τιμηθῆναι δοκεῖ ὁ Μενέλαος. εἴγε καὶ οἱ Λακεδαιμόνιοι οὕτω τίμιοι περὶ τὰ ἐκεῖ γεγόνασιν, ὥστε καθ' Ἡρόδοτον ἐν Αἰγύπτῳ οἱ ἐγχώριοι νεώτεροι, μόνοις Ἑλλήνων Λακεδαιμονίοις τοῖς πρεσβυτέροις συντυγχάνοντες, ὁδοῦ τε εἴκουσι καὶ ἐκτρέπονται. καὶ ἐπιοῦσιν, ἐκ τῆς ἕδρης ἀνίστανται. Ἐνθυμητέον δ' ἐν τούτοις, καὶ τὸν γράψαντα τὸ, Αἰθίοπες οἱ ὑπὲρ Αἰγύπτου καὶ Ἄραβες. καὶ προσεννοητέον ἀκολούθως τοῖς προγραφεῖσιν, ὡς οὐ μόνον εἰς τούτους τοὺς Ἄραβας καὶ Αἰθίοπας τοὺς ἡμῶν ἐγγυτέρω ἐπλανήθη Μενέλαος, ἀλλὰ καὶ εἰς τοὺς βαθυτάτους, ὧν μέρος οἱ Ἐρεμβοί. λέγει δὲ ὁ γεωγράφος, καὶ ὅτι πλησιαίτεροι ἦσαν ταῖς Αἰγυπτίαις Θήβαις οἱ τότε ὅροι τῶν Αἰθιόπων. καὶ ὁ εἰς Θήβας ἀφιγμένος, οὐ πόῤῥω ἦν Αἰθιόπων. καὶ ὅτι Μενέλαος πρὸς Αἰθίοπας ἦλθε κατὰ μέν τινας, περιπλεύσας τὸν Ὠκεανὸν διὰ τῶν Γαδείρων μέχρι τῆς Ἰνδικῆς. οἱ δὲ, πλησίον Αἰγύπτου εἶναι φασὶ τούς τε Ἄραβας καὶ τοὺς Αἰθίοπας εἰς οὓς ἐκεῖνος ἐπλανήθη. ὁ δ' αὐτὸς γεωγράφος παραμυθούμενος καὶ τὰς ἐν τοῖς τοιούτοις ἀμφιβολίας, λέγει ὅτι οὔτε ὁ ποιητὴς ἕκαστα ἀκριβῶς ἐπύθετο, οὔθ' ἡμεῖς παρ' ἐκείνου ζητοῦμεν τὸ ἀκριβές. Ἰστέον δὲ καὶ ὅτι τὸ θηλυκὸν τοῦ Αἰθίοψ, ἰδιωτικῶς μὲν, Αἰθιόπισσα. ἄλλως δὲ περιφραστικῶς, ἡ ἐξ Αἰθιόπων. λέγεται δὲ καὶ ὁμοφώνως τῷ ἀρσενικῷ κατὰ τοὺς παλαιούς. Αἰθίοπα γοῦν φασι φωνὴν Αἰσχύλος λέγει καὶ, πότερα γυνή τις Αἰθίοψ φανήσεται; οὕτω δέ φασι καὶ ἄλλα ἐξ ἀῤῥενικῶν ἐπὶ θηλυκὰ μεταφέρονται. ὡς τὸ Κίλιξ δὲ χώρα καὶ Σηρῶν ἐπιστροφαί. καὶ Ὅμηρος. θεαὶ δ' ἐπιποιμένες εἰσί. καὶ Φερεκράτης. ἡγούμεθα τῆς πόλεως εἶναι ταύτας σωτῆρας. καὶ Σοφοκλῆς. τύχη γε τῷ σωτῆρι. καὶ Θουκυδίδης. αἳ ἔτυχον φύλακες τῆς Μιλήτου. καὶ Ἀριστοφάνης. μετὰ τῆς γραμματέως συγγράψομαι. καὶ τοιαῦτα μὲν καὶ τὰ περὶ Αἰθιόπων. περὶ ὧν καὶ ἐν τῇ ¯α ῥαψῳδίᾳ διείληπταί τι. Σιδονίους δὲ νοοῦσι τινὲς ὡς καὶ πρὸ ὀλίγων εἴρηται, οὐ τοὺς τὴν παράλιον Συρίαν οἰκοῦντας. ἀλλά τινας, ἐντεῦθεν εἰς τὴν Ἐρυθρὰν μετοικήσαντας. ἢ ὧν Ἐρυθραίων 1.150 ὄντων, οἱ κατὰ Φοινίκην ταύτην ἄποικοι. Ἀλέξανδρον μὲν γάρ, φασιν, ἔδει παραπλεῦσαι ταύτην τὴν Σιδῶνα μετὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης ἐπίτηδες περιοδεύοντα. Μενέλαον δὲ οὔτε εἰκὸς ἦν πλανηθῆναι περὶ τήνδε τὴν Φοινίκην, καὶ οὐδὲ εὖ ἔχει πρὸς ἀλληλουχουμένην ἁρμονίαν χωρογραφίας, τὸ Αἰγυπτίους Αἰθίοπάς τε καὶ Σιδονίους καὶ Ἐρεμβοὺς, εἰ τοὺς Σιδονίους ἀποσπάσαντες Αἰθιόπων καὶ Ἐρεμβῶν, εἰς τὴν νῦν Σιδώνα ἐξώσομεν. δοκεῖ γὰρ φυλάττειν εὔτακτον ἀκολουθίαν τοπογραφικὴν καὶ ὧδε ὁ ποιητὴς ἐν τῷ, Αἰθίοπας καὶ Σιδονίους καὶ Ἐρεμβοὺς, βαθυτέρους ὄντας. ὥσπερ καὶ ἐν τῷ, Ὄσσαν ἐπ' Ὀλύμπῳ μέμασαν θέμεν. αὐτὰρ ἐπ' Ὄσσῃ, Πήλιον. καὶ ἐν τῷ, Ἥρα δὲ ἔλιπεν Ὄλπον. περίην δ' ἐπιβᾶσα καὶ ἠμαθίην ἐρατεινὴν, ἵκετ' ἐπὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Θρῃκῶν ὄρεα. ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐδύσατο. Ἰστέον δὲ ὅτι καὶ οἱ νοοῦντες ἐνταῦθα Σιδονίους τοὺς κατὰ Φοινίκην τὴν ἡμῖν γνώριμον, ἐξ Ὁμήρου ὁρμῶνται. εἰπόντος κατευθὺ, Κύπρον Φοινίκην τε καὶ Αἰγυπτίους. ἧς Φοινίκης μέρος καὶ ἡ Σιδών. ὁ δὲ γεωγράφος φησὶ καὶ ὅτι Σιδόνιοι καὶ Ἐρεμβοὶ, οἱ Ἄραβες νῦν λέγονται. ὅθεν τινὲς ἀντὶ τοῦ, Ἐρεμβοὺς Ἄραβάς τε γράφουσιν, οἳ οὕτως ὀνομάζονται, ἀπὸ Ἀράβου τινὸς ὡς Ἡσίοδος ἐτῷ ἑαυτοῦ καταλόγῳ φησί. καὶ ἄλλως δέ πως, ὡς ἐν τοῖς τοῦ περιηγητοῦ διείληπται. τινὲς δὲ Ἐρεμβοὺς, τοὺς Ἰνδοὺς νοοῦσι παρὰ τὸ ἔρεβος. διὸ Ἐρεμνοὺς γράφει ὁ Κράτης, ὅ ἐστι μέλανας. ὁ δὲ γεωγράφος ἀπάγων ἐντεῦθεν τὴν τοιαύτην γραφὴν, λέγει ὅτι Ἐρεμβοὶ δὲ, ζητοῦνται εἴτε τρωγλοδύται εἴτε Ἄραβες. τὸ δὲ Ἐρεμνοὺς γράφειν, οὐ πιθανόν. Αἰθιόπων γάρ φησι τοῦτο μᾶλλον ἴδιον. οἱ δέ γε πρὸς τὸ σαφέστερον μεταλαμβάνοντες τοὺς Ἐρεμβοὺς, τρωγλοδύτας αὐτοὺς καλοῦσι. καὶ ἔστι τοῦτο μὲν, παρὰ τὸ εἰς τρώγλας δύεσθαι. ἐκεῖνο δὲ ὡς καὶ ἀλλαχοῦ εἴρηται, παρὰ τὸ εἰς ἔραν ἐμβαίνειν διὰ τὸν ἐν τῷ περιέχοντι καύσωνα. Ἀρίσταρχος δέ φασι καὶ αὐτὸς Ἐρεμνοὺς τοὺς Ἄραβας νοεῖ.(ῃερς. 85.) Ὅτι δὲ τὴν Σιδόνα Ὅμηρος μὲν συστέλλει ἐν τῇ παραληγούσῃ ἐκτείνων τὴν ἄρχουσαν, οἱ δὲ μεθ' Ὅμηρον ἀνάπαλιν χρῶνται, σεσημείωται ἀλλαχοῦ καὶ αὐτό. καθὰ καὶ περὶ Λιβύης, ὅτι ἢ ἀπὸ γυναικὸς ὁμωνύμου ἐκλήθη, ἢ ἀπὸ τοῦ λιπέσθαι ὑετοῦ. ἢ παρὰ τὸν Λίβα. καὶ εἴ τι δὲ καὶ ἄλλο καίριον. Τὸ δὲ ἄφαρ κεραοὶ τελέθουσιν, ἀντὶ τοῦ, εὐθὺς ἅμα τῷ γεννηθῆναι κεράτων φυὴν προβάλλονται. καὶ συντελεῖ πρὸς τοῦτο καὶ ὁ τοῦ Ἡροδότου λόγος, εἰπόντος ἐξεναντίου κατὰ ἰδιότητα ψυχροῦ τόπου, ὡς οὐ φύει κέρατα ἐν Σκυθίᾳ τὸ γένος τῶν βοῶν. ὀρθῶς οὖν φησιν εἶπεν Ὅμηρος τὸ, Λιβύην ὅθι τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσιν. ἐν τοῖς θερμοῖς γὰρ, ταχὺ παραγίνονται τὰ κέρατα. ἐν δὲ τοῖς ἰσχυροῖς ψύχεσιν, ἢ οὐ φύει κέρατα τὰ κτήνεα τὴν ἀρχὴν, ἢ φύει μόγις. Καὶ ὅρα τὸ, ταχὺ παραγίνονται τὰ κέρατα. τὸ γὰρ Ὁμηρικὸν ἄφαρ, ὑπερβολήν τινα ἔχει. καὶ πρὸς τερατῶδες εἴρηται. Σημείωσαι δ' ἐνταῦθα μάλιστα τὸ τοῦ Ἀριστοτέλους, εἰπόντος, ὡς ἐν Λιβύῃ τὰ κερατώδη, εὐθὺς γίνονται κέρατα ἔχοντα. ἕτεροι δὲ τὸ, ἄρνες ἄφαρ κεραοὶ τελέθουσιν, οὕτω νοοῦσιν. ἔνθα οἱ μετ' ὀλίγον ἐσόμενοι κεραοὶ, ἄφαρ γίνονται. ἤγουν εὐθὺς καὶ ταχὺ καὶ ἄλλοι ἐπ' ἄλλοις, διὰ θερμότητα τόπου. (ῃερς. 85.) ὃ καὶ ἑρμηνεύων σαφέστερον, ἐπάγει. τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν. τοῦτο δὲ πάλιν, διχῶς. ἢ γὰρ ὅτι μῆλα εἰσὶν ἐκεῖ τινα ὧν γόνος ἑκάστου ἔτους ἀνὰ τρὶς γίνεται. τουτέστι διόλου ἀνὰ τρὶς αἱ αὐταὶ ὄϊς τίκτουσιν. ἢ καὶ ὅτι περὶ τρεῖς ὥρας τοῦ ἐνιαυτοῦ γεννῶσι τὰ μῆλα, καὶ οὐχ' ὡς παρ' ἡμῖν μόνῳ τῷ ἦρι. Ἰστέον δὲ ὅτι δίχα τόπων ἄλλων οἳ καὶ ἐκεῖνοι ἐπὶ πολλοῖς ἀγαθοῖς θαυμάζονται, λέγεται παρ' Ἀθηναίῳ, καὶ ἐν Λυσιτανίᾳ χώρᾳ τῆς Ἰβηρίας ἣν Ῥωμαῖοι Σπανίαν ὀνομάζουσι, καὶ τὰ ζῷαπολύγονα εἶναι διὰ τὴν αὐτόθι τοῦ ἀέρος εὐκρασίαν, καὶ οἱ καρποὶ οὐδέ ποτε φθείρεσθαι. καὶ ῥόδα ἐκεῖ καὶ λευκόϊα καὶ ἀσπάραγοι καὶ τὰ παραπλήσια τούτοις, οὐ πλείω διαλείπειν μηνῶν τριῶν. λέγει δὲ ἐκεῖνος ἐν τούτοις, καὶ περὶ θαλασσίου ὄψου καὶ λοιπῶν. ἐν οἷς σημειωτέον κείμενον καὶ τὸ, βοῦς ζύγιμος. Δημοσθένης δὲ ὁ τὴν Ὀδύσσειαν μεταβαλὼν, λέγει ὅτι Λυβίη, χωρίον εἰς προβατείαν ὧν οἶδα ἐγὼ, εὐφυέστατον. κυΐσκεταί τε γὰρ τρὶς ἐπ' ἔτει ἑκάστῳ τὰ πρόβατα, καὶ αὔξεται ῥᾳδίως. Τελεσφόρος δὲ ἐνιαυτὸς, πρὸς διαστολὴν τῶν ὡρῶν. τελειωτικὸς γὰρ αὐτὸς μάλιστα τῶν κατὰ φύσιν ὡς περιεκτικὸς ἑκάστης ὥρας. λέγεται δὲ τελεσφορεῖν ὡς καὶ πληροφορεῖν, καὶ τὸ ἁπλῶς εἰς τέλος ἄγειν. ὅθεν καὶ δίκη τελεσφόρος ἔτι δὲ καὶ ἐλπίς. (ῃερς. 87.) Ἄναξ δὲ καὶ ἐνταῦθα, οὐκ ἐπὶ βασιλέως, ἀλλὰ τοῦ ἁπλῶς δεσπόζοντος. (ῃερς. 88.) Τὸ δὲ γάλα ὅτι γλυκερὸν, καὶ ὁ τῶν μυιῶν ἑσμὸς δηλοῖ αἳ τὴν Ὁμηρικὴν ἐν Ἰλιάδι ποιοῦσι παραβολήν. ὡς δὲ γάλα οἱ πολλοὶ καὶ τὸν τῆς συκῆς λέγουσιν ὀπὸν διὰ 1.151 τὸ τῆς χρόας λευκὸν, ἔτι δὲ καὶ τὸν τοῦ τιθυμάλλου, ἐξ οὗ γάλατος παρωνομάζουσιν ἐκεῖνοι αὐτὸ, ἡ ταπεινὴ διάλεκτος δηλοῖ. ὡς δὲ καὶ ὀρνίθων γάλα κατὰ Ἀναξαγόραν τὸ ἐν τοῖς ᾠοῖς, ὁ Ἀθήναιος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραδίδωσιν. ἔχει δὲ καὶ ὁ κωμικὸς χρῆσιν αὐτοῦ. καὶ ἔστι παροιμία ἐπὶ εὐδαιμονίας, τὸ, ὀρνίθων γάλα. ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φέρεται καὶ ὅτι ὀπίας τυρὸς παρ' Εὐριπίδῃ, ὁ δριμύς. ὁ πηγνύμενος ὀπῷ συκῆς τῷ εἰρημένῳ. οἷον. καὶ τυρὸς ὀπίας ἐστὶ καὶ Διὸς γάλα. (ηερς. 89.) Ἐπηετανὸν δὲ τὸ πολὺ καὶ ἐφ' ὅλον ἔτος, διὰ τὸ τρὶς ἐκεῖ τίκτειν τὰ μῆλα, τούτου δὲ ἐφερμηνευτικὸν καὶ τὸ αἰεί. ἔφη γάρ. ἀλλ' αἰεὶ παρέχουσιν ἐπηετανόν. Τὸ δὲ γάλα θῆσθαι, τὸ ἐν τοῖς ἑξῆς γαλαθηνὸν συντίθησι. θῆσθαι δὲ, οὐ μόνον τὸ θηλάζειν, ἀλλὰ καὶ τὸ ἀμέλγειν, ὡς νῦν. ἀμφότερα παρὰ τὴν θηλήν. τοῦ δὲ θῶ θήσω τὸ θηλάζω, παράγωγα καὶ ἡ τήθη καὶ ἡ τηθὶς ὡς ἐν ἄλλοις ἐῤῥέθη, καὶ τὰ τήθεα. περὶ ὧν κειμένων ἐν τῇ Ἰλιάδι καὶ ἀξιωθέντων λόγου, ἰστέον καὶ ὅτι εὐθεῖα τούτων παρὰ Ἀριστοτέλει, τὸ τῆθος. οἷον. πίννη ὄστρεον. μῦς. κτείς. κόγχη. λεπάς. τῆθος. βάλανος. καὶ πάλιν ὁ μὲν κτεὶς, τραχεόστρακος ῥαβδωτός. τὸ δὲ τῆθος, ἀῤῥάβδωτον. λειόστρακον. ἔστι δὲ καὶ πληθυντικὸν τούτου συνῃρημένον παρὰ Ἀθηναίῳ. οἷον. τὰ δὲ τήθη, παραπλήσια τοῖς προειρημένοις, καὶ πολυτροφώτερα. ἐπεὶ δὲ καὶ γενικὴ τούτου ἐστὶν ἀναλόγως τηθέων τηθῶν κατὰ τὸ στηθέων στηθῶν, παίζει παρὰ τοῦτο Ἀριστοφάνης ἐν Λυσιστράτῃ, εἰπών. ὦ τηθῶν ἀνδρειοτάτη καὶ μητριδίων ἀκαληφῶν. παραλαλῶν ἐκεῖνος τὸ παίγνιον, ὡς πρὸς φιλουμένας τροφοὺς καὶ μητέρας. ὧν τροφοὶ μὲν καὶ ὡς οἷον τῆθαι, τὰ τήθεα. μητρίδια δὲ, αἱ κατὰ θάλασσαν ἀκαλῆφαι. ὁμώνυμοι αὗται ταῖς περὶ γῆν βοτάναις, ἃς καὶ κνίδας φαμέν. ὧν τοὔνομα, κατ' εὐφημισμὸν ἀντιφράσεως. οὐ γὰρ ἔχει τι ἀκαλὸν αὐταῖς ἤγουν πραῢ καὶ ἁπαλὸν, ἡ ἁφὴ τραχεῖα οὖσα καὶ ἀηδής. καὶ ἡ μὲν χερσαία οἷα δρᾷ κνίζουσα, οἴδαμεν. ἡ δὲ θαλασσία, τοὺς θηρεύοντας καὶ αὐτὴ ἀνιᾷ, κνησμὸν ἐμποιοῦσα τοῖς συνάγουσιν, εἰ μὴ προαλείψονται. διὸ καὶ αὗται κνίδαι λέγονται. ὡς δὲ τοιαύτην ἐτυμολογίαν ἔχει καὶ ἐν Ἰλιάδι Τρωϊκὸς ἐπίκουρος Ἀσκάλαφος πλεονασμῷ τοῦ σίγμα διὰ τὸ ἀπρόσψαυστος καὶ ἀνέπαφος εἶναι κατ' ἀνδρίαν, ἐκεῖ ἐδηλώθη. ὅτι δὲ τῶν ἀνωτέρω εἰρημένων πίννης μὲν τὸ ἐντὸς, μήκων καλεῖται κατὰ Ἐπαίνετον. ὁ δὲ μῦς παραφθείρεται τοῖς πολλοῖς εἰς ὁμύδιον. ὁ δὲ κτεὶς, καὶ ἐπὶ κρυφίου σωματικοῦ λέγεται, τὴν κλῆσιν ἔχων διὰ τὰ περὶ αὐτὸν ῥαβδώματα. καὶ ὅτι βάλανος οὐ μόνον καρπὸς δρυὸς ἀλλὰ καὶ καυλοῦ τοῦ κατ' ἄνδρας ἄκρον, ἰδοῦ δὲ καὶ ὀστράκου εἶδος, οὐ λανθάνει τοὺς εἰδότας. οὕτω δὲ οὐδ' ὅτι σωλὴν ἄλλως μὲν, τὸ κατὰ βίον σκεῦος. ἐκεῖθεν δὲ, καὶ ὁ θαλάσσιος. οὗ καὶ ἄλλα ὀνόματα ἐξ ὁμοιότητος, κατὰ τὸν εἰπόντα. σωλῆνες, οἱ καὶ αὐλοὶ καὶ δόνακες καὶ ὄνυχες, ὧν τὸ μὲν αὐλοὶ καὶ δόνακες, πρὸς τὸ στενὸν ἴσως καὶ ἐπίμηκες. τὸ δὲ ὄνυχες, πρὸς τὸ στεγανόν. ἔτι δὲ καὶ τὴν χρόαν τοῦ περιέχοντος. Ἔτι ἰστέον καὶ ὅτι ἐκ τοῦ εἰρημένου θῶ, γίνεται καὶ ὁ τιτθὸς καὶ τὸ τιτθίον. ἴσως δὲ, καὶ ἀπὸ τοῦ τιθῶ τὸ τίθημι, διὰ τὸ ἐντίθεσθαι τοῖς βρεφικοῖς στόμασι. καὶ ὅτι περὶ γαλαθηνῶν ζῴων φέρεται λόγος, ἐν Βαβυλῶνι ἐπὶ τοῦ χρυσοῦ βωμοῦ μὴ ἐξεῖναι θύειν εἰ μὴ γαλαθηνὰ μόνα κατὰ Ἡρόδοτον. Φάλαρις δέ φασιν ἐς τοῦτο ἤλασεν ὠμότητος, ὡς γαλαθηνὰ θοινᾶσθαι βρέφη. ὁ δὲ ῥηθεὶς Βαβυλώνιος νόμος, ἀπεναντίας τῷ Ἑλληνικῷ ἔκειτο. ὃς κηδόμενος τῆς τῶν θρεμμάτων ἐπιγονῆς, ἐκώλυσεν οὐ μόνον τὴν τῶν γαλαθηνῶν σφαγὴν, ἀλλὰ καὶ τὸ ἄπεκτόν φασιν ἢ ἄτοκον πρόβατον θύεσθαι. καὶ τὴν ἱέρειαν δὲ τῆς Ἀθηνᾶς ἔθος ἦν, φασι, μὴ θύειν ἀμνήν. Σημειωτέον δὲ καὶ τὴν γραφὴν τοῦ θῆσθαι διὰ τοῦ ἦτα φερομένην ὁμοίως τῷ χρῆσθαι. χρῆσις δὲ σύστοιχος αὐτῷ, καὶ τὸ θήσατο μαζὸν ἐν Ἰλιάδι. ὅθεν καὶ θηλὴ καὶ θηλάζειν. θηλὴ δέ ἐστι, τὸ ἀκρότατον τοῦ μαστοῦ. ἡ παρὰ τοῖς ἰδιώταις ῥὰξ θηλυκῶς ἀπὸ τῆς κατὰ τὴν σταφυλὴν ῥαγὸς οὐ μὴν ῥωγός. ῥὼξ γὰρ εἰπεῖν, βαρβαρισμὸς καὶ σολοικισμός ἐστιν ὥς φησιν Αἴλιος Διονύσιος. Ἰστέον δὲ καὶ ὁ τῶν εἰρημένων μετάλλων περιουσιασμὸς ἐκ τῶν πόῤῥωτέρω βαρβαρικῶν τόπων, οὐκ ἀπιθάνως ἐπὶ τῷ Μενελάῳ πλάττεται. εἴπερ ἀληθὴς, ἀληθὴς δὲ πάντως, ὁ ἱστορήσας ὅτι ἐν ἐσχατιαῖς οἰκουμένης, καὶ ποτάμια τὰ τυχόντα, ψήματα χρυσοῦ καταφέρει. καὶ τὰ μὲν Ἰνδικὰ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σιγάσθω. ἐκεῖνος δὲ λέγει ὡς τὰ πάλαι μὲν ῥιπαῖα ὄρη τῆς Γαλατίας, ὕστερον δὲ ὄλβια, νῦν δὲ ἄλπια καὶ ἄλπεις, φησὶ Ποσειδώνιος, αὐτομάτως ὕλης ἐμπρησθείσης, ἀργύρῳ διαῤῥυῆναι. οὗ τὸ πολὺ, βαθείαις καὶ κακοπάθοις μεταλλείαις εὑρίσκεται κατὰ τὸν Φαληρέα Δημήτριον. ἐλπιζούσης φησὶ τῆς πλεονεξίας, ἀνάξειν ἐκ μυχῶν γῆς αὐτὸν τὸν Πλούτωνα, καὶ σημείωσαι εἰς 1.152 ἀλληγορίαν. δηλοῖ γὰρ, ὡς ὁ τοῦ μύθου πλοῦτος ὑπόγειος πλάττεται εἶναι, οὐχ' ὅτι κατά τινας, ψυχαῖς πλουτεῖ, ἀλλ' ὅτι πλουτίζειν οἶδε τοῖς ἐκ γῆς μετάλλοις. τοῖς τε τιμιωτέροις, καὶ ὅσα δὲ, μὴ πολλοῦ τιμῶνται. (ῃερς. 90.) Ὅτι ἐπαναληπτικῶς μνησθεὶς ὁ Μενέλαος ὧν προεῖπεν, ἔτι δὲ καὶ καταστατικῶς, φησίν. Ἕως ἐγὼ περὶ κεῖνα πολὺν βίοτον συναγείρων ἠλώμην, τείως μοι ἀδελφεὸν ἄλλος ἔπεφνε λάθρῃ. ἀνωϊστί. δόλῳ οὐλομένης ἀλόχοιο. Καὶ ὅρα ὅτι θυμῷ καὶ λύπῃ ὁ ἥρως ἐχόμενος καὶ μισῶν τὸν μοιχὸν Αἴγισθον, οὐδὲ ὀνομάσαι αὐτὸν εἵλετο. ἀλλ' εἶπεν ἀορίστως ὡς ἄλλος αὐτὸν ἔπεφνε. (ῃερς. 92.) Καὶ οὐκ ὠνόμασε μὲν οὐδὲ τὴν Κλυταιμνήστραν. ὅμως δὲ δύο γοῦν λέξεις προσφυεῖς ἐδαπάνησεν εἰς αὐτήν. τὸ, οὐλομένης. καὶ τὸ, ἀλόχοιο. Σημείωσαι δὲ ὅτι Νέστωρ μὲν, πλεῖόν τι περὶ Ἀγαμέμνονος ἀφηγήσατο πρὸ βραχέων, ἔνθα καὶ περὶ ἀοιδοῦ τινος ἱστόρησε. Μενέλαος δ' ἐνταῦθα μνήμην ἐκείνου ἐν στενῷ ἔθετο ἐν οὐδὲ ὅλοις δυσὶ στίχοις, οἷα βαρυνόμενος, καὶ οὕτω πολυλογεῖν ὀκνῶν. διὸ οὐδὲ πρὸς ὄνομα ἐμνήσθη ὥσπερ οὐδὲ τοῦ Αἰγίσθου, οὕτως οὐδὲ τοῦ Ἀγαμέμνονος. ἀλλ' ἠρκέσθη, ἀδελφεὸν αὐτὸν προσειπών. ἃ δέ γε συνέβη περὶ τὸν Ἀγαμέμνονα, ταμιεύεται ὁ ποιητὴς αὐτῷ ἐκείνῳ τῷ βασιλεῖ ἐν ᾅδου, ἔνθα ἡ ἐκείνου ψυχὴ καταλέξει πάντα τῷ Ὀδυσσεῖ. ἐρεῖ δέ τι πρὸ αὐτοῦ καὶ ὁ Πρωτεὺς ἐν τοῖς ἑξῆς, ὡς μάντις. Καὶ ὅρα ποικιλίαν γραφῆς. τέτρασι γὰρ τόποις καταμερίσας ὁ ποιητὴς τὰ κατὰ τὸν Ἀγαμέμνονα, ἑκάστῳ τὸ οἰκεῖον ἀπένειμε. (ῃερς. 90.) Τὸ δὲ κεῖνα, τοὺς τόπους δηλοῖ οὓς ἀνωτέρω ἐτοπογράφησεν. Ἐν δὲ τῷ, πολὺν βίοτον ἀγείρων, ἐσίγησε τὸν παρὰ τῷ Νέστορι χρυσόν. ἐκεῖνος γὰρ ἔφη, βίοτον καὶ χρυσὸν ἀγείρων, ποιεῖ δὲ Ὅμηρος οὕτως, οἷα τοῦ χρυσοῦ πρὸ βραχέων μνησθείς. ὃς οἷα ἡλίου αἴγλη τοῖς βασιλικοῖς ἐναπήστραπτε δώμασιν. Ἰστέον δὲ καὶ ὅτι ὁ ῥηθεὶς ἐκ πλάνης ἀγυρμὸς ἐκ πόνου δηλοῖ κατὰ τοὺς παλαιοὺς, πεπλουτηκέναι τὸν Μενέλαον, μείζω κτησάμενον ὧν ἔσχεν ἐκ προγόνων. Τὸ δὲ τείως, καθ' ὁμοιότητά ἐστι τοῦ εἵως ἕως. δηλοῖ δὲ τὸ τοσούτῳ. Τὸ δὲ λάθρῃ, ταυτόν ἐστι τῷ ἀνωϊστί. τουτέστιν ὡς οὐκ ἄν τις οἴσαιτο. ἀμφοτέρων δὲ διασαφητικὸν τὸ, δόλῳ ἀλόχου. πᾶν γὰρ ὃ λάθρα καὶ ἀνωϊστὶ γίνεται, δόλῳ γίνεται. (ῃερς. 93.) Ὅτι ὁ μετὰ λύπης πλουτῶν, εἴπῃ ἂν ὡς οὔτι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω. Μενέλαος δὲ τοῦτο λέγει λελυπημένος ἐπὶ τῷ ἀδελφῷ. (ῃερς. 94.) Ὁ δὲ ἀναπέμπων εἰς ἀκοὴν γονέων ἃ λέγει πρός τινας, ἐρεῖ ἂν τὸ, καὶ πατέρων τάδε μέλλετ' ἀκουέμεν, οἵ τινες ὔμμιν εἰσί, δυστυχήσαντος δὲ ἀνδρὸς τὸ, ἐπεὶ μάλα πόλλ' ἔπαθον καὶ ἀπώλεσα οἶκον εὖ μάλα ναιετάοντα κεχανδότα πολλὰ καὶ ἐσθλά. (ῃερς. 97.) Ὁ δὲ προτιμώμενος ὀλίγα σχεῖν ἀπόνως ἐκ πολλῶν ὧν ἔσχεν ἐπικινδύνως, δύναται φάναι καὶ αὐτὸς, οὕτως. ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν, ναίειν. καὶ μὴ παθεῖν τό δέ τι. Μενελάου δὲ λόγοι καὶ ταῦτα. ὃν τίς φασιν οὐκ ἂν ἀγαπῴῃ τά τε ἄλλα, καὶ ὅτι περ ὑποκατιὼν, οὕτω φιλίως διάκειται περὶ τοὺς κινδυνεύσαντας ὑπὲρ αὐτοῦ, καὶ μάλιστα περὶ ἕνα τὸν Ὀδυσσέα; ὃν ὑπεξαιρεῖ τῶν ἄλλων, ἵνα μὴ δόξῃ κοινὸς ἐπίσης εἶναι πρὸς πάντας τοὺς εὐνοήσαντας. (ῃερς. 111.) Διὸ καὶ φιλοτιμεῖται μηδενὸς τῶν τοῦ Ὀδυσσέως παραμελεῖν, ἐν τῷ μεμνῆσθαι πάντων αὐτῶν πρὸς ὄνομα. ἤγουν τοῦ πατρὸς Λαέρτου. τῆς γυναικὸς Πηνελόπης. καὶ τοῦ υἱοῦ Τηλεμάχου. Ἐν οἷς ὅρα τὸ, ἀπώλεσα οἶκον, ἀμφιβόλως λεχθέν. (ῃερς. 95.) Δύναται γὰρ ὁ βασιλεὺς δηλοῦν καὶ τὸν ἑαυτοῦ καὶ τὸν τοῦ Πριάμου. καὶ συμβιβάζεται καὶ τὰ ἐφεξῆς πρὸς ταῦτα, διχῶς. ἵνα λέγῃ ὅτι ἀπώλεσα οἶκον ἐμὸν, ἔχοντα πολλὰ ὧν ὄφελον τριτάτην μοῖραν ἔχων ἐξ ἀρχῆς καὶ μὴ μετασχὼν τηλικαύτης, εὐδαιμονίας μὴ τοσούτους ἰδεῖν ὀλωλότας ἐν Τροίᾳ, μὴ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στρατεύσασθαι ὅλως ἐκεῖ. ἢ καὶ ἄλλως, ἀπώλεσα οἶκον τὸν τοῦ Πριάμου, κεκτημένον πολλὰ ὧν ὄφελον τὰ τρίτα κτησάμενος κατά τινα θετέον συμβίβασιν ὡς εἰκὸς, μὴ προσμεῖναι τῇ ἁλώσει τῆς Τροίας περὶ ἣν τοσοῦτοι ὤλοντο, ἐνταῦθα δὲ, προσεκτέον καὶ τῇ τοῦ παραφραστοῦ Δημοσθένους μεταβολῇ, ἐχούσῃ οὕτως. ἀντί γε τῶν ἀνδρῶν τῶν ἀπολωλότων, οὐκ ἂν ἐδεξάμην τὰ πάντων χρήματα πάντως, εἰ καὶ τὴν τρίτην μοῖραν τῶν νῦν ὄντων μοι, ἔχειν τις προὔτεινεν ἐφ' ᾧ τε σώζεσθαι τοὺς ἐν Τροίᾳ ἀπολωλότας. Ἔνθα ὅρα τὸν τ¯ε σύνδεσμον Ἀττικῶς πλεονάσαντα τὸ παρέλκον, ὡς ἐν καὶ τῷ, ἄλλως τε καὶ εἰ οἷον τε. (ῃερς. 96.) Τὸ δὲ ναιετάοντα, συνήθως ἔφη ἀντὶ τοῦ οἰκούμενον. συνηθέστερον δὲ τὸ, εὖ ναιομένην πόλιν. ἅπερ ἔπαινός ἐστιν εὐνομουμένης καὶ εὐδαίμονος πόλεως. ὥσπερ εὐτειχίστου, τὸ, ἐϋκτίμενον πτολίεθρον. δοκεῖ δὲ τὸ ναιετάειν, προϋποκείμενον ἔχειν θέμα, οὐ βαρύτονον τὸ ναίω, ἀλλὰ τὸ ναιῶ ναιέσω. ἐξ οὗ καθὰ αἰνῶ αἰνέσω αἰνέτης καὶ αἰνετὸς, 1.153 οὕτω καὶ ναιῶ ναιέσω, ναιέτης ὁ ἄλλως ναέτης. ἀφ' οὗ ῥῆμα τὸ ναιετῶ. ὁ δὲ εἰρημένος ναέτης, ὑποβάλλει νοεῖν, ὅτι ὥσπερ κλαίω κλάω καίω κάω, οὕτω δύναται καὶ ναίω νάω εἶναι ἀφ' οὗ ὁ ναέτης. ἴσως δὲ, ἀχρηστίαν ἐκύρωσε τοῦ νάω τὸ οἰκῶ, ἡ κοίνωσις τοῦ νάω τὸ ῥέω. εἴποι δ' ἄν τις, τούτων κατάρχειν θεματικὸν μονοσύλλαβον ῥῆμα τὸ, νῶ νήσω τὸ σωρεύω. ἐξ οὗ ὅλα τὰ τοιαῦτα. καὶ γὰρ καὶ οἱ ναίοντές που, σεσωρευμένοι εἰσί. καὶ πηγῆς δὲ ὕδωρ ἄθρουν σωρευθὲν, οὕτω νάει ἀπόῤῥυτον. ἢ καὶ ἄλλως, στατὸν μὲν, ἀένναον δέ. ἐκ τούτων δὲ, πολλὰ παρῆκται καὶ διάφορα. ὁ ναὸς ἐν ᾧ πολλοὶ συσσωρεύονται. ἡ ναῦς εἴτε νῆυς ἣν σωρὸς ἐγκείμενος βαρύνει. τὸ νᾶμα. αἱ νηΐδες. καὶ ἕτερα. Τὸ δὲ κεχανδότα, πλεονασμὸν ἔχει τοῦ ¯ν μετρικῶς. φύσει γὰρ, δίχα τοῦ ¯ν ἐστὶν ὡς δηλοῖ τὸ κέχαδεν. οὐ γὰρ ἀπὸ τοῦ χαίνω ἀλλ' ἐκ τοῦ χάζω, γίνεται. χρῆσις δὲ τοῦ κέχαδεν, ἐν τῷ, Ἥρῃ δ' οὐ κέχαδε χόλον θυμός. εἰ γὰρ καί τινες βούλονται γράφειν ἔχαδε λόγῳ δευτέρου ἀορίστου, ἀλλ' ἡ πλείων χρῆσις τῶν ἀντιγράφων, κέχαδεν αὐτὸ οἶδεν. (ῃερς. 100.) Ὅτι μνησθεὶς ὁ Μενέλαος τοῦ Ὀδυσσέως, λέγει ἅπερ ἄν τις παρῳδήσας ἐν καιρῷ προσαρμόσῃ ἀνδρὶ φίλῳ χρησίμῳ ἦν ὅτε. τῷ τέως δὲ, ἐπὶ μακρὸν ἀποδήμῳ. εἰσὶ δὲ ταῦτα. πάντας μὲν ὀδυρόμενος καὶ ἀχεύων, πολλάκις ἐν μεγάροισι καθήμενος ἡμετέροισιν, ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι. ἄλλοτε δ' αὖτε παύομαι. αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο. τῶν πάντων, οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ ὡς ἑνὸς, ὅς τέ μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδὴν μνωομένῳ. ἐπεὶ οὔτις Ἀχαιῶν τόσσ' ἐμόγησεν, ὅσσ' Ὀδυσσεὺς ἐμόγησε καὶ ἤρατο. τῷ δ' ἂρ ἔμελλεν αὐτῷ κήδε' ἔσσεσθαι. ἐμοί δ' ἄχος αἰὲν ἄλαστον κείνου. ὅπως δὴ δηρὸν ἀποίχεται. οὐδέ τι ἴδμεν ζώει ὅγ' ἢ τέθνηκεν. ὀδύρονται νύ που αὐτὸν Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια. Τηλέμαχός τε. καὶ ἑξῆς. Καὶ ὅρα ὅπως ὁ ποιητὴς πολυσχήμων ὢν, τὸν μὲν Νέστορα, ἔπλασεν ἐρωτήσαντα καὶ οὕτω μαθόντα τίνες οἱ παραβαλόντες ξένοι. τὸν δὲ Μενέλαον, ποιεῖ δίχα τοῦ ἐρωτῆσαι, γνόντα τοὺς ξενισθέντας. ἅμα γὰρ μνήμη τῶν τοῦ πατρὸς περιῆλθε τὸν Τηλέμαχον ἐξ ὧν ὁ Μενέλαος ἔφη, καὶ εὐθὺς δακρύσας, γνωρίζεται. ὡς φανήσεται κατωτέρω. ἐν τούτοις δὲ καὶ πίστις λαμπρὰ τῷ νεανίᾳ γίνεται τοῦ, πάνυ τὸν Ὀδυσσέα ὑπὸ Μενελάου φιλεῖσθαι. οὐ γὰρ μαθὼν τίνες οἱ ξένοι, εἶτα ἐλάλησεν ἔπαινον τοῦ Ὀδυσσέως. ἦ γὰρ ἂν ἔδοξε πρὸς χάριν ἐπαινεῖν. ἀλλ' ἁπλῶς οὕτω ἀνέπλευσαν καθ' Ἡρόδοτον εἰπεῖν, τοιοῦτοι λόγοι τῷ Μενελάῳ διὰ φιλίαν ἄκραν καὶ μνήμην παλαιῶν χαρίτων. ἧς ὀφειλέται οἱ εὐγενεῖς ὅτε πρός τινος εὖ πάθοιεν. (ῃερς. 106.) Ὅρα δ' ἐν τούτοις τὴν τῆς πολλῆς φιλίας αἰτίαν. τὸ πολλὰ μογῆσαι ὑπὲρ τοῦ φίλου. καὶ ὡς μετ' ὀλίγα φησὶ, πολλοὺς μογῆσαι ἀέθλους. οὐ μὴν τὸ πολλὰ συμφαγεῖν καὶ συμπιεῖν, οἷς οἱ φορτικοὶ φίλοι κρίνονται. κατὰ τὸ, οἷόν μιν ἐγὼ ἐνόησα οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε. Τὸ δὲ φρένα τέρπομαι, ἡδονήν τινα προσεῖναι καὶ τῷ δακρύειν δηλοῖ. Τὸ δὲ αἰψηρὸς κόρος γόου, γνωμικῶς ἐῤῥέθη. δηλοῖ δὲ οὐ παντελῆ παῦσιν θρήνου τοῦ ἐπὶ τοῖς φίλοις. ἀλλ' ὅτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταχὺ κορεννύμενοι τοῦ σφοδρῶς γοᾶσθαι, εἶτα διαλιπόντες, ἀναλαμβάνομεν αὖθις γόον. ὡς ἐδήλωσε καὶ τὸ, ἄλλοτε μὲν γόῳ τέρπομαι ἄλλοτε δὲ παύομαι. οὕτω καὶ ἐδωδῆς αἰψηρός ποτε κόρος, ὡς ἄλλοτε μὲν ἐσθιόντων ἄλλοτε δὲ παυομένων. τῷ γὰρ κόρῳ, ἀντιπίπτει ἔνδεια, οὐ μὴν παῦσις παντελής. ἔτι δὲ, κάματός τις καὶ γόος. τοῦ δὲ καμάτου, τάχιον ἡ φύσις κορέννυται. (ῃερς. 102.) Ὅρα δὲ ὅτι τὸ σκυθρωπὸν τοῦτο χωρίον ἐκαλλώπισε διά τε ἐπαναφορᾶς τοῦ ἄλλοτε μὲν ἄλλοτε δέ. καὶ διὰ παρίσων τοῦ τέρπομαι παύσομαι. καὶ, αἰψηρὸς κόρος. καὶ, κρυεροῖο γόοιο. (ῃερς. 104.) Τὸ δὲ οὐ τόσσον ὀδύρομαι, καὶ τὸ ἀχνύμενός περ, δηλωτικὰ καὶ αὐτὰ τοῦ μὴ σβέσιν τελείαν γίνεσθαι γόου. μὴ δὲ ταχὺν οὕτω κόρον, ὡς εἰς τὸ πᾶν παύεσθαι τὸ θρηνεῖν. ἰδοὺ γὰρ τοῦ μὲν Ὀδυσσέως, ὑπεραλγεῖ αἰὲν ἄλαστα ὁ βασιλεύς. ἐπὶ δὲ τοῖς ἄλλοις εἰ καὶ μὴ τόσσον ὀδύρεται, ἀλλ' οὖν ἄχνυται. ὁ δὲ τόπος οὗτος, ἔχει τι καὶ ὑπερβολῆς ἐν τῷ, τῶν πάντων, οὐ τόσσον ὀδύρομαι. οὐ γὰρ δήπου καὶ τοῦ ἀδελφοῦ Ἀγαμέμνονος πλέον ὁ Μενέλαος ὀδύρεται τὸν Ὀδυσσέα. (ῃερς. 105.) Τὸ δὲ ἐχθαίρει, οὐ δηλοῖ ἄρτι τὸ μισεῖ, ἀλλὰ τὸ, μισητὸν ποιεῖ. ὅπερ, ἐχθραίνειν φασὶν οἱ μεθ' Ὅμηρον. Τὸ δὲ ἐμόγησε, δὶς ἔφη συναπτῶς διὰ τὸ τῆς λέξεως καίριον. (ῃερς. 107.) Τὸ δὲ ἤρατο, οὐ μόνον ἀντὶ τοῦ ὑπέμεινε καὶ ἐβάστασεν οἱ παλαιοὶ νοοῦσιν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐπολέμησε, περὶ τὸν Ἄρην φασίν. εἰ δὲ εἶχε καὶ τὴν ¯ε¯ν πρόθεσιν, ἦν ἂν σαφέστερον. δοκοῦν τότε ἀπὸ τοῦ ἐναίρειν γενέσθαι ἀφ' οὗ καὶ ἔναρα τὰ λάφυρα. Ἐν δὲ τῷ, ζώει ὅγ' ἢ τέθνηκε, λείπει σύνδεσμος. ἵνα λέγῃ ἐνδοιαστικῶς ὅτι οὐκ ἴδμεν εἴπερ ζῇ ἢ τέθνη 1.154 κεν. ἢ καὶ ἄλλως, οὐκ ἴδμεν ἢ ζῇ ἢ τέθνηκεν. ὥσπερ κατωτέρω ἐρεῖ. ἢ πατρὸς ἐάσει μνησθῆναι, ἢ πρῶτα ἐξερέοιτο. Τὸ δὲ ὀδύρονται ὁ δεῖνα καὶ ὁ Τηλέμαχος, ἐπιτυχῶς εἶπεν ὁ Μενέλαος. πίστις γὰρ αὐτῷ τοῦ λόγου, τὰ εὐθὺς προλεχθέντα τῷ Τηλεμάχῳ δάκρυα. (ῃερς. 114.) Ὅτι δαψιλῆ δηλοῖ κλαυθμὸν τὸ, δάκρυ δ' ἀπὸ βλεφάρων χαμάδις βάλε πατρὸς ἀκούων. μετ' ὀλίγα δὲ τὸ αὐτὸ ἄλλως ἐρεῖ. αὐτὰρ ὃ, πυκνὸν ὑπ' ὀφρύσι δάκρυον εἶβεν. Ὅτι δὲ πολυπενθὴς ὁ χαμαὶ βάλλων ὅ ἐστι ῥίπτων δάκρυα, καὶ ἡ Ἰλιὰς ἔδειξεν. (ῃερς. 117.) Ὅτι προσεκτικὸν ἡ μακρὰ ἐκ πλάνης πολυπειρία τὸν Μενέλαον ἔθετο. διὸ οὐ μόνον ἡσυχῇ λαλῶν πρὸ βραχέων ὁ Τηλέμαχος οὐ διέλαθεν αὐτὸν, ἀλλὰ καὶ νῦν ἐκεῖνος μὲν, ἐδάκρυε, χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖσιν ἀνασχὼν ἀμφοτέραις χερσί. Μενέλαος δὲ νοήσας αὐτὸν, ἐβουλεύετο ἢ ἐάσει τὸν παῖδα μνησθῆναι τοῦ πατρὸς, ἢ πρῶτα ἐρωτήσει. ἐν τοσούτῳ δὲ τῆς Ἑλένης ἐξελθούσης ὡς εὐθὺς εἰρήσεται, γίνεται ὁ ἀναγνωρισμὸς δεξιώτερον. πορφυρὰν δὲ χλαῖναν ὁ ποιητὴς πλάττει τῷ Τηλεμάχῳ, οἷα βασιλέως υἱῷ. ἀνέχει δὲ αὐτὴν πρὸ ὀφθαλμῶν, αἰδούμενος εἰ δακρύων φαίνοιτο ἀνὴρ ὤν. (ῃερς. 121.) Ὅτι τὴν τῆς Ἑλένης ἔξοδον φράζων ἐνδιασκεύως, φησίν. ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο ἤλυθεν Ἀρτέμιδι χρυσηλακάτῳ εἰκυῖα. τῇ δ' ἄρ Ἀδρήστηκλισίην ἐΰτυκτον ἔθηκεν. Ἀλκίππη δὲ, τάπητα φέρεν μαλακοῦ ἐρίοιο. Φυλὼ δ' ἀργύρεον τάλαρον φέρε, τόν οἱ ἔδωκεν Ἀλκάνδρη Πολύβοιο δάμαρ. ὃς ἔναιεν ἐνὶ Θήβῃς Αἰγυπτίης. ὅθι πλεῖστα δόμοις ἐνὶ κτήματα κεῖται. ὃς Μενελάῳ δῶκε δύ' ἀργυρέας ἀσαμίνθους. δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα. χωρίς δ' αὖθ' Ἑλένῃ, ἄλοχος πόρε κάλλιμα δῶρα. χρυσῆν τ' ἠλακάτην, τάλαρόν θ' ὑπόκυκλον ὄπασσεν ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα κεκράαντο. ἤγουν ἐπὶ χρυσῷ τὰ χείλη ἀπήρπιστο καὶ τετελείωτο. ἐκ τοῦ κραιαίνω. ἢ τὰ χείλη χρυσῷ ἐκέκρατο. τοῦτον ἡ Φυλὼ τὸν τάλαρον παρέθηκε φέρουσα, νήματος ἀσκητοῖο βεβυσμένον αὐτὰρ ἐν αὐτῷ, ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα. Καὶ ὅρα ἐν τούτοις περιουσισμὸν Θηβαϊκῆς ὕλης τιμίας. ἧς βραχύ τι ἀποῤῥυὲν εἰς τὸν Μενέλαον, ἔπεισεν εἰπεῖν, πολλά τε ἀγαγέσθαι καὶ ἀμφήριστον ἐν ἀνθρώποις ἐπὶ κτήμασιν εἶναι. ὅτι δὲ πολὺς ἐν ταῖς Αἰγυπτίαις Θήβαις ὁ πλοῦτος, καὶ ἡ Ἰλιὰς ἐδήλωσεν. (ῃερς. 123.) Ἐν δὲ τῷ περὶ τῶν δουλίδων ἐνταῦθα λόγῳ,φασὶν οἱ παλαιοὶ ὡς ἄλλαι μὲν ἐν Ἰλιάδι θεράπαιναι τῇ Ἑλένῃ. ἄλλαι δὲ νῦν. οὐ γὰρ ἔδει φασὶ τὰς μετασχούσας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ ἁμαρτήματος, ἐᾶν συνεῖναι τῇ γυναικί. (ηερς. 121.) Θυώδης δὲ θάλαμος, ὁ εὐώδης. καθ' ὁμοιότητα τοῦ ἐν Ἰλιάδι θυόεντος νέφους. καὶ ἔστι τοῦτο σαφέστερον τοῦ, κηώεις. Ἰστέον δὲ ὅτι ἐκ τοῦ, τὸ θύος ἢ τὸ θύον, οὐ μόνον τὸ θυώδης καὶ τὸ θυόεν γίνεται, ἀλλὰ καὶ ῥῆμα θυῶ θυσώσω, συγγενές τι δοκοῦν εἶναι τῷ θειῶ θειώσω. ἐξ οὗ τό. θειώσωμεν μέγαρον ἐν τοῖς ἑξῆς. ἐκ δὲ τοῦ προῤῥηθέντος θυῶ τοῦ διὰ μόνου διχρόνου, καὶ θυώματα παρὰ Ἡροδότῳ, τὰ εὐώδη θυμιάματα. φησὶ γάρ. σμύρνης ἀκηράτου καὶ κασίης καὶ τῶν ἄλλων θυωμάτων. (ηερς. 121.) Ἀρτέμιδι δὲ χρυσηλακάτῳ τὴν Ἑλένην ὁ ποιητὴς εἰκάζει, διὰ τὴν κατὰ σῶμα φυήν. ἐντεῦθεν δὲ λαβόντες ἀρχὴν, οἱ μεθ' Ὅμηρον διὰ τὸ εἰς σελήνην ἀλληγορεῖσθαι τὴν Ἄρτεμιν, σεληναίαν ἄνθρωπον τὴν Ἑλένην ἐπλάσαντο. ὡς ἐκ τοῦ κατὰ σελήνην κόσμου πεσοῦσαν. καὶ αὖθις δὲ ἄνω ἁρπαγῆναι αὐτὴν ἐμυθεύσαντο, ἐπειδὰν δι' ἐκείνης αἱ τοῦ Διὸς ἠνύσθησαν βουλαί. καὶ τὴν Πηνελόπην δὲ Ἀρτέμιδι ἐν τοῖς ἑξῆς που εἰκάζει. ἔτι δὲ καὶ Ἀφροδίτῃ. τὸ μὲν, διὰ σωφροσύνην. τὸ δ' ὅτι οὐκ ἀδμὴς ἀλλ' ὑπὸ ἄνδρα ἦν. ὅλως δὲ, φιλεῖ καὶ τὴν Ἑλένην ὁ ποιητής. ἧς καὶ ἐν πολλοῖς ὑπεραπολογεῖται. φιλεῖ δὲ καὶ τὴν Πηνελόπην οὐχ' ἥκιστα. ἐξ ὧν αὐτῷ ἡ τῶν ἀξιολόγων ποιήσεων ἀφορμή. διὸ καὶ τοιούτοις αὐτὰς ἐπιθέτοις κοσμεῖ. (ηερς. 131.) Σημείωσαι δὲ καὶ ὡς εἰ καὶ διαλελυμένως χρυσῆν ἠλακάτην τὴν ἐκ τῆς εἰρημένης Ἀλκάνδρης ἡ Ἑλένη μεταχειρίζεται, ἀλλ' οὐκ ἂν ὁ ποιητὴς τολμήσῃ καὶ χρυσηλάκατον συνθέτως εἰπεῖν. τοῦτο γὰρ, ἀποκεκλήρωται τῇ Ἀρτέμιδι ὡς ἐργατικῇ καὶ τοξικῇ κατὰ τοὺς παλαιούς. Πίνδαρος δὲ, ἐθάῤῥησε συνθέτως ἐντεῦθεν χρυσηλάκατον Ἀμφιτρίτην εἰπεῖν, οὐ κατὰ τὴν Ἄρτεμιν. αὐτὴ μὲν γὰρ χρυσᾶ ἠλάκατα ἔχει ὅ ἐστι τόξα. Ἀμφιτρίτη δὲ, χρυσῆν ἠλακάτην ὁμοίως τῇ Ἑλένῃ. Ἐνταῦθα δὲ μνηστέον ζητήσεως λόγῳ, εἴπερ ἀπὸ τῆς ἠλακάτης εἴτε τῶν ἠλακάτων οἱ παρὰ τῷ δειπνοσοφιστῇ ἠλακατῆνες ἰχθύες ἐῤῥέθησαν. περὶ ὧν μυθικὸς λόγος, ὅτι Ἰχθύος καὶ Ἡσυχίας τῆς ἀδελφῆς, Γαλήνη καὶ Μύραινα καὶ Ἠλακατήν. ὧν ὁμώνυμα τὰ κατὰ θάλασσαν. Ὅρα δὲ καὶ ὅτι οὐ μόνον ὡς εἴρηται ὁ τοῦ Μενελάου οἶκος περιττῶς ἐσκεύασται ὡς οὐδεὶς ἕτερος τῶν Ἑλληνικῶν, ἀλλὰ καὶ ἡ Ἑλένη πολλὴν ἐξήρτη 1.155 ται πολυτέλειαν, τρυφὰς τραγικῶς εἰπεῖν ἔχουσα τρωϊκάς. ᾗ καὶ ὁ ἀργύρεος τάλαρος καὶ ἡ χρυσῆ 1.155 ἠλακάτη καὶ τὸ ἀσκητὸν νῆμα, πομπικῶς ἐκφέρονται πρὸς φαντασίαν ταλασιουργίας καὶ πλούτου ἐπίδειξιν. οὐ γὰρ παραδέδοται νήθουσα τῷ τέως, εἰ μὴ ἄρα κατὰ τὸ σιωπώμενον ὡς ἔθος τῷ ποιητῇ. (ηερς. 123.) Κλισίαν δὲ εὔτυκτον καὶ ἐνταῦθα, τὸν προλεχθέντα κλισμὸν λέγει. ἤγουν θρόνον ἔχοντά τι ἀνάκλιντρον. ᾧ καὶ τάπης ἐξ ἐρίου ἐπίκειται, προσκεφάλαιον δηλαδή. λέγει γοῦν ὑποκατιὼν ἕζετο δ' ἐν κλισμῷ ᾧ καὶ θρῆνυς ὑπέκειτο. περὶ δὲ κλισίας ὅτι τὲ ἐδιφορεῖτο κατὰ τὴν ἄρχουσαν καὶ ὅτι ὡς ἐπὶ πολὺ σκηνὴν δηλοῖ, ἐν τῇ Ἰλιάδι ἐῤῥέθη. ῥηθήσεται δέ τι καὶ ἐν τοῖς ἑξῆς περὶ αὐτῆς. ἔχει δὲ ἡ Ἰλιὰς καὶ περὶ ταπήτων καὶ δαπίδων, τὸ ἀρκοῦν. (ηερς. 124.) Τὸ δὲ φέρειν, καιρία λέξις ἐπὶ βαστάγματος οὖσα, τρὶς ἐνταῦθα κατ' ἐπιμονὴν εἴρηται. ἀπ' αὐτοῦ δὲ σὺν ἄλλοις τοῖς ἀλλαχοῦ δηλουμένοις, καὶ φερέπονος. οὕτω δὲ καὶ φερέκακος ὁ καρτερικός. καὶ φερνὴ ἡ προῖξ. ἣν καὶ φέρνην τινές φασι βαρυτόνως. καὶ φέρτρον, κλίνη νεκρικὴ ἐν Ἰλιάδι. καὶ φορεῖον. ὃ καὶ φέρεθρον φασί τινες λέγεσθαι, ὡς ῥέεθρον καὶ πύρεθρον. οἷον φέρεθρα ἔχοντα εἰκόνας βασιλέων. ἔν τινι δηλαδὴ πομπῇ βασιλικῇ. (ηερς. 126.) Ὅρα δὲ καὶ ὅτι Πόλυβος οὐ μόνον ὄνομα Ἑλληνικὸν, ἀλλ' ἰδοὺ καὶ Αἰγύπτιον. Καὶ ὅτι ἐν μὲν Ἰλιάδι, ἔφη τι πλατύτερον περὶ τοῦ Θηβαϊκοῦ πλούτου. καὶ ὅλως, περὶ Αἰγυπτίων Θηβῶν. (ηερς. 127.) Ἐνταῦθα δὲ, ἠρκέσθη ἐν ὀλιγίστῳ εἰπεῖν, ὡς πλεῖστα ἐκεῖ δόμοις ἐν κτήματα κεῖται. ἅπερ ἂν εἴη κειμήλια. πολὺν πλοῦτον οὕτω δηλώσας τῆς πόλεως. οὐ μὴν καὶ δύναμιν ὡς ἐκεῖ ἐποίησεν. Ὅρα δὲ καὶ ὅτι τὸ Αἰγυπτίαις, συστέλλει τὴν προπαραλήγουσαν διὰ μέτρον ὡς καὶ ἐν τοῖς ἑξῆς. καθὰ καὶ πρὸ βραχέων ἐν τῷ παράκοιτις Θῶνος Αἰγυπτίη. καὶ Αἰγυπτίους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπαληθείς. αἰτία δὲ τῆς τοιαύτης συστολῆς τοῦ ¯υ, οὐ μόνον ἡ ἀσθένεια τῶν μετ' αὐτὸ κειμένων δύο ψιλῶν συμφώνων κατὰ τοὺς παλαιοὺς, ἀλλὰ μάλιστα ἡ ἀνάγκη τοῦ μέτρου. οὐ γὰρ ἦν ἄλλως ποδίζεσθαι τὰ ἐξ Αἰγύπτου ταῦτα παράγωγα, εἰ μὴ ἐν συστολῇ τοῦ ῥηθέντος διχρόνου. αὐτοῦ δὲ συσταλέντος, γίνεται δάκτυλος. ἡ τοιαύτη δὲ ἀνάγκη, καὶ τοῦ Σκαμάνδρου καὶ τῆς Ζελείας, ἀφείλετο τὸ δύνασθαι ἐκτείνειν τὰ πρὸ αὐτῶν βραχέα ὡς ἐν Ἰλιάδι ἐφάνη. (ηερς. 128.) Αἱ δὲ ἀργύρεαι ἀσάμινθοι καὶ τὰ ἐφεξῆς, τῶν κειμένων ἐν Θήβαις κτημάτων δείγματα, οἷα ἐκεῖθεν εἰς Σπάρτην ἐλθόντα. (ηερς. 129.) Περὶ δὲ ταλάντων, πολλαχοῦ διείληπται. (ηερς. 130.) Τὸ δὲ χωρὶς, ἀντὶ τοῦ, ἰδίᾳ καὶ ἐν μέρει. ἀγαθὸν δὲ πάντως τοιαύτη ἔρις γυναικὸς πρὸς ἄνδρα, δωρεῖσθαι καὶ αὐτὴν ὁμοίως τῷ ἀνδρὶ, ὡς εὐεργετικοὺς ἀμφοτέρους εἶναι καὶ οὕτω τὴν κατὰ βίον ἐξισάζεσθαι πορείαν αὐτοῖς. (ηερς. 131.) Τάλαρος δὲ, ὡς μὲν γίνεται ἀπὸ τοῦ τάλας καὶ τοῦ αἴρειν οἱονεὶ ὁ τλήμων φέρειν τὰ ἐν αὐτῷ, δῆλον. ἴσως δὲ λεχθείη ἄν ποτε καὶ κάλαθος. εἰ καὶ ἄλλως, δημητρειακοῦ καρποῦ συγκομιστὴς ὁ κάλαθος ὡς καὶ ὁ παρὰ τῷ Καλλιμάχῳ δηλοῖ. ἦν δέ τις φασὶ τάλαρος, καὶ τυροκομεῖον λεγόμενος. ἐν δὲ τοῖς τοῦ δειπνοσοφιστοῦ, φέρεται ὅτι Τίμων ὁ σιλλογράφος καὶ τὸ μουσεῖον τάλαρόν που φησίν, ἐπισκώπτων τοὺς ἐν αὐτῷ τρεφομένους φιλοσόφους ὅτι ὡς ἐν πανάγρῳ τινὶ σιτοῦνται. καθά περ οἱ πολυτιμότατοι ὄρνιθες πολλοὶ μὲν βόσκονται ἐν Αἰγύπτῳ πολυφύλλῳ βυβλιακῇ χαρακίται ἀπείριτα δηριόωντες μουσάων ἐν ταλάρῳ. τοῦτο δὲ χρήσιμον καὶ εἰς τὸ ἀποφώλιος, ὅπερ ἐν τοῖς ἑξῆς που ἐρεῖ ὁ Ὅμηρος· οἱ γὰρ ἐν τοιούτῳ ταλάρῳ τοιοίδε ὄρνιθες, προσφυῶς ἂν καὶ ἐν φωλεῷ μουσῶν εἶναι λεγόμενοι, ἀποφώλιοι ἂν εἶεν εἴπερ ἀποῤῥιψεῖεν ὡς ἀπῳδοί τινες καὶ παράμουσοι. ὑπόκυκλος δὲ τάλαρος, ὁ περίτροχος καὶ περιφόρητος τοῖς ὑποκάτω τροχίλοις, ἢ κυκλοτερής. (ηερς. 134.) Νῆμα δὲ ἀσκητὸν, τὸ πεφιλοκαλημένον καὶ ἐπιμεμελημένον. ἔστι δὲ καὶ ἔριον εἰπεῖν ἀσκητὸν, ὡς ἐκ τοῦ ἤσκειν εἴρια καλά. καὶ χιτῶνα δὲ, διὰ τὸ, πτύξασα καὶ ἀσκήσασα χιτῶνα. καὶ λέχος δέ που ἀσκητὸν ἐρεῖ Ὅμηρος ἐν τοῖς μετὰ ταῦτα. κυριολεκτεῖται δὲ μάλιστα τὸ ἀσκεῖν, ἐπὶ ἀνδρῶν ἀθλητῶν ὡς καὶ ἐν ἄλλοις δεδήλωται. Βεβυσμένος δὲ, ὁ γέμων καὶ μετὰ ὠθισμοῦ τινος μεστὸς, παρὰ τὸ βύω. ὅθεν καὶ ὁ κωμικός φησιν, τὸ στόμ' ἐπιβύσας κέρμασι, τῶν ῥητόρων. καὶ ξύλα δὲ οὕτω παραβύει τις ὑποκαιόμενα, τρίποδι. ἐντεῦθεν καὶ παράβυστος ὃς ἑαυτὸν παρέβυσε τόπῳ τινὶ ἐπικρύψας. καὶ τὸ ἐν παραβύστῳ, ἀντὶ τοῦ ἐν τόπῳ καὶ γονίᾳ ᾧ τις οὕτω πως παραβέβυσται. καὶ ὠτίον δὲ βλαβὲν τοὺς πόρους, βεβύσθαι λέγεται μέχρι καὶ νῦν παρά τισι τῶν ὑπὲρ Σινώπην Λευκοσύρων. ἐκεῖθεν δὲ καὶ ἡ ἀκροβυστία καὶ ὁ ἀκρόβυστος. Τὸ δὲ τετάνυστο, δηλοῖ μὴ ὀρθὴν ἵστασθαι τὴν ἠλακάτην, ἀλλὰ περὶ τὸν τάλαρον κεῖσθαι ἀπὸ χείλους εἰς χεῖλος διήκουσαν. ἴσως δὲ 1.156 καὶ μῆκος αὐτῆς ἡ λέξις δηλοῖ. (ηερς. 135.) Ἰοδνεφὲς δὲ, τὸ μέλαν φασίν. ἢ πορφυροῦν. ἢ τὸ λεγόμενον κατὰ παλαιοὺς, ἰάνθινον. σύγκειται δὲ κατὰ πλεονασμὸν τοῦ ¯δ ἀπὸ ἴου καὶ νέφους. ἀμφοτέρων μελάνων σωμάτων. Τὸ δὲ εἶρος, πρωτότυπόν ἐστι τοῦ εἰρίον ὡς τειχίον. ὅθεν ἔριον ὡς ἴχνιον. παραβλητέον δὲ τὴν ἐνταῦθα τῆς ἡρωΐδος Ἑλένης ταλασιουργίαν, τῇ τοῦ ἐπιτρίπτου βασιλέως Σαρδαναπάλου. ἡ μὲν γὰρ εὐγενῶς προῆλθε ἐπιδεικνυμένη τὰ γυναιξὶ προσήκοντα, καὶ λαλεῖ σπουδαῖα καὶ θαυμάζεται. ὁ δὲ, ἐψιμυθιώμενος φασὶ καὶ κεκοσμημένος γυναικιστὶ, μετὰ τῶν παλλακίδων ἔξαινε πορφύραν, γυναικείαν στολὴν ἔχων, καὶ κατεξυρημένον πώγωνα, καὶ κατακεκισσηρισμένον. ἦν δέ φασι καὶ γάλατος λευκότερος, καὶ ὑπογέγραπτο τοὺς ὀφθαλμούς. (ηερς. 141.) Ὅτι οὕτω πρὸς θέαν προσώπου περίεργος ἡ Ἑλένη καὶ μνήμων ὄψεως, ὥστε πολλῶν εἰκασμοὺς ἐναποκειμένους φέρειν τῇ ψυχῇ. φησὶ γοῦν, ὡς οὔπω τινά φημι ἐοικότα ὧδε ἰδέσθαι οὔτ' ἄνδρ' οὔτε γυναῖκα, σέβας μ' ἔχει εἰσορόωσαν, ὡς ὅγ' Ὀδυσσῆος υἱῷ ἔοικε Τηλεμάχῳ. τοῦτο δὲ, ἀφελῶς ἐῤῥέθη καὶ ἐνδιαθέτως. ἢ καὶ ὡς εἰπεῖν, ἐκ περισσοῦ. ἤρκει γὰρ εἰπεῖν μόνον τὸ, Ὀδυσσέως υἱῷ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔοικεν. ἐπεὶ οὐχ' ἁπλῶς Τηλεμάχου σημεῖα τὰ ῥηθέντα. υἱοῦ δὲ Ὀδυσσέως. εἰκὸς δὲ πάντως, τὴν οὕτως ἐρωτικὴν Ἑλένην πολλὰς μορφὰς ἐναπομάξεσθαι τῇ ψυχῇ. Ἀθήναιος δὲ ἄλλως τὸ τοιοῦτον πιθανευόμενος ἤγουν τὸ τὴν Ἑλένην ἐκ τῆς ὁμοιότητος τεκμαίρεσθαι, λέγει ὅτι πάνυ αἱ γυναῖκες διὰ τὸ παρατηρεῖσθαι τὴν ἀλλήλων σωφροσύνην, δειναί εἰσι τὰς ὁμοιότητας τῶν παίδων πρὸς τοὺς γονέας ἐλέγξαι. ἐν τούτοις δὲ καθὰ καὶ ἐν Ἰλιάδι, καταλέγει ἑαυτῆς. (ῃερς. 145.) εἰποῦσα, ὡς ἐμεῖο κυνώπιδος εἵνεκ' Ἀχαιοὶ ἤλθεθ' ὑπὸ Τροίην, πόλεμον θρασὺν ὁρμαίνοντες. παραμυθουμένη οὕτω τὸν ἄνδρα τῆς εἰς Τροίαν ἑκουσίου ἀπελεύσεως. ὅτι δὲ ἑκοῦσα ἡρπάγη, αὐτὴ ἐρεῖ σαφῶς ἐν τοῖς ἑξῆς. ἡ δὲ εἰσβολὴ τοῦ λόγου τῇ Ἑλένῃ, κατ' ἐρώτησιν. (ῃερς. 139.) ἴδμεν δὴ οἵ τινες οἵ δε ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ; τοῦτο δὲ δύναται λέγεσθαι ὅτέ τινες ἀγνοούμενοι ἐνδημήσουσί που. ὥσπερ αὖ πάλιν στοχαζόμενός τις ἐρεῖ τὸ, ψεύσομαι, ἢ ἔτυμον ἐρέω. κέλεται δέ με θυμός. (ῃερς. 146.) Τὸ δὲ ὑπὸ Τροίην, τὸ ταπεινὸν τοῦ ναυστάθμου ἐμφαίνει, κειμένου ὑπὸ τὴν ἠνεμόεσσαν Τροίαν. Πόλεμον δὲ θρασὺν, τὸν ἀναιδῆ λέγει. ἐκ τῶν θρασυνομένων στρατιωτῶν ὀνομάσας τὸ ἔργον αὐτῶν. (ῃερς. 148.) Σημείωσαι δὲ καὶ ὅτι τῆς Ἑλένης ἀρχὴν ἐνδούσης ἀναγωρισμοῦ, ἀνακινήσας τὸ φανταστικὸν τῆς ψυχῆς ὁ Μενέλαος καὶ πορισάμενος ἐπὶ τῷ Τηλεμάχῳ πλείω τεκμήρια, φησίν. οὕτω νῦν καὶ ἐγὼ νοέω γύναι ὡς σὺ ἐΐσκεις. κείνου γὰρ, τοιοίδε πόδες. τοιαί δέ τε χεῖρες. ὀφθαλμῶν τε βολαί. κεφαλή τ', ἐφύπερθέ τε χαῖται. ὧν μηδὲν ὁ ῥήτωρ Νέστωρ ἐν τοῖς πρὸ τούτων παρασημηνάμενος, ἐκ τῆς ἐν λόγοις μάλιστα ὁμοιότητος πατρῴζειν ἔγνω τὸν Τηλέμαχον, ἐμφήνας ἠρέμα καὶ αὐτὸς τὸν ἐκ μορφῆς γνωρισμὸν ἐν τῷ, σέβας μ' ἔχει εἰσορόωντα. ὁ δέ γε Μενέλαος, τοῖς ῥηθεῖσι προσεπιτίθησιν εἰς σημεῖον, καὶ τὸ πρὸ βραχέων δάκρυον τοῦ Τηλεμάχου, ὅτε μνήμη τοῦ Ὀδυσσέως ἐγένετο. Ἔνθα σημείωσαι ὅτι δίκην ἀγαθοῦ ζωγράφου, πάντη ἐξομοιῶν Ὅμηρος τῷ πατρὶ τὸν υἱὸν Τηλέμαχον, πεποίηκεν ἀμφοτέρους τὸν μὲν, ἐνταῦθα τῷ Μενελάῳ, ἐκεῖνον δὲ παρὰ Φαίαξι τῷ Ἀλκινόῳ, διὰ δακρύων γνωριζομένους. ὅτι δὲ καὶ τὸν Ὀδυσσέαμόνη ἀνέγνω ἡ Ἑλένη περὶ Τροίαν, ἐν τοῖς μετὰ ταῦτα φανεῖται. (ῃερς. 141.) Σημείωσαι δὲ ὅτι κατὰ τὴν τοῦ Ἀριστοτέλους ἱστορίαν, ἔστι πλέον ἀνδρῶν εἰς μνήμην ταῖς γυναιξί. φησὶ γὰρ ὅτι γυνὴ, ἀνδρὸς ἐλεημονέστερον. καὶ ἀρίδακρυ μᾶλλον. ἀπατητικώτερόν τε καὶ μνημονικώτερον· εἰ δὴ τοιαύτη καὶ ἡ Ἑλένη, ἔστιν ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ θεωρεῖν. (ῃερς. 149.) Ἰστέον δὲ ὡς ὁ μὲν κανὼν τῆς ἐκφράσεως ἐκ κεφαλῆς εἰς πόδας προάγει τὸν ῥήτορα. ἐνταῦθα δὲ, ἀνάπαλιν ἔφρασεν ὁ Μενέλαος, ἐπεὶ μὴ λαλεῖ πρὸς ἔκφρασιν. (ῃερς. 158.) Ὅτι πεπαιδευμένου ἀνδρὸς ἔπαινος καὶ σιωπηλοῦ ἐν τοῖς καιρίοις καὶ μάλιστα ὅτε σοφὸς παρείη τις ἄνθρωπος, τὸ, ἀλλὰ σαόφρων ἐστί. νεμεσσᾶται δ' ἐνὶ θυμῷ ὧδ' ἐλθὼν τοπρῶτον, ἐπεσβολίας ἀναφαίνειν ἄντα σέθεν. οὗ θεοῦ ὣς τερπόμεθ' αὐδῇ. (ῃερς. 159.) Ἐπεσβολίας δὲ λέγει φασὶν, ἢ τὰς τῶν ἐπῶν εἰσβολὰς καὶ ἀρχὰς, οἷον ὅτι διὰ σωφροσύνην οὐ βούλεται προκατάρχειν λόγου. ἢ τὰς κατὰ τῶν βιαίων μνηστήρων ὕβρεις, ἢ τὰς παρ' ἐκείνων εἰς τὸν οἶκον τοῦ Ὀδυσσέως καὶ εἰς τὸν αὐτοῦ υἱὸν γινομένας φλυαρίας. ἢ μᾶλλον καιριώτερον εἰπεῖν, λοιδορίας καὶ βλασφημίας. ἐπειδὴ ὥσπερ λοιδορία, λόγος ὡς δόρυ πλήττων. καὶ βλασφημία, βολή τις ἐν φήμαις, οὕτω καὶ ἐπεσβολία, τὸ ἔπεσι βάλλειν. καὶ ἔστιν εἰπεῖν, ὅτι καθάπερ τὸ ποταίνιον καὶ τὸ πρόσφατον ταυτά εἰσιν 1.157 ἐν ἰσοδυναμίᾳ τῶν συντεθεισῶν λέξεων, οὕτω ταυτὰ καὶ ἡ ἐπεσβολία καὶ ἡ βλασφημία καὶ ἡ λοιδορία. ὡς γὰρ ἡ π¯οτι πρόθεσις ἡ αὐτὴ οὖσα τῇ πρ¯ος καὶ ὁ αἶνος ὅμοιος ὢν τῷ, φατὸς λόγος, ποιεῖ ποταίνιον, ὅπέρ ἐστι πρόσφατον. περὶ οὗ δηλαδὴ ἐγγὺς καὶ προσεχῶς ἐλέγετό τι, οὕτω ταυτὸν καὶ ἔπος καὶ φήμη καὶ λόγος. ἃ συντεθέντα μετὰ τοῦ δόρυ καὶ φήμη καὶ βολὴ, ἐποίησαν τὴν ἐπεσβολίαν καὶ τὴν βλασφημίαν καὶ τὴν λοιδορίαν. ἔστι γὰρ λοίδορος μὲν, ὁ λόγοις οἷον καταδορατίζων. ἐπεσβόλος δὲ καὶ βλάσφημος, ὁ ἔπεσι βάλλων καὶ φήμαις. ἔστι δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἄλλως εἰπεῖν, ὅτι οὐχ' ὥσπερ τὸ ποταίνιον καὶ τὸ πρόσφατον, οὕτω κατ' εὐθὺ καὶ αἱ τοῦ ἐπεσβόλου καὶ τοῦ βλασφήμου ἰσοδύναμοι λέξεις κεῖνται, ἀλλὰ ἀναστρόφως. ἐν μὲν γὰρ τῷ ἐπεσβόλος, πρόκειται τὸ ἔπος. ἐν δὲ τῷ βλάσφημος, ἡ ἰσοδύναμος τῷ ἔπει λέξις, ὑστέρα κεῖται. τὸ δὲ ὅμοιον γίνεταί πως καὶ ἐν τῷ, βλάσφημος καὶ λοίδορος. τοιοῦτον καὶ τὸ ἀρχιερεὺς καὶ ἱεράρχης, καὶ ἄλλα τοιαῦτα. ἐν οἷς καὶ ὁ ἀλεξίκακος καὶ ὁ κηραμύνθης παρὰ Λυκόφρονι. ταυτὸν γὰρ τὸ ἀλεξῆσαι κακόν τι καὶ ἀναστρόφως εἰπεῖν, κῆρα ἀμῦναι. οὐκ ἀπέοικε δὲ τῶν τοιούτων, οὐδὲ τὸ θυμοραϊστὴς καὶ ῥαθυμία ἡ ῥαΐζουσα τὸν θυμόν. οὐδὲ τὸ ἀλεξάνεμος χλαῖνα καὶ χειμάμυνα. ἐπεὶ καὶ ὅμοια, ἀλέγειν ἄνεμον καὶ χειμῶνα ἀμύνεσθαι. οὕτω δέ πως καὶ ἐκ τοῦ πάλαι ἀρχαιρεσιάζειν, παραπεποίηται ὕστερον τὸ αἱρεσιαρχεῖν. ὅμοιον καὶ τὸ, ἀελλόπους καὶ ποδήνεμος. καὶ φερένικος καὶ νικηφόρος. καὶ Εἰδοθέα καὶ θεοειδείς. Ἰστέον δὲ καὶ ὡς ἡ λοίδορος ἐπεσβολία εἴτουν βλασφημία, καὶ αἰσχρὰ ἔπη λέγοιντ' ἂν Ὁμηρικῶς. ἐξ ὧν οἱ ὕστερον, τὴν αἰσχροῤῥημοσύνην καὶ τὴν αἰσχρολογίαν συνέθεντο. δῆλον δ' ὅτι κατὰ τὰς ἐκτεθειμένας προσεχῶς μεταθέσεις ἢ ἀναστροφὰς τῶν συνθέτων ἰσοδυνάμων λέξεων, καὶ τὴν ἐχενηΐδα, ναυκράτην ἔγραψέ τις. τοιαύτη καὶ ἡ τοῦ γίγας καὶ γηγενὴς σκευωρία. γηγενὴς μὲν γὰρ, ὁ ἐκ γῆς γεγονὼς, ὅθεν καὶ διὰ τοῦ ¯η ἡ ἄρχουσα. γίγας δὲ, παρὰ τὸ γίνεσθαι καὶ τὴν γῆν, διὸ καὶ διὰ διχρόνου ἔχει τὴν παραλήγουσαν. ὁμοίου δὲ τρόπου καὶ τὸ γακίνας ὁ σεισμὸς καὶ σεισίχθων ὁ Ποσειδῶν. καὶ τὸ χρονοτριβεῖν καὶ τριψημερεῖν περὶ οὗ προεγράφη καὶ τὸ, πόδας ἀργοὶ καὶ ἀργίποδες. καὶ τὸ, γυναικάνδρεσσι ποθεινοί. καὶ τὸ, ἀνδρογύνοις. οἳ καὶ ἀῤῥενόπαιδες λέγονται ὡς καὶ αὐτὸ ἐδηλώθη ἀλλαχοῦ. τὰς δὲ ἐπεσβολίας, ἐπιστομίας ὁ Ζηνόδοτος γράφει, ὥς φασιν οἱ σχολιασταί. (ῃερς. 161.) Ὅτι Τηλέμαχος μὲν, ἐκ περινοίας ἐγνωρίσθη τοῖς βασιλεῦσιν. ὁ δὲ Νεστορίδης μήτε ἐρωτηθεὶς μήτε ἄλλως γνωρισθεὶς, ἑαυτὸν ἀναφαίνει, εἰπών. αὐτὰρ ἐμὲ προέηκε Νέστωρ. καὶ τὰ ἑξῆς. ἵνα κἀν τούτῳ ποικίλως γράψῃ ὁ ποιητής. (ῃερς. 164.) Ὅτι γνωμικῶς ἐῤῥέθη τὸ, πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς παῖς οἰχομένοιο, ἐν μεγάροις. ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν, ὅ ἐστι βοηθοὶ σπουδαῖοι, μὴ ἀναμένοντες ὄσσαν εἰς τὸ βοηθῆσαι. ἦν γὰρ ἔθος, ἐρωτᾶν τὸ θεῖον. καὶ βοηθεῖν μὲν, εἰ προτραπείη τις. ἡσυχάζειν δὲ, εἰ κωλύεται. τοὺς δὲ σπουδαίους βοηθοὺς, ἄλλως μάλιστα ἐδήλωσεν Ἡσίοδος ἐν τῷ. ἄζωστοι κίον. σπουδαιότεροι γὰρ ἀοσσητήρων οἱ προϊόντες εἰς ἄμυναν ἄζωστοι. τοὺς δὲ ἀοσσητῆρας ἑρμηνεύων ὁ ποιητὴς, ἐπάγει. οἳ ἀλάλκοιεν κακότητα. (ῃερς. 166.) Ὅτι στέρησιν ἀγαθοῦ οἰκοδεσπότου δηλοῖ τὸ, ὁ μὲν, οἴχεται. οὐδὲ οἱ ἄλλοι εἰσὶν, οἳ κατὰ δῆμον ἀλάλκοιεν κακότητα. (ῃερς. 169.) Ὅτι πρὸς υἱὸν φίλου εὐεργέτου ἐνδημήσαντα, καλὸν εἰπεῖν τὸ, ἦ μάλα δὴ φίλου ἀνέρος υἱὸς, ἐμὸν δῶ ἵκεθ' ὃς εἵνεκ' ἐμοῖο πολεῖς ἐμόγησεν ἀέθλους. (ῃερς. 171.) ἐπὶ δὲ φίλῳ ἀγαθῷ ἀποδήμῳ ἐπὶ μακρὸν, ἔχοι ἄν τις εἰπεῖν κατὰ ὅρον φιλίας ἀληθοῦς τὸ, καί μιν ἔφην ἐλθόντα, φιλησέμεν ἤτοι φιλοφρονήσεσθαι, ἔξοχον ἄλλων. (ῃερς. 179.) Καί κεν θάμ' ἐνθάδ' ἐόντες ἐμισγόμεθα. ὅ ἐστι συνῆμεν. οὐδέ κεν ἡμέας ἄλλο διέκρινε φιλέοντέ τε τερπομένω τε, πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν. ἐνταῦθα δέ τινος παλαιοῦ γράψαντος ὅτι γηράναι ἤθελεν ὁ Μενέλαος μετὰ Ὀδυσσέως ἤγουν εἰς γῆρας ἐλθεῖν πρὸς ὁμοιότητα τοῦ δειπνάναι καὶ ἀριστάναι περὶ ὧν καὶ ἑτέρωθι δηλωθήσεται. προσενθυμητέον καὶ Ἡσιόδου τὸ, γηράντεσσι τοκεῦσιν. ὧν θέμα σεσιγημένον, τὸ γήρημι κατὰ τὸ αἴτημι. οὗ χρῆσις παρὰ Πινδάρῳ ἐν τῷ, τί ἔρδων, φίλος σοί τε καρτεροβρόντα Κρονίδα, φίλος δὲ Μοίσαις, εὐθυμία τε μελῶν εἴην; τοῦτ' αἴτημί σε. καὶ τοῦτο μὲν, τοιόνδε. (ῃερς. 181.) Ὅμηρος δὲ τοῖς προειρημένοις, ἐπάγει καὶ τὸ, ἀλλὰ τὰ μέν που ἔμελλεν ἀγάσσεσθαι θεὸς αὐτός. ὃς κεῖνον δύστηνον, ἀνόστιμον ἔθηκε. Καὶ ὅρα τὸ ἀνόστιμον, κατὰ στέρησιν ῥηθὲν τοῦ νοστίμου, οὐ τοῦ ἡδέος ἀλλὰ τοῦ νοστήσαντος ὃς ἐν ἄλλοις ὑπότροπος λέγεται. (ῃερς. 180.) Τὸ δὲ εἰρημένον ἦθος τοῦ Μενελάου ἐθέλοντος εἰς ἑαυτὸν μετοικίσαι τὸν φίλον Ὀδυσσέα,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχοι ἂν ὁμοιούμενον καὶ τὸ τοῦ Ἀττικοῦ Θεμιστο 1.158 κλέους. ὃς τρίκλινόν φασιν οἰκοδομησάμενος περικαλλέστατον, ἀγαπᾶν ἔφησεν εἰ τοῦτον φίλων πληρώσειεν. οἱ δὲ ὕστερον ἄνθρωποι, τοιοῦτον μὲν οὐδὲν φιλήσουσιν. εὔξαιντο δ' ἂν μὴ δ' αὐτοὶ κατ' οἴκους εἶναι εἰ μόνον πλησθεῖεν ἀργύρου καὶ χρυσοῦ καὶ λοιπῆς φλυαρίας βιωτικῆς. Τὸ δὲ νέφος ἀμφεκάλυψεν, ὅτι καὶ ἐπὶ δικτύων λέγεται καλυπτόντων ὄρνιθας ἃ καὶ νεφέλας λέγει ὁ κωμικὸς, ἐν ἄλλοις δηλοῦται. (ῃερς. 181.) Τὸ δὲ ἀγάσεσθαι, ταυτόν ἐστι τῷ ἀγαίεσθαι καὶ μεγαίρειν καὶ φθονεῖν. Ἐν δὲ τῷ, διέκρινε φιλέοντε, ὅρα ὅτι καθ' ὁμοιότητα τοῦ εἴρειν ἐξ οὗ ποτὲ μὲν, ἡ φαύλη ἔρις ποτὲ δὲ ἡ ἀγαθὴ ἔρις καὶ ἡ εἰρήνη. οὕτω δὴ καὶ τὸ διακρίνειν, ἐσθ' ὅτε μὲν, φιλητῶς λαλεῖται, ὡς ὅτε διακρίνει τις μάχιμον συμπλοκὴν καὶ νείκεα. ποτὲ δὲ, ἀνάπαλιν. ὡς ὅτ' ἂν, φιλικήν τις ἕνωσιν ἀπαγαγὼν, διακρίνει τοὺς φιλοῦντας χωρίσας ἀπ' ἀλλήλων. ἡ γὰρ τοιαύτη διάκρισις, οὐκ ἂν φιλοῖτο. παρὰ δέ γε τοῖς ὕστερον, ἐπαινεταὶ λέξεις τὸ διακρίνειν καὶ ἡ διάκρισις. ἀντίκεινται γὰρ, πρὸς τὸ συγκρίνειν ἤγουν συγχέειν καὶ πρὸς τὴν σύγχυσιν. (ῃερς. 174.) Ὅτι φιλίαν πολλὴν πρὸς Ὀδυσσέα ὁ Μενέλαος ἐνδεικνύμενος, λέγει ὡς ἐβούλετο μετοικίσαι αὐτὸν τῆς Ἰθάκης καὶ εἰς τὴν κατ' αὐτὸν γῆν ἀγαγεῖν. φησὶ γὰρ καί κέν οἱ Ἄργεϊ νάσσα πόλιν καὶ δώματ' ἔτευξα ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ τέκεϊ ᾧ καὶ πᾶσι λαοῖσι τοῖς οἰκειακοῖς δηλαδὴ ἢ ὅσοις ἤθελεν ὁ Ὀδυσσεὺς, μίαν πόλιν ἐξαλαπάξας αἳ περιναιετάουσιν, ἀνάσσονται δ' ἐμοὶ αὐτῷ. χρὴ δὲ νοεῖν ὡς ἡ τοιαύτη μετοίκησις ἐφύλαττε τῷ Ὀδυσσεῖ καὶ τὴν αὐτοῦ βασιλείαν. τὸ γὰρ ἄλλως μετοικῆσαι, ὅμοιον ἦν φασι φυγῇ. Ἰστέον δὲ ὅτι Ἄργος κἀνταῦθα φησὶν, ἢ τὴν Πελοπόννησον. ἢ καὶ τὴν ὑπὸ τῷ Μενελάῳ χώραν. ὅθεν καὶ Ἑλένη Ἀργεία ἔν τε Ἰλιάδι καὶ μετ'ὀλίγα δὲ, ἡ ἄλλως μὲν, Λάκαινα, κατὰ δὲ τὸ ὅλον, Πελοποννησία. Τὸ δὲ νάσσα, ἀντὶ τοῦ κατῴκισα. οὐ γὰρ ναίω μόνον, ἀλλὰ καὶ νάω. ὅθεν καὶ ναέτης ὁ ἐγκάτοικος. καὶ τοιοῦτον μὲν, τὸ νάω νάσω. τὸ μέντοι νάξαι, ἄλλό τι ἐστίν. ὥς που ἐν τοῖς ἑξῆς φανήσεται. (ῃερς. 176.) Τὸ δὲ ἀλαπάξαι, ἀντὶ τοῦ ἁπλῶς ἐκκενῶσαι εἴληπται νῦν. οὐ γὰρ ἂν ὁ Μενέλαος ἐκπορθήσοι πόλιν ὑφ' ἑαυτῷ οὖσαν. ἐκκενώσει μέντοι εἰς μετοικίαν ὅτέ τι κατεπεῖγον εἴη. ὅτι δὲ τὸ ἀλαπάξαι πλεονασμὸν ἔχει τὸ ¯α, εὕρηται γὰρ καὶ λαπάζειν, εἴρηται καὶ ἐν ἄλλοις. ὥσπερ καὶ ὅτι παρὰ τὴν λάπαθον παρῆκται δι' ἧς κενοῦται γαστήρ. ἀμέλει φασὶ, Δημόκριτος τοὺς βόθρους οὓς οἱ κυνηγοὶ σκάπτοντες, φρύγανα καὶ κόνιν ἐπ' αὐτοῖς ἐπιβάλλουσιν ἵνα τὰ θηρία ἐμπίπτωσι, λαπάθους καλεῖ. διὰ τὸ κεκενῶσθαι ὀρυχθέντας. (ῃερς. 177.) Τὸ δὲ ἀνάσσονται δ' ἐμοὶ αὐτῷ, πρὸς ἀκρίβειαν κεῖται καὶ σαφήνειαν τοῦ ὡς ἐῤῥέθη ἀλαπάξαι. περίοικον μὲν γὰρ πόλιν ἐχθρὰν, ἀλαπάξοι τις ἂν ἐκπορθητικῶς, οὐ μὲν καὶ ἧς αὐτὸς ἀνάσσει. (ῃερς. 183.) Ὅτι περιπαθῶς εἰπόντος τοῦ Μενελάου τὰ κατὰ τὸν Ὀδυσσέα καὶ οἶκτον κινήσαντος, τοῦτο γὰρ δηλοῖ τὸ, πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο, κλαῖε μὲν ἀργείη Ἑλένη. κλαῖε Τηλέμαχος καὶ Μενέλαος. οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔσχεν ὄσσε. μνήσατο γὰρ κατὰ θυμὸν, ἀμύμονος Ἀντιλόχοιο. ὃν δὴ Ἠοῦςἔκτεινε φαεινῆς ἀγλαὸς υἱός. ὁ Αἰθίοψ δηλαδὴ Μέμνων. περὶ οὗ λέγει τι καὶ ὁ περιηγητής. ὡραιότητα δὲ οὐ μόνον τοῦ Μέμνονος αἰνίττεται τὸ, Ἠοῦς αὐτὸν υἱὸν λέγεσθαι, ἀλλὰ καὶ τοῦ Τιθωνοῦ. ᾧ μιγεῖσα ἡ Ἠὼς, τεκεῖν τὸν Μέμνονα λέγεται. πολὺς δὲ ὁ περὶ Τιθωνοῦ λόγος τοῖς παλαιοῖς. Ὅρα δὲ ὅτι φαεινῆς μητρὸς, ἀγλαὸς ἦν οἰκείως οὗτος υἱὸς ὡς ἡλιώδης τὴν θέαν. (ῃερς. 184.) Ἰστέον δὲ ὅτι Ἑλένη μὲν πρῶτον κλαίει, ἐπειδὴ κάρτα φιλοίκτιστον γυνὴ κατὰ τὴν τραγῳδίαν. (ῃερς. 185.) Τηλέμαχος δὲ μετ' ἐκείνην, ὡς υἱὸς πατέρα, καὶ ὡς τοῦ πάθους πρωτοστατῶν. μεθ' οὓς Μενέλαος, ἐπειδὴ οὐδ' αὐτὸν ἐχρῆν εἶναι ἀδάκρυτον ἐπὶ τῷ πάνυ πεφιλημένῳ. (ῃερς. 186.) ὁ δὲ ὡς ἐν δορυφορήματός φασι τρόπῳ παρὼν Νεστορίδης εἰ καὶ μὴ κατ' ἐκείνους ἴσως ἔκλαιεν, ἀλλ' οὖν οὐκ ἦν ἀδάκρυτος. παρείλετο δὲ αὐτῷ τοῦ κλαυθμοῦ τὸ πολὺ, διότι τὲ οὐκ ἐξορθοῦ καὶ αὐτὸς ἀλλ' Ὀδυσσέα πρόφασιν ἔκλαιε, καὶ ὅτι οὐδὲ συνήθης ἦν τῷ ἀδελφῷ ἐν Τροίᾳ πεσόντι,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὸς ἐν Πύλῳ τραφείς. καὶ διότι δὲ εὐκλεῶς ἐκεῖνος ἀπέθανεν. ἀπαθέστερον οὖν ὑποτίθεται τὸν Πεισίστρατον ὁ ποιητὴς, ὡς ἂν ἔχοι προκατάρξαι παραμυθίας. εὐθὺς γὰρ αὐτὸς παύει τὸν κλαυθμὸν εἰπὼν φίλα καὶ ἐπαινετὰ τῷ Μενελάῳ. Ὅρα δὲ καὶ τὴν ἐξαλλαγὴν τοῦ σχήματος. εἰπὼν γὰρ ἔκλαιε μὲν Ἑλένη. ἔκλαιε δὲ ὁ δεῖνα καὶ ὁ δεῖνα, ἐσχημάτισεν ἀποφαντικῶς, οὐδ' ἄρα Νέστορος υἱὸς ἀδάκρυτος ἔμενεν. οὐ διατρίβων δηλαδὴ ἐν τῷ κλαίειν ἀλλὰ πρὸς βραχὺ δακρύων. ὅτι δὲ ἀγνώριστος ἦν ὁ Νεστορίδης οὗτος τῷ ἀδελφῷ Ἀντιλόχῳ, δηλώσει ὑποκατιὼν, ἔνθα οὔτε ἀντῆσαι φησὶν ἐκείνῳ οὔτε ἰδεῖν. (ῃερς. 190.) Ὅτι χρήσιμόν ποτε εἰς φρονίμου ἔπαινον τὸ, 1.159 περὶ μέν σε βροτῶν πεπνυμένον εἶναι ἔφασκεν ὁ δεῖνα ὅτ' ἐπιμνησαίμεθα σεῖο. τὸ δὲ καὶ νῦν εἴ τι που ἔστι πίθοιό μοι, καλὸν εἰς παραίνεσιν. (ῃερς. 194.) Ὅτι γνωμικῶς λέγεται τὸ, οὐ γὰρ ἔγωγε τέρπομαι ὀδυρόμενος μεταδόρπιος. ἤγουν ἐπ' αὐτῷ τῷ δόρπῳ ἐν ᾧ ἀνέσεως μάλιστα χρεία. ἀλλὰ καὶ ἠώς φησιν ἔσσεται. τὴν δὲ αἰτίαν, ἐν ἄλλοις ἐρεῖ ὁ ποιητής. ἵνα δηλαδὴ μήτις νεμεσήσηται καὶ εἴπῃ δακρυπλώειν βεβαρημένον τὰς φρένας οἴνῳ. (ῃερς. 195.) εἶτα ἵνα μὴ δόξῃ ἀποτρέπειν καθόλου τοῦ κλαίειν ἐπὶ νεκροῖς, φησίν. νεμεσσῶμαι γέ μιν οὐδὲν, κλαίειν ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ. τοῦτό νυ καὶ γέρας οἶον βροτοῖς. κείρασθαί τε κόμην βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν. οὔκουν καθάπαξ ἀναιρεῖ ὁ Νεστορίδης τὸ ἐπὶ τεθνεῶσι κλαίειν. ἀλλὰ μεταληπτικῶς, συγχωρεῖ μὲν τὸ πρᾶγμα, μέμφεται δὲ τὸν καιρόν. ἤτοι τὸ ὀδύρεσθαι τινὰ ἐνδόρπιον. (ῃερς. 196.) Τὸ δὲ κλαίειν ὅς κε θάνῃσιν, ἔχει τι ἀμφιβολίας σχεδιαστικῆς. ὅμως δὲ οὐκ ἂν λέγοι ὡς χρὴ τὸν θανόντα κλαίειν ἤτοι κλαυθμὸν ποιεῖσθαι, ἀλλ' ὅτι ἡμᾶς κλαυστέον ἐπὶ τῷ θανόντι. Τὸ δὲ θανεῖν καὶ πότμον ἐπισπεῖν ὃ πολλαχοῦ λέγεται, τὴν αὐτὴν ἔννοιαν παλιλλογεῖ. (ῃερς. 197.) Τὸ δὲ γέρας οἶον, ἢ θαυμαστικῶς εἴρηται καὶ δασύνειν τὸ οἶον, ἢ ἴσως καὶ ἀντὶ τοῦ μόνον, ὅτε καὶ ψιλωθήσεται. (ῃερς. 199.) Ὅτι ὥσπερ ἐν Ἰλιάδι τὸ, οὐ γάρ μιν ἀφαυρότατος βάλεν Ἀχαιῶν, τῷ ἀποφατικῷ κατάφασιν δηλοῖ ἀνδρικὴν ἵνα λέγῃ οὐκ ἀφαυρότατον, τὸν πάνυ ἀνδρεῖον. οὕτω καὶ ἐνταῦθα τὸ, ἐμὸς τέθνηκεν ἀδελφεὸς οὔτι κάκιστος Ἀργείων, ἀντὶ τοῦ ἀνδρειότατος εἴληπται. Πεισίστρατος δὲ περὶ Ἀντιλόχου τοῦτο φησὶ τοῦ ἀδελφοῦ. λέγων καὶ ὅτι περὶ ἄλλων φασὶ γενέσθαι ἐκεῖνον. (ῃερς. 2.) Περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχήτην. ὡς οἷον ἑρμηνεύων τὸ, οὔτι κάκιστος. εἰ δὲ ὁ Νέστωρ πρὸ τούτων ὡσαύτως ἐπαινέσας τὸν Ἀντίλοχον, εἶπεν ἐκεῖνον καὶ κρατερὸν καὶ ἀμύμονα, ἔχει καὶ ὁ υἱὸς Πεισίστρατος ἐνταῦθα εἰπὼν ἀντὶ τοῦ κρατερὸς, τὸ, οὔτι κάκιστος Ἀργείων. Ἀμύμονα δέ γε, αὐτὸς ὁ ποιητὴς πρὸ ὀλίγου εἶπε τὸν Ἀντίλοχον. (ῃερς. 4.)Ὅτι καθάπερ ἐν τῷ, ὦ φίλ' ἐπεί μ' ἔμνησας ὀϊζύος, μακροαπόδοτος ἡ σύνταξις καὶ ὑποδύσκολος, οὕτω καὶ νῦν ἐν τῷ, ὦ φίλ' ἐπεὶ τόσα εἶπες καὶ ἑξῆς. μετὰ ὀκτὼ γὰρ στίχους ἀποδέδοται τὸ ἀκόλουθον τῆς συντάξεως ἐν τῷ, ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν. νοουμένου τοῦ δ¯ε συνδέσμου, ἀντὶ τοῦ δή. Ἰστέον δὲ ὅτι κατὰ παλαιὰν παρατήρησιν, ἐν πολλοῖς εὑρίσκεται καὶ μάλιστα παρὰ τῷ ποιητῇ, ὁ ἐπε¯ι σύνδεσμος δυσαπόδοτος κατὰ σύνταξιν, ὅτε καθὰ καὶ ἄλλαι λέξεις, οὕτω καὶ αὐτὸ κεῖσθαι δοκεῖ ἐκ περισσοῦ. (ῃερς. 5.) Ὅτι καλὸν εἰς ἐγκώμιον τὸ, τόσα εἶπες ὅσ' ἂν πεπνυμένος ἀνὴρ εἴπῃ καὶ ῥέξειε, καὶ ὃς προγενέστερος εἴη. Καὶ ὅρα ὡς ἀντὶ τοῦ εἰπεῖν καὶ γέρων, εἶπε περιφράσας τὸ, καὶ ὃς προγενέστερος εἴη. πρὸς Πεισίστρατον δὲ ὁ λόγος. ὃς ἔφη τὲ μὴ χρῆναι δακρύειν ἐπιδόρπια, καὶ ἔρεξε πρῶτος αὐτὸ τοῦτο, παύσας αὐτίκα τὸ δάκρυον. εἰ δὲ καὶ πατέρα ἔχει ἀγαθὸν ὁ ἐπαινούμενος καὶ ἑτέρους ἀξιεπαίνους υἱοὺς, προσαρμόσει καὶ τὰ ἐφεξῆς. τοίου γὰρ καὶ πατρός. ὃ καὶ πεπνυμένα βάζεις. ῥεῖα δ' ἀρίγνωτος γόνος ᾧ θεὸς ὄλβον ἐπικλώσει γαμέον τί τε γεινομένῳ τε. ὡς νῦν τῷ δεῖνι ἔδωκεν οἷον τῷ Νέστορι διαμπερὲς ἤματα πάντα. αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν, υἱέας αὖ, πινύτους τε καὶ ἔγχεσιν εἶναι ἀρίστους. ἤγουν φρονίμους τὲ καὶ ἀνδρείους. (ῃερς. 6.) Ἰστέον δὲ ὅτι τὸ, τοίου, γὰρ πατρὸς, οἱ γλωσσογράφοι, ἀντὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ ἀγαθοῦ φασιν ὡς τὰ παλαιὰ σχόλια λέγει. (ῥηρς. 8.) Τὸ δὲ γαμέοντί τε γεινομένῳ τε, τὸ πεπρωμένον παραλαλεῖ. διά τε τὰ γενεθλιακὰ, καὶ τὴν μετὰ τὸν γάμον ζωήν. καὶ ἔστι πρωθύστερον. πρῶτον γάρ τις γεννηθεὶς, εἶτα εἰς γάμον ἥκει. κρεῖττον δὲ κατὰ τοὺς παλαιοὺς, νοεῖν τὸ, γεινομένῳ, ἀντὶ τοῦ γεννῶντι. τεκνοποιοῦντι. περὶ τούτου γὰρ καὶ ὁ λόγος. τέως γε μὴν, οὐ δὲ τῷ γαμέοντι, ἐστέρηται τῆς τοιαύτης ἐννοίας. Τὸ δὲ ἀρίγνωτος γόνος, γράφεται καὶ ἀρίγνωτον γένος. (ῥηρς. 9.) Τοῦ δὲ διαμπερὲς, ἑρμηνεία τὸ ἤματα πάντα. ἵνα χρονικῶς δηλοῖ, τὸ μέχρι πέρατος καὶ δι' ὅλου βίου. ἄλλως δὲ, καὶ σωματικῶς λέγεται τὸ διαμπερές. οὕτω γάρ τις διαμπερές που βέβληται. Τὸ δὲ ἤματα ψιλοῦται, οὐ μόνον ὡς ἀπὸ τροχαϊκοῦ τοῦ ἦμαρ, ἀλλὰ καὶ πρὸς διαστολὴν τοῦ ἥματα τὰ ἀκοντίσματα. (ῥηρς. 210.) Εἰς δὲ τὸ λιπαρῶς γηράσκειν ἐξ οὗ καὶ γῆρας λιπαρὸν, συμβάλλεταί τι καὶ τὸ, λιπαροὺς πόδας. καὶ τὸ, λιπαρὸν κρήδεμνον. ἔστι δὲ λιπαρῶς γηράσκειν, τὸ εὐδαιμόνως καὶ ὡς ἄν τις εἴπῃ, τρυφερῶς. ἀνενδεῶς. ὡς ἐκ μεταφορᾶς τῶν λιπώντων ζῴων. καὶ ἄλλως δὲ λιπαρῶς γηράσκει, ὁ ἐκ γενετῆς ὄλβιος. ὃ ἐδηλώθη πρὸ βραχέων ἐν τῷ, ὄλβον ἐπικλώ 1.160 σει γεινομένῳ. καθά περ τὸ υἱοὺς ἔχειν πινυτοὺς καὶ ἔγχεσιν ἀρίστους, ὄλβος ἐστὶ τῷ γάμῳ ἐπικλωσθείς. ὃ καὶ αὐτὸ δεδήλωται ὁμοίως ἐν τῷ, ὄλβον ἐπικλώσει γαμέοντι. (ῥηρς. 8.) Ὅρα δὲ ὅτι τὲ τὸν κατ' ἀνθρώπους βίον εἰς δύο διεῖλεν ἐν τῷ, γαμέοντί τε γεινομένῳ τε. ἤγουν εἰς ἀγαμίαν τὴν μετὰ γέννησιν καὶ εἰς τὸν μετὰ ταῦτα γάμον. καὶ ὡς ἄλλην τινὰ βίου ἀρχὴν τὰ μετὰ τὸν γάμον νοεῖ. καὶ ὅτι καλῶς εἶπεν ὁ Μενέλαος ὡς Νέστορι δῶκε θεὸς ἃ λέγει δοθῆναι μετὰ γάμον. αὐτῷ γὰρ τῷ Μενελάῳ γενομένῳ μὲν, ἐπεκλώσθη ὄλβος, οὐ μὴν καὶ γαμέοντι εἴγε μετὰ γάμον ἕως ἄρτι κακῶς πάσχει. (ῥηρς. 212.) Ὅτι ἐπὶ κωλύσεως κλαυθμοῦ ἐπιδορπίου, καίριον εἰπεῖν τὸ, ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν ὃς πρὶν ἐτύχθη. δόρπου δ' ἐξαῦτις μνησώμεθα. μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται. (ῥηρς. 213.) Ὅτι δοκοῦσιν οἱ παλαιοὶ, καὶ μετὰ κλαυθμὸν ἀπονίπτεσθαι εἰς ἀποτροπιασμόν τινα. οἱ γοῦν βασιλικοὶ ξένοι ἐνταῦθα καίτοι νιψάμενοι πρὸ ὀλίγων, πάλιν ἐπὶ τῷ κλαυθμῷ ποιοῦσι τοῦτο. φησὶ γοῦν ὁ Νεστορίδης. Χερσί δ' ἐφ' ὕδωρ χευάντων, ἤτοι χεάτωσαν Ἀττικῶς. οὐ μὲν δὲ ἀλλὰ καὶ ἐλλειπτικῶς. οὐ γὰρ ἐκφωνεῖ καὶ τίνες χεύωσιν ὕδωρ. (ῥηρς. 215.) Ὅτι διαειπεῖν κεῖται ἐνταῦθα, τὸ διεξοδικῶς εἰπεῖν. καὶ εὕρηται καὶ παρ' ἄλλοις οὕτως ἡ λέξις. ὁποῖον καὶ τὸ, δίειπέ μοι ὄφρα δαείω. (ῥηρς. 216.) Ὅτι Ἀσφαλίων ἐνταῦθα πλάττεται ὀτρηρὸς θεράπων Μενελάου, προσφυὲς ὄνομα. ὃν οὐ χρὴ σφάλλεσθαι τοῦ δέοντος πρὸς τὸν δεσπότην. ὥσπερ καὶ Ἐτεωνεὺς πρὸ αὐτοῦ, ὃν ἀληθεύειν χρεών. (ῥηρς. 219.) Ὅτι ὥσπερ πρὸ τούτων ἦν τὸ, ἔνθ' αὖτ' ἀλλ' ἐνόησεν Ἀθηνᾶ, οὕτω κἀνταῦθα, ἔνθ' ἄλλ' ἐνόησ' Ἑλένη. τί δὲ ἐνόησεν; αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον ἔνθεν ἔπινον οἱ συμπόται. νηπενθές τ' ἄχολόν τε. κακῶν ἐπίληθον ἁπάντων. οὗ καὶ παραδιδοὺς τὴν δύναμιν, σαφέστερόν φησιν. ὃς τὸ, καταβρόξειεν ἐπὴν κρατῆρι μιγείη, οὐκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν. οὐδ' εἴ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε. οὐδ' εἴ οἱ προπάροιθεν ἀδελφεὸν, ἢ φίλον υἱὸν χαλκῷ δηϊόῳεν ὅ δ' ὀφθαλμοῖσιν ὁρῷτο. (ῥηρς. 222.) ὑπερβολικὰ δὲ ταῦτα. μεγεθύνοντα εἰς ὑπερβάλλουσαν αὔξησιν, τὴν τοῦ φαρμάκου δύναμιν. (ῥηρς. 227.) εἶτα καὶ διὰ πληθυσμοῦ μεγαλεῖον ἐπάγων τῷ τοιούτῳ τῆς Ἑλένης φαρμάκῳ, φησί. τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα. ἐσθλά. τά οἱ Πολύδαμνα πόρε Θῶνος παράκοιτις, Αἰγυπτίη. τῇ, πλεῖστα φέρει ζείδωρος ἄρουρα φάρμακα. πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. (ῥηρς. 231.) οἷς ἱστορίαν ἐπιπλέκων αἰγυπτιακὴν, φησίν. ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων ἀνθρώπων. ἦ γὰρ, Παιήονός εἰσι γενέθλης. (ῥηρς. 233.) ἐπεὶ δὲ τοιοῦτον ἐνέηκε φάρμακον ἡ Ἑλένη τῷ κρατῆρι ἐκέλευσέ τε οἰνοχοῆσαι, τότε δὴ ἀνυποστόλως μνήμη τοῦ Ὀδυσσέως ἐγένετο. καὶ ὁ Τηλέμαχος οὐκέτι ἔκλαιε διὰ τὸ φάρμακον. ὅπερ ἴσως μὲν καὶ καθ' ἱστορίαν ἐκδεκτέον. ὡς καὶ τοιούτων ὄντων παρ' Αἰγυπτίοις ναρκωτικῶν τινων ἢ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θελκτηρίων φαρμάκων. μάλιστα δὲ, συμβολικώτερον ἐκληπτέον αὐτὸ, εἰς τὸ, καθὰ καὶ μετὰ ταῦτα φανεῖται, λαθικηδὲς τῆς ἐν συμποσίοις φιλικῆς ὁμιλίας. ἧς ἀνακιρναμένης τῷ φιλοτησίῳ κρατῆρι καὶ εἴτε σπουδαῖα εἴτε καὶ ἄλλως ἡδέα καὶ ἀστεῖα ζητήματα ὑποκινούσης, οὐκ ἔστι τὸν συμποσιάζοντα, μνησθῆναί τινος τῶν ἔμπροσθεν κακῶν, οἷα χανδὸν ἐμπιπλάμενον οὐχ' οὕτω τοῦ περισοβοῦντος κρατῆρος, ὅσον τοῦ τῆς ὁμιλίας γλεύκους ὑφ' ἧς πᾶν λυπηρὸν τῆς τοιαύτης ἐπικυλικίου ἡδύτητος ἐξωστράκισται. (ῃερς. 240.) καὶ ἡ τοῦ λόγου πίστις, παρὰ πόδας ὅ φασι. κινήσασα γὰρ τοὺς περὶ Ὀδυσσέως ἐγκωμίους λόγους ἡ Ἑλένη καὶ λοιπὰς διηγήσεις, καὶ τῷ συμποσίῳ αὐτὰς λαθικηδὲς οἷον φάρμακον παραμίξασα, τὸ δάκρυόν τε τοῖς συμπόταις ἔστησε, καὶ τὴν ἀκμὴν τῆς λύπης ἐκκρουσαμένη, ἀπήμβλυνε. καὶ τοίνυν ὁ Τηλέμαχος τὰ δάκρυα συστείλας, δίδωσιν ἑαυτὸν τοῖς λαλουμένοις. καὶ δαίνυται καθήμενος. καὶ μύθοις τέρπεται. ὅπερ ἡ Ἑλένη ἐνεκελεύσατο ἀρχομένη τῆς διηγήσεως τῶν κατὰ τὸν Ὀδυσσέα. Καὶ ὅρα ὅπως ἀναγκαῖον τῷ ποιητῇ ἐνταῦθα τὸ τῆς Ἑλένης ἐπεισόδιον. δίχα γὰρ τῶν ἄλλων, ἔχει καί τινα δι' αὐτῆς ἱστορῆσαι, ἅπερ οὐδεὶς ἄλλος ἐγίνωσκεν. ὥσπερ καὶ ἐν τοῖς ἑξῆς ὁμοίως διὰ τοῦ Μενελάου. Σημείωσαι δὲ καὶ ὅτι διὰ μὲν τὸν τῆς Ἑλένης τοῦτον κρατῆρα, οὐκ ἂν ἐφημέριός τις βάλοι δάκρυ κατὰ παρειῶν. οἱ δὲ ὕστερον ῥήτορες τῇ τῶν παραμυθητικῶν μεθόδων εὑρέσει, παντελῶς ἐξαιροῦνται τὸ πάθος. ὡς διὰ βίου μὴ δακρύειν τὸν τοῦ παραμυθητικοῦ δεόντως ἐπαΐοντα. (ῃερς. 2.) Ἰστέον δὲ ὅτι ἐν τοῖς τοῦ Ἀθηναίου, περὶ τῶν κατὰ τὴν Ἑλένην φέρεται ταῦτα. Ἑλένη Διὸς οὖσα θυγάτηρ καὶ παρὰ τῶν ἐν Αἰγύπτῳ σοφῶν μεμα 1.161 θηκυῖα, πολλοὺς λόγους εἰς τὸν οἶνον ἐμβάλλει παναλκὲς τῷ ὄντι φάρμακον. ἁπτομένη μεταξὺ καὶ ταλασιουργίας, οὐ δι' ἀρέσκειαν, ἀλλ' ὡς οἴκοθεν ἔχουσα τὴν τοιαύτην αἵρεσιν. Ἀφροδίτη γοῦν μετὰ τὸ μονομάχιον, γρηῒ εἰκυῖα εἰροκόμῳ τῇ ἐκ Λακεδαίμονος, προσεῖπεν αὐτήν. ἔοικε δὲ καὶ αὐτὴ τὴν ἑαυτῆς φιλοτεχνίαν συνορᾶν. τῷ γοῦν Τηλεμάχῳ πέπλον δωρουμένη ἐν τοῖς ἑξῆς, φησί. δῶρόν τοι καὶ ἐγὼ δίδωμι καὶ τὰ καθεξῆς. εὕρηται δὲ καὶ ἐν Ἰλιάδι περὶ ἱστὸν ὑφαίνουσα. καὶ ποικίλλουσα δίπλακα. καταμηνύει οὖν φησι τὴν σωφροσύνην τῆς Ἑλένης, ἡ αὐτῆς φιλεργία. ἱστορεῖ δὲ ὁ αὐτὸς σοφιστὴς, καὶ ὅτι Ἑλένη τις ὕστερόν ποτε χρόνου γέγονε δεινὴ πλεῖστα ἐσθίειν. Τὸ δὲ εἰς οἶνον βάλε φάρμακον, ἀντὶ τοῦ ἐνέβαλεν. ἐνέθετο. Τὸ δὲ ἔνθεν ἔπινον, ἀσφαλῶς ἐῤῥέθη. οὐ γὰρ ἄλλως ἁπλῶς ἐνήργει τὸ φάρμακον, ἀλλ' οἴνῳ ἐμβαλλόμενον. ἤγουν ἐνιέμενον. διὸ φησίν. ἐπεὶ ἐνέηκε κέλευσέ τε οἰνοχοῆσαι. (ῃερς. 221.) Νηπενθὲς δὲ, οὐ μόνον τὸ ἐστερημένον πένθους, ἀλλ' ἰδοὺ ἐνταῦθα καὶ τὸ στερίσκον πένθους. ὅ ἐστιν ἄλυπον. Ἄχολον δὲ, τὸ ἀόργητον. ἄλλως μέντοι, καὶ ἄχολα ζῷα τὰ μὴ ἔχοντα σωματικὴν χολήν. Τὸ δὲ ἐπίληθον, Ἀρίσταρχος μὲν προπαροξυτόνως γράφει, ὡς ὄνομα οὐδέτερον, ὃ δηλοῖ τὸ ἐπιληστικόν. ὁ δὲ Ἀσκαλωνίτης, ὡς μετοχήν φασιν οὐκ εὖ προπερισπᾷ. ἵνα ᾖ, τὸ ποιοῦν ἐπιλανθάνεσθαι. Ὅρα δὲ ὅτι ἐν μὲν τῷ ἐπίληθον καθὰ καὶ ἐν τῷ λήθη καὶ λῆστις καὶ ἐπιλησμοσύνη καὶ Λητὼ, φυλάσσεται τὸ ¯η τοῦ λήθω ἐνεστῶτος, ἐν ἄλλοις δὲ, ἀντ' αὐτοῦ τὸ ¯α κεῖται ὡς ἀπὸ τοῦ ἔλαθον δευτέρου ἀορίστου. τοιοῦτον τὸ λάθρα σὺν τοῖς ἐξ αὐτοῦ. καὶ τὸ λαθικηδές. καὶ ὁ λάθαργος. ἕτερος ὢν αὐτὸς παρὰ τὸν διὰ τοῦ ¯η λήθαργον. ὃς λάθαργος, πλεονασμῷ τοῦ ἰῶτα γινόμενος λαίθαργος, δηλοῖ μὲν, κύνα. τροπικῶς δὲ, σημαίνει καὶ ἐπίβουλον ἄνθρωπον κρύφα βλάπτοντα. καὶ ἔστιν ἐκεῖνος, ὡς περ εἴ φασιν λαθροδήκτης, ἀπὸ κυνῶν. Σοφοκλῆς. σαίνουσα δάκνεις καὶ κύων λαίθαργος εἶ. Τὸ δὲ καταβρόξειεν, ἀντὶ τοῦ καταπίη, παρὰ τὸν βρόχθον ὅς ἐστι λαιμός. ὅθεν καὶ καταβροχθίζειν τὸ καταπίνειν. ὀνοματοποιΐας δὲ ταῦτα τρόποι. (ῃερς. 222.) Τὸ δὲ ἐπὴν κρητῆρι μιγείη, παρατετηρημένως ἐῤῥέθη καὶ αὐτό. οὐ γάρ ἐστιν ἁπλῶς νηπενθὲς καὶ τὰ λοιπὰ, εἰ μὴ καὶ κρητῆρι μιγείη. (ῃερς. 223.) Τὸ δὲ ἐφημέριος, δηλοῖ μὲν τὸ, ἐν ᾗ ἂν ἡμέρα πίνοιτο. παρῆκται δὲ ὁμοίως τῷ πανημέριος.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ηερς. 226.) Τὸ δὲ δηϊόῳεν, ἐπίτηδες χασμᾶσαι τῇ τῶν φωνηέντων ἐπαλληλίᾳ. ἵνα τῇ ἀργίᾳ τῆς ἐκφωνήσεως, δηλώσῃ παράτασιν ἀναιρέσεως. Τὸ δὲ ὀφθαλμοῖσιν ὁρῷτο, πρὸς ἀσφάλειαν λόγου ἐγράφη. οὐ γάρ ἐστι πενθεῖν ἢ χολοῦσθαι τοσοῦτον, εἰ μή τις καὶ ὀφθαλμοῖς ὁρᾷ τὸν σφαττόμενον. διὸ καλῶς εἴρηται τὸ, τῶν δὲ πραχθέντων, τὰ μὲν ἄλγιστ' ἄπεστιν, ἡ γὰρ ὄψις οὐ πάρα. ᾧ σύμφωνον καὶ παρὰ τοῖς πολλοῖς, τὸ μὴ πονεῖν τὴν καρδίαν ἐπὶ πράξεσιν αἷς μὴ ἐπέβαλον ὀφθαλμοί. (ηερς. 227.) Φάρμακα δὲ μητιόεντα, ἢ τὰ κατὰ σύνεσιν εὑρημένα. ἢ τὰ δραστικὰ καὶ ὡς εἰπεῖν μέρμερα. τουτέστι, βουλῆς δεόμενα εἰς ἀποφυγήν. (ηερς. 228.) Τὸ δὲ ἐσθλὰ, διὰ σαφήνειαν κεῖται. ἵνα φάρμακα νοοῖντο ταῦτα, ὡς εἰς μόνον καλόν. οὐ μὴν κατὰ τὰ ἐφεξῆς. ἐν οἷς, πολλὰ μὲν ἐσθλὰ πολλὰ δὲ λυγρά. Πολύδαμνα δὲ, ἢ κατὰ γένος οὐδέτερον ἐπιθετικῶς τὰ πολλοὺς δαμάζοντα φάρμακα. ἢ κύριον γυναικὸς Αἰγυπτίας ἡ Πολύδαμνα ὡς ἡ Μήθυμνα, καθὰ καὶ Εὐφορίων φησί. βλαψίφρονα φάρμακα ὅσσ' ἐδάη Πολύδαμνα, κυταῒς ὅσα Μήδεια τουτέστι φάρμακα, ὧν ἴδρις ἦν ἡ Αἰγυπτία Πολύδαμνα, καὶ Μήδεια ἡ ἐκ Κυταίας πόλεως, ἧς καὶ Λυκόφρων μέμνηται. Ἰστέον δὲ ὅτι κατὰ Ἀῤῥιανὸν, ἐφαρμάκου μὲν οἶνον καὶ ἡ παρ' αὐτῷ Κροκοδίκη, οὐκ ἐφ' ὁμοίοις δέ. φησὶ γὰρ ἐκεῖνος ὅτι ἡ φαρμακὶς Κροκοδίκη οἶνον νέμουσα κατὰ τέλη τῇ τοῦ πατρὸς στρατιᾷ, ἐμβάλλει εἰς τοὺς κρατῆρας ῥίζας, λήθης καὶ ὕπνου φάρμακα. οἱ δὲ, ἔκειντο ἡμιθανεῖς ὑπὸ τοῦ πόματος. καὶ ἐφθάρησαν ὑπὸ τῶν πολεμίων δι' ἔρωτα Πριηνέως νεανίου. ἔοικε δὲ μᾶλλον τῷ τῆς Ἑλένης κρατῆρι, τὸ παρὰ τοῖς μεθ' Ὅμηρον γρηγόρσιον. ἐπειδὴ καὶ νηφάλιοι θυσίαι ἦσαν ἐν αἷς οἶνος οὐκ ἐσπένδετό φασιν ἀλλ' ὕδωρ μελίκρατον. μάλιστα δὲ ὁμοιότερον πρὸς τὸν ῥηθέντα Ὁμηρικὸν κρατῆρα, τὸ παρὰ Αἰλίῳ Διονυσίῳ παυσινύσταλον εἴτε βρῶμα φησὶν εἴτ' ἄλλο τοιοῦτον. Τὸ δὲ παυσινύσταλον, ὅμοιόν φασι τῷ, ἐγρηγόρσιον. ὃ δηλοῖ τὸ ποιοῦν ἐγρηγορέναι καὶ ὡς εἰπεῖν, νηφάλιον. Τοῦ δὲ Θῶνος εὐθεῖα, ἢ Θόων Θόωνος κατὰ τοὺς παλαιοὺς καὶ ἐν συγκοπῇ Θῶνος, ἢ μᾶλλον Θῶνις Θώνιος καὶ κατὰ συγκοπὴν Θῶνος. φασὶ δὲ αὐτὸν, βασιλέα εἶναι τοῦ κατὰ Κάνωβον Νειλῴου στόματος, εὑρετὴν ἰατρικῆς παρ' Αἰγυπτίοις. καὶ πρὶν μὲν ἰδεῖν τὴν Ἑλένην, φιλοτίμως διακεῖσθαι πρὸς Μενέλαον. ἰδόντα δὲ καὶ περιεργασάμενον, 1.162 κατεπιχειρῆσαι αὐτῆς πρὸς βίαν. καὶ τὸν Μενέλαον γνόντα, ἀνελεῖν αὐτόν. ἀφ' οὗ καὶ πόλιν Θῶνιν ὀνομασθῆναι. καὶ τὸν παρ' Αἰγυπτίοις δὲ πρῶτον μῆνα τὸν θὼθ', ἀπ' αὐτοῦ κληθῆναι. Αἰλιανὸς δὲ ἱστορεῖ παραθήκην γενέσθαι Θώνιδι, τὴν Ἑλένην πρὸς Μενελάου, ἀνιόντος εἰς Αἰθίοπας. καὶ ὡς ἠράσθη αὐτῆς ὁ Θῶνις. καὶ ὡς ἐζήλωσεν ἡ Πολυδάμα ἢ Πολύδαμνα, καθ' ἑτέρους. καὶ ὡς ἐξέθετο τὴν Ἑλένην εἰς φάρον οἴκτῳ καὶ ζήλῳ. δοῦσα καὶ βοτάνην ἐχθρὰν τοῖς ἐκεῖ πολλοῖς ὄφεσιν ἢ φυτευθεῖσα καὶ βλαστήσασα, Ἑλένιον ἐκλήθη. ὁ δὲ γεωγράφος λέγει ὅτι περὶ τὸν Κανωβικὸν πλοῦν, Θῶνις ποτέ τις ἦν πόλις, ἐπώνυμος βασιλέως δεξαμένου Μενέλαον καὶ Ἑλένην. Ἡρόδοτος δὲ ἱστορεῖ ὅτι Θῶνις, φύλαξ ἦν τοῦ Κανωβικοῦ στόματος. ὃς καὶ ἀνήνεγκεν εἰς Πρωτέα τὴν ἀδικίαν τοῦ Ἀλεξάνδρου ὅτε καὶ ἀφηρέθη τὴν Ἑλένην. ἀρέσκεται γὰρ Ἡρόδοτος, μὴ εἶναι τὴν Ἑλένην ἐν τῇ Τροίᾳ, ὡς καὶ ἐν ἄλλοιςεἴρηται. ὁ δ' αὐτὸς λέγει καὶ ὅτι ἐν τῷ ῥηθέντι Κανωβικῷ στόματι, ἱερόν ἐστιν Ἡρακλέος, εἰς ὃ εἴ τις καταφυγὼν ἐπιβάληται στίγματα ἱερὰ δοὺς αὑτὸν τῷ θεῷ, οὐκ ἔστι τούτου ἅψασθαι. ὁ δὲ Πρωτεὺς τίς ἐστιν, ἐν τοῖς ἐφεξῆς ῥηθήσεται. (ηερς. 229.) Τὸ δὲ Αἰγυπτίη, ἢ κατὰ δοτικὴν νοητέον ἵνα λέγῃ ὅτι ἐν τῇ Αἰγυπτίᾳ χώρᾳ ἔνθα πλεῖστα φάρμακα. ἢ κατὰ ὀρθὴν καὶ εὐθεῖαν. ἵνα ᾖ Θῶνος παράκοιτις ἡ ἐξ Αἰγύπτου, ᾗ πλεῖστα γῆ ἐδίδου φάρμακα ὡς περὶ αὐτὰ ἠσχολημένη. (ηερς. 230.) Τὰ δὲ τοιαῦτα φάρμακα, μέσος εἴρηται, διὸ καὶ ἐπήγαγε. πολλὰ μὲν ἐσθλὰ πολλὰ δὲ λυγρά. Σημείωσαι δὲ ὅτι τὸ, φάρμακα ἔχειν πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ, καὶ περὶ ἀνθρώπου λεχθείη ἂν ἔκ τε ἀγαθῶν τινων συγκροτουμένου, καὶ εἰς ἐναντία δὲ ἀποκλίνοντος. (ηερς. 231.) Τὸ δὲ ἰητρὸς δὲ ἕκαστος καὶ ἑξῆς, ἐγκώμιον τῶν Αἰγυπτίων ὡς τοιούτων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄντων. τοῦτο δὲ, πρὸς πιθανότητα ἐῤῥέθη τοῦ ἐγνῶσθαι τὰ ἐκεῖ πολλὰ φάρμακα. ἅπερ οὐκ ἂν διέγνωστο εἰ μὴ ἰατροὶ ἦσαν ἀκριβεῖς ἅπαντες. τὸ παράδοξον. ὡς δὲ καὶ ἄλλως πολλὴ σοφία τοῖς κατ' Αἴγυπτον ἐπεχωρίαζεν, αἱ ἱστορίαι δηλοῦσιν. αἳ καὶ κακοήθειαν αὐτοῖς ἐπιμαρτυρόμεναι τὴν καὶ ἐν ἄλλοις δηλουμένην, λέγουσιν ἐξ αὐτῶν καὶ αἰγυπτιάζειν τὸ πανουργεύεσθαι. συλλαλεῖ δὲ εἰς τοῦτο, καὶ παροιμία αὕτη. δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι. (ηερς. 232.) Παιήων δὲ, θεῶν ἰατρὸς ὡς καὶ ἡ Ἰλιὰς μυθεύεται. ἕτερος ὢν Ἀπόλλωνος ὡς καὶ Ἡσίοδος δηλοῖ. εἰπών· εἰ μὴ Ἀπόλλων Φοῖβος ἐκ θανάτου σώσει ἢ Παιήων ὃς πάντων φάρμακα οἶδε. τινὲς δὲ τὸν Παιήονα, τὸν αὐτὸν ὑπέλαβον εἶναι κἀνταῦθα τῷ Ἀπόλλωνι. δῆλον δὲ καὶ ὅτι καὶ ὕμνος εἰς Ἀπόλλωνα ὁ Παιήων. ὃν παιᾶνα φασὶν οἱ μεθ' Ὅμηρον. (ηερς. 237.) Ὅτι γνωμικὸν τὸθεὸς ἄλλο τε ἄλλῳ ἀγαθόν τε κακόν τε διδοῖ. δύναται γὰρ ἅπαντα. Καὶ ὅρα τὴν πρωτοτυπίαν τοῦ διδοῖ. ἐκ τοῦ διδῶ γάρ. ἐξ οὗ τὸ δίδωμι. (ηερς. 238.) Ὁ δὲ λέξων τί σπουδαῖον ἐπὶ τραπέζης, ἐρεῖ ἂν τοῖς ἀκροαταῖς τὸ, ἤτοι νῦν δαίνυσθε καθήμενοι ἐν μεγάροισι καὶ μύθοις τέρπεσθε, ἐοικότα γὰρ καταλέξω. (ηερς. 240.) Εἰ δέ τις ἐν ἐγκωμίῳ προοιμιάζεται, προσφυῶς ἂν εἴπῃ ὡς πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω, ὅσσοι τοῦ δεῖνος ταλασίφρονός εἰσιν ἄεθλοι. ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ. Ἑλένη δὲ καὶ τοῦτο φησίν. ἔνθα καθ' ὑποβολήν φασι διηγεῖται ἡ ἡρωΐς. σχήματι χρησαμένη πρὸ τοῦ διηγήματος, παραλειπτικῷ τὲ καὶ θαυμαστικῷ. παραλειπτικῷ μὲν, ἐν τῷ, πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι ὅσα ὁ Ὀδυσσεὺς ἀέθλευσεν. ἐνδιαθέτῳ δὲ κατὰ θαυμασμὸν, ἐν τῷ ἀλλ' οἷον τόδ' ἔρεξε δήμῳ ἐνὶ Τρώων. εἶτα ὑποβαλοῦσα τὸ διήγημα. αὐτόν μιν πληγῇσι δαμάσας καὶ ἑξῆς. (ηερς. 239.) Ὅρα δὲ ἐν τοῖς ῥηθεῖσι καὶ τὸ καταλέξω. ἀφ' οὗ μετ' ὀλίγα τὸ, πάντα νόον κατέλεξεν. οὗ φασὶν ὁ ποιητὴς τὸ ὄνομα οὐκ οἶδεν ἤτοι τὸν λόγον ἢ τὸν κατάλογον. ὥσπερ καὶ τὸ ἔτυχε καὶ ἐτύχησεν εἰδὼς, τύχην οὐ λέγει. (ηερς. 240.) Τὸ δὲ οὐκ ἂν ἐγὼ μυθήσομαι, πρὸς διαστολὴν κεῖται. ἄλλος μὲν γάρ τις μυθήσεται ἴσως. ἐγὼ δὲ οὔ. (ηερς. 242.) Τὸ δὲ πάντα οὐκ ἂν μυθήσομαι ὅσσοι Ὀδυσσῆος ἄεθλοι, καινότητα ἔχει ἐν τῷ πάντα καὶ ἐν τῷ ἄεθλοι. ἀπὸ γὰρ οὐδετέρου μετέβη ἀνακολούθως εἰς ἀρσενικόν. Τὸ δὲ ἔρεξε, δι' ἑνὸς γράφεται ¯ρ οὐ κατὰ Ἀττικοὺς ἀλλὰ φύσει. Τὸ δὲ ἔτλη, καλὸν εἰς Ὀδυσσέα τὸν ταλασίφρονα καὶ πολύτλαν καὶ τλήμονα. (ηερς. 244.) Ὅτι Ὀδυσσεὺς κατὰτὴν τῆς Ἑλένης ἱστορίαν αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν οἰκῆϊ ἐοικὼς, ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν. τὴν Τροίαν δηλαδή. ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων, ἤϊσκε. δέκτῃ, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν. τῷ, ἴκελος Τρώων κατέδυ πόλιν. οἵδ' ἀβάκησαν πάντες. ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα. καὶ ἀνειρώτων φησὶν αὐτόν. ὁ δὲ, κερδο 1.163 σύνῃ ἀλέεινε. ἀλλ' ὅτε δή φησιν αὐτὸν ἐγὼ ἔλουον, καὶ ἔχριον ἐλαίῳ. ἀμφὶ δὲ εἵματα ἕσσα καὶ ὤμοσα καρτερὸν ὅρκον μὴ πρὶν αὐτὸν ἐν Τρώσιν ἀναφῆναι πρὶν εἰς νῆας ἀφικέσθαι, καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν. πολλοὺς δὲ Τρώων κτείνας ταναηκέϊ χαλκῷ, ἦλθε μετ' Ἀργείους. κατὰ δὲ φρόνιν ἤγαγε πολλήν. ἔνθ' ἄλλαι Τρωαὶ λίγ' ἐκώκυον. αὐτὰρ ἐμὸν κῆρ χαῖρ' ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι ἂψ οἶκον. ἄτην δὲ μετέστενον, ἣν Ἀφροδίτη ἔδωκεν ὅτε μ' ἤγαγε κεῖσε φίλης ἄπο πατρίδος αἴης. παῖδα τ' ἐμὴν νοσφισαμένη. θάλαμόν τε. πόσιν τε οὔ τευ δευόμενον, οὔ τε φρένας οὔτέ τι εἶδος. Καὶ ὅρα ὅτι τὲ εἰς ἔπαινον τοῦ ἀνδρὸς ὁ λόγος τῇ ἡρωΐδι κατέληξε. καὶ ὅπως ἐπὶ τῇ ἁρπαγῇ μεταμέλεται. ὁμολογοῦσα καὶ ὡς ἑκοντὶ ἀφήρπαστο εἴγε τέτραπτο αὐτῇ ἡ ψυχὴ παλιννοστῆσαι καὶ μετέστενε τὸν φαῦλον ἔρωτα. Ὅρα δὲ καὶ τὴν ἱστορίαν ταύτην ἣν οὐδεὶς ἀκριβέστερον τῆς Ἑλένης οἶδεν. ὡς μὴ μάτην αὐτὴν παραχθῆναι εἰς θέαν τοῖς ξένοις ὑπὸ τοῦ ποιητοῦ. (ηερς. 244.) Τὸ δὲ αὐτόν μιν ὅτι ἀντὶ συνθέτου ἀντωνυμίας κεῖται δηλοῦν τὸ ἑαυτὸν, καὶ ἐν ἄλλοις ἐῤῥέθη. Πληγαὶ δὲ ἀεικέλιαι, δι' ὧν σῶμα αἰκίζεται. ὁποῖαί τινες καὶ αἱ ὕστερον τοῦ Σίνωνος. ὃς κατεμήνυσεν ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δῆθεν πρὸς καλοῦ ἐσόμενον τοῖς Τρωσὶ τὸν δούρειον ἵππον. ὡς δὲ καί τινες τῶν ὑστερογενῶν, ἐπ' ἀγαθῷ τῶν ὁμοφύλων ἑαυτοὺς ᾐκίσαντο κατὰ Ὀδυσσέα καὶ Σίνωνα, δηλοῖ καὶ ὁ Πέρσης Μεγάβυζος, κολοβώσας ἑαυτὸν καὶ ἄλλως αἰκίσας χάριν τοῦ δεσπότου βασιλέως. ἑτέρου δὲ βασιλέως Περσῶν θεράπων ὁ καλούμενος Φίλος ὡς ὁ δειπνοσοφιστὴς ἱστορεῖ, ἄλλον τρόπον οὕτως εἶχεν. ὃς τραπέζης μέν φησιν οὐκ ἐκοινώνει, χαμαὶ δὲ ὑποκαθήμενος, τὸ παραβληθὲν κυνιστὶ ἐσιτεῖτο. καὶ πολλάκις διὰ τὴν τυχοῦσαν αἰτίαν ἀποσπασθεὶς τοῦ χαμαιπετοῦς δείπνου, ῥάβδοις καὶ ἱμᾶσιν ἀστραγαλωτοῖς ἐμαστιγοῦτο. καὶ γενόμενος αἱμόφυρτος, πεσὼν εἰς ἔδαφος, προσεκύνει τὸν τιμωρησάμενον ὡς εὐεργέτην. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. Τὸ δὲ δαμάσας καὶ ἀμφιβαλὼν καὶ ἐοικώς, συχναὶ ἀσύνδετοι μετοχαὶ οὐκ ἀσυνήθεις τῷ ποιητῇ. (ῃερς. 245.) Τὰ δὲ σπεῖρα περὶ ὧν καὶ προεγράφη, πτωχικά εἰσιν ἀμφιβλήματα. ἤτοι ῥάκη. ὅθεν ὁ μὲν ψευδοδέκτης Ὀδυσσεὺς σπεῖρα κακὰ ἀμφιβέβληται. τὸν δὲ ἀληθῆ Ὀδυσσέα, ἀμφὶ εἵματα ἕσσεν ἡ Ἑλένη. ἐνταῦθα δὲ φασὶν οἱ παλαιοὶ καὶ ὅτι ὁ νῦν σπεῖρα κακὰ φορῶν καὶ ἀγνοούμενος τῇ Ἑλένῃ καὶ τοῖς ἄλλοις, πιθανῶς ἂν λάθοι καὶ τοὺς μνηστῆρας, τοιοῦτον ἔχων σχῆμα. ὁ δὲ καὶ πληγάς φασι καρτερήσας ὑπὲρ τῶν κοινῇ συμφερόντων, πῶς τῶν ἰδίων οὐ προστήσεται; καλῶς οὖν οἱ Λάκωνες ἐπαίδευον τοὺς νέους τὴν μαστίγωσιν, ἐθίζοντες καρτερεῖν τὰ δεινά. Τοῦ δὲ κατέδυ πόλιν, οὐκ ἔχει ὡς ἐν σχεδιασμῷ καιριωτέραν φράσιν ὁ ποιητής. διὸ εἰπὼν δυσμενέων κατέδυ πόλιν, μετ' ὀλίγα ἔφη, Τρώων κατέδυ πόλιν. Τὴν δὲ πολλαχοῦ εὐρυάγυιαν Τροΐαν, ἀλλαχοῦ εὐρεῖαν φησὶν ἐν ἁπλότητι. τὸ δὲ κατακρύπτων, πάνυ τὸ οἰκεῖον πρὸς κατέδυ πόλιν. ὁ γὰρ καταδὺς, κρύπτεται. (ῃερς. 247.) Δέκτην δὲ, Ἀρίσταρχος μὲν, τὸν ἐπαίτην λέγει, παρὰ τὸ δέχεσθαι. ὁ δὲ κυκλικός φασιν ἤγουν ὁ τῶν κυκλίων ποιητὴς ὀνοματικῶς ἀκούει τὴν λέξιν. Δέκτην τινὰ κατὰ κυριολεξίαν εἰπὼν παρ' οὗ τὸν Ὀδυσσέα λαβόντα τὰ ῥάκη, ἀμφιβαλέσθαι. πανδήμιον ἴσως τοῖς ἐν Τροίᾳ Ἕλλησιν ὄντα πτωχόν. ὁποῖος ἦν καὶ τοῖς Ἰθακησίοις ὁ Ἶρος. (ῃερς. 248.) Τὸ δὲ ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν, διττὴν ἔχειἔννοιαν. ἢ γὰρ ὅτι τοιούτῳ Δέκτῃ Ὀδυσσεὺς εἰκάσθη οἷος Δέκτης δηλαδὴ οὐκ ἦν ἄλλος ἐν τοῖς ἐκεῖ κατ' οὐδέν. ἢ ὅτι Δέκτῃ ἑαυτὸν εἴκασεν Ὀδυσσεὺς ὁ κατὰ μηδὲν τοιοῦτος ἐν τῇ Τροίᾳ. ἀλλὰ δηλαδὴ εὐσχήμων καὶ λαμπροφόρος καὶ ὅλως εἰπεῖν, ἡρωϊκός. (ῃερς. 249.) Τὸ δὲ ἀβάκησαν, ἅπαξ μὲν καὶ αὐτὸ ἐῤῥέθη παρὰ τῷ ποιητῇ. ἔστι δὲ ἀβακεῖν, τὸ ἀγνοεῖν καὶ διατοῦτο μὴ ἔχειν τι βάζειν, ἀλλ' ἀπορεῖν ἐπὶ τῷ βλεπομένῳ. καὶ γίνεται καθ' ὁμοιότητα τοῦ ἀτακτεῖν ὡς οἱ ἐτυμολόγοι φασί. τὰ μέντοι ἐναντία τοῦ ἀβακεῖν, βάβαξ, ἤτοι λάλος. μαινόμενος ἄσωτος γάλλος, κατὰ τοὺς παλαιούς. οὗ χρῆσις καὶ παρὰ Λυκόφρονι. ὁ δ' αὐτὸς, καὶ βαβάκτης ἐκ τοῦ βάζειν. ὅθεν καὶ βάκχος φασὶν ὁ μανιώδης καὶ ἀκρατής. ὁ μέντοι ἄβαξ, ἀνάπαλιν ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ, τὸν ἄλαλον δηλοῖ καὶ ἀσύνετον καὶ ἄπειρον, παρὰ τὸ μὴ βάζειν. δῆλοι δέ φασι καὶ σανίδιον ὁ ἄβαξ, ὅθεν ἀβάκιον ἐφ' οὗ ψηφίζουσι. δῆλον δὲ ὅτι οὐκ ἂν χρῄζοι τῆς λέξεως τοῦ ἀβακεῖν, ὁ καταλογάδην γράφων. (ῃερς. 250.) Τὸ δὲ ἐγώ μιν οἴη ἀνέγνων, τὸ πρὸς μορφὰς περίεργον τῆς Ἑλένης δηλοῖ ὡς καὶ προδεδήλωται. καὶ κεῖται τὸ ἐγὼ κἀνταῦθα, πρὸς διαστολὴν, ὡς καὶ πρὸ ὀλίγων ἐν τῷ, οὐκ ἂν ἐγὼ μυθήσομαι. λέγει γὰρ ἡ Ἑλένη, ὡς ἐγὼ μόνη καὶ οὐδεὶς ἄλλος καί τοι τοιοῦτον σχηματισθέντα τὸν Ὀδυσσέα, ἐγνώρισα. πῶς δὲ οὐκ 1.164 ἔμελλεν αὐτὸν ἐκεῖνον τὸν Ὀδυσσέα γνῶναι ὃν μυριάκις εἶδεν, ἡ τὸν Τηλέμαχον γνοῦσα ὃν εἶδεν οὐδέποτε; εἰς γὰρ πιθανότητα τοῦ παρόντος ἐπλάσατο ἐκεῖνο ὁ ποιητής. Καὶ ὅρα ὅτι πολὺ πιθανώτερος ὁ Ὁμηρικὸς οὗτος ὑπὸ μόνης Ἑλένης ἀναγνωρισμὸς, ἤπερ ὁ κατὰ Εὐριπίδην ἐν ᾧ καὶ τῇ Ἑκάβῃ κατεῖπεν ἡ Ἑλένη. (ῃερς. 251.) Τὸ δὲ εἰρώτων, διὰ διφθόγγου ἄρχεται ὡς ἀπὸ τοῦ εἰρωτῶ. οὗ ἡ χρῆσις ἐν τοῖς ἑξῆς. Κερδοσύνην δὲ, τὴν ἐπικερδῆ λέγει βουλήν. οἱ δὲ ὕστερον, καὶ τὴν δολιότητα, ὡς ἀπὸ τῆς κερδοῦς ἥ ἐστιν ἀλώπηξ. Τὸ δὲ λούειν, ὅρα κἀνταῦθα γυναικῶν ἴδιον. φησὶ γὰρ ἡ Ἑλένη ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγὼ τὸν Ὀδυσσέα ἐλόευν. οὗ ἐνεστὼς τὸ λοέω. ἐξ οὗ τὸ λοετρόν. τούτων δὲ συναίρεσις, τὸ λούειν καὶ τὸ λουτρόν. Σκοπητέον δὲ εἴπερ ὁ ποιητὴς πολλαχοῦ ἐπιτηδεύεται ἱστορεῖν ὑπὸ γυναικῶν ἄνδρας λούεσθαι, ἵνα καὶ τὸ κατὰ τὴν Ἑλένην ἐνταῦθα λουτρὸν δόξῃ πιθανόν. λούει δέ φασιν Ἑλένη τὸν Ὀδυςσέα ἐπίτηδες, ἵνα τῇ γυμνώσει τῶν ῥακέων, ἀπελέγξῃ ἀρνούμενον. καὶ ἴσως μάλιστα ἐκ τῆς περὶ τὸν μηρὸν οὐλῆς, ἣν ἀπὸ πληγῆς εἶχεν ἀγρίου συὸς, εἰς λαμπρὸν παράσημον ὡς φανήσεται. ἄλλως γὰρ, ἦν καὶ ὑφ' ἑτέρων αὐτὸν γυναικῶν λουσθῆναι. (ῃερς. 254.) Τὸ δὲ ἀναφῆναι, δηλοῖ μὲν τὸ δεῖξαι τὸν ὡς ἐῤῥέθη κατακρυβέντα. γέγονε δὲ ἀρχὴ δικαστικῆς λέξεως παρ' Ἀττικοῖς, τοῦ φαίνειν ὡς ἐν κατηγορίᾳ. ὅθεν καὶ τὸ συκοφαντεῖν γίνεται. φαίνει γὰρ καὶ ὁ συκοφάντης τοὺς συκοκλέπτας, ὡς ἡ ἱστορία λέγει. Ἐν δὲ τῷ, μὴ πρὶν Ὀδυσσέα Τρωσὶν ἀναφῆναι πρὶν αὐτὸν ἐς νῆας ἱκέσθαι, εἴπερ μὴ δοκεῖ πιθανὸν ἢ εὐλόγιστον τὸ ἀναφῆναι ὅλως τὸν Ὀδυσσέα Τρωσὶν, ἐνθυμητέον τὴν δύναμιν τοῦ, μὴ πρὶν ποιῆσαι τό δέ τι πρὶν ἂν τόδε γένηται. ἥτις ἐν τῇ ¯α ῥαψῳδίᾳ τῆς Ἰλιάδος κεῖται. καὶ φανεῖται ἐκεῖθεν, ὡς οὐκ εἰκὸς τὴν Ἑλένην εἰπεῖν τοῖς Ἰλιεῦσι περὶ τοῦ Ὀδυσσέως οὐδὲ ὅτε εἰς νῆας καὶ κλισίαςἀφίκετο αὐτός. (ῃερς. 250.) Ἰστέον δὲ ὅτι ἐν μὲν τῷ, ἀνέγνων, οὐ περιττῶς ἀλλ' ἀναγκαίως κεῖται ἡ πρόθεσις ὡς καὶ ἐν τῷ ἀνανεῦσαι καὶ ἀναδικάσαι καὶ τοῖς ὁμοίοις, ἐν δὲ τῷ ἀναφῆναι παρέλκει ἡ πρόθεσις. (ῃερς. 256.) Ἐν δὲ τῷ, καὶ τότε δή μοι, περιττὸς κεῖται ὁ κα¯ι σύνδεσμος. Ἐν δὲ τῷ, πολλοὺς δὲ κτείνας, δοκεῖ παρ' Ἑλένης λαβεῖν τὸ ξίφος ὁ Ὀδυσσεὺς κατὰ τὸ σιωπώμενον. οὐ γὰρ δήπου αὐτὸς εἶχεν ὁ ἐπαίτης ὁ ῥακενδύτης. οὕτω καὶ πρὸ ὀλίγων δμωαὶ τοὺς ξένους ἔλουσαν, κελευσθεῖσαι ὑπὸ Μενελάου. εἰ καὶ Ὅμηρος ἐσίγησε τοῦτο διὰ τὸ μὴ ἀναγκαῖον τοῦ λόγου. (ῃερς. 258.) Τὸ δὲ κατὰ δὲ φρόνιν ἤγαγε πολλὴν, ἤγαγε πολλὴν, ἢ κατά τι ὑπερβατὸν νοητέον ἵνα λέγῃ ὅτι κατήγαγεν εἰς τοὺς Ἕλληνας φρόνιν ὅ ἐστι φρόνησιν πολλὴν συνετώτατος δόξας. ἢ καὶ ἄλλως, ἤγαγε καταφρόνησιν τῶν Τρώων πολλήν. τήν τε Ἑλένην ὡς εἰκὸς ἀναπείσας. καὶ τὸ τεῖχος ἀναμετρήσας. καὶ τὰ Τρωϊκὰ μαθὼν βουλεύματα. καὶ τὰς πύλας δὲ γνοὺς διὰ τὸν μηχανηθησόμενον δούρειον ἵππον, ὅσον εἶχον διάστημα. ἢ καὶ τὸ παλλάδιον ἁρπάσας περὶ οὗ καὶ ὁ Λυκόφρων ἱστορεῖ. ταῦτα γὰρ αἴτια φασὶ τοῦ καταδῦναι τὸν Ὀδυσσέα λάθρα εἰς Τροῖαν. αἰκισάμενον ἑαυτὸν ἵνα ὡς ἐχθραίνων τοῖς Ἀχαιοῖς καὶ τῷ βασιλεῖ, προσδεχθείη τοῖς πολεμίοις. συλλαλεῖ δὲ τῇ κατ' ἀμφιβολίαν δευτέρᾳ Ὁμηρικῇ ἐννοίᾳ καὶ ὁ τῶν Ὀδυσσειακῶν μεταβολεὺς Δημοσθένης. εἰπὼν ὅτι Ὀδυσσεὺς ὅσα ἐβουλήθη διαπραξάμενος καταφρονητικῶς πάνυ, οὕτως ἐπανῆλθεν εἰς τὸ στρατόπεδον τῶν Ἑλλήνων. οἱ μέντοι νεώτεροι, φρόνιν τὴν λείαν ἀπεδέξαντο. ἵνα καὶ ληϊσάμενός τι νοοῖτο ἐκ τῆς Τροίας ὁ Ὀδυσσεύς. Ἰστέον δὲ ὡς ἐκ τοῦ, κατήγαγε φρόνιν ὡς προσεχῶς ἐῤῥέθη, ἔλαβον ἀρχὴν οἱ μεθ' Ὅμηρον λέγειν, κατήγαγεν ὁ δεῖνα θρίαμβον. ἤγουν προῆλθε μετὰ θριάμβου. (ῃερς. 260.) Τὸ δὲ νέεσθαι ἂψ οἶκον, συντετηρημένως ἐγράφη πρὸς δήλωσιν τοῦ νοστῆσαι. ἄλλως γὰρ, νέεσθαι λέγεται ὡς καὶ πρὸ ὀλίγων ἐφάνη, τὸ ἁπλῶς πορεύεσθαι. (ῃερς. 261.) Τὸ δὲ μετέστενον. ὅμοιόν ἐστι τῷ μετανοεῖν. (ῃερς. 262.) Τὸ δὲ ἤγαγε κεῖσε περὶ Ἀφροδίτης εἶπεν ἡ Ἑλένη σεμνύνουσα ἑαυτήν. ὀκνεῖ γὰρ μνησθῆναι τοῦ ἀληθῶς ἀγαγόντος αὐτὴν εἰς Τροῖαν Πάριδος. (ῃερς. 263.) Τὸ δὲ νοσφισαμένη, γράφεται μὲν καὶ αἰτιατικὴ, διὰ τὴν Ἑλένην. δηλοῖ δὲ τὴν νόσφι καὶ χωρὶς ποιησαμένην. ἐπὶ γὰρ τοῦ ἰδιοποιεῖσθαι, οὐδαμοῦ παρὰ τῷ ποιητῇ κεῖται τὸ νοσφίζεσθαι. ἔστι δὲ χρῆσις καὶ ἐν Ἰλιάδι τῆς τοιαύτης λέξεως. Ἐν τούτοις δὲ, σημείωσαι καὶ ὅτι Πηνελόπη μέν που ἐρεῖ τὴν Τροῖαν κακοΐλιον οὐκ ὀνομαστήν. Ἑλένη δ' ἐνταῦθα οὐδὲ ὀνομάζειν ὅλως αὐτὴν ἐθέλει. ἀνωτέρω μὲν γὰρ, δυσμενέων πόλιν εὐρυάγυιαν εἶπεν. εἶτα Τρώων πόλιν. ἐνταῦθα δὲ, ὅτε με ἤγαγε κεῖσε. ἤγουν εἰς Τροῖαν. ἴσως οὖν, ἀπώμοτον ἔχει τὴν τῆς πόλεως ταύτην κλῆσιν. (ῃερς. 264.) Εἰς δὲ τὸν ἐκ τῆς Ἑλένης ἔπαινον τοῦ Μενελάου, φασὶν οἱ παλαιοὶ ὅτι οἱ ἄνδρες οὐχ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὕτως ἐπὶ φθοραῖς γυναικῶν ἀγανακτοῦσιν, ὡς ἐπὶ ταῖς 1.165 αἱρέσεσιν. ὅτε δηλαδὴ αἴσθονται ὑπ' ἄλλων παρ' εὐδοκιμούμενοι παρ' αὐταῖς. ὅθεν Ἑλένη ἐπαινεῖ τὸν ἄνδρα τὸ εἰς εἶδος εἰς ὃ ἐξημαρτηκέναι διαβάλλεται ὡς ἡττηθεῖσα τῆς τοῦ Πάριδος εὐμορφίας. (ῥερς. 266.) Ὅτι διαδεξάμενος τὸν τῆς γυναικὸς Ἑλένης λόγον ὁ Μενέλαος, λέγει τι καὶ αὐτὸς περὶ τοῦ Ὀδυσσέως μεμιγμένον ἔκ τε μόνων ὧν αὐτὸς εἶδε, καὶ ἐξ ὧν δὲ ἡ Ἑλένη μόνη. καὶ ἔτι ἀφ' ὧν ᾔδεισαν ἀμφότεροι. καὶ τέως μὲν, συναινεῖ τῇ συγγραφῇ τῆς γυναικός. εἰπών. ναὶ δὴ ταῦτά γε πάντα γύναι κατὰ μοῖραν ἔειπες. ὃ παρῴδηται ἀπὸ τοῦ, ναὶ δὴ ταῦτά γε πάντα γέρον. (ῥερς. 267.) εἶτα καὶ αὐτὸς ὁμοίως τῇ Ἑλένῃ προοιμιασάμενος, ὑποβάλλει διήγημα τὸ κατὰ τὸν δούρειον ἵππον. χρησάμενος καὶ στίχῳ ἑνὶ ἀπαραποιήτως ὡς ἐλάλησεν ἡ γυνὴ μὴ μόνον τὴν τοῦ εἰπεῖν μέθοδον ἐξ ἐκείνου κερδήσας, ἀλλὰ καὶ ἔπος ἀκέραιον. ἡ δὲ προοιμιακὴ τοῦ Μενελάου ἔννοια, ἔπαινός ἔστι καὶ αὐτὴ ἀνδρὸς ἁπλῶς ἀγαθοῦ μέγά τι ἆθλον ἐργασαμένου. ἔχει δὲ ὁ λόγος τῷ Μενελάῳ, οὕτως. ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τε ἀνδρῶν ἡρώων. πολλὴν δ' ἐπελήλυθα γαῖαν. ἀλλ' οὔπω τοῖον ἐγὼν ἴδον ὀφθαλμοῖσιν, οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσχε φίλον κῆρ. (ῥερς. 271.) εἶτα θαυμαστικῶς ἐπεισβάλλων τῷ διηγήματι κατὰ τὴν Ἑλένην καὶ αὐτὸς, φησίν. οἷον καὶ τό δ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ ἵππῳ ἐνὶ ξεστῷ, ἵν' ἐνήμεθα πάντες ἄριστοι Ἀργείων, Τρώεσσι φόνον καὶ κῆρα φέροντες. ἦλθες ἔπειτα σὺ κεῖσε, κελευσέμεναι δέ σ' ἔμελλε δαίμων, ὃς Τρώεσσιν ἐβούλετο κῆδος ὀρέξαι. καίτοι Δηΐφοβος θεοείκελος ἕσπετ' ἰούσῃ. τρὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα. ἐκ δ' ὀνομακλήδην Δαναῶν ὠνόμαζες ἀρίστους, πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν. Αὐτὰρ ἐγὼ καὶ Τυδείδης καὶ δῖος Ὀδυσσεὺς, ἥμενοι ἐν μέσσοισιν, ἀκούσαμεν ὡς ἐβοήσας. καὶ ἡμεῖς μέν φησιν ἀμφότεροι, μενεήναμεν ὁρμηθέντες, ἢ ἐξελθέμεναι ἢ ἔνδοθεν αἶψ' ὑπακοῦσαι. ὅ ἐστιν ἀποκριθῆναι. ὅπερ ὑποκρίνεσθαί φησιν ἀλλαχοῦ ὁ ποιητής. ἀλλ' Ὀδυσσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένους περ. εἶτα διηγεῖται καὶ ὡς οἱ μὲν ἄλλοι πάντες ἡσύχως ἦσαν ἔσω. Ἄντικλος δὲ μόνος ἀμείψασθαι λόγοις τὴν Ἑλένην ἤθελεν. ἀλλ' Ὀδυσσεὺς ἐπὶμάστακα χερσὶ πίεζε κραταιαῖς, σάωσε δὲ πάντας Ἀχαιοὺς κατέχων. ἕως ἀπήγαγέ σε ἡ Ἀθηνᾶ. τουτέστιν ἡ παρὰ σοὶ φρόνησις. ἐθέλει γὰρ ὁ Μενέλαος ἐπαινεθεὶς ὑπὸ τῆς γυναικὸς, ἀντεπαινεῖν αὐτὴν ὡς καὶ προμηθῶς ὑποχωρήσασαν, καὶ τὴν ἀρχὴν δὲ, βίᾳ ἐλθοῦσαν εἰς τὸν δούρειον ἵππον καὶ λαλήσασαν. τοῦτο γὰρ ἐδήλωσεν ἐν τῷ εἰπεῖν, ὡς ἔμελλε τουτέστιν ἐῴκει δαίμων τις ἐπίκουρος Τρώων ἀγαγεῖν σε ἐκεῖ. ἄλλως γὰρ, οὐκ ἐχρῆν τοιοῦτόν τι ποιῆσαι οἴκοθεν τὴν Ἑλένην. ἧς ἡ καρδία τέτραπτο οἴκαδε παλιννοστῆσαι μεταστενούσης τὴν ἐξ Ἀφροδίτης ἄτην. (ῥερς. 279.) Καὶ ἔστιν ὁ Ὁμηρικὸς οὗτος τόπος λυτικὸς πολλῶν ἀποριῶν. ἡ εἰς τὸ δαιμόνιον δηλαδὴ μετάστασις τῆς αἰτίας τοῦ κακοῦ. αἰτιῶνται γὰρ ἄλλως οἱ παλαιοὶ τὴν τῆς ἱστορίας ταύτης διάθεσιν, ἀπίθανον εἰπόντες εἶναι τὸ τὴν Ἑλένην οὕτω στρογγύλλεσθαι τὴν φωνὴν καὶ μεταβάλλειν πρὸς τοσαύτην μίμησιν. καὶ ἄλλως δέ φασι, πῶς ἡ πρὸ μικροῦ εἰποῦσα ὡς ἤδη μοι θυμὸς ἐτέτραπτο νέεσθαι εἰς τὴν πατρίδα, οὕτω δολερῶς κεράννυσι τὴν φωνὴν, ὡς παρὰ βραχὺ ἂν σχεδιάσαι κακὸν τοῖς Ἀχαιοῖς ὅπερ οὐδὲ ὁ δεκαετὴς κατειργάσατο πόλεμος; πῶς δὲ καὶ ἐπίστευον οἱ ἐν τῇ πολεμίᾳ γῇ, ὡς πάρεισιν αὐτῶν αἱ γυναῖκες. γελοῖα οὖν φασιν ἡ τῶν φωνῶν μίμησις καὶ ἀδύνατος. λύεται δὲ ὡς ἐῤῥέθη τὸ ἄπορον, ἐκ τοῦ, δαίμονα ἐχθρὸν τοῖς Ἀχαιοῖς μεσολαβῆσαι. καὶ τοῦτο μὲν ῥητορικώτερον. ὁ δέ γε μῦθος φωνόμιμον παραδίδωσι τὴν Ἑλένην. ὅθεν καὶ ἠχώ φασι καλεῖσθαι αὐτήν. καὶ δῶρον αὐτὸ λαβεῖν ἐξ Ἀφροδίτης ὅτε εἰς γάμον ἐξεδόθη τῷ Μενελάῳ, ὡς ἂν εἴποτε πρὸς ἄλλην ὁ ἀνὴρ ἀπονεύσει, ἐξελέγχειν ἔχῃ αὐτὸν τῷ τῆς φωνῆς εἰκασμῷ, ὑποκρινομένη τὴν ἐρωμένην. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. (ῥερς. 272.) Ἵππον δὲ ξεστὸν, τὸν δούρειον λέγει ὅ ἐστι τὸν ξύλινον. ξύλου δὲ ἴδιον τὸ ξέεσθαι, καθὰ καὶ λίθου. ὅθεν καὶ τὸ, ξεστοῖσι λίθοισι. καὶ τὸ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσαμίνθους ἐϋξέστας. ἐπεὶ δὲ καὶ τὸ ξύεσθαι ἐπὶ ξύλου λέγεται, εἰκότως καὶ δόρυ ξυστὸν φαμέν. Τὸ δὲ ἐνήμεθα πάντες ἄριστοι, ἀνεπαχθῶς ἐῤῥέθη διὰ τὸ τοῦ ἐπαίνου κοινόν. καθὰ καὶ Νέστωρ ἐμεθώδευσεν ἐν τῷ, ἀνέτλημεν μένος ἄσχετοι Ἀχαιοί. Τὸν δὲ Δηΐφοβον νοητέον ἀκολουθεῖν τῇ Ἑλένῃ, ὡς ἂν εἴ τις ἔνδοθεν φωνήσοι, μὴ ἔχοι κρύψαι τὸ γενόμενον ἡ Ἑλένη. φασὶ δὲ αὐτὸν θανόντος Πάριδος ἀγαγέσθαι τὴν Ἑλένην, ὡς τῶν περιλειφθέντων ἀδελφῶν κρείττονα. ὃ καὶ Μενέλαος δηλοῖ, θεοείκελον ὀνομάσας αὐτόν. οὐ γὰρ ἔχει κρύπτειν τὸ ἀληθές. (ηερς. 277.) Τὸ δὲ περίστειξας, ἀντὶ τοῦ περιῆλθες. περιώδευσας. Κοῖλον δὲ λόχον, ἀστείως εἶπε τὸν δούρειον ἵππον. ἕτερος 1.166 μέντοι τολμηρῶς ἐθέλων φράζειν, καὶ βαθὺν δόλον προσεῖπεν ἂν αὐτόν. καὶ Ἅιδου ἕρκος. καὶ εἴ τι τοιοῦτον. ἀστείως δὲ καὶ Σοφοκλῆς, ὃς λέγεται ὕπουλον εἰπεῖν τὸν δούρειον ἵππον, παρενεγκὼν αὐτὸ ἐκ τοῦ σκωπτικῶς λεγομένου ὑπούλου ἤθους τοῦ κατ' ἄνθρωπον μὴ ὑγιῶς ἔχοντα τοῦ τρόπου, ὡς ἀπὸ ἑλκῶν ἃ δοκοῦντα ὑγιᾶσθαι, οὐκ εἰς παντελές φασι καθαρεύει. ἀλλὰ δηλαδὴ ὑπὸ τὴν προφαινομένην οὐλὴν, κακόν τι κρύπτει ὁ δὲ τοιοῦτος ὕπουλος, καὶ σκοτομήδης ὑπὸ τῶν παλαιῶν σκώπτεται. καὶ χθόνιος, ὡς διὰ δόλον στυγνὸς ὢν καὶ κατηφής. καὶ σκοτοιβόρος, ὡς ὑπὸ σκότῳ βιβρώσκων τὸν πολεμούμενον. αὐτὸ μέντοι, δύναταί ποτε δηλῶσαι καὶ τὸν κρύφα μονοφαγοῦντα. ἵνα ᾖ τότε αὐτὸς, συζυγῶν τῇ παρ' Ἡσιόδῳ δειπνολόχῳ γυναικί. ἀναλογία δὲ πάντως τοῦ σκοτοιβόρος, πρὸς τὸ ὁδοιπόρος, ὁδοιδόκος, καὶ τὰ ὅμοια. (ηερς. 279.) Ἐν δὲ τῷ, πάντων Ἀργείων, ἢ ἔοικε παρέλκειν τὸ πάντων διὰ τὸ καὶ ἀπίθανον καὶ ἀδύνατον εἶναι τὸ λεγόμενον. ἢ καὶ ἄλλως πάντας Ἀργείους κἀνταῦθα λέγει, οὓς καὶ ἀνωτέρω εἶπεν ἐν τῷ. ἐνήμεθα πάντες ἄριστοι καὶ κατωτέρω δὲ ἐν τῷ, ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν. ἔχει δέ τι καὶ ἀμφίβολον ὁ τόπος οὗτος. οὐ γὰρ μόνον δύναται νοεῖσθαι φωνὴ ὁμοία ταῖς ἀλόχοις πάντων Ἀργείων, ἀλλὰ καὶ ἄλλως, ὅτι ὠνόμαζες ἀρίστους πάντων Ἀργείων. Ἐντούτοις δὲ, ὅρα τὸ ἀλόχοισιν, ἁπλοϊκῶς ὡς ἐν σχεδιασμῷ ῥηθέν. ἐσκεμμένως γὰρ εἰπεῖν, οὐκ ἀλόχοις φωνὴν ἤϊσκεν ἡ Ἑλένη, ἀλλὰ πάντως ταῖς τῶν Ἑλληνικῶν ἀλόχων φωναῖς. ὑποκρινομένη δηλαδὴ κατὰ φωνὴν εἰ καὶ μὴ κατὰ σχῆμα. ἔστι γὰρ κατὰ τοὺς παλαιοὺς ὑπόκρισις, διάθεσις φωνῆς καὶ σχήματος, πιθανή. πρέπουσα τῷ ὑποκειμένῳ προσώπῳ καὶ πράγματι. Ἄντικλον δὲ, ὁ μὲν Ὁμηρικὸς οὐκ ἔχει κατάλογος ὡς εἶναι αὐτὸν γνώριμον κατὰ ἡγεμονίαν, ἀγαθὸς δὲ ἄλλως ἔοικεν εἶναι ἀνὴρ τὰ πολεμικὰ, διὸ καὶ ἐνεκρίθη εἰς λόχον. ὡς μὴ κατὰ ἡγεμόνας ἐπιλεγέντων ἀλλὰ ἀριστίνδην τῶν ἐν τῷ δουρείῳ ἵππῳ ἐνεδρευσάντων. (ηερς. 287.) Μάσταξ δὲ, οὐ μόνον ἡ τροφὴ ὡς καὶ ἐν ἄλλοις, ἀλλὰ καὶ τὸ στόμα ὡς ἐνταῦθα. παρὰ τὸ μαστᾶσθαι δὲ γίνεται καὶ ἀμφότερα. τινὲς δὲ, καὶ τὸ χεῖλος οὕτω φασὶν. ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηνται καὶ μάστακες αἱ ἀκρίδες, καὶ λέγεται κεῖσθαι τοῦτο παρὰ Σοφοκλεῖ ἐν Φινεῖ. ἐκεῖ δὲ, ἐμφέρεται καὶ ὅτι μάσταξ αἱ ἐπὶ τοῦ ἄνω χείλους τρίχες. πάππος δ', αἱ ἐπὶ τοῦ κάτω. Ἔνθα σημείωσαι ὡς ὁ παρὰ τοῖς ἄλλοις κοινῶς λεγόμενος μύσταξ διὰ τοῦ ¯υ, μάσταξ ἐκεῖσε διὰ τοῦ ¯α γράφεται. Αἴλιος δὲ Διονύσιος, καὶ μασταρύζειν φησὶ τὸ κακῶς μασᾶσθαι καὶ βλακικῶς. (ηερς. 288.) Τὸ δὲ χερσὶ κραταιαῖς, ἐνταῦθα μάλιστα καιριώτατον, ἔνθα ἐγκρατῶς πιέζουσι. Τὸ δὲ σάωσε δὲ πάντας Ἀχαιοὺς, τὸ καίριόν ἐστι τοῦ διηγήματος, ὃ ἔρεξεν ὁ κρατερὸς Ὀδυσσεύς. οὗ μὴ ῥεχθέντος, κίνδυνος ἦν, καὶ τοῦ δορείου ἵππου βοὴν ἐξηχηθῆναι τότε ὀλέθριον, ἄλλον τρόπον ἤπερ ἐπὶ τοῦ ταύρου κατὰ τὸν Φάλαριν λέγεται. (ηερς. 292.) Ὅτι ὁ μαθὼν οἰκείου τινὸς ἀνδραγαθίας μεγάλας μὲν οὐκ ἀλεξικάκους δὲ, δυνήσεται εἰπεῖν ὅτι, ἄλγιον. οὐ γάρ οἵ τι τά γ' ἤρκεσε λυγρὸν ὄλεθρον, οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν. Τηλέμαχος δὲ τοῦτο λέγει ἐφ' οἷς ἔμαθεν ἀνδραγαθίσασθαι τὸν κρατερὸν πατέρα. Τὸ δὲ ἄλγιον, κατὰ τελείαν στιχθὲν, ἐλλειπτικῶς εἴρηται ἀντὶ τοῦ, ἀλγεινόν ἐστι τὸ πρᾶγμα. (ηερς. 293.) Ὅρα δὲ ὅτι πολλαχῶς τὴν φωνὴν στρέφων ὁ ποιητὴς, τὸ ἐν ἄλλοις χάλκεον καὶ σιδήρεον ἦτορ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνταῦθα καρδίαν σιδηρέην ἔφη, δοκῶν εἰς ταυτὸν ἄγειν τὸ ἦτορ τῇ καρδίᾳ. Ἰστέον δὲ ὅτι κρατερὰς χεῖρας εἰπόντος Μενελάου τὰς τοῦ Ὀδυσσέως, ὡς πρὸς αὐτό φησιν ὁ Τηλέμαχος τὸ, κραδίην σιδηρέην. μονονουχὶ λέγων, ὡς οὐ μόνον ὤνησεν εἰ κρατερόχειρ ἦν ἐκεῖνος, ἀλλ' οὐδὲ εἰ σιδηροκάρδιος. (ηερς. 294.) Ὅτι προτρεπτικὸν εἰς ἀνάπαυσιν, τὸ, ἀλλ' ἄγετ' εἰς εὐνὴν τράπεθ' ἡμέας. ὄφρα καὶ ἤδη ὕπνῳ ὑπὸ γλυκερῷ ταρπώμεθα κοιμηθέντες. Καὶ ὅρα καὶ νῦν τὸ τράπετε καὶ τὸ ταρπώμεθα, κάλλός τι ποιοῦντα τῇ παραθετικῇ παρηχήσει. (ηερς. 297.) Ὅτι τὸ τῶν βασιλικῶν ξένων παρὰ Μενελάῳ στρῶμα, οὕτω καθίσταται. δέμνι' ὑπ' αἰθούσῃ θέμεναι. στορέσαιτ' ἐφύπερθε τάπητας. καὶ ῥήγεα καλὰ πορφύρεα ἐμβαλέειν. χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι. εἰ δὲ ὁ ποιητὴς μετὰ τὰ δέμνια ἐπάγει τὸ, ῥήγεα ἐμβαλεῖν, εἶτα τὸ, στορέσαι τάπητας, κατὰ τρόπον ὑστερολογίας τοῦτο ποιεῖ. ὑπόκεινται γὰρ τοῖς ῥήγεσιν οἱ τάπητες ὡς ἡ ἐτυμολογία δηλοῖ ἐν ἄλλοις ῥηθεῖσα. παρὰ τὸ πατεῖσθαι γὰρ γίνονται. εἰ δ' ἴσως τὰ ῥήγεα οὐ καλά ποτε λαμπρότεροι δὲ οἱ τάπητες, τότε στορεσθεῖεν ἂν τὰ ῥήγεα ὑπὸ τοὺς τάπητας, ὅπερ ἐνταῦθα οὐκ ἂν εἴη. καλὰ γὰρ τὰ ῥήγεα ὄντα καὶ πορφύρεα, οὐκ ἂν κρύπτοιντο ὑπὸ τοὺς τάπητας. Τίς δὲ ἡ αἴθουσα καὶ τὰ ῥήγεα καὶ οἱ τάπητες καὶ αἱ οὖλαι χλαῖναι, 1.167 δεδήλωται ἀλλαχοῦ. (ηερς. 302.) Ἰστέον δὲ ὅτι στορέσασθαι δέμνια αἱ δμωαὶ, οὐκέτι πάρεισι τοῖς ξένοις. ἀλλ' αὐτοὺς μὲν ἐξάγει κήρυξ. αὐτοί δ' ἐν προδόμῳ δόμου κοιμῶνται. (ηερς. 300.) Καὶ ὅρα ὡς καλὸν σχῆμα τὸ ἐν προδόμῳ δόμου ὡς καὶ ἀνωτέρω τὸ, ὑπ' αἰθούσῃ θέμεναι καὶ χλαίνας ἐνθέμεναι. καὶ ὅτι πρόδομον λέγει, τὴν αἴθουσαν. Ἐν τούτοις δὲ, καὶ τὸ ἐκ λαμπάδων ἤτοι δᾳδων φῶς, δάος λέγει. εἰπὼν, δάος μετὰ χερσὶν ἔχουσαι. ὡς εἴ τις εἴποι φάος. (ηερς. 304.) Ὅτι ταυτὸν τὸ καθεύδειν καὶ τὸ λέγεσθαι ἀφ' οὗ τὸ λέκτρον. φησὶ γοῦν. Ἀτρείδης δ' ἐκάθευδε. πὰρ δ' Ἑλένη τανύπεπλος ἐλέξατο. (ηερς. 305.) Τανύπεπλον δέ φασι λέγει, τὴν εὐτραφῆ καὶ πλήθουσαν. τετανυσμένου γὰρ οὕτω τοῦ σώματος, ἀνάγκη συνεσχηματίσθαι καὶ τὸν πέπλον. ἄλλως μέντοι τὸ τανύπεπλον, βαρβαρικὸν εἶναι φησί. καὶ ἴσως, οὐ κωλύει ἐκ τοιούτων ἥκουσαν τὴν Ἑλένην, τοῖς ἐκείνων εἰσέτι παραμένειν ἔθεσιν. (ηερς. 312.) Ὅτι πρὸ ὀλίγων εἰπὼν ὁ Μενέλαος ὡς δείπνου πασαμένους ἐρωτήσει τοὺς ξένους, ὁ δὲ, τῇ ὁμιλίᾳ παρασυρεὶς καὶ ἐκλαθόμενος, ἕωθεν ἐρωτᾷ, οὕτως. τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε Τηλέμαχ' ἥρως ἐς Λακεδαίμονα δῖαν; δήμιον ἢ ἴδιον; οὐκ ἐρωτᾷ δὲ τοὺς δύο, ἢ ἐπεὶ ἔγνω μηδὲν ἔργον ἔχειν εἰς αὐτὸν τὸν Νεστορίδην. Τηλεμάχου δὲ χάριν ἐλθεῖν. Ὅρα δὲ ὅτι τὸ χρειὼ ἐνδεξάμενος ὡς ταυτὸν τῷ χρέος οὐδετέρῳ ὀνόματι, πρὸς αὐτὸ συνέταξεν Ἀττικῶς τὸ τίπτε, καὶ τὸ δήμιον ἢ ἴδιον, τουτέστι δημόσιον ἢ ἰδιωτικόν σου τὸ πρὸς ἐμὲ χρέος. τοῦτο γὰρ ἡ χρειώ. Σημείωσαι δὲ ὅτι ἐνταῦθα μὲν τὸ τί ποτέ σε χρειὼ ἤγαγεν εἰς Λακεδαίμονα, καὶ ἐντελῶς εἴρηται καὶ σαφῶς. ὅτε δέ που ὡς καὶ ἐν Ἰλιάδι, αὐτὸ κεῖται μόνον τὸ, τίπτε δέ σε χρειὼ, ὑποδύσκολόν ἐστι διὰ τὸ, ἢ ἀντιπτωτικῶς εἰρῆσθαι ἢ ἐλλειπτικῶς. καὶ ἐλλειπτικῶς μὲν, ἐπειδὴ καὶ ῥῆμα λείπει ἐκεῖ καὶ ἔννοια τοπική. ἵνα λέγῃ, τίπτε δέ σε χρειὼ ἤγαγεν εἰς τόνδε τόπον, ἀντιπτωτικῶς δέ, διότι ἔστι νοῆσαι τὴν ¯σ¯ε αἰτιατικὴν ἀντωνυμίαν, ἀντὶ τοῦ σοί. ἵνα ᾖ, τί ποτέ σοι χρεία. εἰς ὅπερ χρησιμεύει καὶ Αἰσχύλου τὸ, αὐτόν σε δεῖ προμηθέως. ἤγουν αὐτῷ σοι χρεία ἐστὶ προμηθεύσασθαι. ἴσως δὲ ὕπεστι κἀνταῦθά τις ἔλλειψις κατὰ πρόθεσιν. οἷον. τί ποτε εἰς σὲ χρεία. Τὸ δὲ ἐς Λακεδαίμονα, ταυτὸν τῷ, ἐς Σπάρτην. κατὰ τὸ, πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον. (ηερς. 317.) Ὅτι τὸ ἐν ἄλλοις περὶ Ὀδυσσέως κλέος, κληηδόνα ἐνταῦθα φησί. λέγει γάρ.ἤλυθον εἴ τινά μοι κληηδόνα πατρὸς ἐνίσποις. Καὶ ἔστι ταυτὸν κλέος καὶ κληδὼν καὶ κληηδών. ὧν ἑρμηνεία, ἡ φήμη καὶ ἡ ὄσσα καὶ ἡ ὀμφὴ καὶ ὁ μαντικὸς λόγος. ἐπειδὴ ἐκ τοῦ κλέος τὸ κλεΐζω. ἀπ' αὐτοῦ δὲ κατὰ ἔκτασιν, τὸ κληΐζω. καὶ ἐν συναιρέσει, κλῄζω. ὡς χρέος χρηΐζω καὶ χρῄζω. ἡ δὲ χρῆσις τοῦ κλῄζειν, παρά τε ἄλλοις, καὶ παρὰ τῷ κωμικῷ, ἐν τῷ, κλῇσον τὴν πόλιν ταύτην. διὸ ἀπὸ τοῦ κλῄζω ἡ κληδών. ἀπὸ δὲ αὐτοῦ, ἡ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κληηδών. καθ' ὁμοιότητά τινα τοῦ κρῆναι καὶ κρηῆναι. Ὅτι ἀπολογεῖται ὁ Τηλέμαχος πρὸς τὴν τοῦ Μενελάου ἐρώτησιν, ὀλίγα μὲν τοῦ ποιητοῦ ἐκ καινῆς εἰπόντος. τοὺς πλείονας δὲ στίχους, παρελκύσαντος ἑτέρωθεν συνήθως ἐκ τῶν ἑαυτοῦ. (ῃερς. 318.) Καὶ ἡ μὲν εἰσβολὴ τοῦ λόγου τῷ νεανίᾳ ῥήτορι, γοργὴ καὶ κομματικὴ, κατὰ σχῆμα θυμικὸν ἐνδιάθετον. φησὶ γάρ. ἐσθίεται μοὶ οἶκος. ὄλωλε δὲ πίονα ἔργα. δυσμενέων δ' ἀνδρῶν πλεῖος δόμος. εἶτα ἐκτραγῳδεῖ ἐν ὀλίγῳ, μήλων καὶ βοῶν εἰλιπόδων ἀπώλειαν. καὶ τοὺς μνηστῆρας ὑπέρβιον ἦτορ ἔχειν φησί. καὶ ἱκάνεσθαι τὰ βασιλικὰ γούνατα, οὐ περί τινος μεγάλου, ἀλλ' ἐφ' ᾧ εἰπεῖν τὸν τοῦ πατρὸς ὄλεθρον, εἴπερ εἶδεν ἢ ἤκουσε. καὶ μὴ διὰ αἰδῶ ἢ μείλιχον ἔλεον ἐπικρύψαι τὰ κατὰ τὸν πατέρα. μνησθῆναι δὲ καὶ εἴπερ ἐκεῖνός ποτε ἐν Τροίᾳ ἐλυσιτέλησέ τι τῷ Μενελάῳ. εἰ καὶ εἰς ἀντίχαριν, εἰπεῖν ἄρτι πρὸς τὸν υἱὸν ἐκείνου, τὸ ἀληθές. (ῃερς. 325.) Καὶ ὅρα ὅτι κέντρωνος τρόπου ἐῤῥαψῴδησε τὰ ἐνταῦθα ἔπη ὁ Ὁμηρικὸς Τηλέμαχος, ἐκ διαφόρων τόπων συλλεγέντων ἐνταῦθα τῶν στίχων τῷ ποιητῇ. ὡς εἶναι αὐτὸν ἐφευρετὴν καὶ τῶν ὕστερον λεγομένων ὁμηροκέντρων ἐφ' οἷς οὐκ ὀλίγος τισὶ μόχθος ἐγένετο. (ῃερς. 333.) Ὅτι ἐπὶ τοῖς μνηστευομένοις ἀναξίως γυναῖκα τινὸς ἀριστέως, οὐκ ἀπᾷδον ῥηθῆναι τὸ, ὢ πόποι ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ ἤθελον εὐνηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες. ἐτυμολογικὸν δὲ τὸ, ἐν εὐνῇ ἤθελον εὐνηθῆναι. Μενέλαος δὲ τοῦτο λέγει περὶ τῶν τῆς Πηνελόπης μνηστήρων. ὃς καὶ λαβὼν ἀφορμὴν ἐκ τοῦ καρτερόφρονος, καὶ ἐκ τοῦ ἀνάλκιδες. (ῃερς. 335.) ὧν τὸ μὲν, οἰκεῖον λέοντι. τὸ δὲ, προσφυὲς ἐλάφοις, πορίζεται παραβολὴν ταύτην. ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο. λέοντος, νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς, κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα, βοσκομένη. ὅ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν. ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν, ὣς Ὀδυσσεὺς κείνοισιν 1.168 ἀεικέα πότμον ἐφήσει. Καὶ ὅρα κἀνταῦθα ταυτολογίαν καίριον τοῦ, ἀεικέα πότμον ἐφῆκε καὶ ἀεικέα πότμον ἐφήσει. Διδυμοτόκον δὲ ὑποτίθησιν ἔλαφον, ἵνα μὴ παρεικάσῃ νεβρῷ ἑνὶ τοὺς τοσούτους μνηστῆρας. οὐ γὰρ ἔδει. ἔλαφοι δὲ οὐκ ἀπεικότως ἂν νοηθεῖεν οἱ τῶν μνηστήρων γονεῖς. οἳ ἀνάλκιδες αὐτοὶ ὄντες, ἀγεννεῖς τούτους νεβροὺς ἀφῆκαν εἶναι παρὰ τῷ τοῦ Ὀδυσσέως οἴκῳ. διὸ καὶ ὕστερον κτεινομένοις, οὐκ ἐπαμύνουσι. (ῃερς. 335.) Ξύλοχος δὲ, ἀλλαχοῦ μὲν, ἀπολύτως. ἐνταῦθα δὲ, λέοντος ξύλοχος. ὡς εἴτις εἴπῃ, κοίτη. τόπος. ὀρεινὴ κατάδυσις. (ῃερς. 336.) Νεβροὶ δὲ, οἱ ἀτελεῖς ἔτι ἔλαφοι. διὸ ἡρμήνευσεν ἐπαγαγὼν τὸ, νεηγενέας. καὶ ἔτι σαφέστερον τὸ, γαλαθηνούς. Πάνυ δὲ ἐξευτελίζει τοὺς μνηστῆρας οὐ μόνον τῇ πρὸς ἁπλῶς ἐλάφους παραβολῇ τὰς φυζακινὰς τὰς ἀναλκίδας, ἀλλὰ καὶ ὅτι οὐδὲ τελείαις ἐλάφοις εἰκάσθησαν, ἀλλὰ νεβροῖς. ὧν ἐτυμολογία, ἐκ τοῦ, νέον βορᾶς ἢ πορείας ἄρχεσθαι. ἢ παρὰ τὸ ἐστερῆσθαι βορᾶς ἔτι διὰ τὸ θηλάζειν. ἢ καὶ παρὰ τὸ μήπω ἔχειν πορεύεσθαι. δῆλον δ' ὅτι νεβροῦ παράγωγον, νέβρειος. καὶ οὐ μόνον ποὺς ἢ ἄλλό τι τοιοῦτον, ἀλλὰ καὶ αὐλός. ἐγίνοντο γὰρ ὥσπερ ὄνειοι καὶ ἐλάφειοι, οὕτω καὶ νέβρειοι αὐλοί. ὡς δῆλον καὶ ἐκ τοῦ, νεβρείων ὅσον σάλπιγξ ὑπερίαχεν αὐλῶν, καὶ ἑξῆς. ἐν ᾧ τοιοῦτός ἐστιν ὁ νοῦς. ὅσον ἡ σάλπιγξ ὑπερφωνεῖ τοὺς νεβρείους αὐλοὺς, τοσοῦτον καὶ ἡ ἐμμέλεια τῆσδε τῆς ποιήσεως οἷον τῆς καθ' Ὅμηρον ἢ Ἤρινναν, τὴν τοῦ δεῖνος. Τὸ δὲ κοιμήσασα, διὰ τοῦ ¯η ὡς τῷ ποιητῇ σύνηθες, γράφεται. Τὸ δὲ νεηγενέας, ταυτόν ἐστι τῷ νεογνοὺς, ἔτι δὲ καὶ τῷ νεογιλούς. οἳ νεογινοὶ ὄντες, τροπὴν ἔπαθον τοῦ ¯ν εἰς ¯λ ὁμοίως τῷ, νίτρον λίτρον. καὶ πνεύμων πλεύμων. Τὸ δὲ γαλαθηνοὺς, ἐκ τοῦ γάλα θῆσθαι ὃ πρὸ ὀλίγου ἐγράφη, συντέθειται. (ῃερς. 337.) Κνημοὶ δὲ ὡς ἀκριβέστερον ἐν τῇ Βοιωτίᾳ ἐδηλώθη, ὀρεινοὶ τόποι, οἱ μετὰ τοὺς πρόποδας ἀνωτέρω. Τὸ δὲ ἐξερέῃσιν, ἀντὶ τοῦ ἐρωτᾷ. καὶ ἔστι γλυκεῖα λέξις ὡς ἐπὶ λογικοῦ τινος ῥηθεῖα. ἢ μᾶλλον ἀντὶ τοῦ, ἐξερευνᾷ. πρωτότυπον γὰρ τὸ ἐρέειν, τοῦ ἐρευνᾶν. ἔστι γὰρ ἐρέω, ἐξ οὗ κατ' ἐπένθεσιν, ἐρεύω ὡς χέω χεύω. ἀφ' οὗ τὸ ἐρευνῶ. ὡς οἴχω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἰχνῶ ἵκω ἱκνῶ. Ἄγκεα δὲ τόποι ὀρεινοὶ ἀνακείμενοι ὅ ἐστι χθαμαλοί. ταπεινοί. καὶ ὡς οἱ παλαιοὶ φασὶ, φάραγγες. κοίλοι τόποι. κλίματα ὀρῶν. ἐν οἷς ὑγρότητος συλλειβομένης, πόαι φύονται εἰς λέχος εἴ τις ἐπ' αὐτῶν ἀνάκειται. ἀφ' ἧς ἐννοίας, καὶ λεχεποίης ποταμὸς, οὗ, εἰς λέχος ἡ ποίη σχεδιασθήσεται τῷ ἀνακεισομένῳ. Καὶ ὅρα τὸ κλίματα ὀρῶν, οὗ πρὸς ὁμοιότητα γέγονε καὶ τὰ ἄγκεα. κεκλίσθαι γὰρ καὶ ἀνακεῖσθαι, ταὐτά. ἐξ ὧν τὰ κλίματα καὶ τὰ ἄγκεα. ἐκ τοῦ ἀνακεῖσθαι γὰρ τὸ ἄγκος συγκέκοπται. (ῃερς. 338.) Εὐνὴ δὲ ἐλάφου, ἡ διατριβὴ καὶ ὡς εἰπεῖν, κοίτη. ὅθεν καὶ θῆρες ὑληκοῖται. (ῃερς. 342.) Ὅτι εὔχεται Μενέλαος, τοιοῦτον τὸν Ὀδυσσέα ἐπανελθεῖν, οἷός ποτε ἐν Λέσβῳ ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστάς. (ῃερς. 344.) Κάδ δ' ἔβαλλεν ἤτοι κατέῤῥιψε, κρατερῶς καὶ οὐκ ἐκ μηχανῆς. κεχάροντο δὲ πάντες Ἀχαιοί. (ῃερς. 346.) Καὶ λέγει ὁ αὐτὸς Μενέλαος ὡς καὶ πρὸ τούτων ἕτερός τις, ὡς εἰ τοιοῦτος ἐλθὼν μνηστῆρσιν ὁμιλήσειε Ὀδυσσεὺς, πάντες ἂν ὠκύμοροι καὶ πικρόγαμοι γένωνται. Φιλομηλείδην δὲ, οἱ μὲν τὸν Πάτροκλον ἤκουσαν πατρωνυμικῶς, οἷα Φιλομήλας υἱόν. οἷς οὐ μόνον ἡ γραφὴ ἐναντιοῦται, πῶς γὰρ διὰ διφθόγγου ἔσται ἡ παρατέλευτος; ἀλλὰ καὶ ὁ πατρωνυμικὸς τύπος. οὐ γὰρ εἴωθε σχηματίζειν πατρωνυμίαν ὁ ποιητὴς ἐκ μητέρων, ἀλλ' ἐκ πατέρων. ὡς τὸ καίριον τῆς γενέσεως ἀνατιθεὶς τῷ πατρὶ διὰ τοῦ τοιούτου πατρωνυμικοῦ σχηματισμοῦ, μυστικῶς καὶ σιωπηρῶς κατὰ τὸν παρὰ γραμματικοῖς συλλογισμόν. ὅπερ Εὐριπίδης ἐκλαλῆσαι θελήσας καὶ τὴν Ὁμηρικὴν σκιαγραφίαν ἐκφανέστερον χρῶσαι ἐν οἷς φησὶν, ἄνευ δὲ πατρὸς τέκνον οὐκ ἂν γένοιτ' ἂν, περιεσυρίχθη θεατρικῶς. ἀκούσας τὸ ᾀδόμενον τὸ, ἄνευ δὲ μητρὸς, ὦ κάθαρμ' Εὐριπίδη, καὶ ἔμαθεν οὕτως ἐκεῖνος, ἐᾶν τὰ Ὁμήρου κατὰ χώραν κεῖσθαι. ὅπερ οὖν ἔφαμεν, οὔτε σχηματίζει ὁ ποιητὴς ἐκ μητέρων, καὶ εἴπερ δὲ ἴσως ἐξ ἔριδος παλαίσας Ὀδυσσεὺς κατέβαλε τὸν Πάτροκλον, οὐκ ἂν ἐχάρισαν Ἀχαιοὶ πεσόντος τοῦ Ἐνηέος. ὃςκατὰ τὸν ποιητὴν, πᾶσιν ἠπίστατο μείλιχος εἶναι. φασὶν οὖν οἱ ἀκριβέστεροι Λέσβου βασιλέα τὸν Φιλομηλείδην. ὃς τοὺς παριόντας εἰς πάλην προσκαλούμενος, ἐποίει τὸ αὐτὸ καὶ εἰς τοὺς Ἀχαιοὺς ἐκεῖ προσορμισθέντας. καὶ ὡς μὲν κατεπαλαίσθη, Ὅμηρος ἐνταῦθα ἱστορεῖ. ἕτεροι δέ φασι, καὶ Ὀδυσσεὺς καὶ Διομήδης δόλῳ ἀνελόντες αὐτὸν, καταγώγιον ξένων τὸν αὐτοῦ τάφον ἐποίησαν. προφέρεται δὲ ἡ τούτου παραλήγουσα διὰ διφθόγγου, ἴσως ἀπὸ τοῦ Φιλομηλεὺς, ὡς καὶ τὸ Ἀριστείδης κύριον καὶ τὸ Βασιλείδης, ἐκ τοῦ ἀριστεὺς καὶ βασιλεύς. (ῃερς. 344.) Τὸ δὲ κεχάροντο πάντες Ἀχαιοὶ, τὴν τῶν 1.169 ἀγώνω¯ν φύσιν δηλοῖ. ἐν οἷς οἱ φυλέται καὶ ἄλλως οἰκεῖοι, χαίρουσι τὸ κλέος ἐξιδιούμενοι τοῦ νικήσαντος. (ῃερς. 345.) Τὸ δὲ ὁμιλεῖν ὅτι οὐ μόνον φιλικὴ λέξις ἀλλὰ καὶ πολεμικὴ ὡς ἐνταῦθα, πολλαχοῦ δεδήλωται. (ῃερς. 348.) Ὅτι ἐν τῷ, οὐκ ἂν ἔγωγε ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν οὐδ' ἀπατήσω, παρακλιδὸν λέγει τὸ παρατετραμμένως καὶ κατ' ἔκκλισιν τοῦ ἀληθοῦς, ἐκ τοῦ παρακλίνω. καθὰ ἐκ τοῦ διακρίνειν καὶ νοσφίζειν, τὸ διακριδὸν γίνεται καὶ νοσφιδόν. καὶ ἔστι ταὐτὰ τὸ παρὲξ εἰπεῖν καὶ τὸ παρακλιδὸν εἰπεῖν καὶ τὸ ἀπατῆσαι. εἴρηται δὲ ἀλλαχοῦ ἱκανῶς περὶ τοῦ παρέξ. νῦν δὲ εἰπεῖν ἀρκεῖ, ὅτι ποτὲ μὲν τοπικῶς νοεῖται ὡς ἐν τῷ, παρὲξ ἄλα. ποτὲ δὲ, κατά τινα ποιότητα, ὡς ἐνταῦθα καὶ ἐν τῷ, παρὲκ νόον ἤγαγε. δηλοῖ δὲ καὶ νῦν τὸ παρὲξ, ἐγγύτητα μὲν, διὰ τῆς παρ¯α προθέσεως. διάστασιν δὲ, διὰ τοῦ ¯εξ. καὶ ἔστι παρὲξ μὲν εἰπεῖν, τὸ ἔξω μὲν ἀληθείας, ἐγγὺς δὲ ὅμως αὐτῆς πιθανότητι. ὁποῖόν τι καὶ τὸ παρακλιδόν. δι' οὗ δηλοῦται τὸ ἐκκλίνειν μέν τινα τὸ ἀληθὲς, παραλαλεῖν δὲ ὅμως αὐτὸ πιθανολογικῶς. ὅμοιον δέ τι καὶ τὸ ἀπατᾶν. ὅπέρ ἐστι κυρίως, τοῦ πάτου ἤτοι τῆς τρίβου παρατρέπειν τὸν ὁδεύοντα. μὴ παρὲξ δὲ μὴ δὲ παρακλιδὸν εἰπεῖν μηδὲ ἀπατῆσαι, τὸ μὴ πιθανολογῆσαι μὴ δὲ παρεκκλίναι τοῦ ἀληθοῦς, μὴ δὲ ἀπαγαγεῖν τῆς ὀρθῆς. Ἰστέον δὲ καὶ ὅτι οἱ γράφοντες τὸ παρακλιδὸν διὰ τοῦ ¯η ὡς ἐπίῤῥημα ἐκ τοῦ ῥηθέντος κλῄζω ἢ ὡς ὄνομα ἵνα ᾖ κατὰ κουφισμὸν ἤτοι ἔκθλιψιν παρὰ τὴν κληδόνα, οὐκ εὐοδοῦνται οὔτε κατὰ μέτρον οὔτε κατὰ νοῦν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ηερς. 350.) Ὅτι ἐν τῷ, οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ' ἐπικεύσω, ἄδηλον εἴ τις ἐστὶ διαφορὰ τοῦ κρύψαι καὶ τοῦ ἐπικεῦσαι. (ηερς. 351. σθθ.) Ὅτι ἀντεστραμμένως καὶ ἐνταῦθα ὁ ποιητὴς διηγεῖται ἐν τοῖς κατὰ τὸν Μενέλαον. ἡ μὲν γὰρ φυσικὴ τάξις, ἔχει ὡς ἐκ τῆς Φάρου ὁ Μενέλαος ἀπῆλθε παλίμπλους εἰς τὸν Αἴγυπτον ὅ ἐστιν εἰς τὸν Νεῖλον. ὅδ' ἀπὸ τοῦ Νείλου ἀρξάμενος καὶ εἰπὼν ὡς, Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι ἔσχον, ἤτοι κατέσχον. καὶ θεὶς καὶ αἰτίαν κατὰ λόγον ἐγκατασκεύου διηγήματος, τὸ, ἐπεὶ οὔ σφιν ἔρεξα τελειέσσας ἑκατόμβας. καὶ ὅτι οἱ θεοὶ αἰεὶ βούλοντο μεμνῆσθαι ἐφετμέων, ὑποβάλλει ἁπλοῦν διήγημα, λέγων οὕτω περὶ τῆς Φάρου καὶ τῶν ἑξῆς. νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ, Αἰγύπτου προπάροιθε. Φάρον δέ ἑ κικλήσκουσι. τόσσον ἄνευθεν, ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς ἤνυσεν, ᾗ λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν. ἐν δὲ λιμὴν εὔορμος. ὅθεν νῆας εἰς πόντον βάλλουσιν ἀφυσσάμενοι μέλαν ὕδωρ. ἔνθά μ' ἐείκοσιν ἤματ' ἔχον θεοί. οὐδέ ποτ' οὖροι πνείοντες φαίνονθ' ἁλιαέες, οἵ νηῶν πομπῆες γίνονται. καὶ δή φησιν ἤϊα πάντα κατέφθιτο καὶ μένε' ἀνδρῶν, εἰ μή τις θεὸς ὀλοφύρατο καί μ' ἐσάωσε. Πρωτέος ἰφθίμη θυγάτηρ ἁλίοιο γέροντος Εἰδοθέη. ἥ μοι ἔῤῥοντι συνήντετο νόσφιν ἑταίρων. οἳ περὶ νῆσον ἀλώμενοι, ἰχθυάασκον γναμπτοῖς ἀγκίστροισιν. ἔτειρε δὲ γαστέρα λιμός. ἡ δέ μοι ἄγχι στᾶσα, νήπιος εἶς ἔφη ὦ ξεῖνε λίην τόσον, ἠὲ χαλίφρων, ἢ ἑκὼν μεθίῃς, καὶ τέρπεαι ἄλγεα πάσχων. ὡς δὴ δηθὰ ἐν νήσῳ ἐρύκεαι καὶ ἑξῆς. Καὶ ἡ μὲν, οὕτως ἔφη, ἐγὼ δ' ἔφην ὡς οὔτι ἑκὼν κατερύκομαι, ἀλλά που μέλλω θεοὺς ἀλιτέσθαι. ἀλλὰ σύ πέρ μοι εἰπὲ, θεοὶ δέ τε πάντα ἴσασιν, ὅς τις μ' ἀθανάτων πεδάα καὶ ἔδησε κελεύθου. καὶ ὅπως οἴκαδε νοστήσω. καὶ τοιαῦτα μὲν τὰ τοῦ Μενελάου πρὸς τὴν Εἰδοθέην ὅτε αὐτὸν ἐκείνη ᾠκτίσατο. ἃ δὲ αὖθις ἐκείνη καὶ εἴπῃ καὶ ὠφελήσει, ἐν τοῖς ἑξῆς εἰρήσεται. Ἰστέον δὲ ὅτι τε τὸ ἀλλὰ σύ πέρ μοι εἰπὲ, ἔειπε γράφεσθαι Ἡρακλείδης φησὶν ὡς καὶ προγέγραπται ἐν τῇ ¯α ῥαψῳδίᾳ. καὶ ὅτι τὸν εἰρημένον Αἴγυπτον καὶ αὐτὴν δὲ Αἴγυπτον, παρὰ τὸ αἶγας πιαίνειν ἐτυμολογοῦσι τῶν τινες παλαιῶν, καὶ ὅτι ὡς ἐξ ὁρμητηρίου τοῦ Νείλου μέλλων ὁ Μενέλαος εἰς τὰ οἰκεῖα παλιννοστῆσαι τὴν ἀρχὴν εἴπερ ἑκατόμβας ῥέξοι, καὶ πάλιν ὕστερον ἐκ Φάρου πλεύσας εἰς τὸν Νεῖλον κατὰ τὴν ἐκ Πρωτέως μαντείαν, κἀκεῖθεν οἴκοι ἀναπλεύσας κατ' ὀρθὴν κέλευθον, εἰκότως πρὸ τοῦ διηγήματος μνησθεὶς τοῦ Νείλου, εἶτα ὑπέβαλε τὴν ἀφήγησιν, καὶ μάντιν οὕτω τὸν τοῦ Αἰγύπτου λόγον προέθετο. ἀλλὰ μνήμην αὐτοῦ ὡς τόπου καιρίου ἐγκατατιθεὶς τῇ ψυχῇ τοῦ ἀκροατοῦ διὰ πλείω σαφήνειαν. οὗ δὴ Αἰγύπτου ἤτοι Νείλου, τὰ μὲν ἄλλα σεμνώματα ἐκθέσθαι, μυρία τις ἔστι λόγου τριβή. ἀρκέσει δὲ πρὸς τὸ παρὸν ἐν μετρίῳ φάναι, ὅτι τε τὸ νειλῷον ὕδωρ πολυγονώτατον καὶ γλυκύτατον. εἰ καὶ μὴ πᾶν γλυκὺ ὕδωρ πολύγονόν ἐστι ἀλλ' ἔνια τῶν γλυκέων ὑδάτων, καὶ ἄγονα. καὶ ὅτι λύει τὰς κοιλίας τῶν πινόντων, μίξιν ἔχον νιτρώδη. καὶ ὅτι κατά τινας, τοῦ κατὰ τὸν Νεῖλον ὁ ἐν τοῖς ἐκεῖ βασιλεὺς μόνου ἔπινεν ὕδατος. ὃ δὴ ἄλλοι καὶ περὶ τοῦ Σουσίου ἱστόρησαν. φάμενοι ὡς ἅμαξαι τετράκυκλοι ἡμιόνειαι κομίζουσαι ἐν Ἀργείοις ἀργυ 1.170 ῥέοισιν ὕδωρ ἀπεψημένον ἀπὸ Χοάσπεω τοῦ παρὰ Σοῦσα ῥέοντος, ἐκόμιζον τῷ βασιλεῖ, μόνῳ ἐκεῖθεν πίνοντι. τοῦτο δὲ τὸ σεμνὸν, καί τις οἶνος εἶχεν. ἱστόρηται γὰρ, ὅτι ὁ Περσῶν βασιλεὺς τὸν χαλυβώνιον μόνον οἶνον ἔπινεν, ἐν Δαμασκῷ τῆς Συρίας γενόμενον. Περσῶν αὐτόθι καταφυτευσάντων ἀμπέλους. ἣν δέ φασι βασιλεῖ ἐξαίρετον, καὶ τὸ ἀπ' Αἰγύπτου ἅλας ἀμμωνιακὸν αὐτῷ πέμπεσθαι. ναὶ μὴν καὶ τὸ ἐλαίῳ ἀκανθίνῳ χρῆσθαι μετὰ λουτρόν. περιᾴδεται δὲ καὶ ὁ ἐν τοῖς ἐκεῖ πλοῦτος. τὸν γοῦν ἐν Ἀλεξανδρείᾳ βασιλικὸν πάνυ πολὺν πλοῦτον περιηγησάμενός τις, ἐπάγει. ποία γοῦν βασιλεία οὕτω πολύχρυσος; μόνος γὰρ ὡς ἀληθῶς ὁ χρυσοῤῥόας καλούμενος Νεῖλος, μετὰ τροφῶν ἀφθόνων, καὶ χρυσὸν ἀκίβδηλον καταφέρει ἀκινδύνως γεωργούμενον, ὡς πᾶσιν ἐξαρκεῖν ἀνθρώποις, δίκην Τριπτολέμου πεμπόμενον πᾶσαν γῆν. διὸ καὶ ὁ Βυζάντιος ποιητὴς Παρμένων ἐπικαλούμενος αὐτὸν, Αἰγύπτιε Ζεῦ φησι Νεῖλε εἰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταυτὸν ἄγων, Δία καὶ Νεῖλον, διὰ τὸ ζωογόνον τὸ ἐξ ἀμφοῖν. τοπικὰ δὲ παράγωγα Νείλου ὅτι οὐ μόνον Νείλιος καὶ Νειλῷος ἀλλὰ καὶ Νειλώτης, δῆλον ἐκ τοῦ, οἱ δὲ Νειλῶται ἰχθύες δηλαδή τινες, γλυκεῖς εἰσιν. ὃ κεῖται παρὰ τῷ δειπνοσοφιστῇ. (ῃερς. 351.) Ὅρα δὲ καὶ νῦν τὸ ἔρεξε δι' ἑνὸς ¯ρ γραφέν. (ῃερς. 353.) Τὸ δὲ αἰεὶ βούλεσθαι τὸ θεῖον μεμνῆσθαι ἐφετμέων, γνωμικῶς ἐῤῥέθη. ἐπεὶ καὶ θεοὶ τιμαῖς εἴκουσι. Πολύκλυστον δὲ πόντον κατ' ἐνάγειαν ἱστορικὴν λέγει, τὸν Αἰγυπτιακὸν ὅ ἐστι τὸν προπάροιθεν Αἰγύπτου τουτέστι τοῦ Νείλου, ὡς τοιοῦτον ἀληθῶς ὄντα κατὰ τὴν πεῖραν τῶν καὶ ἰδόντων καὶ παθόντων. (ῃερς. 355.) Περὶ δὲ Φάρου, ἱστορία φέρεται κατὰ τοὺς παλαιοὺς παρὰ Ἀντικλείδῃ, ὡς Ἑλένη πόθῳ Μενελάου λάθρα ἐξελθοῦσα τῆς πόλεως ὅτε κατέσχεν αὐτὴν ὁ Πρωτεὺς ὡς μετ' ὀλίγα ῥηθήσεται καὶ Καρικὸν εὑροῦσα πλοῖον, ἔπεισε τὸν ναύκληρον Φάρον ἀποκαταστῆσαι αὐτὴν εἰς Λακεδαίμονα. χειμῶνος δὲ ἐπιγεγονότος, ἐλθεῖν αὐτὸν εἰς Αἴγυπτον. ἔνθα, τὸν Φάρον ὑπὸ ὄφεως θανεῖν. τὴν δὲ, θάψασαν αὐτὸν, οὕτω τὴν νῆσον ἀπ' ἐκείνου ὀνομάσαι. παράμηκες δέ φασι νησίον ἡ Φάρος πρὸς ἔσχατον τῇ ἠπείρῳ. στάδια δὲ εἰς αὐτὴν ἀπὸ τοῦ Κανωβικοῦ, ἑκατὸν καὶ πεντήκοντα. ὁ δὲ γεωγράφος φησὶ καὶ ταῦτα περὶ Φάρου. τὴν Φάρον πελαγίαν ὁ ποιητὴς λέγει. τοῦτο γὰρ δηλοῖ τὸ, νῆσος πολυκλύστῳ ἐνὶ πόντῳ. καὶ ταῦτα, πρόσγειον νῦν οὖσαν διὰ τὴν πρόσχωσιν. οἷα ἐξηπειροθείσης τῆς μεταξὺ θαλάσσης. ὃ παθοῦσα καὶ ἡ Αἴγυπτος, δῶρον εἶναι τοῦ Νείλου λέγεται. διὸ καὶ τοῦ ὀνόματος τῇ χώρᾳ οἷς ἐδωρήσατο, μετέδωκεν. ὁμωνύμως κληθείσῃ καὶ αὐτῇ, Αἰγύπτῳ. ἐπεὶ καὶ ὁ Νεῖλος, Αἴγυπτος ὀνομάζεται. φασὶ δὲ καὶ πανημέριον πλοῦν τὴν Φάρον ἀπέχειν τῆς Αἰγυπτιακῆς ναυκράτεως κατὰ τοὺς ἡρωϊκοὺς χρόνους. εἶτα ἀπογαιωθῆναι τῇ ἰλύϊ τοῦ Νείλου, ποταμόχωστος γὰρ ἡ Αἴγυπτος κατά τε ἄλλους καὶ κατὰ Ἡρόδοτον. ἦν δὲ τὸ ἐμπόριον τῆς Αἰγύπτου, περὶ Φάρον ἢ περὶ Ναύκρατιν. ἔνθα τὸν Μενέλαον ὑπονοοῦσι τὸν ἐκ Φάρου πλοῦν ἀνῦσαι. εὐλίμενον δὲ καὶ εὔϋδρον ὁ ποιητὴς τὴν Φάρον ἱστορεῖ. λέγων καὶ τὸ, ὅθεν νῆας ἐς πόντον βάλλουσι, περιφραστικὼς ἀντὶ τοῦ, ὅθεν ἀποπλέουσι. (ῃερς. 359.) Τὸ δὲ λιμὴν εὔορμος, ὅλον μὲν εἶναί τι δηλοῖ τὸν λιμένα. μέρος δὲ αὐτοῦ, τὸν ὅρμον ἔνθα μετὰ τὸ ἐλλιμενισθῆναι, ἡ ναῦς ὁρμεῖ. Τὸ δὲ ἀφύσσασθαι, κυριολεξία ἐστὶ τοῦ, ἄφενος καὶ πλοῦτον ἀφύξειν. ἐκεῖνο γὰρ, τέτραπται. (ῃερς. 361.) Τὸ δὲ ἁλιαέες, ἐπιτομή ἐστι τοῦ, ἀνέμων μένος ὑγρὸν ἀέντων. εἴρηται δὲ πρὸς διαστολὴν ἑτέρων τοπικῶν ἀνέμων, οἳ οὐ πνέουσι διὰ θαλάσσης. γίνεται δὲ παρὰ τὴν ἅλα καὶ τὸ ἄω τὸ πνέω. ἐξ οὗ οὐ μόνον ἀήτης ἐπὶ ἀνέμου, καὶ ἀήσυρον κατὰ τοὺς παλαιοὺς τὸ κοῦφον, ὅθεν καὶ ἀήσυροι μύρμηκες παρ' Αἰσχύλῳ, ἀλλὰ καὶ ἀΐτης διὰ διχρόνου, ὁ ἐρώμενος ἤγουν ὁ εἰσπνέων τῷ ἔρωτι τὸν ἐραστήν, εἰσπνεῖται γάρ φασι τῆς μορφῆς τι καὶ τῆς ὥρας. ὅθεν καὶ εἰσπνίλαι παρὰ Λάκωσιν, οἱ ἐρασταί. καὶ ταῦτα μὲν, ἔν τινι ῥητορικῷ λεξικῷ. ἐν ἑτέρῳ δὲ, ὁ ῥηθεὶς ἀΐτης ἤγουν ἐρώμενος, διὰ διφθόγγου φέρεται. Σημείωσαι δ' ἐνταῦθα καὶ ὅτι ἐν ἁπλότητι μὲν, ἀεὶς ἀέντος, διὰ τοῦ ¯ν ¯τ. ὡς δῆλον ἐκ τοῦ, ὑγρὸν ἀέντων. ἐν συνθέσει δὲ, ἁλιαὴς ἁλιαέος ὡς εὐγενέος εὐσεβέος. οὕτω καὶ δυσαὴς δυσαέος. καὶ ζαὴς ζαέος. καὶ παρὰ Σοφοκλεῖ εὐαὴς ὕπνος. (ῃερς. 362.) Τὸ οἳ νηῶν πομπῆες, ἔοικεν ἑρμηνεία εἶναι τοῦ, οὖροι πνείοντες. οὖρος γὰρ, παρὰ τὸ ὀρούειν ὅ ἐστι παρορμᾶν καὶ προπέμπειν τὴν νῆα. τοῦ δ' αὐτοῦ ἑρμηνευτικὸν καὶ τὸ ἁλιαέες. ὅμοιον γάρ τι τὸ, οὖροι πνείοντες, καὶ τὸ ἁλιαέες. (ῃερς. 363.) Ἤϊα δὲ καὶ νῦν ὡς καὶ προδεδήλωται, τὰ ἐφόδια. (ῃερς. 365.) Περὶ δὲ Πρωτέως, ἱστόρηται ὅτι ἀνὴρ ἦν τις Μεμφίτης, ᾧ κατὰ Ἑλλήνων γλῶσσαν, ὄνομα Πρωτεύς. οὗ καὶ τέμενος ἓν Μέμφῃ κατὰ Ἡρόδοτον, κάρτα καλὸν καὶ εὖ 1.171 ἐσκευασμένον. ὅτι δὲ ὁ προῤῥηθεὶς Θῶνις φύλαξ ὢν τοῦ Κανωβικοῦ στόματος ἀνήνεγκεν εἰς τοῦτο τὸν Πρωτέα τὴν ἀδικίαν τοῦ ἅρπαγος Πάριδος, καὶ ὡς ἀφῃρέθη τότε τὴν Ἑλένην ἐκεῖνος, καὶ ὡς ἀρέσκονται οἱ πλείους μὴ εἶναι τὴν Ἑλένην ἐν Τροίᾳ, οὐ γὰρ φρενοβλαβεῖς καθ' Ἡρόδοτον οἱ Ἰλιεῖς ὡςπερὶ πάντων κινδυνεύοντες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὴ ἀποδοῦναι τὴν Ἑλένην ἢ ἑκόντος τοῦ Ἀλεξάνδρου ἢ ἄκοντος, ἐν ἄλλοις δεδήλωται. (ηερς. 366.) Τὴν δὲ Εἰδοθέαν, Εὐρυνόμην φασὶ γράφει ὁ Ζηνόδοτος. ἣν καὶ ἰφθίμην ὁ ποιητὴς φησὶν, ὥς που καὶ τὴν Πηνελόπην δαΐφρονα. (ηερς. 367.) Τὸ δὲ ἔῤῥοντι, ἀντὶ τοῦ, ἐπιπόνως ζῶντι. κατὰ τὸ, ἐνθάδε ἔῤῥων. ὅπερ Ἀχιλλεὺς ἐν Ἰλιάδι φησὶ περὶ ἑαυτοῦ. Τὸ δὲ νόσφιν ἑταίρων, πιθανῶς πέπλασται. ἵνα σχῇ οὕτως ἄδειαν ἡ Εἰδοθέα καταμόνας ἐντυχεῖν αὐτῷ. καθὰ καὶ ἐν Ἰλιάδι Ἀχιλλεὺς ἑτάρων νόσφι λιασθεὶς, ὡμίλησε τῇ θαλασσίᾳ μητρὶ Θέτιδι. (ηερς. 368.) Ὅραδὲ ὡς οἱ περὶ Μενέλαον ἐν τῇ Φάρῳ ἰχθυῶνται ἀγκίστροις, λιμοῦ τὴν γαστέρα τείροντος. ἄλλως γὰρ, οὐ θέμις ἁλιεύειν τοὺς ἥρωας, οἳ ἐκρεωφάγουν ὡς τὰ πολλά. διὸ καὶ ἐν Τρινακίᾳ οἱ περὶ Ὀδυσσέα, λιμώττοντες ἐφεῖπον ἀναγκαίαν ἄγραν. ἰχθῦς. ὄρνιθάς τε. φίλας ὅ, τι χεῖρας ἵκοιτο. Οἰκείως δὲ τὸ ἀλώμενοι ἔφη ἐπὶ τῶν ἰχθυαασκόντων, καθὰ καὶ ἐπὶ πειρατῶν. οὐ γάρ τι μίην ὁδὸν ἵσταται ἰχθὺς κατὰ τὸν εἰπόντα. πλανώμενος δὲ, συμπλανᾶσθαι ποιεῖ καὶ τὸν ἀσπαλιέα. (ηερς. 369.) Τὸ δὲ γναμπτὸν ἄγκιστρον, καθ' ὅμοιον λόγον καὶ περιηγές που λέγεται. περιάγεται γὰρ ἤτοι περικλᾶται καὶ γνάμπτεται ὅ ἐστι κάμπτεται. (ηερς. 371.) Ἰστέον δὲ καὶ ὅτι τριχῶς ἀμελεῖ τις τοῦ συμφέροντος κατὰ τὸν ποιητήν. ἢ νήπιος ὤν. ἢ χαλίφρων. ἢ ἑκὼν μεθιείς. ἔστι δὲ νήπιος μὲν, ὁ ἔτι κατὰ παῖδα φρονῶν. χαλίφρων δὲ, ὁ μὴ παῖς μὲν, ἄλλως δὲ μὴ πυκνὸς ἀλλὰ χαῦνος καὶ τὰς φρένας κεχαλασμένος. (ηερς. 372.) ἑκὼν δὲ μεθιεὶς ἤτοι μεθήμων, ὁ τούτων μὲν μηδέτερον, ἄλλως δὲ ἠμελημένος καὶ ῥάθυμος. Τὸ δὲ λίην τόσον, διπλῆ ἐπίτασις. ὅμοιον τῷ, λίαν πάνυ καὶ τοῖς τοιούτοις. (ηερς. 371.) Τὸ δὲ μεθίης, κοινῶς μὲν, διὰ τοῦ ¯η. ὡς γὰρ τίθημι τίθης, οὕτω μεθίημι μεθίης. ἄλλως δὲ, κατ' ἐναλλαγὴν χρόνου γράφεται καὶ διὰ διφθόγγου. ὡς γὰρ τίθημι ἐτίθην ἐτίθεις ἐτίθει, οὕτω μεθίημι μεθίην μεθίεις μεθίει. ὡς καὶ ἵημι ἵην ἵεις ἵει. Τὸ δὲ τέρπεαι ἄλγεα πάσχων παρὰ φύσιν εἴρηται πρὸς ἔνδειξιν τοῦ μεθήμονος. ὃς δέον ὂν λυπεῖσθαι ἐφ' οἷς ἀλγεῖ πάσχων, ὁ δὲ, τέρπεται. (ηερς. 377.) Τὸ δὲ οὔτι ἑκὼν κατερύκομαι συντομωτάτη ἀπόκρισις. δι' ἧς ἀποφήσας ὁ Μενέλαος τὸ μὴ ἑκὼν μεθιέναι, συνεξέβαλε καὶ τὸ νήπιος εἶναι, καὶ τὸ χαλίφρων. (ηερς. 379.) Τὸ δὲ θεοὶ δέ τε πάντα ἴσασιν ἑνικῶς ῥηθὲν, ὀρθὸν ἔσται γνωμικόν. τοιοῦτον γὰρ τὸ, θεὸς δέ τε πάντα ἴσησι. Τὸ δὲ πεδῶ, δευτέρας ἐνταῦθα συζυγίας τῶν περισπωμένων εὕρηται, ὡς δηλοῖ τὸ πεδάα. ὅμοιον ὂν τῷ βοάα καὶ ὁράα. τὸ μέντοι πρὸ βραχέων ῥηθὲν ἀνειρώτευν. ἀνάπαλιν ἐκ δευτέρας συζυγίας εἰς πρώτην ἦλθεν. ὅμοιον γάρ ἐστι τῷ ἐποίευν. καίτοι οἶδε καὶ τὴν δευτέραν συζυγίαν ὁ ποιητὴς, ὡς πρὸ βραχέων δηλοῖ τὸ, ἅ, μ' εἰρωτᾷς καὶ λίσσεαι οὕτω καὶ τὸ ἔλουον βαρύτονον, ἐλόευν ἔφη, ἀπὸ θέματος τοῦ λουέω. καὶ τὸ πιέζον δὲ, πιέζευν λέγεται. τοῦτο δὲ καὶ οἱ πολιτικοὶ ῥήτορες. ἐπεὶ καὶ Πλούταρχος, πιεζοῦντες φησί. καὶ ἕτεροι δὲ ὁμοίως αὐτῷ, χρῶνται τῷ τοιούτῳ ῥήματι. (ηερς. 384.) Ὅτι προδιδοῦσα ἐπίτηδες ἡ ῥηθεῖσα Εἰδοθέα τὸν πατέρα Πρωτέα ἵνα γνωστὸς διὰ Μενελάου πολλοῖς γένηται, λέγει πρὸς τὸν ἱκέτην Μενέλαον τὰ ῥηθησόμενα. πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς, ἀθάνατος, Πρωτεὺς Αἰγύπτιος, ὅστε θαλάσσης πάσης βένθεα οἶδε. Ποσειδάωνος ὑποδμώς. τόν δ' ἐμόν φασι πατέρα ἔμμεναι ἠδὲ τεκέσθαι. εἶτα λέγει καὶ ὡς εἴπως αὐτὸν σὺ δύναιο λοχησάμενος λελαβέσθαι, εἴποι ἄν σοι ὁδὸν καὶ μέτρα κελεύθου καὶ νόστον. εἴπῃ δὲ ἂν αἴ κ' ἐθέλῃσθα, ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν, ἀργαλέην τε. (ηερς. 395.) Καὶ οὕτω μὲν αὕτη. ὁ δὲ Μενέλαος εὐλαβηθεὶς πρὸς τὸ, εἴ πως σὺ δύναιο λοχησάμενος λελαβέσθαι, φησίν. αὐτὴν νῦν φράζευ σὺ λόχον θείοιο γέροντος, μήπως με προϊδὼν ἠὲ προδαεὶς, ἀλέηται. (ηερς. 397.) Εἶτα ἐπάγει γνωμικὸν ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι. Ἔνθα ὅρα ὅτι τὸ θείοιο, εἰς ταυτὸν ἤγαγε τῷ, θεοῦ. ὃν γὰρ ἀνωτέρω θεῖον ἔφη γέροντα, τοῦτον ἐνταῦθα θεὸν εἶπεν. ἐπὶ δὲ τούτοις ἡ Εἰδοθέα ὠφελῆσαι προθεμένη τὸν Μενέλαον ἐπὶ τιμῇ καὶ τοῦ πατρὸς, ὑποτίθησιν ὅπως λοχηθήσεται ὁ Πρωτεὺς, ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετ' ὀλίγα εἰρήσεται. Ὅρα δὲ ὡς σαφὲς μὲν τὸ σχῆμα τοῦ διηγήματος ἐν τῇ εἰσβολῇ ἥτις ἐστὶ τὸ, πωλεῖταί τις δεῦρο καὶ ἑξῆς. ἡ δὲ ἔννοια, συχνὴν ἔχει περιβολήν. πρόσωπον μὲν γὰρ, ὁ Πρωτεύς. πρᾶγμα δὲ, 1.172 πωλεῖται. ποιότητες δὲ προσωπικαὶ, τὸ Αἰγύπτιος, ἀπὸ χώρας. τὸ ἅλιος, ἀπὸ τοῦ προσεχεστέρου τόπου. τὸ γέρων, ἐκ τῆς ἡλικίας. τὸ νημερτὴς, ἐξ ἀρετῆς ἢ ἐκ μαντικῆς τέχνης. τὸ ἀθάνατος, ἐκ τοῦ τῆς ζωῆς εἴδους. καὶ ὡμοίωταί πως πρὸς τὴν τοιαύτην γραφὴν, καὶ τὸ προοίμιον τῆς τοῦ Θουκυδίδου συγγραφῆς. τὸ, Θουκυδίδης ὁ Ἀθηναῖος συνεγράψατο καὶ τὰ ἑξῆς. Τούτῳ τῷ Πρωτεῖ ὅτι παῖδες μὲν ἦσαν κακόξενοι, καὶ τῷ πατρὶ δυσπειθεῖς διὸ καὶ ἀπώλοντο, ἣ δὲ θυγάτηρ Εἰδοθέα καὶ εἰσέτι παρέμενεν ὡς ἀγαθὴ, καὶ ἐξ Εὐρώπης ἐπαλιννόστησεν εἰς Αἴγυπτον ὁ Πρωτεὺς, ἱστορεῖ ὁ Λυκόφρων. Ἰστέον δὲ ὅτι τε τὸ, πωλεῖταί τις δεῦρο γέρων ἅλιος, τῶν τις ὑστερογενῶν, παρῴδησε κατά τινος φαύλου γηραλέου σκωπτικῶς εἰς τὸ, γέρων ἄθλιος. καὶ ὅτι δίχα παρῳδίας, ἠδύνατο ἐκεῖνος χρήσασθαι τῷ ἅλιος, ἀντὶ τοῦ μάταιος. ὃ καὶ αὐτὸ, ἐκ τοῦ ἃλς ἁλὸς παρῆκται ὡς ἀλλαχοῦ δεδήλωται. καὶ ὅτι πολλῶν ὄντων ἅπερ παρὰ τῆν ἅλα γίνονται, ἐκεῖθεν γίνεται καὶ ἡ πάραλος ναῦς Ἀττική. καὶ τὸ ἐκ τοιαύτης λέξεως παράγωγον, παράλιον. ᾧπερ ὁμώνυμος ἑορτὴ παλαιὰ, τὰ παράλια. ἡ ὕστερον Ῥωμαία ὡς ἱστορεῖ Ἀθήναιος. (ηερς. 386.) Τὸ δὲ θαλάσσης πάσης βένθεα οἶδε, καὶ τῷ Ἄτλαντι ἐντοῖς πρὸ τούτων ἡ Ὁμηρικὴ Μοῦσα ἐπεμαρτύρησεν. εἴη δὲ ἂν ἴσως θαλάσσης βένθεα, περιφραστικῶς ἡ θάλασσα. ὅτι δὲ οἶδε τὴν θάλασσαν ἅπασαν ὁ Πρωτεὺς, ἔσταί πως δῆλον ἐν τοῖς ἑξῆς. τὴν γοῦν νῆσον τῆς Καλυψοῦς οὐ μόνον οἶδεν ἀλλὰ καὶ εἶδεν ὡς αὐτὸς ἐρεῖ. (ηερς. 387.) Ἐν δὲ τῷ, ὑποδμὼς, περιττὴ ἡ πρόθεσις. ὡς καὶ ἐπ' ἄλλων πολλῶν γίνεται. Τὸ δὲ ἐμόν φασι πατέρα εἶναι, ὅμοιον τῷ, τοῦ μ' ἐκ φασὶ γενέσθαι. καὶ προεῤῥέθη περὶ τούτου τὸ ἀρκοῦν. Τὸ δὲ πατέρα εἶναι ἠδὲ τεκέσθαι, ἀκριβῶς ἐῤῥέθη. ἐπειδὴ πολλοὶ καὶ μὴ τεκόντες, ὅμως πατέρες λέγονται. ὡς ὁ Ζεὺς, πατὴρ ἀνδρῶν. καὶ Εὔμαιος δὲ ξεῖνε πάτερ τὸν Ὀδυσσέα προσφθέγγεται. ὁμοίως δὲ καὶ Φιλοίτιος. καί τις ἐν Φαιακίᾳ, δεῦρ' ἄγε καὶ σὺ ξεῖνε πάτερ. (ηερς. 388.) Τὸ δὲ εἴπως σὺ δύναιο λοχησάμενος λελαβέσθαι, οἰκεῖον εἰπεῖν ποτε περί τινος δυσκατεργάστου ἀνδρὸς ἢ καὶ ζῴου ἁπλῶς. (ηερς. 389.) Τὸ δὲ εἴπῃ ὁδὸν καὶ μέτρα κελεύθου καὶ ὅ, τι ἐν μεγάροισι κακὸν καὶ τὰ ἑξῆς, μάντεως ἀρίστου ἔνδειξις. Τὸ δὲ μέτρα κελεύθου, καλόν ἐστι πρὸς σαφήνειαν τοῦ, τὴν ὀλοὴν ἀναμετρήσαιμι χάρυβδιν. καὶ τῶν ὁμοίων. οὐ μόνον δὲ μέτρα ὕδατος καὶ οἴνου καὶ μυληφάτου ἀκτῆς, ἀλλ' ἰδοὺ καὶ θαλάσσης. (ηερς. 391.) Τὸ δὲ αἴκ' ἐθέλῃσθα, δεινότης καὶ αὐτὸ τοῦ ποιητοῦ προεκθετικῶς οἰκονομοῦσα τὴν τοῦ Μενελάου ἐρώτησιν οὐ μόνον περὶ τοῦ οἰκείου νόστου, ἀλλὰ καὶ περὶ ἑτέρων. (ηερς. 393.) Τὸ δὲ δολιχὴν ὁδὸν ἀργαλέην τε, νῦν μὲν, ἅπασαν δηλοῖ τὴν ἐν τῇ Μενελάου πλάνῃ. μετ' ὀλίγα δὲ ἰδίως οὕτω καλέσει τὸν ἐκ Φάρου πλοῦν εἰς Αἴγυπτον. (ηερς. 395.) Τὸ δὲ φράζευ σὺ λόχον θείοιο γέροντος καὶ τὸ ἑξῆς, ἀκούσοι ἂν πρός τινος, ὁ πίπτων μέσος καὶ παριστῶν αὐτὸν ἀνδρὶ γεραρῷ πρὸς οἰκείωσιν. (ηερς. 396.) ἔστι δὲ τὸ μὲν προϊδὼν, αἰσθήσεως τῆς κατὰ θέαν. τὸ δὲ προδαεὶς, εἰδήσεως προγνωστικῆς. (ηερς. 400.) Ὅτι μηχανωμένη ὡς ἐῤῥέθη τὰ πρὸς κλέος τοῦ πατρὸς ἡ Εἰδοθέα ἣν καὶ Ἰωνικῶς οἴδαμεν Εἰδοθέειαν καλουμένην, ὑποτίθεται προεκθετικῶς τὸν διὰ φωκῶν λόχον τοῦ γέροντος. εὐκλεῶς προδιδοῦσα τὸν τεκόντα τῷ βασιλεῖ Μενελάῳ, ἀρξαμένη οὕτως. ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει, ὅτε μεσημβρίας καιρὸς δηλονότι, τῆμος ἄρ ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτὴς, πνοιῇ ὑπὸ ζεφύροιο, μελαίνῃ φρικὶ καλυφθεὶς ἐκ δ' ἐλθὼν, κοιμᾶται ὑπὸ σπέσι γλαφυροῖσιν. ἀμφὶ δέ μιν φῶκαι νέποδες καλῆς Ἁλοσύδνης, ἀθρόαι εὕδουσι. πολιῆς ἁλὸς ἐξαναδῦσαι. πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν. ἔνθά σ' ἐγὼν ἀγαγοῦσα ἅμ' ἠοῖ φαινομένῃφι, εὐνάσω ἑξείης. (ηερς. 408.) εἶτα συμβουλεύει τῷ Μενελάῳ, κρίνασθαι ἑτέρους τρεῖς ἀρίστους. καὶ ἐκθεμένη πάντα ὀλοφώϊα τοῦ γέροντος. ὅτι δηλαδὴ, φώκας μὲν πρῶτον ἀριθμήσει καὶ ἔπεισιν. ἐπὴν δὲ πάσας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεμπάσεται λέξεται ἐν μέσσησι νομεὺς ὣς πώεσι μήλων, μεθοδεύει τὸν λόχον. εἰποῦσα, (ῃερς. 414.) ὡς ἐπὰν πρῶτα κατευνηθέντα ἴδησθε, καὶ τότ' ἔπειθ' ὕμμιν μελέτω κάρτος τε βίη τε, αὖθι δ' ἔχειν μεμαῶτα καὶ ἐσσύμενόν περ ἀλύξαι. (ῃερς. 417.) εἶτα ἐπιφέρουσα τὸ μάλιστα ὀλοφώϊον τοῦ γέροντος, φησί, πάντα δὲ γινόμενος πειρήσεται, ὅσσ' ἐπὶ γαῖαν ἑρπετὰ γίνονται. καὶ ὕδωρ. (ῃερς. 418.) Καὶ θεσπιδαὲς πῦρ. ἤγουν καιόμενον καὶ λάμπον κατὰ τὸ θεόθεν πεσόν. ὅ ἐστι κατὰ τὸ κεραύνιον πῦρ ὃ καὶ θεείου ὄζειν λέγεται. ὑμεῖς δ' ἀστεμφέως ἐχέμεν, μᾶλλόν τε πιέζειν. ἀλλ' ὅτε κεν δή σ' αὐτὸς ἀμείβηται ἐπέεσσι, τοῖος ἐὼν οἷόν κε κατευνηθέντα ἴδῃσθε. καὶ τότε δὴ, σχέσθαί τε βίης, λῦσαί τε γέροντα. εἴρεσθαι, καὶ τὰ ἑξῆς. (ῃερς. 416.) Καὶ ὅρα 1.173 συχνὰ ἀπαρέμφατα ληφθέντα ὡς προστακτικά. τὸ κάδδ' ἔχειν ἀντὶ τοῦ κατέχετε. καὶ ἐφεξῆς ὁμοίως, τὸ ἀστεμφέως ἐχέμεν. τὸ πιέζειν. τὸ σχέσθαι. τὸ λῦσαι. καὶ τὸ εἴρεσθαι. (ῃερς. 400.) Τὸ δὲ ἦμος δ' ἠέλιος, ἢ τὸν δ¯ε σύνδεσμον ἀντὶ τοῦ δὴ ἔχει, ἢ ὥσπερ τῆμος τῆμοσδε, οὕτω καὶ ἦμος ἦμοσδε. ὁμοίως τῷ τηνίκα τηνικάδε καὶ ἔνθα ἐνθάδε. κεῖται δὲ ὁ τοιοῦτος στίχος καὶ ἐν Ἰλιάδι. (ῃερς. 401.) Τὸ δὲ γέρων ἅλιος νημερτὴς, εἰποῦσα καὶ ἀνωτέρω ἡ Εἰδοθέα, ὅμως λέγει καὶ νῦν. οὐ θέλουσα τοῦ πατρικοῦ ἐπαίνου ἀποσχέσθαι. (ῃερς. 402.) Τὸ δὲ μελαίνῃ φρικὶ καλυφθεὶς, ἔοικε δηλοῦν, ἢ ἐν σχήματι νηχομένου ἐξιέναι τὸν Πρωτέα εἰς αἰγιαλὸν, ἢ ὡς οἷα νέφει τινὶ καλυπτόμενον ἐν ἀγκάλῃ κύματος. ἐνταῦθα δὲ, καὶ σέμνωμά τι ἐστὶ τοῦ ζεφύρου ὡς τοῦ Πρωτέως αὐτῷ χαίροντος. περὶ δὲ φρικὸς, ἔχει σαφήνειαν τά τε τῆς Ἰλιάδος καὶ τὰ τοῦ περιηγητοῦ. (ῃερς. 404.) Προοίμιον δὲ ἡ φρίξ. Αἱ δὲ φῶκαι ὅτι μὲν χρήσιμοι πρὸς μαγικὰς γοητείας, φασὶν οἱ σχολιασταί. διὸ καὶ τὸν Πρωτέα χαίρειν αὐταῖς. Νέποδες δὲ αὗται, οὐ κατὰ τοὺς ἰχθύας ὡς ἄποδες, ἀλλ' ὡς ὀλιγόποδες ἤτοι μικρόποδες καὶ διατοῦτο ἐγγὺς ἀπόδων. καὶ ἐπιπολάζει τοιοῦτον στερήσεως εἶδος καὶ παρὰ τοῖς Λυκίοις μέχρι καὶ νῦν. οἳ χελιδόνας τινὰς ἃς οἱ ἰδιῶται πετροχελιδόνας φασὶν, ἐκεῖνοι καλοῦσιν ἄποδας, οὐ διὰ παντελῆ στέρησιν ποδῶν ἀλλ' ὀλιγότητα ἤτοι σμικρότητα. δῆλον δὲ ὅτι τὸ ¯α καὶ ἐπὶ ὀλιγότητος λέγεται. τινὲς δὲ νέποδας φώκας φασὶ, παρὰ τὸ ποσὶ νέειν ὅ ἐστι νήχεσθαι. ἵνα εἶεν φῶκαι νηξίποδες. Περὶ δὲ Ἁλοσύδνης, γέγραπται μὲν καὶ ἐν τῇ ¯δ τῆς Ἰλιάδος. ῥητέον δὲ καὶ νῦν ὅτι ὁ μῦθος, μίαν οἶδε ταύτην τῶν Νηρηΐδων. διὸ καὶ καλὴν αὐτὴν λέγει προσωπικῶς. ἄλλως μέντοι καλὴ Ἁλοσύδνη, ὡς καὶ ὕδωρ ἀγλαὸν λέγεται. ἕτεροι δὲ, Ἀμφιτρίτης ἐπίθετον αὐτὸ νοοῦσι. καὶ οὐδὲ παρὰ τὸ ὕδωρ ἐτυμολογοῦσι τὴν λέξιν, ἀλλὰ παρὰ τὸ ἐν ἁλὶ σύεσθαι ὅ ἐστιν ὁρμᾶν. ἄλλοι δὲ, καὶ πληθυντικῶς φασὶν Ἁλοσύδναι. ὅ ἐστιν ἐν ἁλὶ δευόμεναι. ἢ εἰς ἅλα δύνουσαι. Ἰστέον δὲ καὶ ὅτι ὡς κτῆμα τῆς Ἁλοσύδνης αἱ φῶκαι πλάττονται. εἴτε φώκας Ἁλοσύδνης αὐτὰς ἀναγνώσει τις, εἴτε νέποδας Ἁλοσύδνης. διὸ καὶ ἔφη τὸν Πρωτέα ἐν μέσαις αὐταῖς κεῖσθαι, ὡς νομέα ἐν πώεσι μήλων. ἃ δὴ καὶ αὐτὰ, ἀνδρῶν κτήματα. τινὲς δὲ ἠρέσθησαν, τρόπῳ συγγενικῷ οὕτω φρασθῆναι. νέποδες γάρ φασι θαλάσσης αἱ φῶκαι, ὅ ἐστι τέκνα. νέπους γὰρ κατά τινα γλῶσσαν, ὁ ἀπόγονος. (ῃερς. 406.) Τὸ δὲ πικρὸν ὀδμὴν, Ἀττικῶς ἐῤῥέθη. ὡς μετ' ὀλίγα τὸ, φωκάων ὀλοώτατος ὀδμή. μυρία δὲ καὶ ἄλλα τοιαῦτα παρεσημειώθη πολλαχοῦ. ὧν ἐστι καὶ τὸ, πάντων δὲ χαλεπώτατον, στρατιὰν ἀργὸν τρέφειν. ὅτι δὲ ἀργαλέον ἡ φώκη ὄζει, δηλώσει σαφέστερον ὁ ποιητὴς ἐν τοῖς ἑξῆς. (ῃερς. 408.) Τὸ δὲ κρίνασθαι καὶ τὸ κρινάμενος, Ἀττικώτερα. εὕρηται δὲ πολλαχοῦ καὶ ἐνεργητικῶς. ὅθεν καὶ τὸ ἐπικρίνειν. καὶ τὸ, κρίν' ἄνδρας. καὶ, κρίνας τ' ἀνὰ δῆμον ἀρίστους. (ῃερς. 410.) Ὀλοφώϊα δὲ κυρίως, τὰ ὀλεθρευτικὰ φωτῶν ἤτοι ἀνδρῶν. ἢ ἅπερ ὄλλυσιν ἐν τῷ φανῆναι. νῦν δὲ ἄλλως, ἀντὶ τοῦ, δεινὰ καὶ ἐκφοβητικά. ἦ γὰρ, οὐκ ἂν ἐξεφόβει ὁ Πρωτεὺς ὅτε πῦρ καὶ λέοντα ἐφάνταζε καὶ δράκοντα καὶ ἕτερά τινα φοβερά. (ῃερς. 411.) Τὸ δὲ ἔπεισιν, ἐνεστὼς ἐστιν ἀντὶ μέλλοντος τοῦ ἐπελεύσεται. οὕτω γὰρ ἀπαιτεῖ ἡ σύμφρασις τοῦ, ἀριθμήσει. (ῃερς. 412.) Ἀριθμεῖ δὲ τὰς φώκας ὁ Πρωτεὺς, ὡς ἴσως καὶ τοῦτο συντελοῦν αὐτῷ. ἢ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς πιθανότητα τοῦ νομεὺς ὣς πώεσι μήλων. μετρεῖ γὰρ καὶ ὁ νομεὺς τὰ ὑπ' αὐτόν. Πεμπάζειν δὲ ὡς καὶ ἐν Ἰλιάδι ἐδηλώθη, τὸ κατὰ πέμπε ἤγουν πέντε ἀριθμεῖν. Αἰολικὴ δὲ λέξις τὸ πέμπε. ὅθεν καὶ πεμπάδαρχον οἱ παλαιοὶ καὶ πεμπάδα φασίν. ὅτι δὲ ταυτὸν πεμπάζειν καὶ ἀριθμεῖν, δηλοῖ καὶ ὁ ποιητὴς εἰπὼν, ἀριθμήσει εἶτα ἐπαγαγὼν τὸ πεμπάσεται. (ηερς. 413.) Τὸ δὲ νομεὺς ὣς πώεσι μήλων, παραβολὴ σύντομος. ἐπεὶ οὐκ ἐχρῆν ἐνταῦθα, παραβολικῶς ἐμπλατύνασθαι παὶ συγχέαι σπουδαῖον διήγημα. Ὅτι δὲ ἀπὸ τοῦ πῶ τὸ κτῶμαι τὸ πῶϋ, ἐξ οὗ καὶ πηὸς ὁ ἐξ ἀγχιστείας ἐπίκτητος συγγενής. καὶ παμπήδην ἐπίῤῥημα. καὶ παμπησία ἡ παγκτησία, δῆλον ἐστιν ἐκ τῶν παλαιῶν καὶ αὐτό. (ηερς. 415.) Ἰστέον δὲ καὶ ὡς ἡ Ὁμηρικὴ αὕτη παραβολὴ, ἀφορμὴ γέγονε τῶν τινῶν μεθ' Ὅμηρον ποιητῶν, βοτὰ πόντου ὅ ἐστι βοσκήματα τὰ κήτη εἰπεῖν. Τὸ δὲ μελέτω ὑμῖν κάρτος τε βίη τε καὶ ἑξῆς ἕως τοῦ πειρήσεται, προτρεπτικὸν εἰς ἐπιμονὴν κατασχέσεως βιαίου τινὸς ἀνδρός. ἢ καὶ εἰς πειθὼ σκληρυνομένου ἢ καὶ ἀκκιζομένου τινός.

(ηερς. 417.) Ὅρα δὲ τὸ πειρήσεται, δηλοῦν ὡς οὐ διὰ κακίαν ἀλλὰ πεῖραν ὁ Πρωτεὺς μετεβάλλετο. (ηερς. 418.) Ἑρπετὰ δὲ, ἀπὸ μέρους τὰ ζῶα δηλοῖ. ἐν γὰρ τοῖς ἐφεξῆς εἰς πολλὰ μορφούμενος ὁ Πρωτεὺς, ἑνὶ μόνῳ τῶν ἑρπετῶν εἰκάσθη, δράκοντι. μεταβληθεὶς ἄλλως ἐκεῖ καὶ εἰς λέοντα καὶ εἰς πάρ 1.174 δαλιν καὶ εἰς μέγαν σῦν. Ὅρα δὲ τὰ ἑρπετὰ ὡς καὶ τὰ ἑρπηστικὰ, οὐκ ἀπὸ τοῦ ἕρπω βαρυτόνου παρηγμένα οὗ παράγωγον τὸ ἑρπετὸν κατὰ Ἀριστοτέλην, ἀλλ' ἀπὸ περισπωμένου ἀῤῥήτου τοῦ ἑρπῶ. ἵνα ᾖ ὡς τελῶ τελέσω τελεστὸν, οὕτως ἑρπῶ ἑρπέσω ἑρπεστόν. καὶ ἐκδρομῇ τοῦ σίγμα ἑρπετόν. καὶ αὖ πάλιν ὡς ποιῶ ποιήσω ποιητικὸν, οὕτω καὶ ἑρπῶ ἑρπήσω ἑρπητικόν. καὶ ἐπενθέσει τοῦ σίγμα, ἑρπηστικόν. ὡς δὲ μυρία τῶν ῥημάτων πολυφοροῦνται ταῖς κλίσεσι, πολλαχοῦ δεδήλωται σαφῶς. ἐτυμολογία δὲ τοῦ ἕρπειν οὗ παράγωγον τὸ ἑρπύζειν, τὸ κατὰ τὴν ἔραν σπᾶσθαι. Θεσπιδαὲς δὲ πῦρ, τὸ κατὰ φαντασίαν τοιοῦτον. καὶ νῦν μὲν, ὁ ποιητὴς ἀπεστένωσε τὰ ὡς ἔφη ὀλοφώϊα τοῦ Πρωτέως. προϊὼν δὲ καὶ διαπεταννὺς τὸ νόημα καὶ τοῖς μερικοῖς διασαφῶν, λέγει ὡς πρώτιστα λέων ἐγένετο. εἶτα δράκων. καὶ πάρδαλις. καὶ σῦς. καὶ ὕδωρ. καὶ δένδρον. φαντασιωδῶς πάντως καὶ ταῦτα. οὐ γὰρ ἄλλως οὕτω πολυμετάβλητος ἦν ὁ Πρωτεύς. Ἔνθα καὶ σημείωσαι σιγηθὲν τὸ ἐνταῦθα ῥηθὲν θεσπιδαὲς πῦρ. καὶ ὡς πληθυντικῶς ἑρπετὰ ἐνταῦθα εἰπὼν, ἓν ἐκεῖ μόνον ἐκφωνεῖ τὸν δράκοντα. Ὅρα δὲ καινοτροπίας μυθικὰς δι' ὧν οὐ μόνον κεφαλαῖς καὶ ὄμμασι καὶ χερσὶ πληθύονται τυφῶνές τινες καὶ ὕδραι καὶ Ἄργοι καὶ Ἑκατόγχειρες ἤδη δέ που καὶ αὐτὸς Ἑρμῆς, ἀλλὰ καὶ μεταπτώσεσι ταῖς ἀπ' ἄλλων εἰς ἄλλα σώματα. ὁποῖα παρὰ μὲν τοῖς ὕστερον ἡ πολύμορφος Ἔμπουσα ἧς μέμνηται καὶ ὁ κωμικός. παρὰ δὲ τοῖς παλαιωτέροις, ὁ τεράστιος Πρωτεύς. (ηερς. 401.) Ὅτι δὲ καθάπερ οὗτος ἔχει τινὰς θεραπείας δι' ὧν ἀνακύπτει ἀληθείας ἔμφασις, οὕτω καὶ τοῖς ἀνωτέρω ῥηθεῖσι πλεονασμοῖς τῶν μελῶν καὶ μερῶν ὕπεστι λόγος τις ἀληθευτικὸς, μετ' ὀλίγα κατ' ἐπιτομὴν ῥηθήσεται. νῦν δὲ πρὸς ἀμυδρὰν ἔμφασιν, μνηστέον τοιοῦδέ τινος ἀνδρὸς, τοῦ φάγου δηλαδὴ Ἄγιδος. περὶ οὗ ἐῤῥέθη τὸ, ἑφθὸς ὁ κάλλιχθυς. νῦν ἔμβαλε τὴν βαλανάγραν, ἔλθῃ μὴ Πρωτεὺς Ἄγις ὁ τῶν λοπάδων. γίνεθ' ὕδωρ καὶ πῦρ καὶ ὃ βούλεται. Ἰστέον δὲ καὶ ὅτι τὰ κατὰ τὸν πολυειδῆ τοῦτον Πρωτέα, οἱ μὲν, ἀνάγουσι πρὸς ἀρχεγονίαν ἀλληγορίας, σοφὴν μὲν, ἀσυμβίβαστον δ' ἄλλως πρὸς τὴν ἀνὰ χεῖρας ὑπόθεσιν. φάμενοι, Πρωτέα τὴν πρωτόγονον εἶναι ὕλην, τὴν τῶν εἰδῶν δεχάδα. τὴν ἐνεργείᾳ μὲν οὖσαν μηδὲν τῶν εἰδῶν. δυνάμει δὲ, τὰ πάντα. στοιχεῖα δὲ δηλαδὴ ἃ διὰ τοῦ πυρὸς αἰνίττεται καὶ διὰ τοῦ ὕδατος καὶ διὰ τοῦ γεωχαροῦς δράκοντος καὶ διὰ τοῦ ἀεροδρόμου ὑψιπετήλου δένδρου. καὶ οὐ στοιχεῖα μόνον, ἀλλὰ καὶ ζῷα. καὶ ἕτερα τὰ κατὰ κόσμον. ὃν δὴ Πρωτέα, καλῶς λέγεται ἡ Εἰδοθέα ἐκφαίνειν διὰ τῆς ἐκ τοῦ δυνάμει εἰς ἐνέργειαν προαγωγῆς. ἤγουν ἡ κίνησις ἡ εἰς εἶδος θέειν αὐτὸν καὶ κινεῖσθαι μηχανωμένη. ἕτεροι δὲ φασὶ τὸν ποιητὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συμβολικῶς παραδηλοῦν διὰ τοῦ κατὰ τὸν Πρωτέα μύθου, τὰ κατὰ τὴν ἀληθῆ φιλίαν. ἥτις οὐκ αὐτόθεν θηρατέα παρά γε τοῖς ἐχέφροσιν, ἀλλὰ μετὰ πεῖραν λίαν πάνυ συχνήν. ὁ γάρ τοι θεώμενός τινα προσφερόμενον αὐτῷ κατὰ φιλίας πρόφασιν, οὐ ῥᾳδίως καὶ ἀπραγμόνως ἐκεῖνον προσήσεται. ὁποῖόν τι ὁ Μενέλαος ποιήσας εἰς Ἀλέξανδρον, ἔπαθε τὰ ἱστορούμενα. τὴν γὰρ ἀδοκίμαστον φιλίαν καὶ ἀδιαφόρως καὶ εἰκῇ πρὸς οὓς ἂν καὶ τύχῃ γινομένην, ἄλλοι τὲ καὶ ὁ Πλάτων πόῤῥω που τῶν τῆς ἀληθοῦς φιλίας ὅρων βάλλουσιν. ὃς καί ποτε καταλύσας παρά τινι ξένῳ καὶ χαριέντως ἐπιξενωθεὶς καὶ τὸν ἄνδρα τῆς φιλοφροσύνης ἀποδεξάμενος, εἶτα καὶ ἄλλους ἐπ' ἄλλοις ἰδὼν ἥκοντας καὶ ἀνεξετάστως καὶ αὐτοὺς φιλουμένους, διέδρα τὸν ξένον. καὶ τοὺς ἄλλους ἔσω μένειν ἀφεὶς, αὐτὸς τὴν ἀπείραστον ξενίαν διέφυγεν. οὕτω καὶ ἐν Ἰλ¯ιάδι περί τινος εἰπὼν ὁ ποιητὴς ὡς πάντας φιλέεσκεν ὁδῷ ἔπι οἰκία ναίων, ἐπάγει, ὡς οὐδὲν αὐτῷ ἤρκεσε τοῦτο εἰς ὄλεθρον. ὡς μὴ ὂν ἀγαθὸν, οὕτω πάντας καὶ τοὺς τυχόντας φιλοφρονεῖσθαι. δοκιμάσει τοίνυν ὁ ἐχέφρων τὸν προσιόντα, μή ποτε κόλαξ εἴη. μὴ ἄρα ἐχθρός. μὴ κερδαλέος. μὴ ἐπὶ καταγέλωτι. πειράσεται δὲ πῶς; καὶ ὕδωρ δηλαδὴ γινόμενος ὅ ἐστι, σπεύδοντι ποδὶ καὶ ὡς ὁ ποιητὴς φησὶ διερῷ, διολισθαίνων τῷ δοκεῖν, τὴν μετ' αὐτοῦ φιλίαν. καὶ εἰς πῦρ δὲ μεταπίπτων, ὅ ἐστι θυμικῶς προσφέρεσθαι προσποιούμενος. καὶ εἰς δράκοντα ἑλιττόμενος, τῷ τῶν κατὰ ψυχὴν κινημάτων ὑγρῷ καὶ πολυελίκτῳ. καί που καὶ θηριωδίαν τῷ δῆθεν ἀπροσίτῳ τοῦ ἤθους ἐπεγκαλούμενος. καὶ ὅλως, παντοῖος εἰς πεῖραν προφαινόμενος τῷ τὴν αὐτοῦ θηρωμένῳ φιλίαν. κἀπειδὰν ἐκεῖνον ἴδοι δραττόμενον αὐτοῦ ἐγκρατῶς, καὶ ἐχόμενον ἀστεμφῶς τετληότι θυμῷ, καὶ προσμένοντα, καὶ πιέζοντα, καὶ τὴν φιλίαν αὐτοῦ προκαλούμενον, τότε δὴ καὶ αὐτὸς ἡδέως ἐκεῖνον προσήσεται. καὶ μετὰ μακρὰν πεῖραν, ὁμιλήσει αὐτῷ ἱλαρῶς πρὸς ὀρθότητα. τοιοῦτος ὢν οἷος ἦν πρὸ τῆς πείρας κατά γε τὸ ἀποίκιλον. διὸ καὶ ὁ ποιητὴς φησί. πάντα δὲ γινόμενος, πειρήσεται, 1.175 καὶ τὰ ἑξῆς. ὡς δέον ὂν, πείρᾳ τὴν φιλίαν ποιεῖσθαι. καὶ οὕτω μὲν καὶ οὗτοι. τινὲς δὲ, τῆς τῶν θαυματοποιῶν τέχνης καὶ τὸν εἰρημένον Πρωτέα ἔθεντο. καθ' ἣν ἐθαυμάζετο καὶ Κρατισθένης ὁ Φλιάσιος. ὃς πῦρ τέ φασιν αὐτόματον ἀνέφαινε. καὶ ἄλλα ἐτεχνᾶτο φάσματα δι' ὧν ἀνθρώπων ἐξίστα διάνοιαν. ἦν δὲ τοιοῦτος, καί τις Ξενοφῶν. καὶ Σκύμνος ὁ Ταραντῖνος. καὶ Φιλιππίδης ὁ Συρακούσιος. καὶ ὁ ἐκ Μιτυλήνης Ἡράκλειτος. καὶ Νυμφόδωρος ὁ πρῶτος Ῥηγίνους εἰς δειλίαν σκώψας. ἄλλοι δὲ, πρὸς τῇ λοιπῇ σοφίᾳ, καὶ ὀρχηστὴν τὸν Αἰγύπτιον τοῦτον Πρωτέα παρέδοσαν, εὐλύγιστόν τινα. καὶ πολυσχημάτιστον. καὶ ὑγρὸν τὴν κίνησιν. καὶ κοῦφον καὶ ἁλτικόν. διὸ καὶ ἡ ποίησις, τὴν εἰς διάφορα σώματα μεταβολὴν αὐτοῦ ἐπλάσατο. καὶ ὅμοιά τινα ἔφη ταῖς ποιαῖς ἐκείνου κινήσεσιν. Ὅτι δὲ καὶ εὐγενεῖς ὀρχηστικαὶ ἦσαν παρὰ τοῖς παλαιοῖς, δηλοῦσιν οἱ ἱστορικοί. καὶ εἴρηταί τι καὶ ἐν Ἰλιάδι περὶ τοιαύτης ὀρχήσεως. ῥητέον δ' ἐνταῦθα οὐ παρέργως, καὶ ὡς οἱ φθάσαντες πολυτρόποις ἤδη δὲ καὶ κακοήθεσι πολυειδῶς ἀνθρώποις προσαρμόσαι τὸ τοῦ Πρωτέως ὄνομα, τοιούτῳ εἴκασαν καὶ τοὺς κόλακας καὶ δηλοῖ γράψας Ἀθήναιος, ὅτι κατ' ἀλήθειαν ὁ κόλαξ ἔοικεν εἶναι τῷ Πρωτεῖ ὁ αὐτός. γίνεται οὖν παντοδαπὸς οὐ μόνον κατὰ τὴν μορφὴν, ἀλλὰ καὶ κατὰ τοὺς λόγους, οὕτω ποικιλόφωνός ἐστι. (ῃερς. 419.) Τὸ δὲ ἡμεῖς δ' ἀστεμφέως ἐχέμεν μᾶλλόν τε πιέζειν, καὶ ἐπὶ ἁπλῶς ἀντοχῆς τινος οἰκεῖον εἰπεῖν. (ῃερς. 422.) Τὸ δὲ λῦσαι γέροντα, ἐπὶ ἀφέσεως ἐῤῥέθη, οὐ γὰρ προϋπόκειταί τις δεσμός. (ῃερς. 428.) Ὅτι πορφύρειν, τὸ βαθέως διαλογίζεσθαι. ἢ κυμαίνεσθαι διαλογισμοῖς, ὡς ἀπὸ θαλάσσης. ἐφ' ἧς καὶ τὸ πορφύρειν, καὶ τὸ ἰοδνεφὲς καὶ τὸ μέλαν καὶ τὰ τοιαῦτα, λέγονται. τὸ δ' αὐτὸ, καὶ καλχαίνειν. ἀπὸ τῆς κάλχης ὃ πορφύραν δηλοῖ. φησὶ γοῦν καὶ νῦν καὶ μετ' ὀλίγα, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι. τουτέστι διενοεῖτο. ἐταράττετο. οὐκ ἀεὶ δὲ βαθὺν ταραγμὸν τὸ πορφύρειν σημαίνει, ἀλλά ποτε καὶ ἠρεμαῖον, ὡς δηλοῖ τὸ, εὔδια πορφύροντα. (ῃερς. 429.) Ὅτι ναυτικῆς εὐτελοῦς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαίτης τὸ, ἐπεὶ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν δόρπον θ' ὁπλισάμεσθα ἐπί τ' ἤλυθεν ἀμβροσίη νὺξ, δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης. Καὶ ὅρα ὡς διασαφεῖται κἀνταῦθα ὁ δόρπος ἐν τῷ, ἐπῆλθεν ἀμβροσία νύξ. τὸ γὰρ τηνικαῦτα ἔμβρωμα, δόρπος λέγεται. (ῃερς. 434.) Ὅτι τρεῖς ἑταίρους κατὰ τὸν τῆς Εἰδοθέας λόγον εἰς τὸν τοῦ Πρωτέως λόχον Μενέλαος ἑταιρισάμενος, ἦγεν. οἷς μάλιστα πεποίθει πᾶσαν ἐπ' ἰθύν. ὅ ἐστιν ἐπὶ πᾶσαν ὁρμὴν πράξεως, Καὶ ὅρα οἵους εἶναι χρὴ τοὺς εἰς λόχον ἐπικρινομένους. (ῃερς. 437.) Ὅτι νεόδαρτα τέσσαρα φωκάων ἐκ πόντου δέρματα Εἰδοθέη ἐνεγκοῦσα, καὶ εὐνὰς ἐν ψαμάθοισι διαγλάψασα, ἧστο μένουσα τοὺς περὶ τὸν Μενέλαον. ἐλθόντας δὲ, ἑξείης εὔνησε, βάλεν δ' ἐπὶ δέρμα ἑκάστῳ. ἔνθά κεν αἰνότατος λόχος ἔπλετον, τεῖρε γὰρ αἰνῶς φωκάων ἁλιτρεφέων ὀλοώτατος ὀδμή. τίς γὰρ ἂν εἰναλίῳ παρὰ κήτεϊ κοιμηθείη; ἢ πάντως οὐδεὶς δηλαδή. ἀλλ' αὐτὴ ἐσάωσε καὶ ἐφράσσατο μέγ' ὄνειαρ. ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε φέρουσα, ἡδὺ μάλα πνείουσαν. ὤλεσσε δὲ κήτεος ὀδμήν. εἴη δὲ ἂν ἀμβροσία ἐνταῦθα, ἡ ἀγαθὴ ἐλπίς. τὸ διὰ τοῦ τοιούτου λόχου ἐλπίζειν εἰς τὴν πατρίδα ἐπανελθεῖν. μυθικῶς δέ γε, νῦν οὐ θρεπτικὸν ἀλλ' εὐῶδές τι ἡ τοιαύτη ἀμβροσία. (ῃερς. 437.) Ὅρα δὲ καὶ ἐνταῦθα σχῆμα τὸ κατὰ τὸ σιωπώμενον. ὡς μὲν γὰρ νεόδαρτα ἦσαν τὰ δέρματα, λέγει. τίς δὲ αὐτὰ ἐξέδειρεν, οὐ λέγει. Σημείωσαι δὲ καὶ ὅτι νῦν μὲν, φωκάων δέρματα ἔφη ἐντελῶς. μετ' ὀλίγα δὲ, φώκας αὐτὰ εἶπεν ἐν τῷ, φωκάων ὀλοώτατος ὀδμή. τῷ τοῦ ὅλου ὀνόματι τὸ μέρος καλέσας. ὡς καὶ ὅτε ἐλέφαντος λέγει ὀστοῦν, καὶ βοῦν δὲ, τὴν βύρσαν. Εὐνὰς δὲ, τὸν τόπον φησὶν ἔνθα ἔστιν εὐνασθῆναι. Γλάφειν δὲ ὅτι τὸ κοιλαίνειν δηλοῖ καὶ ὡς λειότερόν ἐστι τοῦ γράφειν κατὰ τὴν ἐκφώνησιν, ἐδηλώθη καὶ ἀλλαχοῦ. καὶ ὅτι ἐπὶ λογικῆς τινος γραφῆς ἔστιν ὅτε τίθεται, ὡς δηλοῖ παρὰ Παυσανίᾳ τὸ, τὸν ἄνδρ' ἀπωσάμην τε κ' ἀπεγλαψάμην. οἱονεὶ, ἀπέξεσα καὶ ἀπήλειψα ὡς ἀπὸ βιβλίου. δῆλον δὲ καὶ ὅτι ἀπὸ τοῦ τοιούτου ῥήματος γίνεται τὸ γλαφυρὸν σπήλαιον. καὶ τὸ, γλάφυ πετρῆεν. ἤδη δὲ καὶ αὐτὸ τὸ γλύφειν. μᾶλλον μὲν οὖν, ὥσπερ προϋπόκειται τὸ γρῶ τοῦ παραγώγου γράφω, οὕτω καὶ τὸ γλῶ, τοῦ γλάφω τε καὶ τοῦ γλύφω. ἔστι δὲ ὁμοιότητα τῆς τοῦ γράφω καὶ γλάφω, τοῦ μὲν τραχυφωνίας, τοῦ δὲ λειότητος, εὑρεῖν καὶ ἐν τῷ κρώζειν καὶ κλώζειν. τραχύτερον γὰρ ὁ κρωγμὸς τοῦ κλωγμοῦ. ὧν, κρωγμὸς μέν ἐστιν, ὁ τῆς κορώνης ἦχος. κλωγμὸς δὲ κατὰ τοὺς παλαιοὺς, ὁ ἐν θεάτρῳ διὰ στόματος πρὸς τὸν οὐρανίσκον ἀποτελουμενός φασι ψόφος. ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ποιητῶν. καὶ κλώζειν, τὸ οὕτω ἐκβάλλειν ἐκ τῶν θεάτρων. καὶ ἔστιν ἕτερον 1.176 συριγμοῦ ὁ κλωγμὸς, ὡς δηλοῖ καὶ τὸ περικλώζεσθαι καὶ περισυρίττεσθαι. τὸ μέντοι ἐρηρέδαται καὶ ἐληλέδαται, ἑτεροῖον μέν τι φανήσεται ἐν τοῖς ἑξῆς. λειότερον δὲ ὅμως καὶ ἐκεῖ τὸ ἐληλέδαται. (ῃερς. 439.) Τὸ δὲ ἧστο μένουσα, εὐεργετικὸν ἦθος ὑπογράφει. οὐ γὰρ οἱ περὶ Μενέλαον, προλαβόντες ἀνέμενον. ἀλλ' ἡ Εἰδοθέα, ἐκείνους. ἡ καὶ τὰς εὐνὰς φθάσασα διαγλάψαι. (ῃερς. 441.) Τὸ δὲ ἔνθα αἰνότατος λόχος, ἀντὶ τοῦ, ἐνταῦθα περὶ τὴν τῶν δερμάτων ἐπιβολήν. τὰ γὰρ ἄλλα ἡδὺς ὢν, τοῦτό γε αἰνότατος ἦν διὰ τὴν ὀλοώτατον καὶ πικρὸν ὀδμήν. (ῃερς. 441.) Ὅρα δὲ ὅτι διγενὲς καὶ τὸ ὀλοώτατος. οὐ γὰρ μόνον κοινότερον ἀρσενικὸν, ἀλλὰ καὶ θηλυκὸν ἰδοὺ Ἀττικῶς. ὡς δὲ πολλὰ καὶ ἄλλα τοιαῦτα, πολλαχοῦ παρεσημάνθη. ὧν καὶ τὸ, ἡ πηλὸς κατὰ τὸν γραμματικὸν Διόδωρον. καὶ τὸ, ἡ λιμός. καὶ τὸ, ἡ σκώληξ. καὶ τὸ, ἡ μαργαρίτις λίθος. καὶ τὸ, ἡ χοῦς παρὰ Στράβωνι καὶ ἑτέροις. Τὸν δὲ λόχον, καὶ δόλον προέφη ἐν τῷ, δόλον δ' ἐπεμήδετο πατρὶ ἐπαινετὸν δηλαδή. Τῆς δὲ κατὰ Δωριεῖς ὀδμῆς, προϋπάρχει τὸ ὄζειν. ἐξ οὗ κατὰ παλαιὰν μὲν ἐκφώνησιν, ὀζμὴ διὰ τοῦ ¯ζ. κατὰ δὲ ὑστερογενῆ προφορὰν, ὀσμὴ διὰ τοῦ ¯σ. τούτων δὲ, τῆς μὲν ὀδμῆς, οὐδέν τι πρόεισιν εἰς παραγωγήν. τῆς δὲ ὀσμῆς, παράγωγόν ἐστι τὸ ὀσμηρόν. Νίκανδρος. σισύμβριον ὀσμηρόν. καινότερον δὲ τούτου τὸ, ὕδωρ νοσηρόν. ἐκεῖνο γὰρ, ἀναλογεῖ τῷ, ζωὴ ζωηρόν. (ῃερς. 443.) Τὸ δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰναλίῳ κήτεϊ, περιφραστικῶς φώκην δηλοῖ, οὐ μὴν τὸ ἁπλῶς κῆτος. (ῃερς. 446.) Τὸ δὲ ὤλεσε κήτεος ὀδμὴν, ἀντὶ τοῦ ἠλλοίωσεν ἢ ὀλίγωσεν. οὐ γὰρ ἦν αὐτὴν ἄλλως ἀπολωλέναι τέλεον. (ῃερς. 447.) Ὅτι ἐν τῷ, πᾶσαν ἠοίην μένομεν τετληότι θυμῷ, ἠοίαν λέγει, τὴν ἀπὸ πρωΐας ἕως ἕκτης ὥρας ἡμέραν. ὁμοίως τῷ ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ. ταυτὰ γὰρ ἐκεῖ τὸ ἠὼς καὶ ἐνταῦθα τὸ ἠοίη. πλὴν ὅσον ἐκεῖνο μὲν, πρωτότυπον καὶ ἀνελλιπές. τοῦτο δὲ, παράγωγον καὶ κατ' ἔλλειψιν νοούμενον. ἀπὸ γὰρ τοῦ ἠὼς ἠόος, γίνεται ἠοῖος ὁ πρωϊνός. ὡς τὸ, πρωΐ δ' ὑπ' ἠοῖοι. ἔτι δὲ καὶ ὁ ἀνατολικός. ὡς τὸ, οἴχονται πρὸς τοὺς ἠοίους τῶν λιβύων. καὶ ἠὲ, πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων. ἐκ δὲ τοῦ ἠοῖος, ἠοίη ἐλλειπτικῶς, ἡ τῆς ῥηθείσης ἠοῦς κατάστασις ἢ αὔξησις ἤτι τοιοῦτον. Ὅτι κατὰ τὸν Πρωτέα οὕτω φράζει. ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλός. εὗρε δὲ φώκας ζατρεφέας. πάσας δ' ἄρ ἐπῴχετο λέκτο δ' ἀριθμόν. ἐν δ' ἡμέας πρώτους λέγε κήτεσσιν. οὐδέ τι θυμῷ ὠΐσθη δόλον εἶναι. ἔπειτα δὲ λέκτο καὶ αὐτός. (ῃερς. 454.) ἡμεῖς δ' ἰάχοντες ἐπεσσύμεθα, διὰ τὸ φοβερώτερον, ἀμφὶ δὲ χεῖρας βάλλομεν. οὐδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης. ἀλλ' ἤτοι πρώτιστα, λέων γένετ' ἠϋγένειος. αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς. γίνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον. περὶ ὧν προεῤῥέθη τὸ κατὰ τόπον ἀρκοῦν. (ῃερς. 450.) Ἐνταῦθα δὲ, προσθετέον εἰπεῖν, ὅτι καθάπερ ἐκεῖ τὸ τοῦ μύθου καχεκτοῦν εὗρέ τι θεράπευμα, οὕτω καὶ τὰ ἐκεῖσε παραπεπηγότα τέρατα τὸ πολυκέφαλον τὸ μυριόφθαλμον καὶ τὸ τῶν ἑκατογχείρων, ἔχουσι καὶ αὐτὰ τοὺς θεραπεύοντας. ὁποῖοί τινες, ὁ Παλαίφατος. ὁ Ἡράκλειτος οὐχὶ ὁ σκοτεινὸς ἀλλ' ἕτερός τις ὁ τοῖς ἀπίστοις προθέμενος ἐμφῆναι πίστιν. ὁ Χάραξ. καὶ ἄλλοι, καὶ οἱ μὲν πολλοῖς ὀφθαλμοῖς βλέπον τοῖς διὰ παντὸς δηλαδὴ σώματος, ὀξυωπίᾳ σεμνύνεται. καὶ περιέργου δὲ ὄψεως ἁλίσκεται. ὁ δὲ χερσὶ πολλαῖς πεπλουτισμένος, εἰς πολυδύναμον ἢ καὶ ἄλλως πρακτικώτατον ὑπενοήθη καθὰ καὶ ἡ Ἰλιὰς ἔδειξεν. ἡ δὲ τῶν πολυκεφάλων θεραπεία, πλατεῖαν τὲ φιλαρχίαν ὑποβάλλει νοεῖν, καὶ τὸ ἐν σκέμμασι πολύβουλον. καὶ τὸ ποικίλον ἐν μηχαναῖς. καὶ μάλιστά φασι ταῖς κακοποιοῖς. φαντάζει δέ που, καὶ κόλακας ἐπιτρίπτους. οἳ ὅσα καί τινες κεφαλαί φασιν ἀρχικαὶ, τοῖς αὐτῶν ἡττωμένοις ἐπίκεινται. τοιοῦτον γάρ τι ὡς εἰκὸς, ὁ τυφὼς καὶ ἡ ὕδρα. καθὰ τὰ ἐς πολυμορφίαν, εἰς ὅμοιον ἥκουσι Πρωτεύς τε καὶ Ἔμπουσα. Ἑρμῆς δὲ τρικέφαλος, ἄλλως τὸ τριττὸν τοῦ φιλοσόφου λόγου αἰνίττεται. δοκοῦσι δὲ πολυκέφαλοι, καὶ οἱ μεθύοντες καὶ οἷον πολλὰ βλέποντες τῇ συγχήσει τῆς ὁράσεως. ἔμπορος γοῦν τις μέθυσος παρὰ Μενάνδρῳ παίζει κατὰ τὴν ἱστορίαν τοῦ Ναυκρατίστου σοφοῦ, οὕτως. ὅλην ἐπίνομεν τὴν νύκτα. καὶ σφόδρα ἄκρατόν μοι δοκῶ. ἀνίσταμαι γοῦν τέσσαρας κεφαλὰς ἔχων. ὅτι δὲ τὰς ὄψεις ὁ οἶνος πλανᾷ ὥς φησι Τίμων, δειχθήσεταί που ἐν τοῖς ἑξῆς. καὶ οὕτω μὲν καὶ ταῦτα. (ῃερς. 460.) Ὅμηρος δὲ τὴν τοῦ Πρωτέως δολίαν τέχνην δι' ὀλίγων φράσας, εἶτα ἐπάγει καὶ ὡς ἐπεὶ ἀστεμφέως εἶχον αὐτοὶ καὶ ὁ γέρων ἀνίαζε, καὶ τότε δὴ γνοὺς μαντικῶς τὸν λοχήσαντα, ἀνείρετο. τίς δή τοι Ἀτρέος υἱὲ θεῶν συμφράσατό φησι βουλὰς, ὄφρά μ' ἕλοις ἀέκοντα λοχησάμενος; ὅπερ δύναται παρῳδῆσαι εἰς ἑαυτὸν, ὁ πρός τινος ἐπιβουλευθείς. (ῃερς. 463.) Καὶ 1.177 ὅρα τὸ, τίς συμφράσατο, οὐ δι' ἄγνοιαν ἐρωτηθέν. οὐ γὰρ εἰκὸς ἀγνοεῖν τὸν μαντικώτατον Πρωτέα τίς ὁ συμφρασάμενος τὸν ἐπ' αὐτῷ λόχον, ἀλλ' ἁπλῶς οὕτω κατὰ θάμβος ῥηθέν. εἰ δὲ καὶ μὴ προέγνω ἐλλοχώμενος, καινὸν οὐδὲν εἶναι δοκεῖ, οὐ γὰρ προεσκέψατό φασιν. οὐκ ἂν οὖν εἴη μὴ εἰδὼς ὁ προειπὼν υἱὸν Ἀτρέος τὸν λοχήσαντα Μενέλαον ὃν οὔπω εἶδε. διὸ καὶ ὁ Μενέλαος φησίν. οἶσθα γέρον. οὕτω καὶ ἡ Θέτις ἐν Ἰλιάδι γινώσκουσα, ὅμως ἐρωτᾷ τὸν υἱὸν Ἀχιλλέα. καὶ αὐτὸς, οἶσθα φησί. (ῃερς. 450.) Τὸ δὲ ἔνδιος, δηλοῖ μὲν τὸν μεσημβρινὸν, ἤτοι τὸν ἐλθόντα περὶ μεσημβρίαν, ὥραν ταύτην θερμὴν, ὅτέ ἐστιν ἰδίειν ὅ ἐστιν, ἱδροῦν ἡλίου καίοντος, ἵνα εἴη ἔνδιος, ὁ οἱονεὶ ἐνίδιος. ὅθεν καὶ ἴδος φασὶ τὸ θερινὸν κατάστημα. οἷον, ἴδει ἐν αἰνοτάτῳ. καὶ καῦμα ἰδάλιμον. ὅτι δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔνδιος ὁ μεσημβρινὸς, ἐδήλωσεν αὐτὸς Ὅμηρος. προειπὼν, ὅτι ἦμος ὁ Ἥλιος μέσον οὐρανὸν ἀμφιβαίνει, τότε ἁλὸς εἶσιν ὁ γέρων. εἶσι δὲ ἀμφὶ μέσον οὐρανὸν Ἥλιος, περὶ μεσημβρίαν. ὅτι δὲ ἔνδιον οὐδετέρως λέγεται καὶ ἡ διατριβὴ, δηλοῖ Ὀππιανὸς, ἔνδια πέτρης εἰπὼν τὰς διατριβάς. οὐκ ἂν δὲ ἀπᾴδοι, ἔνδιον ἑρμηνεῦσαι καὶ τὸν ὡς εἰπεῖν ἐναέριον. ἵνα ᾖ ὁ Πρωτεὺς, ἐνάλιος μὲν, τὰ πρῴην. ἔνδιος δὲ, τὰ περὶ μεσημβρίαν, ὡς τηνικαῦτα ἐνδιὸς ἤτοι ἀέρος ἐλθὸν, Ἀττικῶς φάναι. διὸ καὶ ἔνδια οὐχ' ἁπλῶς αἱ ὅπου δήποτε διατριβαὶ, ἀλλ' αἱ πρὸς γῆν καὶ τὸν κατ' αὐτὴν ἀέρα. ἔνθα μυθικῶς ἡ ἀρχὴ κεκλήρωται τῷ Διΐ. ὥστε, ἀντιθετικῶς ἔχει πρὸς ἄλληλα τὸ ἐξ ἁλὸς καὶ τὸ ἔνδιος. ἵνα λέγῃ ὅτι ἐξ ἁλίου εἴτουν ἐναλίου, ἔνδιος γέγονεν. ἀναλογεῖ οὖν τὸ ἔνδιος, πρὸς τὸ εὔδιος εἴτουν εὐαέριος. οὗ θηλικὸν εὐδία ὅ ἐστιν εὐαερία. ἐν τούτοις δὲ, φασὶν οἱ παλαιοὶ καὶ ὅτι δεῖ τὸν σοφὸν τεταγμένῃ διαίτῃ χρᾶσθαι καὶ μὴ ἄλλοτε ἄλλῃ. ὡς καὶ Πρωτεὺς ποιεῖ φασὶν εἰς τὸν αὐτὸν τόπον ἰὼν καὶ φώκας μετρῶν συνήθω καὶ συναναπίπτων. Ὅρα δὲ ὅτι τὸ λέκτο δὶς ἐνταῦθα κείμενον, διττὴν ἑρμηνείαν ἔχει. τὸ μὲν γὰρ λέκτο δ' ἀριθμὸν, ἀντὶ τοῦ ἠρίθμησε. τὸ δὲ λέκτο καὶ αὐτὸς ἀντὶ τοῦ εὐνάσθη ὡς εἰς ὕπνον. (ῃερς. 454.) Τὸ δὲ ἡμεῖς δ' ἰάχοντες ἐπεσσύμεθα ἕως τοῦ, ἐπελύθετο τέχνης, οἰκεῖον ῥηθῆναι ἐπὶ γέροντος ἀτρέστου ἐν τοῖς δεινοῖς. (ῃερς. 456.) Τὸ δὲ ἠϋγένειος, οὐ πρός τι φοβερὸν ἀλλ' ὡς λέοντος ἁπλῶς ἴδιον ἐκπεφώνηται. καθὰ καὶ τὸ, φώκας ζατρεφέας, αἷς πολλὴ πιμελή. (ῃερς. 457.) Τὸ δέ γε μέγας σῦς, καὶ τὸ δένδρεον ὑψιπέτηλον, διὰ πιθανότητα ἐῤῥέθη. ἵνα μὴ πρὸς μικρά τινα εἰκάζῃ ἑαυτὸν ὁ θέλων ἐκφοβεῖν. (ῃερς. 468.) Τὸ δὲ ὑγρὸν ὕδωρ, οὐ μόνον ἀφελῶς οὕτω, ἀλλὰ καὶ πρὸς διαστολὴν εἰρῆσθαι δόξει τοῦ παγετοῦ. ὃς ῥηθείη ἂν τολμηρῶς, ὕδωρ ξηρόν. καθὰ καὶ ὁ τυρὸς, γάλα ξηρόν. (ῃερς. 457.) Ὅτι δὲ ἡ μὲν πάρδαλις διφορεῖται, λέγεται γὰρ καὶ πόρδαλις, ἡ δὲ παρδαλέη ἀεὶ διὰ τοῦ ¯α, δηλοῖ καὶ ἡ Ἰλιάς. (ῃερς. 465.) Ὅτι τὸ οἶσθα γέρον, τί με ταῦτα παρατροπέων ἀγορεύεις, λεχθήσεταί ποτε πρὸς ἄνδρα συνετὸν ἐθέλοντα παραλογίζεσθαι. τοιοῦτον γάρ τι δηλοῖ τὸ παρατροπέων. ὃ παρῆκται μὲν καθ' ὁμοιότητα τοῦ, περιτροπέων ἐνιαυτός. κεῖται δὲ ἀντὶ τοῦ παρατρέπων καὶ οἷον παραπλανῶν. (ῃερς. 466.) Ὅτι ὁ ἐν τόπῳ ἀκουσίως βραδύνων, εἴποι ἂν τὸ, ὡς δὴ δηθὰ ἐν νήσῳ τυχὸν ἢ πόλει ἢ ὁπουδήποτε ἐρύκομαι, οὐδέτι τέκμωρ εὑρεῖν δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ. Μενελάου δὲ ταῦτα λόγοι ἐφ' οἷς ἐπλανᾶτο. (ῃερς. 473.) Ὅτι ἀναβαίνειν καὶ ἐνταῦθα, τὸ ἐκ τοῦ λιμένος ἀνάγεσθαι ὅ ἐστιν ἀναπλέειν. φησὶ γάρ. ἀλλὰ μάλ' ὤφελες ῥέξας ἱερὰ κάλ' ἀναβαινέμεν, ὄφρα τάχιστα σὴν ἐν πατρίδα ἵκοιο πλέων. (ῃερς. 474.) Καὶ νῦν μὲν, πατρίδα εἶπεν ἁπλῶς. εὐθύς δ' ἐν τοῖς ἑξῆς ἐντελέστερον ὡς καὶ ἐν ἄλλοις, πατρίδα γαῖαν ἐρεῖ, εἰπών. (ῃερς. 476.) οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν ὅπερ εἰκὸς εἰπεῖν ἐπὶ τοῦ μήπω εὐοδουμένου ἐπανελθεῖν οἴκαδε. (ῃερς. 477.) Ὅτι διϊπετῆ ποταμὸν λέγει, τὸν Αἴγυπτον ἤγουν τὸν ὡς προεῤῥέθη Νεῖλον. καὶ φασὶν οἱ παλαιοὶ, τὸ διϊπετὲς προσαρμόττειν τῷ Νείλῳ, εἴπέρ τῳ ἄλλῳ. χειμάῤῥων γάρ φασιν ἐπίθετον τὸ διϊπετές. τοιοῦτος δέ πως καὶ ὁ Νεῖλος ἐξ ὄμβρων δοκῶν θερινῶν πληροῦσθαι ὥς τινες ἐδόξαζον. ὅτι δὲ τοιοῦτος ὁ διϊπετὴς δηλοῖ καὶ ὁ γεωγράφος ὅτε λέγει ὡς χλιαινομένου τοῦ ὕδατος τοῖς ἡλίοις τοῦ τ' ἐκπίπτοντος ἐκ τοῦ Διὸς, καὶ τοῦ ποταμίου, δῆλον γὰρ ὡς τὸ ἐκπίπτον ὕδωρ ἐκ Διὸς ὅ ἐστιν ἀέρος, ποιεῖ διϊπετῆ ποταμόν. παρὰ δὲ τοῖς παλαιοῖς, φέρεται καὶ ὅτι πολλῶν εἰπόντων περὶ τῆς Νείλου ἀναβάσεως, Ὅμηρος πρῶτος τὸ ἀληθὲς εἶπε, διϊπετῆ προσαγορεύσας αὐτόν. ὅ ἐστιν ὑετῷ πληρούμενον. ἐκ γὰρ τῶν ἐν Αἰθιοπίᾳ γινομένων θέρους σφοδρῶν ὑετῶν, πληροῦται ὡς καὶ Ἀριστοτέλης καὶ Εὔδοξός φασι. λέγον 1.178 τες πεπύσθαι τοῦτο, ἀπὸ τῶν ἐν Αἰγύπτῳ ἱερέων. (ῃερς. 480.) Ὅτι πρόῤῥησις εἰς εὐοδίαν τὸ, καὶ τότε τοι δόσει ὁδὸν θεὸς ἣν σὺ μενοινᾷς. ἀνδρὸς δὲ δυσχεραίνοντος ἐπὶ ὁδῷ μακρᾷ, λόγος τὸ, αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ, οὕνεκά με αὖθις ἄνωγεν ἰέναι δολιχὴν ὁδὸν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀργαλέην τε. τοιαύτην δὲ ὁ Ὁμηρικὸς Μενέλαος λέγει τὴν εἰς τὸν Αἴγυπτον. τοιάνδε οὖσαν ὡς ὁ γεωγράφος ἱστορεῖ, διὰ τὸ ἄξενον καὶ ἀλίμενον. μὴ δὲ γὰρ τὸν ὄντα φησὶ λιμένα τὸν πρὸς τῇ Φάρῳ, ἀνεῖσθαι. φρουρεῖσθαι δὲ ὑπὸ βουκόλων ληστῶν, ἐπικειμένων τοῖς προσορμιζομένοις. (ῃερς. 485.) Ὅτι πειθὼ δηλοῖ τὴν πρός τινα ἔντιμον, τὸ ταῦτα μὲν οὕτω δὴ τελέω γέρον, ὡς σὺ κελεύεις. (ῃερς. 489.) Ὅτι καὶ ἐνταῦθα ὄλεθρος ἀδευκὴς, οὐ μόνον ὁ ἀγλευκὴς, ἀλλὰ καὶ ὁ ἀδόκητος, ἐκ τοῦ δέκω πλεονασμῷ τοῦ ¯υ. οὐ φιλητέα δὲ τοῖς μὴ ἡρωΐζουσιν ἡ λέξις. (ῃερς. 492.) Ὅτι ὁ τῷ ἐρωτῶντι μέλλων εἰπεῖν τινὰ δυσχερῆ, ἐρεῖ ἂν, τί με ταῦτα διείρεαι; οὐδέ τί σε χρὴ ἴδμεναι οὐδὲ δαῆναι ἐμὸν νόον. οὐδέ σε φημὶ δὴν ἄκλαυτον ἔσεσθαι ἐπὴν εὖ πάντα πύθηαι. (ῃερς. 494.) Καὶ ὅρα τὸ ἄκλαυτον, οὐ πάθος δηλοῦν ἀλλ' ἐνέργειαν. λέγει γὰρ, οὐ συνήθως τὸν μὴ κλαιόμενον κατὰ τὸ, ἄκλαυτος, ἄθαπτος. ἀλλὰ τὸν μὴ κλαίοντα. Τὸ δὲ ἴδμεναι καὶ τὸ δαῆναι, διαφέρει. ἴδμεναι μὲν γὰρ, τὸ οἴκοθεν εἰδέναι. δαῆναι δὲ, τὸ ἑτέρωθεν. (ῃερς. 495.) Ὅτι τὸ πολλοὶ μὲν τούτων ἔθανον πολλοὶ δὲ λίποντο, μέθοδός ἐστι, πλάτος περιποιουμένη τῇ γραφῇ. ὡς τοῦ ποιητοῦ δυναμένου ἂν πολλὰ περὶ τοῦ νόστου τῶν Ἑλλήνων εἰπεῖν, εἰ δέον αὐτὸ ἐνταῦθα ἔκρινεν. (ῃερς. 496.) Ὅτι ἐν τῷ νόστῳ, δύο μόνοι ἀρχοὶ ἀπώλοντο λόγου δηλαδὴ τοῦ νῦν ἄξιοι. καὶ μακρὰν τριβὴν ἔχοντες διηγήματος καὶ αὐτοὶ, καθὰ καὶ ὁ εἷς ὁ ἔτι περιών. φησὶ γάρ. (ῃερς. 498.) εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ. ῥηθήσεται δ' ἐν τοῖς ἑξῆς, Ὀδυσσεὺς οὗτος εἶναι. ἄλλως γὰρ, τί ἔδει διατρίβειν ἀκριβολογούμενόν φασι περὶ ἀδόξων ἀνδρῶν; (ῃερς. 496.) τίνες δὲ ἀρχοὶ; ὁ Ἀγαμέμνων μὴ φθάσας τὸν οἶκον ἰδεῖν μὴ δὲ τοῦ υἱοῦ ἐμπλησθῆναι. καὶ ὁ Λοκρὸς Αἴας. ὃς ταῖς γυραῖς πέτραις πελάσας καὶ τέως περισωθεὶς, εἶτα ἀπώλετο. φησὶ γὰρ ὅτι γυρῇσί μιν πρῶτα Ποσειδάων ἐπέλασε πέτρῃσι μεγάλῃσι καὶ ἐξεσάωσε θαλάσσης. καὶ δὴ ἂν ἔκφυγε κῆρα καὶ ἀχθόμενός περ Ἀθήνῃ, εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε καὶ μέγ' ἀάσθη. φῆ ῥ' ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης. τοῦ δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος. (ῃερς. 506.) Αὐτίκ' ἔπειτα τρίαιναν ἑλὼν χερσὶ στιβαρῇσιν, ἣν ἀεὶ δοκεῖ φέρειν ἐν χερσὶν, ἤλασε γυραίην πέτρην. ἀπὸ δ' ἔσχισεν αὐτήν. καὶ τὸ μὲν, αὐτόθι μεῖνε. τὸ δὲ τρύφος, ἔμπεσε πόντῳ. τῷ, Αἴας τὸ πρῶτον ἐφεζόμενος, μέγ' ἀάσθη. τόν δ' ἐφόρει κατὰ πόντον ἀπείρονα κυμαίνοντα. (ῃερς. 511.) Εἶτα συμπληρῶν τὸ διήγημα, φησίν. ὣς ὁ μὲν, ἔνθ' ἀπόλωλεν ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ. τοῦτον δὲ τὸν στίχον φασὶν οἱ παλαιοὶ, ἐν οὐδεμιᾷ ἐκδόσει φέρεσθαι, διὰ τὸ λίαν εὐτελές. διὸ θαυμάζουσι πῶς ἔλαθεν Ἀρίσταρχον ὀβελίσαι αὐτόν. ἔχει δ' εὐτέλειαν ὁ στίχος οὐ διὰ τὴν φράσιν, ἀλλὰ διὰ τὸν νοῦν. μὴ χρῆναι γὰρ δοκεῖ ἀπαθῶς οὕτω τὸν Πρωτέα φράσαι καὶ οἷον ὡς ἐν ἀστεϊσμῷ. ἀστείως γὰρ πάντως καὶ οὐ κατά τι σπουδαῖον, ἐῤῥέθη ἔξω καιροῦ τὸ, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ. ἁλμυρὸν δὲ, οὐ μόνον τὸ φύσει τοιοῦτον, ἀλλὰ καὶ τὸ πρὸς αὐτὸν τὸν πιόντα. οὗ ἀνάπαλιν οἱ Σικελοὶ ἀστεϊζόμενοι, γλυκεῖαν ἐν τοῖς ὕστερον τὴν παρ' αὐτοῖς εἶναι θάλασσαν ἔλεγον, χαίροντες τοῖς παρ' αὐτῆς ἐδέσμασιν. ὃ καὶ σημείωσαι εἰς τὸ Ἰάνειρα. ὅπερ ὄνομά ἐστι Νηρηΐδος ἐν Ἰλιάδι, ταυτοδύναμον τῷ Ἰάνασσα, ὡς ἀπὸ τοῦ ἰαίνω τὸ εὐφραίνω εἴτουν γλυκαίνω. δῆλον γοῦν ὅτι ᾧ λόγῳ γλυκεῖα θάλασσα Σικελικῶς φάναι, οὕτω καὶ ἰαίνουσα ἤγουν εὐφραντικὴ κατὰ τὰς εἰρημένας ποιητικὰς ὀνοματοθεσίας. ὅτι δὲ ἅλμη λαμβάνεταί ποτε καὶ ἐπὶ ἀγαθοῦ, δηλοῖ παροιμία εἰποῦσα τὸ, ἅλμη οὐκ ἔνεστιν αὐτῷ. ἤγουν ἀγλευκής ἐστι καὶ ἀηδής. ταυτόν δ' εἰπεῖν, οὐ νόστιμος. ἡ δὲ τοιαύτη ἅλμη, ἐκ τοῦ παρ' Ὁμήρῳ θείου ἁλὸς παρῆκται. ἀφ' οὗ καὶ ἁλίαρον παρὰ τοῖς παλαιοῖς, τὸ ἠρτυμένον ἅλα τι. οὗ ἡ σύνθεσις, κατὰ τὸ ἁλίμικτον καὶ ἁλίπαστον. παλαιὸς δέ τις ἁλμίων ἐπικαλούμενος, παρὰ τὴν πικρὰν ἅλμην οὕτως ἐσκώπτετο. καθότι καὶ χολὴ ὁ αὐτὸς ἐπεκαλεῖτο. τοιαύτης δὲ σύνθεσις ἅλμης, καὶ παρὰ Σωπάτρῳ ἐν τῷ, δηξίθυμος ἅλμη. ἔνθα τὸ δηξίθυμος, ταυτόν ἐστι τῷ δακέθυμος οἷον δακέθυμος ἄτη. τινὲς δὲ, καὶ τὸν ἐντοῖς ἑξῆς που ῥηθησόμενον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄναλτον, ἐκ τοῦ ἁλὸς ὡς ἐκεῖ ῥηθήσεται, παρήγαγον. ὅτι δὲ παρὰ τὴν ἅλμην σύγκειται καὶ ὁ μυσάλμης καὶ τί ποτε αὐτὸς δηλοῖ, ῥηθήσεται ἐν τῷ, οὐδ' ἅλα δοίης. (ῃερς. 497.) Τὸ δὲ ἐν νόστῳ ἀπώλοντο, πρὸς διαστολὴν ἐῤῥέθη τῶν ἐν τῷ Τρωϊκῷ πολέμῳ. διὸ καὶ ἐπήγαγε. μάχῃ δὲ καὶ σὺ παρῆσθα. ὅπερ ἀνάμνησίς ἐστιν Ὁμηρική. ὡς οἷα λέγοντος τοῦ ποιη 1.179 τοῦ, ὅτι τῶν Τρωϊκῶν τὰ μὲν τῆς μάχης, φθάσας εἶπον ἤδη. τὰ δὲ μετὰ τὸν πόλεμον ἐν τῷ νόστῳ, οὐ δέον κρίνω πάντα εἰπεῖν. (ῃερς. 500.) Ὅρα δὲ ὅτι τὲ κοσμεῖ παρίσοις τὸ διήγημα, τῷ, ἐπέλασεν, ἐξεσάωσεν. ἔτι δὲ τῷ, γυρῇσι πέτρῃσι μεγάλῃσι. καὶ ὅτι τὰς γυρὰς ταύτας, καὶ γυρέην πέτρην ἔφη ἑνικῶς. ὁμοίως τῷ, Μάλειαν καὶ Μαλείας. καὶ τῷ Κρήτη τις νῆσος ἐστί. καὶ Κρητάων γένος εὔχομαι εἶναι. καὶ ἑτέροις τοιούτοις. ἐν οἷς καὶ τὸ, ἂψ ἀπ' Ἀθηνάων. καὶ, Ἀθήνην εὐρυάγυιαν. δῆλον δὲ ὡς ἐκ τοῦ γυρῆ, παράγωγον ἡ γυραία. ὡς ἀρχὴ ἀρχαία. ἀνάγκη ἀναγκαία. σελήνη σεληναία. πέτραι δέ φασι περὶ Μύκονον εἰσὶν αἱ γυραί. Νῆσος δὲ κυκλὰς ἡ Μύκονος. εἰκὸς δὲ καὶ στρογγύλην εἶναι τὴν πέτραν καὶ οὕτω κεκλῆσθαι γυρήν. (ῃερς. 502.) Τὸ δὲ καὶ ἐχθόμενός περ Ἀθήνῃ, ἐμμαρτύρως ἔχει. οὔτε γὰρ Ἀθηνᾶ ἐάσει ἀπολωλέναι τὸν Ὀδυσσέα εἰ καὶ Ποσειδῶν αὐτῷ κεχόλωται, οὐδ' ἂν ὁ Ποσειδῶν ἀφῆκε κινδυνεῦσαι τὸν Λοκρὸν εἰ καὶ ὀργὴν εἶχεν αὐτῷ ἡ Ἀθηνᾶ. νῦν δὲ εἰπὼν, ἀέκητι θεῶν φυγεῖν, καὶ λυπήσας οὕτως ἐν τῷ κοινῷ καὶ τὸν περισωσάμενον Ποσειδῶνα, ἐξόλωλεν. (ῃερς. 501.) Ἔστι δὲ τὸ, ἐξεσάωσε θαλάσσης τὸν Λοκρὸν ὁ Ποσειδῶν, οὐδὲν ἄλλο ἢ ὅτι κύμασιν ἠρεμαίοις φερόμενος καὶ προσπελάσας ἐκεῖνος ταῖς πέτραις καὶ ἀναβὰς, περιεποιήθη. ἀπώλεια δὲ αὖθις αὐτοῦ ὑπὸ τοῦ Ποσειδῶνος, τὸ προσραγῆναι βαρὺ κῦμα τῇ πέτρᾳ καὶ θρύψαι τι μέρος αὐτῆς δυστυχῶς τῷ Αἴαντι. οὗ ἐμπεσόντος τῷ πόντῳ, συγκατέδυ καὶ ὁ Λοκρός. (ῃερς. 503.) Τὸ δὲ ἔκβαλε, πάνυ ἀστείως ἐῤῥέθη. οὐ γὰρ εἶπεν ἀλλ' ἐξέβαλεν ἔπος ὑπερφίαλον, ὅ ἔστιν ἐξέῤῥιψε. καὶ δοκεῖ ὅμοιον εἶναι τοῦτο πρὸς τὸ ἐκφεύγειν ἔπος ἕρκος ὀδόντων. Τὸ δὲ μέγ' ἀάσθη, σκληρὸν μὲν λόγῳ πεζῷ, χρηστὸν δὲ εἰς ποίησιν. διὸ καὶ δὶς ἐνταῦθα ἐῤῥέθη. δύναται δὲ καὶ ἄσθη δισυλλάβως εἶναι διὰ τὸ, ἆσέ με δαίμονος αἶσα. καὶ ἀάσθη τρισυλλάβως διὰ τὸ, ἄτη ἣ πάντας ἀᾶται. (ῃερς. 505.) Τὸ δὲ μεγάλα αὐδῆσαι τουτέστιν ὑπερηφανεύσασθαι, πεποίηκε μὲν τὴν παρὰ τοῖς ὕστερον μεγαλοῤῥημοσύνην. ταυτὸν δέ ἐστι τῷ, ὑπερφίαλον ἔπος ἐκβαλεῖν. πλὴν ὅσον, σφοδρὸν μὲν τὸ ὑπερφίαλον, λεῖον δὲ καὶ σεμνὸν τὸ μέγα. (ῃερς. 512.) Τὸ δὲ τρύφος, ἐπὶ ἄρτου μὲν λέγεται, δύναται δὲ καὶ ἐπὶ ἄλλων, ὡς δηλοῖ τὸ, τριχθὰ καὶ τετραχθὰ διατρυφὲν, ἔκπεσε χειρός. τὸ γὰρ διατρυφὲν, τρύφος ἂν εἴη. Ὅτι ἐκ παραλλήλου ταυτοδύναμοι καὶ ἐνταῦθα κεῖνται λέξεις τὸ ἐκφυγεῖν καὶ τὸ ὑπαλύξαι. φησὶ γάρ. σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεὸς ἠδ' ὑπάλυξεν. (ῃερς. 513.) Ὅτι ἐπισυνείρων τῷ τοῦ Λοκροῦ διηγήματι τὸ κατὰ τὸν Ἀγαμέμνονα, φησὶν ὡς ἐν νηυσὶ μὲν, οὐδὲν ἔπαθε κακὸν, σάωσε δὲ πότνια Ἥρη. τουτέστιν ἀλληγορικῶς, ὁ ἀὴρ εὔκρατον πνέων. (ῃερς. 519 σθθ.) ἀλλ' ὅτε δὴ ἔμελλε Μαλειάων ὄρος αἰπὺ ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα, πόντον ἐπ' ἰχθυόεντα φέρεν βαρέα στενάχοντα, ἀγροῦ ἐπ' ἐσχατιήν. ὅθι δώματα ναῖε Θυέστης τοπρίν. τότε δὲ, Αἴγισθος. ἀλλ' ὅτε δὴ καὶ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων, ἂψ δὲ θεοὶ οὖρον τρέψαν καὶ οἴκαδ' ἵκοντο. αὐτὸς μὲν, χαίρων ἐπεβήσετο πατρίδος αἴης. καὶ κύνει ἁπτόμενος ἣν πατρίδα. πολλά δ' ἀπ' αὐτοῦ δάκρυα θερμὰ χέοντο, ἐπεὶ ἀσπασίως ἴδε γαῖαν· οὗτοι δὲ οἱ τρεῖς στίχοι, ἐπὶ παντὸς ἁρμόττουσιν ὃς χρόνιος παλιννοστήσει ποθὲν μετὰ κινδύνους συχνούς. (ῃερς. 524.) Εἶτα διασαφῶν ὁ ποιητὴς καὶ ὅπως δολόμητις ἦν ὁ Αἴγιστος, ἱστορεῖ ὅτι τὸν βασιλέα ἀπὸ σκοπιῆς εἶδε σκοπὸς, ὃν καθεῖσεν Αἴγισθος δολόμητις ἄγων. ὑπὸ δ' ἔσχετο μισθὸν, χρυσοῦ δοιὰ τάλαντα. (ῃερς. 527.) φύλασσε δὲ εἰς ἐνιαυτὸν, μή ἑ λάθοι παριὼν, μνήσαιτο δὲ θούριδος ἀλκῆς. ἤγουν ἀντικατασταίη ἀνδρικῶς τῷ σὺν γυναιξὶ ποιουμένῳ κατὰ τὴν τραγῳδίαν τὰς μάχας, Αἰγίσθῳ. ἰδὼν δὲ τὸν βασιλέα ὡς ἐῤῥέθη ὁ σκοπὸς, ἔβη ἀγγελέων πρὸς δώματα ποιμένι λαῶν. αὐτίκα δ' Αἴγισθος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δολίην ἐφράσατο τέχνην. κρινάμενος κατὰ δῆμον ἐείκοσι φῶτας ἀρίστους, εἷσε λόχον. ἑτέρωθι δ' ἀνώγει δαῖτα πένεσθαι. αὐτὰρ ὃ, βῆ καλέων Ἀγαμέμνονα ποιμένα λαῶν, ἵπποισι καὶ ὄχεσφιν. ἀεικέα μερμηρίζων. τόν δ' οὐκ εἰδότ' ὄλεθρον, ἀνήγαγε. καὶ κατέπεφνε δειπνίσσας, ὥς τίς τε κατέπεφνε βοῦν ἐπὶ φάτνῃ. (ῃερς. 536.) Εἶτα ἐμφαίνων ὡς εἴπερ ἐμνήσθη θούριδος ἀλκῆς ὁ βασιλεὺς οὐκ ἂν ἀπώλετο, ἐπάγει. οὐδέ τις Ἀτρείδεω ἑτάρων λίπετο οἵ οἱ ἕποντο, οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισιν. εἰ δὲ τοιοῦτοι καὶ μετὰ δόλον οἱ περὶ τὸν βασιλέα, τίνες ἂν ἐγένοντο εἰ καὶ προῄσθοντο; Καὶ ὅρα ὅτι σαφέστερον τῶν φθασάντων ἔφρασε διὰ τοῦ Πρωτέως, τὰ κατὰ τὸν Ἀγαμέμνονα ὁ ποιητής. ὁ μέντοι τοῖς ἑξῆς, ἄλλως τὴν τοιαύτην ἱστορίαν μεταχειρίσεται κατά τε οἴκτου πάθος καὶ ποικιλίαν οἷος αὐτὸς καὶ τὰ τοιαῦτα δεινὸς. (ῃερς. 515.) Ὅρα δὲ τὸ, ἀναρπάξασα 1.180 θύελλα. ὅμοιόν τι ὂν τῷ, Ἅρπυιαι ἀνηρείψαντο. (ῃερς. 516.) Τὸ δὲ ἔφερεν ἐπὶ πόντον, νῦν μὲν, ἐπὶ θυέλλης εἶπε. πρὸ βραχέων δὲ, ἐπὶ Ποσειδῶνος, ἐν τῷ, τόν δ' ἐφόρει κατὰ πόντον. ταυτὸν γὰρ ἐν τούτοις τὸ φέρειν καὶ τὸ φορεῖν. (ῃερς. 517.) ὁ δὲ ῥηθεὶς ἀγρὸς, φασὶν οἱ παλαιοὶ ὅτι κατὰ τὸν ἱστορικὸν Ἄνδρωνα, ὑφίσταται περὶ Κύθηρα εἶναι, ὅπου φασὶν ἡ τοῦ Θυέστου οἴκησις. (ῃερς. 517.) Τὸ δὲ ἐφαίνετο νόστος ἀπήμων, ἑρμηνεύει ὁ ποιητὴς διὰ στίχου ἀκεραίου, τὸ μὲν νόστος, διὰ τοῦ καὶ οἴκαδ' ἵκοντο. (ῃερς. 5.) Τὸ δὲ ἀπήμων, διὰ τοῦ, ἂψ δὲ θεοὶ οὖρον τρέψαν ἢ στρέψαν, ἀντὶ τοῦ μετήλλαξαν ἀπὸ θυέλλης εἰς πνεῦμα εὐδιεινόν. ἄλλως γὰρ, ὁ τοῦ Ἀγαμέμνονος νόστος οὐκ ἦν ἀπήμων. (ῃερς. 521.) Τὸ δὲ πατρίδος αἴης διαλύσας ὁ ποιητὴς εὐθὺς ἰδίᾳ καὶ ἰδίᾳ εἰς ὀνόματα δύο, ἐπάγει. ἣν πατρίδα. (ῃερς. 522.) Καὶ ἀσπασίως ἴδε γαῖαν. Ἔνθα καὶ ὅρα ὅτι πατρίδα, τὴν χώραν ἔφη. τῆς γὰρ πατρίδος Μυκήνης πόλεως οὐκ ἔφθη ἐπιβῆναι ὁ βασιλεύς. διὸ καὶ ἐν τῷ νόστῳ λέγεται ἀπολέσθαι, ὡς μὴ τῆς κυρίως πατρίδος ἐπιβάς. Τὸ δὲ κύνει, ἀντὶ τοῦ ἐφίλει, ἢ προσεκύνει. κατὰ ἦθος ἀφελές. ὡς εἰ καί τις ἐξ ἀποδημίας ἐλθὼν, κυνεῖ τοὺς τεκόντας. δῆλον δὲ ὡς ἐκ τοῦ κύω τὸ φιλῶ οὗ χρῆσις παρ' Ὁμήρῳ ἐν τοῖς μετὰ ταῦτα ὅθεν καὶ ὁ κύων, γίνεται τὸ κυνῶ. ἔστι δὲ σημειῶδες. δέον γὰρ ὂν βαρύνεσθαι κατὰ τὸ δύω δύνω, θύω θύνω τὰ βραχυπαράληκτα, τὸ δὲ περιεσπάσθη κατὰ τὸ ἵκω ἱκνῶ, οἴχω οἰχνῶ, τὰ μακροπαράληκτα. ἤδη δὲ, καὶ κατὰ τὸ κίω κινῶ. (ῃερς. 524.) Τὸ δὲ ἀπὸ σκοπιῆς εἶδε σκοπὸς, ἐτυμολογικῶς ἐῤῥέθη. πλεονάζει δὲ τὸ ¯ι ἐν τῇ σκοπιᾷ, καθὰ καὶ ἐν τῇ ὁρμιᾷ καὶ ἀχυρμιᾷ. (ῃερς. 531.) Τὸ δὲ καθεῖσεν, ὡς ἐκ τροχαϊκοῦ ῥήματος προπερισπᾶται. ὡς γὰρ εὗδε καθεῦδεν, οὕτω τὸ καθεῖσεν ἐκ τοῦ εἶσεν. ὡς τὸ, εἷσε λόχον. αὐτὸ δὲ, ἐκ τοῦ ἕω τὸ κάθημαι. ὃ καιριώτατα σύγκειται τῷ λόχῳ, γινομένῳ ἐκ τοῦ λέγεσθαι ὃ δηλοῖ τὸ καθῆσθαι καὶ κεῖσθαι. διὸ καὶ ὁ λόχος, ἐνέδρα ἑρμηνεύεται διὰ τὴν τοῦ λόχου πρὸς τὰ τοιαῦτα συγγένειαν. (ῃερς. 525.) Τὸ δὲ Αἴγισθος ἄγων, ἀντὶ τοῦ, ὑπάγων καὶ ὑποκλίνων οἷς ἐκέλευε. καὶ ἔστιν ἑτεροῖον τοῦ, τὸν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην. ἐκεῖνος γὰρ, βιαίως ἄγεται. (ῃερς. 528.) Ὅρα δὲ καὶ ὅτι ποιμένα λαῶν ἐν τοῖς ῥηθεῖσιν, οὐ μόνον τὸν Ἀγαμέμνονα εἶπεν, ἀλλὰ καὶ τὸν Αἴγισθον. εὐφήμως τοῦτον οὕτω προσειπών. τὸν ἐπίῤῥητον, καὶ οὐ ποιμένα λαῶν. ἢ δὲ λύκον ἢ τύραννον. εἰ μὴ ἄρα φονεύσας τὸν Ἀγαμέμνονα, εἶτα ἐσχηματίζετο πρᾶος εἶναι. Εἰς δὲ τὴν δαῖτα ἣν ὁ Αἴγισθος πένεται ὅ ἐστιν ἐνεργεῖ ἐλλοχῶν τῷ Ἀγαμέμνονι, ἔστιν εἰπεῖν ὡς καὶ τοῦτο λεχθείη ἂν Ἀγαμεμνόνειος δαὶς ἢ τράπεζα παροιμιακῶς, ἐπὶ τῶν ἐπ' ὀλέθρῳ εὐωχουμένων, ἄλλον τρόπον τοῦτο ἤπερ ὁ Σοφοκλῆς ἱστορεῖ. ἐκεῖνος γὰρ, Ἀγαμεμνόνειον δαῖτα λέγει, τὴν κατ' ἔτος γινομένην ὅτε τὸν Ἀγαμέμνονα ἔῤῥιψαν οἱ ἀνελόντες αὐτόν. (ῃερς. 534.) Τὸ δὲ ἀνήγαγε, περισσὴν ἔχει τὴν πρόθεσιν. ἀρκεῖ γὰρ εἰπεῖν, εἰς ὄλεθρον ἤγαγε. τὸ δὲ εἰπεῖν ὡς ἐφ' ὑψηλόν τινα τόπον ἀναγαγὼν ἐφόνευσεν, ἀμάρτυρόν ἐστι. (ῃερς. 535.) Τὸ δὲ δειπνίσας, ἴσως γενικῶς ἐῤῥέθη ἀντὶ τοῦ, δαίσας. ὡς καὶ δειπνολόχη γυνὴ λέγεται, ἡ ἁπλῶς ἐνεδρεύουσα τοῖς βρώμασι. (ῃερς. 536.) Τὸ δὲ κατέπεφνεν ὡς βοῦν ἐπὶ φάτνῃ, οὐκ ἐπὶ σκώμματι ἀλλὰ πάνυ σεμνῶς ἐῤῥέθη. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ ἦν σεμνοτέρᾳ χρήσασθαι παραβολῇ ἐπὶ βασιλέως οὕτως ἀνδρείου ἀναιρεθέντος ἐν τῷ δειπνεῖν. ὅτε μὲν οὖν ἐν Ἰλιάδι ἐξῆλθεν εἰς μάχην ἐμπρέπων τοῖς ἥρωσι, ταύρῳ αὐτὸν εἴκασεν ἀγέλης ἐξάρχοντι. νῦν δὲ, βοῒ αὐτὸν ὡμοίωσεν, ᾧ μὴ θαῤῥῶν τις συμμίξαι, δείπνῳ δολώσας ἐπικεκυφότα τῇ φάτνῃ ἀνέλη. (ῃερς. 536.) Τὸ δὲ οἵ οἱ ἕποντο, ἀσφαλῶς πρόσκειται. οὐ γὰρ πάντες ἔπεσον οἱ τῷ βασιλεῖ συμπλέοντες, ἀλλ' οἱ συνεφεπόμενοι αὐτῷ εἰς τὴν δαῖτα. ἀνδρείως μέντοι ἔπεσον ὅτι μάλιστα. ἄοπλοι γὰρ ὄντες ὡς εἰκὸς καὶ οὐδὲ νήφοντες, ὅμως συγκατέῤῥιψαν πάντας τοὺς τοῦ Αἰγίσθου ὑφ' ὧν ἔπιπτον. (ῃερς. 538.) Ὅτι πένθους παραστατικὸν τὸ, αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ. κλαῖον δὲ καθήμενος. οὐδέ νυ μοι κῆρ ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο. αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τε κορέσθην, ἐγένετο τό δέ τι. (ῃερς. 543.) Παραμυθητικὸν δὲ τὸ, μηκέτι πολὺν χρόνον ἀσκελὲς οὕτω κλαῖε, ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν, ἀλλὰ τάχιστα πείρα ποιεῖν τάδε. (ῃερς. 545.) Καὶ ὅρα τὸ πείρα ἐνεργητικῶς λεχθὲν κοινότερον. Ἀττικὸς γὰρ ἀνὴρ, πειρῶ ἂν εἴπῃ. οὕτω κοινὸν καὶ τὸ πειρᾶν ἀντὶ τοῦ Ἀττικοῦ τοῦ πειρᾶσθαι. οἷον. πειρᾶν δ' ὥς κεν Τρῶες Ἀχαιοὺς βλάψειαν. ἄλλως μέντοι Ἀττικῶςεὕρηται πειρᾶν ἐνεργητικῶς, τὸ πειράζειν ἐρωτικῶς γυναῖκα, ὡς δηλοῖ καὶ ὁ κωμικὸς ἐν τῷ, πειρᾷ μὲν οὖν ἴσως σε καὶ τῶν τιτθίων ἐφάπτεται. (ῃερς. 538.) Ὅρα δὲ τὸ, κατεκλάσθη φίλον ἦτορ, μετε 1.181 νεχθὲν ἀπὸ ξύλου ἤ τινος τοιούτου ἃ κατακλώμενα στέρονται τοῦ ἀτενῶς ἔχειν. ὡς καὶ ἐνταῦθα ἡ τοῦ κλαίοντος ψυχὴ, οὐκ ἔχει σταθερῶς, ἀλλ' οἱονεὶ κατακλᾶται. ὃ δὴ καὶ ἐτυμολογίαν παραλαλεῖ τοῦ κλαίειν, ἐγγὺς αὐτίκα κειμένου. ἐκ τοῦ κλῶ γὰρ, τὸ κλαίω. κατὰ τὸ, ῥῶ ῥαίω ἀφ' οὗ ὁ ῥαιστήρ. (ῃερς. 543.) Τὸ δὲ ἀσκελὲς τί σημαίνει, ἐδηλώθη ἐν τῇ ¯α ῥαψῳδίᾳ. (ῃερς. 544.) Φιλικὸν δὲ τὸ δήομεν, ὡς κοινοποιουμένης τῆς συμφορᾶς. (ῃερς. 541.) Σημείωσαι δ' ἐν τούτοις ὅπως κλαίοντος καὶ κυλινδομένου τοῦ Μενελάου ἕως ἐκορέσθη, παρέμενεν ὁ Πρωτεὺς, καίτοι ἐνὸν ὂν ὑποχωρῆσαι. ποιεῖ δὲ τοῦτο, οἷα καθάπαξ φιλίαν θέμενος. καὶ ἀνθρωπίνως εἴξας φιλικῇ ἐπιθυμίᾳ καὶ δοὺς καιρὸν ἀποκλαῦσαι τὸν ἀδελφόν. οὕτω δὲ καὶ ἡ θυγάτηρ Εἰδοθέα θερμὴ τὰ εἰς φιλίαν. ἔφθη γὰρ καὶ αὐτὴ ὡς καὶ προεῤῥέθη, ἀναμένουσα τοὺς ἀμφὶ τὸν Μενέλαον ὅτε τὰ τῶν φωκῶν ἤνεγκε δέρματα. Οὐκ ἄδηλον δὲ ὅτι τὸ ἀσκελὲς ὥς περ καὶ τὸ σκέλος, ἐκ τοῦ σκέλλω γίνεται. ἀφ' οὗ τὸ σκελίζω παράγωγον. συγκοπὲν δὲ ἐκεῖνο, γίνεται σηλῶ ἐξ οὗ τὸ κατεσκληκέναι. τοῦ δὲ σκλῶ παράγωγον, σκλαίνω. ὅθεν παρὰ Ἀλκίφρονι τὸ, κατασκλῆναι κινδυνεύω λιμῷ. (ηερς. 546.) Ὅτι πρὸς ἔνδειξιν τοῦ ἐγγὺς ἥκειν ἀληθείας τῆς ἐπὶ τῷ μέλλοντι οὐ μὴν εἰς αὐτὴν ἄντικρυς ἀλήθειαν ἀεὶ τοὺς μαντικοὺς, λέγει πρὸς τὸν Μενέλαον ὁ Ὁμηρικὸς Πρωτεὺς περὶ Αἰγίσθου τὸ, ἢ γάρ μιν ζωόν γε κιχήσεαι ἤ κεν Ὀρέστης κτεῖνεν ὑποφθάμενος. (ῃερς. 547.) Σὺ δέ κεν τάφου ἀντιβολήσαις. ἤγουν τύχοις τοῦ ἐπὶ τῷ νεκρῷ περιδείπνου ὡς καὶ προϊστόρηται. ἦν δὲ ἂν ἀκριβοῦς ἐπιστήμης, ἕν τι εἰπεῖν ὡρισμένως ἐκ τῶν δύο, καὶ μὴ ἀορίστως ἢ τόδε ἢ τόδε. αἴτιον δὲ τοῦ μαντικοῦ τούτου ἐνδοιασμοῦ, τὸ παραβραχὺ ζῶντα ἂν εὑρεθῆναι τὸν Αἴγισθον. (ῃερς. 548.) Ὅτι παραμυθίαν ἐπὶ λύπῃ φράζει τὸ, αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς, αὖτις ἐνὶ στήθεσσι καὶ ἀχνυμένῳ περ, ἰάνθη. Καὶ ὅρα ὡς νῦν μὲν, ἰαίνεται καρδία. ὅτε δὲ ἄλλως πάσχει, τότε τὸ καρδιώττειν ἐπ' αὐτῆς λέγεται. ὅπερ δηλοῖ κατὰ Αἴλιον Διονύσιον τὸ ναυτιᾶν καὶ ἀλγεῖν τὴν καρδίαν. (ῃερς. 551.) Ὅτι εἰ καὶ τὸ ἐξονομάζειν ἀδηλίαν ἔχει σημασίας, οὐ γὰρ ἐξανάγκης δηλοῖ τὸ ἐξ ὀνόματος καλεῖν ὡς καὶ τῷ Πορφυρίῳ δοκεῖ, ἀλλ' οὖν τὸ ὀνομάζειν, ἐνταῦθα φανερῶς τὸ ἐξ ὀνόματός τινα δηλοῦν σημαίνει. Μενελάου γοῦν εἰπόντος ὡς τούτους μὲν δὴ οἶδα, σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε, ὅς τις ἔτι ζῇ ὡς προδεδήλωται, φησὶν ὁ ἐρωτηθεὶς Πρωτεύς. υἱὸς Λαέρτεω καὶ τὰ ἑξῆς. ὡς εἶναι ταυτὸν ἐνταῦθα τὸ ὀνομάζειν, τῷ ἀλλαχοῦ ὀνομαίνειν. οὕτω καὶ πρὸ τούτων ἐξονομακλήδην Ἑλένη ὠνόμαζεν, ἤγουν ἐξ ὀνόματος ἐκάλει τοὺς τῶν Ἀργείων ἀρίστους. Ὅρα δ' ἐν τούτοις,καὶ ὡς Νέστωρ μὲν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φθάσας ἀμφέβαλεν ἐνδοιαστικῶς. εἰπὼν, τίς δ' οἶδε καὶ τὰ ἑξῆς περὶ Ὀδυσσέως. ἐκ δὲ τοῦ Μηνελάου σαφέστερόν τι μανθάνει ὁ Τηλέμαχος. (ῃερς. 557.) Ἐνταῦθα δέ τινες, ἐκτοπισμὸν σημειοῦνται τῆς κατὰ τὴν Καλυψὼ νήσου. διότι γάρ φασι Μενέλαος ἀκούσας τοῦ Φαρίου Πρωτέως ἐπαγαγόντος ὅτι τὸν Ὀδυσσέα ἴδον ἐν νήσῳ θαλερὸν κατὰ δάκρυ χέοντα νύμφης ἐν μεγάροισι Καλυψοῦς, καὶ ὅτι αὐτὸν ἐκείνη ἀνάγκη ἴσχει ὅ δ' οὐ δύναται νοστῆσαι, οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι καὶ τὰ ἑξῆς, οὐ μεθώδευσεν ἀναπληρῶσαι τῷ φιλουμένῳ τὸ λεῖπον, ἢ αὐτὸς πλεύσας ἢ πέμψας ναῦν περισωσομένην τὸν φίλον ὃν ἔφη ἐθέλειν μετοικίσειν ἐξ Ἰθάκης εἰς ἑαυτόν. ἢ, δῆλον ὅτι ἐκτετόπισται ἡ νῆσος. εἰ δὲ τὴν οὕτως ἔκτοπον νῆσον εἶδεν ὁ Πρωτεὺς δίχα νηὸς, οὐκ ἄνθρωπος ἄρα θνητός ἐστιν εἰπεῖν μυθικῶς. (ῃερς. 551.) Ἰστέον δὲ ὅτι μετὰ τὸ, σὺ δὲ τρίτον ἄνδρ' ὀνόμαζε καὶ τὸ, ὅς τις ἔτι ζωὸς κατερύκεται εὐρέϊ πόντῳ ὅπερ πρὸ ὀλίγων ὁ Πρωτεὺς ἔφη, ἐπάγει ὁ Μενέλαος, ἠὲ θανών. καὶ δοκεῖ ἐκ περισσοῦ εἰπεῖν τοῦτο ἀφελῶς, οἷα συγχεθεὶς ὑπὸ λύπης. ὁ γὰρ Πρωτεὺς, οὐκ εἶπεν οὕτως, ἀλλὰ μόνον ὅτι ζωὸς κατερύκεται. εἰ μή τι ἄρα τοῦτο ἔφη, πρὸς τὸ κατερύκεται εὐρέϊ πόντῳ. ὡς τοῦ κατερυκομένου ἐν θαλάσσῃ, μὴ ζῶντος ἀλλὰ θανόντος. καὶ εἰ τοῦτο ἀληθὲς, σημείωσαι ὡς ἡ ὁμωνυμία αἰτία τοῦ οὕτως εἰπεῖν. Πρωτεὺς μὲν γὰρ, ἐπὶ κωλύσεως ἁπλῶς ἔφη τὸ, κατερύκεται πόντῳ. ἴσως δὲ, καὶ διὰ τοῦ περιέχοντος πόντου, τὴν περιεχομένην νῆσον τῆς Καλυψοῦς ἐδήλωσε. Μενέλαος δὲ, ἁπλοϊκῶς ἐπὶ τοῦ ἐνειλῆφθαι θαλάσσῃ τὸν Ὀδυσσέα, ἐνόησε τὸ λεχθέν. Ἰστέον δὲ καὶ ὅτι τὸ, ἄνδρ' ὀνόμαζε ὃς ἔτι ζωός που κατερύκεται ἠὲ θανὼν, ἐθέλω δὲ καὶ ἀχνύμενός περ ἀκοῦσαι, οἰκεῖον ἐπὶ ἀνδρὸς λεχθῆναι δυσελπιστουμένου τοῖς ἑαυτοῦ εἰ ἐπανέλθῃ. (ῃερς. 559.) Ἐπήρετμοι δὲ, ἐν μὲν τῇ ¯β ῥαψῳδίᾳ, ἑταῖροι ἐπ' αὐτοῖς ὄντες ὡς ἐῤῥέθη τοῖς ἐρετμοῖς. ἐνταῦθα δὲ, νῆες ἐπήρετμοι αἷς εἰσὶν ἐρετμοί. ἴσως δέ τις καὶ ἐνταῦθα τολμήσει ψυχρότερον συμβιβάσαι τὸ ἐπήρετμοι, πρὸς τὸ ἑταῖροι. 1.182 συντάξας ἀναστρόφως ἐπήρετμοι καὶ ἑταῖροι. ὅ ἐστιν, καὶ ἑταῖροι ἐπήρετμοι. ὅμοιον τῷ, διοτρεφὲς ὦ Μενέλαε. καὶ τοῖς τοιούτοις. δῆλον δὲ ὅτι τοῦ ἐρέσσειν αἱ παραγωγαὶ, ποτὲ μὲν, φυλάττουσι τὴν τοῦ ῥήματος ἄρχουσαν, ὡς ἐν τῷ ἐρέτης καὶ ἐρετμός. ποτὲ δὲ, καὶ τὸ ἰῶτα προσλαμβάνουσιν, ὡς ἐν τῷ εἰρεσίᾳ. ἔστι δὲ ὅτε καὶ εἰς ¯η ἢ εἰς ¯ο ἐκείνην μεταβάλλουσιν. εἰς ¯ο μὲν, ἐν τῷ ἐεικόσορος καὶ τοῖς ὁμοίοις. εἰς ¯η δὲ, ἐν τῷ ὑπηρεσία. καὶ ἐπήρετμος. καὶ διήρης. καὶ τοῖς τοιούτοις. ἐν οἷς καὶ εὐῆρες κυρίως μὲν, πλοῖον καὶ ἐρετμός. τροπικῶς δὲ, καὶ τὸ ἁπλῶς εὐάγωγον. (ῃερς. 560.) Ὅτι φθάσας εἰπεῖν ὁ ποιητὴς θεοὶ πομπῆες, καὶ ἀλλαχοῦ τοῖός τοι ἐγὼ πομπὸς, ἐνταῦθα τὸ ῥῆμα τῶν τοιούτων ὀνομάτων λέγει ἐν τῷ, ἑταῖροι πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης. ἐκ δὲ τοῦ τοιούτου πέμπειν, καὶ πομπίλος ἰχθὺς, ὡς καὶ Ὀππιανὸς ἐτυμολογεῖ. (ῃερς. 561.) Ὅτι τὴν μὲν ἄνοδον Ἑλένης τῆς εἰς τὸν σεληναῖοντόπον, οἱ μεθ' Ὅμηρον ἐλήρησαν. αὐτὸς δὲ Ὅμηρος περὶ Μενελάου λέγει, ὡς ὁ Πρωτεὺς ἔφη αὐτῷ τοιαῦτα. σοί δ' οὐ θέσφατόν ἐστι διοτρεφὲς ὦ Μενέλαε Ἄργει ἐν ἱπποβότῳ θανεῖν. ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης, ἀθάνατοι πέμπουσιν ὅθι ξανθὸς Ῥαδαμάνθυς. τῇ περ, ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν. οὐ νιφετὸς, οὔτ' ἂρ χειμὼν πολλύς. ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντας ἀήτας Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους. (ῃερς. 569.) Καὶ ἡ αἰτία. μυθικὴ καὶ αὐτή. οὕνεκά φησιν ἔχεις Ἑλένην καὶ Διὸς γαμβρός ἐσσι. καὶ τοιοῦτος μὲν ὁ τοῦ μύθου λῆρος. σεμνύνων οὓς ἔδει καὶ ἐγκαλύπτεσθαι. (ῃερς. 563.) Ἠλύσιον δὲ πεδίον, περί που τὰ κατὰ δύσιν πέρατα τῆς γῆς. ὃ καὶ νῆσοι μακάρων παρὰ τοῖς ὕστερον λέγεται. νῆσοι μὲν, ὅτι περὶ τὴν ἔξω θάλασσαν εἰσίν. ὅ ἐστι, περὶ αὐτὸν τὸν Ὠκεανόν. μακάρων δὲ, διὰ τὸ τοῦ τόπου εὔδαιμον καὶ μακάριον. ὃ τοῖς πᾶσι τεθρύληται. φησὶ γοῦν καὶ ὁ γεωγράφος ὅτι τὰς τῶν μακάρων νήσους, ἴσμεν οὐ πολὺ ἄποθεν οὔσας τῶν ἄκρων τῆς Μαυρουσίας τῶν ἀντικειμένων Γαδείροις εὔπνους δέ φησιν ὁ τόπος καὶ εὐάερος διὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν Ζέφυρον. λέγει δὲ, καὶ τὸν Ὅμηρον ἐμφανίζειν τὴν εὐδαιμονίαν τῶν ἑσπερίων ἀνδρῶν, πεπυσμένον ὡς εἰκὸς τὸν περὶ τοὺς τοιούτους πλοῦν. ὅπου καὶ τὸ Ἠλύσιον πεδίον ποιεῖ. ὅπερ οὕτω καλεῖσθαι δοκεῖ, διὰ τὸ ἐν αὐτῷ τὰς ψυχὰς διάγειν κατὰ μῦθον, ἀλυούσας ὅ ἐστι χαιρούσας. ἢ λελυμένας σωμάτων. τινὲς δὲ, ἀπό τινος Ἠλυσίου εὐσεβεστάτου ἀνδρὸς, τοῦ, ἐν ἐλευθῆρι τόπῳ, κληθῆναι εἶπον πεδίον Ἠλύσιον. ἄλλοι δὲ, ἀπὸ ἀλύτως ἔχειν τοὺς ἐκεῖ. ὅ ἐστιν ἀφθάρτως. ἀθανάτως. Ἀπίων δὲ κατασκευάζει τὴν περὶ Κάνωβον καὶ Ζεφύριον πεδιάδα, οὕτω κληθῆναι παρὰ τὴν τοῦ Νείλου ἰλύν. ἣν πολλὴν καταφέρων ἐκεῖνος προσέχωσε τὴν κάτω χώραν κατὰ Ἡρόδοτον πᾶσαν, πάλαι ποτὲ πέλαγος οὖσαν. ὡς δῆλον φησὶν ἐκ τῶν ἐκεῖ εὑρισκομένων κογχυλίων καὶ λεπαδίων, ὡς καὶ περὶ Μέμφιν. καὶ σκοπητέον εἰ μὴ ὁ τοιοῦτος τοῦ Ἀπίωνος λόγος, διὰ τοῦ ¯ι γράφει τὴν τοῦ Ἠλυσίου ἄρχουσαν, ὡς ἀπὸ τῆς ἰλύος. ὁ δ' αὐτὸς, λέγει καὶ ὅτι πείρατα γαίης ὁ ποιητὴς ἐνταῦθα φησὶν, οὐ τὰ πρὸς Ὠκεανὸν, ἀλλὰ τὰ ἐκεῖ πρὸς τῇ κατὰ Νεῖλον θαλάσσῃ. καθὰ καὶ Αἰσχύλος. εἰπών. ἔστι πόλις Κάνωβος ἐσχάτη χθονός. πᾶσα γὰρ ἀγχίαλος, ἐσχάτη χθονός. διὸ καὶ Μενελαΐτης νομὸς ἐκεῖ, ὡς τῆς τοιαύτης γῆς ὑπὸ Μενελάῳ ποτὲ γενομένης. Ἡρόδοτος δέ φησιν ὅτι οἱ περὶ Ὄασιν πόλιν Σάμιοι, ἀπέχουσιν ἑπτὰ ἡμερῶν ὁδὸν ἀπὸ Θηβῶν διὰ ψάμμου. ὀνομάζεται δέ φησιν ὁ χῶρος οὗτος κατὰ Ἑλλήνων γλῶσσαν, μακάρων νῆσοι. οὐκ ἄρα οὖν καινὸν εἰ Σάμιοι Κυδωνίαν τὴν ἐν Κρήτῃ ἔκτισαν, οἱ καὶ εἰς βαθὺ τῆς Λιβύης οἰκήσαντες. Ὅτι δὲ καὶ περὶ Θήβας τὰς ἑπταπύλους ἐφιλοτιμήσαντό τινες νήσους μακάρων εἰπεῖν διὰ τὸ κατὰ χώραν εὔδαιμον, οἱ τοῦ Λυκόφρονος δηλοῦσιν ὑπομνηματισταί. (ῃερς. 564.) Τὸ δὲ ξανθὸς Ῥαδάμανθυς, πρὸς ἡδονὴν Μενελάῳ πέφρασται. ξανθὸς γὰρ καὶ αὐτός. Περὶ δὲ Ῥαδαμάνθυος ὃς ἀδελφὸς ἦν Μίνωος, εἴρηται καὶ ἀλλαχοῦ. (ῃερς. 565.) Τὸ δὲ ῥηΐστη βιοτὴ, τὴν ἔμφρονα καὶ αὐτὸ ῥᾳστώνην ἐμφαίνει τῶν ἐν ταῖς μακάρων νήσοις. γίνεται δὲ ἀπὸ τοῦ ῥᾷον, οὐ μόνον τὸ ῥήϊον καὶ ῥηΐδιον καὶ τὸ ῥᾴδιον, ἀλλὰ καὶ τὸ ῥήϊστον ὑπερθετικῶς. ἐκ μέντοι τοῦ ῥᾴδιον ῥᾳδιουργὸς κατὰ Αἴλιον Διονύσιον, ὁ κακοῦργος. καὶ ῥᾳδιουργία φησὶν, ἡ περὶ πᾶν ὀλιγωρία καὶ θρασύτης. Ξενοφῶν δὲ, καὶ ἐπὶ εὐκολίας ἐχρήσατο τῇ λέξει. λέγεται δὲ καὶ ῥᾴων, ὁ ἐκ νόσου ὑγιής. καὶ ῥαΐζειν, τὸ ἀπὸ νόσου ἀνασφάλλειν. Τὸ δὲ ὅπου ῥηΐστη βιοτὴ καὶ οἱ ἐφεξῆς τρεῖς στίχοι, ἀγαθοῦ εἰσι τόπου ἐγκώμια. (ῃερς. 566.) Τὸ δὲ οὐ χειμὼν πολὺς, παρατετηρημένως ἔφη. πολὺς μὲν γὰρ χειμὼν οὐκ ἄν που ἴσως γένοιτο. οὐ μὴν οὐδὲ χειμὼν ἁπλῶς. οὐ γὰρ εἰκὸς ὑπεξαιρεθῆναι τὴν τοῦ χειμῶνος ὥραν, τοῦ ἐνιαυτοῦ. (ῃερς. 567.) Τὸ δὲ 1.183 Ζεφύροιο ἀήτας, καθ' ὁμοιότητα εἴρηται τοῦ, Νότοιό τε δεινὰς ἀήτας καὶ τῶν ὁμοίων. ἀρσενικὸν μέντοι τὸ ἀήτας ἐνταῦθα. ὡς δηλοῖ τὸ, πνείοντας ἀήτας. τὸ δέ γε Νότοιό τε δεινὰς ἀήτας παρ' Ἡσιόδῳ, κατὰ θῆλυ γένος προῆκται Δωρικώτερον. Ἐν δὲ τῷ ἀναψύχειν, σημείωσαι ὅτι οὐ μόνον γόνιμον οἴεταί που τὸν Ζέφυρον ὁ ποιητὴς καὶ πολύκαρπον, εἰπὼν, Ζεφυρίη πνείουσα τὰ μὲν, φύει ἄλλα δὲ πέσσει, ἀλλὰ καὶ πρὸς ἐπίπνοιαν ζωτικὴν συντελεῖ. οὕτω δὲ καὶ Βοῤῥᾶς, ἐζώγρει που τὸν Ἕκτορα λειποθυμοῦντα, ἐπανάγων αὐτῷ τὴν ψυχήν. ὅπέρ ἐστιν, ἀναψύχων. ταυτὸν δέ πως εἰπεῖν, ψυχαγωγῶν. (ῃερς. 570.) Ὅτι κολυμβητοῦ τὸ, ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα. περὶ δὲ Πρωτέως ὁ λόγος οὗτος τῷ ποιητῇ. (ῃερς. 574.) Ὅτι δηλῶν ἑσπερινὸν ἔμβρωμα εἶναι τὸν δόρπον, φησί. δόρπον ὁπλισάμεθα, ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ. (ῃερς. 577.) Ὅτι καὶ ἐνταῦθα διασκευὴ πλόου σύντομος παρὰ Μενελάου ῥηθεῖσα, ἐν τῷ, νῆας μὲν πάμπρωτον ἐρύσαμεν εἰς ἅλα δῖαν. ἐν δ' ἱστοὺς τιθέμεθα καὶ ἱστία. (ῃερς. 580.) Καὶ ἑξῆς ἕως τοῦ, ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς. Καὶ ὅρα τὸ τύπτον οὐ μόνον ὅτι ἐπὶ ἀψύχου ἐλέχθη, ἀλλὰ καὶ ὅτι ἐκ πρώτου πληθυντικοῦ προσώπου τοῦ, ἱστοὺς τιθέμεθα, εἰς τρίτον μετεκλίθη. ὅτι μὴ δὲ ἦν, τὸν βασιλέα Μενέλαον κοινωνὸν γενέσθαι καὶ τοῦ κωπηλατεῖν. οὐ μόνη δὲ ἡ πλευστικὴ διασκευὴ ἐνταῦθα ἐστενοχώρηται, ἀλλὰ καὶ τὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐφεξῆς. τὰ γὰρ ἀπὸ Αἰγύπτου ἕως καὶ τοῦ εἰς τὴν Σπάρτην κατάπλου, πέντε καὶ μόνοις στίχοις ἐμπεριείληπται. (ηερς. 581.) Ὅτι Ἀττικὸν τὸ, εἰς Αἰγύπτοιο διϊπετέος ποταμοῖο στῆσα νέας. δηλοῖ γὰρ τὸ, εἰς τὸν τόπον τοῦ Αἰγύπτου, ὅς ἐστι Νεῖλος ὡς καὶ προεῤῥέθη. ὃν Ὅμηρος μὲν, οὕτω καλεῖ. Ἡσίοδος δὲ ὡς ἂν νεώτερος, Νεῖλον ἤδη καλούμενον οἶδεν αὐτόν. περὶ οὗ καὶ ἐν τοῖς τοῦ περιηγητοῦ χρήσιμά τινα γεγράπται. Ὅτι δὲ καὶ πλημύρει ἐξ ὄμβρων ὁ Νεῖλος πληρούμενος καὶ διατοῦτο διϊπετὴς καλεῖται, πρὸ ὀλίγων ἐδηλώθη καὶ αὐτό. Ὅτι θεραπείας θείας φράσις τὸ, αὐτὰρ ἐπεὶ κατέπαυσα θεοῦ χόλον αἰὲν ἐόντος. Εὐπλοίας δὲ τὸ, ταῦτα τελευτήσας νεόμην. ἔδωκε δέ μοι οὖρον θεὸς, ὅς με ὦκα φίλην ἐς πατρίδ' ἔπεμψε. Κεῖται δ' ἐν τούτοις καὶ ὁ τύμβος ἐπὶ κενηρίου. ἔνθα φησὶν ὁ Μενέλαος ὅτι χεῦ' Ἀγαμέμνονι τύμβον ἵν' ἄσβεστον κλέος εἴη. τουτέστι χυτὴν γῆν ἀνέστησα εἰς χῶμα πρὸς κλέος τῷ ἀδελφῷ. εἰ δέ τῳ δοκοίη κακόζηλον τὸ, ἄσβεστον κλέος, ὥσπερ καὶ τὸ, οὐδέ ποτ' ἔσβη οὖρος ἔδοξεν ἐν τοῖς πρὸ τούτων κακοζήλως λεχθῆναι, εἴποι ἄν τι καὶ εἰς τοῦτο ῥήτωρ ἀγαθὸς ἀνὴρ οἷον, ὅτι οὐ κατὰ τὴν νεκρικὴν ψυχρότητα, ἔσται καὶ τὸ ἐπὶ τῷ θανόντι βασιλεῖ κλέος, ἀλλ' αὐτὸ θερμὸν ἔσται, διὰ τὸ ἐνδιαθέτως γίνεσθαι. ἢ καὶ ὅτι τὸ οὐράνιον ἢ αἰθέριον κλέος, ἄσβεστον εἰκότως λέγοιτ' ἄν, διὰ τὸ τοῦ αἰθέρος ἔνθερμον. (ηερς. 587.) Ὅτι Μενέλαος φιλοφρονούμενος τὸν Τηλέμαχον, φησίν. ἀλλ' ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν. ὄφρά κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται. καὶ τότε σ' εὖ πέμψω, δώσω δέ τοι ἀγλαὰ δῶρα. τρεῖς ἵππους. καὶ δίφρον ἐΰξοον. αὐτὰρ ἔπειτα, δώσω καλὸν ἄλεισον. οὐχ' ὡς οἰνόφλυγι, ἅλλ' ἵνα σπένδῃσθα θεῷ ἐμέθεν μεμνημένος ἤματα πάντα. Καὶ ὅρα τὸ, ἐμοῦ μεμνημένος ἤματα πάντα, εἰς ἀγαθὸν δηλαδή. οὗ μάλιστα ἐφίενται οἱ ἀγαθοί. καὶ οὕτω μὲν ὁ Μενέλαος. ὅτι δὲ ὁ Τηλέμαχος ἀπαναίνεται τοὺς ἵππους καὶ διατί, μετ' ὀλίγα εἰρήσεται. Ξυνωρίδα δέ φασι καὶ παρήορον ἕνα ὁ βασιλεὺς τῷ Τηλεμάχῳ ὑπισχνεῖται δοῦναι, τέθριππα γὰρ οὔπω ἦσαν. (ηερς. 589.) Τὸ δὲ δώσω δῶρα, ἐτυμολογίας τρόπος ἐστίν. (ηερς. 594.) Ὅτι ἔπαινος εἰς ἄνδρα σοφὸν ὁδοῦ κωλύοντά τινα σπεύδοντα, τὸ, μὴ δέ με πολὺν χρόνον ἐνθάδ' ἔρυκε. καὶ γάρ κ' εἰς ἐνιαυτὸν ἐγὼ παρὰ σοὶ ἀνεχοίμην ἥμενος. οὐδέ κε μ' οἴκου ἕλοι πόθος οὐδὲ τοκήων. αἰνῶς γὰρ μύθοισιν ἔπεσσί τε σοῖσιν ἀκούων τέρπομαι ἀλλ' ἤδη μοι ἀνιάζουσιν ἑταῖροι. (ηερς. 599.) Σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις, πολὺν δηλαδὴ, ὡς προσεχῶς ἔλεγεν. ὅτε μέντοι Ὀδυσσεὺς ἐν Ἰλιάδι ἔφη, μείνατ' ἐπὶ χρόνον, τὸν ὀλίγον παρεδήλου. (ηερς. 595.) Σημείωσαι δὲ ὅτι ὁ εἰς ἐνιαυτὸν ἀνεχόμενος παρά τινι καθῆσθαι καὶ ἀκούειν ὧν λέγει, οὐ μακρὰν τοῦ τῶν Σειρήνων μέλους τὰ ἐκείνου τίθεται. Ὅρα δ' ἐνταῦθα καὶ ὅτι τὸ τῆς Ἑλένης φάρμακον τὸ λαθικηδὲς ὅπερ ἐκείνη τῷ συμποτικῷ κρατῆρι ἐνέβαλεν, ἔδρασέ τι γενναῖον. οὐ γὰρ μόνον ἐφημέριος ὁ Τηλέμαχος ἐθέλει ἀνέχεσθαι ἥμενος καὶ ἀκούων τοῦ Μενελάου καὶ μὴ ἔχων πόθον οἴκου ἢ τοκήων, ἀλλὰ καὶ εἰς ἐνιαυτὸν ὑπισχνεῖται τοιοῦτος εἶναι. (ηερς. 597.) Ἐν δὲ τῷ, μύθοισιν ἔπεσσί τε, οὐ δοκεῖ διαφορά τις εἶναι. ὡς οὐδὲ πρὸ ὀλίγων ἐν τῷ, κέλομαι καὶ ἄνωγα. (ηερς. 598.) Τὸ δὲ ἀνιάζειν ἐκ τοῦ 1.184 ἀνιῶ καθ' ὁμοιότητα τοῦ ἀμφαγαπάζειν καὶ τῶν ὁμοίων. Ὅτι παρακλητικὸν εἰς μεγαλεῖον δώρου, τὸ δῶρον δ' ὅττι κέ μοι δοίης, κειμήλιον ἔστω, τοῦτ' ἔστιν ἀπόθετόν τι. λέγει δὲ τοῦτο Τηλέμαχος, παραιτούμενος τοὺς ἵππους. ὡς καὶ ὁ πατὴρ Ὀδυσσεὺς ἐν Ἰλιάδι παρῃτήσατο τοὺς ἐκ τῆς κατασκοπῆς φασιν ἵππους. οἳ οὐκ ἂν κειμηλιωθήσονται. φησὶ γάρ. ἵππους δ' εἰς Ἰθάκην οὐκ ἄξομαι, ἀλλὰ σοὶ αὐτῷ ἐνθάδε λείψω ἄγαλμα. εἶτα ῥητορικῶς ἐγκωμιάζων μὲν τὴν Λακωνικὴν, κατατρέχων δὲ φιλαλήθως τῆς πατρίδος καὶ οὕτω θεραπεύων τῇ συγκρίσει τὸν Λάκωνα βασιλέα χαίροντα οἷς ἐξαίρεται τὰ τῆς κατ' αὐτὸν γῆς, φησί. σὺ γὰρ πεδίοιο ἀνάσσεις εὐρέος, ᾧ ἐν μὲν λωτὸς πολὺς, ἐν δὲ κύπειρον, πυροί τε. ζειαί τε. ἠδ' εὐρυφυὲς κρῖ λευκόν. ἐν δ' Ἰθάκῃ, οὔτ' ἂρ δρόμοι εὐρέες οὔτε τι λειμών. αἰγίβοτος. καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο. οὐ γάρ τις νήσων ἱππήλατος οὐδ' εὐλείμων, αἴθ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁλὶ κεκλίαται. Ἰθάκη δέ τι καὶ περὶ πασέων. Καὶ σημείωσαι ὅτι τοῦτό ἐστιν οὗ ἕνεκεν ἡ Ἰθάκη λέγεται κραναή. (ηερς. 608.) Ὅρα δ' ἐνταῦθα καὶ τὸ φιλάληθες τοῦ Ἰθακησίου ῥήτορος. οὐ μόνον γὰρ οὐκ ἐξῆρε τὴν Ἰθάκην, ἀλλὰ καὶ ὑπήγαγεν αὐτὴν ἐλαττώσας πρὸς τὰς ἄλλας νήσους. καὶ ὅμως, ἐπήρατον αὐτῷ τὴν αἰγίβοτον Ἰθάκην λέγει μᾶλλον τῆς ἱπποβότου, διότι κοινὸν πρὸς τὰς ἄλλας νήσους τὸ αὐτῆς δυσκλήρημα. δύναται δ' ἐνταῦθα τὸ ἱπποβότου καὶ οὐδετέρου γένους εἶναι. ἵνα λέγῃ ὅτι φίλη μοι Ἰθάκη, μᾶλλον τοῦ σοῦ ἱπποβότου Ἄργους. ἵνα ἐμφήνῃ, ὡς οὐδ' ἂν Ὀδυσσεὺς ὁ φιλόπατρις ἐπείσθη Μενελάῳ ἐκ τῆς Ἰθάκης αὐτὸν εἰς τοιοῦτον Ἄργος μετοικίζειν ἐθέλοντι. (ηερς. 602.) Ὅρα δὲ καὶ ὅτι ἄγαλμα τοὺςἵππους ἔφη κατὰ τὴν πρὸ βραχέων ῥηθεῖσαν ἔννοιαν. (ηερς. 603.) Τὸ δὲ, ἐν μὲν λωτὸς ἐν δὲ κύπειρον, σχῆμα Ὁμήρῳ σύνηθες. ὅμοιον τῷ, ἐν δ' ἵμερος ἐν δ' ὀαριστὺς καὶ τοῖς τοιούτοις. Λωτὸς δὲ, βοτάνη τις καὶ οὐχ' οἷος ὁ τοὺς λωτοφάγους παρονομάζων. καὶ κεῖται ἡ λέξις αὕτη καὶ ἐν Ἰλιάδι. δῆλον δ' ὡς ἱπποτροφοῦντος ἀνδρὸς εἴδησις τὸ, λωτὸν εἶναι τοῖς ἵπποις ἡδὺν καὶ κύπειρον καὶ πυροὺς περὶ ὧν ἐν τῇ Ἰλιάδι ἐῤῥέθη, καὶ ζειὰς τὰς πρὸ ὀλίγων ῥηθείσας, καὶ κρῖ λευκὸν περὶ οὗ καὶ αὐτοῦ ἡ Ἰλιὰς δηλοῖ. ὅπερ ἀποκοπὲν ἐκ τοῦ κρίμνον, ἄλλα τέ τινα παράγει, καὶ τὸν κρίβανον. ὅς ἐστι κριθῶν βαῦνος τουτέστι κάμινος κατὰ Αἴλιον Διονύσιον. ὃς καὶ κλίβανος λέγεται καθ' ὁμοιότητα τοῦ, κεφαλαργία κεφαλαλγία. ὡς δὲ βαῦνος καὶ ἡ ἑστία λέγεται ὅ ἐστι κάμινος ἀφ' ἧς ὡς ἀλλαχοῦ ἐφάνη, καὶ ὁ βάναυσος, ἡ Δωρικὴ ἐν Πελοποννήσῳ γλῶσσα μέχρι καὶ νῦν δηλοῖ. Εὐρυφυὲς δὲ λέγει τὸ κρῖ, παρατηρημένως. ὡς τοιοῦτον ὂν κατὰ τὴν ἔκφυσιν. (ηερς. 605.) Τὸ δὲ δρόμοι εὐρέες, τὸ χρήσιμόν ἐστιν οὗ χάριν ἐμνήσθη ἀνωτέρω τοῦ εὐρέος πεδίου. Λειμὼν δὲ καὶ νῦν, τὸ κοινότερον λεγόμενον λιβάδιον. ὃ θρέψοι ἂν ἵππους καὶ ποιήσοι γῆν ἱππόβοτον. (ηερς. 606.) Τὸ δὲ αἰγίβοτος, ἀσυνδέτως ἔφη. ὡς οἱονεὶ λέγων, ὅτι αἰγίβοτος γάρ ἐστιν. ἡ δὲ τοιαύτη, οὐκ ἔχει λειμῶνας. (ηερς. 608.) Τὸ δὲ νήσων αἳ ἁλὶ κεκλίαται ἤτοι περιέχονται, ἢ πρὸς διαστολὴν εἴρηται χεῤῥονήσων ὧν καὶ ἡ Πελοπόννησος περὶ ἣν ἄρτι ἐστὶν ὁ Τηλέμαχος, αἳ δὴ χεῤῥόνησοι, καὶ ἕτεραί εἰσι τῶν ἀμφιάλων νήσων. ἢ ἅλα νοητέον, τὴν ἐγγὺς τῆς Ἰθάκης. ἵνα λέγῃ, ὡς οὐδεμία νῆσος ἱππήλατος ἐκ τῶν περὶ τὴν καθ' ἡμᾶς θάλασσαν. εἰ δὲ καὶ ὡς ἴδιον πάσης νήσου τοῦτο εἶπεν, οὐ δὲ τοῦτο καινόν. ἴσως δὲ καὶ πρὸς διαστολὴν τῶν μὴ θαλασσίων. πολλαχοῦ γὰρ εἰσὶ καὶ ποτάμιοι νῆσοι. (ηερς. 609.) Ὅτι τοῦ Τηλεμάχου γοργῶς ἤδη καὶ ποικίλως καὶ ἀμφιδεξιῶς λαλήσαντος κατὰ λόγον γλυκύτητος, ὁ Μενέλαος τὸ ἀστεῖον τῆς ῥητορείας ἀποδεξάμενος, ἐμείδησέ τε ὡς εἰκὸς, καὶ χειρὶ καταρέξας, φησίν. αἵματος εἶς ἀγαθοῖο φίλον τέκος. οἷ' ἀγορεύεις. εἶτα καὶ ὑπισχνούμενος ἄλλα δῶρα δοῦναι, φησί. τοιγὰρ, ἐγώ τοι ταῦτα μεταστήσω. δύναμαι γάρ. ὡς τοῦ δυναμένου, ἐκείνου καὶ δωρουμένου. πένης γὰρ οὐκ ἂν εἴη μεγαλόδωρος. δώρων δ' ὅσσ' ἐν ἐμῷ φησὶν οἴκῳ κειμήλια κεῖται, δώσω ὃ κάλλιστον καὶ τιμιέστατόν ἐστι. δώσω τοι κρητῆρα τετυγμένον. ἀργύρεος δέ ἐστιν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται. ὃ καὶ ὁ τῆς Ἑλένης ὑπόκυκλος τάλαρος εἶχεν. ἔργον δ' Ἡφαίστοιο. πόρεν δέ ἑ, φαίδιμος ἥρως Σιδονίων βασιλεὺς ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν, ἤγουν περιέσχε καὶ ἐσκέπασέ με. ὃ ταυτόν ἐστι τῷ, ὅτε εἰς τὸν ἐκείνου δόμον εἰσῆλθον. Καὶ ὅρα ὡς πληροῖ ἐν τούτοις ὁ Μενέλαος τὴν αἴτησιν τοῦ Τηλεμάχου. εἰπόντος. δῶρον δὲ ὃ ἄν μοι δοίης, κειμήλιον ἔστω. (ηερς. 610.) Τὸ δὲ κατέρεξε τί ποτε δηλοῖ. καὶ ὅτι τὸ, αἵματος ἀγαθοῦ, ἀντὶ τοῦ, σπέρματος κεῖται, ἡ Ἰλιὰς ἐδήλωσε. (ηερς. 612.) Τὸ δὲ μεταστήσω, ἀντὶ τοῦ, μεταλλάξω. μετασταθμήσω. ἢ ἀνταλλάξω. ἀντιδώσω. ἐκ μεταφορᾶς τῶν διὰ σταθμοῦ ἀντικαταλλασ 1.185 σόντων. (ηερς. 613.) Τὸ δὲ δῶρον δὲ ὅσα, δύναται διχῶς γράφεσθαι. ἢ γὰρ δώσω δῶρον, ἢ δώσω τῶν δώρων τὸ τιμιώτατον. (ηερς. 614.) Τὸ δὲ κειμήλια κεῖται, τρόπος ἐτυμολογίας ἐστί. Τὸ δὲ κάλλιστον καὶ τιμηέστατον, ἀρετὴν ὑπογράφει δωρεᾶς. ὡς γὰρ θεῷ κειμήλια καὶ θύματα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τελήεστατα, οὕτω καὶ φίλοις τὰ κάλλιστα δοτέον καὶ τιμηέστατα. (ῃερς. 615.) Τὸ δὲ κρατῆρα τετυγμένον, ἀντὶ τοῦ εὖ καὶ ἐπιτυχῶς κατεσκευασμένον. (ῃερς. 617.) Τὸ δὲ ἔργον δ' Ἡφαίστοιο, πρὸς ὑπερβολὴν εἴρηται, κατὰ τὸν γεωγράφον εἰπεῖν. ὥσπερ λέγεται καὶ Ἀθηνᾶς ἔργα, τὰ καλά. (ῃερς. 618.) Τὸ δὲ φαίδιμος ἥρως, ἄδηλον κατὰ τοὺς παλαιοὺς εἴπερ κύριόν ἐστιν ὄνομα. τινὲς δὲ, Σώβαλον αὐτὸν, ἕτεροι δὲ, Σέθλων ἱστόρησαν. ὅτι δὲ πλούσιοι καὶ οἱ Σιδόνιοι, ἡ ἱστορία λέγει. ὅτι δὲ καὶ καλλίτεχνοι κατὰ τὸν γεωγράφον, δηλοῖ καὶ ὁ ἐν Ἰλιάδι κρατὴρ τοῦ Εὔνεω. Ἐν τούτοις δὲ σημειοῦνται οἱ παλαιοὶ ὡς ὁ Μενέλαος μὲν καίτοι καλὴν πρόφασιν εὑρὼν, ὅμως οὐκ ἐθέλει τὴν τοῦ φιλτάτου Ὀδυσσέως γυναῖκα δι' ἐπικουρίας περισώσασθαι ἐφ' ὁμοίοις εὐεργετηθεὶς, ἐπεὶ οὐδὲ ἐδεήθη κατὰ τῶν μνηστήρων ὁ Τηλέμαχος. δεῖ δὲ φίλοις συντελεῖν, εἰς ἃ βούλονται. Τηλέμαχος μέντοι οὐ προκαλεῖται τὸν Μενέλαον βοηθεῖν ὥσπερ οὐδὲ τὸν Νέστορα, ἐπεὶ ἔχει μαθὼν ἄρτι τὴν τοῦ Ὀδυσσέως ζωήν. πεπληροφόρηται δὲ ἤδη πρὸ τούτων, καὶ ὡς οὐκ ἐπὶ πολὺ ἀπέσται Ὀδυσσεὺς οὐδ' εἴπερ αὐτὸν σιδήρεα δέσματ' ἔχησιν. ὥστε τὸ πᾶν εἰπεῖν, οὔτε ζητεῖ ἐπικουρίαν, οὔτε βοηθεῖται. ἀλλ' εἰς μόνον ἐπαρκεῖται ὅπερ ἠθέλησεν. (ῃερς. 621. σθθ.) Ὅτι ἀφεὶς τὸν Τηλέμαχον ὁ ποιητὴς ἐν Σπάρτῃ, ἀπασχολεῖ τὸν λόγον εἰς τοὺς μνηστῆρας, καὶ φησί. δαιτυμόνες δ' ἀνὰ δώματα ἴσαν θείου βασιλῆος. οἵδ' ἦγον μὲν μῆλα. φέρον δ' εὐήνορα οἶνον. σῖτον δέ σφ' ἄλοχοι καλλικρήδεμνοι ἔπεμπον. καὶ τὰ μὲν ἔσω, οὕτως εἶχον. μνηστῆρες δὲ πάροιθεν οἴκου, δίσκοισι τέρποντο καὶ αἰγανέῃσιν ἱέντες ἐν τυκτῷ δαπέδῳ ὅθι περ πάρος ὕβριν ἔχεσκον. Ἀντίνοος δὲ καθῆστο καὶ Εὐρύμαχος θεοειδὴς, ἀρχοὶ μνηστήρων. ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι. εἶτα λέγει καὶ ὅτι ὁ τῆς κατὰ Τηλέμαχον νεὼς ναύκληρος Νοήμων ὁ τοῦ Φρονίου ἐγγύθεν ἐλθὼν, εἴρετο τὸν Ἀντίνοον ὁππότε Τηλέμαχος νεῖται ἐκ Πύλου νῆα ἄγων. εἰπὼν, καὶ ὅτι χρεώ μοι γίνεται αὐτῆς εἰς Ἤλιδα διαβῆναι. ἔνθά μοι φησὶν ἵπποι δώδεκα θήλειαι. ὑπὸ δ' ἡμίονοι ταλαεργοὶ ἀδμῆτες. τῶν κέν τιν' ἐλασσάμενος δασαίμην. καὶ οὕτω μὲν ὁ Νοήμων. οἱ δὲ μνηστῆρες, ἀνὰ θυμὸν ἐθάμβεον, οὐ γὰρ ἔφαντο ἐς Πύλον οἴχεσθαι, ἀλλά που ἀγρῶν, ἢ μήλοισι παρέμμεναι ἠὲ συβώτῃ. τῷ εὐνουστάτῳ δηλαδὴ Εὐμαίῳ. τῶν γὰρ τοῖς μήλοις ἐπιστατούντων, οὐκ ἀξιοῖ ὀνομάσαί τινα νῦν ὁ ποιητής. ὧν εἷς φανεῖται καὶ ὁ κακόνους Μελάνθιος. (ῃερς. 621.) Ἰστέον δὲ ὅτι δαιτυμόνες ἐνταῦθα κατὰ παλαιὰν παρασημείωσιν, οὐχ' οἱ φίλοι, ἀλλ' οἱ τὴν δαῖτα ἑτοιμάζοντες. οὗτοι γὰρ πάντως τά τε μῆλα ἦγον καὶ τὸν οἶνον ἔφερον. οἱ γὰρ μνηστῆρες, ἔπαιζον. Ὅρα δὲ καὶ ὅτι αὐτὴ ἡ Ὁμηρικὴ Μοῦσα, θεῖον βασιλέα τὸν Ὀδυσσέα φησίν. ὃν πρὸ τούτων, θεῖον Ὀδυσσέα ἔφη. καὶ ὅτι φανερὰ ἐνταῦθα διαφορὰ τοῦ ἄγειν καὶ τοῦ φέρειν ἐν τῷ, ἦγον μὲν μῆλα ὅ ἐστι θρέμματα. ἔφερον δὲ οἶνον. ὡς τοῦ ἄγειν μὲν καθὰ καὶ ἡ Ἰλιὰς ἐδήλωσεν, ἐπὶ ἐμψύχων τὰ πολλὰ λεγομένου. τοῦ δὲ φέρειν, ἐπὶ ἀψύχων. ὅτι δέ ποτε καὶ ταυτίζονται τὸ φέρειν καὶ τὸ ἄγειν, καὶ ἐξ ἄλλων μὲν δῆλον. οὐχ' ἥκιστα δὲ, ἐπὶ κυκλοτερῶν σχημάτων. ἐφ' ὧν λέγεται τὸ περιφερὲς καὶ τὸ περιηγμένον. καὶ ἡ περιφέρεια καὶ ἡ περιαγωγή. οὕτω καὶ περιηγὲς ἄγκιστρον, ὃ περιάγεται, ταυτόν δ' εἰπεῖν, περιφέρεται. (ῃερς. 622.) Τὸν δὲ οἶνον εὐήνορα λέγει τουτέστιν ἀνδρίας περιποιητικὸν, εἰ πίνοιτο συμμέτρως. ὁ γὰρ ἄμετρος καὶ οὐδὲ ἐν καιρῷ προσφερόμενος, ἀπογυῶσαι τὲ ἔχει, καὶ ἀνήνορα θέσθαι. καὶ μένεος καὶ ἀλκῆς λαχέσθαι ποιεῖ ὡς ἡ Ἰλιὰς δηλοῖ. ὡς δὲ καὶ χαλκοῦ ἤτοι σιδήρου ἐπίθετον ὁ εὐήνωρ, δηλοῦται ἀλλαχοῦ. (ῃερς. 623.) Ἀλόχους δὲ, τὰς τοῦ Ὀδυσσέως λέγει δμωάς. ὡς τοῖς μνηστῆρσιν εἰς ταυτὸν λέχος ἰούσας. παραχρώμενος τῇ λέξει. ὅτι δὲ μάχλοι αἱ τοιαῦται δουλίδες, ἐν τοῖς ἑξῆς δηλωθήσεται. (ῃερς. 626.) Ὁ δὲ δίσκος, ἐκ λίθου φασὶν ἦν, καί ποτε καὶ σιδήρεος, ἱμάντι περὶ τὸ μέσον ἐνειρμένῳ, στρεφόμενος καὶ ἀφιέμενος. Ἡ δὲ αἰγανέα, εἶδος ἀκοντίου ἐπιτηδείου εἰς αἰγῶν θήραν. καὶ γίνεται παρὰ τὸ ἵεσθαι κατὰ αἰγῶν. ἢ καὶ παρὰ τὸ ἄγαν ἵεσθαι. οἱ δὲ παλαιοὶ, φασὶ καὶ ὅτι αἰγανέα γρόσχος. μικρὸν ἀκόντιον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ζητητέον μή ποτε ἔσφαλται τὸ γρόσχος. γρόσφος γὰρ μάλιστα εὕρηται διὰ τοῦ ¯φ. εἰ μὴ ἄρα μηχανικὴ μὲν λέξις ὁ γρόσφος. ὁ δὲ γρόσχος, ἀκόντιον. Τὸ δὲ ἱέντες, καιρίως εἴρηται. ἵενται γὰρ καὶ οἱ δίσκοι καὶ αἱ αἰγανέαι, ὥσπερ καὶ οἱ ὀϊστοί. διὸ καὶ ἰοὶ λέγονται. (ῃερς. 627.) Τυκτὸν δὲ δάπεδον, ἢ τὸ εὔτυκτον 1.186 καθ' ὁμοιότητα τοῦ, κρητῆρα τετυγμένον. ἢ τὸ μὴ φύσει τοιοῦτον, ἀλλὰ σκευασθὲν εἰς γυμνάσιον. οὐδὲ γὰρ οὐδ' οἱ σπάταλοι μνηστῆρες ἀνέχονται μὴ γυμνάζεσθαι. Δάπεδον δὲ τί τέ ἐστι καὶ πόθεν γίνεται, ἡ Ἰλιὰς παριστᾷ. Τὸ δὲ ὕβριν ἔχοντες, παιδευτικῶς ἐῤῥέθη. ἐπειδὴ τῶν ὑβριστῶν καὶ τὰ γυμνάσια, οὐ σπουδαῖα. ὕβρις δὲ ἄντικρυς. οὔκουν σπουδαῖοι αὐτόχρημα οἱ μνηστῆρες οὕτω γυμναζόμενοι, ἀλλὰ ἔμφασιν μόνην ἐσκίαζον τοῦ πρὸς ἀνδρίαν ἡρωϊκὴν γυμνάζεσθαι. (ῃερς. 629.) Ἀρχοὶ δὲ μνηστήρων Εὐρύμαχος καὶ Ἀντίνοος, κατὰ ἀνδρίας πρόσχημα. τοῦτο γὰρ δηλοῖ τὸ, ἀρετῇ ἄριστοι. διὸ καὶ εἷς αὐτῶν ὁ Ἀντίνοος, ναυαρχήσει μετ' ὀλίγα κατὰ τοῦ Τηλεμάχου. φασὶ δ' ἐνταῦθα οἱ παλαιοὶ, ὡς οὐδὲ οἱ κάκιστοι θέλουσιν ἄναρχοι διάγειν. αἱρήσονται δὲ οἱ μὲν ἀγαθοὶ, ἀγαθόν. οἱ δὲ φαῦλοι, τὸν φαυλότερον. Περὶ δὲ Ἤλιδος καὶ ἡ Βοιωτία ἱστορεῖ. Τὸ δὲ ταλαεργὸν, ἰδίως ἡμιόνοις ἀποκεκλήρωται. (ῃερς. 637.) Ὅρα δὲ τὸ ἀδμῆτες. οὗ εὐθεῖα ἐστὶν, οὐκ ἀδμήτη, ὡς πρὸ τούτων ἐλέχθη, βοῦν ἀδμήτην. ἀλλὰ ἀδμὴς ἀδμῆτος. οὗ συνήθως ἀναδραμόντος εἰς εὐθεῖαν, γίνεται ἄδμητος ἀρσενικόν. ὅθεν καὶ τὸ κύριον, ἐκεῖθεν δὲ ἀναλόγως ἡ ἀδμήτη. Τὸ δὲ ἐλασσάμενος, λέγεται μὲν καὶ ἐλάσας. οὐ δηλοῖ δὲ ὁποῖόν τι τὸ, οὐ γάρ ποτ' ἐμὰς βοῦς ἤλασσαν. ἀλλὰ τὸ ἀπελάσαι καὶ χωρίσαι τῶν μητέρων. ἢ ἁπλῶς τῶν συννόμων. τοιοῦτόν τι καὶ τὸ, ἐλάσει δὲ βοῶν ἐπιβουκόλος ἀνήρ. Τὸ δὲ ἀδμῆτες καὶ τὸ δαμασαίμην, ἐτυμολογικῶς ἐῤῥέθη. ἐκ τούτου δὲ τοῦ δαμάζειν, καὶ ὁ πωλοδάμνης. (ῃερς. 642.) Ὅτι ὁ ἀπορῶν ἐπὶ λαθραίᾳ τινὸς ὁδῷ, ἐρωτήσοι ἄν τινα, οὕτω νημερτές μοι ἔνισπε πότ' ᾤχετο. καὶ τίνες αὐτῷ κοῦροι ἕποντο ἐξαίρετοι. ἢ ἑοὶ αὐτοῦ, θῆτές τε δμῷές τε. δύναιτό γε καὶ τὸ, τελέσσαι. θαυμαστικὸν δὲ τοῦτο μετὰ βαρύτητος. οἰκεῖον ὂν λέγεσθαι ὅτε τις μέγά τι ἔργον παραδόξως ἀνύσει. (ῃερς. 643.) Ἰστέον δὲ ὅτι ἐνταῦθα κούρους Ἰθάκης ἐξαιρέτους ὁ Ὁμηρικὸς Ἀντίνοος λέγει, τοὺς ἐτῶν ἄλλων αἱρεθέντας, ὅ ἐστιν ἐπικριθέντας, οἳ καὶ ἔξαιτοι λέγονται κατὰ συγκοπήν. οἷον, ἐξαίτους ἐρέτας. οὓς καὶ ἑταίρους φθάσας εἶπεν ὁ ποιητής. καὶ σκοπητέον, μή ποτε ἐκ τοῦ αἱρετὸς ὅθεν ὁ ἐξαίρετος, γίνεται ὁ ἑταῖρος κατὰ στοιχείων μετάθεσιν ὁποία τις καὶ πρὸ τούτων ἐῤῥέθη. διὸ καὶ δασύνεται ἡ ἄρχουσα κατὰ ἀναδρομὴν τῆς δασείας πολλαχοῦ γινομένην. Ἰστέον δὲ καὶ ὅτι ἑρμηνεύων ὁ ποιητὴς τὸ, κοῦροι ἐξαίρετοι, φησὶν ὑποκατιών. κοῦροι οἳ κατὰ δῆμον ἀριστεύουσι. καὶ, κρίνας ἀνὰ δῆμον ἀρίστους. (ῃερς. 646.) Ὅτι σχῆμα καινὸν τὸ, ἤ σε βίῃ ἀέκοντος ἀπηύρα ἤτοι ἀφείλετο νῆα μέλαιναν, ἀντὶ τοῦ ἀέκοντα. αἴτιον δὲ τῆς καινότητος, ὅτι πλαγιασμὸς οὐκ οἶδε σολοικίζειν. δύναται δὲ ὁ τοιοῦτος λόγος ἐντελῶς ῥηθῆναι μετὰ τῶν ἐφεξῆς αὐτοῦ κατ' ἐρώτησιν, πρὸς τὸν ἐπιβαρῶς χαρισάμενόν τινι. οἷον. ἤ σε βίῃ ἀέκοντες ἀπήυρα τό δέ τι, ἢ ἑκὼν οἱ δῶκας ἐπεὶ προσπτύξατο μύθῳ; ὁ δὲ δούς τι μέγα πρὸς χάριν ἀνδρὶ μεγάλῳ, εἴποι ἂν τὸ, αὐτὸς ἑκών οἱ δῶκα. τί κεν ῥέξειε καὶ ἄλλος ὁππότ' ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῷ, αἰτίζει. χαλεπόν κεν ἀνήνασθαι δόσιν εἴη. ὥσπερ δυσχερὲς ἦν καὶ τῷ Ἰθακησίῳ Νοήμονι μὴ ὑπακοῦσαι τῷ τοῦ βασιλέως υἱῷ Τηλεμάχῳ αἰτοῦντι νῆα. καὶ ἔστιν ἐντρεπτικὸς ὁ λόγος πρὸς τοὺς βιαίους μνηστῆρας. (ῃερς. 647.) Ὅρα δὲ τὸ, προσπτύξατο μύθῳ. ἀντὶ τοῦ, ὡμίλησε τὰ πρὸς πειθώ. τὸ μέντοι πρὸ τούτων ῥηθέν που ὑπὸ τοῦ Τηλεμάχου, ποτιπτυσσοίμεθα μύθῳ, ἐριστικὴν καὶ οὐ φιλικὴν ἐδήλου πρόσπτυξιν. (ῃερς. 650.) Τὸ δὲ ἀνὴρ τοιοῦτος, ἐν μιᾷ λέξει μέγαν ἔπαινον ὑπεμφαίνει. δηλοῖ γὰρ, ὅτι βασιλέως υἱός. καὶ βασιλέως, ἀγαθοῦ. ἀγαθὸς καὶ αὐτός. καὶ ἀδικούμενος. καὶ οὐδὲ ζητήσας τι βαρὺ οὐδὲ ἄδικον. Μελεδήματα δὲ, αἱ φροντίδες καὶ αἱ λύπαι, παρὰ τὸ τὰ μέλη ἔδειν. ὅθεν καὶ αἱ μελεδῶνες. (ῃερς. 651.) Τὸ δὲ χαλεπὸν, ἀκριβῶς κεῖται. λυτικὸν ὂν τῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπορίας. οὐ γὰρ ἀδύνατον ἦν ἀπειθῆσαι τῷ Τηλεμάχῳ, ἀλλὰ μόνον χαλεπόν. (ηερς. 658.) Ὅτι ἐκπλήττει ὥσπερ τοὺς ἄλλους, οὕτω καὶ τὸν Ἀντίνοον, τὸ, ἐκ τόσσων ἀέκητι νέον ὄντα παῖδα τὸν Τηλέμαχον, οἴχεσθαι νῆα ἐρυσάμενον κρίναντά τε ἀνὰ δῆμον ἀρίστους. διὸ καὶ ἄχνυται, καὶ μένεος αὐτῷ φρένες ἀμφιμέλαιναι πίμπλανται. καὶ οἱ ὀφθαλμοὶ πυρὶ λάμπονται. (ηερς. 663.) Καὶ σχετλιάζων φησὶν ἄλλά τε καὶ, ὢ πόποι. ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη Τηλεμάχῳ ὁδὸς ἥδε. (ηερς. 664.) Φάμεν δὲ οἱ οὐ τελέεσθαι, ὅτε δηλαδὴ ἐλέγομεν μυκτηρίζοντες, τούτῳ δ' ὀτρυνέει Μέντωρ ὁδὸν ἠδ' Ἁλιθέρσης. (ηερς. 666.) Λέγει δὲ ὁ Ἀντίνοος καὶ ὅτι, ἄρξει καὶ προτέρω κακὸν ἔμμεναι. (ηερς. 667.) Εἶτα καὶ ἐπαρᾶται, εἰπών. ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσειε βίην πρὶν ἡμῖν πῆμα φυτεῦσαι 1.187 (ηερς. 668.) Ἐνήχθη δὲ εἰς τοῦτο Ἀντίνοος, πτοηθεὶς ἐξ ὧν φθάσας ὁ Νοήμων εἶπεν. ὡς ἀρχὸς ἔβη τῷ Τηλεμάχῳ τῆς νηὸς, Μέντωρ ἢ θεός. καὶ τὰ ἑξῆς. διὸ καὶ κατεύχεται τοῦ Τηλεμάχου ὡς ἐῤῥέθη, ὅ τις εὔξεται κατὰ ἐχθροῦ, παρῳδήσας τὸ Ζεὺς εἰς τὸ θεός. (ηερς. 669.) Καὶ ἐπὶ τούτοις, ζητεῖ καὶ αὐτὸς νῆα θοὴν καὶ εἴκοσιν ἑταίρους ὥς τε λοχήσασθαι καὶ φυλάξειν ἐν πορθμῷ Ἰθάκης τε Σαμοιό τε παιπαλοέσσης. ὡς ἂν φησιν ἐπισμυγερῶς ναυτίλλεται εἵνεκα πατρός. καὶ οὕτω μὲν ὁ Ἀντίνοος. θαῤῥῶν ὡς μετὰ εἴκοσιν ἐνόπλων, τοσούτων ἀόπλων τῶν μετὰ Τηλεμάχου περιγενήσεται. οἵ δ' ἄρα πάντες ἐπῄνεον ἠδὲ κέλευον. τί δὲ ἐκέλευον οὐ λέγει ὁ ποιητὴς, ὡς αὐτόθεν δῆλον ὄν. (ηερς. 673.) Ἰστέον δὲ ὅτι ἐπίτηδες πλάττει τοὺς μνηστῆρας ἐλλοχῶντας ὁ ποιητής, διά τε τὸ ἐναγωνιώτερον τῆς ποιήσεως καὶ μὴ ὕπτιον, καὶ εἰς εὐπορίαν γραφῆς ἤγουν πλατυσμὸν ποιήσεως. ἐπανελεύσεται μέντοι ἀκίνδυνος ὁ Τηλέμαχος, καὶ εἰς κενὸν οἱ μνηστῆρες πλευσοῦνται, διά τε τὸ πιθανόν. οὐ γὰρ ἦν τοὺς ἀμφὶ Τηλέμαχον ἀόπλους, ὡπλισαμένοις τοῖς μνηστῆρσιν ἀντιτάξασθαι. καὶ ὅτι τὰ τῆς μάχης ὁ ποιητὴς ἐν ὑστέρῳ ταμιεύεται. ἀναίσχυντος δέ φασιν ἐν τούτοις ὁ Ἀντίνοος, σχετλιάζων ὡς δεινὰ παθὼν εἰ Τηλέμαχος ἀπεδήμησεν. οὐδενὶ ἔχων φασὶν ἐγκαλεῖν ἢ τῇ ἑαυτοῦ ῥαθυμίᾳ. (ηερς. 667.) Τὸ δὲ ἄρξει καὶ προτέρω κακὸν εἶναι, ἀντὶ τοῦ ἀρχὴν ἀπὸ τοῦ νῦν ποιήσει εἰς τὸ καὶ προσωτέρω καὶ ἐπὶ τὰ ἑξῆς κακῶσαι ἡμᾶς. (ηερς. 671.) Ὁ δὲ ῥηθεὶς πορθμὸς, τοπογραφικῶς ἐδηλώθη. κείμενος μεταξὺ Ἰθάκης καὶ τῆς περὶ τὴν Κεφαλληνίαν Σάμου τῆς καὶ Σάμης. περὶ ἧς πολλαχοῦ δηλοῦται. (ηερς. 671.) Ὅτι δὲ περὶ Ἀστερίαν νῆσον ὁ λόχος γέγονε, δηλωθήσεται ἐν τοῖς ἑξῆς. Περὶ δὲ τοῦ σμυγερῶς, προγέγραπται. Πολλαχοῦ δὲ δηλοῦται καὶ ὁ πορθμὸς, στενὴ θάλασσα εἶναι μεταξὺ δύω γεῶν. ἀνάπαλιν πάντως τῷ ἰσθμῷ ὃς δύο μεσιτεύει θαλάσσαις. (ηερς. 678.) Ὅτι τὸ ἀπευθὴς ἤτοι μηδὲν μαθὼν ὃ πρὸ τούτων ἐῤῥέθη, ἄπυστος ἐνταῦθα φησίν. εἰπών. οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν ἄπυστος μύθων οὓς μνηστῆρες ἐνὶ φρεσὶ βυσσοδόμευον. Καὶ ὅρα ὅτι διττὸν καὶ τὸ ἄπυστος καθὰ καὶ τὸ ἀπευθὴς. καὶ νῦν μὲν, ὅμοιόν ἐστι πρὸς τὸ, ὧς ἦλθον φίλε τέκνον ἀπευθής. ἐν δὲ τῷ, οἴχετ' ἄϊστος ἄπυστος, ἶσον δύναται τῷ, κείνου δὲ καὶ ὄλεθρος ἀπευθής. Τὸ δὲ οὐδ' ἄρα ὁ δεῖνα πολὺν χρόνον ἦεν ἄπυστος μύθων οὓς οἱ δεῖνα ἐνὶ φρεσὶ βυσσοδόμευον, μυστηρίου φράζειν φανέρωσιν. ἔστι δὲ τὸ βυσσοδομεύειν καθὰ καὶ τὸ μῆτιν ὑφαίνειν, οἷον, οἵδ' ἔνδοθι μῆτιν ὕφαινον, καὶ τὸ πῆμα φυτεύειν οἷον πρὶν ἡμῖν πῆμα φυτεῦσαι, τολμηρά. καὶ ἐγγὺς κακοζήλων διὰ τὸ μεμονῶσθαι καὶ μὴ ἔχειν καί τινας ἑτέρας λέξεις συστοίχους συγκροτούσας τὴν τροπήν. γοργότητα μέντοι ἄλλως ἔχουσι καὶ ποιητικὸν ὄγκον. Ἰστέον δὲ καὶ ὅτι οἰκεῖον τὸ βυσσοδομεύειν, ταῖς ἐπικεκρυμμέναις βουλαῖς. ῥηθὲν παρά τε τὸν βυσσὸν, ἐπεὶ καὶ πορφύρειν λέγεται τὸ ἐν βάθει διαλογίζεσθαι, καὶ παρὰ τὸ δομεύειν, ὃ ἔχοι ἂν ὁμοιότητα πρὸς τὸ ὑφαίνειν, ἐπεὶ καὶ ἄμφω στοιβή τινα ἔχουσι τὸ μὲν, νημάτων. τὸ δὲ, ὕλης ἑτέρας ἑξῆς οἱ δόμοι. Δῆλον δὲ ὅτι καθὰ ἐκ θαλάσσης τέτραπται τὸ βυσσοδομεύειν καὶ τὸ πορφύρειν, οὕτω καὶ τὸ καλχαίνειν ὡς καὶ προείρηται. καὶ ὅτι ἐκ τοῦ βυσσοδομέειν κατ' ἐπένθεσιν τοῦ ¯υ γέγονε τὸ βυσσοδομεύειν πρὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρησιμότητα μέτρου ἡρωϊκοῦ. ὁμοίως τῷ ἡνιοχεύειν καὶ ἀμφιπολεύειν καὶ τοῖς τοιούτοις. (ῃερς. 677.) Ὅτι κήρυξ ὁ Μέδων αὐλῆς ἐκτὸς ὢν καὶ ἀκούσας τῶν μνηστήρων βουλευομένων κατὰ Τηλεμάχου, ἤγγειλε τὸ κακὸν τῇ Πηνελόπῃ. ὅμοιον δέ τι καὶ ἐν τοῖς ἑξῆς που ποιήσει. πάνυ γὰρ εὔνους ὁ ἀνὴρ τῷ τοῦ Ὀδυσσέως οἴκῳ. διὸ καὶ περισωθήσεται. Καὶ ὅρα ὡς οὐκ ἀδύνατον καθὰ ἐν πολλοῖς ἀγαθοῖς εὑρίσκεσθαι καί τινα μὴ τοιοῦτον, οὕτω καὶ ἐν ὁμίλῳ κακῶν ἀνδρῶν, παρεμεμίχθαι καὶ ἀγαθούς. ὁποῖοι καὶ ἐν Ὀδυσσείᾳ τῷ βασιλικῷ οἴκῳ, Εὐρύκλεια. Εὐρυμέδων. Μέντωρ. καὶ ἕτεροι. οὐ γὰρ μόνον κατὰ τὴν τραγῳδίαν ἐν χορείαις οὖσα σώφρων οὐκ αἰσχύνεται, ἀλλὰ καὶ ἀνὴρ σώφρων φαύλοις συνὼν κατά τι ἀναγκαῖον, οὐκ ἂν αἰσχρὸς εἴη. (ῃερς. 680.) Ὅτι τὸ κατ' οὐδοῦ βῆναι, ἀντὶ τοῦ, τῇ θύρᾳ ἐγγίσαι. ἢ καὶ εἰσελθεῖν. λέγεται δὲ καὶ ὁδὸς ἀρσενικῶς, ὁ οὐδός. ὥς που καὶ ἐν Ἰλιάδι ἐῤῥέθη. (ῃερς. 682.) Ὅτι πρόκλησις εἰς τρυφὴν τὸ, εἰπέμεναι ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι. ἔργα δὲ καὶ ἐνταῦθα, τὰ γυναικεῖα φησίν. ὡς καὶ ἐν τῷ, τὰ σαυτῆς ἔργα κόμιζε. Καὶ ὅρα ὡς τὸ δαῖτα πένεσθαι, οὐκ εἰς λόγον ἔργου τίθεται. (ῃερς. 684.) Ὅτι ἐνδιάθετος ἀρὰ ἡ τῆς Πηνελόπης κατὰ τῶν μνηστήρων τὸ, μὴ μνηστεύσαντες, μὴ δ' ἄλλοθ' ὁμιλήσαντες, ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν. τινές δ' ἐνταῦθα δύο τελείας ἐννοίας ἐνόησαν. μίαν μὲν ἐλλειπτικὴν, ἐν τῷ πρώτῳ στοίχῳ. 1.188 ἵνα λέγῃ, μὴ μνηστεύσαντες εἶεν, καὶ ἑξῆς. ἑτέραν δὲ τὸ, ὕστατα δειπνήσειαν. καὶ ἔστι φασὶν ἡ τοῦ πρώτου στίχου ἔλλειψις, συγκεχυμένης καὶ ἀγωνιώσης ψυχῆς. Τὸ δὲ ὁμιλήσαντες, ἀντὶ τοῦ ὅμιλον ποιήσαντες. ὡς τὸ, τίς δαίς. τίς ὅμιλος. (ῃερς. 685.) Τὸ δὲ ὕστατα καὶ πύματα, λέξεις εἰσὶν ἰσοδύναμοι. ἵνα λέγῃ τῇ ἐκ παραλλήλου θέσει, ὡς πάνυ ἔσχατα δειπνήσαιεν. καὶ ὡς εἰπεῖν, ἔσχατα ἐσχάτων. Τὸ δὲ ἐνθάδε, ἐπιεικῶς ἐῤῥέθη ὡς μὴ ἁπλῶς ἐπαρωμένης τῆς Πηνελόπης ἔσχατον τοῦτο δεῖπνον τοῖς μνηστῆρσιν εἰ καὶ ἄλλοθι δειπνεῖν ἐθέλουσιν. ἐφεξῆς δὲ, κεῖται ἄλλο σχῆμα ἐνδιαθέτου λόγου κατὰ ὀργὴν τὸ, οἳ θάμ' ἀγειρόμενοι, βίοτον κατακείρετε πολύν. οὐδέτι ἀκούετε καὶ τὰ ἑξῆς. οὐκέτι γὰρ πρὸς τὸν Μέδοντα ὁ λόγος, ἀλλ' ὡς πρὸς παρόντας καὶ ἀκούοντας καὶ αὐτοὺς δὴ τοὺς μνηστῆρας, τὰ τοιαῦτα φησὶ σχετλιάζουσα, ἤγουν τὸ κείρετε καὶ τὸ ἀκούετε. ἐν τούτοις δὲ, καὶ τὸν ἄνδρα ὡς ἀγαθὸν βασιλέα ἐπαινεῖ. (ῃερς. 687.) Ὅτι ὀνειδισμὸς πρὸς ἄνδρας ἀπροσεκτοῦντας τῇ τῶν παλαιῶν πράξεων μαθήσει τὸ, οὐδέ τι πατέρων ἡμετέρων τὸ πρόσθεν ἀκούετε παῖδες ἐόντες, οἷος ὁ δεῖνα ἦν. Ἰστέον δὲ ὅτι ὥσπερ θυγατέρων θυγατρῶν, ὡς τὸ Πριάμοιο θυγατρῶν, οὕτω καὶ πατέρων πατρῶν. ὃ καὶ μετὰ ταῦτα κεῖται ἐν τῷ ἐξ ἔτι πατρῶν. (ῃερς. 689.) Ὅτι ἔπαινος βασιλέως καὶ ἀγαθοῦ δὲ ἁπλῶς ἀνδρὸς, τὸ, οἷος ὁ δεῖνα ἔσκεν, οὔτέ τινα ῥέξας ἐξαίσιον, οὔτέ τι εἰπὼν ἐν δήμῳ. ἥ τ' ἐστὶ δίκη θείων βασιλήων. ποία δὲ ἡ τοιαύτη δίκη; ἄλλον κ' ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη. κεῖνος δ' οὔποτε πάμπαν ἀτάσθαλον ἄνδρα ἐώργει. περὶ Ὀδυσσέως δὲ ταῦτα. ὃν ἄλλως φθάσας ἐπήνησε πάνυ γοργῶς κατὰ ὁμοίαν ἔννοιαν, ἐν τῷ, πατὴρ δ' ὣς ἤπιος ἦεν. εἴη δὲ ἂν οὕτως ἤπιος ὁ μή τινα βλάψας ἢ ἔργοις ἢ λόγοις. (ῃερς. 690.) Ἐξαίσιον δὲ, τὸ ἔξω τοῦ αἰσίου ὡς καὶ ἐν Ἰλιάδι κεῖται. οὕτω δὲ καὶ ἔκδικον παρὰ τοῖς παλαιοῖς, τὸ ἔξω τοῦ δικαίου, τὸ μέντοι μὴ τοιοῦτον, ἔνδικον λέγεται καὶ ἐναίσιμον. οὕτω καὶ ἔκτιμον παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ, τὸ ἔξω τιμῆς. ἑτεροῖον ὂν παρὰ τὸ ἔντιμον. ὅτι δὲ τὸ ἐκ τούτου ῥῆμα τὸ ἐκτιμᾶσθαι, τιμῆς ἐπίτασιν δηλοῖ, ὁ αὐτὸς ἐν ἄλλοις ἐκφαίνει. (ῃερς. 691.) Τὸ δὲ ἥτις ἐστὶ δίκη, ἀντὶ τοῦ ὅπέρ ἐστι δίκαιον καὶ οἱονεὶ νόμος ἢ ἔθος. περὶ δὲ τοῦ τοιούτου σχήματος, διείληπται καὶ ἐν τῇ Ἰλιάδι. ὡς καὶ περὶ τοῦ, ὃς νόμος τῷ δεῖνι καὶ ὃς τρόπος τοῦ δεῖνος. Τὸ δὲ θείων βασιλήων, παιδευτικῶς ἐῤῥέθη. ὡς τῆς βασιλικῆς θειότητος μηδέν τι ἀλλοιουμένης εἰ καί τι ῥέζουσιν ἐξαίσιον ἐχθαίροντες. ἐπεὶ καὶ κατὰ τὸν τραγικὸν Σοφοκλέα, τὸν τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον. ὅ ἐστιν ἀεὶ δικαιοπραγεῖν ὡς πᾶσιν ἀρέσκειν. καὶ ὡς εἰπεῖν, σεβαστὸν εἶναι. (ῃερς. 693.) Τὸ δὲ ἀτάσθαλον ἐώργει,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐφερμηνευτικόν ἐστι τοῦ, ῥέξας ἐξαίσιον. ταυτὸν γὰρ ἐξαίσιόν τι ῥέξειν καὶ ἀτάσθαλόν τι ἐοργέναι. Ἀρχαϊκὸν δὲ τὸ, οὔ ποτε ἀτάσθαλον ἄνδρα ἐώργει, λείπει γὰρ πρόθεσις. ἵνα ᾖ, ὡς οὐκ ἐποίησέ τι κακὸν εἰς ἄνθρωπον. (ῃερς. 694.) Ὅτι ἀχαριστίας ἔνδειξις τὸ, ἀλλ' ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα, φαίνεται. οὐδέ τις ἐστὶ χάρις μετόπισθ' εὐεργέων, ἤγουν τῶν εὐεργετῶν. κεῖται δὲ τὸ εὐεργὴς καὶ ἐπὶ ἑτεροίου σημαινομένου παθητικῶς ὡς δηλοῖ τὸ, εὐεργέα λώπην. καὶ τὸ, εὐεργέος ἔκπεσε δίφρου. (ῃερς. 695.) Τὸ δὲ φαίνεται, ἀντὶ τοῦ φανερώτατός ἐστιν. ἐκ τοῦ φάω φῶ. ἐξ οὗπερ οὐ μόνον τὸ φαείνω καὶ τὸ ἐξεφαάνθη, ἀλλὰ καὶ τὸ φαίνω, ὡς χρῶ χραίνω. ῥῶ ῥαίνω. καὶ τὰ τοιαῦτα. (ῃερς. 697.) Ὅτι τὸ, αἲ γὰρ δὴ, βασίλεια, τόδε πλεῖστον κακὸν εἴη, ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο μνηστῆρες φράζονται ὃ μὴ τελέσειε Κρονίων. παρῳδηθήσεταί ποτε ὅτέ τινος ἐπὶ μικρῷ τινι ἀγανακτοῦντος, μεῖζόν τι μέλλει κακὸν ἐπελθεῖν. ὁ Μέδων δὲ καὶ τοῦτο τῇ δεσποίνῃ λέγει ἐφ' οἷς οἱ μνηστῆρες ἐπιβουλεύονται τῷ υἱῷ. Τὸ δὲ βασίλεια, ὅτι καὶ βασίλισσα παρὰ τοῖς ὕστερον λέγεται καὶ βασίλιννα, προγέγραπται. ὅτι δὲ καὶ ὡς ἱερεὺς ἱέρεια οὕτω καὶ βασιλεὺς βασίλεια, καὶ ὡς Ἀττικόν ἐστι, δῆλον καὶ αὐτό. (ῃερς. 702.) Ὅτι καὶ ἐνταῦθα ῥηθὲν τὸ, Πύλον ἠγαθέην, δηλοῖ καὶ ἐν τῷ, Πύλον ἠμαθόεντα, θηλυκῶς αὐτὴν λέγεσθαι. (ῃερς. 703.) Ὅτι λύπην μεγάλην φράζει τὸ, τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ. δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε. τὼ δὲ οἱ ὄσσε δακρυόφιν πλῆσθεν. θαλερὴ δέ οἱ ἔσχετο φωνή. ὀψὲ δὲ ἔπεσσιν ἀμειβομένη προσέειπε. Πηνελόπη δὲ οὕτως ἔπαθε, μαθοῦσα τὴν κατὰ τοῦ παιδὸς ἐπιβουλήν. Τὸ δὲ λύτο γούνατα καὶ φίλον ἦτορ, ἐπὶ ὕπνου μετ' ὀλίγα παραφράσας, ἐρεῖ. λύθεν δέ οἱ ἅψεα πάντα. (ηερς. 704.) ἡ δὲ ἀμφασία, πλεονασμὸν ἔχει τοῦ ¯ν διὰ φωνῆς ὄγκον ὡς προδεδήλωται. Δοκεῖ δὲ ἐκ περισσοῦ κεῖσθαι τὸ ἐπέων. καὶ δίχα γὰρ αὐτοῦ, ἀμφασία νοοῖτ' ἂν ἡ τῶν ἐπῶν σιγὴ, εἰ μὴ ἄρα 1.189 πρὸς διαστολὴν ἴσως κεῖται τῆς τῶν στεναγμῶν βοῆς. Τοῦ δὲ ἀμφασίη ἐπέων λάβε, σαφὴς παραποίησις τὸ, θαλερὴ δέ οἱ ἔσχετο φωνή. (ῃερς. 707.) Τὸ δὲ τῆς φωνῆς θαλερὸν, οἰκεῖον ἐπὶ γυναικός, καὶ μάλιστα τοιαύτης. Ὅτι ἀπορήσασα Πηνελόπη τίς χρείᾳ τῷ υἱῷ νηῶν ἐπιβαίνειν αἵθ' ἁλὸς ἵπποι ἀνδράσι γίνονται, περόωσι δὲ πουλὺν ἐφ' ὑγρὴν, λύει εἰποῦσα. ἢ ἵνα μὴ δ' ὄνομ' αὐτοῦ ἐν ἀνθρώποισι λίπηται. οὕτω δὲ καὶ πρὸ ὀλίγων ἐρωτήσασα, κῆρυξ τί ποτε ἦλθες, λύει οὕτως. ἢ εἰπεῖν δμωαῖς ἔργων παύσασθαι. Καὶ σημείωσαι ὡς καὶ τοῦ τοιούτου τῶν λύσεων σχήματος, Ὅμηρος κατῆρξε τοῖς ἐσύστερον. καὶ ἔστιν ὅμοιον ὡς εἴ τις εἴποι, τί δή ποτε θνητὸς ὁ ἄνθρωπος. ἢ ὅτι καὶ γενητός. (ῃερς. 708.) Σκοπητέον δὲ εἰ κατὰ καιρὸν εἴρηται τῇ Πηνελόπῃ ἡ ἀπὸ τῶν ὠκυπόδων ἵππων ἐπὶ τὰς ὠκυπόρους νῆας μεταφορά. καλῶς μὲν γὰρ μετηνέχθη. οὐκ ἂν δὲ ἴσως εἴπῃ τις, τῇ οὕτω πενθούσῃ ἄδειαν εἶναι τοιαύτῃ τροπῇ ἐνευκαιρεῖν καὶ ἀστεΐζεσθαι. Ὅρα δ' ἐνταῦθα καὶ τὸ τῆς φράσεως ἀσφαλές. οὐ γὰρ εἶπεν, αἵθ' ἁλὸς ἵπποι εἰσὶν, ἵνα μὴ ψυχρεύσηται. εἰ γάρ που καὶ θαλάσσης ἵπποι κατὰ τοὺς ποταμίους, ζῷα εἶεν ἂν καὶ αὐτοί, ἀλλὰ ἵπποι φησὶ θαλάσσης γίνονται τοῖς ἀνθρώποις. ὡς ἂν εἴη λέγων ἐλλειπτικῶς, ὅτι αἱ νῆες ὡς ἵπποι ἁλὸς γίνονται τοῖς ἀνθρώποις. ὁμοίως τῷ, δέμας πυρὸς ἀντὶ τοῦ ὡς πῦρ. ἢ καὶ ἄλλως, ὡς ἵπποι ἐπὶ ἁλός. ὅθεν ὥσπερ ἀναβάται κατὰ τοὺς ἐπὶ γῆς ἵππους, οὕτως ἐπιβάται ἐπὶ τῶν νηῶν. Ἰστέον δὲ ὅτι ἐντεῦθεν λαβὼν, Εὐριπίδης, ναΐαν ἀπήνην τὸ πλοῖον ἔφη. ὁ δὲ ἅρμα εἰπὼν αὐτὸ, ἐξ Ὁμήρου καὶ αὐτὸς τὴν λέξιν ἐκέρδανεν. ὃς ἐν τοῖς ἑξῆς, νῆα Φαιακικὴν τετρόρῳ εἰκάζει ἀσφαλῶς θέοντι. πόδας δὲ εἰπεῖν ἀνδρῶν τὰ πλοῖα, Ὁμηρικήν τινα καὶ αὐτὸ ἔχει μέθοδον δηλωθησομένην ἐν τοῖς ἑξῆς. ἐξ οὗ ναυσίποδες οἱ νησιῶται παρὰ τοῖς παλαιοῖς, ὡς ναυσὶ χρώμενοι πρὸς τὸ διὰ θαλάσσης ὁδεύειν, ὅσα καὶ ποσί. φανερὸν δὲ, ὅτι καὶ πόδες νηὸς λέγονται οὐ μόνον οἱ τῇ τάσει τοῦ ἱστίου συντελοῦντές τι ὡς τὸ, ἐν δ' ὑπέρας τε πόδας τὲ, ἀλλὰ καὶ αἱ κῶται. ὅθεν καὶ ποδήρης ναῦς κατὰ ἰδέαν δριμύτητος, ἡ ἐρεσσομένη ποσὶν ὅ ἐστι κῶπες. Τὸ δὲ πουλὺν ἐφ' ὑγρὴν, Ἰωνικῶς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πέφρασται. Ἰώνων γὰρ, ἡ πολύς. ὡς καὶ τὸ, θῆλυς ἑέρση. (ῃερς. 709.) Ἰστέον δὲ ὅτι τὸ, περόωσι πουλὺν ἐφ' ὑγρὴν, ἔοικε πρὸς τὴν τροπὴν εἰρῆσθαι τοῦ, αἵθ' ἁλὸς ἵπποι ἀνδράσι γίνονται. ὠκύτατον γὰρ καὶ ἵππος ἐν ζῴοις, καὶ πολλὴν ἔχων περιϊέναι γῆν ὠκυπορῶν, διὸ καὶ Ἡλίῳ ἀνάκειται. ὡς ταχυτάτῳ φασὶ, ταχύτατος. (ῃερς. 712.) Ὅτι ἀμφιβάλλων πῶς ἐπεχείρησέ τις παραβόλῳ ἔργῳ, εἴποι ἂν τὸ, οὐκ οἶδ' εἴ μιν θεὸς ὥρορεν ἠὲ καὶ αὐτοῦ θυμὸς ἐφωρμήθη ποιῆσαι τόδε. ὁ Ὁμηρικὸς δὲ Μέδων τοῦτο περὶ Τηλεμάχου φησὶ πάνυ καλῶς, εἰς ἀλληγορίας αἴνιγμα, μυθικῶς μὲν γὰρ, Ἀθηνᾶ ὥρινεν αὐτόν. ἀληθῶς δὲ, οἴκοθεν ἐφωρμήθη ἀποπλεῦσαι. Ὅρα δὲ ὡς καὶ ἐνταῦθα τὸ ὥρορε, μετάθεσιν αὐξήσεως ἔπαθε διὰ μέτρου ἀνάγκην. (ῃερς. 714.) Ὅτι ἐν τῷ, ἢ νόστον ἢ ὅν τινα πότμον ἐπέσπε, περιφραστικῶς ὁ λόγος ἀντὶ τοῦ, ἢ νόστον ἢ θάνατον. (ῃερς. 716.) Ὅτι πολλὴν γυναικὸς ἀδημονίαν δηλοῖ ἐπὶ λύπῃ μεγάλῃ τὸ, τήν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον. οὐδ' ἄρ ἔτι ἔτλη δίφρου ἐφέζεσθαι, πολλῶν κατὰ οἶκον ἐόντων. ἀλλ' ἄρ ἐπ' οὐδοῦ ἷζε πολυκμήτου θαλάμοιο οἴκτρ' ὀλοφυρομένη. (ῃερς. 7.) Περὶ δὲ δμωαὶ μινύριζον πᾶσαι ὅσαι κατὰ δώματ' ἔσαν νέαι ἠδὲ παλαιαί. Καὶ ὅρα καὶ νῦν τὸ τῶν γυναικῶν φίλοικτον. συγκλαίουσι γὰρ τῇ δεσποίνῃ αἱ δμωαί. καὶ τὴν αἰτίαν σιγήσας ὁ ποιητὴς, ἀφίησι νοεῖν, ὡς φιλοῦσαι τὴν δέσποιναν κοινοῦνται τὸν θρῆνον. (ῃερς. 722.) διὸ καὶ αὐτὴ οὕτως αὐτὰς προσφωνεῖ. κλῦτε φίλαι καὶ τὰ ἑξῆς. ἀπᾷδον δὲ οὐδὲν, φίλας κληθῆναι τὰς εὔνους θεραπαινίδας, εἴγε διὰ τὴν δεσποτικὴν εὔνοιαν καὶ ὁ δοῦλος Εὔμαιος, δῖος ἐν τοῖς ἑξῆς ῥηθήσεται. ἐλεινὸς δὲ ὁ πρὸς τὰς δουλίδας οὗτος λόγος. οἱ γὰρ διὰ δυστυχίαν καταβαίνοντες ἐκ τοῦ ἀξιωματικοῦ εἰς τὸ ταπεινὸν, πολὺν ἐκ τῶν ἀκροατῶν ἴσχουσιν ἔλεον. καὶ νῦν μὲν, φίλας ἔφη τὰς δμωὰς ἡ δέσποινα. ὅτε δὲ καὶ προϊοῦσα κατ' αὐτῶν ἀγανακτεῖ, ἀρκεῖται εἰποῦσα, σχέτλιαι οὐδ' ὑμεῖς ἐν φρεσὶν ἔθεσθε, καὶ τὰς ἑξῆς. Ἔνθα καὶ σημείωσαι ὅτι τὸ οὕτω διατίθεσθαι ὡς σχέτλιον τινὰ λέγειν, τοῦτό ἐστι τὸ σχετλιάζειν. (ῃερς. 716.) Ἰστέον δὲ καὶ ὡς εἴποι ἐκ τοῦ ¯α ἐπιτατικοῦ καὶ τοῦ χῶ τὸ χέω γίνεται ἄχος ἡ ἄγαν δηλαδὴ σύγχυσις τῆς ψυχῆς, ἔχοι ἄν τι ἐτυμολογίας καὶ παρηχήσεως, τὸ, ἄχος ἀμφεχύθη. (ῃερς. 717.) Δίφρος δὲ, οὐ μόνον ὁ τοῦ ἅρματος, ἀλλ' ἰδοῦ καὶ θρόνου κατ' οἶκον εἶδος ἐοικὸς ἴσως τῷ τοῦ ἅρματος δίφρῳ. ἔχει δέ ποτε καὶ εὐτέλειαν ὁ τοιοῦτος. Εὔμαιος οὖν ἐν τοῖς ἑξῆς, δίφρον εἷλεν ἔνθα δαιτρὸς ἐφῖζε κρέα πολλὰ δαιόμενος. καὶ τῷ Ὀδυσσεῖ δὲ, ἡ Εὐρηνόμη 1.190 δίφρον ἔφερε καὶ κῶας ἐπ' αὐτοῦ. Ἐν δὲ παλαιῷ ῥητορικῷ λεξικῷ εὕρηνται καὶ, σκολύθρια, διφρία βραχέα. καὶ ἄλλως δὲ, σκόλυθρα, διφρία ταπεινά. καὶ ἔστι τὸ μὲν διφρίον ἐκεῖ, ὡς γένος. τὸ δὲ σκόλυθρον ἢ σκολύθριον, ὡς εἶδος. ἡ δὲ χρῆσις αὐτοῦ ἀναφέρεται εἰς Πλάτωνα ἐν Εὐδυδήμῳ. ἐν τούτοις δέ φασιν οἱ παλαιοὶ, καὶ ὅτι περιπαθὲς τὸ ἐπεισόδιον, εἰ τὸν Ὀδυσσέα θρηνοῦσα ἡ Πηνελόπη, τὴν ἐπὶ τῷ παιδὶ ἀγωνίαν προσλάβοι. Τὸ δὲ πολλῶν κατὰ οἶκον ἐόντων, ἁπλῶς οὕτω παρενετέθη πρός τε ἀναπλήρωσιν στίχου, καὶ πολυκτημοσύνης ἔνδειξιν. (ῃερς. 718.) Τὸ δὲ ἐπ' οὐδοῦ ἷζεν οὐ μακρὰν μέν ἐστι τοῦ χαμᾶζε καθεσθῆναι. προσφυῶς δὲ ἔχει τῇ πενθούσῃ ἐπὶ τῇ ἐξόδῳ τοῦ υἱοῦ καὶ ἐθελούσῃ τὴν αὖθις ἐκείνου εἴσοδον. (ῃερς. 719.) Τὸ δὲ μινυρίζειν, καὶ ἀλλαχοῦ ἐδηλώθη ἐπὶ ὑφειμένου κλαυθμοῦ τίθεσθαι, ὡς ἀπὸ τοῦ μινυὸν ὃ δηλοῖ τὸ μικρόν. (ηερς. 7.) Τὸ δὲ νέαι ἠδὲ παλαιαὶ, πρὸς ἑρμηνείαν ἐπῆκται τοῦ πᾶσαι. (ῃερς. 722.) Ὅτι γυνὴ πενθοῦσα καὶ ἐπὶ ἀνδρὸς ἀγαθοῦ ἀπωλείᾳ καὶ ἐπὶ ὁμοίῳ φόβῳ τῷ περὶ παιδὸς, εἴποι ἂν τῶν Ὁμήρου ταῦτα. περὶ γάρ μοι Ὀλύμπιος ἄλγεα δῶκεν ἐκ πασέων ὅσσαι μοι ὁμοῦ τράφεν ἠδ' ἐγένοντο. ἡ πρὶν μὲν, πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα, παντοίῃς ἀρετῇσι κεκασμένον. ἐσθλόν. τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος. νῦν δ' αὖ, παῖδ' ἀγαπητὸν ἀκλέα ἐκ μεγάρων κίνδυνος ὀλέσθαι. Πηνελόπης δὲ λόγοι ταῦτα, σοφώτερον ἐπαινούσης ἄρτι τὸν ἄνδρα ἤπερ ὅτε τὸν ἕνα μόνον εἶπε στίχον τὸ, οὗ κλέος εὐρὺ καὶ ἑξῆς. (ῃερς. 724.) Τὸ δὲ θυμολέοντα, κάλλιον εἶπεν αὐτὴ, ἤπερ ὁ Μενέλαος λέοντι τὸν Ὀδυσσέα φθάσας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴκασεν ἐν παραβολῇ. λέων μὲν γὰρ, οὐκ ἂν εἴη Ὀδυσσεὺς ὅτι μὴ μόνον παραβολικῶς. θυμολέων δὲ, πιθανῶς ἂν εἶναι λεχθείη. (ηερς. 726.) Τὸ δὲ ἐσθλὸν, δὶς ἐνταῦθα εἶπε, μιμούμενος γυναῖκα σχεδιάζουσαν καὶ μὴ ἐνευκαιροῦσαν εὑρέσει ἐπιχύσεως διαφόρων λέξεων. (ηερς. 728.) Τοῦ δὲ ἀκλεὴς, ἡ μὲν κοινὴ αἰτιατικὴ, ἀκλεέα καὶ ἀκλεῆ. ὡς τὸ, ὑγιέα ὑγιῆ. Καὶ εὐφυέα εὐφυῆ. ἡ δὲ Ἀττικὴ, εὐκλεᾶ κατὰ τὸν ὑγιᾶ καὶ τὸν εὐφυᾶ. τὸ μέντοι ἀκλέα, συγκοπὴν ἔπαθεν ἐκ τοῦ ἀκλεέα ὁμοίως τῷ, δυσκλέα Ἄργος ἱκέσθαι. Ἰστέον δὲ ὅτι Ἰωνικώτερον ἔχει τὸ ἀκλέα. καὶ ὅτι εἰ καὶ ἀκλεᾶ ἐγράφη Ἀττικῶς, εἶχε συμβιβάζεσθαι καὶ τοῦτο εἰς μέτρον οὐ μόνον σπονδειακῶς κατὰ συνίζησιν, ἀλλὰ καὶ δακτυλικῶς διὰ τὴν εἰς φωνῆεν περαίωσιν καὶ τὴν μετ' αὐτὸ θέσιν τοῦ ἐπαγομένου φωνήεντος. φησὶ γάρ. ἀποκτεῖναι μεμάασιν ἀκλέα ἐκ μεγάρων. τούτου δὲ καλλίων ἐστὶν ἑτέρα γραφὴ τὸ, ἀνηρείψαντο θύελλαι ἀκλέα ἐκ μεγάρων. ὅπερ ἀστείως ἔχει λεχθὲν, διὰ τὸ τὸν παῖδα πλεύσαντα, ἐπιτρέψαι ἀνέμοις ἑαυτόν. (ηερς. 729.) Ὅτι τὸ, οὐδ' ὑμεῖς ἑκάστη, ταυτὸν μὲν τῷ, ὑμῶν ἑκάστη. Ἀττικώτερον δὲ τοῦτο. καὶ ἔστιν ἐκ παραλλήλου ταυτὸν τὸ ὑμεῖς καὶ τὸ ἑκάστη. (ηερς. 732.) Ὅτι ἐνταῦθα δείκνυται ὡς καλῶς τὸν Τηλέμαχον ἐποίησεν Ὅμηρος ἀποπλεύσαντα λάθρα τῆς μητρός. ὁ μὲν γὰρ ἀπέκρυψε τὸν πλοῦν ἵνα μὴ κλαίουσα χρόα καλὸν ἰάπτῃ. αὐτὴ δὲ, φησίν. ὡς εἴπερ ἐγὼ πυθόμην ταύτην ὁδὸν ὁρμαίνοντα, τῷκε μάλ' ἤ κεν ἔμεινε καὶ ἐσσύμενός περ ὁδοῖο, ἤ κέ με τεθνηκυῖαν ἐνὶ μεγάροισιν ἔλιπε. Χρήσιμος δέ ποτε ὁ λόγος, παντὶ μεταμελομένῳ ἐφ' οἷς φίλος τις λαθὼν ἀπεδήμησε. (ηερς. 735.) Τὸ δὲ καὶ ἐσσύμενος περ ὁδοῖο, ὅμοιον τῷ, ἐπειγόμενός περ ὁδοῖο. Ὅτι Δολίος, παροξύτονον τρίβραχυ κύριον ἐνταῦθα. δοῦλος δὲ οὗτος προικῷος τῇ Πηνελόπῃ. φησὶ γάρ. ὅν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ. καί μοι κῆπον ἔχει πολυδένδρεον. τοῦτον ἐθέλει στεῖλαι ἡ Πηνελόπη τῷ Λαέρτῃ ὡς ἂν μαθὼν ἐκεῖνος ἔλθῃ καὶ λαλήσῃ ἐν τῇ πόλει τὰ ὑπὲρ Τηλεμάχῳ. ὃν αὐτοῦ τὲ καὶ τοῦ Ὀδυσσέως γόνον καλεῖ, ὡς Ὀδυσσέως μὲν, ἔκγονον. ἐκείνου δὲ ἔγγονον. Σημείωσαι δὲ ὅτι ὁποῖα καὶ ἄλλα τοιαῦτα ποιεῖ Ὅμηρος, ἐλαλήθη μὲν πρὸ τῆς Πηνελόπης, κληθῆναι τὸν κηπουρὸν Δολίον, οὐχ' εὔρηται δὲ τοῦτο πραχθὲν, διὰ τὸ κωλυθῆναι ὑπὸ τῆς Εὐρυκλείας μετ' ὀλίγα. ἐπεὶ μὴ δὲ ἐχρῆν, τὸν γέροντα σκυλμὸν παθεῖν οὐκ εὔχρηστον τῷ ποιητῇ. καὶ οὐδὲ τὰ ὑπὸ τῶν δεσποτῶν ἀσκέπτως ἐπιταττόμενα, πληροῦσθαι χρεών. Ἐνταῦθα δὲ προσθετέον ἐκ τῶν μεθ' Ὅμηρον, καὶ ὅτι πᾶσα ἡ Πανορμίτις τῆς Σικελίας κῆπος προσηγορεύετο διὰ τὸ πλήρης εἶναι δένδρων ἡμέρων. ὅτι δὲ καὶ ἡ Συράκουσα κῆπον εἶχε πολυτελῆ ὃς ἐκαλεῖτο μῦθος ἐν ᾧ Ἱέρων χρηματίζων ἦν, καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐδηλώθη. ἐκαλεῖτο δ' ἂν ἴσως μῦθος ὁ κῆπος ἐκεῖνος, διὰ τὸ μὴ ἂν ῥᾳδίως ἐξ ἀκοῆς πιστεύεσθαι τοιοῦτος εἶναι ἀλλὰ μυθικῶς πεπλάσθαι. παραδέδοται δὲ καί τι κουρᾶς εἶδος, κῆπος λέγεσθαι. ἡ δὲ μανιόκηπος γυνὴ τουτέστιν ἡ περὶ μίξεις μεμηνυῖα, κήπῳ τῷ κατ' αὐτὴν οὕτω σκώπτεται. περὶ ὃν 1.191 δηλαδὴ μέμηνεν ἀποφραγνῦσα τοῖς ἐθέλουσι τὴν τῆς ὥρας ὀπώραν δρέπεσθαι. (ηερς. 737.) Τὸ δὲ πολυδένδρεον, διαστέλλει λειμῶνος τὸν κῆπον. ὁ γὰρ λειμὼν οὐκ ἐξ ἀνάγκης πολύδενδρος. (ηερς. 743.) Ὅτι θρεψαμένη τὸν Ὀδυσσέα ἡ γραῦς Εὐρύκλεια καὶ ὡς ἐπὶ υἱῷ ἐκείνῳ διακειμένη, νύμφην προσφωνεῖ τὴν καὶ δέσποιναν καὶ βασίλειαν ἐν τῷ, νύμφα φίλη. ὡς εἴπερ εἶπε, νύμφη τοῦ υἱοῦ μου. κεῖται δὲ καὶ ἐν Ἰλιάδι τὸ, νύμφα φίλη. Ὅρα δὲ ὅτι φίλη κληθεῖσα πρὸ ὀλίγων καὶ ἡ γραῦς ἐν τῷ, κλῦτε φίλαι, αὐτὸ τὲ νῦν ἀνταποδίδωσι, καὶ πλεῖον δέ τι προστίθησιν ἐν τῷ, νύμφα φίλη. Ὅτι ὁ ἐπικρύψας ἀποδημίαν ἀνδρὸς ἐπαχθῶς τινι μεγάλῳ προσώπῳ εἶτα ἐξομολογούμενος, δύναταί ποτε εἰπεῖν τὸ, σὺ μὲν ἄρ με κατάκτανε νηλέϊ χαλκῷ, ἢ ἔα ἐν μεγάρῳ. μῦθον δέ τι οὐκ ἐπικεύσω. ᾔδε' ἐγὼ τάδε πάντα. πόρον δέ οἱ ὅσσ' ἐκέλευε. σῖτον καὶ μέθυ ἡδύ. ἐμεῦ δ' ἕλετο μέγαν ὅρκον, μὴ πρίν σοι ἐρέειν πρὶν τοσήδε ἡμέρα γένηται. λέγει δὲ ταῦτα Εὐρύκλεια τῇ δεσποίνῃ, προστιθεῖσα καὶ τὸ αἴτιον οἷα ὑπὲρ αὐτῆς ὄν. ὡς ἂν μὴ κλαίουσα ὡς καὶ προεῤῥέθη,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ χρόα καλὸν ἰάπτῃ. (ηερς. 750.) Εἶτα καὶ συμβουλεύεται τὸ ποιητέον. εἰποῦσα τοιαῦτα. ἀλλ' ὑδρηναμένη καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα εἰς ὑπερῷ' ἀναβᾶσα, εὔχεο τῇ Ἀθηνᾷ. (ῃερς. 753.) Ἐφεξῆς δὲ θείαν παριστῶσα δύναμιν, ἐπάγει. ἢ γάρ κεν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσαι. ὃ παρῳδηθείη ἂν, ἐπὶ θεοῦ. χρήσιμον ὂν καὶ εἰς ἔπαινον φρονήσεως ἣν Ἀθηνᾶ αἰνίττεται. Τὸ δὲ ὑδρηναμένη, ἀντὶ τοῦ λουσαμένη διὰ καθαρότητα. ὡς καὶ ἐν τῇ ¯α ῥαψῳδίᾳ ἐγράφη. ὅπου καὶ Τηλέμαχος εὔξασθαι μέλλων, ἐνίψατο. (ηερς. 751.) Ὅρα δὲ τὰς ἀσυνδέτους κἀνταῦθα μετοχὰς καὶ τὰ γοργὰ κομματικά. τὸ, ὑδρηναμένη. καθαρὰ εἵματα ἑλοῦσα. εἰς ὑπερῷ' ἀναβᾶσα. Παραινεῖ δὲ, καὶ σὺν ταῖς ἀμφιπόλοις εὔχεσθαι αἷς καὶ συνέκλαιε. καὶ ποιεῖ οὕτως ἡ βασίλεια. (ῃερς. 754.) Ὅτι παροιμιῶδές τι καὶ γνωμικὸν τὸ, μὴ δὲ γέροντα κάκου κεκαμωμένον. Εὐρύκλεια δὲ καὶ τοῦτο λέγει, κωλύουσα σκυλθῆναι τὸν γέροντα Λαέρτην. οἷα κηδομένη τοῦ παλαιοῦ ὡς ἡ ¯α ῥαψῳδία ἐδήλωσεν, ἐραστοῦ. (ηερς. 755.) Ὅτι ἐλπίδος ἀγαθῆς ἐπὶ διαδοχῇ γένους ὅτε ὁ πρόγονος δυστυχεῖ τὸ, οὐ γὰρ ὀΐω πάγχυ θεῷ γονὴν τὴν τοῦ δεῖνος ἔχθεσθαι. ἀλλ' ἔτι ποῦ τις ἐπέσσεται ὅς κεν ἔχῃσι δώματά θ' ὑψηρεφέα καὶ ἀπόπροθι πίονας ἀγρούς. (ῃερς. 756.) Τὸ δὲ ἐπέσσεται, ἀντὶ τοῦ μετὰ ταῦτα ἔσται. καὶ ὡς εἰπεῖν, ἐπιγενήσεται. ὅθεν καὶ ἐπίγονος ὁ γένους διάδοχος. (ῃερς. 756.) Ὅτι ἐκ τοῦ ἀρκέω ἀρκέσω τὸ ἐπαρκῶ, ἀρκέσιος, καὶ πλεονασμῷ, Ἀρκείσιος κύριον ὁ τοῦ Λαέρτου πατήρ. διὸ Ἀρκεισιάδην αὐτὸν ἐνταῦθα φησίν. οὗ ὁ τύπος, ὅμοιος τῷ, Φημιάδης, ὁ τοῦ Φημίου. Ἡλιάδης ὁ τοῦ Ἡλίου. καὶ τοῖς τοιούτοις. (ῃερς. 758.) Ὅτι εὔνησε γόον εἰπὼν ἀντὶ τοῦ ἔπαυσε τὸν θρῆνον, ἐπάγει πρὸς ἑρμηνείαν τὸ, σχέθε δ' ὄσσε γόοιο. ἤτοι τοῦ μετὰ δακρύων θρήνου. ἄλλως γὰρ, οὐ γοᾶται ὀφθαλμός. ὡς δηλοῖ καὶ τὸ, κλαυθμοῖο γόοιό τε δακρυόεντος. ἀπὸ δὲ τοῦ εὐνῶ εὐνήσω, παράγωγον τὸ εὐνάζω. ὡς ἐκ τοῦ σκεδῶ τὸ σκεδάζω. καὶ τοῦ σκιῶ τὸ σκιάζω. (ῃερς. 761.) Ὅτι κατεύξασθαι μέλλουσα τῶν μνηστήρων ἡ Πηνελόπη, οὐλοχύτας μόνους κανέῳ ἐνέθετο καὶ ηὔχετο τῇ Ἀτρυτώνῃ. καὶ ἀντὶ βωμοῦ μὲν, τῷ κανῷ καθιεροῖ τὰς κριθὰς. ἀντὶ δέ γε θυσίας ζῴων, χρᾶται τῇ ἀναμνήσει τῶν ποτὲ θυσιῶν τοῦ ἀνδρός. εἰποῦσα. (ῃερς. 763.) Εἴ ποτέ τι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς ἢ βοὸς ἢ ὄϊος κατὰ πίονα μηρί' ἔκηε, τῶν, νῦν μοι μνῆσαι. καί μοι φίλον υἷα σάωσον. μνηστῆρας δ' ἀπάλαλκε κακῶς ὑπερηνορέοντας. ἐκ τούτων δὲ δύναται παρῳδία τις γενέσθαι χρησίμη ὅτε τις ὑπερεύχεται υἱοῦ κινδυνεύοντος ὑπό τινων ἐπιβούλων. (ῃερς. 762.) Ἀτρυτώνη δὲ Ἀθηνᾶ, ἡ ἄτρυτος ὅ ἐστιν ἀτειρής. ὡς ἀπὸ τοῦ τρέω τρῶ, ἐξ οὗ καὶ τὸ τείρω καὶ τὸ τρύω. ἀφ' οὗ καὶ τρυτάνη ἐπὶ ζυγοῦ, ἡ τειρομένη τῷ βάρει τῶν ὄγκων. ἀπ' αὐτοῦ δὲ, καὶ τρύμη παρὰ τῷ κωμικῷ, ὁ πανοῦργος καὶ ἰτητικὸς καὶ κατ' ἐκεῖνον εἰπεῖν, ἴτης ὅ ἐστιν ἰταμός. ἐξ αὐτοῦ δὲ, καὶ τρύσιππον ὃ τοῖς τετρυμμένοις καὶ ἀχρήστοις ἵπποις ἐπιβάλλεται. ἢ κατὰ Αἴλιον Διονύσιον, τρυσίππειον τετρασυλλάβως, ἔγκαυμα ἵππου γεγηρακότος, ἐπὶ τῆς γνάθου ὅμοιον τροχῷ. φέρει δὲ αὐτὸς καὶ χρῆσιν Εὐπόλιδος ταύτην, ἀλλ' ὥσπερ ἵππῳ μοι ἐπιβαλεῖς τρυσίππειον. ἔοικεν οὖν τὸ εἴτε τρύσιππον εἴτε τρυσίππειον, θεραπεία ἢ σημεῖον εἶναι γηραιοῦ ἵππου δι' ἐγκαύσεως. ἐκ δὲ τοῦ τρύω, καὶ ἄτρυτος ἐν πόνοις λέγεται ὃν πόνοι οὐ τείρουσιν. ἐκεῖθεν δὲ καὶ ἡ τρυμαλιὰ ἐκ τῆς τρύμης παρηγμένη. (ῃερς. 763.) Τὸ δὲ εἴποτέ τοι πολύμητις Ὀδυσσεὺς, καθ' 1.192 ὁμοιότητα ἐσχημάτισται τοῦ, εἴ ποτέ τοι πίονα μηρί' ἔκηα. ὅπερ ἐν Ἰλιάδι ὁ Χρύσης ηὔξατο. (ῃερς. 767.) Ὅτι εὐχῆς ἐνεργοῦς ἔνδειξις τὸ, ὣς εἰποῦσ' ὀλόλυξε. θεὸς δέ οἱ ἔκλυεν ἀρῆς. Ὅτι δὲ γυναικεία εὐχὴ λιγύφωνος τὸ ὀλολύζειν, προδεδήλωται. (ηερς. 768.) Ὅτι ὀλολυζούσης ἐπὶ εὐχῇ τῆς Πηνελόπης ὅ ἐστιν ὡς θέμις γυναικὶ γεγωνότερον ἀναβοώσης αἰσθόμενοι οἱ μνηστῆρες, ὁμάδησαν. ὧδε δέ τις ἂν εἶπεν. (ῃερς. 770.) ἦ μάλα δὴ γάμον ἄμμι πολυμνήστη βασίλεια ἀρτύνει. ὃ γάρ τις φασὶ βούλεται τοῦτο καὶ οἴεται. διὸ καὶ αὐτοὶ γάμον αὐτοῖς ἀρτύεσθαι οἴονται ἀπατώμενοι. ἐπεὶ μὴ θρηνούσης ἀλλ' εὐχομένης ὡς ἐῤῥέθη τῆς δεσποίνης ἤκουον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Καὶ ὅρα ὡς δυνάμενος ὁ ποιητὴς καὶ νῦν ποιῆσαι τὴν Πηνελόπην ἐπιφαινομένην τοῖς μνηστῆρσιν, ὅμως οὐ ποιεῖ οὕτω, διὰ τὸ ἀνήνυτον. ταμιεύεται δὲ αὐτὸ τοῖς ἑξῆς ἐν ἑτέρᾳ ἐπιβουλῇ μελετωμένῃ κατὰ Τηλεμάχου, ἐκκλίνων τὸ ὁμοειδές. Καὶ σημείωσαι ὅτι κἀνταῦθα βραχυλόγος ἡ κοινὴ ἠθοποιΐα ἐστί. δίστιχος γάρ. (ῃερς. 772.) Ὅτι ἀστοχίαν δηλοῖ νοήματος τὸ, ὡς ἄρα τις εἴπεσκε, τὰ δ' οὐκ ἴσαν ἤτοι ἔγνων ὡς ἐτέτυκτο. Ἔστι δὲ τὸ ἴσαν, παρατατικὸς τοῦ ἴσημι. (ῃερς. 774.) Ὅτι παίδευσις εἰς τὸ ταχὺ ἐκτελέσαι τὸ μυστηριωδῶς βουλευθὲν, τὸ τοῦ Ὁμηρικοῦ Ἀντινόου, τὸ, δαιμόνιοι. μύθους μὲν ὑπερφιάλους ἀλέασθε πάντας ὁμῶς, μήπου τις ἀπαγγείλῃσι καὶ εἴσω. (ῃερς. 776.) ἀλλ' ἄγε σιγῇ τοῖον ἤγουν οὕτως ὡς ἔχομεν ἀναστάντες, τελέωμεν μῦθον ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἡμῖν. (ῃερς. 777.) Ἰστέον δὲ ὅτι τὸ, ὃς ἐν φρεσὶν ἤραρεν, ἀντὶ τοῦ ὅσπερ θυμήρης ἡμῖν. ταυτὸν γὰρ θυμῆρες εἰπεῖν καὶ φρεσὶν ἀραρός. καὶ ὅτι ἐκ τοῦ φρεσὶν ἄραρε, καὶ ὁ φρενήρης σύγκειται. (ῃερς. 778.) Ὅτι πρὸ βραχέων ἐνεργητικῶς εἰπὼν, κρίνας ἀνὰ δῆμον ἀρίστους, ἐνταῦθα παθητικῶς φησίν. ἐκρίνατο ἐείκοσι φῶτας ἀρίστους. διφορεῖται γὰρ καὶ ἡ τοῦ ῥήματος τούτου διάθεσις ὡς πολλαχοῦ φαίνεται. (ῃερς. 780.) Ὅτι τὴν εἰς ἀνάπλουν ἑτοιμασίαν, συντόμως οὕτω φράζει ὁ ποιητής. νῆα μὲν οὖν πάμπρωτον ἁλὸς βένθοσδε ἔρυσσαν. ἐν δ' ἱστόν τε τίθεντο καὶ ἱστία νηῒ μελαίνῃ. ἠρτύναντο δ' ἐρετμὰ τροποῖς ἐν δερματίνοισι. τεύχεα δέ σφ' ἤνεικαν ὑπέρθυμοι θεράποντες. ὑψοῦ δ' ἐν νοτίῳ τήν δ' ὥρμισαν. Καὶ ὅρα τὸ ἀρτύνειν πλεονασμῷ τοῦ ¯ν γεγονὸς ἐκ τοῦ ἀρτύειν ὅπερ ἀνωτέρω εἶπεν Ὅμηρος. (ῃερς. 782.) Τὸ δὲ ἐρετμὰ, μεταπέπλασται. ἔστι γὰρ καὶ ἀρσενικὸν ὁ ἐρετμός. Τροποὶ δὲ ὀξυτόνως ἤτοι κοινότερον εἰπεῖν τροπωτῆρες, ἱμάντες οἷς ἡ κώπη πελάζουσα ἐνείρεται τῷ ἰδιωτικῶς λεγομένῳ σκαλμῷ. ἐν δὲ λεξικῷ ῥητορικῷ, κεῖται καὶ ὅτι ὁ ῥηθεὶς ἱμὰς, καὶ ἐπικωπητὴρ λέγεται. γίνεται δὲ παρὰ τὸ τρέπεσθαι ὅ ἐστι στρέφεσθαι. κάμπτεσθαι. κλώθεσθαι. εἰλεῖσθαι. γυροῦσθαι. ὥσπερ δὲ τρόχος μὲν κατὰ τοὺς παλαιοὺς, ὁ ἄγγελος ἔτι δὲ καὶ ὁ δρόμος. τροχὸς δὲ ὀξυτόνως ἐπὶ ἅρματος καὶ ἀπήνης καὶ τῶν τοιούτων. οὕτω καὶ τρόπος μὲν βαρυτόνως, ἐπὶ ἤθους. τροπὸς δὲ, ὁ ῥηθεὶς ἱμάς. ὃν διεσάφησεν ὁ ποιητὴς ἐν τῷ, τροποῖς ἐν δερμαντίνοις. (ῃερς. 785.) Τὸ δὲ ὑψοῦ ἐν νοτίῳ, δηλοῖ διττὸν εἶναι τὸ ἐφ' ὕψους ὁρμίζεσθαι. τὸ μὲν, ἐπὶ ξηρᾶς τῆς ὑπερκειμένης τοῦ παραιγιαλίου ὕδατος ἔνθα ἡ ναῦς ὁρμεῖ καταπλέουσα καὶ παυομένη τοῦ πλοῦ. τὸ δὲ, ἐπὶ ὕδατος ὑπερκειμένου γῆς. ἐν ᾧ ἡ ναῦς ὁρμίζεται ἀναπλέουσα. καὶ τοῦτό ἐστι τὸ ὑψοῦ ἐν νοτίῳ. τουτέστιν ἐν ὑγρῷ. ὥσπερ ἐκεῖνο, ὑψοῦ ἐν ξηρῷ. τουτέστιν ἐπὶ τοῦ κατὰ τὴν ξηρὰν αἰγιαλοῦ. ὥστε τὸ, ὑφοῦ ἐν νοτίῳ ὥρμισαν, πρὸς διαστολὴν εἴρηται τοῦ ἐπὶ γῆς ὁρμισθῆναι. ὅπερ ἦν, ὑψοῦ ἐν ξηρῷ. (ῃερς. 786.) Ὅτι ὀψὲ μὲν ὥρας μετὰ δείλην ὁ δόρπος, οὐ μὴν νύκτερος, ἀλλὰ πρὸ ἑσπέρας, ὡς δηλοῖ τὸ, δόρπον ἕλοντο, μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν, ἤτοι τὴν ἑσπέραν ὡς καὶ προηρμήτευται. (ῃερς. 789.) Ὅτι καὶ ἐνταῦθα ἐν δυσὶ τόποις, τὸ ὁρμαίνειν κεῖται ἐπὶ τοῦ διαλογίζεσθαι καὶ μήπω καταστῆναι ἢ στῆσαι τὸ βούλευμα, ἀλλ' ἐν κινήσει ἔτι καὶ ὁρμῇ εἶναι. (ῃερς. 788.) Ὅτι λύπης παραστατικὸν τῆς ἐπὶ κινδύνῳ υἱοῦ ὑπὸ ἐχθρῶν τὸ, κεῖτ' ἂρ ἄσιτος ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος, ὁρμαίνουσα ἢ ὁρμαίνων εἴ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων, ἢ ὅγε ὑπὸ τοῖς δεῖνα ὑπερφιάλοισι δαμείη. Τὸ δὲ ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος, διασαφητικόν ἐστι τοῦ ἄσιτος. ἵνα μὴ νοοῖτο ἐπὶ μόνης ἀσιτίας. (ῃερς. 791.) Ὅτι πάνυ ἀποσεμνύνει τὴν Πηνελόπην ὁ ποιητὴς, λέοντι παραβαλὼν αὐτὴν ἐν οἷς φησίν. ὅσσα δὲ μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ δείσας ὁππότε μιν δόλιον περὶ κύκλον ἄγωσι, τὸν ἐκ δικτύων δηλαδὴ ἢ ἀνδρῶν περικυκλούντων, τόσσά μιν ὁρμαίνουσαν, ἐπήλυθε νήδυμος ὕπνος. καὶ ἰδοὺ κατὰ τὸν πρὸ βραχέων θυμολέοντα Ὀδυσσέα, τοιαύτη τις καὶ ἡ γυνὴ Πηνελόπη. Καὶ ὅρα ὅπως οὐ λέοντι αὐτὴν εἴκασε θρασυνομένῳ καὶ βλεμεαίνοντι καὶ 1.193 ἀνδρικά τινα δρῶντι, τοῦτο γὰρ ὑπὲρ γυναῖκα, καὶ ἀνδρὸς ἄντικρυς θυμολέοντος, ἀλλὰ λέοντι παραβάλλει αὐτὴν, δεδιότι,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ δι' αὐτὸ μερμηρίζοντι, καὶ ἀπρακτοῦντι. Τὸ δὲ ἐπήλυθεν, Ὅμηρος μὲν αἰτιατικῇ συνέταξεν. οἱ δὲ μεθ' Ὅμηρον, δοτικῇ. (ῃερς. 794.) Ὅτι ὕπνου βαθέος φραστικὸν τὸ, εὗ δ' ἀνακλινθεῖσα. λύθεν δέ οἱ ἅψεα πάντα. περὶ οὗ προγέγραπται. (ῃερς. 795.) Ὅτι διδάσκαλος ὁ ποιητὴς Δημοκρίτῳ γέγονε καὶ τοῖς κατ' αὐτὸν, τοῦ, κατὰ εἴσκρισιν καὶ ἔμπτωσιν εἰδώλων τινῶν ἔξωθεν τοὺς ὀνείρους γίνεσθαι. εἴδωλον οὖν φησι ἀμαυρὸν ποίησεν ἤτοι ἔτευξεν ἡ Ἀθηνᾶ. δέμας δ' ἤϊκτο γυναικὶ ἰφθίμῃ κούρῃ μεγαλήτορος Ἰκαρίοιο. τὴν, Εὔμηλος ὄπυιε Φερῇς ἔνι οἰκία ναίων. πέμπε δέ μιν εἰς Ὀδυσσέως εἵως Πηνελόπην παύσειεν ὀδυρομένην γοόωσαν. (ῃερς. 802.) Ὅτι δὲ σωματοειδὲς τὸ μυθικὸν τοῦτο εἴδωλον, λεπτὸν μέντοι ὡς ἀεροειδὲς καὶ οἷον εἰπεῖν λεπτόσωμον ἐναπομεμαγμένον τῷ ἀέρι κατὰ τὰς ἐν Αΐδου Ὁμηρικὰς ψυχὰς, δηλοῖ τὸ, ἐς θάλαμον δ' εἰσῆλθε παρὰ κληῖδος ἱμάντα. ἤγουν κατὰ τὴν ὀπὴν ἧς διείρηται ὁ τῆς θύρας ἱμὰς, περὶ οὗ ἐν τῇ ¯α ῥαψῳδίᾳ δεδήλωται. (ῃερς. 803.) στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς. καὶ τὸ, ὣς εἰπὼν, σταθμοῖο παρὰ κληῖδ' ἐλιάσθη ἐς πνοιὰς ἀνέμων. καὶ τὸ, ἐναργὲς ὄνειρον ἐπέσσυτο. τουτέστι φανερόν. διὸ καὶ ἰάνθη τῇ Πηνελόπῃ τὸ κῆρ διὰ τὴν τοιαύτην ἐνάργειαν τοῦ εἰδώλου. ὅ ἐστι, διὰ τὴν σαφήνειαν καὶ τὸ μὴ ἔχειν τι λοξόν. ἀλλὰ φανερῶς λέγειν τὸ ἐσόμενον κατὰ τὰ οὕτω καλούμενα ἰδίως ὁράματα καὶ μὴν ἔχει τι λοξότητος καὶ ὁ τοιοῦτος ὄνειρος ὡς μετ' ὀλίγα ῥηθήσεται. (ῃερς. 796.) Ὅρα δὲ τὸ, εἴδωλον ποίησε. τὸ μὴ ὂν δηλαδὴ πρότερον. (ῃερς. 798.) Ὅτι δὲ ἀδελφὴν Πηνελόπης ὤπυιεν ὁ ᾀδόμενος Φεραῖος Εὔμηλος, αἱ ἱστορίαι δηλοῦσιν. εἰ δὲ καὶ κύριον αὐτῆς ἡ ἰφθίμη, ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀναντίῤῥητον. (ῃερς. 801.) Τὸ δὲ εἵως Πηνελόπην παύσειε κλαυθμοῦ, ἀντὶ τοῦ, ὅπως. καὶ γίνεται ἀπὸ τοῦ ¯ως, πλεονασμῷ ἕως καὶ εἵως. καθὰ καὶ ἀλλαχοῦ ἐφάνη. ὁμώνυμον ἄρα τὸ εἵως καὶ τὸ ἕως. χρόνον τε γὰρ δηλοῖ ποτε, καὶ ὡς σύνδεσμος αἰτιολογικῶς ἔστιν ὅτε λαμβάνεται. (ῃερς. 802.) Τὸ δὲ παρὰ κληῖδος ἱμάντα, καὶ τὸ, σταθμοῖο παρὰ κληῖδα, τὴν αὐτὴν ἔχουσιν ἔννοιαν. (ῃερς. 803.) Τὸ δὲ στῆναι ὑπὲρ κεφαλῆς τὸν ὄνειρον, καὶ ἡ Ἰλιὰς ἔχει ἐν τῇ κατὰ τὴν ¯β ῥαψῳδίᾳ. καὶ ἐῤῥέθη ἐκεῖ ἅπερ ἐχρῆν. (ῃερς. 800.) Ὅτι παραμυθίαν θρήνου δηλοῖ τὸ, ὅπως τὸν δεῖνα ὀδυρόμενον γοόωντα, παύσειε κλαυθμοῖο γόοιό τε δακρυόεντος. (ῃερς. 801.) Ἰστέον δὲ ὅτι τὸ, δακρυόεντος γόου, πρὸς ἀκρίβειαν κεῖται λόγου. ἔστι γάρ ποτε δάκρυον καὶ κλαυθμὸς, οὐ πρὸς γόον ἀλλὰ διάχυσιν χαρμονικήν. τοιοῦτον καὶ μετ' ὀλίγα τὸ, οὐδὲ ἐῶσι θεοὶ κλαίειν οὐδ' ἀκάχησθαι. διασαφεῖται γὰρ καὶ ἐκεῖ τὸ λυπηρῶς κλαίειν, διὰ τοῦ, οὐδ' ἀκάχησθαι. ἔστι γὰρ ἄλλως κλαίειν τινὰ, καὶ μὴ ἀκαχήμενον. (ῃερς. 804.) Ὅτι παρηγορητικὸν ἐπὶ νόστῳ ἀγαθοῦ υἱοῦ ἀποδήμου τὸ, εὕδεις ὦ δεῖνα φίλον τετιημένη ἢ τετιημένος ἦτορ, οὐ μέν σ' οὐδ' ἐᾷ θεὸς ῥεῖα ζώων, κλαίειν, οὐδ' ἀκάχησθαι. ἐπεί ῥ' ἔτι νόστιμός ἐστι σὸς πάϊς. οὐ μὲν γάρ τι θεὸν ἀλιτήμενός ἐστι. τουτέστιν οὐκ ἐφάμαρτός ἐστιν εἰς τὸ θεῖον. Καὶ ὅρα ὡς παιδεύει ὁ ποιητὴς, οὐδὲ ἀγαθοῦ νόστου τυγχάνειν τοὺς ἀλιτρούς. ὃ δὴ καὶ ὁ Λοκρὸς Αἴας παθεῖν προϊστόρηται. (ῃερς. 805.) Ῥεῖα δὲ ζώειν, τὸ ἀπόνως, καὶ οὐχ' ὑποδυσκόλως, ἀλλὰ κατὰ ἔμφρονα ῥᾳστώνην. (ῃερς. 809.) Ὅτι τὸ ὑπνώττειν βαθὺ, ἡδὺ μάλα κνώσσειν φησὶν ἐν ὀνειρείῃσι πύλῃσιν. ὡς τῶν οὕτω ὑπνωττόντων, καὶ ὀνείροις ὡς εἰκὸς ἐντυγχανόντων. Πύλας δὲ ὀνείρων λέγει ὥσπέρ που καὶ δῆμον ὀνείρων ἐν τοῖς ἑξῆς, ἐγγὺς Αΐδου ἔξω τοῦ Ὠκεανοῦ. ὥστε τὸ ἐν πύλαις ὀνείρων ὑπνοῦν τινα, ταυτόν ἐστι τῷ, ἐοικέναι θανόντι τὸν οὕτως ὑπνοῦντα, καθ' ὁμοιότητα τοῦ, ὕπνος θανάτῳ ἄγχιστα ἐοικώς. τῷ ἀδελφῷ δηλαδὴ κατὰ τὸν πολλαχοῦ δηλωθέντα μῦθον. Περὶ δὲ πυλῶν ὀνείρων, ἐρεῖ τὰ δοκοῦντα ὁ ποιητὴς ἐν τοῖς ἑξῆς. (ῃερς. 810.) Ὅτι πρός τινα ξένον παρήγορον ἐν πόνοις, ἐρεῖ τις τὸ, τίπτε δεῦρ' ἦλθες. οὔτι πάρος γε πωλέαι, ἐπεὶ μάλα πολλὸν ἀπόπροθι δώματα ναίεις. καί με κέλῃ παύσασθαι ὀϊζύος ἠδ' ὀδυνάων πολλέων, αἵ μ' ἐρέθουσι κατὰ φρένα καὶ κατὰ θυμόν. Καὶ ὅρα τὸ ἐρέθουσιν ἀντὶ τοῦ ἐρεθίζουσι. πρωτότυπον γὰρ τὸ ἐρέθειν, ὡς δηλοῖ καὶ τὸ, σχετλίη, μή μ' ἔρεθε. (ῃερς. 811.) Τὸ δὲ πωλέαι, ἐκ τοῦ πωλεῖται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρίτου προσώπου γίνεται κατ' ἔνδειαν τοῦ ¯τ καὶ ἀπέλευσιν καὶ τοῦ ἰῶτα. διὸ καὶ παροξύνεται. καθὰ καὶ ἐν τῇ ¯β ῥαψῳδίᾳ τὸ μυθέαι, εἰ μή τις ἴσως καὶ τοῦτο καὶ ἐκεῖνο προπαροξύνειν ἐθέλει, ὡς ἀναδραμόντα εἰς ὁμοιότητα τοῦ τύπτεται λείβεται καὶ τῶν ὁμοίων. 1.194 Ὅτι δὲ τὸ πωλεῖν οὐκ οἶδε γράφειν Ὅμηρος διὰ τοῦ μικροῦ ¯ο, ἐκδηλότατόν ἐστιν. (ηερς. 814.) Ὅτικαὶ κοιμωμένη ἡ Πηνελόπη πενθεῖ τὸν Ὀδυσσέα ἐν ὀνείρῳ, μεμνημένη καὶ λέγουσα ὅσα καὶ πρὸ μικροῦ ἐγρηγορυῖα. (ηερς. 816.) Θυμολέοντά τε πόσιν ἀπολέσαι εἰποῦσα παντοίας ἀρετὰς ἔχοντα, καὶ εὐκλεῆ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος, ὅ ἐστι κατὰ Θετταλίαν καὶ Πελοπόννησον. ἔνθα μάλιστα γνωρίζεται ὡς καὶ προδεδήλωται. (ηερς. 819.) Εἶτα καὶ τοῦ ἀγαπητοῦ παιδὸς μᾶλλον ὑπερπαθεῖν φησὶν ἤπερ τοῦ ἀνδρός. ἀεὶ γὰρ καὶ αὐτὴν ἡ τοῦ παρόντος ἀχθηδὼν κακοῦ τρύει κατὰ τὸν παρ' Αἰσχύλῳ Προμηθέα. Σημείωσαι δὲ ὡς καὶ ἡ Πηνελόπη ἐνταῦθα τῶν ποθουμένων μέμνηται καὶ ἐν ὀνείροις. διὸ ἔφη αὐτὴ ἀλλαχοῦ, ὡς εἴπερ τὸ τοῦ Ὀδυσσέως καλὸν δῶμα λείψει, μεμνήσεται αὐτοῦ ἔν περ ὀνείρῳ. (ηερς. 817.) Ὅτι περὶ πολεμίαν γῆν ἐκδημοῦντι υἱῷ ἀγαθῷ παναπάλῳ, ἐπιφωνηθήσεται τὸ, παῖς ἀγαπητὸς ἔβη νήπιος, οὔτε πόνων εὖ εἰδὼς, οὔτ' ἀγοράων. τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι. τοῦ δ' ἀμφιτρομέω καὶ δείδια μή τι πάθησι. δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῷ μηχανόωνται ἱέμενοι κτεῖναι πρὶν πατρίδα γαῖαν ἱκέσθαι. Ὅρα δὲ ὡς νήπιος νῦν ὁ Τηλέμαχος, οὔτε παιδικῶς, οὔτε ὡς ἄφρων, ἀλλ' ὡς τῶν κατ' ἄνδρα πράξεων ἔτι ἄπειρος. μητρικῆς δὲ ἀφελείας ἡ τοιαύτη λέξις ἐστίν. ἴσως δὲ καὶ ἐνταῦθα τὸ νήπιος, ἰδίᾳ καθ' ἑαυτὸ ἀναφωνεῖται. ἵνα λέγηται νήπιος ὁ Τηλέμαχος κατά τι σκῶμμα, ὡς οὐκ ἐμφρόνως τὸν πλοῦν στειλάμενος. (ηερς. 825.) Ὅτι θάρσους ποιητικὸν τὸ, θάρσει μὴ δέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίαν. τοίη γάρ τοι πομπὸς ἅμ' ἕσπεται, ἥν τε καὶ ἄλλοι ἀνέρες ἠρήσαντο παρεστάμεναι. δύναται γάρ. Τὸ δὲ μὴ δείδιθι λίαν, πάνυ ἀσφαλῶς ἐῤῥέθη. ἀκολούθως τῷ, μηδὲν ἄγαν. Ὡς δὲ ἀγαθόν ποτε καὶ τὸ δεδιέναι, δηλοῖ ὁ γράψας τὸ, ἀλλ' ἐστάτω μοι καὶ δέος τι καίριον. Τὸ δὲ ῥηθὲν ἔπος, παρῳδηθήσεται, καὶ εἰς ἄνδρα δυνατὸν ὠφελεῖν. (ηερς. 831.) Ὅτι ὁ θέλων θεόθεν γνῶναι περί τινος εἴτε ζῶν ἐστιν εἶτε καὶ μὴ, δύναται εἰπεῖν τὸ, εἰ μὲν δὴ θεοῖο ἔκλυες αὐδῆς, εἰ δ' ἄγε μοι καὶ κεῖνον ὀϊζυρὸν κατάλεξον εἴ που ἔτι ζώει καὶ ὁρᾷ φάος Ἠελίοιο. ἢ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν, ἐστὶ δηλαδή. ὁ δέ γε ἀπολογούμενος μὲν πρὸς τοιαύτην ἐρώτησιν οὐ μὴν εἰδὼς ἀκριβῶς, εἴποι ἂν, ὡς οὐ μέντοι κεῖνόν γε διηνεκέως ἀγορεύσω, ζώει ὅγ' ἢ τέθνηκε, κακὸν δ' ἀνεμώλια βάζειν. τοῦτο δὲ γνωμικῶς ἐῤῥέθη. Καὶ ὅρα ἐν τούτοις ὅτι τε τρεῖς στίχοι ἐφεξῆς ἀπὸ τοῦ ε¯ι ἄρχονται. ὁ εἷς, εἰ μὲν δὴ θεός ἐσσιν. ὁ δεύτερος, εἰ δ' ἄγε μοι. καὶ ὁ τρίτος, εἴ που ἔτι ζώει. (ηερς. 832.) Καὶ ὅτι τὸ, εἴδ' ἄγε, φανερῶς ἐνταῦθα κεῖται ἀντὶ τοῦ, εἶα δὴ ἄγε κατὰ θέσιν παράλληλον ταυτοδύναμον. τὸ γὰρ εἰπεῖν, εἴδ' ἄγε ἀντὶ τοῦ εἰ δὲ βούλει ἄγε, ἀδιανόητόν ἐστι. (ηερς. 833.) Τὸ δὲ καὶ ὁρᾷ φῶς Ἡλίου, δι' ὀρθότητα ἐννοίας κεῖται. ὡς δυνατὸν ὂν ζῆν μὲν μὴ βλέπειν δέ. οὕτω δὲ καὶ τὸ, εἰν Ἀΐδαο δόμοισι, πρὸς ἀκρίβειαν λόγου ἐῤῥέθη. κατὰ γὰρ τὸν ἐν τοῖς ἑξῆς δηλωθησόμενον Ἑλληνικὸν μῦθον, οὐ πᾶς τεθνηκὼς, καὶ ἐν Αἴδου γίνεται εἰ μὴ καὶ πυρᾷ δοθῇ καθὰ καὶ ὁ τοῦ Εὐριπίδου ἐμφαίνει Πολύδωρος. (ηερς. 834.) ὥστε τὸ, ἢ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν, ἀντὶ τοῦ ἢ ἤδη τέθνηκε καὶ τέθαπτε. (ηερς. 836.) Τὸ δὲ διηνεκέως, τὴν ἀληθῆ δηλοῖ ἀπόφανσιν, τὴν δι' ὅλου πράγματός τινος ἤκουσαν. ὡς ἐκ μεταφορᾶς τῆς διηνεκοῦς ὁδοῦ. ἤγουν δι' ἧς ὀρθῆς οὔσης καὶ ὡς εἰπεῖν ἀτραπιτοῦ, ἔστιν ἀσφαλῶς ἐνεχθῆναί τινα. τὸ γὰρ φάναι ζώει ὅγε ἢ τέθνηκεν, οὐ διηνεκές ἐστιν, ἀλλὰ διακοπήν τινα ἔσχεν. ἦν δ' ἂν διηνεκὲς, εἰ μόνον ἔφη τὸ ζώει, ἢ μόνον τὸ τέθνηκεν. οἱ μέντοι μεθ' Ὅμηρον ἄλλως χρῶνται τῷ τοιούτῳ ἐπιῤῥήματι, καὶ τοῖς αὐτοῦ συστοίχοις ὀνόμασιν. (ηερς. 837.) Ἰστέον δὲ ὅτι τὸ, ζώει ὅγ' ἢ τέθνηκεν, ὑπὸ τοῦ ὀνείρου ῥηθὲν, λοξῶς ἔχει ὡς ἐν λόγῳ χρησμοῦ. πλάττει δὲ ὁ ποιητὴς τοῦτο, πάνυ δεξιῶς. εἰ γὰρ ἠλήθευσε τὸ εἴδωλον εἰς διηνεκὲς καὶ εἶπε ζῆν τὸν Ὀδυσσέα, οὐ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνέφερε τῇ ποιήσει ταύτῃ. σύστασις γὰρ αὐτῆς, τὸ ἀγνοεῖσθαι τὸν Ὀδυσσέα ὑπὸ πάντων, καὶ μάλιστα ὑπὸ τῆς γυναικὸς, ὡς καὶ ἐν τοῖς ἑξῆς φανεῖται σαφῶς. Τὸ δὲ ἀνεμώλια ὅτι ἐκ τοῦ ἀνεμοόλια κέκραται, ἀλλαχοῦ δηλοῦται. (ηερς. 835.) Ὅτι τὸ, τὴν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρὸν ἤγουν ὁ ὄνειρος, δὶς ἐνταῦθα φησὶν ὁ ποιητής. ὅπερ εἴποι τις ἂν, ἐπὶ προσώπῳ ἰσχνῷ τινι καὶ εἰδεχθεῖ. (ηερς. 838.) Ὅτι τὸ, ἐλιάσθη ἐς πνοιὰς ἀνέμων, προσώπῳ ἂν ἐπιλεχθείη ἀφαντωθέντι οὐκ ἀξίῳ λόγου. (ηερς. 841.) Ὅτι κεῖται καὶ ἐνταῦθα τὸ, νυκτὸς ἀμολγῷ, καθὰ καὶ ἐν Ἰλιάδι. καὶ ἁρμόττει καὶ ὧδε τὰ ῥηθέντα ἐκεῖ. ἀσφαλέστερον δὲ ἴσως νοῆσαι ἀμολγὸν νυκτὸς, οὐ τὸν ἀφ' ἑσπέρας ἀλλὰ μᾶλλον τὸν πρὸς τῇ ἡμέρᾳ, ὅτε καὶ εἰκὸς ἀληθεύειν τὸν ἐνταῦθα 1.195 φανέντα ὄνειρον. ὅτι γὰρ ἀληθεῖς οἱ τοιοῦτοι, καὶ ἡ Ἰλιὰς ἐδήλωσεν. (ηερς. 844.) Ὅτι διηγεῖται κἀνταῦθα συνήθως ὁ ποιητὴς ἀρχόμενος οὕτως. ἔστι τις νῆσος καὶ τὰ ἑξῆς. σύντομον δὲ αὐτῷ τὸ διήγημα, νῆσον γὰρ ἱστορεῖ τινα λυπρὰν Ἀστερίδα εὐλίμενον. μέσην κειμένην ὡς καὶ προεῤῥέθη, Σάμου τε καὶ Ἰθάκης. εἰπών. ἔστι δέ τις νῆσος μέσσῃ ἁλὶ πετρήεσσα. μεσσηγὺς Ἰθάκης τὲ Σάμοιό τε παιπαλοέσσης, τῆς πρὸς βραχέων ῥηθείσης. Ἀστερίς. οὐ μεγάλη. λιμένες δ' ἔνι ναύλοχοι αὐτῇ, ἀμφίδυμοι. Ἔνθα τὸν Τηλέμαχον ἔμενον λοχῶντες Ἀχαιοί. τολμήσαντες τὸ κακόν. κατὰ τὴν παροιμίαν τὴν λέγουσαν πάντα κακοὶ τολμῶσι. Τὸ δὲ μέσῃ ἁλὶ, πρὸς διαστολὴν καὶ αὐτὸ εἴρηται τῶν χεῤῥονήσων, ἢ τῶν ἐγγὺς τῆς γῆς. Τὸ δὲ πετρήεσσα, οὐκ ἂν εἴη πόῤῥω τῆς παιπαλοέσσης. Ἡ δὲ Ἀστερὶς, ἔσχε κατὰ τὸν γεωγράφον καὶ πολίχνην. ἐκλίθη δὲ πρός τινων καὶ Ἀστερία. Λιμένες δὲ ναύλοχοι, ἢ παρὰ τὸ λέχος ἐν αἷς δηλαδὴ εὐνάζονται νῆες ὧν καὶ ἄγκυραι εὐναὶ λέγονται ἢ κατὰ πλεονασμὸν τοῦ ¯λ. ἵνα εἶεν ναύοχοι, ἐν οἷς ὀχοῦνται νῆες. κατὰ τὸ, καὶ λιμένες νηῶν ὄχοι βαρυτόνως ἢ ὀχοὶ ὀξυτόνως, ὃ ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ κεῖται. ἢ καὶ ἄλλως, παρὰ τὸν λόχον. ἐν αἷς ἦν λοχῆσαι. διὸ ἐπήγαγε τὸ, τόν γε μένον λοχόωντες Ἀχαιοί. (ηερς. 847.) Τὸ δὲ ἀμφίδυμοι, καθ' ἱστορίαν εἴρηται καὶ αὐτό. δηλοῖ δὲ, τοὺς οἷον διδύμους διὰ τὸ ἐξ ἑκατέρου μέρους ἔχειν εἰσδύσεις. ταυτόν δ' εἰπεῖν, καταγωγάς. (ηερς. 846.) Ἰστέον δὲ ὅτι λιμὴν παρὰ τὸ λίαν μένειν γίνεται, πρός τε τὸν κυμαίνοντα πόντον διαστελλόμενος, καὶ πρὸς τοὺς ἐγγὺς τῆς γῆς εὐρίπους. ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ε. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Ἐκκλησίαν τῶν θεῶν δευτέραν ποιησάμενος ὁ Ζεὺς, Ἑρμῆν πρὸς Καλυψὼ πέμπει, κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα. ἡ δὲ, τὸ κελευσθὲν ποιεῖ. τῇ δὲ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἰδὼν αὐτὸν ὁ Ποσειδῶν καὶ χαλεπήνας, λύει τὴν σχεδίαν. Ἰνὼ δὲ αὐτῷ δίδωσι κρήδεμνον, ἐντειλαμένη ἐπιβάντι τῆς γῆς, ἀποῤῥίψαι αὐτό. καὶ πολλὰ παθὼν, εἰς τὴν τῶν Φαιάκων χώραν ἔρχεται διασωθείς. ΟΔΥΣΣΕΙΑΣ Ε. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. Ὅτι ἡ ἐπιγραφὴ τῆς ῥαψῳδίας ταύτης, αὕτη. ἀπόπλους Ὀδυσσέως παρὰ Καλυψοῦς. ἄρχεται δὲ ἀπὸ συνήθους τῷ ποιητῇ περιφράσεως. ὅτι δηλαδὴ Ἠὼς ἐκ λεχέων παρὰ Τιθωνοῦ ὄρνυτο ἀθανάτοις φόως φέρουσα καὶ βροτοῖς. περὶ οὗ ἱκανῶς μὲν ἐῤῥέθη ἐν Ἰλιάδι. νῦν δὲ ἀρκέσει εἰπεῖν, ὡς ἡ μὲν ἔννοια τοῦ ῥητοῦ, δηλοῖ τὸ, ἐγένετο ἡμέρα. Τιθωνὸς δὲ, καθ' ἱστορίαν μὲν, ἀδελφὸς Λαομέδοντος, ᾧ φασι τὴν ἡμέραν συνοικεῖν διὰ κάλλος, ἀλληγορικῶς δὲ, ὁ ἥλιος ὁ πανταχοῦ γῆς τιταίνων τὰς ἀκτῖνας. Ἀθάνατος δὲ, τὰ στοιχεῖα τοιαῦτα νομιζόμενα τοῖς Ἕλλησιν, ἃ καὶ αὐτὰ, τῇ ἡμέρᾳ φωτίζεται. Διὰ δὲ τῶν ἀνθρώπων ὡς ἐκ μέρους καιριωτάτου, πάντα δηλοῦται τὰ ἔμψυχα, οἷς ὁ Ἥλιος ἐπιλάμπει. (ηερς. 3.) Ὅτι ἐν μὲν τῇ ¯α ῥαψῳδίᾳ, ἐκκλησία ἦν τοῖς Ὁμηρικοῖς θεοῖς, περὶ τοῦ σώζεσθαι τὸν Ὀδυσσέα. ἐνταῦθα δὲ περὶ τοῦ πῶς. καὶ ἐκεῖ μὲν, Ζεὺς ἐδίδου ἀρχὰς λόγου τῇ Ἀθηνᾷ προλογίσας αὐτός. (ηερς. 8.) ὧδε δὲ, αὐτὴ κατάρχει δημηγορίας κήδεα πόλλ' Ὀδυσσῆος. καὶ λαλοῦσα κατὰ τῶν πολιτῶν τῆς Ἰθάκης, ὅσα καὶ πρὸ τούτων ὁ Μέντωρ. ἐν οἷς ἐκεῖνος ἔλεγε κατὰ ἦθος βαρύτητος, μηκέτι χρῆναι βασιλέα ἤπιον εἶναι ἀλλὰ χαλεπὸν καὶ ἑξῆς. σεμνολογῶν δὲ καὶ τὸν τοῦ μύθου Δία, φησί. Ζεὺς ὑψιβρεμέτης οὗ τε κράτος ἐστὶ μέγιστον. Λέγει δὲ καὶ τὸ ἐκκλησιάζειν, θῶκονδε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθιζάνειν. καθ' ὁμοιότητα τοῦ, οὐδέ ποθ' ἡμετέρη ἀγορὴ γένετο οὐδὲ θόωκος. (ηερς. 13.) Ὅτι ὡς ἐν Ἰλιάδι τὸν Ἀχιλλέα μηνίοντα καὶ ἀπρακτοῦντα κεῖσθαι εἶπεν ὡς τοῦ ἀπρακτεῖν μικρόν τι ἀπεοικότος τοῦ κεῖσθαι, οὕτω καὶ τὸν Ὀδυσσέα ἡ Ἀθηνᾶ κεῖσθαι φησὶν ἐν τῇ τῆς Καλυψοῦς νήσῳ. φησὶ γάρ. ἀλλ' ὁ μὲν, ἐν νήσῳ κεῖται κρατέρ' ἄλγεα πάσχων, καὶ ἑξῆς στίχους ἑπτά. διττολογοῦντας διὰ τὸ ἐκ τῶν φθασάντων ἐνταῦθα παρειλκύσθαι. (ηερς. 23.) Ὅτι πρός τινα ἀξιοῦντα περί τινος ἅπερ αὐτὸς δύναται ποιῆσαι, 1.196 ῥηθήσεται ἐρωτηματικῶς τὸ, οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτὸς ὡς ἤτοι κεῖνος ἐλθὼν ποιήσει τό δέ τι; (ηερς. 24.) πρὸς δέ τινα δυνάμενον σῶσαι, ῥηθήσεται τὸ, τὸν δεῖνα δὲ σὺ πέμψον ἐπισταμένως. δύνασαι γὰρ, ὥς κε μάλ' ἀσκηθὴς ἵκεται. Πόθεν δὲ γίνεται ὁ ἀσκηθὴς, πολλαχοῦ ἐδηλώθη. (ηερς. 27.) Ὅτι ὥσπερ ἐρέτας που ἔφη ἐπιτηδὲς ἀντὶ τοῦ ἐπιτηδεῖς ἀποβολῇ τοῦ ἰῶτα ἢ καὶ συγκοπῇ ἀπὸ τοῦ ἐπιτηδέας. ὁμοίως δὲ καὶ ἀκλεὲς ἀντὶ τοῦ ἀκλεεῖς, οὕτω καὶ νῦν τὸ, μνηστῆρες ἐν νηῒ παλιμπετὲς ἀπονέωνται, ἀντὶ τοῦ παλιμπετεῖς. ἤγουν πεσόντες ἀνάπαλιν τοῦ σκοποῦ. καὶ ἔστιν ἐκ πεσσῶν ἡ μεταφορὰ πιπτόντων ὅπως ἂν τύχῃ. δύναται δὲ καὶ ἐπίῤῥημα τοῦτο εἶναι, καλῶς ὀξυνόμενον. τὰ μὲν γὰρ ἐκ τοῦ πέτεσθαι γινόμενα, βαρύνονται. οἷον ἀετὸς ὑψιπέτης. καὶ τὰ τοιαῦτα. τὰ δὲ ἀπὸ τοῦ πεσεῖν, ὀξύνονται. οἷον, παλλάδιον ὑψιπετές. (ηερς. 29.) Ὅτι πρὸς ἄγγελον ἔργον αὐτὸ τοῦτο ἔχοντα, ῥηθήσεται τὸ, ὦ δεῖνα σὺ γὰρ αὖτε τάτ' ἄλλα περ ἄγγελός ἐσσι εἰπεῖν τῷ δεῖνι ὅ ἐστιν εἰπὲ νημερτέα βουλήν. οἷον, νόστον ὥσκε νέηται. Ἵνα ᾖ ἑρμηνεία βουλῆς μὲν, ὁ νόστος. νόστου δὲ, τὸ ὥς κε νέηται. (ηερς. 29.) Ὅτι Ἑρμῆς ἄγγελος νύμφῃ εὐπλοκάμῳ τῇ Καλυψοῖ στέλλεται διὰ τὴν Ὀδυσσέως ἐπάνοδον. ἧς ἡ ἀλληγορία ἱκανῶς ἐν τῇ ¯α ῥαψῳδίᾳ προεκτέθειται. Ἰστέον δὲ ὅτι Ἑρμῆς μὲν, ἅπαξ ἐνταῦθα ὁμοίως δὲ καὶ ἐν Ἰλιάδι, διακονεῖ. ἡ δὲ Ἶρις, ἐν Ὀδυσσείᾳ μὲν οὐδόλως. ἐν δὲ τῇ Ἰλιάδιπολλάκις. εἰ δὲ ψυχὰς Ἑρμῆς ἐν τοῖς ἑξῆς ἐκκαλεῖται, ἀλλ' ἐκεῖνο, οὐ στελλόμενος ποιεῖ. ἀλλ' ὡς οἰκεῖον ἔργον αὐτόνομος ἀποτελεῖ. Ἔτι ἰστέον καὶ ὡς δοκεῖ πλάσαι οὐ τὴν Ἶριν ἀλλὰ τὸν Ἑρμῆνἐνταῦθα σταλῆναι, διὰ τὸ τῆς ῥηθείσης ἀλληγορίας εὐυπονόητον καὶ πιθανόν. Ἑρμῆς γὰρ λόγος, λύσει τὸν Ὀδυσσέα ἐκ τῆς κατεχούσης Καλυψοῦς. εἰς τοῦτο δὲ, οὐκ εὐοδοῦται ἡ τῆς Ἴριδος ἀποστολή. Ἔτι ἰστέον καὶ ὅτι σχῆμα ἐνταῦθα κεῖται προαναφωνήσεως ἤτοι προεκθέσεως τῶν μετὰ πολλοὺς λόγους ἐκβησομένων. ἤγουν ὡς ὁ ταλασίφρων Ὀδυσσεὺς νοστήσει οὔτε θεῶν πομπῇ οὔτε θνητῶν ἀνθρώπων ὡς ὁ Ζεὺς λέγει τουτέστι τὸ πεπρωμένον, ἀλλ' ὅγ' ἐπὶ σχεδίης πολυδέσμου πήματα πάσχων, ἤματι εἰκοστῷ Σχερίην ἐρίβωλον ἵκοιτο Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν. οἵ μιν περὶ κῆρι θεὸν ὣς τιμήσουσι. πέμψουσι δ' ἐν νηῒ φίλην ἐς πατρίδα γαῖαν. χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά τε δόντες. πόλλ' ὅσ' ἂν οὐδέ ποτε Τροίης ἐξήρατ' Ὀδυσσεὺς, εἴπερ ἀπήμων ἦλθε λαχὼν ἤτοι κληρωσάμενος ἀπὸ ληῒδος αἶσαν. εἶτα δεικνὺς ὁ ποιητὴς ἀλληγορικῶς τίνα Δία ἐνταῦθα εἶπε, καὶ ὅτι ἀκολούθως τοῖς πεπρωμένοις ἐξετέθη καὶ ἡ ῥηθεῖσα ἔκθεσις, ἐπάγει. ὣς γὰρ οἱ μοῖρα ἐστὶν ἐλθεῖν εἰς τὰ ἑαυτοῦ. καὶ ἔστιν ἡ ῥηθεῖσα προέκθεσις, ὀκτὼ ῥαψῳδιῶν συγκεφαλαιωτική. ἐν αἷς τὰ ῥηθέντα συμβήσεται, ὡς ἐν τοῖς ἑξῆς ἔσται δῆλον. (ηερς. 32.) Ὅρα δ' ἐν τούτοις τὸ, οὔτε θεῶν πομπῇ οὐτ' ἀνθρώπων, περὶ μόνου τοῦ πλόου λεχθέν. ἀπὸ γὰρ τῆς κατὰ τὴν Καλυψὼ νήσου ἕως καὶ εἰς Φαίακας, οὐδεὶς τὸν Ὀδυσσέα ἔπεμψεν. εἰ καὶ ἄλλως αὐτὸν ἡ Λευκοθέα ἐν τῷ μέσῳ περιεποιήσατο. ἐκ μέντοι τῆς τῶν Φαιάκων γῆς εἰς Ἰθάκην, πομπὴ ἀνθρώπων τὸν Ὀδυσσέα ἤγαγε. Σχεδία δὲ κυρίως μὲν, ἡ μονόξυλος ἢ ἡ ὀλιγόξυλος οὕτω καλουμένη, διὰ τὸ σχεδὸν ἤγουν ἐγγὺς καὶ οἷον αὐθωρὸν συμπεπῆχθαι αὐτοσχεδίως καὶ μὴ ἀναβεβλημένως. ἡ δὲ ῥηθεῖσα τοῦ Ὀδυσσέως σχεδία ἡ πολύδεσμος, οὐκ ἦν φασι σχεδία κυρίως. ἡ μὲν γὰρ σχεδία, πηδάλιον οὐκ ἔχει. αὐτὴ δὲ, ἕξει. πλὴν σημειωτέον ἐνταῦθα ὡς οὐκ ἤδη διατοῦτο καὶ αἱ καθ' Ὅμηρον Φαιακικαὶ νῆες, σχεδίαι ἂν λεχθεῖεν οἷα μὴ διοικούμεναι πηδαλίοις ὡς ἐν τοῖς ἑξῆς φανήσεται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκεῖναι γὰρ, τερατώδεις εἰσί τινες ὡς ἐκεῖ λεχθήσεται. Ἰστέον δὲ καὶ ὅτι λείπει τὸ ναῦς ἐν τῷ σχεδία, ἵνα λέγῃ ὁ ποιητὴς, ἐπὶ σχεδίης νηός. γίνεται δὲ ἡ σχεδία ὡς ἐῤῥέθη, ἐκ τοῦ σχεδόν. καθὰ καὶ ἐκ τοῦ ἀμφαδὸν ἀμφάδιος καὶ ἀμφαδία. Πολύδεσμος δὲ, ἡ πολλοῖς ἐνδεδεμένη γόμφοις. ὅπερ οὐδ' αὐτὸ ἡ κυρίως σχεδία ἔχει. Τὸ δὲ πήματα πάσχων, ἀντίκειται πρὸς τὸ, ἀπήμων ἦλθε. (ῃερς. 34.) Σχερία δὲ πάλαι ποτε, ἡ τῶν Φαιάκων νῆσος. τὸ δὲ ἀρχαιότατον, Δρεπάνη φασὶν ἐκαλεῖτο. ὕστερον δὲ, ἐκλήθη Κέρκυρα. περὶ ἧς ἐν τοῖς τοῦ περιηγητοῦ γέγραπται. κεῖται δὲ ἡ Σχερία πρὸς τῷ Ἰονίῳ κόλπῳ. φέρεται δὲ μῦθος περὶ αὐτῆς, τοιοῦτος. Δήμητρα φοβουμένη μή ποτε οἱ ἐκ τῆς ἠπείρου ἀντικρὺ τῆς νήσου ταύτης ῥέοντες ποταμοὶ, προχώσαντες αὐτὴν χεῤῥονησιάσωσιν, ἐδεήθη Ποσειδῶνος ἀποστρέψαι καὶ ἐπισχεῖν τὰ τῶν τοιούτων ποταμῶν ῥεύματα. ὧν καὶ ἐπισχεθέντων, ἀντὶ Δρεπάνης Σχερία ἐκλήθη παρὰ τὴν τῶν ῥευμάτων ἐπίσχεσιν. Ὅτι δὲ ἐρίβωλος καὶ ἄλλως δὲ εὐδαίμων ἡ τῶν Φαιάκων, αἱ ἱστορίαι λέγουσιν. Ἡ δὲ κλῆσις τῶν Φαιάκων, ἀπό τινος ἐνδόξου Φαίακος. Κέρκυραν γάρ φασι τὴν 1.197 Ἀσωπίδα Ποσειδῶν ἀγαγὼν εἰς Σχερίαν καὶ μιγεὶς, ἴσχει παῖδα Φαίακα, ἐξ οὗ οἱ Φαίακες. οὓς ἀγχιθέους ἡ ποίησις λέγει, ἢ κατὰ γένος. ἐκ Ποσειδῶνος γὰρ ὡς ἐῤῥέθη ὁ πρόγονος αὐτῶν Φαίαξ, διὸ καὶ συνδιάγουσιν αὐτοῖς θεοὶ ὡς ἐν τοῖς ἑξῆς μυθεύεται. ἢ διὰ τὴν εὐδαιμονίαν τῆς κατ' αὐτοὺς γῆς. ἢ διὰ τὸ φιλόξενον καὶ τὴν λοιπὴν ἀρετήν. ὃ καὶ κρεῖττον εἶναι δοκεῖ. ἐρεῖ γὰρ ὁ Φαίαξ Ἀλκίνοος, ὡς ἐγγὺς ἐσμὲν τῶν θεῶν καθάπερ Κύκλωπές τε καὶ ἄγρια φῦλα Γιγάντων. ἤγουν οὕτως ἐσμὲν φίλοι θεοῖς, ὡς ᾠκείωνται ἀλλήλοις οἱ Κύκλωπες καὶ οἱ Γίγαντες οἱ λῃστρικοί. λαβὼν ἐκεῖνος τὴν ὁμοιότητα, ἐκ τῶν ἐναντίων μὲν, ὁμοίων δὲ ὅμως κατὰ σχέσιν ποιότητος. ὡς καὶ εἴ τις εἴποι, τόσον ἡδὺ τὸ μέλι, ὅσον ἀηδὲς τὸ ἀψίνθιον. τοιοῦτον σχῆμα καὶ παρὰ Σοφοκλεῖ, ἐν τῷ, ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκύς. Ἰστέον δὲ ὡς οἱ ὕστερον Φαίακες εἰ καὶ ναυτικοὶ, ἀλλ' οὐ κατὰ τοὺς Ὁμηρικοὺς ἀγαθοὶ καὶ ὀρθοὶ τὴν φιλίαν. οἳ ἐν τοῖς Περσικοῖς ἑξήκοντα νῆας πληρώσαντες, μόγις τε ἀνήχθησαν ὡς ἡ ἱστορία φησὶ, καὶ σκῆψιν δὲ ὕστερον ἐποιήσαντο ὑπὸ ἐτησίων ἀνέμων κωλυθῆναι. καὶ οὕτω διεκρούσαντο τοὺς Ἕλληνας. μελετήσαντες, καὶ τὸν Πέρσην ἄλλως πως παρακρούσασθαι. Ἰστέον δὲ καὶ ὡς ἐν τοῖς ἑξῆς καὶ ἀνθρώπους διοτρεφεῖς τοὺς Φαίακας ἐρεῖ. καὶ ἔστι καὶ αὐτὸ ἑρμηνεία τις τοῦ ἀγχίθεοι. Ὅρα δὲ κάλλος παρισωτικὸν ἐν τῷ, γεγάασι. τιμήσουσι. πέμψουσι. (ῃερς. 38.) Τὸ δὲ ἐσθῆτα, προσηγορικῶς ἐῤῥέθη; ἀντὶ τοῦ, ἐσθῆτας. ἄλλως γὰρ οὐκ ἦν ἡ λέξις εἰς δάκτυλον χρήσιμος. (ῃερς. 39.) Τὸ δὲ πολλὰ, ὡς ἐπὶ κτημάτων εἶπε. κτήματα γὰρ ὁ χαλκὸς καὶ τὰ ἑξῆς ὅσα ἐκ τῆς λείας ἔλαχεν ἂν Ὀδυσσεύς. ἤγουν ἐκτήσατο διὰ συνήθους λαχμοῦ. Τὸ δὲ ἐξήρατο, ἢ ἀντὶ τοῦ ἐξαίρετο ἔλαβεν. ἢ ἐξ Ἄρεος ἤτοι πολέμου ἔσχε. κατὰ τὸ, ἐμόγησε καὶ ἤρατο. ἢ καὶ ἁπλῶς ἀντὶ τοῦ, ἦρε. Καὶ σημείωσαι δύο τούτους ἥρωας ἐν πλάνῃ πλουτήσαντας ἄλλως μέντοι καὶ ἄλλως, τὸν Ὀδυσσέα δηλαδὴ καὶ τὸν Μενέλαον. (ῃερς. 44.) Ὅτι καὶ τῷ Ἑρμῇ καθὰ καὶ τῇ Ἀθηνᾷ πρὸ τούτων, καλὰ πέδιλα ὁμῦθος δίδωσιν. ἀμβρόσια. χρύσεια. ἅπερ αὐτὸν ἔφερον ἐπί τε ὑγρὰν ἐπί τε ἀπείρονα γαῖαν, ὁμοίως ἀνέμου πνοαῖς. οὐ μὴν ὁμοίως πτεροῖς ἐξ ὧν οἱ κατὰ τὸν Ἑρμῆν λόγοι παρωνυμοῦνται. πτεροῦ γὰρ ταχύτερον ἄνεμος. προϊὼν μέντοι, καὶ πέτεσθαι αὐτὸν ὁ ποιητὴς ἐρεῖ ῥάβδον μετὰ χερσὶν ἔχοντα. ὅπερ οἰκειότερον Ἑρμῇ διὰ τοὺς πτερόεντας λόγους. δῆλον δὲ ὅτι ὥσπερ τοὺς κατὰ σπουδὴν τρέχοντας οἱ πόδες φέρειν λέγονται, οὕτω καὶ ὧδε τὸν Ἑρμῆν τερατωδέστερον ὡς καὶ ἀλλαχοῦ τὴν Ἀθηνᾶν, τὰ χρυσᾶ φέρει πέδιλα. ὡς δὲ ἐκ τοῦ περὶ πέδον εἰλεῖσθαι γίνεται τὸ πέδιλον καὶ ὡς διὰ τῆς ε¯ι διφθόγγου τὴν αὐτοῦ παραλήγουσαν οἱ παλαιοὶ ἔγραφον, δεδήλωται καὶ ἀλλαχοῦ. εἰς δὲ σύμβολον τοῦ κατὰ τὸν Ἑρμῆν τάχους, καὶ ὁ περὶ τὴν αὐτοῦ κεφαλὴν πλαττόμενος πέτασος εἴληπται. κατὰ τὸν εἰπόντα ὡς Ἑρμῆς πέδιλα εἶχε καὶ κηρύκειον ἐν χειρὶ, καὶ πέτασος αὐτῷ ἦν περὶ τὴν κεφαλήν. γενικὴ δὲ λέξις τὰ πέδιλα, λεγόμενα καὶ ἐπὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γυναικῶν. εἴδη δὲ αὐτῶν μυρία ἐπί τε ἀνδρῶν ἐπί τε γυναικῶν. οἷον διάβαθρον. γυναικεῖον δὲ αὐτὸ φόρημα. ὡς τὸ, διάβαθρον λεπτὸν φορεῖ. βαυκίδες. ὡς τὸ, φελλὸς ἐν τοῖς βαυκίσιν ἐγκεκάττυται. ἀρβύλαι αἱ καὶ ἀρβυλίδες. ἀσκέραι. περσικαί. ὧν χρῆσις καὶ παρὰ τῷ κωμικῷ. Ὅτι ἴδια φορήματα παρὰ τῷ ποιητῇ, Ἀθηνᾶς μὲν, δόρυ. Ποσειδῶνος δὲ, τρίαινα. ἣν φέρει καὶ εἰς Αἰθίοπας ἀπιών. δι' ἧς ποιεῖ τὰ εἰς τὸν Ὀδυσσέα κακά. Ἑρμοῦ δὲ φόρημα, ῥάβδος. φησὶ γοῦν Ὅμηρος. εἵλετο δὲ ῥάβδον τῇ τ' ἀνδρῶν ὄμματα θέλγει ὧν ἐθέλει. τούς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει. τὴν, μετὰ χερσὶν ἔχων, πέτετο κρατὺς ἀργειφόντης. ὅ ἐστι κραταιός. (ῃερς. 47.) Ἰστέον δὲ ὅτι τὴν τοῦ Ἑρμοῦ ῥάβδον χρυσῆν ἐνταῦθα μὴ εἰπὼν, ὅμως ἐν τοῖς ἑξῆς χρυσόῤῥαπιν αὐτὸν προσειπὼν, ἐμφαίνει τὸ τῆς ῥάβδου χρύσεον. ῥάπις γάρ φασιν, ἡ ῥάβδος. ἀφ' ἧς Ἑρμῆς χρυσόῤῥαπις. ὃν ἐχρῆν ἔχοντα χρυσᾶ πέδιλα, καὶ χρυσόῤῥαπιν εἶναι. ἀλληγορία δὲ τῆς τοιαύτης Ἑρμαϊκῆς ῥάβδου ἐνεργημάτων, τὸ τοὺς μὲν νήφοντας, κηλεῖν. τοὺς δὲ καθηρημένους δι' ἔκλυσιν, διεργείρειν. ἢ καὶ ἄλλως ὡς θέμις λόγῳ, τοὺς μὲν ὀρθίους πλέον ἢ δεῖ καὶ ἀγήνορας, πραΰνειν διὰ πειθοῦς. τοὺς δὲ χαλίφρονας, μεριμνητὰς ποιεῖν ὡς τοῦ λόγου τοιαῦτα δυναμένου ἐν οἷς πῇ μὲν ἐπιεικεύεται καὶ παραμυθεῖται καὶ μειοῖ τὰ ἐγκλήματα ἢ καὶ τέλεον ἐξαιρεῖ αὐτά. πῇ δὲ, ἐκτραχύνει καὶ σφοδρύνει καὶ ἐρεθίζει καὶ αὔξει. ταῦτα δὴ τὰ τῆς Ἑρμαικῆς ῥάβδου τῆς ῥητορικῆς δηλονότι πειθοῦς. εἴρηται δὲ περὶ τῆς τοιαύτης ῥάβδου, καὶ ἐν Ἰλιάδι. Τὸ δὲ θέλγειν νῦν ἀντὶ τοῦ κοιμίζειν λέγεται ὥς φασιν οἱ παλαιοί. καὶ οὐδὲ νῦν ἡ λέξις ἐπ' ἀγαθῷ κεῖται, ἀλλὰ στέρησιν δηλοῖ τοῦ νήφειν. οὗ ἀνάπαλιν, 1.198 τὸ ὑπνώοντας ἐγείρειν. Τοῦ δὲ κρατὺς, οὔτε κλίσις παρὰ τῷ ποιητῇ κεῖται, οὔτέ τις ἑτεροία παραγωγὴ ἀπ' αὐτοῦ. (ῃερς. 50.) Ὅτι Ὁμήρου εἰπόντος ὡς Πιερίην ἐπιβὰς ὁ Ἑρμῆς, ἐξ αἰθέρος ἔμπεσεπόντῳ, οὐκ ἂν ἀπεικότως Ἡσίοδος δοκοίη ἐκ Πιερίας τὰς Μούσας ἐπικαλέσασθαι διὰ τὸ κατ' ἀλληγορίαν ἐπίηρον τοῦ λόγου τοῦ κατὰ τὰς Μούσας. ἄλλως δὲ καθ' ἱστορίαν, ὄρος παρώνυμον Πιερός τινος ἥρωος ἡ Πιερία, Μακεδονικόν. ἱερὸν Μουσῶν. περὶ οὗ καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα εἴρηται. Ὅρα δὲ τὸ μὲν Πιερίην ἐπιβὰς, ἐπὶ γῆς οἰκείως ῥηθέν. Τὸ δὲ ἔμπεσεν, ἐπὶ πόντου καιρίως καὶ αὐτό. Σημείωσαι δὲ τὸ ἐπιβὰς αἰτιατικῇ συνταχθέν. ἕτερον ὂν παρὰ τὸ, ἐπιβὰς ἵππου ἢ ἅρματος. (ῃερς. 51.) Ὅτι τὸν Ἑρμῆν ὁ ποιητὴς ἐς Καλυψὼ Ἀτλαντίδα ὡς εἰς συγγενῆ σταλέντα, λάρῳ εἰκάζει. ποιητικῶς μὲν, διὰ τὸ κατὰ θυμὸν εὔπλαστον. τοιούτῳ γὰρ ἔδει ὄρνιθι παραβαλεῖν τὸν τῇ θαλάσσῃ ἑαυτὸν ἐπαφέντα, οὐ μὴν ἀετῷ ἤ τινι τοιούτῳ. ταῦτα γὰρ εἰ καὶ εὐγενῆ, ἀλλὰ οὐ πυκνόπτερα καὶ οἷα νήχεσθαι. ἀλληγορικῶς μέντοι, λάρῳ εἴκασται ὁ Ἑρμῆς, διά τε τὸ λευκὸν καὶ ὡς εἰπεῖν ἐναργὲς ἀφ' οὗ καὶ Ἀργειφόντης καλεῖται ὡς λόγος ἐναργῶς φαίνων τὰ κατὰ ψυχὴν, καὶ διότι δὲ ὁ λάρος παρηχεῖταί πως τῷ λαρῷ τουτέστι τῷ γλυκεῖ, ὡς καὶ ἐν Ἰλιάδι ἔκκειται. τοιοῦτος γὰρ ὁ Ἑρμῆς λόγος, πολὺ ἔχων τὸ λαρόν. Ἰστέον δὲ, ὅτι τὸν λάρον, τῇ εὐηθείᾳ ἡ ὕστερον προσοχὴ παροιμιακῶς ἀποκληροῖ. ὅθεν, καὶ λάρους τοὺς εὐήθεις φαμέν. οὕτω δὲ καὶ Κέπφους, ἀπὸ κούφου ὥς φασιν οἱ παλαιοὶ ὀρνιθαρίου καὶ εὐμεταχειρίστου καθὰ καὶ παρὰ τῷ κωμικῷ ἔστιν εὑρεῖν. καὶ ὧτοι δὲ οἱ αὐτοὶ, ἀπὸ ὀρνέου μιμηλοῦ καὶ εὐεξαπατήτου. ὡς ἀλλαχοῦ σαφῶς δηλοῦται. διὸ καὶ ἡ κωμῳδία σκώπτουσα τοὺς Ἀθηναίους, ὦ μόνοι ὧτοι τῶν Ἑλλήνων, ἔφη. λοιδοροῦσα ἐκείνους, ὡς ῥᾷον ἀπατωμένους οἷς ἀκούουσιν. (ῃερς. 53.) ἔστι δὲ ἡ περὶ τοῦ καθ' Ἑρμῆν λάρου φράσις, αὕτη. σεύατ' ἔπειτ' ἐπὶ κῦμα, λάρῳ ὄρνιθι ἐοικώς. ὥστε κατὰ δεινοὺς κόλπους ἁλὸς, ἰχθῦς ἀγρώσσων, πυκινὰ πτερὰ δεύεται ἅλμῃ. τοῦτο δὲ, ἴδιον τῶν ἐναλίων ὀρνίθων. οἷα τῆς φύσεως ὥς φησι Πίος, τὴν πύκνωσιν παρεσχημένης τοῖς ἐξ ὑγρῶν ποριζομένοις τὸ ζῆν, ἵνα μὴ ῥᾳδίως πρὸς τὴν σάρκα διϊκνούμενον τὸ ὑγρὸν, πημαίνῃ αὐτήν. (ῃερς. 54.) Εἶτα τὴν παραβολὴν ἀποδιδοὺς, φησί. τῷ, ἴκελος, πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς. τοῦτον δὲ, παρένθετον οἴονταί τινες τὸν στίχον καὶ ὀβελίζουσιν ἤτοι ἀθετοῦσιν, ὡς ἐπεβληθέντα, καὶ τὸ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πτήσεως ἀχρειοῦντα τάχος. βραδύτερον γάρ φασι πορεύσεται Ἑρμῆς κύμασιν ἐποχούμενος καὶ μὴ ὑπερφερόμενος αὐτῶν καὶ οὕτω κατὰ τὴν ποιητικὴν λέξιν πετόμενος ἢ ἅμα πνοιαῖς ἀνέμων φερόμενος. οἱ δὲ τοῦτο ποιοῦντες, τί ἂν ἐροῦσι πρὸς τὸ, ἐξ αἰθέρος ἔμπεσε πόντῳ. εἰ γὰρ πέτεται, πῶς ἔμπεσε πόντῳ; ἢ δηλονότι, ὡς ὁ παραβολικὸς λάρος, οὕτω δὲ καὶ τοσόνδε διαδραμεῖν ἁλμυρὸν ὕδωρ ὁ Ἑρμῆς ἐρεῖ. εἰ δὲ καὶ ἴσως δόξει διὰ τὰ εἰρημένα, ὁ λάρος Ἑρμῇ ἀνακεῖσθαι, ἀλλὰ μάλιστα Ἡρακλεῖ ᾠκείωται ἢ ὁ ἁπλῶς, ἢ ὁ λεγόμενος βουφάγος, ἐπεὶ τοιοῦτος καὶ ὁ Ἡρακλῆς. Λεπρεὺς γάρ φασιν Ἡρακλεῖ ἐρίσας δίσκῳ, καὶ ὕδατος ἀντλῆσαι, καὶ ὅς τις ἀναλώσει θᾶττον ταῦρον, λείπεται πάντα. ἤγουν ἡττᾶται ὑφ' Ἡρακλέος εἰς τὰ εἰρημένα πάντα. εἶτα θωρηχθεὶς, προκαλεῖται Ἡρακλέα, καὶ θνήσκει ἐν τῇ μάχῃ. οὕτω γράφει μὲν Ἀθήναιος. πρὸ αὐτοῦ δὲ, ἱστοροῦσι καὶ ἕτεροι. ὡς δὲ οὐ μόνος Ἡρακλῆς βουθοίνας ἦν ἀλλὰ καὶ ἄλλοι, ἐκ τῶν ἱστοριῶν δῆλον ἐστί. Θεαγένης γοῦν φασιν ὁ Θάσιος αὐλητὴς, ταῦρον κατέφαγε μόνος. ὃς καὶ φησὶ παρά τινι ποιητῇ, ὡς ἔφαγον Μῃόνιον βοῦν ἤγουν Λυδόν. πάτρη γὰρ βρῶμην οὐκ ἂν ἐπέσχε Θάσος. περὶ δὲ Μίλωνος τοῦ Κροτωνιάτου φησὶ Δωριεὺς, ὅτι ὃν ἐπόμπευσε βοῦν εἰς κρέα τόνδε κόψας, πάντα κατ' οὖν μοῦνος δαίσατό νιν. καὶ Τίτορμος δέ φασιν ὁ Ἰταλὸς διηριστήσατο ἑαυτῷ βοῦν ὡς καὶ αὐτὸ γράφει Ἀθήναιος. ὅτι δὲ ῥωμαλεώτερος Μίλωνος ὁ Τίτορμος, ἐξ ἄλλων ἔστι γνῶναι. καὶ τοιαῦτα μὲν ταῦτα. Δεινοὺς δὲ κόλπους λέγει ὁ ποιητὴς, τοὺς κατὰ τὸ προῤῥηθὲν μέγα καὶ δεινὸν πέλαγος. (ηερς. 52.) Τὸ δὲ ὀχήσατο, ὡς ἐπὶ ὄχου ὅ ἐστιν ἅρματος, ἐῤῥέθη. ἐπὶ γὰρ τοιούτων κυριολεκτεῖται τὸ ὀχεῖσθαι. (ηερς. 54.) Ὅτι ὥσπερ μέγα δῶμα ἐπὶ ἀνθρώπων, οὕτω μέγα σπέος λέγει τὸ τῆς Καλυψοῦς. ἣν πολλαχοῦ νύμφην συνήθως καλεῖ. ἐρεῖ δὲ μετ' ὀλίγα, καὶ εὐρὺ τὸ τοιοῦτον σπέος. εἶτα καὶ πληθυνεῖ αὐτὸ ἐν τῷ, ἐν σπέσι γλαφυροῖσιν. εἶτα διασκευάζων τὰ κατ' αὐτὴν ἤγουν τί εὗρεν αὐτὴν ποιοῦσαν ὁ Ἑρμῆς, καὶ οἷα τὰ τοῦ σπηλαίου πέριξ, οὐ γὰρ ἤρκει πρὸς σεμνότητα μόνον τὸ μέγα εἶναι αὐτὸ εἰ μὴ καὶ ἔκφρασις τῶν ἐκεῖ καλῶν ἐπακολουθήσει, ἃ δὴ τηλαυγὲς ὡς εἰπεῖν τὸ τοῦ σπηλαίου ἐτίθετο πρόσωπον, φησί. πῦρ μὲν ἐπ' ἐσχαρόφιν μέγα καίετο. τηλόθι δ' ὀδμὴ κέδρου τ' 1.199 εὐκεάτοιο θύου τ' ἀνὰ νῆσον ὀδώδει δαιομένων. ἣδ' ἔνδοθεν ἀοιδιάουσα ὀπὶ καλῇ, ἱστὸν ἐποιχομένη, χρυσείῃ κερκίδ' ὕφαινεν. εἶτα ἐκφράζων, φησίν. ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα. καὶ ἑρμηνεύων τίς ἡ ὕλη, ἐπάγει. κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος. ἔνθα δέ τ' ὄρνιθες τανυσίπτεροι εὐνάζοντο. σκῶπες τ' ἴρηκές τε τανύγλωσσοί τε κορῶναι εἰνάλιαι. τῇσι τε θαλάσσια ἔργα μέμηλεν. ἣδ' αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο, ἡμερὶς ἡβώωσα. τεθήλει δὲ σταφυλῇσι. κρῆναι δ' ἑξείης πίσυρες, ῥέον ὕδατι λευκῷ πλησίαι ἀλλήλων. τετραμμέναι ἄλλυδις ἄλλη. ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ἴου ἠδὲ σελίνου, θήλεον. (ηερς. 73.) Τούτοις δὲ ὁ ποιητὴς ἐπάγων ἐπιφωνηματικὴν αὔξησιν, φησίν. ἔνθα καὶ ἀθάνατός περ ἐπελθὼν θηήσαιτο ἰδὼν καὶ τελεφθείη φρεσίν. ὅπερ ἔπαθε καὶ ὁ Ἑρμῆς, οὐ μόνον θαυμάσας ἀλλὰ καὶ τερφθείς. ὃ δὴ οὐκ ἀεὶ συμβαίνει, ἔστι γὰρ θηήσασθαι, καὶ οὐ πρὸς τέρψιν ἀλλὰ πρὸς μόνον θάμβος. Καὶ ὅρα ἐνταῦθα ἐπιμονὴν ῥήματος διὰ τὸ καίριον. θηήσαιτο γὰρ εἰπὼν, ἐπιφέρει. ἔνθα στὰς, θηεῖτο. καὶ, πάντα θηήσατο θυμῷ. Ἰστέον δὲ ὅτι οὐχ' οἷον ἀληθῶς ἐστι τὸ τῆς Καλυψοῦς σπήλαιον, ἱστορεῖ ὁ ποιητής. ἀλλ' οἷον ἂν ὡς εἰκὸς εἴη τὸ καλῶς ἔχον εἰς ἐνδιαίτημα ἐνδόξου προσώπου. (ηερς. 59.) Ἰστέον δὲ καὶ ὅτι παρὰ μὲν τῷ ποιητῇ, ἐσχάρα, τόπος ἐστὶν ἐφεστίου πυρὸς ὡς καὶ ἐν τοῖς ἑξῆς φαίνεται ὅπου Ὀδυσσεὺς ἕζεται ἐπ' ἐσχάρῃ ἐν κονίῃσι πὰρ πυρί. οἱ δὲ παλαιοὶ, φασὶ καὶ ἐσχάριον, θυμιατήριον κοῖλον. δῆλον δ' ὅτι ἐσχάραν καὶ τὸ γυναικεῖον ἐκάλουν μόριον. ὡς δὲ καὶ ἕλκους ἐσχάρα λέγεται, δῆλόν ἐστι. Τὸ δὲ πῦρ καίετο, τὴν πυρκαιὰν συντίθησιν. ἀρχαῖον δὲ ἡ τοῦ πυρὸς χρῆσις παρὰ τοῖς ἐνδόξοις. ἣν καὶ ὁ τῆς τραγῳδίας Φιλοκτήτης ἐπαινῶν, φησὶν ὅτι οἰκουμένη στέγη πυρὸς μέτα, πάντ' ἐκπορίζει αὐτῷ ἃ ἐκεῖνος νοεῖ. (ηερς. 60.) Τὸ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν κέδρον καὶ τὸ θύον καὶ τὴν κυπάρισσον εὐώδη εἶναι, ἱστορία ἐστὶ περὶ φυτῶν. μάλιστα δὲ ἡ κυπάρισσος εὐώδης. δάφνης δὲ τοιαύτης καὶ αὐτῆς οὔσης, οὐκ ἠθέλησε μνησθῆναι. Ὀππιανὸς δέ που, εὐώδη καὶ αὐτὴν καλεῖ. πρὸς διαστολὴν δὲ τῶν προσεχῶν κλήθρου τε καὶ αἰγείρου, εὐώδη κυπάρισσον εἶπε. Τὸ δὲ εὐκέατον, ἐτυμολογία κέδρου. ὡς οὕτω λεγομένης, παρὰ τὸ κεάσαι ῥᾷον. ὅ ἐστι κλάσαι. σχίσαι. ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται. ἵνα πλεονάζῃ καὶ ἐπὶ τῆς κέδρου τὸ ¯δ. Ὅρα δὲ τὸ θύον, δένδρον ὂν ἐνταῦθα ἀναντιῤῥήτως. εἰ δὲ ὁ καρπὸς αὐτοῦ εὐώδης ἐστὶ κατὰ τὸ θύον ἢ θύος ὅθεν σύνθετον μὲν ὁ θυοσκόος, παράγωγον δὲ τὸ θυόεν νέφος, ζητητέον ἑτέρωθεν. Τοῦ δὲ ὀδώδει μέσου ὑπερσυντελίκου τὸ κανόνισμα, τοιοῦτον. ὀζῶ ὀζήσω παρὰ τῷ κωμικῷ ἐν Σφηξίν. οὗ καὶ ἄλλως, ὀζέσω χρῆσις κοινῇ πρὸς ὁμοιότητα τοῦ, αἰνῶ αἰνήσω καὶ αἰνέσω καὶ τῶν ὁμοίων. ὀζῶ οὖν ὀζήσω. ὁ παρακείμενος ὤζηκα, ἐνεργητικὸς καὶ μέσος, ὦζα δισυλλάβως. ἐν γὰρ τοῖς περισπωμένοις ῥήμασι, μιᾷ συλλαβῇ ἐνδεῖ τοῦ ἐνεργητικοῦ παρακειμένου ὁ μέσος, οἷον. ὀλῶ ὀλέσω ὤλεκα, ὦλα. ὅθεν Ἀττικὸν ὄλωλα. ὤζηκα τοίνυν, ὁ μέσος ὦζα. καὶ Ἀττικῶς, ὄζωζα. καὶ τροπῇ Δωρικῇ τῶν δύο ζῆτα εἰς δύο δέλτα ὡς καὶ ἑτέρωθι δηλοῦται, ὄδωδα. ὑπερσυντέλικος ὠζώζει καὶ ὠδώδει μετὰ δύο Ἀττικῶς αὐξήσεων. καὶ Ἰωνικῶς ὀδώδει συστολῇ τῆς ἀρχούσης. τοιοῦτον δὲ καὶ μετ' ὀλίγα, τὸ ὀρώρει. ὀρῶ γὰρ τὸ διεγείρω. μέλλων, ὀρήσω. ἐξ οὗ ὤρηκα. μέσος, ὦρα καὶ Ἀττικῶς ὄρωρα. ὃς ὑπερθέσει χρονικῇ, γίνεται ὤρορα, ὑπερσυντέλικος κοινὸς, ὠρώρειν. καὶ Ἰωνικῶς ὀρώρειν. οὗ τρίτον, ὀρώρει δ' οὐρανόθεν νύξ. δῆλον δ' ὅτι οὐ μόνον ταπεινοῦνται μυριαχοῦ χρονικαὶ αὐξήσεις Ἰωνικῶς, ἀλλὰ καὶ ἐκ βραχέων μηκύνονται Ἀττικῶς. ὡς ἐν τῷ, ἠβουλόμην. ἠδυνάμην. ἤμελλον. ἤδη δὲ καὶ ἐν τῷ διηκόνουν, εἰ καὶ ἄλλως αὐτὸ ἐκ τοῦ διαεκόνουν κεκράσθαι δοκεῖ. (ῃερς. 62.) Τὸ δὲ ἱστὸν ἐποίχεσθαι καὶ ᾄδειν, οὐκ ἀγεννὲς ἐνδόξοις γυναιξίν. ὡς καὶ ἡ Κίρκη δηλώσει ἐν τοῖς ἑξῆς. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ, ἱστὸν ἐποίχεσθαι. σύνηθες ὂν οὕτω φράζειν τῷ ποιητῇ. καὶ ὅτι πολυτελὴς ἡ κερκὶς τῇ Καλυψοῖ. ἀπὸ χρυσοῦ γάρ. καὶ ὅτι οὐκ εὐτελὴς ὁ ἱστός. οὐ γὰρ ἂν ἐποιχομένη οὕτως ἐκέρκιζεν. ὠνοματοπεποίηται δὲ ἡ κερκὶς ὥσπερ καὶ τὸ κρέκειν. ἐξ οὗ καὶ αὐτὴ καὶ ὄρνεόν τι ἡ κρὲξ, παράγονται. (ῃερς. 64.) Ἡ δὲ κλήθρη, φυλάσσει μέχρι καὶ νῦν τοὔνομα, ὑποβαρβαριζομένη διὰ προσθήκης τοῦ ¯σ. Αἴγειρος δὲ, ταπολλὰ μὲν, ἐρημάζει. φυλάττουσα μέχρι καὶ νῦν πολλαχοῦ τὸ ὄνομα. ἡ δὲ ἱστορία, ἔχει καὶ ἐν Ἀθήναις αἴγειρον ἐπιμεληθεῖσαν. ὃ πάσχει παρὰ τοῖς φιλοκάλοις καὶ ἡ κυπάριττος. ἣν γοῦν φασιν αἴγειρος Ἀθήνῃσιν ἐπάνω τοῦ θεάτρου ἀφ' ἧς ἐθεώρουν οἱ μὴ ἔχοντες τόπον. ὅθεν καὶ ἡ ἀπ' αἰγείρου θέα ἐλέγετο. καὶ παρ' αἴγειρον θέα, ἡ ἀπὸ τῶν ἐσχάτων. καὶ ἣν φασιν εὐωνοτέρα ἡ παρ' αἴγειρον θέα. (ῃερς. 65.) Τὸ δὲ τανυσίπτεροι κοινὸν ἐπίθετον πτηνῶν ἃ 1.0 πετόμενα, τανύουσι τὰ πτερά. (ῃερς. 66.) Σκῶπες δὲ, ἢ παρὰ τὸ σκαιὰν ὄπα ἔχειν, κακόφωνοι γάρ. ἢ παρὰ τὸ ἐν σκιᾷ ὅ ἐστι νυκτὶ, ἀφιέναι ὄπα. ἢ ἄλλως, παρὰ τὸ ἐν τοιαύτῃ σκιᾷ ὦπα ἔχειν ἐνεργὸν, νυκτὸς γὰρ μάλιστα βλέπουσι. καὶ δοκοῦσι σκῶπες εἶναι, ἃς κουκούβας οἱ Ῥωμαῖοι φασίν. ἕτεροι δὲ, παρὰ τὸ ἐοικέναι οἷον σκώπτουσι διὰ τὸ διάφορον τῶν σχηματισμῶν, οἷς τὸ ζῷον φυσικῶς διατίθεται. τινὲς δὲ κῶπας γράφουσι δίχα τοῦ σίγμα. ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φέρεται, ὅτι καθὰ οἱ ὦτοι τὸ ὄρνεον ὧν μνεία καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα κεῖται, οὕτω καὶ οἱ σκῶπες, ὀρχήσει ἁλίσκονται. καὶ ὅτι καὶ γένος ὀρχήσεως ἀπ' αὐτῶν καλεῖται σκώψ, λαβὼν τοὔνομα, ἐκ τῆς περὶ τὸ ζῷον ἐν τῇ κινήσει ποικιλίας. καὶ ὅτι χαίρουσιν οἱ σκῶπες καὶ ὁμοιότητι. καὶ ἀπ' αὐτῶν, σκώπτειν φαμὲν τὸ συνεικάζειν καὶ καταστοχάζεσθαι τῶν σκωπτομένων, διὰ τὸ τὴν ἐκείνων ἐπιτηδεύειν προαίρεσιν. ἴσως δὲ τούτων παρώνυμοι καὶ οἱ παρὰ τῷ Τίμωνι σκωπαῖοι, παρὰ Λάκωσιν ἐπιχωριάζοντες. ἀνθρωπάρια ἐκεῖνοι μικρά. καλούμενά φασι παρά τισι, στίλπωνες. οὓς οὐκ ἄν τις πάνυ ἀπεοικέναι εἴποι τοῦ Πινδαρικοῦ πίθωνος. ὃν καλὸν ἐκεῖνος ἐπονομάζει κατά τινα ὁμοιότητα στίλπωνος. ἐν δὲ τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ Ἀθηναίου, φαίνεται καὶ ὅτι σκὼψ, ἴσως δὲ καὶ σκώπευμα, σχῆμα ἦν ὀρχήσεως ὡς καὶ ἐδηλώθη. σκὼψ γάρ φησι, σχῆμά τε τῶν ἀποσκοπούντων, ἄκραν τὴν χεῖρα ὑπὲρ τοῦ μετώπου κεκυρτωκότων. λέγεται δέ φησιν ὁ σκὼψ, μικρότερος εἶναι γλαυκὸς, καὶ ἐπὶ μολιβδοφανεῖ χρώματι, ἔχειν ὑπόλευκα στίγματα. δύο τὲ ἐκ τῶν ὀφρύων παρ' ἑκάτερον κρόταφον ἀναφέρειν πτερά. ἕτεροι δὲ, δύο φασὶ γένη σκωπῶν. καὶ οἱ μὲν, φθέγγονται οἱ δὲ οὔ. καὶ καλοῦνται οἱ μὲν, σκῶπες. οἱ δ' ἀείσκωπες. ἄλλοι δέ φησι τοὺς παρ' Ὁμήρῳ, κῶπας ὡς καὶ ἀνωτέρω κεῖται χωρὶς τοῦ σίγμα φασί. Τὸ δὲ σχῆμα τοῦ, σκῶπες ἴρηκές τε, σώφρων παρίσωσις, Ὁμήρῳ πρέπουσα. ὃς ἀεὶ μετρίως καὶ ἡρωϊκῶς καλλωπίζει, οὐ μὴ κατὰ τοὺς ὕστερον μὴ ζηλοῦντας αὐτόν. ὧν καὶ οἱ κωμικοί. πρὸς γέλωτα τὴν γραφὴν ὡραΐζοντες. ὁποῖος καὶ ὁ γράψας τὸ, πᾶς δὲ κατ' οἴκους, μάττει. πέττει. τίλλει. κόπτει. εὕει. χαίρει. παίζει. πηδᾷ. δειπνεῖ. πίνει. σκιρτᾷ. λορδοῖ. κεντεῖ. βινεῖ. οἷς ἐπάγει ἐκεῖνος καὶ τὸ, μολπά. κλαγγά. ὀσμὴ σεμνὴ μυκτῆρα δονεῖ, λιβάνου. σμύρνης. καλάμου. στύρακος. λίνδου. κίνδου. μίνθου. ἐν οἷς τὸ μὲν λορδοῦν, σχηματισμὸν δηλοῖ σώματος, οὐ σεμνόν. λίνδος δὲ, ἀνθηρόν τι εὐῶδες ὁμώνυμον Λίνδῳ τῇ Ῥοδίᾳ πόλει. μίνθος δὲ, οὐ πάντως κόπρος ἡ παρὰ τῇ κωμῳδίᾳ, παρ' ὑπόνοιαν. ἀλλ' ἡ λεγομένη διαλελυμένως μὲν, καλὰ μίνθη. συνθέτως δὲ καλαμίνθη. περὶ δὲ κίνδου, ζητητέον. ὁμοιοκαταληξία δὲ παιγνιώδης καὶ τὸ τυρὸς χλωρός. τυρὸς ξηρός. τυρὸς κοπτός. τυρὸς ξυστός. τυρὸς τμητός. Ἔτι δὲ καὶ τὸ, αἲξ οὐρανία, κριὸς τομίας. κάπρος ἐκτομίας. ὗς οὐ τομίας. καὶ οὕτω μὲν καὶ ταῦτα. Τὸ δὲ ἴρηκες, Ἰωνικῶς ψιλοῦται, ὡς καὶ ἡ Ἰλιὰς ἐδήλωσεν. οὐ μὲν οὕτω πνευματισθήσεται καὶ ὁ ἱέραξ. Κορῶναι δὲ εἰνάλιαι κατὰ τοὺς παλαιοὺς, αἱ αἴθυιαι. ἃς καὶ τανυγλώσσους λέγει, κατά τι ζωϊκὸν ἴδιον. Τοῦ δὲ εἰνάλιαι, περίφρασις τὸ, αἷς θαλάσσια ἔργα μέμηλεν. οὐ πρὸς σαφήνειαν ῥηθὲν τοῦ εἰνάλιαι, ἀλλὰ πρὸς ἔνδειξιν πλείω τοῦ, κορώνας τὰς αἰθυίας εἰπεῖν. Ἡμερὶς δὲ κατὰ μὲν πολλοὺς, ἡ ἥμερος ἄμπελος πρὸς διαστολὴν τῆς ἀγριάδος. ἣν καὶ τεθηλέναι φησὶ σταφυλαῖς, ὡς οἷα τοῦ καιροῦ ἐκείνου μετοπωρινοῦ ὄντος. διὸ καὶ Νότος ἐτηρήθη τῷ Ὀδυσσεῖ τηνικαῦτα ὡς φιλοσόφῳ πολυήμερος καθὰ ἐν τοῖς ἑξῆς δηλωθήσεται. ὃς δὴ Νότος, πολὺς τηνικάδε πνέει καιροῦ ὡς καὶ Ἡσιόδῳ δοκεῖ. (ἡερς. 68.) Τετάνυστο δὲ ἡ τοιαύτη ἡμερὶς, διὰ τὸ μὴ δὲ κλαδᾶσθαι ὡς εἰκός. διὸ καὶ σπαργῶσα ἦν καὶ διατοῦτο πλατυνομένη. ὅθεν καὶ Ἀνάχαρσις ἐν Σκύθαις τὰ ἑλλαδικὰ διηγούμενος, φησὶ φυτὸν καθ' Ἑλλάδα εἶναι, ὃ παραταθῆναι ἂν, ἕως καὶ εἰς Σκύθας εἰ μὴ κατ' ἔτος ἐτέμνετο. τὴν ἄμπελον ἐκεῖνος αἰνιττόμενος οὕτω. καὶ ὧδε μὲν περὶ τῆς ἡμερίδος οἱ πλείους. ἐν δὲ ὑπομνήμασι παλαιοῖς τοῖς εἰς τὸ ¯ξ τῆς Ἰλιάδος, εἶδος λεπτοφλοίου δρυὸς ἡ ἡμερὶς λέγεται. καὶ ὁ καρπὸς αὐτῆς, σταφυλή. φασὶ γὰρ ὡς αἱ μὲν ἄκαρποι καὶ πλαττύφυλλοι δρύες, ἐρίφλοιοι καλοῦνται παρὰ Περγαμηνοῖς. αἱ δὲ λεπτόφυλλοι καὶ καρποφόροι, ἡμερίδες. καὶ τοὺς ἐπ' αὐτῶν εὐθηνοῦντας βότρυς, σταφυλὰς καλοῦσιν. ἐξ ὧν καὶ ὁ ἰξὸς γίνεται. ἡ γὰρ ἄκαρπος, κηκιδοφόρος ἐστὶ διὸ καὶ τὸ, δρυσὶν ὑψικόμοισιν ἐν τῇ Ἰλιάδι, ἰξοφόροις γράφει Ἀγαθοκλῆς. καὶ ταῦτα μὲν οἱ παλαιοί. λέγονται δὲ μέχρι καὶ εἰς ἡμᾶς ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, δρύες τινές, ἡμερίδες περί που τὴν Θρᾴκην. Ἰστέον δὲ καὶ ὅτι καθ' ὁμοιότητα τῆς κατὰ τὴν ἄμπελον σταφυλῆς, σταφυλὴ λέγεται καὶ ὁ ἐν τῷ στόματι κίων. ὅτι δὲ τὸ βαρύτονον ἡ σταφύλη τεκτονικὸν ἐργαλεῖον ἐστὶν, ἡ Ἰλιὰς δηλοῖ. Ἰστέον δὲ καὶ 1.1 ὅτι εἴπερ ἄμπελός ἐστιν ἡ ῥηθεῖσα ἡμερὶς, εἰκὸς αὐτὴν καὶ αὐτόματον εἶναι κατὰ τὰ ἐν τῇ γῇ τῶν Κυκλώπων. ἔτι δὲ καὶ ἀναδενδράδα. οὐ γὰρ χαμαὶ εἷρπε ταῖς ὄσχαις ὅ ἐστι τοῖς βοτρυηφόροις κλήμασιν, ἀλλὰ τετάνυστο περὶ σπείους. καὶ εἴη ἂν καὶ αὐτὴ, ἁμάμαξυς. κατὰ τὸν εἰπόντα, ἁμάμαξυς, σταφυλῆς γένος. οἱ δὲ, ἀναδενδράδα φασίν. ὅτι δὲ καὶ διάφορα εἴδη ἀμπέλων, οἱ παλαιοὶ δηλοῦσιν. ἐν αἷς καὶ ἡ ξυστὰς, εἰκῇ φασι πεφυτευμένη ἄμπελος. καὶ ἡ σταχὰς, ἡ κατὰ στοίχους δηλαδή. (ἡερς. 69.) Τὸ δὲ ἡβώωσα, μετήνεκται ὅθεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὸ, ἡβηδὸν ἀνελεῖν, ἀντὶ τοῦ κατὰ ἥβην ὅ ἐστι πάντας τοὺς ἡβῶντας. (ῃερς. 70.) Αἱ δὲ κρῆναι προϋπόκεινται, ἵνα πιθανεύσηται τοὺς λειμῶνας ὁ ποιητής. οἷς χρεία ὕδατος τοιούτου. Λευκὸν δὲ ὕδωρ τὸ κρηναῖον τοῦτο, διὰ τὸ ἀβαθές. τὸ γὰρ βαθὺ μέλαν φαίνεται. ὡς δὲ τοῦ λευκοῖ παράγωγον τὸ λευκαίνειν, αὐτοῦ δὲ ἡ λεκάνη, ἐς τοσοῦτον εἰρήσθω. (ῃερς. 71.) Τὸ δὲ πλησίαι, ὡς ἀπὸ ἀρσενικοῦ εἴρηται, ὁ πλησίος. ὃ καὶ ἀλλαχοῦ φαίνεται. οὗ ἡ αἰτιατικὴ παρήγαγε τὸ πλησίον ἐπίῤῥημα. (ῃερς. 72.) Λειμῶνες δὲ μαλακοὶ, ἐν οἷς ἐστι μαλακῶς ἐνεύδειν. ἀφ' ἧς ἐννοίας καὶ λεχεποίης που λέγεται ποταμός. ἅμα δὲ καὶ πρὸς διαστολὴν τῆς κραναῆς γῆς. ἐκείνη γὰρ οὐ μαλακή. Τὸ δὲ ἴου, σίου τινὲς γράφουσιν, ὃ καὶ κρεῖττον. ὡς καὶ πολλοῖς ἀρέσκει τῶν παλαιῶν. ἴα γὰρ ἐν λειμῶσιν οὐκ εἰσὶν, ἀλλὰ σία, ὡς μέχρι νῦν φαίνεται. οἷς καθὰ καὶ τοῖς σελίνοις, χρεία δαψιλοῦς ὕδατος. θάλλουσι γὰρ πλέον ἐν αὐτῷ. διὸ καὶ πηγὰς προανέῤῥηξεν ὑδάτων ὡς ἐῤῥέθη ὧν χωρὶς οὐκ ἔστι θάλλειν αὐτά. εἰ δ' ἔστιν ἐνταῦθα ἴου μνεία, ἰστέον ὅτι τὲ εἰ καὶ μὴ ἐν μέσοις ὕδασιν, ἀλλ' οὖν, ἔνθεν που καὶ ἐκεῖθεν εἰκὸς ἦν παραπεφυκέναι ἴα. ὧν χροὰ, οὐ μόνον πορφυρέα καὶ κιῤῥὰ, ἀλλὰ καὶ λευκὴ δι' ἣν λευκόϊα τὰ τοιαῦτα καλοῦνται. καὶ ὅτι τὸ ἴον, ἔκ τινων Ἰάδων νυμφῶν ἔσχε τὴν κλῆσιν, χαρισαμένων αὐτὸ Ἴωνι πρώτῳ, καὶ ἐκλήθη ἐντεῦθεν ἴον, παρωνύμως ταῖς τε Ἰάσι καὶ τῷ λαβόντι τὴν χάριν Ἴωνι. καὶ ὅτι καὶ τὸ κρίνον τὸ καὶ λείριον κατά τινας ἴον ὑπ' ἐνίων ἐκαλεῖτο, καὶ ταῦτα μὲν, περὶ ἴου. Περὶ δὲ σελίνου, ἐῤῥέθη μὲν καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. ἐν τοῖς προκειμένοις δὲ, εἰπεῖν ἀρκέσει ὅτι τὸ μὴ βραχὺ ἀλλ' εὐγενὲς ἢ καὶ εὐμέγεθες ἢ παχὺ σέλινον, ἱπποσέλινον ἐλέγετο. οἷα τοῦ ἵππου πρὸς ἔνδειξιν μεγέθους κειμένου καθὰ καὶ ἐν τῷ ἱππομανὴς Αἴας ἤγουν ὁ πάνυ μανιώδης. τοῦτο δὲ, πρὸς ὁμοιότητα τοῦ βοῦς ἐπενοήθη, ἐπὶ καὶ ὁ βοῦς ἐπιτείνει ἐν τῷ βο¯υ ἐπιτατικῷ μορίῳ. εἴρηται γὰρ καὶ ἐν τοῖς κατὰ τὴν Ἰλιάδα, ἐκ βοὸς εἰλῆφθαι τὸ τοιοῦτον ἐπίῤῥημα, διὰ τὸ τοῦ ζῴου μέγεθος. οὗ περ ἅπτεται καὶ ὁ εἰπὼν τὸ, μέγας δὲ πλευρὰ βοῦς. ὅτι δὲ Πτολεμαῖος Αἰγύπτου βασιλεὺς ὁ εὐεργέτης, ἠξίωσε γραφῆναι παρ' Ὁμήρῳ τὸ, λειμῶνες μαλακοὶ σίου ἠδὲ σελίνου, οὐ μὴν ἴου, ἴα γὰρ μετὰ σελίνων μὴ φύεσθαι ἀλλὰ σία, ὁ Ἀθήναιος ἱστορεῖ. λέγων καὶ ὅτι τὰ σία, φυτὸν σελίνῳ ἐλείῳ τὸ φύλλον ἐοικός. Τοῦ δὲ θήλεον, μέλλων θηλήσω, ἀπὸ περισπωμένου γὰρ κέκλιται ῥήματος, καὶ οὐκ ἀπ' αὐτοῦ δὴ τοῦ θάλλειν βαρυτόνου. Ἐν δὲ τῷ, καὶ ἀθάνατος ἰδὼν θηήσαιτο καὶ ἑξῆς, περιαυτολογεῖ ὁ ποιητὴς ἀποδεξάμενος ἑαυτὸν τῆς ἐκφράσεως. καὶ ἐκφράσει μὲν ἐν τοῖς ἑξῆς Ὅμηρος, καὶ τὰ τοῦ Ἀλκινόου σεμνὰ ἔνθα στὰς ὁ Ὀδυσσεὺς πάντα θηεῖται. οὐ μὴν ἐρεῖ καὶ θεοῖς εἶναι θηητὰ ἐκεῖνα. (ῃερς. 77.) Ὅτι πιθανὸς ὅτι μάλιστα ὢν ἐν τοῖς πλάσμασιν ὁ ποιητὴς, ἐν μὲν θνητοῖς προσώποις παρ' οἷς καὶ ἄγνοια, οἶδεν ἐρωτᾶν τίς πόθεν εἶς ἀνδρῶν. καὶ πορίζεσθαι οὕτω λόγων λαβάς. παρὰ δὲ ἀθανάτοις, οὐκ ἔχει οὕτω ποιεῖν. διὸ φησὶν ἐνταῦθα ὡς ἡ Καλυψὼ οὐκ ἠγνοίησεν ἰδοῦσα τὸν Ἑρμῆν. οὐ γάρ τ' ἀγνῶτες θεοὶ ἀλλήλοισι πέλονται ἀθάνατοι. οὐδ' εἴ τις ἀπόπροθι δώματα ναίει. τοῦτο δὲ δύναται παρῳδηθῆναι καὶ εἰς ἄνδρας ἐνδόξους οἳ τῇ φήμῃ γνωρίζονται καὶ εἰ μακράν που οἰκοῦντες τυγχάνουσιν. (ῃερς. 81.) Ὅτι δεινῶς μεθοδεύει ὁ ποιητὴς, μὴ εἶναι τὸν Ὀδυσσέα ἔνδον παρὰ τῇ Καλυψοῖ ὅτε εἰς αὐτὴν ἦλθεν Ἑρμῆς. ποιεῖ δὲ τοῦτο, ἵνα πρόφρασσα κατὰ τὸν ποιητὴν δόξῃ χαρίσασθαι αὐτῷ ἡ Καλυψὼ τὸν πλοῦν ἀφ' ἑαυτῆς, καὶ ὀφλήσῃ ἐκεῖνος χάριν αὐτῇ. φησὶ γοῦν ὅτι ἐπ' ἀκτῆς κλαῖε καθήμενος ἔνθα πάρος γε. δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων. ὅ ἐστι διατέμνων. διασχίζων. ἐξ οὗ καὶ τὸ ἐρείκειν. καὶ φυτὸν ἐρείκη. καὶ ὄσπρια ἐρεικτά. ἢ, ἐρέθων, ἀντὶ τοῦ ἐρεθίζων. πλεονασμῷ τοῦ ¯χ. προϊὼν δὲ, περὶ Ὀδυσσέως ἐρεῖ καὶ ὡς οὐδέ ποτ' ὄσσε δακρυόφιν τέρσοντο. κατείβετο δὲ γλυκὺς αἰὼν, νόστον ὀδυρομένῳ ἐπεὶ οὐκέτι αὐτῷ ἥνδανε νύμφη. καὶ ὅτι νύκτας μὲν, ἴαυε καὶ ἀνάγκῃ ἐν σπέσι γλαφυροῖς παρ' οὐκ ἐθέλων ἐθελούσῃ τῇ Καλυψοῖ. ἤματα δ' ἐν πέτραις καθίζων ἐπ' ἀκτῇ, δάκρυα ἔλειβε πόντον ἐπ' ἀτρύγετον δερκόμενος. εἰ γὰρ καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰψηρὸς ὁ τοῦ γόου κόρος, ἀλλὰ 1.2 τῷ Ὀδυσσεῖ οὐδέποτε ὄσσε δακρυόφιν τέρσοντο διὰ τὸν τῆς πατρίδος πόθον. Βλέπει δὲ ἐπὶ πόντον Ὀδυσσεὺς καθὰ καὶ Ἀχιλλεὺς ἐν Ἰλιάδι, ὡς δι' αὐτοῦ τε καταπλεύσας, καὶ δι' αὐτοῦ ἐθέλων ἀναχθήσεσθαι. καὶ φιλῶν μὲν αὐτὸν, μισῶν δὲ τὴν ἐφ' ἧς διάγει. (ῃερς. 83.) Τὸ δὲ δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι, κάλλος μὲν ἔχει διὰ τὰ πάρισα. ἐντελῶς δὲ φράζει λύπην μεγάλην. ἐν ᾗ καὶ δακρύει τις καὶ στενάζει καὶ ἀλγεῖ παθαινόμενος τὴν ψυχήν. (ῃερς. 84.) Ἰστέον δὲ ὅτι κοινοῦ μὲν ὄντος τοῦ λείβειν Ἰωνικοῦ δὲ τοῦ εἴβειν περιαιρέσει τῆς ἀρχῆς ὃ δὴ θεωρεῖται καὶ ἐν τῷ, σῦς καὶ ὗς καθ' Ἡρῳδιανόν, ἀμφοῖν κεῖται χρῆσις ἐν τοῖς εἰρημένοις, τὸ μὲν γὰρ δάκρυα λείβων, κοινόν ἐστιν. Ἰωνικὸν δὲ, τὸ, κατείβετο αἰών. Περὶ δὲ τοῦ ἁνδάνειν, εἴρηται μὲν καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. ῥητέον δὲ καὶ ἐνταῦθα τὰ τοῦ Ἡρακλείδου. ᾧ δοκεῖ, ἀπὸ τοῦ ἅδω γενέσθαι αὐτὸ καθ' ὁμοιότητα τοῦ λάβω λαμβάνω καὶ τῶν ὁμοίων. οὗ δὴ ἅδω, χρῆσις καὶ παρ' Ὁμήρῳ ἐν τῷ, ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων, ἤγουν ἤρεσκεν. εἰπὼν γὰρ ὅτι τὸ δάκνω συγκοπήν τινές φασιν εἶναι τοῦ δαγκάνω, ἐπάγει ὡς τὸ, δάκω μάθω λάχω ἅδω φύγω καὶ ὅσα τοιαῦτα ὑποτακτικὰ, τρισὶ γράμμασιν ὑστερεῖ καὶ μιᾷ συλλαβῇ, τῶν ἐξ αὐτῶν ὁριστικῶν ὧν τὸ ἄλφα παρατέλευτον. τοιοῦτον γὰρ τὸ φύγω ὑποτακτικὸν πρὸς τὸ φυγγάνω. καὶ ἐρύγω πρὸς τὸ ἐρυγγάνω. καὶ τὸ δάκω μάθω λάχω ἅδω, πρὸς τὸ δαγκάνω μανθάνω λαγχάνω ἁνδάνω. ταύτῃ τοι καὶ τοῦ ἁμαρτάνω, ὑποτακτικόν φησιν εἶναι φαμὲν, ἁμάτω δίχα τοῦ ¯ρ, ὅπως καὶ αὐτὸ τρισὶ γράμμασιν ἐκείνου λείπηται. διὸ ἀναλογώτερον, τὸ κιγχάνω καὶ ἱγκάνω, τοῦ κιχάνω καὶ ἱκάνω. ἵνα καὶ αὐτὰ λείπωνται τρισὶ γράμμασι, τοῦ κίχω καὶ ἵκω. (ῃερς. 87.) Ὅτι χρυσόῤῥαπιν ὅ ἐστι χρυσεόῤῥαβδον Ὁμήρου ὡς καὶ προεῤῥέθη πλασαμένου τὸν Ἑρμῆν, ἐντεῦθεν οἱ ὕστερον ὁρμηθέντες, κηρύκειον αὐτῷ διδόασιν, ὁποίῳ καὶ τὸ θεῖον γένος οἱ ἐξ Ἑρμοῦ κήρυκες ἐχρῶντο εἰς παράσημον. Ὅτι ἔνθα μὲν ἡνία λέγει καὶ εἵματα σιγαλόεντα, ἔστιν ἐκεῖ νοῆσαι τοιαῦτα, καὶ τὰ εὐαφῆ καὶ ἁπαλά. νῦν δὲ ἐν τῷ, ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι, οὔκουν τοιοῦτος ὁ σιγαλόεις θρόνος, ἀλλ' ἢ ὁ ποικίλος διὰ τὸ κατεστιγμένος εἶναι. ἢ ὁ σιγὴν ἐμποιῶν διὰ τὸ ἀξιοθέατον. Ὅτι φιλοξένου καὶ φιλόφρονος ἐρωτήσεως τε καὶ ὑποσχέσεως τὸ, τίπτε μοι εἰλήλουθας αἰδοῖός τε φίλος τε; αὔδα ὅ, τι φρονέεις. τελέσαι δέ με θυμὸς ἄνωγεν. εἰ δύναμαι τελέσαι γε καὶ εἰ τελεσμένον ἐστί. περὶ οὗ ὅτι πρωθύστερόν ἐστι, καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. πρῶτον γὰρ ἐξεταστέον εἰ τετελεσμένα ζητούμεθα, εἶτα καὶ εἰ τελέσαι δυνάμεθα. οἰκεῖον δὲ ἐν ὑπερθέσει τοιαύτῃ, ἐπαγαγεῖν καὶ τὸ, ἀλλ' ἕπεο προτέρω, ἤτοι πρὸ καὶ ἐπὶ τὰ ἔμπροσθεν ἢ καὶ προσωτέρω, ἵνα τοι πὰρ ξείνια θείω. (ῃερς. 90.) Ὅρα δὲ ὅτι τετελεσμένον, οὐ τὸ ἤδη τελεσθὲν φησὶν, ἀλλὰ τὸ τελεσθῆναι πεφυκὸς καὶ δυνάμενον. (ῃερς. 93.) Ὅτι παρέθηκε τράπεζαν ἡ Καλυψὼ τῷ μυθικῷ Ἑρμῇ, ἀμβροσίης πλήσασα. κέρασε δὲ νέκταρ ἐρυθρόν. αὐτὰρ ὃ πῖνε καὶ ἦσθεν. αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ, καὶ τότε δὴ προσεῖπε τὴν Καλυψὼ ἀφελῶς οὕτως. (ῃερς. 97.) ἐρωτᾷς μ' ἐλθόντα θεὰ θεὸν; αὐτὰρ ἐγώ τοι νημερτέως τὸν μῦθον ἐνισπήσω. κέλεαι γάρ. εἴπομεν δὲ ἀφελῶς, ἀκολούθως τοῖς παλαιοῖς. οἵ φασιν ὅτι εὐτελεῖς οἱ δύο στίχοι οὗτοι καὶ κατὰ συνθήκην καὶ κατὰ διάνοιαν. (ῃερς. 93.) Σημείωσαι δὲ ὅτι τὸ ἐπιτραπέζιον τοῦτο νέκταρ καὶ ἡ ἀμβροσία, τὴν φιλοτήσιον αἰνίττεσθαι δύνανται ὁμιλίαν τὴν συμποτικήν. ἣ ἀμβροσίας ἂν εἴη καὶ νέκταρος ἀποῤῥώξ. Τὸ δὲ κέρασε νέκταρ, οὐ δηλοῖ κράμά τι, ἀλλ' ἀντὶ τοῦ ἐνέχεε κεῖται ὡς ἀπὸ παλαιᾶς χρήσεως. καθ' ἣν ὡς καὶ ἀλλαχοῦ σαφῶς ἐδηλώθη, κέρασι ζῴων ἐγχέοντες ἔπινον. Ἐρυθρὸν δὲ νέκταρ καθ' ὁμοιότητα τοῦ, οἶνος ἐρυθρός. ἴσως δὲ σκεύασμά τι καὶ τὸ νέκταρ ἦν καθὰ καὶ ἡ ἀμβροσία. καὶ γὰρ οὐδ' αὐτὴ κατὰ μόνην ἀλληγορίαν ὑφίσταται, ἀλλὰ καὶ ἄνθος τι ἀμβροσία ἐλέγετο κατὰ Παυσανίαν. ὃς λέγει καὶ ὅτι ἀμβροσία, γένος τι συνθέσεως ἐξ ὕδατος ἀκραιφνοῦς καὶ μέλιτος καὶ ἐλαίου παγκαρπίας. (ῃερς. 95.) Τὸ δὲ ἤραρε θυμὸν ὡς καὶ ἐν ἄλλοις ἐδηλώθη, τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θυμῆρες ἐμφαίνει. καὶ ἄλλως δὲ κατὰ τὸ, ἄγγεσιν ἄρσεν ἅπαντα, λέγεται καὶ τὸ, ἤραρε θυμὸν ἐδωδῇ. ἵνα καὶ αὐτὴν ἄρσῃ ὁ ἐσθίων ὥσπερ ἄγγει τινὶ, τῷ σώματι. (ῃερς. 97.) Τὸ δὲ θεὰ θεὸν, ἐντρεπτικῶς εἰρῆσθαι δοκεῖ. εἴγε θεὰ θεῷ λαλοῦσα προσποιεῖται ἀγνοεῖν. Τὸ δὲ ἐνισπήσω, καινότερον ἐκ τοῦ ἐνισπῶ. τὸ μέντοι κοινότερον, ἐνίπτω ἐνίψω. πλὴν, τοῦτο μὲν ἔχει τι καὶ σφοδρότητος. τὸ δὲ ἐνισπήσω, ἀντὶ τοῦ, ἁπλῶς εἴπω. (ῃερς. 92.) Ἰστέον δὲ ὅτι ἀκολούθως Ὁμήρῳ εἰπόντι τὸ, παρέθηκε τράπεζαν, ἔλεγον καὶ οἱ μετ' αὐτὸν, παραθέσθαι τραπέζας ἐν καταρχῇ δαιτός. τὸ μέντοι 1.3 αἴρειν αὐτὰς, βαστάζεσθαι ἔφασκον. ἐβαστάζοντο δέ φασι τράπεζαι, δοθείσης κράσεως ἀγαθοῦ δαίμονος. ἤγουν μετὰ τὸ δοθῆναι κράμα τὸ οὕτω καλούμενον ἀγαθοῦ δαίμονος, ἤτοι ἀγαθῆς τύχης. πρὸς ὃ παίξας Διονύσιος ὁ Σικελιώτης ἀσεβῶς καθὰ ὁ δειπνοσοφιστὴς ἱστορεῖ, ἀνακειμένης Ἀσκληπιῷ χρυσῆς τραπέζης ἐν Συρακούσαις, προπιὼν αὐτῷ ἄκρατον ἀγαθοῦ δαίμονος, ἐκέλευσε βασταχθῆναι τὴν τράπεζαν. (ῃερς. 100.) Ὅτι χρήσιμον εἰς πλοῦν μακρὸν ῥηθῆναι τὸ, τίς ἂν ἑκὼν τοσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις. λέγει δὲ ταῦτα ὁ Ὁμηρικὸς Ἑρμῆς ἐκτετοπίσθαι δηλῶν τὴν νῆσον τῆς Καλυψοῦς. Ἁλμυρὸν δὲ ὕδωρ ἄσπετον, τὴν θάλασσαν λέγει περιφράσας. ἄλλως γὰρ, οὐκ ἂν οὔτε τὸ ἁπλῶς ὕδωρ εἴη ἂν θάλασσα, οὔτε τὸ ἁλμυρὸν ὕδωρ. εἰ γὰρ καὶ ὁ Λοκρὸς Αἴας ὕδωρ ἁλμυρὸν πιὼν ἀπόλωλεν, ἀλλ' οὐ θάλασσαν ἐξέπιε, βραχὺ δέ τι αὐτῆς. ὁμοῦ τοίνυν τὸ, ἄσπετον ἁλμυρὸν ὕδωρ, εἴη ἂν θάλασσα. Τὸ δὲ βροτῶν πόλις, ἢ παρέλκον ἔχει τὸ βροτῶν, ἢ τὴν κατοικουμένην δηλοῖ καὶ μὴ ἁπλῶς οὕτω καὶ ὁμωνύμως πόλιν. (ῃερς. 104.) Ὅτι τὸ περὶ Διὸς ἐνταῦθα ῥηθὲν ὑπὸ τοῦ Ἑρμοῦ, ἔστι παρῳδηθὲν οὕτως ὀρθῶς ῥηθῆναι. ἀλλὰ μάλ' οὔπως ἐστὶ θεοῦ νόον οὔτε παρὲξ ἐλθεῖν τινα, οὔθ' ἁλιῶσαι. ἔστι δὲ παρὲξ ἐλθεῖν μὲν, τὸ μερικῶς παραβῆναι. καὶ Ὁμηρικώτερον εἰπεῖν, παρὲκ Διὸς νόον ἐλθεῖν, ἁλιῶσαι δὲ, τὸ παντελῶς ματαιῶσαι καὶ ἀφεῖναι διεκπεσεῖν ἄπρακτον. (ῃερς. 105.) Ὅτι τὸ μὲν ὀϊζυρὸς ἐκτείνει κοινῶς τὸ παραλῆγον δίχρονον, οἷον, ἐπεί μιν ὀϊζυρὸν τέκε μήτηρ. ἐνταῦθα δὲ τὸ ὀϊζυρότατος, δοκεῖ μὴ ἐκτείνειν τὴν ζ¯υ συλλαβήν. ὡς δηλοῖ τὸ ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων. ὅπερ ἐκτείνει τὴν ἀπὸ τέλους τρίτην συλλαβὴν κατὰ τὸ ὀχυρώτατος. εἰ δὲ καὶ νῦν ἐκτείνεται τὸ ¯υ συνήθως ὥσπερ δὴ καὶ ἐκτέταται, καὶ δι' αὐτὸ συστέλλεται ἡ προπαραλήγουσα τοῦ ὀϊζυρότατος ὡς ἰσχυρότατος, ζήτει πάθος ὅμοιον καὶ ἐν τῷ λαρώτατος, καὶ ἐν τῷ κακοξεινώτερος. περὶ ὧν ἐν τῇ ¯β ῥαψῳδίᾳ προδεδήλωται. (ηερς. 106.) Ὅτι πάνυ γοργῶς ὁ ποιητὴς συντεμὼν τὰ τοῦ Τρωϊκοῦ πολέμου ἕως τῶν κατὰ τὸν Ὀδυσσέα καὶ τὴν Καλυψὼ, φησίν. ἀνδρῶν, οἳ ἄστυ περὶ Πριάμοιο μάχοντο εἰνάετες. δεκάτῳ δὲ, πόλιν πέρσαντες, ἔβησαν οἴκαδε. ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο. ἥ σφιν ἐπῶρσ' ἄνεμόν τε κακὸν, καὶ κύματα μακρά. ὅτε οἱ μὲν ἑταῖροι τοῦ Ὀδυσσέως, ἀπέφθιθον. τὸν δὲ, ἄνεμός τε φέρων καὶ κῦμα, ἐπέλασεν ἐκεῖ. (ηερς. 108.) Ὅρα δὲ ὡς καὶ νῦν σεμνῶς ἐῤῥέθη τὸ, Ἀθηναίην ἀλίτοντο. σεσίγηται γὰρ ἡ τοῦ Λοκροῦ ἀσέλγεια καθὰ καὶ ἐχρῆν. Τοῦ δὲ ἔφθιθον πρωτότυπον ἐν χρήσεσι κείμενον, τὸ φθίω. ἐξ οὗ κατὰ πλεονασμὸν, οὐ μόνον τὸ φθίθω, ἀλλὰ καὶ τὸ φθίνω. οὗ περ αὖθις, τὸ φθινύθω παράγωγον. (ῃερς. 113.) Ὅτι ἐλπίδος ἀγαθῆς ἐπὶ ἀποδήμῳ τὸ, οὐ γάρ οἱ αἶσα φίλων ἀπὸ νόσφιν ὀλέσθαι. ἀλλ' ἔτι οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν καὶ ἱκέσθαι οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν. πρωθύστερον δὲ καὶ τοῦτο. πρῶτον γάρ τις εἰς πατρίδα εἶτα καὶ εἰς οἶκον ἱκνεῖται. Ὅρα δὲ ὅτι Ὁμήρου ταυτὰ ἔχοντος τὴν αἶσαν καὶ τὴν μοῖραν ἐπὶ τοῦ πεπρωμένου, ἐκεῖθεν δὲ τὰς αὐτὰς λέξεις τιθεμένου καὶ ἐπὶ καθήκοντος, ὡς δηλοῖ τὸ αἴσιον καὶ τὸ κατὰ μοῖραν, μεταλαβόντες οἱ ὕστερον, καὶ ἐπί τινος τάξεως αὐτὰ τιθέασι. λέγοντες ἐν μοίρᾳ ἢ αἴσῃ τοιᾷδε, τετάχθαί τινας. (ῃερς. 116.) Ὅτι ἀκούσασα Καλυψὼ ἃ εἶπεν Ἑρμῆς, ἐῤῥίγησε μή ποτέ φασι κληθεὶς ἀνὴρ αὐτῆς ἀναιρεθείη πρὸς Διὸς καὶ θάνατον τοῦ γάμου ἀλλάξηται ὡς καὶ ἄλλοι ἔπαθον οὓς καὶ ἀπαριθμήσεται. λέγει δὲ ἡ αὐτὴ πρὸς τὸν Ἑρμῆν, καὶ ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐεργέτησε περισωσαμένη τὸν Ὀδυσσέα, οὐκ ὀνειδίζουσα ἐφ' οἷς εὖ πεποίηκε. χρὴ γὰρ ὡς τὰ πολλὰ τὸν μὲν εὐεργετοῦντα ἐπιλελῆσθαι. τὸν δὲ ὠφεληθέντα, μεμνῆσθαι. καὶ μὴ ἀποῤῥεῖν αὐτοῦ τὴν μνήμην τοῦ εὖ παθεῖν, ἀλλ' ἀποδεικνῦσα δίκαιον εἶναι, τὸν εὖ παθόντα συνεῖναι αὐτῇ. καὶ συνάγουσα ὡς ὁ ἀποσπῶν αὐτῆς τὸν εὖ πάσχοντα, οὐ κήδεται αὐτοῦ. Ὀδυσσεὺς δέ γε ἐν τοῖς ἑξῆς μαθὼν τὰ ἐκ τῆς Καλυψοῦς ἐῤῥίγησε, διά τε τὸ δύσελπι τῆς πορείας, καὶ διὰ τὸ τῆς ὥρας κατάστημα ὡς ἢ χειμέριον ἢ οὐ μακρὰν χειμῶνος ὄν. παρά τε γὰρ τῇ Καλυψοῖ πῦρ ἐπὶ τῆς ἐσχάρας καίεται, καὶ παρὰ τοῖς Φαίαξι δὲ καὶ τῷ δούλῳ Εὐμαίῳ. καὶ παρὰ τῇ Πηνελόπῃ δὲ πυρὸς ὁ Ὀδυσσεὺς δέεται διὰ τὸ ἐν τῷ περιέχοντι ψύχος. οὗ δηλωτικὰ ἐν τοῖς ἑξῆς, καὶ ἡ ἑώα στίβη. καὶ αἱ ἀθέσφατοι νύκτες. εἰ δὲ ἀπείθανον, ἄμπελον ἡμερίδα τηνικαῦτα τεθηλέναι σταφυλαῖς, ἀλλ' ἐγράφη ἑτέρα ἔννοια, ἡ περὶ τῆς ἰξοφόρου ἡμερίδος. ὅτι δὲ Καλυψὼ διὰ τὸ περὶ τῷ Ὀδυσσεῖ δέος ἐῤῥίγησε θάνατον αὐτοῦ πρὸς Διὸς ὑποπτεύουσα, δηλώσει μετ' ὀλίγα εἰποῦσα καὶ αὐτὴ ὡς ἐπεὶ οὐκ ἔστι τὸν τοῦ Διὸς νοῦν παρὲξ ἐλθεῖν οὔθ' ἁλιῶσαι, ἐῤῥέτω εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει. 1.4 τουτέστιν, ὀλλύσθω. φθειρέσθω κατὰ τὸ βούλημα τοῦ Διός. Ὅτι δὲ τὸ ἔῤῥειν ἐκ τῆς ¯εν προθέσεως γίνεται καὶ τοῦ ῥεῖν διὸ καὶ ἐν δυσὶ ῥῶ γράφεται τραπέντος τοῦ ¯ν εἰς ¯ρ, δῆλόν ἐστι. καὶ ὅτι τὴν Καλυψὼ καθὰ καὶ τὴν Ἰὼ, Καλυψοῦν καὶ Ἰοῦν οἱ πλείονες Ἴωνες γράφουσι. τὴν Καλυψὼ δὲ εἰπεῖν, καὶτὴν Ἰὼ Ἀττικόν ἐστιν. ἐν δὲ τοῖς ἑξῆς που ἑτεροία σκευωρία δηλωθήσεται τῆς τοῦ ἔῤῥειν παραγωγῆς. (ῃερς. 118. σθθ.) Ὅτι δεινῶς πιθανολογῶν ὁ ποιητὴς τὸ κατὰ τὴν Καλυψὼ καὶ τὸν Ὀδυσσέα μυθικὸν πλάσμα ὡς δηλαδὴ οὐκ αὐτὸς μόνος τοιοῦτον ἐπλάσατο, παράγει ὁμοίως ἔρωτας τὸν τῆς Ἠοῦς καὶ τοῦ Ὠρίωνος καὶ τὸν τοῦ Ἰασίωνος καὶ τῆς Δήμητρος. οὕτω καὶ ἐν Ἰλιάδι τὸν περὶ Ἀφροδίτης καὶ Ἄρεος μυθον ὅτε ἐτρώθησαν, παραμυθεῖται ὁμοιότητι μύθων πεπλασμένων πρὸ τῆς Ὁμηρικῆς ποιήσεως. ἔτι δὲ καὶ ἄλλως τὸ τῆς Καλυψοῦς δέος ὡς εὔλογον συνιστῶν, δηλοῖ ἐν τούτοις καὶ ὅτι οὐκ ἂν ἔξω λόγου πτοοῖτο, εὖ εἰδεῖα ὡς Ὠρίων μὲν διὰ τὴν Ἠῶ ἀνήρηται, Ἰασίων δὲ διὰ τὴν Δήμητραν. ὡς μηδὲνλοιπὸν ἀπεικὸς εἶναι, καὶ τὸν Ὀδυσσέα οὕτω παθεῖν ὑπὸ Διὸς διὰ τὴν Καλυψώ. ἐπεὶ καὶ τὸν Ἰασίωνα, Ζεὺς ἐκεραύνωσεν. ἔχει δὲ ἡ Ὁμηρικὴ ἐν τούτοις φράσις, οὕτω. σχέτλιοί ἐστε θεοὶ ζηλήμονες ἔξοχον ἄλλων οἵτε θεαῖς ἀγάασθε παρ' ἀνδράσιν εὐνάζεσθαι ἀμφαδίην. ἥτις τε φίλον ποιήσετ' ἀκοίτην. ὡς μὲν ὅτ' Ὠρίων' ἕλετο ῥοδοδάκτυλος Ἠὼς, τόφρά οἱ ἠγάασθε ἕως μιν ἐν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτμις ἁγνὴ, οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν. ὡς δ' ὁπότ' Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ ᾧ θυμῷ εἴξασα μίγη φιλότητι καὶ εὐνῇ νειῷ ἐνὶ τριπόλῳ, οὐδὲ δὴν ἦεν ἄπυστος Ζεύς. ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ. τουτέστι ταχυτάτῳ ἢ φαιδρῷ. ὡς δ' αὖ νῦν μοι ἄγασθε θεοὶ, βροτὸν ἄνδρα παρεῖναι. εἶτα καὶ ὡς εὖ πεποίηκε τὸν Ὀδυσσέα καθὰ καὶ πρὸ βραχέων ἐῤῥέθη ἐκτιθεμένη, φησί. τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπιος βεβαῶτα οἶον. ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ Ζεὺς ἔλσας, ἐκέασσε μέσω ἐνὶ οἴνοπι πόντῳ. καὶ τὰ ἑξῆς. ἐν οἷς ἡ Καλυψὼ παραλαλεῖ, ὡς οὐκ ἂν ὁ Ζεὺς ἐπ' εὐνοίᾳ τὸν Ὀδυσσέα τῆς Καλυψοῦς ἀπάγοι τῆς οὕτω περιποιησαμένης. καὶ μὴ τοῦτο μόνον, ἀλλὰ καὶ μελετώσης ἀπαθανατίσαι αὐτόν. φησὶ γάρ. τὸν μὲν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα. ὅπερ δύναται παρῳδηθῆναι περί τινος ὅτε λίαν πάνυ φιλεῖται πρός τινος. καὶ μάλιστα εἰ καὶ λογίως ἀνατρέφοιτό τις. ἡ δὲ ἀλληγορία, καὶ τὸν τοιοῦτον λόγον τῆς Καλυψοῦς εὖ συμβιβάζουσα πρὸς ἀκολουθίαν τῶν ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ ἀλληγορημένων, ὑπονοεῖ ἐν τούτοις τὴν κατὰ σῶμα κολακείαν. ὑφ' ἧς δελεαζόμενος ὁ φιλοσοφῶν πείθεται προστετηκέναι τοῖς σωματικοῖς. ὑφορώμενος μὲν τὸ καματηρὸν καὶ ἐπίμοχθον διὰ τὸ φιλοσώματον, τρεφόμενος δὲ περιεργότερον ἐπὶ πραγματείᾳ ὑγείας, ὡς μὴ ἐξὸν συνεστάναι ἄλλως καὶ φιλοσοφεῖν. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. (ῃερς. 118.) Τὸ δὲ ζηλήμονες, γράφεται



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μὲν καὶ δηλήμονες ὅ ἐστι βλαπτικοὶ γίνεται δὲ ἀπὸ τοῦ ζηλῶ ζηλήσω, ὅπέρ ἐστιν εἶδος οὐκ ἐλλόγου θυμοῦ. τὸ δέ γε ζηλώσειν, οὐκ οἶδεν ὁ ποιητής. ὡς δὲ καὶ ἄλλα εἰσὶ ῥήματα πρὸς διαφόρους σημασίας ὑπαγόμενα διαφόροις συζυγίαις, ἱκανῶς ἐν τῇ Ἰλιάδι δεδήλωται ὧν ἐστι καὶ τὸ κηλῶ κηλώσω. ἐξ οὗ καὶ τὰ παρὰ Λυκόφρονι κηλωστά. καὶ τὸ κηλῶ κηλήσω. ἀφ' οὗ ὁ ἐν τοῖς ἑξῆς κηληθμός. (ῃερς. 119.) Σημείωσαι δὲ ὅτι ἑρμηνεύων ὁ ποιητὴς τὸ ζηλῆσαι, ἐπήγαγε δὶς τὸ ἀγάασθε. τουτέστι, φθονεῖτε. μέμφεσθε. ὥστε καὶ ζηλήμονες, οἱ φθονεροί. καὶ ὡς μὲν ὁ χυδαῖος φησὶν ἄνθρωπος, οἱ ζηλευταί. ὡς δὲ ὁ λόγιος, οἱ ζηλότυποι. λέξις αὕτη, οὐκ ἐπαινετή. ὡς δηλοῖ καὶ ὁ παραδοὺς διαφορὰν ζήλου καὶ ζηλοτυπίας. ὃς λέγει ὅτι ζηλοτυπία μὲν, ἐπὶ μίσους. ζηλοτυπεῖ γοῦν Ἥρα κατὰ Σεμέλης. ζῆλος δὲ, μίμησις καλοῦ. οἷον. ζηλοῖ δέ τε γείτονα γείτων. (ῃερς. 119.) Τὸ δὲ ἀγάασθαι, φασὶν οἱ παλαιοὶ τρία σημαίνειν. τὸ θαυμάζειν. τὸ φθονεῖν. τὸ μισεῖν. Ὅμηρος δὲ τὸ ἄγασθε, καὶ ἀγάασθε εἶπεν, ὡς ταυτὰ ὄντα. ἔστι δὲ τὸ ἀγάω πρωτότυπον τοῦ ἀγαίω, ὅπερ ἀλλαχοῦ κεῖται. (ῃερς. 1.) Τὸ δὲ ἀμφαδίην, ἢ ἐπίῤῥημά ἐστιν ὀνοματικὸν, ἢ ἄντικρυς ὄνομα ἐλλειπτικὸν, λείπει γὰρ τὸ εὐνὴν, ληφθὲν κατὰ κοινοῦ ἐκ τοῦ εὐνάζεσθαι. φησὶ γάρ. εὐνάζεσθαι ἀμφαδίην. ἤγουν εὐνὴν φανεράν. Τὸ δὲ ἥτις ποιήσεται ἀκοίτην, πρὸς ἀκρίβειαν ἐῤῥέθη. οὐ γὰρ πᾶσαι ζηλοῦνται, ἀλλ' ἡ ποιησαμένη ἀκοίτην θνητόν τινα. τοῦτο δὲ καὶ ἀπορίαν λύει. τί γὰρ δή ποτε οὐ πάντας ὁ μῦθος τιμωρεῖ ὅσοι θνητοὶ θεαῖς εὐνήθησαν; ἢ πάντως, ὅτι οὐκ ἔσχον αὐταὶ ἀκοίτας ἐκείνους. Ὅρα δὲ τὸ, ποιήσεται ἀκοίτην. δοθεὶς μὲν γὰρ θνητὸς θεᾷ εἰς ἄνδρα ὡς Πηλεὺς Θέτιδι, οὐ πείσεται κακὸν, ζηλωθείς. ποιηθεὶς δὲ εἰς ἄνδρα, τιμωρηθήσεται. καὶ ἔστιν ὁ ποιητὸς οὗτος ἀκοίτης, θετός. καθ' 1.5 ὁμοιότητα τοῦ, εἰσποίητος παῖς. (ῃερς. 121.) Τὸ δὲ ὡς μὲν, καὶ ὡς δὲ, καὶ ὡς δ' αὖ, ταυτόν ἐστι τῷ ὡσαύτως. Περὶ δὲ Ὠρίωνος ὅτι τε κυνηγέτης ἄριστος ἦν, καὶ ὡς οὐκ ἐκ τοῦ ὡραῖος εἶναι ἀλλ' ἐξ οὔρου ἢ ὥρας ἤτοι φροντίδος παρῆκται διὸ καὶ ψιλοῦται ὡς δηλοῖ καὶ τὸ, ὅτ' Ὀρίωνα, καὶ ὡς ὑπὸ σκορπίου πληγεὶς τέθνηκεν, ἄλλοι τε δηλοῦσι, καὶ οἱ τοῦ Ἀράτου ὑπομνηματισταί. Ὅμηρος δὲ, θάνατον αἰφνίδιον αὐτοῦ ἱστορεῖ. τοιοῦτον γάρ τοι δηλοῖ τὰ τῆς Ἀρτέμιδος ἀγανὰ βέλη οἷς αὐτὸν κατέπεφνεν ὡς πλημελοῦντά τι φασὶν εἰς αὐτήν. ἄλλως γὰρ οὐκ ἀναιρεῖ Ἄρτεμις ἄῤῥενας ὡς καὶ προσεσημείωται. διὸ καὶ ἠθέτησάν τινες τὸν Ὁμηρικὸν τοῦτον τόπον διὰ τὸ τῆς πράξεως ἄηθες. ἦν δὲ κάλλιστος ἀνδρῶν κατὰ τὴν ἱστορίαν ὁ Ὠρίων καθὰ καὶ ὁ Τιθωνός. δοκεῖ δὲ καὶ πρὸ ὥρας ἁρπαγῆναι τοῦ βίου κατ' ἐκεῖνον. διὸ καὶ ἐπ' αὐτῷ ἐφημίσθη ὃ καὶ ἐπὶ τοῖς ἄλλοις τοῖς κατ' αὐτόν. φασὶ γὰρ ὅτι τοὺς τοιούτους νέους ἅμα ἡμέρᾳ ἐξωσίουν ταφῇ οἱ προσήκοντες ὡς μὴ ἀνεκτὸν ὂν, ἡλίῳ θεαθῆναι τοιοῦτον κακόν. διὸ καὶ ἐλέγετο ἁρπάζειν αὐτοὺς ἡ ἡμέρα. ἣν ῥοδοδάκτυλον λέγει, σωματικώτερον, εἰ μὴ ἄρα κἀνταῦθα Ἠὼς ἡ πρωΐα νοηθῇ κατὰ τὴν ῥηθεῖσαν ἱστορίαν. τότε γὰρ οὐ πρὸς σῶμα ἀλλὰ πρὸς ἀλληγορίαν προσαρμόσει αὐτῇ τὸ ῥοδοδάκτυλον ὡς καὶ προδεδήλωται. εἰ γὰρ καὶ ἡ ἀλληγορία εἰς ταυτὸν ἄγει τὴν ἡμέραν καὶ τὴν ἠῶ, ἀλλ' ἡ ποίησις, διαφόρους αὐτὰς λαλεῖ. Ἡσίοδος γοῦν τὴν μὲν ἡμέραν, νυκτὸς μητρὸς γενεαλογεῖ ἐν τῷ, νυκτός δ' αὖτ' αἰθήρ τε καὶ ἡμέρη. τὴν δὲ Ἠῶ, Θείας ὑποτίθεται θυγατέρα. εἰπὼν. Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην Ἠῶ θ' ἣ πάντεσσιν ἐπιχθονίοισιν φαείνει, γείνατο. περὶ δὲ Ἠοῦς ὡς σωματοειδοῦς, λαλεῖ καὶ τὸ, ἀλλ' ἤτοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠὼς. Ἰστέον δὲ ὡς οὐ μόνον τὸ ἄνθος τὸ ῥόδον ᾠκείωται τῷ Ἡλίῳ οὗ ἔργον ἡ ῥοδοδάκτυλος Ἠὼς, ἀλλὰ καὶ ἡ Ῥόδος ἡ νῆσος, διὰ τὴν πρὸς τὸ ἄνθος ὁμωνυμίαν. Ἡλίου γὰρ ἱερὰν τὴν Ῥόδοἄλλοι τέ φασι καὶ ὁ Πίνδαρος. εἰ δὲ ἐκ τοῦ ῥόδου καὶ ἡ ῥοδάνη γίνεται, οὐκ ἔστιν εἰπεῖν σταθερῶς. ἧς ἡ χρῆσις ἐν λέξεσιν εὕρηται ῥητορικαῖς, οὕτω, κρόκην λεκτέον οὐχὶ ῥοδάνην. ἐξ οὗ καὶ τὸ ῥοδανίζειν κοινότερον. δοκεῖ δέ τι συμβάλλεσθαι εἰς τὸ γνῶναι τὴν τοιαύτην λέξιν τὸ, ῥοδανονδονακῆα, ὅπερ ἐν τῇ Ἰλιάδι κεῖται. περὶ δὲ Ὠρίωνος, καὶ ἐν τοῖς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ τὴν νεκυίαν δηλωθήσεται ὡς ἐγχωρεῖ. Τιθωνοῦ δὲ εἰ καὶ μὴ ἐμνήσθη ὁ ποιητὴς ἐνταῦθα, ὅμως ἱστόρησεν ἐν τῇ Ἰλιάδι ἐπιτροχάδην αὐτὸν καθὰ. καὶ ἔδει περὶ οὗ ἰστέον, ὅτι ἐξ αὐτοῦ ὡς ὑπεργηράσαντος, οἱ λίαν πρεσβύται, Τιθωνοὶ ἐσκώπτοντο. ὡς καὶ ἀπὸ τοῦ Ἰαπετοῦ καὶ Κρόνου, οἱ αὐτοὶ, Κρόνοι τε καὶ Ἰαπετοί. ληροῖ δὲ ὁ μῦθος περὶ Τιθωνοῦ, καὶ ὅτι διὰ γῆρας, ἐν ταλάρῳ ἢ καρτάλῳ τῷ δηλουμένῳ ἐν τοῖς τοῦ κωμικοῦ, ἐκρεμάσθη. ὡς ἂν δηλαδὴ μὴ φαίνοιτο τοῖς πολλοῖς. ἢ εἰς τέττιγα μετεβλήθη. (ῃερς. 123.) Τὸ δὲ ἕλετο, ταυτὸν τῷ, ἐξείλετο, προέκρινεν. Ὀρτυγία δὲ κατὰ τοὺς πλείονας, ἡ Δῆλος, μία τῶν Κυκλάδων περὶ ἧς φασὶ καὶ οἱ τοῦ Λυκόφρονος σχολιασταὶ ὡς παρωνυμουμένης ὄρτυγι δαιμονίᾳ τινί. ἢ καὶ παρὰ τοὺς ἐκ πελάγους εἰς τὴν Δῆλον καταίροντας ὄρτυγας ὡς ἐν τοῖς ἑξῆς που φανεῖται. Ἁγνὴν δὲ τὴν Ἄρτεμιν ὡς παρθένον καλεῖ. ὅπερ ἡ Ἀφροδίτη οὐκ ἂν ἔχοι. (ῃερς. 125. σθθ.) Τὸν δὲ Ἰασίωνα, γεωργὸν ἡ κατὰ τὸν Ἑλλάνικον ἱστορία ἔχει Κρῆτα τὸ γένος. Διὸς υἱὸν καὶ Ἡμέρας, παρ' ᾧ μετὰ κατακλυσμὸν εὑρέθη φασὶ σπέρματα. ὅθεν καὶ ἡ Δημήτηρ κατὰ τὸν μῦθον ἐφίλει αὐτὸν ὡς καὶ Ἡσιόδῳ δοκεῖ. καὶ μίγνυται, οὐκ ἐν θαλάμῳ ἀλλ' ἐν νειῷ τριπόλῳ. ἣν ὁ αὐτὸς Ἡσίοδος ἐξαίρει ἀλεξιάρην καλέσας καὶ παίδων εὐκηλήτειραν, καὶ ἐκ τῆς τοιαύτης μίξεως ὁ πλοῦτος γεννᾶται. ὁ ὡραῖος δηλαδή. ὃν γαῖα φέρει Δημήτερος ἀκτήν. ὁ δὲ τῷ Ἰασίωνι τούτῳ ἐνσκήψας κεραυνὸς, εἰς πολὺν αὐχμὸν νοεῖται, ὃς οἷα ὀλέθριος ἀπεναντίας ἥκει τοῖς γεωργοῖς ὅτε γένηται. (ῃερς. 125.) Τὸ δὲ ὅλον εἰπεῖν, ἐπεὶ γεωργικώτατος ὁ Ἰασίων, δόξαν ἔσχε, Δήμητρι συνῳκηκέναι καὶ τὸν πλοῦτον τεκεῖν καθ' Ἡσίοδον. δοκεῖ δὲ καὶ προσφυῶς κληθῆναι Ἰασίων, ὡς παρὰ τὸ ἵημι διὰ τὴν τῶν σπορίμων ἕσιν ὅ ἐστι πέμψιν κατὰ τῆς γῆς. ὁ δὲ Ἀῤῥιανὸς ἱστορεῖ καὶ ὅτι Ἰασίων, ἀδελφὸς Ἀετίωνος καὶ Δαρδάνου πρόγονος Πριάμου, ἐκ Δήμητρος καὶ Κόρης κάτοχος γενόμενος, εἴς τε Σικελίαν ἦλθε, καὶ ἐπὶ πολλὴν ἄλλην γῆν ἐπλανήθη τὰ ἐκείνης ὄργια δεικνύων. διὸ λόγον ἔσχεν, ὡς Δημήτηρ αὐτῷ μίσγεται. τούτου φησὶν υἱὸς, Πάριος. ᾧ ἐπώνυμον, τὸ ἐν Ἑλλησπόντῳ Πάριον ὡς οἰκιστῇ. ὅτι δὲ ἡ Δημήτηρ εἰς γῆν ἀλληγορεῖται ὡς οἷα τις γῆ μήτηρ, τεθρύληται. εἴη δὲ ἂν ἡ τοιαύτη εὐπλόκαμος, διὰ τοὺς ἐξ ἀνθέων στεφάνους οἷς κόμη καλλύνεται. Σημείωσαι δὲ ὅτι εἰ καὶ ταυτόν ποτε πλόκαμος καὶ πλοκαμὶς, ἀλλ' οἱ παλαιοὶ, καὶ κόσμον 1.6 γυναικεῖον τὴν πλοκαμῖδα εἶναι δηλοῦσιν. ἣν καὶ κορυφαίαν φασὶν, ἤγουν κορυφήν. τὴν δ' αὐτὴν, καὶ σκόλλυν καὶ κρέκαν μετὰ τοῦ ¯ν ἢ καὶ χωρὶς τοῦ ¯ν. κεῖται γοῦν ἐν ῥητορικῷ λεξικῷ, ταῦτα. κρέκαν καὶ κορυφαίαν, τὸ αὐτό. καὶ σκόλλυν. μάλιστα δὲ Ἀττικοὶ πλοκαμῖδα. καὶ ἴσως ἐντεῦθεν καὶ εὐπλοκαμῖδες Ἀχαιαὶ, ὡς εὐκόσμητοι. Ἰστέον δὲ καὶ ὡς ἐκ τοῦ πλέκω μὲν, αἱ εἰρημέναι λέξεις παρήχθησαν. ἐκ δὲ τοῦ πέπλεχα, οὐ μόνον οἱ ἐν τῇ Ἰλιάδι πλοχμοὶ, ἀλλὰ καὶ τὸ πλόχανον. ἔστι δὲ αὐτὸ, πλέγμα τι κατὰ τοὺς παλαιοὺς, ᾧ καθαίρεται σῖτος. καὶ δοκεῖ κοσκινοειδές τι ἐκεῖνο εἶναι. οὗ ἀναλογία κατὰ τὸ, ὄχανον. κόπανον. ξόανον. ἕδρανον. ἤρανον. ἐξ οὗ πληθυντικὸν κατὰ συγκοπὴν, ἦρα καὶ ἐπίηρα. Πλοχμῷ δὲ ἀνάλογον, ὀχμός. οὗ ὄνομα παράγωγον ἀνάττικον μὲν τὸ νεοχμός. Ἀττικὸν δὲ, ὁ συνεοχμὸς οὗ καὶ παρ' Ὁμήρῳ χρῆσις. ὧν θέμα, τὸ ἔχω. ἀφ' οὗ λόγῳ μὲν παρακειμένου ἐνεργητικοῦ ἀῤῥήτου τὸ, πέτρης ἔχμα, Ὁμηρικῶς. ἤγουν κράτημα. συνοχή. μέσου δὲ παρακειμένου τολμήσαντος οὐδ' αὐτοῦ ἐκφωνηθῆναι, τὸ πρόεγμα διὰ τοῦ γάμμα στοιχείου, καθ' ὁμοιότητά τινα τοῦ, βρεχμὸς καὶ βρέγμα. ἔστι δὲ πρόεγμα ὡς δηλοῖ ὁ Σουΐδας, στήριγμα. ὥστε εἶναι ἀπὸ τοῦ ἔχω, τὸ ἔχμα τὸ πρόεγμα. τὸν ὀχμόν. οὗ ῥῆμα ὀχμάζειν παρ' Εὐριπίδῃ. καὶ τὸν συνεοχμόν. καὶ τὸν νεοχμόν. τοῦ ἔχειν δὲ πάντως ἐξέχονται, καὶ ἡ ἐν ἄλλοις ῥηθεῖσα ὄχη τὸ ὄρος. καὶ τὸ ὄχα καὶ ἔξοχα. καὶ τὸ ὀχεῖν καὶ ὀχεύειν. καὶ τὸ ὀχεῖον. καὶ ἄλλα. καὶ ταῦτα μὲν οὕτω λελέχθω καὶ ἐς τοσοῦτον. (ῃερς. 127.) Τὸ δὲ ᾧ θυμῷ εἴξασα τουτέστι τῇ οἰκείᾳ ἐπιθυμίᾳ, παντελῶς ἑτεροῖόν ἐστι τοῦ, ᾧ θυμῷ μεγαλήτορι εἴξας. ἐκεῖνο γὰρ ἐπὶ θυμοῦ ἐν Ἰλιάδι κεῖται. Τὸ δὲ μίγη φιλότητι, πρὸς διαστολὴν ἑτέρων φησὶ μίξεων.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μίγνυνται γὰρ καὶ ὑγρὰ πρὸς ἄλληλα. καὶ στρατεύματα δὲ ἐν μάχῃ. Τὸ δὲ καὶ εὐνῇ, ἑφερμηνευτικόν ἐστι τῆς ἐνταῦθα φιλότητος. ἵνα μὴ ἡ ἁπλῶς φιλία νοηθείη. Τρίπολος δὲ νειὸς, ἡ τρίτον ἐστραμμένη. πωλεῖν γάρ φασι τὸ ἀναστρέφειν. Καὶ ὅρα ὅτι τὸ μὲν πωλεῖν, διὰ τοῦ ¯ω μεγάλου παρὰ τῷ ποιητῇ ὥσπερ καὶ τὸ πωλέσκω, καὶ ἡ εὔπωλος γῆ. ἡ δὲ τρίπολος, διὰ τοῦ ¯ο μικροῦ. (ῃερς. 130.) Τὸ δὲ περιτρόπιος βεβαῶτα, ἀντὶ τοῦ περιβάδην ἐποχούμενον τῇ τρόπει δίκην κέλητος. ὡς ἐν ἄλλοις ἐρεῖ ὁ ποιητής. (ῃερς. 128.) Ἀργὴς δὲ κεραυνὸς ὀξυτόνως πρὸς διαστολὴν βαρυτόνου κυρίου μυθικοῦ, τοῦ Ἄργης. ᾧπερ ἀδελφὸς ἦν, Βρόντης καθ' Ἡσίοδον. ἐσκεύαζον δέ φασι αὐτοὶ τῷ Διῒ ὁ μὲν κεραυνοὺς ὁ δὲ βροντάς. βέλη ταῦτα δΐϊα. οἷς ὁ βλαβεὶς, διόβλητος ἦν. εἰκὸς δὲ μηχανικοὺς ἀνθρώπους αὐτοὺς εἶναι. τεχνωμένους ὁμοίως Ἀρχιμήδει, τὰς δι' ἐνόπτρων ὡς οἷον ἀστραπαίας καύσεις οὗ μιμητὴς καὶ Ἀνθέμιος ὁ παρὰ τῷ Ἀγαθίᾳ. Ἔτι δέ, τεχνικῶς κτυποῦντας βροντῶδες. ὁποῖος ὑπονοεῖται καὶ ὁ Σαλμωνεύς. Κεραυνὸς δὲ γίνεται, παρὰ τὸ κείρειν καὶ αὔειν. ὁ φθείρων δηλαδὴ ἐν τῷ καίειν. Τὸ δὲ νῆα ἔλσας, ἀντὶ τοῦ ἐλάσας. κρούσας. πλήξας. (ῃερς. 132.) Τὸ δὲ ἐκέασεν, ἀντὶ τοῦ διέσχισεν ὡς καὶ πρὸ ὀλίγων ἐγράφη. ἴσως δὲ καὶ τὸ ἐκέδασεν ἐκ τούτου γίνεται πλεονασμῷ τοῦ ¯δ. ἵνα πως εἴη ταυτὸν τὸ ἐκέασε καὶ τὸ ἐκέδασεν, ἤδη δὲ καὶ τὸ ἐξετίναξε. διὸ ἐν τοῖς ἑξῆς, τὴν αὐτὴν σχεδίαν τὸ κῦμα διατινάξει. οὐ μὴν δὲ, ἀλλὰ καὶ δούρατα μακρὰ διασκεδάσει. Ἰστέον δὲ καὶ ὅτι ἐκ τοῦ κεάσαι, εὕρηνται καὶ ἀκέανοι, σπορίμου εἶδος. περὶ οὗ φησὶν Αἴλιος Διονύσιος, ὅτι ἀκέανοι, τὰ ἐν φακοῖς στρογγύλα καὶ δυσκάτακτα ὄσπρια. φέρων καὶ χρῆσιν Φερεκράτους, ταύτην. κυάμους. φακῆν. ζείας. αἶρας. ἀκεάνους. (ῃερς. 137.) Ὅτι ὁ διὰ φόβον μεγάλου προσώπου καταφρονῶν τοῦ σῶσαί τινα, εἴποι ἂν ὣς ἐπεὶ οὔπως ἐστὶ τὸν τοῦ δεῖνος νόον οὔτε παρὲξ ἐλθεῖν οὔθ' ἁλιῶσαι. ἐῤῥέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει. τί δὲ τὸ παρὲξ ἐλθεῖν καὶ τὸ ἁλιῶσαι, πρὸ ὀλίγων εἴρηται. (ῃερς. 142.) Συμβούλου δὲ ἀγαθοῦ τὸ, αὐτάρ οἱ πρόφρων ὑποθήσομαι οὐδ' ἐπικεύσω, ὥς κε μάλ' ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται. (ῃερς. 146.) Προθυμοποιὸν δὲ εἰς τοιαύτην βουλὴν τὸ, οὕτω νῦν ἀπόπεμπε. θεοῦ δ' ἐποπίζεο μῆνιν μήπως τοι μετόπισθε κοτεσσάμενος χαλεπήνῃ. ἐν τούτοις δὲ καὶ τὴν ὄπιν ἐτυμολογεῖ, ἥτις ἐστὶ τῶν μετόπισθεν ἤτοι τῶν μελλόντων θεία ἐπιστροφή. (ῃερς. 160.) Τὸ δὲ, κάμμορε μή μοι ἔτ' ἐνθάδε ὀδύρεο μὴ δέ τοι αἰὼν φθινέτω, παραμυθητικοῦ λόγου ἐστίν. αἰῶνα δὲ λέγει, τὴν ζωήν. ἣ φθίνει τοῖς μακροῖς θρήνοις. οὕτω καὶ ἀνωτέρω τούτων τὸ, κατείβετο γλυκὺς αἰὼν. ὅ ἐστιν ἐν δάκρυσι λειβόμενος κατετήκετο. (ῃερς. 141.) Ἐν τούτοις δὲ καθὰ καὶ ἀλλαχοῦ, καὶ ἐρημία δηλοῦται τῆς κατὰ τὴν Καλυψὼ νήσου ἐν τῷ, μήτε νῆας παρεῖναι μήτε τοὺς τὸν Ὀδυσσέα πέμψοντας ἑταίρους. ἐν οἷς πιθανολογεῖται τὸ τὸν Ὀδυσσέα μονήρη πλεῦσαι. (ῃερς. 162.) Ὅτι λέξις ναυπηγικὴ, τὸ ἁρμόζεσθαι. φησὶ γοῦν ἡ Καλυψὼ πρὸς Ὀδυσσέα. 1.7 ἀλλ' ἄγε δούρατα μακρὰ ταμὼν, ἁρμόζεο χαλκῷ εὐρείην σχεδίην. ἐκ τοιαύτης δὲ ἐννοίας, καὶ Ἁρμονίδης Φερέκλου πατὴρ τοῦ τὰς ἀρχεκάκους νηΐας τῷ Πάριδι τεκτήναντος. (ῃερς. 163.) Ὅρα δὲ τὸ, εὐρείην σχεδίην. δι' οὗ δηλοῦται, ὡς οὐ κυρίως αὕτη σχεδία εἴπερ εὐρεῖα. οὐ γὰρ αἱ κυρίως σχεδίαι τοιαῦταί εἰσιν. ὅτι μὴ δὲ πολύδεσμοι ἐκεῖναι. ἐπιφέρει δὲ ἡ Καλυψὼ καὶ τὸ, αὐτὰρ ἴκρια πῆξαι ἐπ' αὐτῆς ὑψοῦ, ὥς σε φέρῃσιν ἐπ' ἠεροειδέα πόντον. λέγει δὲ ἴκρια νῦν, ὀρθὰ ξύλα τὰ καὶ ἐγκοίλια. ὧν ἄνω, τὰ καταστρώματα τῆς νηός. Τὸ δὲ πῆξαι ἐπ' αὐτῆς ὃ ἐστὶν ἐπὶ τῆς σχεδίας νηός, οὐ παραλόγως ἂν ῥηθείη ἀγαγεῖν εἰς νοῦν ὕστερον τὸ καθ' ἱστορίαν τῆς ναυπάκτου ὄνομα. (ῃερς. 602.) Τὸ δὲ ὑψοῦ, ἢ τοῖς ὄπισθε συντακτέον ἵνα ᾖ πῆξαι ἐπ' αὐτῆς ἴκρια ὑψοῦ. ἢ τοῖς μετ' αὐτό. ἵνα λέγῃ, ὥς σε φέρῃσιν ὑψοῦ. τουτέστιν, ἐπ' ἠεροειδέα πόντον. πρὸς ὁμοιότητα τοῦ, ὑψοῦ ἐν νοτίῳ. (ῃερς. 165.) Ὅτι φιλοξένου ἀνδρὸς λόγος τὸ, αὐτὰρ ἐγὼ σῖτόν τε καὶ οἶνον ἐρυθρὸν ἐνθήσω μενοεικέα, ἅ κέν τοι λιμὸν ἐρύκοι, εἵματά τ' ἀμφιέσω, καὶ τὰ ἑξῆς δὲ, χρησιμεύσει ἐὰν παρῳδηθῇ, οἷον. ὡς ἂν ἀσκηθὴς οἴκαδε ἵκοιο αἴκε θεὸς ἐθέλῃ ὃς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐρανὸν εὐρὺν ἔχει. ὅς μευ φέρτερός ἐστι νοῆσαί τε. ἤγουν κρᾶναι καὶ τελειῶσαι τὸ νοηθέν. ὃ πλείονός ἐστι δυνάμεως. πολλοὶ γὰρ, νοοῦσι μὲν οὐ κραίνουσι δὲ, ὡς μὴ ἰσχύοντες. δῆλον δὲ ὅτι καὶ πᾶς ὁ καὶ εἰπεῖν καὶ πρᾶξαι δεινὸς, φέρτερος ἂν λεχθείη νοῆσαί τε κρῆναί τε. Ἐν τούτοις δὲ, ἡ μυθικὴ Καλυψὼ, κρείττους ἑαυτῆς εἶναι ὁμολογεῖ τοὺς οὐρανίωνας. (ῃερς. 166.) Τὸ δὲ ἅ λιμὸν ἐρύκοι, ἐφερμηνευτικόν ἐστι τοῦ μενοεικέα. ἐπεὶ, καὶ ταυτόν ἐστι βρῶμα τὸ ἐπαρκοῦν μένει καὶ τὸ ἐρύκον λιμόν. (ῃερς. 173.) Ὅτι ὁ μὴ πιστεύων ὑπισχνουμένῳ τινὶ, ἐρεῖ ἄν. ἄλλό τι δὴ σὺ τόδε μήδεαι. καὶ εἴτι δὲ ἄλλο χρήσιμον τῶν ἐφεξῆς. (ῃερς. 174.) Ὅτι τὸ, κέλεαι σχεδίῃ περάαν μέγα λαῖτμα θαλάσσης, εἴ ποι ἄν τις παροιμιακῶς, ὅτε μικρῷ λόγῳ, μεγάλα τινὰ διελθεῖν βούλεται. (ῃερς. 175.) Ὅτι τὸ κατὰ τὴν νῆσον τῆς Καλυψοῦς πέλαγος, ὁ Ὀδυσσεὺς δεινόν τ' ἀργαλέον τε λέγει. τὸ δ' οὐδ' ἐπὶ νῆες ἐΐσαι ὠκύποροι περόωσιν ἀγαλλόμεναι Διὸς οὔρῳ. Καὶ ὅρα τὸ ἀγαλλόμεναι ὡς ἐπὶ ἐμψύχων τῶν νηῶν λεχθέν. ἵνα καὶ αὐταῖς ἄγαλμα εἴη ὁ τοῦ ἀέρος οὖρος. (ῃερς. 176.) Τὸ δὲ ὠκύποροι περόωσι, κατὰ τρόπον ἐτυμολογίας πέφρασται. Τὸ δὲ οὐδὲ νῆες, διαστέλλει τῶν νηῶν τὰς σχεδίας. νῆες μὲν γὰρ, ἁπλῶς καὶ ἀσυνθέτως. σχεδίαι δὲ, νῆες σχέδιοι. καὶ ναῦς μὲν, οὐκ ἂν λεχθείη σχεδία. τῇ σχεδίᾳ δὲ, προσυπακούεται καὶ ἡ ναῦς. (ῃερς. 178.) Ὅτι Ὀδυσσεὺς μὲν οὐκ ἔχων πιστεῦσαι εἴπερ ἀληθὴς ἡ τῆς Καλυψοῦς πομπὴ, ἐθέλει τλῆναι αὐτὴν μέγαν ὅρκον ὀμόσσαι, μήτι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο, οἷα ὀδυρομένῳ καὶ ἀπαναινομένῳ αὐτήν. ἡ δὲ, μείδησέ τε χειρί τέ μιν κατέρεξε. ταῦτα δὴ τὰ πολλαχοῦ ῥηθέντα. (ῃερς. 182.) Καὶ εἰποῦσα. ἦ δὴ ἀλιτρός ἐσσι καὶ οὐκ ἀποφώλια εἰδώς, καὶ, οἷον δὴ τόνδε μῦθον ἐπεφράσθης ἀγορεῦσαι, ὄμνυσι γῆν καὶ οὐρανὸν καὶ τὸ τῇ, στυγὸς ὕδωρ, μηδέν τι πῆμα κακὸν βουλευσέμεν ἄλλο καὶ τὰ ἑξῆς. (ῃερς. 179.) Καὶ ὅρα τὸ ἄλλο, δηλοῦν τὴν ἑτερότητα τοῦ κακοῦ πρὸς τὸ ἀγαθόν. (ῃερς. 184.) Ὁ δὲ ὅρκος τῇ Καλυψοῖ ὡς καὶ ἀλλαχοῦ, τοιοῦτος. ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε. καὶ τὸ κατειβόμενον στυγὸς ὕδωρ, ὅστε μέγιστος ὅρκος δεινότατός τε πέλει θεοῖς. Ὅτι δὲ τοιοῦτος ὁ τῆς στυγὸς ὅρκος, καὶ ὡς ἐκ πέτρας ἐν ᾄδου κατείβεται, καὶ ὡς καθ' ἱστορίαν, πηγή ἐστιν ἡ Στὺξ ἐν τῇ Ἀρκαδικῇ φενεῷ, καὶ ὡς ἐξ αὐτῆς τὸ στυγεῖν καὶ τὸ στυγητὸν καὶ τὸ στυγνὸν, ἀλλαχοῦ δηλοῦται ἱκανῶς. ῥηθήσεται δέ τι καὶ ἐν τοῖς ἑξῆς περὶ αὐτῆς. (ῃερς. 182.) Τοῦ δὲ ἀλιτρὸς, προϋπόκειται ἐνεστὼς ἀλείτω τῇ ¯ε¯ι διφθόγγῳ παραληγόμενος. οὗ δεύτερος ἀόριστος, ἤλιτον. ὅθεν ἀλιτηρός. ἴσως δὲ, καὶ ἀλιτήριος. καὶ συγκοπῇ, ἀλιτρός. ἐκεῖθεν δὲ καὶ ὁ Ὁμηρικὸς ἠλιτόμηνος, ὁ παρ' ἑτέροις διὰ τοῦ κατ' ἀρχὴν ἄλφα, ἀλιτόμηνος. καὶ ἀλιταίνω τὸ ἁμαρτάνω. καὶ ἀλιτεύω δέ φασιν ὁμοίως. καὶ ἀλίτρια ἡ ἁμαρτία. καὶ ἀλιτήμων ὁ ἐφάμαρτος. καὶ ἀλίτημα, ἁμάρτημα. καὶ ἀλιτήμωρος ὁ παράφρων. καὶ ταῦτα μὲν ἐκ τοῦ ἤλιτον καὶ ἀλιτῶ. ἤγουν ἐκ τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος. ἐκ δὲ τοῦ ἀλείτω ἐνεστῶτος, ἀλείτης ὁ ἁμαρτωλός. οὗ ἀναλογώτερον παρὰ Λυκόφρονι, ὁ ἀλοιτός. Τὸ δὲ ἀλιτρός ἐσσι καὶ οὐκ ἀποφώλια εἰδὼς, ἀντὶ τοῦ ἤλιτες καὶ οὐκ εἶπας τὸ ἀληθὲς καὶ ταῦτα μὴ ἀπαίδευτος ὤν. ἀποφώλιος γὰρ, ὁ ἀπαίδευτος καὶ ἀδίδακτος ἐπειδὴ φωλεοὶ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο τὰ παιδευτήρια. ἢ καὶ ἄλλως, ὁ ἀπεῤῥιμμένος καὶ μὴ ἄξιος λόγου, ὡς ἀπὸ τῶν ὀρνέων ἃ τῶν φωλεῶν ἀποβάλλεται. (ῃερς. 184.) Τὸ δὲ ἴστω, καινότερον κατὰ τριῶν ὀνομάτων κεῖται, τοῦ γαῖα, τοῦ οὐρανὸς, καὶ τοῦ στύξ. (ῃερς. 185.) Τὸ δὲ ὅς τε 1.8 μέγιστος ὅρκος, Ἀττικῶς ἐῤῥέθη. τὸ γὰρ κοινὸν, ὃ μέγιστος ὅρκος πέλει. (ῃερς. 188.) Ὅτι ἀληθοῦς φιλίας τὸ, ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι. ἅσσ' ἂν ἐμοί περ μηδοίμην ὅτε με χρειὼ τόσον ἵκοι. τουτέστιν ἃ νοῶ ἐκεῖνα καὶ συμβουλεύσομαι, ἃ καὶ ἐμοὶ φρασαίμην ἂν ὅτε εἰς τοσοῦτον χρείας ἔλθω. Προσώπου δὲ συστατικὸν τὸ, καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος. οὐδέ μοι αὐτῷ θυμὸς ἐνὶ στήθεσσι σιδήρεος ἀλλ' ἐλεήμων. (ῃερς. 196.) Φιλοξενίας δὲ ἔνδειξις τὸ, ἐτίθει παρὰ πᾶσαν ἐδωδὴν ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν. (ῃερς. 195.) Ἐν τούτοις δὲ κεῖται καὶ ὡς ἔνθα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθέζετ' ἐπὶ θρόνου Ὀδυσσεὺς, ἔνθεν ἀνέστη Ἑρμείας. δι' οὗ ἔστιν ὑπονοῆσαι ἀλληγορικῶς, περὶ τὸ αὐτοῦ ὑποκείμενον ἱδρύσθαι τόν τε λόγον καὶ τὸν αὐτοῦ μετέχοντα φιλόσοφον ἄνδρα ὁποῖος καὶ Ὀδυσσεύς. ἔχοι δ' ἄν τις τὸ τοιοῦτον εἰπεῖν ῥητὸν, καὶ ὅτε λογίου ἀνδρὸς σχολὴν, ἕτερος ὅμοιος αὐτῷ διαδέξεται. (ῃερς. 197.) Τὸ δὲ τὴν Καλυψὼ ἐνταῦθα τῷ μὲν Ὀδυσσεῖ παραθεῖναι οἷα βροτοὶ ἔδουσιν αὐτὴν δὲ ἄλλως τρυφᾶν, λαβὰς δίδωσι κατὰ γυναικὸς τρυφώσης ὑπὲρ τὸν ἄνδρα. (ῃερς. 199.) φησὶ γάρ. τῇ, δὲ παρ' ἀμβροσίην δμωαὶ καὶ νέκταρ ἔθηκαν. ὧν δηλαδὴ ἐὰν μετελάμβανε καὶ Ὀδυσσεὺς, ἀθάνατος ἦν ἂν κατὰ τὴν Καλυψὼ, τὴν καὶ βουλομένην αὐτὸ καθὰ ἐκείνη πρὸ ὀλίγων ἔφη. δῆλον δὲ ὡς ἀρέσκει τῷ μύθῳ, ἀθανατίζεσθαι τὸν γευσάμενον ἀμβροσίας καὶ νέκταρος. ἔχει δέ τι καὶ κολακείας ὁ τοιοῦτος τόπος ἐν ᾧ ἡ μὲν Καλυψὼ παρατίθησι τῷ Ὀδυσσεῖ, αἱ δὲ δμωαὶ τῇ Καλυψοῖ. (ῃερς. 4.) Ὅτι πρὸς φίλον ἐπικινδύνως οἴκαδε ἀπιόντα, εἰκὸς ῥηθῆναι τὸ, οὕτω νῦν οἶκονδε φίλην ἐς πατρίδα γαῖαν αὐτίκα νῦν ἐθέλεις ἰέναι, σὺ δὲ χαῖρε καὶ ἔμπης. εἴγε μὲν εἰδείης σῇσι φρεσὶν ὅσσα τοι αἶσα κήδε' ἀναπλῆσαι ἐνθάδε αὖθι μένων παρ' ἐμοὶ, τόδε δῶμα φυλάσσοις. (ῃερς. 215.) Πρὸς ταῦτα δὲ ὁ φιλοπάτρις εἴποι ἂν, οἶδα καὶ αὐτὸς πάντα μάλα. ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα οἴκαδέ
τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι. εἰ δ' αὖ ῥαίῃσι θεὸς, τλήσομαι ἐνὶ στήθεσσιν ἔχων ταλαπενθέα θυμόν. εἰ δὲ καὶ πολύτλας ὁ τοιοῦτος ἐστὶ, προσθήσει καὶ τὰ ἐφεξῆς. ἤδη γὰρ μάλα πολλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα κύμασι καὶ πολέμῳ, μετὰ καὶ τόδε τοῖσι γενέσθω. Ὀδυσσέως δὲ ταῦτα λέγοι. (ῃερς. 223.) ὃς καὶ ἐκ τούτων τλήμων συνάγεται, ὁ καὶ συντεμὼν ῥητορικῶς ἐν δυσὶ λέξεσι τὰ κατ' αὐτὸν μυρία πάθη. (ῃερς. 224.) Τὸ γὰρ κύμασι καὶ πολέμῳ, τὸ μὲν τὰ περὶ Τροῖαν δηλοῖ, τὸ δὲ, τὰ κατὰ θάλασσαν. (ῃερς. 7.) Ὅρα δὲ τὸ αὐτίκα νῦν, παραλλήλως δηλοῦντα τὸ αὐθωρόν. ἔστι δὲ ταυτόνοια καὶ ἐν τῷ, ἐνθάδε αὖθι. ὁ αὐτὸς γὰρ νοῦς ἐν ἀμφοῖν. (ῃερς. 8.) ὅμοιον δὲ καὶ τὸ, ἐθέλω καὶ ἐέλδομαι. καὶ τὸ, οἴκαδε ἐλθεῖν καὶ νόστιμον ἦμαρ ἰδέσθαι. εἰκὸς δὲ ἀγωνιῶσαν τὴν Καλυψὼ μὴ ἐνευκαιρεῖν ἐπιχύσει νοημάτων, ἀλλὰ συχνὰ ταυτολογεῖν. ὁ μέντοι ῥήτωρ Ὀδυσσεὺς τοσοῦτον ἀπέχει τοῦ οὕτω πολυλογεῖν. ὥστε καὶ τὰς ἀμυθήτους πράξεις τε καὶ πάθας, δυσὶν ἐμφῆναι ὀνόμασι τῷ, κύματα, καὶ τῷ, πολέμους. (ῃερς. 6.) Τὸ δὲ εἰδείης, ἐκ τοῦ εἴδω εἴδοιμι γίνεται, κατὰ μεταπλασμόν. ὁμοίως τῷ περιπατοῖμι περιπατοίην, καὶ τοῖς ὁμοίοις. (ῃερς. 8.) Τὸ δὲ τόδε δῶμα φυλάσσοις, ἀστείως ἐῤῥέθη ἀντὶ τοῦ ἐπιμελῶς αὐτὸ κατέχοις καὶ κατὰ σπουδὴν δίκην φύλακος. (ῃερς. 221.) Τοῦ δὲ ῥαίειν ὅ ἐστι φθείρειν, πρωτότυπον τὸ ῥῶ. ὡς καὶ τοῦ κλαίειν καὶ καίειν, τὸ κλῶ καὶ κῶ. (ῃερς. 211.) Ὅτι βαρυνομένη ἡ Καλυψὼ ἐφ' οἷς ἱμείρεται Ὀδυσσεὺς ἰδέσθαι τὴν αὐτοῦ ἄλοχον ἧς αἰὲν ἐέλδεται ἤματα πάντα, φησί. οὐ μέν θην ἤγουν οὐ μὴν δὴ, κείνης γε χερείων εὔχομαι εἶναι, οὐ δέμας οὐδὲ φυήν. ἔπαινος δὲ γυναικὸς ἀγαθῆς ταῦτα ὡς καὶ ἐν Ἰλιάδι κεῖται. (ῃερς. 212.) Εἶτα ἐπάγει πρὸς λόγου κατασκευὴν τὸ, ἐπεὶ οὔπως οὐδὲ ἔοικε θνητὰς, ἀθανάταις δέμας καὶ εἶδος ἐρίζειν. διὸ καὶ μέγας ἔπαινος γυναικὸς τὸ, θεαῖς εἰς ὦπα ἐῴκει. (ῃερς. 213.) Ὅρα δ' ἐνταῦθα τὸ, δέμας καὶ εἶδος ταυτὸν ἴσως ὂν ὡς εἴπερ ἔφη δέμας καὶ φυήν. καὶ οὕτω μὲν ἡ Καλυψὼ μετριώτερον. (ῃερς. 215.) Ὀδυσσεὺς δὲ παραιτησάμενος συγγνώμην ἐφ' οἷς προαιρεῖται οἴκαδε νοστῆσαι, φησί. πότνα θεά. μή μοι τόδε χώεο. οἶδα καὶ αὐτὸς πάντα μάλ' οὕνεκα σεῖο περίφρων Πηνελόπεια εἶδος ἀκιδνοτέρη μέγεθός τε εἰς ὦπα τ' ἰδέσθαι. ἡ μὲν γὰρ βροτός ἐστι. σὺ δ' ἀθάνατος καὶ ἀγήρως. ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι καὶ τὰ ἑξῆς ὡς προσεχῶς ἀνωτέρω ἐγράφη. Καὶ ὅρα τὴν διὰ παντὸς τοῦ λόγου δεινότητα. τὸ τραχύ τε γὰρ τοῦ λόγου ἐλέανε ζητήσας ὡς ἐῤῥέθη συγνώμην, καὶ τῷ καταρτικῷ ἐπιθέτῳ ἐκολάκευσε. πότναν θεὰν προσειπὼν τὴν Καλυψώ. καὶ τῇ συντόμῳ συγκρίσει ἐταπεί 1.9 νωσε τὴν Πηνελόπην. (ῃερς. 216.) ὅμως μέντοι ἄλλως λεληθότως ἐσέμνυνεν ἐκείνην, παραῤῥίψας ἔπαινον τὸ, περίφρων Πηνελόπεια. οὗ ἕνεκεν δοκεῖ ἐκείνην φιλεῖν. μονοννουχὶ φάμενος, ὡς εἰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὰ ἄλλα σοῦ ἀκιδνοτέρα, τὰ γοῦν κατὰ νοῦν περιττή ἐστι. (ηερς. 2.) Σημείωσαι δὲ καὶ ὡς ἐπὶ πλέον θεραπεύων τὴν Καλυψὼ, οὐδὲ λέγει ὡς ἐθέλω καὶ ἐέλδομαι εἰς τὴν γυναῖκα ἐλθεῖν, ἀλλ' οἴκαδε ἁπλῶς νοστῆσαι. (ηερς. 211.) Τὸ δὲ χερείων, τῇ ¯ε¯ι διφθόγγῳ παραληγόμενον ἐν τῇ συγκρίσει, τῷ ἰῶτα μόνῳ παραλήγεται ὡς τρισύλλαβον ὁμοίως τῷ ἀρείων ἄριστος, ἐν τῇ ὑπερθέσει. τὸ γὰρ φυλάσσειν αὐτὴν καὶ ἐν τοῖς ὑπερθετικοῖς, τῶν δισυλλάβων ἐστίν. ὁποῖον τὸ, πλείων πλεῖστος μείων μεῖστος. (ηερς. 212.) Φυῆς δὲ ὅτι παράγωγον εὐφυὴς πτελέα καὶ μηροὶ εὐφυεῖς, ἡ Ἰλιὰς δηλοῖ. οἱ δὲ ὕστερον, εὐφυῆ καὶ τὸν κατὰ νοῦν δεξιὸν εἶπον. Ἀττικοὶ δὲ, τὸν σκωπτικὸν εὐφυῆ ἐκάλουν κατά τινας. (ηερς. 217.) Τὸ δὲ εἶδος μέγεθός τε, οὐκ ἂν εἴη ἑτεροῖον τῶν προειρημένων. τοῦ, δέμας καὶ εἶδος. καὶ δέμας καὶ φυήν. Ἀκιδνοτέρα δὲ κατὰ τοὺς γλωσσογράφους, ἡ ἀσθενεστέρα ἢ εὐτελεστέρα. περὶ οὗ ἐν τοῖς ἑξῆς που κρεῖττον ῥηθήσεται. Τὸ δὲ εἰς ὦπα ἰδέσθαι, δοκεῖ σφοδρότητός τι ἔχειν. ὡς τὰ μὲν εἰς ὄψιν, ἀκιδνοτέρας οὔσης τῆς Πηνελόπης οὐ μὴν καὶ τάγε εἰς τὸ περίφρονα εἶναι. (ηερς. 218.) Ὅρα δὲ καὶ ὅτι τὸ βροτὸς ἀντέθηκε πρὸς τὸ ἀθάνατος. ἐπειδὴ καὶ κυρίως βροτὸς ὁ ἐν ῥοῇ καὶ ῥευστὸς, ἤτοι φθαρτός. ᾧ ἀντίθετον τὸ ἄφθαρτον. (ηερς. 219.) Τὸ δὲ ἐθέλω καὶ ἐέλδομαι, τῇ παραλλήλῳ θέσει, τὸ πολὺ δηλοῖ τῆς ἐφέσεως. τάχα δὲ καὶ ἐπίτασις τοῦ ἐθέλειν τὸ ἐέλδεσθαι. (ηερς. 227.) Ὅτι τὸ, τερπέσθην φιλότητι παρ' ἀλλήλοισι μένοντες, σεμνῶς πέφρασται ἐπὶ τῆς νύκτωρ συγκαθευδήσεως τῆς Καλυψοῦς καὶ τοῦ Ὀδυσσέως. (ηερς. 229.) μεθ' ἣν διασκευάζων τὰ τῆς ἐξεγέρσεως, φησὶν ὡς ἅμα πρῳΐα, ὁ μὲν, χλαῖνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυσσεύς. (ηερς. 230.) αὐτὴ δ' ἀργύφεον ἤτοι λευκοϋφὲς φᾶρος μέγα ἕννυτο νύμφη. λεπτὸν καὶ χαρίεν. περὶ δὲ ζώνην βάλε τ' ἰξύϊ καλὴν χρυσείην, κεφαλῇ δ' ἐπέθηκε καλύπτρην. ταὐτὸν δὲ εἰπεῖν, κρήδεμνον. (ηερς. 230.) Καὶ ὅρα ὅτι δὶς ἔφη τὸ ἕννυτο διὰ τὸ καίριον. οἱ δὲ ὕστερον, μετὰ προθέσεως ἀμφιέννυσθαι τὸ τοιοῦτον ῥῆμα φασί. Τὸ δὲ μέγα φᾶρος, εὐμεγέθη συλλογιστικῶς ἐμφαίνει τὴν Καλυψώ. ἧς ἀκιδνοτέρη τὸ μέγεθος ἡ Πηνελόπη προσεχῶς εἴρηται. (ηερς. 231.) Εἰς δὲ τὸ ἰξύϊ, γράφουσιν οἱ παλαιοὶ τοιαῦτα. ῥάχις καλεῖται τὸ ὅλον. ἡ σύμπηξις τῶν ¯λ ¯δ σφονδύλων. ὧν οἱ πρῶτοι ἑπτὰ συμπληροῦσιν ἄνω τὸν τράχηλον. οἱ δὲ τελευταῖοι δέκα καὶ πέντε, τὴν ὀσφῦν. οἱ δὲ μέσοι δώδεκα, τὸν νῶτον. ὃν ἰξὺν ὁ ποιητής φασι λέγει, ἐπεὶ ἔστιν ἀνθρώποις ξύσαι αὐτὸν καὶ κνήσασθαι. ἐπὶ μέντοι ἀλόγων, κυρίως ἄκνηστις λέγεται. ὡς τὸ, κατ' ἄκνηστιν μέσα νῶτα. εἰ δὲ τοῦτό ἐστιν ἰξὺς, ὅρα ὅπως ἱστορεῖ ὁ ποιητὴς οὐ συνήθως περὶ τὴν ὀσφῦν ζώνυσθαι τὴν Καλυψώ. καὶ ὅτι οὐκ ἠρκέσθη φᾶρος ἁπλῶς καὶ ζώνην εἰπεῖν, εἰ μὴ καὶ ἐπιθέτοις αὐτὰ ἐκόσμησε. τὴν δέ γε καλύπτραν, οὕτω δόξαν αὐτῷ, δίχα ἐπιθέτου προήγαγεν. (ηερς. 234.) Ὅτι ἐν τῷ, δῶκε μέν οἱ πέλεκυν μέγαν ἄρμενον ἐν παλάμῃσι χάλκεον ἀμφοτέρωθεν ἀκαχμένον. αὐτὰρ ἐν αὐτῷ, στειλειὸν περικαλλὲς ἐλάϊνον εὖ ἐναρηρός. δῶκε δ' ἔπειτα σκέπαρνον ἐΰξοον. (ηερς. 246.) Καὶ πάλιν μετ' ὀλίγα. τόφρα δ' ἔνεικε τέρετρα Καλυψώ. (ηερς. 258.) Καὶ αὖθις μετ' οὐ πολλά. τόφρα δὲ φάρε' ἔνεικε Καλυψὼ, φασὶν οἱ παλαιοὶ ὅτι ἐνῆν μὲν ἅπαντα ὑφὲν κομίσαι. ἡ δὲ, ἀλλὰς πολλὰς εὑρίσκει ἀφορμὰς τοῦ συχνὰ ἐντυγχάνειν τῷ Ὀδυσσεῖ οἷα κατακόρως αὐτοῦ ἐθέλουσα σχεῖν ἤδη μέλλοντος ἀποπλεῖν. (ηερς. 234.) Ὅρα δὲ ὡς προέθετο καὶ νῦν καθὰ καὶ ἀλλαχοῦ, ἐργαλεῖα τεχνικὰ εἰπεῖν. πέλεκυν. σκέπαρνον. στάθμην τὲ καὶ τέρετρα. δι' ὧν καὶ πολυπειρίαν τῷ ἀκροατῇ ἐργάζεται, καὶ πλατύνει ἀφελῶς τὴν ποίησιν. οὐ διασαφεῖ δὲ καὶ ποῦ εὗρεν ἡ Καλυψὼ τὰ ναυπηγικὰ ἐργαλεῖα καὶ τὰ λοιπὰ, οἷα μὴ θέλων περὶ τοιοῦτόν τι κακοζήλως καὶ μικρολογικῶς ἀπασχολῆσαι τὴν ποίησιν. Ἀρετὴν δὲ τεχνίτου ἐμφαίνει, πέλεκυς ἄρμενος παλάμαις. ὁ γὰρ μὴ τοιοῦτος, ἀχρειοῖ ἐκεῖνον. οὕτω δὲ χρὴ καὶ τὸ στειλειὸν ἐναρηρέναι τῷ πελέκει διὰ τὸ εὔχρηστον. ἵνα θάτερον μὲν ἄκρον τοῦ στειλειοῦ ἐναρήρῃ τῷ πελέκει. τὸ δὲ ἕτερον, τῇ τοῦ τεχνίτου παλάμῃ. (ηερς. 235.) Τὸ δὲ ἀμφοτέρωθεν ἀκαχμένον ἤτοι θλίβον τῇ τομῇ, τὸ ἀμφίστομον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δηλοῖ. ὃ καὶ ἀμφίκοπον λέγεται. (ῃερς. 236.) Στειλειὸν δὲ οὐδετέρως τὸ ἐνιέμενον ξύλον εἰς τὴν θηλυκῶς λεγομένην στειλειὰν ἤγουν εἰς τὴν ὀπὴν τοῦ σιδήρου. καὶ φυλάσσεται μέχρι τοῦ νῦν ἡ λέξις, στειλειάριον λεγομένη παρὰ τοῖς πολλοῖς. ἣν στειλὰν ἤγουν ὀπὴν, οἱ μὲν παλαιοὶ, καὶ τρῆμα ἑρμηνεύουσι. τρητὸν δὲ μέχρι καὶ νῦν, οἱ περὶ Λυκίαν. Τὸ δὲ περικαλλὲς, ἢ 1.210 ἁπλοϊκῶς παρέῤῥιπται, ἢ καὶ ὅτι εἰκὸς περί που τὸ ἄκρον ἔχειν τινὰ γλυφῆς ὡραϊσμόν. (ῃερς. 236.) Τὸ δὲ ἐλάϊνον, παρατηρήσας ἔφη. ὡς ἔθος ὂν, τοιοῦτον εἶναι. Σκέπαρνον δὲ ἐΰξοον, δύναται καὶ κατὰ ἐνεργητικὴν σημασίαν εἶναι τὸ εὖ ξέον. ὥς που καὶ βέλος ὠκύμορον, τὸ ὠκὺ θανατοῦν. διὸ καὶ τὴν ἐνέργειαν αὐτοῦ φράζων καὶ τὴν τοῦ πελέκεως, φησί. πελέκκησε δ' ἄρα χαλκῷ, ξέσσε δ' ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνε. δῆλον δὲ ὡς οἱ μεθ' Ὅμηρον διθυραμβογραφοῦντες, σκέπαρνον δριμέως φράζοντες, ἄλλως ἐπὶ ἐρίου τίθενται ὃ σκέπει ἄρνα. (ῃερς. 244.) Τὸ δὲ πελέκκησε, διὰ μέτρον διπλάζει τὸ κάππα. ὡς καὶ ἀλλαχοῦ τὰ ἡμιπέλεκκα. ὅτι δὲ πελεκῶ μὲν, ἐπὶ ξύλων, πελεκίζω δὲ ἐπὶ προβάτων καὶ βοῶν καὶ ὅλως ζῴων, καθωμίληται τοῖς γραμματικοῖς. Ὅτι δὲ καὶ ἡ πέλλα οὐ τοπικὸν ἀλλὰ τὸ σκυφοειδὲς ἀγγεῖον ὃ πυθμένα ἔχει πλατύτερον εἰς ὃ ἤμελγον γάλα, ἐκ τοῦ πελεκῶ γέγονεν ὡς ξύλινον, οἱ παλαιοὶ δηλοῦσι. χρῆσις δὲ αὐτῆς, καὶ ἐν τῷ, περιγλαγέας κατὰ πέλλας. ὅθεν καὶ πελλὶς καθ' ὑποκορισμόν. Ἱππῶναξ. ἐκ πελλίδος πίνοντες· οὐ γὰρ ἦν αὐτοῖς κύλιξ. ὁ παῖς γὰρ ἐμπεσὼν, κατήραξεν. εἰ δέ τις Φοῖνιξ πελλίδα φησὶ χρυσῆν ἤτοι φιάλην, σημείωσαι τὸ, πελλίδα χρυσῆν, χρήσιμον ὂν καὶ αὐτὸ καθὰ καὶ τὸ πίνειν ἐξ ἀργυρίδων χρυσῶν, εἰς τὸ, ἵπποι ἐβουκολοῦντο. καὶ εἰς τὸ, νέκταρ ἐωνοχόει. καὶ εἰς τὸ, ἐχειρονόμησε σκέλεσι. καὶ ὅσα δὲ ἄλλα τοιαῦτα ἐν τοῖς εἰς τὴν Ἰλιάδα παρασεσημείωται. (ῃερς. 245.) Περὶ δὲ στάθμης, ἐγράφη ἀκριβῶς ἀλλαχοῦ. ἥτις ἐνταῦθα, κανών ἐστι τεκτονικός. ἤτοι σχοινίον μεμιλτωμένον ὡς τὰ πολλά. οὗ ἔργον, τὸ ἰθύνειν. οὐκ ἀεὶ δὲ μιλτοῦται ἡ σχοῖνος ἀλλὰ καὶ μελαίνεται. σπάνιον δὲ ἡ λευκὴ, διὰ τὸ κατ' αὐτὴν ἐν τοῖς ὑπολεύκοις τῶν σωμάτων ἄσημον καὶ οὐκ εὐδιάρθρωτον εἰς ἀπόρθωσιν γνώσεως. ὅθεν καὶ παροιμία τὸ, λευκὴ στάθμη. φησὶ γὰρ Αἴλιος Διονύσιος, οὕτω. λευκὴ στάθμη, ὁ μηδὲν διακρίνων μηδὲ διαγινώσκων. περὶ ἧς καὶ ἑτέρωθι ἐγράφη. (ῃερς. 246.) Τὸ δὲ τέρετρον ὃ δέλετρον καὶ τέλετρον ἀσιανή τις γλῶσσα φησὶ παραφθείρουσα, ὠνοματοπεποίηται παρὰ τὸν ἦχον τὸν ἐν τῷ τρυπᾶν ἀποτελούμενον. γίνεται δὲ ἀπὸ τοῦ τερῶ τερέσω τὸ τρυπῶ. ὃ καὶ αὐτὸ, μίμησιν ἔχει ἤχου. καθὰ καὶ τὸ τρῶ. οὗ παράγωγον ὥσπερ τὸ τρύχω, οὕτω καὶ τὸ τρύω ἐξ οὗ καὶ τρύμη ἡ παρὰ τῷ κωμικῷ. καὶ τρυμαλιὰ ἢ ὀπὴ τῆς βελόνης. καὶ ζυγοῦ τρυτάνη καὶ Ἀτρυτώνη Ἀθηνᾶ. καὶ τὸ τρυπᾶν καὶ τὰ ἐξ αὐτοῦ. ἐν οἷς, καὶ ἐκτρυπῆσαι κατὰ Παυσανίαν, τὸ μετὰ βίας ἐξελθεῖν. Αἴλιος δὲ Διονύσιος, εἰστρυπᾶν καὶ ἐκτρυπᾶν φησὶ, τὸ παρεισελθεῖν καὶ λάθρα μετὰ βίας ἐξελθεῖν. ἐκ δὲ τοῦ τοιούτου τρῶ, καὶ τὸ τρίβω. ὡς θλῶ θλίβω. καὶ τὸ τετραίνω, ὃ ἔργον ἐστὶ τῶν τερέτρων. φησὶ γάρ. τέτρηνε δ' ἄρα πάντα καὶ ἥρμοσεν ἀλλήλοις. ἔστι γὰρ τρῶ ὡς ἐῤῥέθη, ἐξ οὗ τραίνω τὸ παράγωγον τοῦ τρανὸς καὶ τρανές. καὶ κατὰ ἀναδιπλασιασμὸν, τετραίνω. ὡς τρέμω τρεμαίνω τετρεμαίνω. ἔοικε δὲ γίνεσθαι τὸ τρῶ, ἐκ τοῦ τείρω κατὰ συγκοπήν. ἢ ἐκ τοῦ τορῶ. ἀπὸ δὲ τοῦ τοιούτου τρῶ, καὶ τὸ τρώγειν. ὅθεν ὁ τράγος. μίμημα ὂν καὶ αὐτὸ τοιούτου ἤχου. ἔτι δὲ, καὶ ἡ γρώνη τετρυπημένη οὖσα πέτρα καὶ ὡς οἱ παλαιοί φασι, τρώνη τίς. εἰ δὲ καὶ τὸ τρῶσαι ὅπερ Ἰωνικῶς τὸ βλάψαι δηλοῖ, σύστοιχον τοῖς τοιούτοις ἐρεῖ τις, οὐκ ἂν ἀπεικότως εἴποι. ἐκ δὲ τοῦ τορῶ ἐξ οὗ καὶ αὐτοῦ ὡς ἐῤῥέθη, δοκεῖ συγκεκόφθαι τὸ τρῶ, καὶ ὁ τορὸς λόγος καὶ ὁ τεκτονικὸς τόρος καὶ τὸ τορεύειν καὶ ὁ τόρνος, γίνεται. ἐκεῖθεν δὲ κεκίνηται καὶ τὸ ἀντετόρησεν. ὅπερ ἐν Ἰλιάδι κεῖται, ὡς δὲ τοῦ τείρειν αὖθις ἴδιαί τινες εἰσὶ κινήσεις, δῆλον ἔκ τε ἄλλων, καὶ ἐκ τοῦ Τειρεσίου. ἀπὸ τοῦ τείρω γάρ τινες ἐτυμολογοῦσι καὶ αὐτόν. καθὰ καὶ τὰ τείρεα, ὅπέρ ἐστιν ἄστρα. ἐκεῖθεν δὲ, καὶ τὰ κατ' οἴκους τέραμνα.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς τειρόμενα εἰς γλυφὴν, καθὰ δηλοῖ τὰ τρίγλυφα. καὶ ἡ τερηδὼν τὸ ζωΰφιον ὃ καὶ ξύλοις ἐμφύεται καὶ ὀστοῖς. καὶ ὁ τέρην. οὗ περ οὐδέτερον μὲν, τέρεν ἢ δάκρυον ἢ εἴτι ἄλλο. θηλυκὸν δὲ, τέρεινα. οἷον. πάρεισι μόσχων τέρειναι σάρκες. ἤγουν ἁπαλαί. τοῦ δὲ τείρειν στέρησις ὥσπερ ὁ ἀτειρὴς, οὕτω καὶ τὸ ἀτέραμνον ἤγουν δυσέψητον ὄσπριον. ἐξ οὗ καὶ ἦθος ἀτέραμνον, τὸ ὠμὸν καὶ ἀνύπεικτον. καὶ ὕδατα δὲ ἀτέραμνα, τὰ πυκνοῦντα καὶ οὕτω σκληρύνοντα. Φάρεα δὲ, εἰ καὶ ἐν ἄλλοις κοινότερον τὰ συνεῤῥαμένα εἰς ἔνδυσιν, ἀλλὰ νῦν τὰ σπεῖρα ἔφη. ταυτόν δ' εἰπεῖν τὰ λίνα ὧν χρεία τοῖς πλέουσι. Τοῦ δὲ τόφρα, σημασίαι φασὶ πέντε. τὸ εὐθέως. τὸ ἕως. τὸ ἡνίκα. τὸ ὄφρα. καὶ τὸ ἐν τοσούτῳ ὡς ἐνταῦθα. (ῃερς. 237.) Ὅτι τὰ τῆς ναυπηγίας τοῦ Ὀδυσσέως ἐργαλεῖα ὡς προεῤῥέθη φθάσας ὁ ποιητὴς, χορηγεῖ ἐκείνῳ καὶ ξύλα, λέγων οὕτως. ἦρχε δ' ὁδοῖο ἡ Καλυψὼ νήσου ἐπ' ἐσχατιῆς ὅθι δένδρεα μακρὰ πεφύκει. κλήθρη τ' αἴγειρός τε περὶ ὧν καὶ προεγράφη. ἐλάτη τ' ἦν οὐρανομήκης. αὖα πάλαι, 1.211 περίκηλα. τά οἱ πλώοιεν ἐλαφρῶς. (ῃερς. 243.) Εἶτα τὴν τῆς σχεδίας κατασκευὴν φράζων ἣν καὶ πολύδεσμον οἶδε καὶ εὐρεῖαν, φησίν. αὐτὰρ ὁ τάμνετο δοῦρα. θοῶς δέ οἱ ἤνυτο ἔργον. εἴκοσι δ' ἔκβαλε πάντα. πελέκκησέ τε ὡς προσεχῶς ἐῤῥέθη. καὶ ἔξεσε. καὶ πρὸς στάθμην ἴθυνε. καὶ τερέτροις τέτρηνε πάντα ὡς καὶ αὐτὸ ἐγράφη. καὶ ἥρμοσεν ἀλλήλοις. (ῃερς. 248.) ὃ καὶ διασαφῶν, ἐπάγει. γόμφοισι δ' ἄρα τήν γε καὶ ἁρμονίῃσιν ἄρηρεν. οἷς ἐπαγαγὼν κατὰ τρόπον ἐπεμβολῆς τὸν κοαρὸν δι' οὗ ἀπηρτίσθη τὸ ἔργον οἷα ἑρμηνεῦσαι θέλων οὕτω τὸ, θοῶς δέ οἱ ἤνυτο ἔργον. καὶ εἰπὼν ὅτι ὅσσον τίς τ' ἔδαφος νηὸς τορνώσεται ἀνὴρ φορτίδος εὐρείης εὖ εἰδὼς τεκτοσυνάων, τόσσον ἐπ' εὐρείην σχεδίην ποιήσατ' Ὀδυσσεὺς, ἐπιφέρει τὰ ἑξῆς τῆς κατασκευῆς ὡς ἐξ ὑπαρχῆς, καὶ φησίν. (ῃερς. 252.) ἴκρια δὲ στήσας, ἀραρὼν θαμέσι σταμίνεσσι, ποίει. ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι τελεύτα, ἐν δ' ἱστὸν ποίει καὶ ἐπίκριον ἄρμενον αὐτῷ. πρὸς δ' ἄρα πηδάλιον ποιήσατο ὄφρ' ἰθύνῃ. φράξε δέ μιν ῥίπεσσι διαμπερὲς οἰσυΐνῃσι. κύματος εἶλαρ ἔμεν. πολλήν δ' ἐπεχεύατο ὕλην, τόφρα δὲ φάρεα ἔνεικεν ἤγουν ἤνεγκε Καλυψὼ ἱστία ποιήσασθαι. (ῃερς. 258.) ὅδ' εὖ τεχνήσατο καὶ τὰ, οἷα δηλαδὴ πολυμήχανος. ἐν δ' ὑπέρας τε κάλους τε πόδας τ' ἐνέδησεν ἐν αὐτῇ. ἃ δηλαδὴ καὶ αὐτὰ ἡ Καλυψὼ ἤγαγε σιωπηρῶς. μοχλοῖσι δ' ἄρα τήν γε κατείρυσεν εἰς ἅλα δῖαν. ἐξ οὗ καὶ μηχανικὸν σοφὸν σημειωτέον πλάττεσθαι τὸν Ὀδυσσέα παρὰ τῷ ποιητῇ. τοιαύτης γὰρ ἐπιστήμης εὕρημα τὰ μοχλευτικά. καὶ οὕτω μὲν ἡ σχεδία ἐκπεπόνηται τῷ σοφῷ ἀρχιτέκτονι ποιητῇ. (ῃερς. 262.) ὃς καὶ τὸν καιρὸν σαφέστατα φράζων τῆς τοῦ ἔργου ἀπαρτίσεως, φησί. τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα. τῷ δ' ἄρα πέμπτῳ, πέμπεν ἀπὸ νήσου αὐτὸν ἡ Καλυψώ. (ῃερς. 238.) τὰ δέ γε πρὸς μέρος τοῦ χωρίου τούτου, ἔχουσιν οὕτω. Ἐπ' ἐσχατιᾶς μὲν ὅ ἐστιν ἐπὶ ἐσχάτων μερῶν τῆς νήσου εἰσὶ τὰ τμηθησόμενα ξηρὰ δένδρα, διὰ τὸ τὰ ἐγγὺς τοῦ σπηλαίου ἐπιλιπεῖν τῇ συχνῇ πρὸς τὸ πῦρ χρήσει. Τὸ δὲ μακρὰ δένδρεα, τεχνικῶς κεῖται. τὰ τοιαῦτα γὰρ εἰς ναυπηγίαν χρήσιμα. προϊὼν δὲ, δοῦρα ταῦτα φησίν. ἐν δὲ τοῖς ἑξῆς, δούρατα μακρά. Ἐνταῦθα δὲ παρασημειοῦνται οἱ παλαιοὶ, ὅτι τὰ μὲν καρποφόρα δένδρα οἷον ὄχνας καὶ ῥοιὰς καὶ μηλέας, καλὰ προσαγορεύει ὁ ποιητής. μακρὰ δέ, τὰ εἰς ξυλείαν εὔθετα, τοῖς ἐπιθέτοις τὰς χρήσεις διαστέλλων. (ῃερς. 239.) Τὴν δὲ ἐλάτην οὐρανομήκη φησὶν, ὑπερβολικῶς διὰ τὸ πάνυ πολὺ τοῦ ὕψους, συντερατευόμενος τῷ μύθῳ. ὃς τὴν μηκίστην ἐλάτην ἐκείνην, εἰς τὸ φυτὸν τοῦτο μεταβάλλει τὴν τῶν ἀλοειδῶν ἀδελφὴν, πενθοῦσαν ἐπὶ τῷ ῥηθησομένῳ ἐν τοῖς ἑξῆς ὀλέθρῳ τῶν ἀδελφῶν. Ἰστέον δὲ ὅτι ταυτὸν τὸ, ἐλάτη οὐρανομήκης, καὶ ἐπίτυς βλωθρὴ, ὅ ἐστι μολοῦσα εἰς αἰθέρα. διὸ ἐλάτας βλωθρὰς λέγει Ὀππιανὸς, ὡς ταυτὸν ὂν τῷ, οὐρανομήκης. (ῃερς. 240.) Τὸ δὲ αὖα πάλαι περίκηλα, ταυτὸν μὲν ἐκ παραλλήλου δηλοῦσι. τὸ δὲ χρήσιμον αὐτῶν, ἵνα κατὰ τὸν ποιητὴν πλώοιεν ἐλαφρῶς. ὃ πρὸς ὁμοιότητα ἐῤῥέθη τοῦ τρέχειν ἐλαφρῶς. ἐπὶ ἐμψύχων γὰρ κυρίως τὸ ἐλαφρόν. ἐπεὶ καὶ ἀπὸ τῆς ἐλάφου παραχθὲν συγκέκοπται. Τὸ δὲ πάλαι, τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλὴν δηλοῖ ξηρότητα διὰ τὸ πολυχρόνιον. διὸ οὐδ' ἠρκέσθη αὖα εἰπὼν ἀλλὰ προσέθηκε καὶ τὸ περίκηλα. ὅ ἐστι περισσῶς κατεσκληκότα. ἢ ἄγαν ἐπιτήδεια εἰς τὸ κῆαι, καὶ εἰσὶ ταυτὰ τὸ αὖα πάλαι, καὶ τὸ περίκηλα. (ῃερς. 241.) Ὅρα δ' ἐν τούτοις καὶ ὅτι μυριαχοῦ ἐν καιρίῳ ταυτολογῶν ὁ ποιητής, παρέθετο καὶ ἐνταῦθα δὶς τὸ ὅθι δένδρεα μακρὰ πεφύκει. (ῃερς. 243.) Τὸ δὲ θοῶς ἀνυσθῆναι τὸ ἔργον, ἐν δυσὶν ἡρμήνευσε τόποις. ἐνὶ μὲν ἀορίστως. ἔνθα ὡς ἐῤῥέθη ἔφη ἐπὶ τοσοῦτον τὴν σχεδίαν ποιηθῆναι ὅλην, ἐφ' ὅσον ἔδαφός τις τορνώσεται φορτίδος εὐρείας. ἑτέρῳ δὲ ὡρισμένως, ἐν ᾧ ἔφη, τετάρτῳ ἤματι τελεσθῆναι αὐτήν. (ῃερς. 244.) Τὸ δὲ εἴκοσιν ἔκβαλεν, ἀντὶ τοῦ, ἔῤῥιψεν. ἢ τῆς οἰκείας στάσεως ἔξω ἔθετο. ὁ δὲ τοιοῦτος ἀριθμὸς τῶν ξύλων, βεβαιοῖ τὸ τὴν σχεδίαν τοῦ Ὀδυσσέως, καὶ εὐρεῖαν εἶναι καὶ πολύδεσμον. (ῃερς. 245.) Τὸ δὲ ἰθύνειν, οὐ μόνον στάθμης, ἀλλὰ καὶ πηδαλίου. ὡς δηλοῖ τὸ, πηδάλιον ποιήσατο ὄφρ' ἰθύνῃ. τουτέστιν εἰς ὀρθὸν πλοῦν ἀπευθύνῃ. (ῃερς. 246.) Τὸ δὲ τέρετρα καὶ τὸ τέτρηνεν, ἐτυμολογικὸν ἔχει τρόπον. τύπου δέ ἐστι τὸ τέρετρα, ὁποίου καὶ τὸ θύρετρα. (ῃερς. 248.) Ἁρμονίαι δὲ, ἄδηλον οἷαι τῇ σχεδίᾳ πεποίηνται. εἰκὸς δὲ ἀπὸ φυτῶν τινων γενέσθαι, δι' ὧν ἦν ἀναπληροῦσθαι τὴν τῶν στυππείων χρῆσιν. ἐπεὶ καὶ τοιούτοις τὸ παλαιὸν αἱ νῆες ἡρμόττοντο. καθὰ δηλοῖ καὶ Ἡρόδοτος ἐν τῷ, πακτοῦσι τὰς ἁρμονίας, βύβλῳ. τουτέστι κατασφαλίζονται. ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ, δῶμα πάκτου. καὶ ὁ κωμικὸς ἐν τῷ, κἀπακτώσαμέν γε τὰς θύρας ἀντὶ τοῦ, καὶ ἐπακ 1.212 τώσαμεν. Ἐτυμολογίας δὲ τρόπος καὶ τὸ, ἁρμονίῃσιν ἄρηρεν. (ῃερς. 249.) Ἔδαφος δὲ νηὸς, τὸ κατωτάτω περὶ αὐτὴν γῆν. ὅπερ ἰδιωτικῶς πλέουσα λέγεται καὶ γάστρα. περὶ ἣν καὶ τὸ ἄντλον συῤῥέει. ἔοικε δ' ἐντεῦθεν λαβεῖν ἀφορμὴν, ὁ τὴν νῆα εἰπὼν μεταφορητὸν οἶκον. εἰ γὰρ καὶ μὴ ἔνθα ἔδαφος ἐκεῖ καὶ οἶκος, ἀλλ' ἔνθα γοῦν οἶκος, ἐκεῖ καὶ ἔδαφος ὑπόκειται. παράγεται δὲ ἀπὸ τοῦ ἔδος, τὸ ἔδαφος. ὡς ἀπὸ τοῦ κροτεῖν κατά τινας ἢ τοῦ κρότου, ὁ κρόταφος. καὶ ἔστιν αὐτοῦ ὑποκοριστικὸν, τὸ ἐδάφιον. καθ' ὁμοιότητα τοῦ, ξυλάφιον ξυλήφιον καὶ χρυσάφιον καὶ ξυράφιον. τῇ δὲ Ὁμηρικῇ εὐρείᾳ ἐνταῦθα σχεδίᾳ προσεπινοητέον καὶ βάθος. εἰ γὰρ καὶ μὴ πλοῖον αὕτη, ἀλλ' οὖν πλοιοειδής ἐστιν. εἰ καὶ ὕστερον ἀβαθεῖς ἐπενοήθησαν σχεδίαι μόνῃ πλατύτητι διοικούμεναι. γινόμεναι ἀμφότεραι πάντως, ἐκ τοῦ σχέδην. ἤγουν ἐκ τοῦ σχεδὸν καὶ ἐγγὺς κατὰ χρόνον. καὶ ὡς εἰπεῖν αὐθωρόν. ὅτι δὲ διαφορά ἐστι πλοίου καὶ σχεδίας, δηλοῖ ὁ γράψας, ὡς λόγος Ἴανον διπρόσωπον γεγονέναι. τὸ μὲν, ὀπίσω τό δ' ἔμπροσθεν ἔχοντα πρόσωπον. οὗτος εὗρε πρῶτος, στέφανον καὶ σχεδίας καὶ πλοῖα. καὶ νόμισμα χαλκοῦν πρῶτος ἐχάραξε. διὸ τῶν καθ' Ἑλλάδα καὶ Ἰταλίαν καὶ Σικελίαν πολλαὶ πόλεις, ἐπὶ τῷ νομίσματι ἐνεχάραττον πρόσωπον δικέφαλον. καὶ ἐκ θατέρου μέρους, ἢ σχεδίαν ἢ στέφανον ἢ πλοῖον. Πάνυ δὲ δεξιῶς ὁ ποιητὴς, οὐ πλοίου ἀλλὰ σχεδίας ποιήσει τὸν λόγον ἐναπησχόλησε, πρός τε πιθανότητα, καὶ ἵνα μὴ πολυλογῇ ἐφ' οἷς οὐκ ἐχρῆν. πλοίου δὲ αὖθις καὶ νηὸς διαφορὰ, καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. Τὸ δὲ τορνώσεται, ἀντὶ τοῦ, περιγράψει, μᾶλλον μὲν οὖν, κατασκευάσει τορνοειδὲς ἤτοι στρογγύλον καὶ οὐ κατὰ τὰς ἰδίως λεγομένας μακρὰς ναῦς. Ἰστέον δὲ ὡς οἱ πλείους μὲν, ταυτὸν οἴδασι τόρνον καὶ τόρον. εὕρηται δὲ παρὰ τοῖς παλαιοῖς ὁ τόρος, καὶ ἐργαλεῖον φρεωρυχικόν. ἢ λιθοκοπικόν φασι σκεῦος. καὶ προάγουσι καὶ χρῆσιν Φιλυλλίου τινὸς ταύτην. προέδωκεν αὐτὸν ὁ τόρος, ἦν γὰρ ἀσθενὴς. ἐξ ὀνοματοποιΐας δὲ καὶ ὁ τόρος καθὰ καὶ προείρηται. καὶ ὁ τόρνος δὲ. ἐκ τοῦ τόρος ὢν πλεονασμῷ τοῦ ¯ν, ὁμοίως τῷ, πόρνος καὶ τοῖς τοιούτοις. (ῃερς. 250.) Τὸ δὲ φορτίδος, ἐλλιπτικῶς καὶ αὐτὸ ἔχει. λείπει γὰρ τὸ νηός. λέγεται δὲ φορτὶς, ἡ πρὸς ἐμπορικὸν φόρτον ναυπηγηθεῖσα. Τὸ δὲ εὐρείης καὶ τὸ εὖ εἰδὼς τεκτοσυνάων, πρὸς διαστολὴν κεῖνται φορτίδων, αἳ μικραὶ μὲν οὖσαι, οὐκ ἂν εὐρεῖαι κληθεῖεν. παρὰ δὲ ἀτέχνου τέκτονος συμπαγεῖσαι, οὐκ ἂν οὐδὲ ταχὺ κατὰ τὴν τοῦ Ὀδυσσέως ναυπηγηθεῖεν εὐρεῖαν σχεδίαν. Ὅρα δὲ καὶ ὅτι τὴν ναυπηγικὴν, γενικώτερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τεκτοσύνην ἔφη. ἐπεὶ καὶ τέκτων ὁ ναυπηγὸς ὀνόματι γενικῷ. δύναται δέ ποτε τὸ εὖ εἰδὼς τεκτοσυνάων, καὶ ῥᾳδιουργῷ τινι ἐπιλεχθῆναι ἀνδρὶ κακῶν τέκτονι. (ἡερς. 251.) Τὸ δὲ σχεδίην ποιήσατο καὶ πηδάλιον ποιήσατο καὶ ἱστία ποιήσασθαι, δύναται καὶ ἐνεργητικῶς ῥηθῆναι ὡς δηλοῖ τὸ, ἀραρὼν σταμίνεσσι, ποίει. καὶ τὸ, ἐν δ' ἱστὸν ποίει. οὕτω καὶ δούρατα ἁρμόζεο χαλκῷ καὶ ἥρμοσεν ἀλλήλοισι, παθητικῶς καὶ ἐνεργητικῶς. (ἡερς. 252.) Ἴκριον δὲ ὡς καὶ προεῤῥέθη, τό, τε ἐπὶ πρύμνης κατάστρωμα ἐφ' οὗ ὁ κυβερνήτης ἱκνεῖται ὡς καὶ ἡ Ἰλιὰς δηλοῖ, καὶ τὸ ἐφεξῆς δὲ κατάστρωμα τῆς νηός. περὶ ὃ οἱ ναῦται καὶ ἱκνοῦνται καὶ κοιμῶνται κατὰ καιρόν. δοκεῖ γὰρ οὐ μόνον ἀπὸ τοῦ ἄκρον ἀλλὰ καὶ παρὰ τὸ ἱκνεῖσθαι γίνεσθαι τὸ ἴκριον. ἐνταῦθα δὲ, ἴκρια δοκεῖ τὰ ἐγκοίλια λέγεσθαι. ὡς δηλοῖ τὸ, ἴκρια στήσας. αὐτὰ γάρ εἰσιν ὀρθὰ οὐ μὴν τὰ καταστρώματα. Δῆλον δὲ ὅτι τοῖς ὀρθοῖς ἰκρίοις οἷα καί τισι κρόκαις, περιτιθέμεναι πυκναὶ σταμῖνες ἐκτὸς δίκην στημόνων, ἁρμόττουσι τὴν ναῦν. δοκοῦσι γὰρ αἱ σταμῖνες, παρὰ τὴν στάσιν καὶ σύστασιν γίνεσθαι ἀφ' ἧς καὶ οἱ στήμονες. ἀπὸ δὲ τῶν Ὁμηρικῶν τούτων σταμίνων, καὶ τὰ τεκτονικὰ φαίνεται παρῆκται στημονάρια. ὡς εἴ τις εἴποι σταμινάρια. δῆλον δὲ ὅτι δικατάληκτον ἡ σταμίν. καὶ ὅτι οἱ παλαιοὶ ἑρμηνεύοντες, ἐπιμήκη ξύλα τὰς σταμῖνας φασίν. ἃ στήμονος τρόπον ἔχοντα, παρατιθέμενα τοῖς ἰκρίοις ἑκατέρωθεν, ἑστάναι ποιοῦσιν αὐτά. τινὲς δὲ, καὶ ὀρθὰ ξύλα τὰς σταμῖνας εἶπον, οἷς φασι τὰ πηδάλια προσεμπήσσεται. οἱ δέ φασιν, ὅτι σταμῖνες, τὰ ἐν τῷ χείλει τοῦ πλοίου ἐξέχοντα ὀρθὰ ξύλα τοῦ κατὰ τὸ περίτονον τόπου, καὶ φέρεται ἡ λέξις μέχρι καὶ νῦν ἐν Λυκίᾳ, ἔνθα σταμινάρια τὰ τοιαῦτα λέγονται. καὶ ταῦτα μὲν περὶ σταμίνων. οἷς προσθετέον, ὅτι καὶ πεζολογικῶς εὕρηνται σταμῖνες παρὰ τῷ Ἀθηναίῳ, ἐν τῷ, γόμφους τε ἡτοιμάσατο καὶ ἐγκοίλια καὶ σταμῖνας. ὅτι δέ τινες ὑπώπτευσαν ἴκριον λέγεσθαί ποτε καὶ τὸν ἱστὸν, προϋπεδηλώθη καὶ αὐτό. συντελεῖ δέ πως εἰς τὸν τοιοῦτον νοῦν, καὶ τὸ, ἴκρια πῆξεν ἐπ' αὐτῆς ὑψοῦ. τὸ γὰρ τοιοῦτον ὑψοῦ, πρὸς διαστολὴν κεῖσθαι δοκεῖ τῶν μὴ ὑψοῦ ὄντων ἰκρίων. τῶν δὲ δηλωθέντων ἰκρίων καινότερόν τι κεῖται παρὰ τῷ 1.213 δειπνοσοφιστῇ. ἔνθα φησὶν ὅτι Δημήτριος ὁ τοῦ Φαληρέως ἀπόγονος, τὴν Κορινθίαν ἑταίραν Ἀρισταγόραν ἔχων καὶ πάνυ φιληδῶν αὐτῇ ὡς καλλίστη, ἐν Παναθηναίοις ἵππαρχος ὢν, ἴκριον ἔστησε τῆς Ἀρισταγόρας πρὸς τοῖς ἑρμαῖς, μετεωρότερον τῶν ἑρμῶν. ἔστι δὲ τὸ τοιοῦτον ἴκριον, σκηνικὸν ὄρθωμα καὶ πανηγυρικόν. χρήσιμον ἐν θεάτρῳ, τοῖς ἀπ' αὐτοῦ θεωμένοις. ὁποῖα ἴσως ὕστερον τὰ ἰδιωτικῶς λεγόμενα σκαλωσίαι. Χρῆσις δὲ τοιούτων ἰκρίων, καὶ παρ' ἄλλοις ῥήτορσιν. ἐξ ὧν ἰκρίων, καὶ τὰ καλούμενα θεωρικὰ συνήγοντα χρήματα. (ἡερς. 253.) Τοῦ δὲ θαμέσι, δοκεῖ εὐθεῖα εἶναι ὁ θαμὴς διὰ τοῦ ¯η. ἢ διὰ διχρόνου, ἡ θαμίς. Ἐπηγκενίδες δὲ, σανίδες ἐκ πρώρας εἰς πρύμναν τεταμέναι καὶ ἐπενηνεγμέναι. ὅθεν καὶ ἐτυμολογεῖται. παρὰ γὰρ τὸ ἐπενεγκεῖν, ἐπενεγκὶς γίνεται. καὶ κατὰ μετάθεσιν, ἐπεγκενὶς καὶ κατὰ ἔκτασιν, ἐπηγκενίς. ἔστι δὲ ἐπηγκενὶς ἢ καθ' ἣν οἱ σκαλμοὶ πήγνυνται, ἢ ὅπερ κοινῶς περίτονον λέγεται παρὰ τὸ διόλου τείνεσθαι. παρὰ δὲ τοῖς παλαιοῖς φέρεται, καὶ ὅτι ἐπηγκενίδες, μακρὰ ξύλα τῆς σχεδίας. ἢ τὰ παραθέματα. (ἡερς. 254.) Ἐπίκριον δὲ ἄρμενον τῷ ἱστῷ, τὸ κέρας λέγει καθὰ καὶ προεῤῥέθη, ὡς ἐπὶ τῷ ἰκρίῳ ὄν. δηλαδὴ τῷ προδεδηλωμένῳ ἱστῷ. σκοπητέον δὲ καὶ μή ποτε ἡ Ὁμηρικὴ αὕτη κλῆσις τοῦ ἀρμένου τῷ ἱστῷ ἐπικρίου, παρήγαγε τοὺς πολλοὺς, ἄρμενα ἰδιωτικώτερον μὲν ὅμως δὲ οὐκ ἀλόγως, τὰ ἱστία καλεῖν. (ἡερς. 255.) Τὸ δὲ πηδάλιον ὅτι καὶ ἐφόλκιον λέγεται, δηλοῦσιν οἱ παλαιοί. τὸ αὐτὸ δὲ παρά τισι καὶ αὐχὴν, ὡς δηλοῖ τὸ καθωμηλημένον αὐχένιον. ἔτι δὲ καὶ οἴαξ. κεῖται γοῦν ἐν ῥητορικῷ λεξικῷ, ταῦτα. οἴαξ, πηδάλιον. αὐχήν. Διογενιανὸς δέ φησιν, οἴακας λέγει, οἷς τὰ πηδάλια ἐπιστρέφουσιν. ἤγουν κανόνας καὶ κρίκους δι' ὧν ἱμάντες διείρονται. καὶ φέρεται μέχρι καὶ νῦν ἡ τῶν οἰάκων λέξις, οὐκ ἐπὶ ὅλου τοῦ πηδαλίου. λέγεται γὰρ τοῖς ναυτικοῖς οἰάκια, ξυλήφιά τινα δι' ὧν στρέφουσι τεχνικῶς τὸ πηδάλιον. (ἡερς. 256.)



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τὸ δὲ φράξε, πάνυ προσφυῶς εἶπε. κατάφρακτος γὰρ ἡ σχεδία τρόπον τινὰ, ὑπὸ τῶν ῥιπῶν γίνεται. ἢ καὶ οἷόν τινα φραγμὸν αὐτὰς ἔχει. Ῥῖπες δὲ, πλέγμα φασὶ καλάμου πλατὺ ὡς ψίαθος. καὶ ἔοικεν ἐντεῦθεν τοῖς ναυτικοῖς καλαμωτὴ λέγεσθαι ὁ ἑκατέρωθεν περὶ τὰ χείλη τῶν πλοίων φραγμός. ἐτυμολογεῖται δὲ ὥσπερ παρὰ τὸ ῥέπω ῥωπήϊον καὶ ῥῶπες, οὕτω καὶ παρὰ τὸ ῥέπω ῥίπτω, ἡ ῥίψ. εὐρίπιστος οὖσα καὶ εὐλύγιστος καὶ οἷα ῥέπειν τὲ καθὰ καὶ αἱ ῥῶπες, καὶ ῥίπτεσθαι δὲ ῥᾷον. καὶ ψιαθῶδες δέ τι καθ' ὁμοιότητα πλέγμα, αἱ ῥῖπες. ἐξ οὗ καὶ πείρινθα μέρος ἁμάξης ὡς ἐν Ἰλιάδι εἴρηται. ὕλη δὲ τῶν ἐνταῦθα Ὁμηρικῶν ῥιπῶν ἐξ ὧν καὶ τὸ ῥιπίζειν, ἡ οἰσύα. ὅθεν κατὰ τοὺς παλαιοὺς, καὶ κόφινος μέγας οἰσύϊνος, καλούμενος τάρπη. ὅθεν ἴσως καὶ τὸ περιφερόμενον ταρπίον παράγεται. μέμνηται δὲ οἰσύας ἧς ἡ ἀναλογία κατὰ τὴν ὀξύαν, καὶ Ἀθήναιος ἐν τῷ, ἐκ τῶν καλάμων τῶν τε οἰσυΐνων, ἐπεβάλλετο σκηνὰς χωρούσας ἀνὰ τετρακοσίους ἄνδρας. Αἴλιος δὲ Διονύσιος, οἷσον φαίνεται λέγειν τὸ τοιοῦτον φυτόν, γράψας ὅτι ἀπὸ οἴσου, κόφινοι ἄῤῥιχοι καλούμενοι, οὓς Ἴωνες μὲν, ἀρσενικῶς προφέρουσιν. Ἀττικοὶ δὲ, θηλυκῶς. Παυσανίας δὲ ἱστορεῖ καὶ ὡς τούτοις τοῖς ἀῤῥίχοις σταφυλαὶ συνεκομίζοντο ἐξ ὧν δοκεῖ γίνεσθαι καὶ τὸ ἀναῤῥιχᾶσθαι. ἐν δὲ ῥητορικῷ λεξικῷ φέρεται, καὶ ὅτι οἰσύα, ἀκανθώδης βοτάνη ἐξ ἧς πλέκονται σχοινία. ἀφ' ἧς ἀσπὶς οἰσυΐνη. εἰ δ' ἐκ τοιαύτης οἰσύας καὶ οἰσύϊνον ὡς εἰκὸς δόρυ, οὐκ ἂν εἴη ἀπισχυρίσασθαι, ἐν δὲ τοῖς σχολιασταῖς γράφεται καὶ ὅτι ῥῖπες οἰσύϊνοι, οἱ ἀπὸ κλάδων ἰτέας. καὶ ὅτι φυτὸν ἱμαντῶδες ἡ οἰσύα. Τὸ δὲ κύματος εἶλαρ, ἀντὶ τοῦ πρὸς ἀσφάλειαν καὶ πρὸς τὸ ἀπείργειν τὸ κῦμα λυόμενον ἐκεῖσε εἰς ἀφρόν. ἐκ δὲ τοῦ τοιούτου εἶλαρ καὶ τοῦ κατ' αὐτὸ ῥήματος, καὶ ἡ ἐξούλης δίκη παρ' Ἀττικοῖς. γινομένη ὅτε τις ἐκκλείεται καὶ ἀπείργεται ὧν νέμεται. (ῃερς. 257.) ἡ δὲ πολλὴ ὕλη ἣν τῇ σχεδίᾳ Ὀδυσσεὺς ἐνεχεύατο, συρφετὸς ἦν ἐκ ψάμμου τυχὸν ἢ καχλήκων καί τινων τοιούτων εἰς ἕρμα τῇ νηΐ. ὡς ἂν βαρουμένη μὴ εἴη εὐρίπιστος καὶ ἀνέμοις εὐπερίτρεπτος. καὶ ἡ μὴ ἔχουσα τὰ τοιαῦτα ναῦς, ἀνερμάτιστος λέγεται. (ῃερς. 258.) Φάρεα δὲ καὶ νῦν ἁπλῶς τὰ ὑφάσματα ἐξ ὧν ἀπαρτισθείη ἂν ἱστίον. τὰ δ' αὐτὰ καὶ σπεῖρα ἐρεῖ ἐν τῷ, τηλοῦ δὲ σπεῖρον τε καὶ ἐπίκριον ἔμπεσε πόντῳ. (ῃερς. 260.) Ὑπέρας δὲ λέγει, σχοινία οἷς τὸ κέρας μετάγεται. ἢ μᾶλλον σαφέστερον, τὰ ἄνω εἰς ἄκρον τοῦ κέρατος ἑκατέρωθεν δύο σχοινία οἷς οἱ ναῦται τὸ κέρας μετάγουσιν. οἱ δὲ παλαιοὶ τὴν ὑπέραν σχοινίον ἑρμηνεύσαντες κέρατος τοῦ κατὰ τὸν ἱστὸν ᾧ ἀνίεται καὶ διατείνεται, προφέρουσι καὶ παροιμίαν ἐπὶ τῶν ἃ μὲν δεῖ ἔχειν ἀφιέντων, ἃ δὲ μὴ δεῖ κρατούντων, τὸ, ἀφέντες τὴν ὑπέραν, τὸν πόδα διώκουσιν. ἤγουν ἀφιᾶσι μὲν τὰ ἀναγκαῖα, προτιμῶνται δὲ τὰ μὴ προέργου. οἱ δ' αὐτοὶ καὶ ἄλλως, ὑπέρας φασὶν, ἢ τὰ 1.214 ἐκ τοῦ ἄκρου τῆς ὀθόνης ἐξημμένα σχοινία, ἢ τοὺς τροχίλους. Κάλους δὲ, οἷς τὸ ἱστίον συσπᾶται καὶ ἀνίεται. τὸ δὲ σαφέστερον, οὕτω. κάλοι, τὰ ἐν μέσῳ τοῦ κέρατος ἀνάγοντα καὶ χαλῶντα τὸ ἱστίον. κληθέντα οὕτω, παρὰ τὸ χαλᾶν. Καὶ ὅρα ὅτι ὁ κάλος, οὐκ ἐκτείνει τὴν λήγουσαν παρὰ τοῖς παλαιοῖς εἰ καὶ ὕστερον Ἀττικῶς μεγεθύνεται καὶ περιττοσυλλάβως δὲ ὡσταπολλὰ κλίνεται. οὕτω δὲ σὺν ἄλλοις, καὶ ὁ λαγὼς τεθεώρηται διφορούμενος ὡς ἑτέρωθι ἐγράφη, ἔτι δὲ καὶ ὁ πλέως. εἰ καὶ οἱ ὕστερον Ἀττικοὶ μόνον ἐξογκοῦσιν αὐτὰ τῇ διὰ τοῦ ¯ω μεγάλου γραφῇ. ὁμοίως δὲ καὶ τὰ παρὰ τὸ χρέως. ὡς δηλοῖ καὶ Πολύβιος ἐν τῷ, κατάχρεοι ἐγένοντο. ἔστι δέ φασιν Ἰωνικὸν μὲν, ὁ λαγὸς ὡς ναός. Ἀττικὸν δὲ λαγὼς διὰ τοῦ ¯ω μεγάλου ὡς νεώς. ἐκτίθεται δὲ ὁ δειπνοσοφιστὴς καὶ πληθυντικὸν Σοφόκλειον τὸ, λαγοί. οἷον. γλαῦκες. ἰκτῖνες. λαγοὶ, τὸ Ἰωνικόν. καὶ ἄλλως, οἱ λαγὼ κατὰ Εὔπολιν. οἷον. βατίδες καὶ λαγὼ καὶ γυναῖκες εἰλίποδες, τὸ Ἀττικὸν. λέγει δὲ καὶ ὅτι τὸν Ἰωνικὸν λαγὸν, Ξενοφῶν ἐκτείνων ἐν κυνηγετικοῖς, χωρὶς τοῦ ¯ν προάγει περισπωμένως. ἀλόγως μέντοι. δεῖ γὰρ ὀξύνειν τὴν λέξιν φησὶν ἀκολούθως δηλαδὴ τῇ Ἰωνικῇ εὐθείᾳ. τὰ γὰρ εἰς ¯ος λήγοντα ὀνόματα, ὁμότονά εἰσι κἂν μεταληφθῇ εἰς ¯ω μέγα. ἵνα ᾖ ὡς ναὸς νεὼς καὶ τὰ λοιπὰ, οὕτω καὶ λαγὸς, λαγώς. ὅθεν λαγὼν, ὡς νεών. λέγουσι δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὸ λαγωὸς εἰ μὲν ἐκ τοῦ Ἰωνικοῦ ἐστι, πλεονασμὸν ἔχειν τοῦ ¯ω μεγάλου ἐν τῷ μέσῳ. εἰ δὲ ἐκ τοῦ Ἀττικοῦ, πλεονάσαι τῷ ¯ο μικρῷ ἐν τῇ ληγούσῃ. ὅτι δὲ κάλος διὰ τοῦ ¯ο μικροῦ βαρυτόνως ἐλέγετο κατὰ διάλεκτον καὶ τὸ κοινὸν ἐπίθετον ὁ καλὸς, δηλοῦσιν οἱ παλαιοί. λέγοντες ὅτι Αἰολεῖς, τὸ καλὸς καὶ σοφὸς καὶ δεινὸς καὶ δυνατὸς, κάλος φασὶ καὶ σόφος καὶ δεῖνος καὶ δύνατος. οὕτω δὲ καὶ τὰ κατ' αὐτά. βαρυντικοὶ γὰρ εἰσί. διὸ καὶ τὰ εἰς ε¯υς ἀρσενικὰ δίχα τοῦ Ζεὺς μονοσυλλάβου ὄντος, ἐβάρυνον. βασίλευς καὶ Πήλευς λέγοντες, καὶ τὰ λοιπὰ ὁμοίως. Πόδες δὲ, τὰ κάτω δύο σχοινία. οἷς πρὸς πρώραν καὶ πρύμναν δεσμεῖται τὸ ἱστίον. καλοῦνται δὲ πόδες, διὰ τὸ κάτω εἶναι. ἀπεναντίας ταῖς προῤῥηθείσαις ὑπέραις ὡς οἷον ὕπερθεν κεφαλαῖς τοιούτων ποδῶν. ἐξ ὧν ῥῆμα ποδῶ ποδώσω. ὡς δηλοῖ καὶ ὁ Λυκόφρων ἔνθα ποδωτὰ λίνα τὰ ἱστία φησίν. οἱ δὲ παλαιοὶ φράζουσι καὶ οὕτω. πόδες πλοίου, σχοῖνοι κάτωθεν συνέχοντες τὴν ὀθόνην. ἢ οἱ μεταγωγοὶ τοῦ κέρατος. ἢ κατὰ ἄλλους, οἷς συνέχεται ἀπὸ πρώρας καὶ ἀπὸ πρύμνης ὁ ἱστός. ἢ τὰ ἑκατέρωθέν φασι προσδεδεμένα τοῖς ἁρμένοις σχοινία. ἐν τούτοις δὲ, σημειωτέον τὴν Ὁμηρικὴν συντομίαν. οὔτε γὰρ ὕλην ὑπέθετο ἀφ' ἧς αἱ ὑπέραι καὶ τὰ ἐφεξῆς αὐταῖς, οὔτε εἶπεν ὡς καὶ αὐτὰ ἡ Καλυψὼ ἤνεγκεν. ἀλλὰ τοῦτο μὲν, ἐσίγησεν ὡς ἤδη φανερόν. τὴν δὲ ὕλην αὐτῶν οὐκ εἶπεν ὥσπερ οὐδὲ τὴν τῶν φαρέων διὰ τὸ μὴ ἀναγκαῖον. Τὸ δὲ πόδας ἐνέδησεν, ἔχει τι ἀστεῖον, ὡς εἰ καὶ εἶπε πόδας ἐπέδησεν ἤγουν ἔδησε. (ῃερς. 263.) Τὸ δὲ τῷ δ' ἄρα πέμπτῳ πέμπ' ἀπὸ νήσου, ἔχει τι σώφρονος παρηχήσεως. (ῃερς. 262.) Τὸ δὲ σημειώσασθαι ἡμᾶς νῦν ἐπὶ Ὀδυσσέως τὸ τέταρτον ἦμαρ ὡς ἐνδεικτικὸν τῆς ἐκείνου φερεπονίας καὶ τοῦ κατ' αὐτὸ κινδυνώδους, εἴη ἂν, ἢ περίεργον ἢ ἀπειρόκαλον. δοκεῖ γὰρ ἡ τετρὰς, ἔχειν τι βαρύτητος. ὡς ἡ κατὰ τὸν Ἡρακλέα ἱστορία δηλοῖ. ὃς ἡμέρᾳ τετάρτῃ γεννηθεὶς, δυστυχὴς ἀπέβη. ὅθεν καὶ παροιμία τὸ, τετράδι γέγονα. ἤγουν ἑτέροις πονῶ. οἱ γὰρ ἐν ταύτῃ φασὶ τῇ ἡμέρᾳ γεγονότες ὡς Ἡρακλῆς ἱστορεῖται, ἄλλοις δοκοῦσι ταλαιπωρεῖν. ὡς καὶ νῦν Ὀδυσσεὺς θαλάσσῃ καὶ ἀνέμοις, οἳ τὴν σχεδίαν ἀπήγαγον ὕστερον. (ῃερς. 263.) Ὅτι τὸν Ὀδυσσέα ἔπεμψε Καλυψὼ, εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα. ἐν δέ οἱ ἀσκὸν ἔθηκε μέλανος οἴνοιο, τὸν ἕτερον. ἕτερον δ' ὕδατος μέγαν. ἐν δὲ καὶ ἤϊα κωρύκῳ. ἐν δέ οἱ ὄψα τίθει μενοεικέα πολλά. (ῃερς. 268.) καὶ ταῦτα μὲν ἀνθρωπίνως. τό δ' ἐφεξῆς, οὐ τοιοῦτον. φησὶ γάρ. οὖρον δὲ προέηκε ἀπήμονά τε λιαρόν τε. Καὶ ὅρα τὸ λιαρὸν οὖρον συντελοῦν εἰς τὸ, οὐδέ ποτ' οὖρος ἔσβη. περὶ οὗ προγέγραπται. (ῃερς. 264.) Ὅρα δὲ ὅτι οὐ μόνον οἶκος θυώδης ὡς προδεδήλωται, ἀλλ' ἰδοὺ καὶ εἵματα θυώδεα. Τὸ δὲ ἀμφιέσασα καὶ λούσασα καὶ ὧδε πρωθύστερόν ἐστι, πρῶτον γάρ τις λουσάμενος, εἶτα ἀμφιέννυται. (ῃερς. 265.) Τὸ δὲ ἀσκὸν οἴνου τὸν ἕτερον, ἕτερον δ' ὕδατος, φανερῶς δηλοῖ, ἐπὶ δύο τὸ ἕτερον λέγεσθαι ὡς καὶ ἐν τοῖς ἑξῆς φανήσεται. ὅθεν καὶ ἑτερόφθαλμος, ὁ δυεῖν ὀφθαλμῶν ἔχων τὸν ἕτερον. (ῃερς. 266.) Τὸ δὲ ἕτερον δ' ὕδατος μέγαν, παιδευτικῶς ἐῤῥέθη. ὡς δέον ὂν, πλεῖον ὕδατος ἤπερ οἴνου μετέχειν. μέγας γὰρ οὐχ' ὁ τοῦ οἴνου ἀλλ' ὁ τοῦ ὕδατος ἀσκός. Τὸν δὲ ἐνταῦθα μέλανα οἶνον, πρὸ ὀλίγου ἐρυθρὸν ἡ Καλυψὼ εἶπε. καὶ εἴη ἂν, ἄμφω ταυτά. καθὰ καὶ τὸ μέλαν αἷμα εἰπεῖν, ταυτόν ἐστιν ὡς εἰ καὶ ἐρυθρὸν εἴπῃ τις. Ἤϊα δὲ ὅτι 1.215 τὰ ἐφόδια λέγεται, καὶ πρὸ τούτων δεδήλωται. ἔοικε δὲ, ἄλφιτα μόνα λέγειν ἄρτι, οὐ μὲν πάντα κοινῶς τὰ ἐφόδια. τὰ γοῦν ὄψα ἰδίᾳ ἔθηκε κατά τινα ἴσως ἐν ἐφοδίοις ἐξοχήν. (ῃερς. 267.) Κώρυκον δὲ, τὸν θύλακον λέγει ὃν καὶ δέρματα πυκινὰ φθάσας ἔφη. καὶ εὐραφέα δὲ, ἐν τῷ ἐϋῤῥαφέεσσι δοροῖσιν. οἱ δὲ παλαιοί, καὶ κωρυκίδα τὸ τοιοῦτον σκεῦος καλοῦσι. παράγοντες καὶ Ἀριστοφάνους χρῆσιν ταύτην. σπυρὶς οὐ μικρὰ καὶ κωρυκὶς ἣ καὶ τοὺς μάττοντας ἐγείρει. τὸν δὲ θύλακον, καὶ θυλάκιον ὑποκοριστικῶς φασιν οἱ ἀρχαῖοι. καὶ μάρσιππον. οὐ μὴν δὲ, ἀλλὰ καὶ κυνοῦχον. ὡς δηλοῖ ὁ γράψας ὅτι κυνοῦχος, θυλάκιον. μάρσιππον. Παυσανίας δὲ, καὶ φάσκολον ἑρμηνεύει τὸν θύλακον. εἰπὼν ὅτι θύλακος, ῥαπτὸς φάσκωλος. περὶ οὗ καὶ προγέγραπται. ὁ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιοῦτος ῥαπτὸς φάσκωλος, χρήσιμος εἰς τὸ, ἐϋῤῥαφέεσσι δοροῖσι. δῆλον δὲ ὅτι τὲ παρὰ τὸ χωρεῖν Ἰωνικῶς ὁ κώρυκος γίνεται, καὶ ὅτι οὐδέν τι κοινὸν τῷ τοιούτῳ κωρύκῳ, πρὸς τὸ κωρύκιον ἄντρον, ἢ πρὸς τὴν κώρυκον, ἐξ ἧς παροιμία τὸ, τοῦ δ' ἄρ ὁ κωρύκιος ἠκροάζετο. περὶ ἧς ἐν τοῖς τοῦ περιηγητοῦ δεδήλωται. (ηερς. 268.) Τὸ δὲ οὖρον προέηκεν ἀπήμονά τε λιαρόν τε, πλοῦν δηλοῖ οὔριον μετὰ τῶν ἐφεξῆς. ἐπάγει γάρ. γηθόσυνος δ' οὔρῳ πέτασεν ἱστία Ὀδυσσεύς. αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως ἥμενος. οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν. ἐκ τούτου δὲ λαβὼν ὁ Λυκόφρων, ἄϋπνον τέχνην λέγει τὴν κυβερνητικήν. Λιαρὸν δέ φασιν οἱ παλαιοὶ ἄνεμον ἐνταῦθα, τὸν νότον λέγεσθαι. τοιούτου γὰρ ἔδει ἀνέμου τῷ Ὀδυσσεῖ ἐκ τῶν νοτίων εἰς τὴν Ἑλλάδα πλέοντι. ὅθεν καὶ σημειωτέον, ὡς πρὸς διαστολὴν τοῦ χλιαροῦ τούτου ἀνέμου, αἰθρηγενέτην τὸν Βορέαν ἐν τοῖς ἑξῆς ἐρεῖ. ἤγουν αἶθρον ποιοῦντα κατὰ τοὺς παλαιούς. τουτέστι, ψύχος. παγετόν. ὃς καὶ νύκτα ἐπάγει πηγυλίδα ὡς ἐν τοῖς μετὰ ταῦτά που ἐρεῖ ὁ ποιητής. (ηερς. 269.) Τὸ δὲ ἐπέτασεν ἱστία, μετενεχθὲν ἀπὸ ὀρνέων, δηλοῖ, οὐκ ἔξω λόγου πτίλα νηὸς τὰ ἱστία λέγεσθαι. διὸ καὶ ὁ ποιητὴς τὰς κῶπας, πτερὰ νηὸς καλέσει ἐν τοῖς ἑξῆς προσφυέστερον. (ηερς. 270.) Τὸ δὲ ἰθύνετο, ἀντὶ τοῦ ἴθυνεν εἴληπται, Ἀττικῶς ῥηθέν. Τὸ γὰρ ἐπὶ στάθμην ἴθυνε, καὶ ὄφρ' ἰθύνῃ, κοινότερον πρὸ ὀλίγων ἐῤῥέθη. (ηερς. 271.) Ὅτι δὲ τὰ βλέφαρα γλέφαρα φασὶν οἱ Δωριεῖς, δηλοῖ καὶ Πίνδαρος. Αἰτίαν δὲ Ὅμηρος ἀποδιδοὺς, τοῦ μὴ πίπτειν ὕπνον ἐπὶ τοῖς βλεφάροις τοῦ ἥρωος, ἐπάγει. Πληϊάδας τ' ἐσορῶντι καὶ τὰ ἑξῆς ὡς αὐτίκα εἰρήσεται. Τὸ δὲ μὴ ἐπιπίπτειν βλεφάροις ὕπνον, τὸ βαρέως ὑπνοῦν ἀποφάσκει. βάρους γὰρ τὸ ἐπιπίπτειν. τοιοῦτον δὲ καὶ τὸ, ὕπνον ἐπὶ βλεφάροις ἱζάνειν, ὃ τὸν ἀναπαύσιμον ὕπνον δηλοῖ. Ὅτι τὸν Ὀδυσσέα ἐνταῦθα ὁ ποιητὴς καὶ κυβερνήτην ἄριστον ἱστορεῖ καὶ τλήμονα καὶ ἐπὶ πολὺ ἄϋπνον καὶ περὶ ἀστέρων δὲ θεωρίαν καταγινόμενον. πολλὰς γὰρ ἡμέρας ἄγρυπνος διατελῶν, Πληϊάδας τὲ εἰσορᾷ, καὶ ὀψὲ δύοντα Βοώτην. καὶ Ἄρκτον τὴν καὶ ὡς ἐν Ἰλιάδι περιφραστικῶς ἐῤῥέθη, ἄλουτον Ὠκεανῷ, ἤγουν ἄδυτον. καὶ αὐτοῦ στρεφομένην, ἤγουν εἰλουμένην, καὶ δοκεύουσαν τὸν Ὠρίωνα. περὶ οὗ καὶ αὐτοῦ καθὰ καὶ περὶ Πληϊάδων καὶ Ἄρκτου, ἐν τοῖς εἰς τὴν Ἰλιάδα γέγραπται. οὐχ' ἧττον δὲ καὶ ἐν τοῖς τοῦ Ἀράτου. (ηερς. 274.) διὸ νῦν περὶ μὲν Ἄρκτου ἣ καὶἄμαξα καλεῖται, εἰς τοσοῦτον ῥητέον. ὅτι ἄρκτος μὲν, κατὰ ζωϊκὸν δοκεῖ μυθικῶς ἀστροθέτημα λέγεσθαι. ἅμαξα δὲ, οὐχ' οὕτως. ἀλλ' ἀπὸ τῆς κατὰ τοὺς γεωργούς. ἐπεί φασιν ἐξ ἑπτὰ σύγκειται ἄστρων. ὧν τέσσαρες μὲν ἐν πλινθίου κεῖνται σχήματι, οἱ δ' ἐφεξῆς τρεῖς ὥσπέρ τι ῥυμοῦ ἀποτελοῦσι σχῆμα. τοῦτο δὲ, τοῖς πλείουσιν οὐκ εὐαραστεῖται παρὰ τῷ ποιητῇ. τοιαύτη μὲν γὰρ, ἡ μικρὰ ἄρκτος ἡ Κυνόσουρα. ἣν οὐκ εἰκὸς ἐπὶ Ὁμήρου ἠστροθετῆσθαι, ἀλλ' ἀφ' οὗ οἱ Φοίνικες σημειωσάμενοι ἐχρῶντο αὐτῇ, ἔκτοτε παρελθεῖν εἰς Ἕλληνας τὴν τῆς τοιαύτης ἁμάξης δόκησιν. πρὸ δὲ αὐτῆς, ἡ ἑλίκη ἔγνωσται ἡ μεγάλη ἄρκτος ἐξ ἧς καὶ Ἀχαιοὶ ἑλίκωπες, ὡς καὶ ἐν Ἰλιάδι δηλοῦται. καὶ ταύτην φασὶν ἐνταῦθα λέγεσθαι ἄρκτον ὑπὸ τοῦ ποιητοῦ, ἐκ πλειόνων ἀστέρων συγκειμένην καὶ οὐκ ἐξ ἑπτὰ μόνων κατὰ τὴν Κυνόσουραν. Ὅτι δὲ καὶ οὐ μόνον ἄρκτος τὸ ζῷον λέγεται σὺν ¯τ ἀλλὰ καὶ ἄρκος διὰ μόνου τοῦ ¯κ, διείληπται καὶ ἀλλαχοῦ. καὶ ὡς τὰ ἀπ' αὐτῆς, δίχα τοῦ ¯τ ἐν πολλοῖς εὕρηται δι' εὐφωνίαν. ὅθεν, καὶ ἄρκιλοι τὰ τῶν ἄρκτων εἴτουν ἄρκων νεογνὰ ὡς ἐν τοῖς περὶ Κύκλωπος φανεῖται. καὶ ἀρκὰς, τό, τε ἐθνικὸν καὶ τὸ κύριον. καὶ ἀπαρκίας ἄνεμος ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ. καὶ ἡ αὐτοῦ πνοὴ, ἄρκιος. καὶ ἄρκυες, λίνα περιτιθέμενα θηρίοις. οὗ τὸ πρωτόθετον ὡς ὁ Παυσανίας φησὶν, ἀπὸ τῶν ἄρκων. ὅτι δὲ καὶ ἐδασύνοντο Ἀττικῶς αἱ ἅρκυες, οὐκ ἄδηλον. καὶ φέρεται χρῆσις Εὐπόλιδος εἰς τοῦτο, τοιαύτη. σὺ δὲ τὰ καλώδια ταῦθ' ἁρκυώρει. ὅ ἐστι, φύλασσε. ἐπεὶ καὶ ἁρκυωρὸς, ὁ τῶν ἁρκύων 1.216 φύλαξ. ἀφ' οὗ τὸ ἁρκυωρεῖν, ὁμοίως τῷ ἡμερωρεῖν ὅ ἐστιν ἡμεροφυλακεῖν. καὶ ταῦτα μὲν, εἰς το1.216 σοῦτον. ἀλλαχοῦ γὰρ καὶ ἕτερα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γέγραπται. εἰ δὲ τοῦ ἄρκτου ὑπεξαιρεθέντος τοῦ ¯τ ὡς εἴρηται, οὐ γέγονε σημασίας ἐναλλαγὴ οὐ μὲν οὐ δὲ γελοιασμὸς, ἀλλ' ὁ κωμικὸς τὸ κάππα ἐξελὼν, γέλωτα ἐκίνησεν, εἰπὼν οὕτω. ψελλόν ἐστι. καὶ καλεῖ τὴν ἄρκτον, ἄρτον. τὴν δὲ Τυρὼ, τροφαλλίδα. τὸ δ' ἄστυ, σῦκα. ταῦτα δὲ τί δηλοῖ, περιττόν ἐστι φράσαι. ἀρκεῖ δὲ μόνον ἐπισημήνασθαι, ὡς οὐ ψελλὰ τὰ εἰρημένα, κυρίως. εἰ μή τις πᾶν παιδίον μὴ σαφῶς διαλεγόμενον, ψελλίζεσθαι λέγει, ὁποῖόν τι καὶ Αἰσχύλος φαίνεται δηλοῦν ἐν τῷ, ψελλόντι καὶ δυσεύρετον. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. (ηερς. 272.) Περὶ δὲ Πλειάδων ἃς ἡ Ἰλιὰς ἐδήλωσε, λεχθήσεταί τι καὶ ἐν τῷ περὶ πλαγκτῶν πετρῶν Ὁμηρικῷ λόγῳ. αἷς δὴ Πλειάσιν ἐξ ἀστέρων ἑπτὰ οὔσαις, δύο ὕστερον ὁμώνυμοι Πλειάδες συνεξέλαμψαν. τραγικοί τε γάρ τινες ἑπτὰ λόγου πολλοῦ ἄξιοι, Πλειὰς ἐλέγοντο. καὶ ἕτεροι δέ τινες ἄλλως σοφοὶ, περιώνυμοι οὐχήκιστα καὶ αὐτοί. καὶ ὡς εἰπεῖν, τηλεφανεῖς. ὁ δὲ Βοώτης καλούμενος καὶ Ἀρκτοῦρος ὅ ἐστιν ἀρκτοφύλαξ, λέγεται διὰ τὴν ἄρκτον τὴν καὶ ἅμαξαν διώνυμος εἶναι. ἀρκτοῦρος μὲν δηλαδὴ διὰ τὴν ἄρκτον. βοώτης δὲ, διὰ τὴν ἅμαξαν. οὕτω γὰρ καλεῖται ὁ ἁμαξηγός. καὶ λαλοῦσι καὶ εἰς τοῦτο πολλά τινα οἱ ἐξηγηταὶ τοῦ Ἀράτου. ὃς ἑρμηνεύει καὶ πῶς ὀψὲ δύων ἐστὶν ὁ βοώτης τὸ ἄστρον, ἐν οἷς λέγει ὡς τέτρασι μοίραις ἄμυδις κατιόντα βοώτην Ὠκεανὸς δέχεται. συγκαταφέρεται γάρ φασι τέτρασι ζωδίοις. σκορπίῳ, ἀφ' οὗ ἄρχεται δύεσθαι. τοξότῃ. αἰγοκέρωτι. ὑδροχόῳ, ἀφ' οὗ λήγει. καὶ ἐξαρκεῖ αὐτὸς εἷς, ἕως τὰ τέσσαρα ταῦτα δύνωσι ζώδια. καὶ λέγεται ὀψὲ δύων, τουτέστι μετὰ πολὺν χρόνον φασὶ τῶν συνανατειλάντων. καὶ ἔστιν ὥσπερ χρήσιμος τοῖς πλευστικοῖς ἡ ἄδυτος ἅμαξα, οὕτω καὶ βοώτης ὁ ὀψὲ δύων. τινὲς δὲ ἄλλως ταπεινότερον καὶ ὡς οἷον αἰνιγματικῶς νοοῦντες τὸ, ὀψὲ δύων βοώτης, φασὶν ὅτι ὁ ὀψὲ ὑποδυόμενος τὴν οἰκίαν. τουτέστι πρὸς ἑσπέραν καὶ ὅ φασι περὶ βουλυτὸν, ἀφιεὶς τὸ περὶ τοὺς βόας πονεῖσθαι. μεταβιβάζοντες οἱ τοιοῦτοι τὸ τοῦ γηΐνου βοηλάτου, ἀστείως ἐπὶ τὸν ἐν οὐρανῷ. ἕτεροι δὲ, ὀψὲ δύοντα βοώτην φασὶν, ἐπειδὴ τότε μάλιστα τοῦ ἔργου ἀπολύονται οἱ βόες. οὗτοι δὲ, οὐδὲν εὐδιανόητον φράζουσι. δοκεῖ δέ φασιν ὁ Βοώτης οὗτος, ὁ Ἰκάριος εἶναι. καὶ λέγεσθαι Βοώτης, διότι ἐπὶ ἁμαξῶν παρεκόμιζε τὸν οἶνον. ἄλλως δὲ Βοώτης τὸ κατ' οὐρανὸν ἄστρον. καὶ ὅτι κατὰ τὴν ἐπιτολήν φασιν αὐτοῦ, βοηλατοῦσιν ἀροτριῶντες. ταῦτα καὶ περὶ Βοώτου ἐνταῦθα. (ηερς. 274.) Δοκεύει δὲ ἄρκτος Ὠρίωνα, ὡς θηρίον κυνηγέτην μυθικῶς κατά τι δέος. εἴθισται δὲ μᾶλλον ἄλλως κυνηγέτης δοκεύειν θῆρας. ἔσται δὲ Ὁμήρῳ καὶ ἐν τῇ ἑξῆς που νεκυίᾳ, μνεία Ὠρίωνος, ὃς κεῖται καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. οὗ τὴν ἐτυμολογίαν ὡς καὶ ἐν ἄλλοις ἐγράφη, μῦθος μὲν ληρεῖ, ὡς ἀπὸ τοῦ οὐρῆσαι. τοιαύτη γὰρ γένεσις τῷ ἥρωϊ προσπλάττεται. μὴ ὀκνούντων τῶν μυθογράφων ἀνεμώλια βάζειν. οἱ δὲ ἀνθρωπίνως ἐτυμολογοῦντες, τὴν μὲν βύρσαν καὶ τὸ δαιμόνιον οὔρημα ἐξ ὧν ὅσα καὶ γαστρὸς καὶ σπέρματος μυθικὴ ἐρεσχελία τὸν Ὠρίωνα ἐβρέφωσε, μυσάττονται ὡς ἐχρῆν. ἵνα μὴ τὸν κάλλιστον ὡς ἡ Ὁμηρική φησιν ἱστορία, αἰσχύνωσι τῇ γενεθλιαλογίᾳ. λέγουσι δὲ οἱ μὲν, αὐτὸν κληθῆναι Ὠρίωνα παρὰ τὸ ὥρα ὅπέρ ἐστιν ἡ εὐμορφία, ἡ παρὰ μὲν Ἀθηναίοις δασυνομένη, ἄλλως δὲ ἀναλόγως ψιλοῦσθαι καὶ αὐτὴ ὀφείλουσα ὁμοίως τῇ ὥρᾳ ἤγουν τῇ φροντίδι ὅθεν καὶ ὠρακιᾶν τὸ φροντίζειν. καὶ ὠρεῖν τὸ φυλάσσειν. ἀφ' οὗ πολλὰ ῥήματα σύνθετα. ἔστι γὰρ ὁρῶ τὸ βλέπω μετὰ δασέος πνεύματος. καὶ Ἰωνικῇ ἐπενθέσει τοῦ ¯υ, οὐρῶ ἄχρηστον, μετὰ ψιλῆς. κατὰ τὸ, ὁ ὅρος ὁ οὗρος ἐπὶ περιόρου γῆς. εἶτα ὥσπερ κόρος κοινὸν καὶ κοῦρος Ἰωνικῶς καὶ κῶρος Αἰολικῶς ἅμα καὶ Δωρικῶς ὁ νέος, οὕτω καὶ ἐκ τῶν προλαβόντων τοῦ, ὁρῶ οὐρῶ, γίνεται ὠρῶ τὸ προκατάρχον τοῦ Ὠρίωνος. Πίνδαρος δὲ ἐν τῷ, ὀρίαν ἢ ὀριᾶν Πελειάδων μὴ τηλόθι Ὀαρίωνα νεῖσθαι ἢ κεῖσθαι, ἐμφαίνει ὡς ὁ Ὠρίων, παρὰ τὸ ὀαρίζειν γίνεται κράσει τοῦ ¯α καὶ ¯ο εἰς ¯ω μέγα. ἵνα ᾖ ὥσπερ ὁ Μίνως ὀαριστὴς Διὸς ἤγουν ὁμιλητὴς ἐκ τοῦ ὀαρίζω τὸ ὁμιλῶ περὶ οὗ πολλαχοῦ δηλοῦται, οὕτω καὶ Ὠρίων εἴτουν Ὀαρίων, ὁ ἄξιος ὁμιλίας τῆς ἐκ τῶν σπουδαίων. ἐπεὶ δὲ τὰς Πελειάδας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἤγουν τὰς ὡς καὶ ἐν τοῖς ἑξῆς που φανεῖται, Πλειάδας ὧν καὶ πρὸ βραχέων ἦν λόγος, ὀρίας ἔφη ὁ Πίνδαρος, ἰστέον ὡς οὐκ ἄλλοθέν ποθεν αὐτὸ ἐποίησεν, ἀλλὰ παρωνύμως τῇ οὐρᾷ κατὰ παράλειψιν τοῦ ¯υ. σύνεγγυς γὰρ ὁ Ὠρίων τῆς ἀστροθεσίας τῶν Πλειάδων ὥς φησιν Ἀθήναιος. ἵνα ᾖ φασι τὸ ὀρίας, ἐν ἴσῳ τῷ οὐρίας. Ἔνθα σημείωσαι ὅτι οὐρία, οὐ μόνον πνοὴ ἀνέμου, ἀλλ' ἰδοὺ καί τι ἕτερον ἐξ οὗ καινότερον ἡ ὀρία πελειὰς ἡ ῥηθεῖσα. (ῃερς. 276.) Περὶ 1.217 δὲ τῆς ῥηθείσης ἄρκτου, λέγει ὁ ποιητὴς ὡς ταύτην ἄνωγε Καλυψὼ τὸν Ὀδυσσέα ποντοπορευέμεναι ἐπ' ἀριστερὰ ἔχοντα, ὃ καὶ ἐποίει ἐκεῖνος. Ὅτι δὲ οὐχ' οἱ ποντοποροῦντες μόνον ἀλλὰ καὶ οἱ πεζῇ βαδίζοντες, πρὸς ἄστρα τοῦτο ἐποίουν, δηλοῖ καὶ Σοφοκλῆς. οὐ μὴν ἀλλὰ καὶ ἡ παροιμία τὸ, ἄστροις σημειοῦσθαι ὁδόν. ἤγουν μακρὰν ὁδὸν βαδίζειν καὶ ἐρήμην, ὡς ἀπὸ τῶν πλεόντων. ἐνταῦθα δὲ παραπηκτέον εἰς πίστωσιν τῆς ἡρωϊκῆς μονοπλοίας, καί τι τῶν τῆς ὕστερον γενεᾶς. ἡ γὰρ Παμφύλιος τῶν Ἀτταλέων πόλις, οἰκίαν περιέχει ἐπικαλουμένην ἐξ ὁμοίου τρόπου, μονοναυτικήν. ἀπήχθη μὲν γὰρ τῶν τις ἐκεῖθεν αἰχμάλωτος εἰς τὴν Αἰγυπτίαν ταμίαθιν, καὶ ἔτριψεν ἐνιαυτούς τινας ἐκεῖ. ὡς δὲ τὸ τῆς πατρίδος φίλτρον ὤχλει πρὸς τὸν οἴκαδε νόστον, προσποιεῖται θαλαττεὺς ἐκεῖνος εἶναι. καὶ πιστεύεται ἁλιάδα. καὶ γίνεται δοῦλος ἁλιεύς. καὶ θεραπεύων τοὺς δεσπότας, ἀφίεται ἐναλύειν τῷ ἔργῳ πρὸς ἄδειαν. καὶ δὴ συσκευασάμενος τοῖς τε ἄλλοις καὶ ἱστίῳ συμμέτρῳ, δράττεται καιροῦ ἐνδαψιλευσαμένου πόμπιμόν τε καὶ διαρκῆ οὖρον. καὶ θάρσος ἀναλαβὼν καὶ ἀναπετάσας ἱστίον εὐτυχῶς, καὶ διακυβερνῶν ἑαυτῷ, τέμνει μακρὰ ἐκεῖνος πελάγη. καὶ εἰς τὰ οἰκεῖα ἐπανασώζεται καινὴ θέα καὶ οἷα μὴ ἂν ἐλπισθῆναι. κἀντεῦθεν ὑπαλλάξας τὸ παλαιὸν ἐπίθετον, εἰς μονοναύτην ἀμείβεται. καὶ ἔχει τὸ ἐκείνου γένος, ἕως καὶ ἐσάρτι τὸ τοιοῦτον ἐπώνυμον εἰς εὐτυχίας παράσημον. (ῃερς. 278.) Ὅτι ἐν τῷ, ἑπταδεκαίδεκα μὲν πλέεν ἤματα πονποπορεύων ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα γαίης Φαιήκων, ὅθι τ' ἄγχιστον πέλε τῷ Ὀδυσσεῖ, ἐμφαίνει ὁ ποιητὴς ἐκτοπισμὸν τῆς νήσου τῆς Καλυψοῦς εἴγε τοσαῦτα νυχθήμερα πλέων ὁ Ὀδυσσεὺς ἐλαφρῶς καὶ φορῷ κεχρημένος ἀνέμῳ, μόλις ἤγγισε τῇ τῶν Φαιάκων νήσῳ, καὶ εἰς τοσοῦτον, ὥς τε φαίνεσθαι αὐτὴν τῷ Ὀδυσσεῖ κατά τι σμικρότατον. φησὶ γάρ. εἴσατο δ' ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέει πόντῳ. (ῃερς. 281.) Τὸ δὲ εἴσατο, ἢ ἀντὶ τοῦ ἐφάνη, ἵνα ᾖ εὐθεῖα πτῶσις οὐδετέρα τὸ ἐπαγόμενον, ἢ ἀντὶ τοῦ ἔδοξε καὶ ἐνόμισεν ὁ Ὀδυσσεύς. ἵνα τὸ ἐφεξῆς, εἴη πτώσεως αἰτιατικῆς. συνηγορεῖ δὲ τῇ πρώτῃ συντάξει τὸ, εἴσατο γάρ οἱ πόντον ἐπιπλείων. μετ' ὀλίγα κείμενον εὐθύς. Ἐνταῦθα δὲ οἱ μὲν, ῥινὸν εἶπον, ὅ ἐστι βύρσαν. ὡς τὸ, ὑπὸ δ' ἔστρωτο ῥινὸν βοός. ἵνα λέγῃ ὅτι ἔδοξε βλέπειν ὡς ῥινὸν Ὀδυσσεὺς ἤγουν ἀσπίδα ἢ βύρσαν ἁπλῶς, περὶ μέσην τὴν θάλασσαν ἐφηπλωμένην. ἕτεροι δὲ, γράφουσιν ἐρινόν. ὅ ἐστι καρπὸν ἀγρίας συκῆς. τοῦτο δὲ, ἐγγύς ἐστι γελοίου. τά τε ἄλλα, καὶ διὰ τὴν βραχύτητα τοῦ καρποῦ. Ἀρίσταρχος δὲ, ἐρινὸν γράφει, αὐτὴν τὴν συκῆν. ἵνα φαίνηται τηλόθεν ἡ νῆσος, ὡσεὶ καὶ τοιαύτη τις συκῆ. φασὶ δὲ οἱ παλαιοὶ καὶ ὅτι ἀρσενικῶς μὲν, ἐρινὸς λέγεται τὸ δένδρον. οὐδετέρως δὲ, ὁ καρπός. οἳ καὶ ἡ κέδρός φασι θηλυκῶς, τὸ φυτόν. τὸ κέδρον δὲ, ὁ καρπός. οἱ δ' αὐτοὶ, φασὶ καὶ ὅτι ῥινὸν Ἰλλυριοὶ λέγουσι, τὴν ἀχλύν. ἐφάνη γοῦν τῷ Ὀδυσσεῖ, ὡς ἀχλὺς ἡ γῆ. εἰ δὲ προϋπάρχει ὁ ἐρινὸς τοῦ ἐρινεοῦ ὡς ὁ παρὰ Λυκόφρονι συφὸς τοῦ συφεοῦ, οὐκ ἔστι σταθερῶς φάναι. μνεία δὲ ἐρινεοῦ, καὶ ἐν τῇ Ἰλιάδι. μνηστέον δ' ἐνταῦθα καὶ τοῦ εἰπόντος παλαιοῦ, ἦν δ' αὐτὸς ὁ Φιλόπονος, ὅτι ἐρινεὸς μὲν, τὸ δένδρον. ἐρίνεος δὲ προπαροξυτόνως, καρπός. (ῃερς. 278.) Ἐν δὲ τῷ, ἑπταδεκαίδεκα, τὸ δὲ, ἀντὶ τοῦ δὴ ἐπλεόνασεν ἵνα δάκτυλος γένηται καὶ μὴ χωλεύσῃ τῷ ἐξ ἀρχῆς τροχαίῳ τὸ μέτρον. (ῃερς. 279.) Ὅρα δὲ καὶ τὸ ποντοπορεύειν δὶς λεχθὲν κατὰ συνέχειαν, διὰ τὸ ὡς ἐν ποιήσει καίριον τῆς λέξεως. καὶ τὸ, ὄρεα σκιόεντα. μέτρου γὰρ μὴ χρῄζοντος, οὐκ ἐῤῥέθη Ἰωνικῶς οὔρεα σκιόεντα. (ῃερς. 283.) Ὅτι ἐκ Σολύμων ὀρέων ὁ Ποσειδῶν εἶδε τὸν Ὀδυσσέα πλέοντα ἐν τῷ ἐξ Αἰθιόπων ἀνιέναι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἀνατολικῶν δηλαδὴ ὡς ἐν τῇ ¯α ῥαψῳδίᾳ ἐγράφη. ὁ γὰρ ἐκ τοιούτων Αἰθιόπων ἐρχόμενος, διὰ Σολύμων ἔρχεται, ὀρέων ἀνατολικῶν ὁμωνύμων τῷ τῶν Σολύμων ἔθνει. ὁ δὲ γεωγράφος, λέγει ὅτι τὸ, ἐξ Αἰθιόπων ἀνιὼν ἐκ Σολύμων ὀρέων, ἶσόν ἐστι τῷ, ἐκ τῶν μεσημβρινῶν τόπων. Σολύμους δέ φησιν, οὐ τοὺς ἐν Πισιδίᾳ λέγει ὁ ποιητὴς, ἀλλὰ πλάττει τινὰς ὁμωνύμους ἐκείνοις. ὁ δ' αὐτὸς γεωγράφος καὶ ἐν τῷ, εἰς Αἰθίοπας χθιζὸς ἔβη ὁ Ζεὺς εἰς Ὠκεανὸν, λέγει, ὡς κοινότερον Ὠκεανὸς λέγεται ὁ καθ' ὅλον τὸ μεσημβρινὸν κλίμα τεταγμένος. καὶ οὕτω μὲν ὁ γεωγράφος περὶ τῶν Ὁμηρικῶν Αἰθιόπων καὶ τῶν ἐνταῦθα Σολύμων. κυρίως δὲ οἱ Σόλυμοι ὡς καὶ τοῦτο ὁ αὐτὸς ἱστορικὸς λέγει, οἱ περὶ τὰ ἄκρα τοῦ ταύρου τὰ περὶ Λυκίαν ἕως Πισιδίας εἰ καὶ Ὅμηρος ἐξωκεανίζει φησὶν αὐτούς. διελήφθη δὲ περὶ τούτων καὶ ἐν Ἰλιάδι. ὅτι δὲ διὰ τερατείαν, καὶ τὴν τῶν Φαιάκων γῆν ἐκτοπίσει ὡς ἄλλο τι νοεῖν τοὺς πολλοὺς περὶ αὐτῆς παρὰ τὰ ἱστορούμενα, ἐν τοῖς ἑξῆς δηλωθήσεται. Ὅρα δὲ ὅπως 1.218 ἔπλασε τὸν Ποσειδῶνα βραδύναντα παρ' Αἰθίοψι μέχρι τῆς νῦν ῥαψῳδίας, ἵνα εὐαφόρμως πιθανολογηθῇ ὁ τοῦ Ὀδυσσέως κίνδυνος. ὥσπερ πρὸ αὐτοῦ, καὶ ὁ ἀπόπλους. (ῃερς. 285.) Ὅτι θυμοῦ ἔνδειξις τὸ, κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν. Ἔνθα σημείωσαι ὅτι τὸ κινῆσαι κάρη καὶ τὸ σεῖσαι κάρα, διαφέροι ἂν, εἴτι προσεκτέον τῷ Σοφοκλεῖ ἐν τῷ, κάρα σείοντες οὐδ' ὑπὸ ζυγῷ νῶτον εὐλόφως εἶχον. ζυγομαχίαν γὰρ ἡ φράσις ἐκεῖ δηλοῖ. (ῃερς. 286.) Καινὸν δὲ μετάμελον φράζει τὸ, ὢ πόποι ἦ μάλα δὴ μετεβούλευσαν ἄλλως. ἐνεργητικῶς δὲ εἴωθε λέγειν Ὅμηρος τὸ βουλεύειν καὶ τὰς ἀπ' αὐτοῦ κινήσεις. (ῃερς. 290.) Ἀπειλὴν δὲ ἐκφαίνει μελλούσης κακώσεως. τὸ, ἀλλ' ἔτι μέν μιν φημὶ ἅδην ἐλάαν κακότητος. ἤγουν λέγω κατακόρως αὐτὸν κακῶσαι. ὃ συντάσσεται καθ' ὁμοιότητα τοῦ, ἅλις ἔχειν κακότητος. δῆλον δὲ, ὅτι ἐλάαν καὶ νῦν, τὸ πλήττειν λέγει. Ὅρα δὲ καὶ τὸ ἅδην δι' ἑνὸς ¯δ, καὶ συστολῆς τῆς ἀρχούσης. ὅτι δὲ καὶ ἐδασύνετο, οἱ παλαιοί φασι. Σημείωσαι δὲ ὅτι προαναφωνήσας νῦν ὁ ποιητὴς διὰ τοῦ Ποσειδῶνος ὡς ἅδην Ὀδυσσεὺς κακωθήσεται, ἐπαγωνίσεται τοιοῦτον ἐπὶ τῷ Ὀδυσσεῖ φιλοτίμως φράσαι κίνδυνον, ἵνα μὴ ταπεινώσῃ τῇ φράσει τὴν θεομηνίαν. διὸ καὶ μέγα πλάσει τὸ ἐπὶ τῷ Ὀδυσσεῖ κακόν. διαλύσει μὲν γὰρ τὴν σχεδίαν, κῦμα δεινὸν καὶ ἀργαλέον καθάπερ ἄνεμος σφοδρὸς ἀχύρων θημῶνα τινάξει. καὶ Ὀδυσσεὺς μόλις ἰσχύσει κἂν γοῦν ἀποδῦναι τὰ βαρύνοντα ἱμάτια. εἶτα κινδυνεύσει, νηχόμενος δύο νυχθήμερα καὶ ἐγγίσας δὲ ὀψέ ποτε τῇ ξηρᾷ, παραβραχὺ παντελῶς ἐλεύσεται τοῦ κακῶς παθεῖν. ὅτε καὶ κήτους φόβος αὐτὸν ὑπελεύσεται. καὶ περισωθεὶς δὲ, πτοήσεται εἰ μὲν ἐν ποταμῷ τὴν νύκτα φυλάξει, τά δέ τινα παθεῖν δεινά. εἰ δὲ καὶ εἰς τὴν παρακειμένην ὕλην ἀναβῇ, μὴ τάδε τὰ κακὰ ἐπισυμβαίη αὐτῷ. καὶ οὕτω φοβερὸν ὅλον τὸ τοῦ κινδύνου χωρίον. καὶ ἡ ἐκ Ποσειδῶνος κάκωσις, παθεῖν τὲ ἀφόρητος καὶ εἰπεῖν δυσμίμητος. ὅθεν εἰδὼς ὁ ποιητὴς ὡς πάνυ μεγαλοφώνως τὸν λόγον ὕψωσε καὶ εἰς ὅσον ἐνεχώρει προήγαγε τὴν κινδυνώδη περιπέτειαν, πλάσει τὸν Ποσειδῶνα εἰπόντα πρὸς Ὀδυσσέα. ὡς οὔ σε ἔολπα ὀνόσεσθαι κακότητος. οἱονεὶ λέγων πλαγίως, ὡς οὐδείς μοι ἐπιμέμψεται οἷα κακῶς καὶ μικροπρεπῶς πλάσαντι καὶ φράσαντι κολασθῆναι τὸν Ὀδυσσέα. τῆς δὲ τοιαύτης κακώσεως τοῦ Ὀδυσσέως τὰ μὲν αὐτὸς λέγει ὁ ποιητής. τὰ πλείω δηλαδή. τινὰ δὲ, καὶ τὸν Ὀδυσσέα ποιεῖ ὡς ἐν ἠθοποιΐᾳ λέγοντα. εἰ δὲ χρὴ τὰ τοιαῦτα πάντα ὁμοῦ ἐκ τῶν σποράδην κειμένων συναγαγόντα εἰπεῖν, ἔστιν ἐν τούτοις ἡ Ὁμηρικὴ φράσις τοιαύτη. Ὡς εἰπὼν ὁ Ποσειδῶν δηλαδὴ, σύναγε νεφέλας. ἐτάραξε δὲ πόντον; (ῃερς. 292.) χερσὶ τρίαιναν ἑλών. ἣν φόρημα φασὶν εἶχεν ἀχώριστον. πάσας δ' ὀρόθυνεν ἀέλλας παντοίων ἀνέμων. σὺν δὲ νεφέεσσι κάλυψε γαῖαν ὁμοῦ καὶ πόντον. ὀρώρει δ' οὐρανόθεν νύξ. σὺν δ' Εὖρός τε Νότος ἔπεσε Ζέφυρός τε δυσαής, καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων. εἶτα φησὶν ἀκολούθως Ὀδυσσεύς. ὤμοι ἐγώ. οἵοισι νέφεσσι περιστέφει οὐρανὸν εὐρὺν Ζεύς. ἐτάραξε δὲ πόντον. ἐπισπέρχουσι δ' ἄελλαι παντοίων ἀνέμων. καὶ μετ' ὀλίγα πάλιν ὁ ποιητής. ὣς ἄρα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μιν εἰπόντ' ἔλασε μέγα κῦμα κατ' ἄκρης, δεινὸν ἐπεσσύμενον. περὶ δὲ σχεδίην ἐλέλιξε, τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε. πηδάλιον δὲ ἐκ χειρῶν προέηκε. μέσον δέ οἱ ἱστὸν ἔαξε δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα. τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ. τὸν δ' ἄρ ὑπόβρυχα θῆκε πολὺν χρόνον. οὐδὲ δυνάσθη αἶψα μάλ' ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ὁρμῆς. εἵματα γάρ ῥ' ἐβάρυνεν. ὀψὲ δὲ δὴ ἀνέδυ. στόματος δ' ἐξέπτυσεν ἅλμην πικρήν. ἥ οἱ πολλὴ ἀπὸ κρατὸς κελάρυζεν. ἀλλ' οὐδ' ὣς σχεδίης ἐπελήθετο τειρόμενός περ. ἀλλὰ μεθορμηθεὶς ἐν κύμασιν ἐλλάβετ' αὐτῆς. ἐν μέσσῃ δὲ κάθιζε. τήν δ' ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα. ὡς δ' ὅτ' ὠπορινὸς Βορέης φορέησιν ἀκάνθας ἂν πεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται, ὣς τὴν, ἂν πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα. ἄλλοτε μέν τε, Νότος ἀντιπνέοντι Βορέῃ προβάλεσκε φέρεσθαι. ἄλλοτε δ' αὖτ' Εὖρος (ῃερς. 332.) Ζεφύρῳ εἴξασκεν ἤγουν παρεχώρει, διώκειν. ἐξ ὧν πολυκυμία ἠγείρετο. καὶ ὡς ἄν τις καιρίως εἴποι, τετρακυμία. οἷα τεσσάρων ἀνέμων τῶν ῥηθέντων, ταρασσόντων τὴν θάλασσαν. εἶτα μετὰ στίχους οὐκ ὀλίγους, φησίν. ὦρσεν ἐπὶ μέγα κῦμα Ποσειδῶν δεινόν τ' ἀργαλέον τε. κατηρεφές. ἤλασε δ' αὐτόν. ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξει καρφαλέων. τὰ μὲν, ἄρτε διεσκέδασεν ἄλλυδις ἄλλα, ὣς τῆς, δούρατα μακρὰ διεσκέδασε τὸ μέγα δηλαδὴ κῦμα. ῥᾷον διασκεδασθείσης οἷς δεινὸν μέγα κῦμα φθάσαν ἐλέλιξεν αὐτήν. Ὀδυσσεὺς δὲ, ἀμφ' ἑνὶ δούρατι βαῖνε κέληθ' ὡς ἵππον ἐλαύνων. ὡς ἂν οὕτω ἰσχύσῃ ἐκδύσασθαι. εἵματα δ' ἐξαπέδυνεν. αὐτὸς δὲ πρηνὴς ἁλὶ κάππεσε χεῖρε πετάσσας, νη 1.219 χέμεναι μεμαώς. ὑποκατιὼν δέ, τοὺς μὲν ἄλλους ἀνέμους παύσασθαι λέγει κελευσάσης τῆς τοῦ Διὸς Ἀθηνᾶς, καὶ εὐνηθῆναι ἅπαντας, μόνον δέ φησιν ὦρσε κραιπνὸν βορέην. εἶτα ἐπάγει. (ῃερς. 388.) ἔνθα δύω νύκτας δύο τ' ἤματα, κύματι πηγῷ πλάζετο. πολλὰ δέ οἱ κραδίη προτιόσσετ' ὄλεθρον. ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠὼς, καὶ τότ' ἄνεμος μὲν ἐπαύσατο, ἠδὲ γαλήνη ἔπλετο νηνεμίη. ὁ δ' ἄρα σχεδὸν εἴσιδε γαῖαν, ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύματος ἀρθείς. νῆχε δ' ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι. ἀλλ' ὅτε τόσσον ἀπῆν ὅσσόν τε γέγωνε βοήσας, καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσσι θαλάσσης. ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο δεινὸν ἐρευγόμενον. εἴλυτο δὲ πάντ' ἁλὸς ἄχνη. οὐ γὰρ ἔσαν λιμένες νηῶν ὀχοὶ, οὐδ' ἐπιωγαί. ἀλλ' ἀκταὶ προβλῆτες ἔσαν, σπιλάδες τε, πάγοι τε. καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ. καὶ ἦν ἀληθῶς τὸ τοιοῦτον τῶν φθασάντων ἐπικινδυνότερον. ἐπεὶ γὰρ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι θεὸς, (ῃερς. 410.) ἔκβασις οὔ πῃ φαίνεθ' ἁλὸς πολιοῖο θύραζε. ἔκτοσθεν μὲν γὰρ, πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα βέβρυχε ῥόθιον. λισσή δ' ἀναδέδρομε πέτρη. ἀγχιβαθής τε θάλασσα. καὶ οὔπως ἐστὶ πόδεσσι στῆναι ἀμφοτέροισι καὶ ἐκφυγέειν κακότητα. διὸ καὶ δεδοικέναι φησὶν ὁ Ὀδυσσεὺς, μήπως μ' ἐκβαίνοντα βάλῃ λίθακι ποτὶ πέτρῃ, κῦμα μέ γ' ἁρπάξαν, μελέη δέ μοι ἔσσεται ὁρμή. εἶτα καὶ ἄλλος αὐτὸν ἐξεθρόει φόβος, τοιοῦτος. εἰ γὰρ ἔτι προτέρω φησὶ παρανήξομαι ἤν που ἐφεύρω ἠϊόνας τε παραπλῆγας λιμένας τε θαλάσσης, δείδω μήμ' ἐξαῦτις ἀναρπάξασα θύελλα πόντον ἐπ' ἰχθυόεντα φέρῃ βαρέα στενάχοντα. (ῃερς. 421.) ἤ ἔτι μοι καὶ κῆτος ἐπεσσεύῃ τουτέστιν ἐφορμήσῃ ἐπιπέμψῃ μέγα, δαίμων ἐξ ἁλός. οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη. ἐν τοσούτῳ δὲ αὐτὸν μέγα κῦμα φέρε τρηχεῖαν ἐπ' ἀκτήν. ἐνθά κ' ἀπὸ ῥινούς τε δρύφθη σὺν δ' ὀστέ' ἀράχθη, εἰ μὴ φρονήσεως Ἀθηνᾶς ἐν φρεσὶ θεμένης, ἀμφοτέραις χερσὶν ἐπεσσύμενος λάβε πέτρης. τῆς ἔχετο στενάχων, εἵως μέγα κῦμα παρῆλθε. καὶ τὸ μὲν, ὣς ὑπάλυξε. παλιῤῥόθιον δέ μιν αὖτις πλῆξεν ἐπεσσύμενον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ. ὡς δ' ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο, πρὸς κοτυλυδονόφιν πυκιναὶ λάϊγγες ἔχονται. (ῃερς. 434.) ὣς τοῦ, πρὸς πέτρῃσι θρασειάων ἐπὶ χειρῶν ῥινοὶ ἀπέδρυφθεν. τὸν δὲ, μέγα κῦμ' ἐκάλυψε. καὶ τότε δή φησι δύστηνος ὑπὲρ μόρον ἂν ὤλετο, εἰ μὴ ἐπὶ φρεσὶν ἔθηκεν Ἀθηνᾶ. τί δὲ ἔθηκε; κύματος ἐξαναδὺς τά τ' ἐρεύγεται ἤπειρόνδε,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νῆχε παρέξ. ἐς γαῖαν ὁρώμενος, εἴπου ἐφεύροι ἠϊόνας παραπλῆγας, λιμένας τε. καὶ μόλις ἐν ποταμῷ σωθεὶς, οὐδ' οὕτω διήγαγε τὸ ἐφεξῆς τοῦ ζῆν, ἀέθλων δίχα ὡς ἡ ἱστορία δηλοῖ. πολλὰ γὰρ καὶ πάλιν παθὼν, πλανήσεται φέρων τὸν δηλωθησόμενον ἐν τοῖς ἑξῆς ἀθηροιλοιγόν. καὶ οὐδὲ καθ' ἡσυχίαν θανεῖται ὕστερον ὡς ἱστοροῦσιν οἱ μεθ' Ὅμηρον. Καὶ τοῦτο μὲν οὕτως. ὁ δὲ ποιητὴς τῇ τοῦ Ὀδυσσέως δυσπραγίᾳ προσυφαίνων καί τινα ἔκφρασιν ναυαγοῦ ζῶντος, φησὶν ὅτι ἐπεὶ ἐς ποταμὸν ἐσώθη, ὅμως ἔτι ἁλὶ δέδμητο φίλον κῆρ ὤδεε δὲ χρόα πάντα. θάλασσα δὲ κήκιε πολλὴ, ἂν στόμα τε ῥῖνας τε. ὅ δ' ἄρ ἄπνευστος καὶ ἄναυδος κεῖτ' ὀλιγηπελέων. κάματος δέ μιν αἰνὸς ἵκανεν. ἀλλ' ὅτε δήρ' ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη, τότε εἶχε ψύχους τὲ δέος καὶ μὴ θήρεσσι περιπέσῃ ὡς προεδηλώθη. καὶ τοιαύτη μὲν ἡ τοῦ κατὰ τὸν Ὀδυσσέα κινδύνου φράσις ἐκ διαφόρων τόπων Ὁμηρικῶν ἀθροισθεῖσα καὶ συμφρασθεῖσα εἰς ἓν πρὸς ἔνδειξιν τοῦ, φοβερὰ εἶναι καὶ ἐν τῷ πεῖραν ἔχειν καὶ ἐν τῷ φράζεσθαι οἷα πάνυ δεινῶς καὶ μεγαλοφώνως διεσκευασμένων τοῦ τε ἐνταῦθα χειμῶνος καὶ τῶν ἐπ' αὐτῷ ἐφ' οἷς ἤθλησεν Ὀδυσσεύς. ὅθεν οὐκ ἄν τις μωμήσαιτο τὰ Ὁμηρικῶς πεφρασμένα, καθὰ Δωρίων ὕστερον ἐπί τινι ἔπαιξεν. ὃς καταγελῶν χειμῶνος ὃν διεσκεύασέ τις Τιμόθεος ἔν τινι ποιήματι αὐτοῦ ἐπιλεγομένῳ ναυτίλῳ, ἔφη. ἐν κακκάβᾳ ζεούσᾳ μείζονα ἑωρακέναι χειμῶνα. (ηερς. 291.) Ἐν δὲ τοῖς κατὰ μέρος θεωρητέον ὅτι τὸ σύναγε νεφέλας, νεφεληγερέτην καὶ τὸν Ποσειδῶνα εἶναι ὑποδηλοῖ. ἐπειδήπερ ὕδωρ ὕλη τοῖς νέφεσιν, εἰς ὃ μεταλαμβάνεται ὁ Ποσειδῶν. ὀκνεῖ δὲ ὅμως ὁ ποιητὴς τὸν τὰς νεφέλας συνάγοντα Ποσειδῶνα, καὶ νεφεληγερέτην συνθέτως εἰπεῖν. ἀπεκληρώθη γὰρ τοῦτο Διῒ τῷ ποιητικῷ τῶν νεφελῶν αἰτίῳ. Ἰστέον δὲ ὅτι τὸ συνάγεσθαι νεφέλας ἄνω διὰ Ποσειδῶνος τοῦ εἰς ὑγρότητα μεταλαμβανομένου, σκυθρωπότητα δηλοῖ ἀερίαν. καὶ συμβάλλεταί τι ἐς τὴν ἐν Ἰλιάδι κατάνευσιν τοῦ Διὸς διὰ κυανέων ὀφρύων. δῆλον γὰρ ὡς αἱ ἄνωθεν διοσημίαι, ἐν καταστάσεσι τοιαύταις καὶ νεφῶν πυκνότητι καὶ συναγωγαῖς, διεκφαίνονται. ἃς ὁ μῦθος κυανέαις Διὸς ὀφρύσι κατανευούσαις ἀστείως εἴκασεν. ἐπεί τοι καὶ κατ' ἀνθρώπους, ἐξ ὀφρύων καὶ γαλήνη προσώπων ἀναφαίνεται καὶ τὸ ἀνάπαλιν. τοξοποιεῖ γοῦν τὰς ὀφρῦς 1.2 καὶ δεσμεῖ καὶ συνάγει, ὁ σκυθρωπάζων. λέγει δέ που καὶ Σοφοκλῆς τὸ, τηροῦντα τοὺς λέγοντας καὶ συνάγοντα τὰς ὀφρῦς καὶ τὰς ἀκάνθας ἐπεγείροντα. εἰπὼν τοῦτο ἐκεῖνος, ὡς ἀπὸ ἰχθύων οἳ τὰς ἀκάνθας ὀρθοῦσι καιρῷ θυμοῦ, ὡς οἱ σαργοὶ παρὰ τῷ Ὀππιανῷ. καὶ οὕτω μὲν αἱ ὀφρύες τοξοποιούμεναι καὶ συναγόμεναι, χειμῶνα δηλοῦσι ψυχῆς. (ηερς. 292.) ἄλλως δὲ περίδρομοι στεφανούμεναι, ἀταραξίαν διεκφαίνουσι ψυχικὴν, κἂν ὦσιν ἠερόεσσαι καὶ οὕτω πως κυάνεαι. Τὸ δὲ ὀροθύνη ὅτι ἐκ τοῦ ὄρω καὶ θύνω γίνεται καὶ ἐν τῇ Ἰλιάδι ἐῤῥέθη. Τρίαινα δὲ διατὶ τῷ Ποσειδῶνι φορεῖται, ἡ Ἰλιὰς δηλοῖ. (ῃερς. 294.) Τὸ δὲ ὀρώρει δ' οὐρανόθεν νὺξ, γέγονε μὲν ἀφορμὴ τοῦ, μέλαιναν ἡμέραν λέγεσθαι, τὴν δυστυχῆ καὶ θανάσιμον. ἣ καὶ ἀποφρὰς ἐῤῥέθη, ὡς μὴ οἵα τε οὖσα φράζεσθαι. εἴρηται δὲ, ἀντὶ τοῦ κατεσπεύσθη ἐξ ἀέρος ὡς οἷά τις νύξ, ἤγουν ἀορασία καὶ σκότωσις οὐ διὰ τοὺς ἀνέμους ἁπλῶς ἀλλὰ διὰ τὰς τῶν ἀνέμων πάντων ἀέλλας. καὶ ἔστιν ὑποτομή τις φωτὸς ἡ τοιαύτη νὺξ καθὰ καὶ ἡ ἐκ πυκνότητος βελῶν γινομένη σκιά ποτε καὶ σκότωσις, ὡς ὑποβάλλει νοεῖν ὁ εἰπὼν ὅτι ἐκ συνθήματος ἀφιεμένων τῶν βελῶν, τὸ φῶς ὑπετέμνετο. (ῃερς. 295.) Τὸ δὲ συμπεσεῖν, οὐκ ἐπὶ μόνων ἀνέμων, ἀλλὰ καὶ στρατευμάτων λέγεται. λαμβάνεται δὲ ἡ λέξις ἔστιν ὅτε καὶ ἐπὶ συμπτώσεως τυχηρᾶς. Δυσαὴς δὲ Ζέφυρος, ἢ ὁ δύσπνους, ἢ ὁ ἐκ δύσεως πνέων. ἢ καὶ διπλοῦς φασι κατὰ τὸ πνεῖν. καὶ γὰρ καρποτροφῶν, ἀναψύχει καὶ τοὺς ἀνθρώπους. οἱ δὲ οὕτως ἑρμηνεύσαντες τὸ δυσαὴς, ἐοίκασι διὰ τοῦ ἰῶτα γράφειν τὴν προπαραλήγουσαν ὡς ἀπὸ τοῦ δὶς ἐπιῤῥήματος. Τὸ δὲ Νότος ἔπεσεν ἢ μᾶλλον συνέπεσεν ἤγουν εἰς ἓν ἦλθεν ἑτέρῳ ἀνέμῳ, φανερῶς διαφέρει τοῦ ἁπλῶς πεσεῖν ἄνεμον ὅ ἐστι παύσασθαι. (ηερς. 296.) Βορέης δὲ, ὀρθῶς γέγραπται δι' ἑνὸς ¯ρ παρὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν βορὰν ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐγράφη. τοῦτο δὲ, διχῶς. ἢ γὰρ διότι ἁδρύνων τοὺς ἀστάχυας, τὰ πρὸς τὸ ζῆν φέρει ὅθεν καὶ ὁ Ζέφυρος παρά τισι καὶ οὕτω βορᾶς αἴτιος γίνεται, ἢ καὶ ἄλλως διὰ τὸ εἰς βορὰν ἐρεθίζειν τῇ κατ' αὐτὸν ψυχρότητι. ὥσπερ καὶ ὕδωρ βορὸν παρὰ Ἀσκληπιάδῃ τὸ βοροποιὸν διὰ ψυχρότητα καὶ τὴν ἐντεῦθεν συμπίληψιν τοῦ αἵματος, καὶ τὴν ἐκεῖθεν κενεαγγίαν. καὶ οὕτω μὲν ἄῤῥοιζον κοινότερον τὸ τρισύλλαβον ὁ βορέης. ὁ δὲ Βοῤῥᾶς, ἑτέρῳ λόγῳ ἐδίπλασε τὸ ἀμετάβολον, σεμνότερον. τοιοῦτόν τι καὶ τὸ στερεὸς, διπλάζων τὸ ¯ρ ἐν τῷ στεῤῥός. Ἰωνικὸν δὲ τὸ Βορέης καθὰ καὶ τὸ κυματίης ποταμὸς παρὰ Ἡροδότῳ. κοινὰ δέ γε, ὁ Βορέας καὶ ὁ κυματίας. Τὸ μέντοι ποδέας Ποδῆς σωσέας Σωσῆς, οὐκ ἂν ἴσως εἶεν Ἰωνικὰ ὡς οὐδὲ τὸ ἑρμέας Ἑρμῆς. ἀλλὰ κρᾶσιν ἔπαθον τοῦ ¯ε καὶ ¯α εἰς ¯η. ἣν δ' ἂν τοιοῦτον καὶ τὸ βορῆς εἴπου ἐν χρήσει εὕρητο. Αἰθρηγενέτης δὲ, οὐ μόνον ὁ αἶθρον ὅ ἐστι ψύχος ποιῶν ὡς καὶ προεῤῥέθη, ἀλλὰ καὶ ὅς ἐστιν εὐδίας αἴτιος. ἢ καὶ ἄλλως, ὁ ἐξ αἰθέρος γινόμενος ὅ ἐστιν ὑψόθεν πνέων. διὸ καὶ κῦμα κυλίνδειν λέγεται. ἵνα ᾖ αἰθρηγενέτης Βοῤῥᾶς, ὁ εὐδίαν ἢ ψύχος ποιῶν ἢ ἐξ ὕψους καταπνέων. Ἰστέον δὲ ὅτι τε πασίδηλον, οἰκεῖον εἶναι ἀνέμῳ Βοῤῥᾷ τὸ κυλίειν κῦμα καθὰ Νότῳ τὸ ὠθεῖν ὡς πολλαχοῦ φαίνεται. καὶ ὅτι πρωτότυπον τοῦ κυλίνδειν, τὸ κυλίειν. καὶ ὅτι ἐκ τοῦ κυλίειν ἀποβολῇ τοῦ κάππα καὶ τροπῇ τοῦ ¯υ εἰς ¯α γίνεται τὸ ἀλίω ἐξ οὗ τὸ, ἄπαγε τὸν ἵππον ἐξαλίσας, οἴκαδε. οὕτω δὲ καὶ ἐκ τοῦ κυλίνδω, γίνεται ἀλινδῶ ὅθεν ἀλινδήθρα ἡ κονίστρα, ἀπὸ δὲ τοῦ πρωτοτύπου κυλίειν, γίνεται καὶ ἡ κύλιξ. παρὰ τὸ κυλίεσθαι τῷ τροχῷ εἴτε τῷ κεραμεικῷ εἴτε τῷ χαλκευτικῷ. διό φασι καὶ τὴν ἰατρικὴν πυξίδα, κυλικίδα ἐκάλουν οἱ Ἀθηναῖοι διὰ τὸ κεκυλίσθαι τόρνῳ. ὡς δὲ ἐκ τοῦ κυλίω καὶ στέφανοί τινες ἐλέγοντο κυλιστοὶ, δηλοῖ φασὶν ὁ κωμικὸς Εὔβουλος ἐν τῷ, κυκλούμενος ὥσπέρ τις κυλιστὸς στέφανος. Νίκανδρος δὲ, ἐκκυλίσιοι φησὶ στέφανοι, καὶ μάλιστα οἱ ἐκ ῥόδων. εἶεν δ' ἂν ἴσως οὗτοι, οἱ διὰ μέγεθος καὶ ἁδρότητα οἷοί τε ὄντες κυλίεσθαι στρεφόμενοι. (ῃερς. 299.) Τὸ δὲ ὤμοι ἐγὼ, σύνηθες Ὁμήρῳ θρηνῴδημα. πολλῶν δὲ καὶ ἄλλων τοιούτων ὄντων, οἶδεν ὁ Σουΐδας καὶ τὸ ὄϊ, κοινότερον μὲν ὂν τοῦ ὠή. ἐπιφθεγγόμενον δὲ ὑπὸ δυσχεραινόντων καὶ φοβουμένων καὶ ὀδυρομένων. (ῃερς. 303.) Τὸ δὲ νεφέεσσι περιστέφει οὐρανὸν, σφαιροειδῆ αἰνίττεται εἶναι τὸν οὐρανόν. σφαῖραν γὰρ ποιεῖ περιελιχθεὶς ὁ κατὰ στέφανον κύκλος. (ῃερς. 313.) Τὸ δὲ ἤλασε κατ' ἄκρης, ἀντὶ τοῦ ἔπληξε κατὰ κεφαλῆς, οὕτω καὶ ἐν Ἰλιάδι τὸ, ὤλετο πᾶσα πόλις κατ' ἄκρης, ἀντὶ τοῦ, κατὰ κεφαλῆς. κεφαλὴ δὲ πόλεως, ἡ ἀκρόπολις. Ὅτι δὲ ὁμώνυμον τὸ ἤλασε, δηλοῖ καὶ ἡ Ἰλιάς. ἔνθα, ὡς ἐπὶ πολὺ, λέξις ἱππικὴ τὸ ἐλάσειν. ὅθεν ἀνήλατός φησι παρὰ Ἀνακρέοντι, ὁ ἀπειθής. ἀπὸ ὑποζυγίων. ὥσπερ καὶ στόμις παρ' Αἰσχύλῳ, ὁ ὥσπερ στόματι ἀντερείδων χαλινοῖς. εἰκὸς δὲ τοὺς τοιούτους καλεῖσθαι οὕτω, καὶ διὰ 1.221 σκληρότητα, ὡς ἀπὸ στομάτων ἤγουν στομωμάτων δυσχερῶς ἐλαυνομένων ἐν τῷ χαλκεύεσθαι. (ῃερς. 316.) Τὸ δὲ ἔαξεν, οὐ μόνον ἐπὶ ἱστοῦ ἐν τῷ, μέσον ἱστὸν ἔαξεν, ἀλλὰ καὶ ἐπὶ κύματος ὡς τὸ, πρὸ δὲ κύματ' ἔαξεν. (ῃερς. 317.) Οἱ δὲ μισγόμενοι ἄνεμοι, καὶ συμπίπτειν ἂν λέγοιντο κατὰ τὸ, σὺν δ' Εὗρος τε Νότος τ' ἔπεσε. (ῃερς. 318.) Σπεῖρον δὲ καὶ ἐπίκριον ὅτι τὸ κατὰ τὸ ἱστίον φᾶρος καὶ τὸ κέρας λέγει, προδεδήλωται. (ῃερς. 319.) Τὸ δὲ ὑπόβρυχα, ἢ ἐκ τοῦ ὑπόβρυξ ὑπόβρυχος γίνεται, ἢ ἐκ τοῦ, ὁ ὑπόβρυχος. οὗ αἰτιατικὴ τὸν ὑπόβρυχον. καὶ κατὰ μεταπλασμὸν, ὑπόβρυχα. ὡς ἐκ τοῦ οἶκον γίνεται τὸ οἴκαδε. ἴσως δὲ καὶ ἐπιῤῥηματικόν ἐστιν ὄνομα. ἵνα λέγῃ ὅτι ἔθηκεν αὐτὸν κατὰ τὰ ὑπόβρυχα. ὠνοματοπεποίηται δὲ ἡ λέξις ὡς δηλοῖ καὶ τὸ, ἀμφὶ δὲ κῦμα βέβρυχε. Τοῦ δὲ δυνάσθη ὁ ἐνεστὼς, δυνάζω ἄχρηστος μὲν πάντως. ποιητικώτερος δέ. γενόμενος ἐκ τοῦ δύνω ἀφ' οὗ καὶ τὸ δύνημι. οὗ παθητικὸν, τὸ δύναμαι. οὗ ὄνομα, δύναμις. καθὰ καὶ ἐκ τοῦ πέτω ἢ πετῶ, τὸ πετάζω ὅθεν ὁ πέτασος, καὶ τὸ πέτημι ἐξ οὗ τὸ πέτανται. πάντως δὲ τῆς ἐκ τοῦ δυνάζειν συστοιχίας εἰσὶ, καὶ ὁ δυνάστης καὶ τὸ δυναστεύειν καὶ ἡ δυναστεία. (ῃερς. 3.) Τὸ δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνσχεθέειν, ἢ ἀντὶ τοῦ ἀνασχεῖν ἤτοι ἀναδῦναι ἀνελθεῖν καὶ ὡς εἰπεῖν ἀνατεῖλαι, ὅπερ ὅμοιόν ἐστι τῷ ἀνέδυ, καὶ κύματος ἐξαναδὺς, ἢ ἀντισχεῖν, κατὰ συγκοπήν. ὡς καὶ ἄντιτα ἐν Ἰλιάδι ἔργα, τὰ ἀντίτιτα. (ηερς. 322.) Τὸ δὲ ἅλμην πικρὴν, κοινῶς ἐῤῥέθη καὶ οὐ κατὰ τὸ, πικρὸν ἀποπνείουσαι ὀδμὴν, ὃ ἐπὶ τῶν φωκῶν ἐλέχθη. ἐκεῖνο γὰρ Ἰωνικὸν καὶ Ἀττικόν. ὡς καὶ τὸ, οἷα τρέφει κλυτὸς Ἀμφιτρίτη. (ηερς. 323.) Τὸ δὲ κελαρύζειν,ὠνοματοπεποίηται, ἦχον δηλοῦν ὑγροῦ ἠρέμα ῥοιζοῦντος ἐν τῷ καταῤῥέειν. καθ' ὅμοιον δέ τι ὠνοματοπεποίηται καὶ ἡ τοῦ Ἡσιόδου λακέρυζα. (ηερς. 324.) Τὸ δὲ τειρόμενός περ, τὸ στεῤῥὸν τοῦ Ὀδυσσέως δηλοῖ. ὃς καὶ οὕτω διαταραχθεὶς οὐκ ἔσχε λήθην τοῦ συμφέροντος. (ηερς. 325.) Τὸ δὲ ἐλάβετο, καὶ ἔλαβεν εἰπὼν, ὅμως καὶ αὐτὸ γενικῇ συντάσσει. ἔφη γὰρ, ἐλάβετ' αὐτῆς, ἤγουν τῆς σχεδίας, καὶ λάβε πέτρης, τουτέστιν ἥψατο. (ηερς. 326.) Τὸ δὲ μέσῃ ἐκάθιζεν, αὐτοπαθῶς ἐῤῥέθη. ὥστε οὐκ ἀεὶ καθίζει τις ἄλλον, ἀλλὰ καὶ αὐτὸς καθίζει. ὃ ταυτόν ἐστι τῷ ἕζεται. (ηερς. 327.) Τὸ δὲ φορεῖν, ταυτὸν τῷ φέρειν. διὸ εἰπὼν τήν δ' ἐφόρει μέγα κῦμα. καὶ (ηερς. 328.) Βορέης φορέῃσιν ἀκάνθας, ἐπιφέρει. ἄνεμοι φέρον. καὶ προβάλεσκε φέρεσθαι. τὸ μέντοι κατὰ τάχος φέρειν, καὶ διώκειν λέγει. οἷον. Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν. (ηερς. 332.) Τὸ δὲ κατὰ ῥόον, παροιμίαν ποιεῖ τὴν λέγουσαν φέρεσθαί τι κατὰ ῥοῦν ἤγουν εὐτυχῶς πλέειν ἢ ὅποι τύχῃ. τοιοῦτον γάρ τοι καὶ τὸ, ἔνθα καὶ ἔνθα κατὰ ῥοῦν φέρεσθαι. ᾧ ὅμοιον καὶ τὸ, ἀνὰ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα. (ηερς. 328.) Ὀπωρινὸς δὲ Βορέης, ὁ ἐτησίας κατὰ τοὺς παλαιούς. Πάνυ δὲ ἀσφαλῶς τὰς ξηρὰς σανίδας τῆς σχεδίας καὶ διατοῦτο ἐλαφρὰς οὐ μὴν δὲ ἀλλὰ καὶ εὖ ἀραρυίας, ἀκάνθαις εἰκάζει θεριναῖς αἳ πρὸς ἀλλήλαις ἔχονται ὅτε ἄνεμος αὐτὰς ἐπείγει κατ' ἀλλήλων, ὡς ἡ κατὰ θέαν πεῖρα δηλοῖ (ηερς. 368.) κατὰ ὅμοιον δὲ λόγον καὶ ἡ ἐφεξῆς ταύτῃ παραβολὴ, καρφαλέων ἀχύρων θημῶνι εἰκάζει τὴν τῶν αὔων καὶ περικήλων ξύλων παράθεσιν. ἃς ὁμοίως τοιούτοις ἀχύροις διασκεδάζει ὁ σφοδρὸς ἄνεμος. Ἔνθα σημείωσαι ὅτι δοκεῖ ταυτὸν εἶναι θημὼν καὶ θωμός. φησὶ γάρ τις παλαιὸς, ὅτι θωμοὶ ἐν τῷ ¯ω οὐχὶ θημοὶ, οἱ τῶν σπερμάτων σωροί. ἴσως δὲ καθ' ὁμοιότητα θωμοῦ, καὶ θώμιγξ τὸ σχοινίον λέγεται. Τὸ δὲ πρὸς ἀλλήλαις ἔχονται, ἀντὶ τοῦ, ἀλλήλαις συνέχονται. (ηερς. 331.) Τὸ δὲ Νότος Βορέῃ προβάλεσκε φέρεσθαι, ἀντὶ τοῦ, προεβάλλετο. παρέῤῥιπται. (ηερς. 367.) Κῦμα δὲ κατηρεφὲς, οὐ μόνον τὸ ὑψηλὸν ἁπλῶς, ἀλλὰ καὶ τὸ καλύπτον δίκην ὀρόφου, ἤτοι ἐοικὸς ὀρόφῳ. (ηερς. 368.) Ζαὴς δὲ ὅτι ὁ πολύπνους ἄνεμος (ηερς. 368.) καὶ ὅτι ἤϊα τὰ ἄχυρα, καὶ ὅτι ὁ θημὼν καὶ θημωνία λέγεται, καὶ ὅτι (ηερς. 369.) καρφαλέον τὸ κατάξηρον ὡς ἀπὸ τοῦ κάρφους ὅ ἐστι ξηρὸν ξυλήφιον, πολλαχοῦ δηλοῦται (ηερς. 368.) νῦν δὲ ὅρα ὅτι καὶ ἐπὶ ἀχύρων λέγεται θημών, καὶ οὐ μόνον ἐπὶ σπερμάτων. Τὸ δὲ τινάσσειν, καιρία λέξις ἐπὶ τοῦ ἀνασαλεύειν. διὸ καὶ δὶς αὐτὸ κεῖται διὰ τὸ καίριον. ὥσπερ καὶ (ηερς. 369.) τὸ διεσκέδασεν ἀντὶ τοῦ διεσκόρπισε. συναπτῶς γὰρ αὐτοῦ ἐν δυσὶ στίχοις κεῖται. (ηερς. 371.) Κέλητα δὲ ἵππον λέγει, τὸν ἄζυγα, τὸν καταμόνας ἐλαυνόμενον. (ηερς. 371.) Ἔνθα ὅρα τὸ καὶ ἀστεῖον καὶ συντομώτατον τῆς παραβολῆς. κέλητι γὰρ ἱππότῃ παρεικάζει, τὸν μιᾷ σανίδι ἐν θαλάσσῃ ἐποχούμενον. εἴληφε δὲ ἴσως ἀφορμὴν ἡ παραβολὴ αὕτη ἐκ τοῦ καὶ τὰς νῆας ἁλὸς ἵππους πρὸ τούτων ῥηθῆναι. ἀλλ' ἐκείνας μὲν, διὰ τὸ πολυσύνθετον, τετρώρου ποιοῦσι παραβολὴν, καὶ ἅρμασιν εἰκάζονται, τὸ δὲ 1.222 ῥηθὲν ἓν ξύλον, κέλητα οἷον ποιεῖ τὸν ἐπ' αὐτοῦ ὀχούμενον. ὅτι δὲ καὶ πλοίου εἶδός τι ὁ κέλης, δηλοῖ ὁ εἰπὼν πέντε κέλητας πεντασκάλμους. ἔνθα ὅρα καὶ ὅτι σκαλμὸς διὰ τοῦ ¯λ. ἔτι δὲ δηλοῖ. τὸ αὐτὸ, καὶ ὁ γράψας οὕτως. ἐπακρίδες, αἱ ἁλιάδες. ἐπακτρεῖς γὰρ οἱ κυνηγοί. ἐπακτροκέλης δὲ, πλοῖον ληστρικὸν μεταξὺ ἐπακτρίδος καὶ κέλητος. ἃ καὶ αὐτὰ, πλοιάρια ἐστί. Παυσανίας δέ φησι καί τινας ἵππους, ἁμίππους. εἰπὼν ὅτι ἅμιπποι, ἵπποι ἐζευγμένοι χωρὶς δίφρου. κληθέντες οὕτως ἐπεί φησιν ἐπὶ δύο κέλητας ἀνέβαινον ὁ μὲν, ἡνιοχῶν. ὁ δὲ, ὁπλίτης. ἀπὸ τοίνυν τοῦ ἅμα ἀμφοτέρους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθίζεσθαι εἰ καὶ ἰδίᾳ φησὶν ἑκατέρους, ἅμιπποι οἱ τοιοῦτοι ἐλέγοντο. ἡ δὲ χρῆσις τοῦ ἅμιππος, καὶ παρὰ Σοφοκλεῖ ἐν Ἀντιγόνῃ. ἀλλ' οἱ μὲν ἅμιπποι, ἑτερεῖοι πρὸς τὸν κέλητα. ὁ δὲ μόνιππος ἀνὴρ, ὅμοιος τῷ κελητίζοντι. φησὶ γὰρ ὁ αὐτὸς Παυσανίας, οὕτω. μόνιππος, ὁ ἐπὶ ἑνὸς ἵππου ἀγωνιζόμενος δρόμῳ. Ἰστέον δὲ ὡς οἶδε μὲν Ὅμηρος τὸν κέλητα καθὰ καὶ ἐν τοῖς ἑξῆς τὸ τέθριππον οὗ χρῆσις ἐν τῷ, ἕξιππα καὶ τέθριππα καὶ ξυνωρίδας. οὐ ποιεῖ δὲ ἥρωας χρωμένους αὐτῷ, εἰ μὴ ἄρα κατ' ἀνάγκην τινὰ ὡς ἐν τῷ δολωνείᾳ ὁ Διομήδης δοκεῖ ποιεῖν. κελητίζει γὰρ ἐκεῖνος ἐκεῖ. ὅτι δὲ πολυώνυμον ὂν τὸ γυναικεῖον αἰδοῖον ἄμβων τε γὰρ λέγεται καὶ χοῖρος καὶ ἐσχάρα καὶ δέλτα, τὸ αὐτὸ καὶ κέλης καλεῖται παρὰ τοῖς κωμικοῖς, οὐκ ἄδηλόν ἐστι. (ῃερς. 374.) Τὸ δὲ χεῖρε πετάσας, προσφυῶς ἐῤῥέθη. ὁποῖα γάρ τι πτηνὸν τανυσίπτερον, καὶ ὁ νηχόμενος διαπεταννύει τὰς χεῖρας. (ῃερς. 375.) Τὸ δὲ νηχέμεναι, ἐνεργητικῶς, καθὰ καὶ τὸ, νῆχε δ' ἐπειγόμενος. καὶ νῆχε παρέξ. λέγεται δὲ τὸ αὐτὸ καὶ παθητικῶς ὡς δηλοῖ τὸ, προτέρω παρανήξομαι. (ῃερς. 384.) Ἀθηνᾶ δὲ Διὸς θυγάτηρ ἀνέμους τοὺς μὲν παύει, τοὺς δὲ ἐγείρει, διὰ τὸ καὶ αὐτὴ ἀλληγορεῖσθαι εἰς ἀέρα περὶ ὃν οἱ ἄνεμοι ὡς καὶ ἐν Ἰλιάδι δεδήλωται. (ῃερς. 385.) Ὁ δὲ Βοῤῥᾶς ὅπως συντελεῖ τῷ Ὀδυσσεῖ καταστῆναι εἰς τὴν τῶν Φαιάκων γῆν, οὐκ εὔπορον καταλαβέσθαι εἴπερ ἐκεῖνος ἐκ τῶν νοτίων ἐπάνεισιν. ἴσως οὖν πλαγιάσας ὁ ἥρως ἐξ ἀνέμων ἀντιπνοίας, δέεται Βορέου εἰς τὸν κατ' εὐθὺ πλοῦν. Κῦμα δὲ πηγὸν, ἢ τὸ εὐτραφὲς καὶ ὡς προεῤῥέθη τροφόεν ἢ τροφέον, ἢ τὸ εὐπαγὲς καθ' ὁμοιότητα ὀρεινοῦ πάγου. ὥς που καὶ ἵπποι πηγοὶ, οἱ στεροί. πῶς γὰρ οὐκ εὐπαγὲς κῦμα, τὸ, ὡς ὁ ποιητὴς ἔφη, κατηρεφές. ἢ καὶ ἄλλως κῦμα πηγὸν, τὸ μέλαν κατά τινα γλῶσσαν. ὅθεν καὶ κριὸς ἐν Ἰλιάδι πηγεσίμαλλος. Ἐν δὲ τῷ δύο καὶ μᾶλλον ὅτε διὰ τοῦ ¯ω μεγάλου γράφεται, ἀπορία ὕπεστιν οὐκ ἀνεύλογος καθὰ καὶ ἐπὶ τοῦ ἄμφω, διότι μὴ ἀναλόγως βαρύνονται αἱ ἐξ αὐτῶν γενικαὶ ἵνα ἦσαν δύοιν καὶ ἄμφοιν, ἀλλὰ περισπῶνται. δυοῖν γάρ φαμεν καὶ ἀμφοῖν. ἔτι δὲ, καὶ διατὶ τὸ δυοῖν, οὐ παραλήγεται τῇ ο¯ι διφθόγγῳ ὡς ἀπὸ τοῦ δοιώ. οἷον δοιώ δ' οὐ δύναμαι ἰδέειν. Ἰστέον δὲ καὶ ὡς εἰ δύο νύκτας καὶ ἤματα ἐπλάζετο κύματι Ὀδυσσεὺς μετὰ τὰς ἑπτακαίδεκα ἡμέρας τῷ δὲ τρίτῳ γαλήνη γέγονεν, ὀρθῶς ἄρα ἐρεῖ ἐν τοῖς ἑξῆς Ὀδυσσεὺς, εἰκοστῷ ἤματι τὸν πόντον ἐκφυγεῖν. (ῃερς. 390.) Ἐν δὲ τῷ, τρίτον ἦμαρ ἐτέλεσεν ἠὼς, σωματικῶς ἡ ἠὼς ἐλέχθη. ἧς ἀποτέλεσμα τὸ ἦμαρ, οἷα θεᾶς τινος μυθικῆς ῥηθήσεται δέ που τοῦτο καὶ ἐν τοῖς ἑξῆς. Τοῦ δὲ εὐπλόκαμος ἠὼς καὶ τοῦ κατ' αὐτὴν πλοκάμου, προϋπάρχει ὁ πλόκος οὗ χρῆσις παρὰ Λυκόφρονι. (ῃερς. 391.) Τὸ δὲ γαλήνη ἔπλετο νηνεμίη, οὐχ' ἁπλῶς φράζεται, ἀλλὰ πρὸς ἀκρίβειαν· διττὴ γὰρ ἡ γαλήνη. ἡ μὲν, τὸ καταστορεσθῆναι τὰ κύματα τέλεον, ὅπερ οὔπω γέγονεν. ἡ δὲ, τὸ παύσασθαι τὸν ἄνεμον, ὃ νῦν γέγονε. κύματα γὰρ ἔτι αἴρονται. (ῃερς. 393.) διὸ φησὶν ὅτι μεγάλου ὑπὸ κύματος ἀρθεὶς Ὀδυσσεὺς, ὀξὺ μάλα προεῖδε τὴν τῶν Φαιάκων. καὶ ἔστι τὸ τοιοῦτον κῦμα, κωφόν. καὶ ὡς ὁ κωμικὸς λέγει, κολόκυμα. ὅ ἐστι, κολοβὸν κῦμα. ὃ διχῶς γίνεται. ὁπηνίκα τὲ ἀνέμου λήξαντος, αὐτὸ ἔτι αἴρεται. καὶ ὅτε δὲ ἀνέμων πνευσόντων ὄσσεται κέλευθα. ὅτι δὲ ταυτὸν κολόκυμα καὶ κωφὸν κῦμα, δηλοῖ ὁ γράψας. κολόκυμα, κωφὸν κῦμα καὶ ἐπικαχλάζον. ἑρμηνεύουσι δὲ κωφὸν ἐνταῦθα οἱ παλαιοὶ, τὸ ἄψοφον καὶ διατοῦτο μὴ δὲ ἐξακουομένην ἔχον τὴν ἠχὴν ᾗ παρῳνυμεῖται ἡ ἠχήεσσα θάλασσα. οὕτω καὶ βέλος ἐν Ἰλιάδι κωφὸν, τὸ ἄῤῥοιζον. κοινῶς μέντοι κωφὸς, ὁ μὴ φθεγγόμενος. ὁ καὶ ἐνεός. οὗ πρὸς ὁμοιότητα, καὶ κῦμα ἐῤῥέθη κωφόν. καὶ βέλος κωφόν. διὸ ἡ Πυθία χρήσασα τὸ, καὶ κωφοῦ ξυνίημι καὶ οὐ λαλέοντος ἀκούω, παραλληλίσασα διεσάφησε. παρὰ δέ γε τοῖς ὕστερον κοινότερον, κωφὸς ὁ τὴν ἀκοὴν βεβλαμμένος. οὗ ῥῆμα ἔγνωσται οὐ μόνον κωφῶ κωφήσω ὡς τὸ, πρὸς κάλλος ἐκκεκώφηνται ξίφη, ἀλλὰ καὶ κωφώσω κατὰ κοινὴν διάλεκτον. Ἡ δὲ ὑπὸ κύματος ἄρσις, ὡς οἷον σκοπιά τις γίνεται τῷ Ὀδυσσεῖ. οὐ γὰρ εἶχεν ἐξ ἐπιπέδου γαλήνης 1.223 τὴν τῶν Φαιάκων πόῤῥωθεν καθορᾶν. δῆλον δὲ ὡς ἀπὸ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γάλατος ἡ γαλήνη. ὅθεν καὶ γαλερὸν κατὰ Παυσανίαν, τὸ γαληνὸν καὶ ἥσυχον καὶ προσηνές. Τὸ δὲ ὀξὺ μάλα προϊδὼν, ὀξυωπίαν προσμαρτυρεῖ τῷ Ὀδυσσεῖ. (ῃερς. 400.) Τὸ δὲ γέγωνε βοήσας, ἀντὶ τοῦ, ἐξάκουστον ἐβόησεν. ἵνα λέγῃ ὅτι βοήσας ἐγνώσθη ἄν. οὐ γὰρ τὸ γεγωνέναι καὶ τὸ γεγωνεῖν καὶ γεγωνίσκειν καὶ τὰ τούτοις σύστοιχα, βοὴν ἁπλῶς δηλοῖ, ἀλλὰ τὸ ἀκουσθῆναι. καὶ ἄλλως δὲ εἰπεῖν, τὸ γέγωνεν, οὐκ αὐτὸ μόνον δι' ἑαυτοῦ δηλοῖ τὸ ἠκούσθη, ἀλλ' ὁμοῦ μετὰ τοῦ βοήσας. καὶ βοῆσαι μέν ἐστι, τὸ κραυγάσαι. γεγωνέναι δὲ, τὸ καὶ γνωστῶς κραυγάσαι. ἔστι γὰρ παρακείμενος μέσος τὸ γέγνωα. ἐξ οὗ κατὰ μετάθεσιν τοῦ ¯ω, γέγωνα κατὰ τοὺς παλαιούς. πολλαχοῦ δὲ τῆς Ὁμηρικῆς ποιήσεως κεῖται τὸ, γέγωνε βοήσας. ἐκ τούτου δὲ, οὐ μόνον ἐπίῤῥημα τὸ γεγωνὸς ἀντὶ τοῦ μέγα, ἀλλὰ καὶ λόγος γεγωνὸς παρὰ Φίλωνι, ὁ προφορικός. ὃν καὶ κλίνας ἐκεῖνος εἰς γενικὴν, τοῦ γεγωνοῦ λόγου φησὶν, ὅ ἐστι τοῦ τρανοῦς ἤδη δὲ καὶ μεγάλου πρὸς διαστολὴν τοῦ ἐνδιαθέτου. καὶ πάντως ἐκ τοῦ τοιούτου γίνεται καὶ τὸ γεγωνότερον, οὐ μὲν ἐκ τοῦ οὐδετέρου τῆς μετοχῆς. (ῃερς. 402.) Τὸ δὲ ῥοχθεῖν, ὠνοματοπεποίηται. καθὰ καὶ τὸ ξερόν. καὶ τὸ ἐρευγόμενον. καὶ τὸ παλιῤῥόθιον. καὶ τὸ βέβρυχε. καὶ ὁ δοῦπος. ἐχρῆν γὰρ ἐπίτηδες πρᾶγμα δύσηχον τὴν τῶν κυμάτων εἰς τὰ ἔξω πρόῤῥηξιν, συχναῖς τραχείαις ἐξαγγεῖλαι φωναῖς. τραχυφωνότερον δὲ τὸ ῥοχθεῖν τοῦ τε ῥοθίου καὶ τοῦ παλιῤῥοθίου. ἔτι δὲ καὶ τοῦ μυθικοῦ Ἁλιῤῥοθίου. ποιεῖ δὲ τὴν πλείω τραχύτητα ἡ τῶν δασέων ἐπαλληλία. Τὸ δὲ ξερὸν ἠπείροιο, καὶ τρηχεῖαν ἔφη ἀκτήν. συνέσταλται δὲ ἐκ τοῦ ξηροῦ τὸ ξερόν. τοιοῦτον δὲ καὶ τὸ νοσηρὸν νοσερόν. εὕρηται γὰρ διχῶς. συνηγοροῖτο δ' ἂν, ἢ καθ' Ἡρακλείδην εἰπεῖν, παρηγοροῖτο τὸ ξερὸν, καὶ ἀπὸ τοῦ ξέω. εὐφυῶς γὰρ ἔχει πρὸς ξέσιν λείαν τὰ ξηρά. μυριαχοῦ δὲ τὸ ἦτα εἰς ¯ε μεταπίπτει σὺν λόγῳ, καθὰ καὶ ἐν τῷ ῥῶ ῥήσω ἔῤῥημαι ἐῤῥέθην. διὰ μὲν γὰρ τὸ ῥῶ ῥήσω, καλῶς ἔχει τὸ ἔῤῥημαι καὶ τὸ ἐξ αὐτοῦ εἴρημαι. διὰ δὲ τὸ ῥέω θέμα, εὖ ἔχει καὶ τὸ ἐῤῥέθην. τὸ δ' αὐτὸ νοητέον καὶ ἐπὶ τοῦ σχῶ σχήσω ἔσχηκα ἔσχημαι ἐσχέθην. καὶ τὸ νοσηρὸν δὲ καὶ νοσερὸν, οὐδ' αὐτὸ ἀλόγως ἔχει. ἀλλὰ τὸ μὲν, τῷ ἦτα παραλήγεται, ὡς ἀπὸ τοῦ νοσῶ νοσήσω μέλλοντος. τὸ δὲ, τῷ ¯ε παρασπίζεται, ὡς ἀπὸ ὁλοκλήρου ἤγουν ἐντελοῦς ῥήματος τοῦ νοσέω. καὶ οὕτω μὲν ἔλλογον συλλαβικὴν συστολὴν ἢ ἔκτασιν τὰ τοιαῦτα πάσχει. ἄλογον μέντοι συστολὴν χρονικὴν καὶ ἔκτασιν παραδιδόασιν οἱ παλαιοὶ, ἐν τῷ, φίλε κασίγνητε. καὶ, ἀνέρες ἐστὲ φίλοι. καὶ ἐν τῷ, Ἆρες Ἄρες βροτολοιγέ. καὶ ἐν τῷ, δαὴρ αὖτ' ἐμός. καὶ, Ἕκτορ ἐμῷ θυμῷ δαέρων φίλτατε, καὶοὕτω μὲν ταῦτα ὡς ἐξ ἀφορμῆς τοῦ ξερὸν κατὰ συστολήν. ἴσως δὲ καὶ ἄλλως τὸ ξερὸν ἐκταθὲν ἐποίησε τὸ ξηρόν. (ῃερς. 403.) Τὸ δὲ εἴλυτο, ἢ ἐκ τοῦ εἴλυμι γίνεται, ἢ ἐκ τοῦ εἰλύω ἐξ οὗ τὸ ἐπειλύω. καὶ εἰλυὸς ὁ φωλεός. ἵνα ᾖ συγκοπὲν ἐκ τοῦ εἰλύετο. ἐκ δὲ τοῦ ῥηθέντος εἰλύω ἢ εἴλυμι, γίνεται καὶ εἴλυμα τὸ κάλυμμα. οἷον. εἴλυμα σπείρων, ὃ ἐν τοῖς ἑξῆς που κεῖται. Ἁλὸς δὲ ἄχνη πόθεν γίνεται, ἡ Ἰλιὰς ἱκανῶς ἐδήλωσε. δηλοῖ δὲ τὸ λεπτὸν καὶ ἀφρῶδες τοῦ ἔξω προσρηγνυμένου κύματος. (ῃερς. 404.) Λιμένες δὲ νηῶν ὄχοι βαρυτόνως ἢ ὀχοὶ ὀξυτόνως, οἱ φυλακτικοὶ τῶν νηῶν, ὡς συνέχοντες αὐτάς. ἢ ἐφ' ὧν νῆες ὀχοῦνται καὶ ἀναπαύονται. δοκοῦσι δὲ καὶ οἱ ναύλοχοι λιμένες ὡς προδεδήλωται ἐκ τοῦ νηῶν ὄχοι λέγεσθαι συνθέτως πλεονασμῷ τοῦ ¯λ. Ἐπιωγαὶ δὲ, ἐξοχαὶ κατὰ τοὺς παλαιοὺς καὶ πλατεῖς αἰγιαλοί. μάλιστα δὲ, τόποι ἀνέμου σκέπην ἔχοντες, ἔνθα καὶ ἰωὴ τουτέστι πνοὴ ἄγνυται μὴ δυναμένη δηλαδὴ προϊέναι. καθ' ὁμοιότητα δὲ τούτου, καὶ κυματωγὴ παρ' Ἡροδότῳ ἡ ἀκτὴ ἔνθα δηλαδὴ τὰ κύματα ἄγνυνται. (ῃερς. 405.) Τὰς δὲ ἀκτὰς, καὶ ῥαχίας οἱ Ἀττικοὶ καλοῦσι. καὶ τὸν τόπον δὲ ᾧ προσαράττει τὸ κῦμα, ῥαχίαν λέγουσιν ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. καὶ ῥάχοι δὲ καὶ ῥαχίαι, παρατείνουσα καὶ τραχεῖα ἠϊών. εὕρηνται δὲ καὶ ῥάχοι, καὶ ἀκανθώδεις καὶ τραχεῖαι ῥάβδοι. Προβλῆτες δὲ ἀκταὶ, ἁπλῶς μὲν, αἱ προβεβλημέναι καὶ μὴ κρυπτόμεναι. τοῦτο δὲ πρὸς διαστολὴν τῶν λιμένων καὶ τῶν ἐπιωγῶν. ἐκεῖ γὰρ οὐ προβέβληται εἰς ἐμφανὲς ἡ ἀκτὴ. καὶ ἔστι μὲν οὐδὲ ἡ ἁπλῶς προβλὴς ἀκτὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγαθὸν ὡς πρὸς λιμένος σύγκρισιν. εἰ δὲ καὶ σπιλάδες εἰσὶ περὶ αὐτὴν καὶ πάγοι, ἀλλὰ τοῦτο χείριστον. καὶ εἰσὶν αἱ τοιαῦται προβλῆτες ἀκταὶ, τόποι πετρώδεις, προνεύοντες εἰς θάλασσαν. Περὶ δὲ σπιλάδων προεγράφη. λέγουσι δὲ τὰ σχόλια, καὶ ὅτι σπιλάδες πέτραι εἰσὶ κοῖλαι διεσχισμέναι τῇ συνεχεῖ τῶν κυμάτων πλήξει. Πάγοι δὲ, πετρώδεις ἐξοχαί. ἢ εἰς ὕψος ἀνέχουσαι ὀξεῖαι πέτραι. ὡς δηλοῖ ἐπαχθὲν τὸ, πάγοι ὀξέες. (ῃερς. 408.) Τοῦ δὲ ἀελπέα ἡ ὀρθὴ, ἀελπής. καὶ ἔστι σημειῶδες 1.224 εἴγε τὸ μὲν ἁπλοῦν, ἐλπὶς ἐλπίδος. τὸ δὲ σύνθετον, ἀελπὴς ἀελπέος. ἔστι δὲ περὶ αὐτοῦ εἰπεῖν ὅτι ἐκ μὲν τοῦ ἐλπὶς, ὁ εὔελπις γίνεται καὶ ὁ δύσελπις. ἐκ δὲ τοῦ ἔλπω ῥήματος, ὁ ἄελπος καὶ ὁ ἀελπής. ὡς ἐκ τοῦ τέρπω, ἡ παρ' Ὁμήρῳ ἄτερπος ὀϊζὺς καὶ ὁ ἀτερπὴς χῶρος. καὶ τοῦτο μὲν, τοιοῦτο. (ῃερς. 409.) Λέγει δ' ἐνταῦθα ὁ ποιητὴς καὶ τὸ πλεῦσαι καὶ διανήξασθαι, διατμῆξαι κῦμα. εἰπών. καὶ δὴ τόδε λαῖτμα διατμήξας ἐπέρησα. (ῃερς. 410.) Τὸ δὲ ἁλὸς πολιοῖο, τῆς παλαιᾶς καὶ αὐτὸ Ἀτθίδος. καθὰ καὶ τό, κλυτὸς Ἀμφιτρίτη. Ἀλλαχοῦ δὲ, πολιὴν ἅλα φησὶν Ἰωνικῶς. δηλοῖ δὲ ὡκαὶ ἐκεῖ ἐῤῥέθη, ἢ τὴν ἔντιμον. ἢ τὴν λευκὴν διά τε τοὺς ἀφροὺς καὶ πρὸς ὁμοιότητα τοῦ, λευκὸν ὕδωρ. Τὸ δὲ ἁλὸς θύραζε, ἀντὶ τοῦ ἁπλῶς ἔξω, πολλαχοῦ φησιν ὁ ποιητής. λέγει δὲ αὐτὸ, ὡς ἐπὶ οἴκου. ἐπεὶ καὶ οἴκησις Ποσειδῶνος καὶ θαλαττίων δαιμόνων ἡ θάλασσα. (ῃερς. 412.) Τὸ δὲ ῥόθιον, ἐπίθετον κύματος ῥοθοῦντος κατὰ ὀνοματοποιΐαν. οἱ δὲ μεθ' Ὅμηρον, τὸ ῥεῦμα οὕτω καλοῦσιν. οἱ δὲ ὕστερον Ἀττικοὶ, τὴν σύντονον εἰρεσίαν οὕτω φασί. καὶ ῥοθιάζειν τὸ ἐρέσσειν εὐτόνως. ἐλέγετο δὲ ῥοθιάζειν, καὶ ὅτε οἱ ναῦται ἐπὶ κώπαις δέκα τυχὸν ἢ καὶ πλείοσι παίοντες, εἶτα ἅμα παυσάμενοι, ὡς ἐκ συνθήματος ἅπαξ ἀνεφώνουν, ὡς καὶ νῦν ποτε γίνεται. καὶ ἔστι τοιοῦτον παρὰ Ἀριστοφάνει τὸ, αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον. παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις. τουτέστι, εὐφημήσατε τὸν δεῖνα ῥοθιάζοντες ναυτικῶς. Τὸ δὲ ἀναδέδρομεν, ὑψιλοὺς εἶναι ὡς καὶ ἐῤῥέθη, τοὺς ῥηθέντας πάγους δηλοῖ. ἵνα οἱ αὐτοὶ, καὶ πάγοι ὀξέες εἶεν καὶ πέτραι ἀνατρέχουσαι. Γλυκέως δὲ ὡς ἐπὶ ἐμψύχων ἀναβαινόντων, λέγεται τὸ ἀνατρέχειν ἐπὶ πετρῶν ὑψηλῶν. καθὰ καὶ τὸ, ἀναδέδρομε πέτρη. μέσος δὲ παρακείμενος τὸ ἀναδέδρομεν, ὡς ἀπὸ ἀῤῥήτου ἐνεστῶτος τοῦ δρέμω ἀφ' οὗ καὶ ὁ δρόμος. (ῃερς. 413.) Ἀγχιβαθὴς δὲ θάλασσα, ὁ βαθὺς αἰγιαλός. καὶ μὴ ἄντικρυς λιμὴν ἢ ἀκτὴ ἀλλὰ ἄγχι βάθους ὢν ὡς μὴ δύνασθαί τινα ἐν κινδύνῳ πόδεσσι στῆναι ἀμφοτέροις καὶ σωθῆναι. καὶ νῦν μὲν, οὐκ ἐπαινετὸν τὸ ἀχιβαθές. ὁ μέντοι ἀγχιβαθὴς λιμὴν, ἐπαινεῖται. (ηερς. 415.) Τὸ δὲ βάλῃ λίθακι ποτὶ πέτρῃ, ἀντὶ τοῦ, προσρίψει πέτρᾳ τινὶ ἐχούσῃ προβολὰς ὀξείας πολλὰς, τοιαύτη γὰρ ἡ λίθαξ πέτρα. εἰ δέ τις τὰς οὕτω λίθακας, καὶ πάγους ὀξέας εἴποι, οὐ φαύλως ἐρεῖ. Καὶ σημείωσαι ὅτι εἰ καὶ παρατετήρηται μὴ εἶναι ὑποκόρισμα παρὰ τῷ ποιητῇ, ἀλλὰ τὸ λίθαξ τοιοῦτον εἶναι δοκεῖ. ὡς γὰρ νέος νέαξ νέακος, καὶ ὥσπερ σκύλαξ σκύλακος, οὕτω καὶ λίθαξ ἡ καὶ λάϊξ. ἔστι γὰρ πέτρα λίθαξ, ἥτις αὐτὴ μὲν μεγάλη ἀνέστηκεν. ἔχει δὲ περὶ αὐτὴν λιθιδίων ἐκφύματα. (ῃερς. 418.) Παραπλῆγες δὲ ἠϊόνες κατὰ τοὺς παλαιοὺς, πάραλοι, πλησσόμεναι ὑπὸ ἁλός. μάλιστα δὲ, αἱ μὴ ἀπεναντίας ἀλλ' ἐκ πλαγίων πλησσόμεναι κύμασιν. αἳ καὶ ποιοῦσι τόπον εὐλίμενον πλαγιαζόμενον τοῖς κύμασι. διὸ καὶ ἐπάγει, λιμένας τε θαλάσσης. ὡς τῆς παραπλῆγος ἠϊόνος, ἀγαθῆς οὔσης ἐλλιμενίσαι. καὶ οὕτω μὲν ὁ ποιητής. οἱ δὲ ὕστερον, παραπλῆγα φασὶ, τὸν ἀπαίδευτον καὶ ἄμουσον καὶ ὡς εἰπεῖν, ἀπῳδὸν, ἐξ ὁμοιότητος τῶν ἀτεχνῶς πληττομένων χορδῶν. ἡ χρῆσις παρὰ τῷ κωμικῷ. τοιούτῳ δὲ παραπλῆγι σύστοιχον, καὶ τὸ παραπλῆγα λύτταν λόγου. (ῃερς. 419.) Ἐν δὲ τῷ, δείδω μή με ἡ θύελλα τό δέ τι βλάψῃ, ἀνελλιποῦς οὔσης τῆς φράσεως, δῆλον ὅτι πρὸ ταύτης τὸ, μή πως μ' ἐκβαίνοντα βάλῃ ποτὶ πέτρῃ, ἐλλιπές ἐστι ῥήματος τοιούτου. ἵνα λέγῃ ὅτι δέδοικα μὴ προσκρουσθῶ τῇ ῥαχίᾳ. καὶ εἰσὶ καὶ ἐν Ἰλιάδι πολλὰ τοιαῦτα σχήματα. ὅμοιον δὲ καὶ παρ' Αἰσχύλῳ τὸ, ὅπως μὴ σαυτὸν οἰκτοῖς ποτε. ἤγουν δέδιθι μὴ πάθῃς οἴκτου ἄξια. (ῃερς. 419.) Τὸ δὲ ἀναρπάξασα θύελλα, οὐ πάνυ πόῤῥω φράζεται τοῦ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνηρείψαντο ἅρπυιαι. εἰ καὶ ἄλλως μὲν ἐκεῖνο, ἑτέρως δὲ τοῦτο νοεῖται. (ῃερς. 421.) Ὁ δὲ τοῦ μεγάλου κήτους φόβος καὶ ὁ τῶν ἐν ὄρει θηρῶν, οὐχ' ἱστορικῶς ἀλλὰ κατὰ τὸ εἰκὸς ἔπεισι τῷ Ὀδυσσεῖ, τὰ μὲν τῶν κακῶν πάσχοντι, τὰ δὲ, ὑποπτεύοντι. (ῃερς. 426.) Τὸ δὲ δρύπτεσθαι καὶ ἀράσσεσθαι ὡς τὸ μὲν ἀπὸ τοῦ δόρυ, τὸ δὲ ἀπὸ τοῦ Ἄρης γίνεται, ἀλλαχοῦ δηλοῦται. εἰσὶ δὲ οἳ καὶ ταῦτα ὠνοματοπεποιῆσθαι φασί. τραχύφωνα δὲ οἰκείως τῷ παρόντι τόπῳ, καὶ τὸ ἐδρύφθη, καὶ τὸ ἐδρύφθη, καὶ τὸ ἀράχθη. (ῃερς. 430.) Παλιῤῥόθιον δὲ κῦμα, τὸ ῥοθοῦν καὶ κατὰ τὴν παλίῤῥοιαν. ἦν μὲν γὰρ ἐκεῖνο ῥόθιον, καὶ ὅτε ἐπιδραμὸν παρῆλθε τὸν Ὀδυσσέα. γέγονε δὲ παλιῤῥόθιον, ὅτε διαύλου τρόπον εἰς θάλασσαν αὖθις ἐκ τοῦ αἰγιαλοῦ ἀποκαθίστατο. οὕτω δὲ σφοδρὸν ἦν, ὥστε τῆς πέτρας ἀποσπάσαν τὸν Ὀδυσσέα οὐχ' ἁπλῶς ἔφερεν ἔσω θαλάσσης, ἀλλὰ τηλοῦ ἔβαλε πόντῳ. τοῦτο δὲ πρὸς ἀγαθοῦ γέγονε τῷ Ὀδυσσεῖ. ἐκεῖθεν γὰρ πλαγίως νηχόμενος εὗρε τόπον ἀκίνδυνον τὸν πρὸς τῷ ποταμῷ. (ῃερς. 432.) Ὁ δὲ πολύπους, μεμέ 1.225 τρηται μὲν τοὺς πόδας εἴπερ ὀκτάπους καλεῖται κοινότερον, δόξαν δὲ οὕτω τοῖς ὀνοματοθέταις, πολύπους λέγεται. καθὰ καὶ ἡ τρίαινα, πολυγλώχιν. ἐν ἄλλοις δὲ, τὸ ἀνάπαλιν γίνεται. ἤγουν ἀντὶ τῆς κατὰ τὸ πολὺ ἀοριστίας, ὡρισμένος τις ἐκφωνεῖται ἀριθμός. Κρήτη γοῦν ἑκατόμπολις ἐν τοῖς ἑξῆς ῥηθήσεται, ἀντὶ τοῦ πολύπολις καθά τινές φασιν. οὕτω δὲ καὶ τῇ τῆς Ἀθηνᾶς αἰγίδι, ἑκατὸν θύσανοι προσυφαίνονται, ἤγουν πολλοί. ὁμοίως καὶ ἑκατὸν δούρατ' ἁμάξης Ἡσίοδος ἔφη. καὶ ἑκατὸν ἔτεα παῖδα παρὰ μητρὶ ἀτιτάλλεσθαι. σὺν ἄλλοις δὲ, καὶ ὁ Ὁμηρικὸς ἑκατόγχειρ τοιαύτην ἔννοιαν ὑποβάλλει. ἵνα ᾖ ἑκατόγχειρ, ὁ πολύχειρ. Ἡ δὲ κατὰ τὸν πολύποδα παραβολὴ, ἐναντιότητα δοκεῖ ἔχειν πρὸς τὸ προκείμενον πρᾶγμα. ὁ μὲν γὰρ πολύπους τῆς θαλάσσης ἐξελκόμενος, ἀνασπᾷ λάϊγγας ὅ ἐστι λιθίδια πρὸς ταῖς κοτυληδόσιν ἐχόμενα. Ὀδυσσεὺς δὲ ἀφῆκέ τι τοῦ σώματος πρὸς ταῖς πέτραις. φασὶ γοῦν οἱ παλαιοὶ, ὅτι ἡ παραβολικὴ ἐνταῦθα ὁμοίωσις πρὸς μόνον γίνεται τὸ στεῤῥὸν τῆς ἀντοχῆς. ὡς γὰρ ὁ πολύπους αἴρει τι τῶν λίθων ἀντεχόμενος, οὕτως Ὀδυσσεὺς ἀφίησί τι τοῦ κατὰ τὰς χεῖρας ῥινοῦ πρὸς τῇ πέτρᾳ. καὶ μία αἰτία ἀμφοῖν τοῦ τε ἀφεῖναί τι πρὸς ταῖς πέτραις, καὶ τοῦ ἀποσπασαί τι ἀπ' αὐτῶν, ἡ βιαία δηλαδὴ ἀντοχὴ τῶν κοτυληδόνων καὶ τῶν χειρῶν. δῆλον δ' ἐκ τῶν παλαιῶν, καὶ ὡς δύσριγον ὁ πολύπους. καὶ ὡς ἀντέχεται τῆς οἰκείας θαλάμης, ἵνα θερμαίνων, ἀντιθάλπηται ὑπ' αὐτῆς κατά τινα φερωνυμίαν. ἐπειδὴ ἀπὸ τοῦ θάλπειν δοκεῖ γίνεσθαι ἡ θαλάμη καθὰ καὶ ὁ θάλαμος. Ὅρα δὲ ὡς ἐν τοῖς κατὰ τὸν Ὀδυσσέα ἐφιλοτιμήσατο δι' ἐνέργειαν ταῖς παραβολαῖς ὁ ποιητής. τέσσαρες γὰρ ἐν τοῖς εἰρημένοις κεῖνται παραβολαί. Τὸν δὲ πολύποδα, πούλυπον μὲν Ἀττικοί φασιν ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ, καὶ πολύπουν. Ἴωνες δὲ καὶ Δωριεῖς καὶ Αἰολεῖς, πώλυπον. ὅτι δὲ καὶ πώλυψ ὁ αὐτὸς παρὰ τοῖς τοιούτοις, ἐδηλώθη καὶ ἀλλαχοῦ. ὅτι δὲ καὶ ἀμφίβιος ὁ πολύπους, καὶ ὅτι καὶ τῇ ἐλαίᾳ χαίρει, καὶ συκέαις δὲ φιληδεῖ προσπεφυκυίαις θαλάσσῃ, καὶ ὡς ἐφωράθησαν πολύποδες καὶ τῶν σύκων ἐσθίοντες, δῆλον ἐκ τῶν παλαιῶν. παρ' οἷς κεῖται, καὶ ὅτι νόμος παρὰ Τροιζῆνα, οὔτε τὸν ἱερὸν καλούμενον πολύπουν οὔτε τὸν κωπηλάτην πολύπουν θηρεύειν. ἀπεῖπον γάρ φασι, τούτων τε καὶ τῆς θαλαττίας χελώνης μὴ ἅπτεσθαι. πολλῶν δὲ ὄντων ἃ φέρεται περὶ πολύποδος, ἐκεῖνα ἐπιτμητέον, ὅτι ὁ πoὺς μὲν, οὐκ ἔχει μονοσύλλαβον αἰτιατικὴν κατὰ τὸν βοῦν καὶ τὸν νοῦν, τὸ δὲ σύνθετον ἔχει, τὸν πολύπουν γάρ φαμεν, καὶ τὸν Οἰδίπουν καὶ τὸν τρίπουν λέβητα παρ' Αἰσχύλῳ. καὶ ὅτι τὸν ὡς ἐῤῥέθη Αἰολικὸν καὶ Δωρικὸν διὰ τοῦ ¯ω μεγάλου πώλυπον, παρὰ Ἐπιχάρμῳ ἔστιν εὑρεῖν. ἔστι γάρ φασι παρ' ἐκείνῳ παθητικὸν πώλυποι. παρὰ δὲ Σιμωνίδῃ τὸ, πώλυπον διζήμενος. καὶ ὅτι τὰ μὲν ἄλλα μαλάκια, εὔθετα πρὸς ἡδονὴν ἁπλῶς καὶ ἀφροδίσια, μάλιστα δὲ οἱ πολύποδες. καὶ ὅτι θολὸν καὶ ὁ πολύπους ἔχει ἐν τῷ λεγομένῳ μήκωνι, οὐ μέλανα κατὰ τὴν σηπίαν, ἀλλ' ὑπένυθρον. καὶ ὅτι ὁ ῥηθεὶς μήκων ὃν καὶ σηπία, ἔχει. ὅρα δὲ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ, ὁ μήκων ἀρσενικὸν, κεῖται ἐπάνω τῆς κοιλίας, οἱονεὶ κύστις. καὶ ὅτι λέγεται ἂν ἀπορήσῃ τροφῆς, αὐτὸν κατεσθίειν. ὅθεν εἴρηται τὸ, ἔδωδ' ἐμαυτὸν ὡς πολύπους. καὶ ὅτι τοῦτο φασί τινες ψεῦδος εἶναι. ὑπὸ γὰρ τῶν γόγγρων διωκόμενον, ἀδικεῖσθαι τοὺς πόδας. καὶ ὅτι λέγεται ὡς εἴ τις ταῖς θαλάμαις αὐτοῦ ἅλας σπείρῃ, εὐθέως ἔξεισι. καὶ ὅτι φεύγων, μεταβάλλει φόβῳ τὰς χρόας, ἐξομοιούμενος τοῖς τόποις ἐν οἷς κρύπτεται. διὸ Κλέαρχός τις ἔφη. πουλύποδός μοι τέκνον ἔχων νόον Ἀμφίλοχ' ἥρως, τοῖσιν ἐφαρμόζου ὧν κεδῆμον ἵκηαι. ὁ δὲ τοιοῦτος νοῦς τὸν πολύτροπον πολύποδα σκώπτει. καὶ ὅτι εἴπερ ἱστορεῖται ὁ πολύπους λίαν ἀνόητος εἶναι, διωκόμενος τε γὰρ ἔστιν ὅτε οὐ φεύγει, καὶ πρὸς τὴν χεῖρα δὲ τῶν διωκόντων βαδίζει. ὅθεν εἴρηται τὸ εἶναί τινα ἠλίθιον νοῦν τε πολύποδος ἔχοντα, οὐκ ἄρα τὴν συνεξομοίωσιν τὴν πρὸς τοὺς τόπους φρονίμως αὐτὸς ποιεῖ, ἀλλ' ὁ φόβος ἀληθῶς αὐτὸν ἀλλοιοῖ. καὶ ὅτι λέγεται μηδὲ γίνεσθαι πολύποδας περὶ Ἑλλήσποντον. κατὰ δέ τινας, μηδὲ περὶ τὸν Εὔξεινον. ψυχρὰ γάρ φασιν ἡ θάλασσα αὕτη καὶ ἧττον ἁλμυρά. ταῦτα δ' ἄμφω, πολέμια πολύποδι. καὶ ὅτι ὁ τραγικὸς Ἴων μεμφόμενος τὸ τοῦ πολύποδος εὐμετάβλητον, ἀκολούθως δ' αὐτῷ καὶ τὸν παλίμβολον ἄνθρωπον, λέγει. τὸν πετραῖον πλεκτάναις ἀναίμονα στυγῶ μεταλλακτῆρα πολύπουν, χροός. Ὅρα δὲ τὸ, θαλάμης ἐξελκομένου, τότε γὰρ ἀντέχεται ὁ πολύπους μάλιστα. ὡς εἰ καί τις πατρίδος βιαίως ἀπάγοιτο ἢ οἴκου. δῆλον δὲ, ὡς θάλαμος μὲν, ἐπὶ λογικῶν. θαλάμη δὲ, ἐπὶ ἀλόγων. ὅτι δὲ θαλάμη μὲν, ἀεὶ βαρυτόνως ὡς παλάμη, τὸ δὲ πληθυντικὸν αὐτῆς πρὸς διάφορον σημασίαν ὠξυτονήθη, δηλοῖ ὁ ἱστορήσας θαλαμὰς ἐν ὀξείᾳ τάσει. καὶ εἰπὼν ὅτι 1.226 θαλαμὰς ὡς ἀγαθὰς, Διοσκούρων ἱερὸν σημαίνει. θαλάμας δὲ βαρυτόνως ὡς μεγάλας, καταδύσεις μηνύει. Μνηστέον δ' ἐνταῦθα καὶ ὅτι θαλάμη οὐ τῷ πάλαι καὶ Ὁμηρικῷ ἀλλὰ τῷ παρὰ τοῖς ὕστερον νυμφικῷ, παρωνόμασται ὁ ἐπιθαλάμιος λόγος. περὶ οὗ γράφεται ὅτι ἐπιθαλάμιον μὲν, τὸ ἐπὶ θαλάμῳ τῆς γαμουμένης γραφέν. γαμήλιον δὲ, ὃ οὐ περιώρισται χρόνῳ. τάττεται δὲ ἡ λέξις φασὶ, καὶ ἐπὶ δωρεᾶς ἐν γάμῳ διδομένης. ὅτι δὲ θαλάμου παρώνυμος καὶ ὁ τριηρικὸς θαλάμαξ, οἶδεν ὁ μαθών. Κοτυληδόνες δὲ αἱ τοῦ πολύποδος πλεκτάναι, ἀπὸ μέρους τουτέστιν ἀπὸ τῶν βραχυτάτων κοτυληδόνων αἳ πρανεῖς ταῖς πλεκτάναις ὑπόκεινται, ὅμοιαι οὖσαι κοτυλιδίοις κοίλοις ἀφ' ὧν καὶ παρονομάζονται. δῆλον δ' ὅτι ταύταις ὁ πολύπους ἀντέχεται τῶν πετρῶν κρατερῶς. ὧν ἑκάστη συσπῶσα ἑαυτὴν καὶ προσφυομένη τῇ τῆς πέτρας ἐπιφανείᾳ κολλητικῶς, ἔχεσθαι ποιεῖ τὸν πολύποδα τοῦ ὑποκειμένου, ὅσα καὶ κισσὸν δρυὸς ἤ τινος ἄλλου. (ῃερς. 434.) Θρασείας δὲ χεῖρας νῦν τὰς τοῦ Ὀδυσσέως ἔφη, διὰ τὸ οὕτω τλῆμον καὶ θαῤῥαλέον αὐτοῦ. (ῃερς. 438.) Τὸ δὲ κύματος ἐξαναδὺς ἃ ἐρεύγεται εἰς ἤπειρον, καινῶς μὲν ἐσχημάτισται, ἐχρῆν γὰρ εἰπεῖν, ὃ ἐρεύγεται. πλὴν οὐκ ἦν ἄλλως εἰπεῖν. εἰ γὰρ καὶ ἑνὸς κύματος ἐξανέδυ Ὀδυσσεὺς, ἀλλ' οὐχ' ἓν κῦμα ἔξω ἠρεύγετο. ἔχει γοῦν τὸ σχῆμα ἐλλιπῶς. τὸ δὲ τέλειον, οὕτως. κύματος ἐξαναδὺς ἐκείνου ἑνὸς τῶν πολλῶν ἃ ἐρεύγεται ἤπειρόν δέ. (ῃερς. 439.) Τὸ δὲ νῆχε παρὲξ, ἀντὶ τοῦ, οὔτε πάνυ πόῤῥω τῆς γῆς, δέδιε γὰρ μήπως αὐτὸν αὖθις ἀναρπάξῃ θύελλα. οὔτε αὖθις ἐν χρῷ τῆς γῆς, ἵνα μὴ ταῖς πέτραις προσαραχθῇ. καὶ δηλοῖ συνήθως κἀνταῦθα ἡ μὲν π¯αρα, ἐγγύτητα τὴν πρὸς τῇ γῇ. ἡ δὲ ¯εξ ἄπωσιν τὴν ἐν θαλάσσῃ. Ὅρα δὲ ὅτι παρὲξ ἔφη, μὴ συντάξας τὸ ἐπίῤῥημα πτώσει τινὶ ὡς ἐν ἄλλοις ἐποίει. οἷον παρὲξ ἅλα. καὶ, παρὲκ νόον. (ῃερς. 455.) Τὸ δὲ ᾤδεε χρόα, ἀντὶ τοῦ, ἐξώγκωτο. ἐκ τοῦ οἰδέω οἰδῶ. εὕρηται δὲ ἐν παλαιοῖς βιβλίοις καὶ ἀντὶ τοῦ ὤζεεν, ὡς ἀπὸ τοῦ ὀζῶ τροπῇ συνήθει τοῦ ¯ζ εἰς ¯δ. τοῦ δὲ ὀζῶ κοινῶς μὲν, ὁ μέλλων διὰ τοῦ ¯ε, ὀζέσω γάρ. ὁ δὲ κωμικὸς ἐν ταῖς σφηξὶν, ὀζήσω φησὶ διὰ τοῦ ¯η. Τὸ δὲ θάλασσα κήκιεν, ἀντὶ τοῦ, ὕδωρ θαλάσσιον κατέῤῥεν. ὥσπερ καὶ ἐν Ἰλιάδι, ἱδρὼς κήκιε. (ῃερς. 457.) Τοῦ δὲ ὀλιγηπελέων, ἔστι καὶ ὄνομα ἐν τοῖς ἑξῆς ἡ ὀλιγηπελία, ὅ ἐστιν ὀλιγοψυχία. ἔστι γὰρ ὀλιγηπελέειν, τὸ ὀλίγον τινὰ πέλειν. ἢ ὀλιγοῦσθαι τὸ εἶναι διά τι πάθος φθοροποιόν. ὁποῖον καὶ ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰνὸς κάματος. (ῃερς. 299.) Ὅτι καταποικίλλων πανταχοῦ πολυειδῶς καὶ τὴν ποίησιν ταύτην Ὅμηρος παραπλέκει τῷ τοῦ Ὀδυσσέως κινδύνῳ καὶ ἠθοποιΐας τινάς. φησὶ γοῦν ἐν προοιμίοις τοῦ κακοῦ, ὅτι ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν. ὤμοι ἐγὼ δειλός. τί νύ μοι μήκιστα γένηται. λέγει δὲ καὶ δεδιέναι μὴ νημερτέα ἡ Καλυψὼ εἴπῃ, φαμένη ἐν πόντῳ αὐτὸν πρὶν εἰς τὴν πατρίδα ἐλθεῖν, ἄλγε' ἀναπλήσειν. ἐκφοβεῖ δὲ αὐτὸν καὶ τὸ νέφεσι περιστέφεσθαι (ῃερς. 303.) τὸν οὐρανὸν ἤτοι τὸν ἀέρα ὡς προγέγραπται. καὶ τὸ ταράσσεσθαι τὸν πόντον. καὶ τὰς ἀέλλας τῶν ἀνέμων ἐπισπέρχειν. καὶ φησί. (ῃερς. 305.) νῦν μοι σῶς αἰπὺς ὄλεθρος. ὃ κεῖταί που καὶ ἐν Ἰλιάδι. καὶ ὅτι τρισμάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' ὄλοντο Τροίῃ ἐν εὐρείῃ χάριν Ἀτρείδῃσι φέροντες. καὶ δὴ ἔγωγ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν ἤματι τῷ, ὅτε μοι (ῃερς. 310.) πλεῖστοι χαλκήρεα δοῦρα Τρῶες ἐπέῤῥιψαν περὶ Πηλείωνι θανόντι. ὅτε δηλαδὴ Ὀδυσσεὺς, μὲν, ἐβάστασε τὸν Ἀχιλλέα νεκρὸν, Αἴας δὲ ὑπερήσπιζεν. οὕτως ἂν ἔλαχόν φησι κτερέων, καί μευ κλέος ἦγον Ἀχαιοί. νῦν δέ με (ῃερς. 312.) λευγαλέῳ θανάτῳ ὅ ἐστιν ὀλεθρίῳ παρὰ τὸν λοιγὸν ἢ θανασίμῳ παρὰ τὸ λέγω τὸ κοιμίζω εἵμαρτο ἁλῶναι. ὁποῖος δηλαδὴ σὺν ἄλλοις καὶ ὁ ἐν θαλάσσῃ. Ὅρα δὲ τὸ, πρὸς ὃν μεγαλήτορα θυμόν. τὸ γὰρ ἐναγώνιον, οὐκ ἐδίδου καὶ ἐκλαλεῖσθαι τὰ κατὰ θυμόν. ἡ μέντοι Ὁμηρικὴ Μοῦσα οἶδεν αὐτὰ κἂν εἰ μὴ ἐξεβοῶντο. ἐν δὲ τοῖς ἑξῆς τὸ, εὔξατο ὃν κατὰ θυμὸν, ἄλλον ἔχει λόγον. ἐκεῖ γὰρ καὶ τὸ ὕδωρ προσπελάζον τοῖς χείλεσιν, οὐκ ἀφίησι προφορικῶς εὔχεσθαι. πρὸ δὲ τούτων ὁ Ποσειδῶν μυθικῶς κινήσας τὴν κεφαλὴν προστί ὃν μυθήσατο θυμὸν; διὰ τὸ μόνος εἶναι καὶ μὴ ἔχειν τινὰ ᾧ ἂν μυθήσεται. (ῃερς. 299.) Τὸ δὲ ὤμοι ἐγὼ δειλὸς, καινότερον ἐσχημάτισται. τὸ γὰρ κοινὸν καὶ οὐδὲ ἔμψυχον, ὤμοι τῷ δειλῷ. Τὸ δὲ τί νύ μοι μήκιστα γένηται, ἀντὶ τοῦ, τίνα μοι κακὰ μείζω γενήσεται. εἰ δὲ γράφεται μήχιστα, ἐρωτᾷ τί ἄν μοι γένοιτο μῆχος ἤτοι μηχανή. (ῃερς. 302.) Τὸ δὲ ἄλγε' ἀναπλήσειν, ἀντὶ τοῦ ἐντελῶς παθεῖν καὶ πληρέστατα. γράφεται δὲ καὶ ἀνατλήσειν. (ῃερς. 306.) Τὸ δὲ καὶ τετράκις, ἀφελῶς εἴρηται καὶ πρὸς οὐδὲν μέγα. ἐν γὰρ τῷ τρισμάκαρες, καὶ τὸ τετράκις καὶ τὰ ἐφεξῆς νοοῦνται. οὐ γὰρ ὥρι 1.227 σται τὸ τρισμάκαρες, ἀλλ' ἀντὶ τοῦ πολυμάκαρες λέγεται. εἰ μὴ ἄρα κατὰ Πινδαρικὴν ἔννοιαν οἱ ἐξηγηταὶ δηλοῦσιν ἐκεῖ, τὸ τρισμάκαρες καθὰ καὶ τὸ τρισάθλιοι, τριαδικὸν αὐτὸ δὴ τοῦτο μόνον δηλοῦσιν ἀριθμόν. εἰ δὲ καὶ τοῦτο, ἀφελῶς πάλιν εἴρηται τὸ τετράκις καὶ οὐδέν τι μεγαλεῖον ἔχει, οἷα ἐν κινδύνῳ ἀσκέπτως ῥηθέν. μεῖζον γὰρ ἦν, πεντάκις ἢ δεκάκις ἢ τοιοῦτόν τι εἰπεῖν. Σημείωσαι δὲ καὶ ὅτι ἀπὸ συνθέτου τοῦ, τρισμάκαρες, ἰδίᾳ λαβὼν ἔθετο τὸ, καὶ τετράκις. ὡς εἴπερ καὶ ἐκεῖ τὸ τρὶς μὲν ἰδίᾳ ἔκειτο ἰδίᾳ δὲ αὖθις τὸ μάκαρες. ὅμοιόν τι καὶ ἐν τοῖς ἑξῆς τὸ διοθανέες ὅτε ἅπαξ θνήσκουσ' ἄνθρωποι. Σημείωσαι δ' ἐν τῷ τρισμάκαρες, οὕτω δὲ καὶ ἐν τῷ, νῆσοι μακάρων, καὶ τῷ, μακάρεσι θεοῖσιν, ὅτι τὸ μάκαρ, οὐκ ἔσχεν ἀποκοπὴν ἐκ τοῦ μακάριος. οὐ γὰρ ἂν ἀποκοπὲν ἐκλίνετο. τὰ γὰρ οὕτω παθόντα μένουσι τοῦ λοιποῦ ἀμετάβατα εἰς κλίσιν, ὡς οἷα ποδῶν ἐκοπέντα τῶν ἐν αὐτοῖς τελευταίων συλλαβῶν αἷς αἱ μεταβάσεις τῶν κλίσεων γίνονται. τὸ γοῦν δῶ καὶ τὸ κρῖ καὶ ὁ παρὰ τῷ γεογράφῳ ἧλ δαιμόνιος ἀποκεκομμένα ἐκ τοῦ δῶμα καὶ κρίμνον καὶ ἧλος, οὐκέτι κινοῦνται. οὕτω δὲ καὶ τὸ νίφα καὶ σκέπα τὰ τοῦ Ἡσιόδου καὶ τἄλλα. οὔκουν ὁ μάκαρ ἀπεκόπη ἐκ τοῦ μακάριος, ἀλλὰ πρωτότυπον αὐτὸ ἐκείνου ἐστί. διὸ ὡς Καίσαρ καίσαρος καισάριος, οὕτω μάκαρ μάκαρος μακάριος. ἐξ οὗ κατὰ συγκοπὴν ὁ μάκαρς, πρὸς ὁμοιότητα τοῦ ἃλς ὁ ἐκ θαλαττίου ὕδατος συμπαγεὶς, οὗ προϋπάρχει ὁ ἅλιος. διὸ καὶ κλίνεται ὥσπερ ὁ ἃλς τοῦ ἁλτὸς, καὶ ἐξωθήσει τοῦ ¯τ ἁλὸς διὰ κανόνα γραμματικὸν, οὕτω καὶ μάκαρς μάκαρος. ἀφ' οὗ μακάρτατος μακαριώτατος. εἰ μή τι ἄρα καὶ αὐτὸ ἐκ τοῦ μακαριώτατος συγκέκοπται. Τὸ δὲ οἳ τότ' ὄλοντο, πολὺν μὲν ἔχει νοῦν. γοργότατα δὲ εἴρηται. πότε γὰρ τότε; ὅτε πάντως Ἑλένη μὲν ἡρπάγη. Ἀχαιοὶ δὲ ἔπλευσαν. καὶ τὰ, καὶ τὰ ἐγένετο. ἐν οἷς καὶ τὸ τοῦ Ἀχιλλέως πτῶμα καὶ τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπ' αὐτῷ. αἴτιον δὲ καὶ τῆς γοργότητος ταύτης ὁ κινδυνώδης καιρὸς, οὐκ ἐφιεὶς πολυλογεῖν. Σημείωσαι δὲ ὁποῖόν τι ὁ ἄνθρωπος ἐν τοῖς κατὰ τὸν βίον. καὶ ὡς πρὸς τὰς τύχας, τὰς φρένας κέκτηται. Ὀδυσσεὺς γὰρ ὁ ἐν Τροίᾳ ἐξ ἅπαντος τρόπου ζωὴν ἑαυτῷ περιποιούμενος, μακαρίους ἐνταῦθα ἡγεῖται τοὺς ἐκεῖ θανόντας ὅθεν αὐτὸς ἐῤῥύσθη. μυρία δὲ καὶ ἄλλα ὁσημέραι τοιαῦτα παλίντροπα ἤθη παραφαίνονται κατὰ τὸ πάντη ἀναγκαῖον. οὕτω καὶ Πτολεμαίου τοῦ βασιλέως περιᾴδεται τὸ, ὦ τάλας ἐγὼ τὸ μὴ δὲ τούτων ἕνα γενέσθαι με. εἶπε δὲ τοῦτο ἐκεῖνος, ὅτε ποδαγρῶν καὶ ἰδὼν Αἰγυπτίους περὶ τὸν ποταμὸν ἐπὶ τῆς ἄμμου ἐῤῥιμμένους ἀριστοποιουμένους ὥς φησιν Ἀθήναιος καὶ τὰ τυχόντα προσφερομένους, ἐπαθήνατο. Καὶ σημείωσαι τὸ σχῆμα τοῦ βασιλικοῦ λόγου. ὅπερ ἐστι, τὸ μὴ δὲ τούτων ἕνα γενέσθαι. ἤγουν ὅτι μὴ δὲ τούτων εἷς ἐγενόμην. ληφθὲν ἐκ τοῦ κωμικοῦ εἰπόντος ἐν νεφέλαις. τὸ δὲ μὴ κυνῆν ἐλθεῖν ἐμὲ τὸν ταπεινὸν ἔχοντα. ἤγουν ὅτι μὴ ἦλθον ἔχων οἴκοθεν σκέπασμα κεφαλῆς. καὶ ἔστιν ἐλλειπτικόν. οἷον λέγῃ ὁ μὲν βασιλεὺς, ὡς δυστυχὲς γέγονέ μοι τὸ μὴ δὲ τούτων ἕνα γενέσθαι. ὁ δὲ τῆς κωμῳδίας ἄνθρωπος, ὅτι ἀπρομήθευτόν μοι συνέβη τὸ μὴ φέρειν κατακάλυμμα κεφαλῆς ἐπὶ ὑετῷ. Ἰστέον δὲ ὅτι αἱ συνθέσεις τοῦ τρὶς ἐπιῤῥήματος, ποτὲ μὲν ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, αὐτόχρημα τριάδα δηλοῦσιν, ὡς ἐν τῷ τρισμάκαρες καὶ τετράκις καθὰ εἴρηται. ποτὲ δὲ, πλῆθος σημαίνουσιν. ὡς ἐν τῷ, τρισγαρμύριοί εἰσι παρ' Ἡσιόδῳ. καὶ ἐν τῷ, ἀλλ' ὦ τρισκεκορημένε Σμερδίῃ παρὰ Ἀνακρέοντι. ἤγουν πολλάκις ἐκσεσαρωμένε. καὶ Θάσον δὲ τὴν τρισοιζυρὴν πόλιν παρὰ Ἀρχιλόχῳ. ἤτοι τὴν λίαν ὀϊζυράν. οὕτω δὲ καὶ ὁ γράψας ὅτι στίχων καὶ πέδων δοῦλος ὁ στιγματίας. καὶ πεδήτης παρὰ Ἀριστοφάνει. μετ' ὀλίγα λέγει ὅτι τριπαίδων, ὁ τρίδουλος. καὶ ὥς που προεγράφη, τρίπρατος. Ἱππῶναξ δὲ ὑπεραναβὰς τοῦτο, φησὶν ἀφέω τοῦτον τὸν ἑπτάδουλον. τοῖς δὲ ἀνωτέρω ῥηθεῖσιν, ὅμοιον καὶ τὸ τρισεξώλης. ὅτι δὲ τὸ αὐτὸ τρὶς, οὐκ ἀεὶ φυλάσσει τὸ σίγμα συντεθὲν ἀλλ' ἀποβάλλει αὐτὸ, δῆλον ἐκ τοῦ τρίπαλαι. καὶ τρίπους. καὶ τρίδουλος. καὶ ἄλλων μυρίων. (ῃερς. 307.) Τὸ δὲ χάριν φέροντες εἶπεν ἐν τῇ ¯γ ῥαψῳδίᾳ. (ῃερς. 310.) Τοῦ δὲ δοῦρα ἐπέῤῥιψαν, οὐκ ἔστι καιριωτέραν λέξιν εὑρεῖν. κρεῖττον γάρ ἐστι καὶ τοῦ ἀφῆκαν. ἐπὶ μέντοι ὀϊστῶν, οὐκ ἂν εἴη καίριον. ἀλλὰ μᾶλλον οἰκεῖον ἐκεῖ τὸ ἀφῆκαν. ἐπεὶ καὶ ἀπὸ τοῦ ἵημι γίνεται ὁ τοιοῦτος ἰός. τὸ δέ γε βάλλειν, ἕτερόν ἐστι τοῦ ἐπιῤῥίπτειν καὶ ἀφιέναι. αὐτὸ γὰρ, ἀντὶ τοῦ, ἐπιτυχεῖν λέγεται. Τὸ δὲ περὶ Πηλείωνι, ὅμοιον τῷ, ἀμφ' Ὀδυσσῆϊ ὅπερ ἀνωτέρω κεῖται. (ῃερς. 311.) Τὸ δὲ ἔλαχον κτερέων, ἀντὶ τοῦ, ἔτυχον ὡς καὶ ἐν ἄλλοις πολλαχοῦ κεῖται. οἱ δὲ μεθ' Ὅμηρον, αἰτιατικῇ συντάσσουσι τὸ λαχεῖν. (ῃερς. 333.) Ὅτι ἐθὰς ὢν ὁ ποιητὴς τοῦ ἐν μεγάλοις καὶ μάλιστα ἐπικινδύνοις πράγμασι θεῖα εἰσά 1.228 γειν πρόσωπα, καὶ συγκιρνᾶν ἀγαθῷ τινι τὸ ἄκρατον τοῦ κακοῦ ἢ καὶ παντελῶς ἀπάγειν αὐτὸ, ποιεῖ τοῦτο καὶ νῦν. καὶ ἐπεὶ μέγα τὸ τοῦ κινδύνου κακὸν ἦν τῷ Ὀδυσσεῖ καὶ πάντῃ ἄφυκτον, πλάττει τὴν Λευκοθέαν ἀναφανεῖσαν ἐκ μέσων τῶν κυμάτων καὶ τὰ δυνατὰ πιθανῶς βοηθήσασαν. ὡς μή τε τῷ Ποσειδῶνι παντελῶς ἀντιπεσεῖν, μή τε τὸν Ὀδυσσέα προλιπεῖν ἀβοήθητον. βοηθεῖ δὲ, διὰ τοῦ κατ' αὐτὴν κρηδέμνου ὡς ἐφεξῆς ῥηθήσεται. ἀστεῖον δὲ τὸ Λευκοθέας ἐπεισόδιον. ἱστορίαν τε γὰρ ξενικὴν ἐπεισάγει, καὶ Ὁμηρικὸν ἔθος πληροῖ, θεῖον ἐν κινδύνῳ εἰσαγομένη πρόσωπον. καὶ τὸ ἄπορον λύει τοῦ, πῶς Ὀδυσσεὺς οὐκ ἔπαθέ τι δεινὸν πέτραις προσαραχθείς. ἔστι δὲ ὁ περὶ τῆς Λευκοθέας λόγος τῷ ποιητῇ, οὗτος. τόν δ' εἶδε Κάδμου θυγάτηρ καλλίσφυρος Ἰνώ. Λευκοθέη. ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα. νῦν δ' ἁλὸς ἐν πελάγεσσι, θεῶν ἐξέμμορε τιμῆς. αὕτη τὸν Ὀδυσσέα ἐλέησεν ἀλώμενον ἄλγε' ἔχοντα. αἰθυίῃ δ' εἰκυῖα ποτὴ, ἀνεδύσατο λίμνης. ἷζε δ' ἐπὶ σχεδίης πολυδέσμου, εἶπέ τε μῦθον. (ῃερς. 339.) κάμμορε. τίπτέ τοι ὧδε Ποσειδάων ὠδύσατ' ἐκπάγλως, ὅτι σοι κακὰ πολλὰ φυτεύει. καὶ ἑξῆς. τοῦτο δέ ἐστι παρῳδῆσαι, ὅτέ τις μνησικάκως πάσχει πρός τινος. ἡ δὲ κατὰ τὴν Ἰνὼ ἤτοι Λευκοθέαν ἱστορία, διώνυμως γὰρ ἡ γυνὴ, τοιαύτη τίς ἐστιν. Ἰνὼ Ἀθάμαντι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνοικήσασα ἔσχε παῖδας Μελικέρτην καὶ Λέαρχον ἢ Κλέαρχον. Ἀθάμας δὲ κατὰ μῆνιν Ἥρας τὰς φρένας ληφθεὶς, ἐπεὶ ἔθρεψε τὸν Διόνυσον, ἀναιρεῖ τὸν Λέαρχον. ἐπεὶ δὲ καὶ τὸν λοιπὸν ἔμελλε παῖδα διαχειρίσασθαι, βαστάζει αὐτὸν ἡ μήτηρ Ἰνώ. καὶ διὰ τοῦ λευκοῦ πεδίου τῆς Μεγαρίδος θεύσασα ὅ ἐστι δραμοῦσα, ὅθεν καὶ Λευκοθέα ἐκλήθη, συγκατέῤῥιψεν ἑαυτὴν τῷ βασταζομένῳ παιδὶ ἐς θάλασσαν. καὶ ἰσόθεον ἔλαχε τιμὴν σὺν αὐτῷ, κληθέντι Παλαίμονι διὰ τὸ κατὰ τὸν μῦθον συλλαμβάνεσθαί τι τοῖς ἁπλῶς παλαίουσι ἢ τοῖς κατὰ θάλασσαν παλαίουσιν, ὅ ἐστι πονουμένοις περὶ τὰ ναυτικά. ἐπεὶ καὶ ἡ παλαισμοσύνη, παλαιμοσύνη γραφομένη εὑρίσκεται παρὰ τοῖς παλαιοῖς. θυγάτηρ δὲ ἡ Ἰνὼ τοῦ Κάδμου, ὃς περὶ τὰς θυγατέρας ἐδυστύχησε. Σεμέλη μὲν γὰρ, ἐφλέχθη κεραυνῷ. Ἀγαυὴ δὲ μανεῖσα, διεσπάσατο τὸν υἱὸν Ἀκταίωνα. Λευκοθέα δὲ, εἰς θάλασσαν ἥλατο. οἰκτίζεται δέ φασιν αὕτη τὸν Ὀδυσσέα, ἢ ὡς ἄνθρωπος γενομένη ποτέ. ἢ καὶ ὡς φιλογύνην ὄντα. ἢ καὶ ὡς ὁμοιοπαθῆ. θαλάσσῃ γὰρ καὶ αὐτὸς εἰ καὶ μὴ ἑκὼν ἐμπέπτωκεν ὡς ἐκείνη, ἀλλ' οὖν δυστυχῶς ἐγκυβιστᾷ. (ῃερς. 337.) οὐκ ἐμορφώθη δέ φασιν εἰς αὐτὸ τοῦτο αἴθυιαν. πῶς γὰρ λαλεῖ, πῶς δὲ καὶ φορεῖ ἢ καὶ χειρίζει τὸ κρήδεμνον; ἀλλὰ τῷ τρόπῳ τῆς ἀναδύσεως, ἔοικεν εἰς αἴθυιαν. οὐκ ἐναντιοῦται δέ φασι τῷ Ποσειδῶνι, ἐπεὶ κἀκεῖνον οἶδεν εἰδότα ὡς χρὴ σωθῆναι τὸν Ὀδυσσέα. διὸ καὶ προαναφωνεῖ δι' αὐτῆς ὁ ποιητὴς ὡς οὐ καταφθίσει τὸν Ὀδυσσέα ὁ Ποσειδῶν. (ῃερς. 334.) Αὐδήεσσα δὲ, ἢ ἡ διαβόητος κατὰ τοὺς παλαιοὺς ὅ ἐστιν ἀοίδιμος διὰ τὰ ἐπ' αὐτῇ συμβάντα. ἢ ἡ ἔνδοξος, εὐγενὴς γάρ. ἢ κατὰ Ἀριστοφάνην, ἡ χρωμένη ἀνθρωπίνῃ φωνῇ. οὕτω γὰρ αὐδήεντες οἱ ἄνθρωποι πρὸς διαστολὴν τῶν λοιπῶν ζῴων. γράφεται δὲ καὶ οὐδήεσσα τουτέστιν ἐπίγειος. νύμφη γὰρ ἦν καὶ οὐκ ἐκ τῶν οὐρανιώνων. Ἀριστοτέλους δέ φασι καὶ Χαμαιλέοντος ἡ τοιαύτη γραφή. (ῃερς. 337.) Τὸ δὲ ποτῇ, ἢ κατὰ δοτικὴν, ἵνα λέγῃ ὅτι πετομένῃ αἰθυίῃ ἐοικυῖα. ἢ κατὰ εὐθεῖαν πτῶσιν, ἵνα ᾖ ποτὴ ἀνεδύσατο λίμνης, ἤγουν πετασθεῖσα ἐκ θαλάσσης ἀνέδυ. γράφεται δὲ καὶ σὺν τῷ νῦ, ποτήν. ὃ δηλοῖ τὴν πτῆσιν. ὡς ἂν λέγῃ, ὅτι ἐοικυῖα αἰθυίῃ κατὰ τὴν πτῆσιν ἤγουν κατὰ τὴν ὁρμήν. καὶ ἀπαλλαττομένη δὲ ἡ μυθικὴ αὕτη Λευκοθέα, αἰθυίᾳ εἰκάσθη. ὡς καὶ ἡ Ἀθηνᾶ, ὄρνις ὡς ἀνόπαια διέπτατο. καὶ φήνῃ εἰδομένη. (ῃερς. 340.) Τὸ δὲ ὠδύσατο, ἐνθύμιον δίδωσι τοῦ ἐτυμολογεῖσθαι τὸν Ὀδυσσέα ἐκ τοῦ τοιούτου ῥήματος ὡς καὶ προγέγραπται. διὸ καὶ αὐτὸς ἐν τοῖς ἑξῆς, λέγει ὅτι οἶδα ὥς μοι ὀδώδυσται κλυτὸς ἐννοσίγαιος, ὃ ταυτόν ἐστι τῷ, κλυτὸς Ἀμφιτρίτη. Ἀττικὸς δὲ παρακείμενος τὸ ὀδώδυσται κατά τι ὅμοιον τοῦ ὀρώρυκται. (ῃερς. 341.) Τὸ δὲ κακὰ πολλὰ φυτεύειν, τὸ δολιεύεσθαι καὶ νῦν δηλοῖ. καθὰ καὶ τὸ ὑφαίνειν δόλον ἐν τοῖς ἐφεξῆς. (ῃερς. 342.) Ὅτι παραμυθία ἐπὶ βουλῆς τὸ, οὐ μὲν δή σε καταφθίσει μάλα περ μενεαίνων. παραινετικὸν δὲ τὸ, ἀλλὰ μάλ' ὧδ' ἔρξον. δοκέεις δέ μοι οὐκ ἀπινύσσειν. ὅ ἐστιν ἀφραίνειν καὶ ἐστερῆσθαι τοῦ πινυτὸς εἶναι. (ῃερς. 344.) παίδευσις δὲ τοῦ μὴ ἑτέροις θαῤῥεῖν ἀλλὰ τοῖς οἰκείοις ἔργοις τὸ, σχεδίην μὲν ἀνέμοισι φέρεσθαι κάλλιπ'. ἀτὰρ χείρεσσι νέων, ἐπιμαίεο νόστου. ἤτοι ἐπιθύμει. ἐπιμελοῦ, ἐκ τοῦ μῶ μαίω τὸ ζητῶ. Τὸ δὲ νέων, κεῖται μὲν καὶ ἐν τῷ, ποταμοῦ κατὰ στόμα ἶξε νέων. ἔχει δὲ ἐνεστῶτα τὸ νέω νῶ. ἐξ οὗ τὸ νήχω παράγωγον. (ῃερς. 346.) Ὅτι κρήδεμνον ἡ Λευκοθέα δίδωσι τῷ 1.229 Ὀδυσσεῖ ὡς ἂν ὑπὸ στέρνοιο τανύσας αὐτὸ ὃ καὶ ἄβροτον λέγει, μηκέτι παθεῖν δέος ἔχῃ μὴ δ' ἀπολέσθαι. ἔοικε δὲ τὸ τοιοῦτον κρήδεμνον, περίαπτόν τι ποθὲν περιγενέσθαι τῷ Ὀδυσσεῖ, φυλακτήριον θαλαττίου κακοῦ καθά που καὶ τὸ μῶλυ πρὸς ἀποτροπὴν φέρει κακοπιοῦ ἀλογίας. ἔοικε γὰρ εἰδέναι καὶ τὴν φύσιν τῶν περιάπτων ὁ ποιητὴς ὡς δηλοῖ καὶ τὸ φόρημα τοῦ κεστοῦ. καὶ ἄλλως δὲ τὸ ῥηθὲν, αἴνιγμά τι ἐστὶ τοῦ εἶναι τὸν Ὀδυσσέα τλημονέστατον, διά τε τὸ φύσει ἀγχίνουν, καὶ τὸ τλησικάρδιον. διὸ κρήδεμνον μὲν, τὸ φυλακτήριον. καὶ διατοῦτο φρονήσεως σύμβολον. περὶ τὰ στέρνα δὲ τίθεται, κατὰ τὸ, τέτλαθι κραδίη. ὃ καὶ ἀλλαχοῦ λέγει αὐτός. καὶ ἄλλως δὲ τὸ αὐτὸ εἰπεῖν, τὸ οὐδέ τι σοι παθεῖν δέος, τοῦτό



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστι τὸ περὶ τὰ στέρνα θεῖν κρήδεμνον, ἤγουν τὸ μὴ τὴν καρδίαν δέος παθεῖν διὰ τὸ ἀχανὲς τοῦ πελάγους. ἀλλὰ θαῤῥαλέως ἔχειν διὰ τὸ φύσει καὶ ἐξ ἀρετῆς δὲ τλησίπονον. Ἐν τούτοις δὲ καθὰ καὶ ἀλλαχοῦ ἐν πολλοῖς, ἡ δευτέρα φροντὶς, κρείττων τῆς προτέρας ἀπεκβαίνει. πρῶτα μὲν γὰρ ὡς εἰκὸς, βουλεύεται Ὀδυσσεὺς ἀφεὶς τὴν σχεδίαν, χερσὶ νήχεσθαι. εἶτα μεταβουλεύεται, παραμεῖναι τῇ νηῒ, ἕως ἂν αὐτὴν τὸ κῦμα διατινάξῃ. σεμνύνει δ' ἐν τούτοις τὸν Ὀδυσσέα ἐπὶ πλέον ὁ μύθος, εἴπερ ἡ μὲν Λευκοθέα ὑποτίθησιν αὐτῷ ἀμελῆσαι μὲν τῆς σχεδίας, ἐπιτρέψαι δὲ τὴν σωτηρίαν τῷ νήχεσθαι. ὁ δὲ, ἄλλως ἐπικρίνει φρονῶν κρεῖττον αὐτῆς. συμβουλεύει δ' ἐνταῦθα ἡ μυθικὴ Λευκοθέα τῷ Ὀδυσσεῖ, καὶ ἐπειδὰν αὐτὸς χερσὶν ἐφάψηται ἠπείρου ἀποδύσασθαι τὸ κρήδεμνον καὶ βαλεῖν εἰς πόντον πολλὸν ἀπ' ἠπείρου. (ῃερς. 350.) αὐτὸν ἄπο νόσφι τραπέντα. ὅ ἐστιν, ἔμπαλιν βλέποντα. ὃ καὶ ποιήσει ἐκεῖνος κατά τι παρατήρημα ἐν τοῖς ἑξῆς. τί γὰρ καὶ ἐχρῆν πλάσασθαι φορεῖν αὐτὸν τὸ μηκέτι ἐσόμενον χρήσιμον; (ῃερς. 348.) ἔστι δὲ τὸ ἠπείρου χείρεσιν ἐφάψασθαι, ταυτὸν τῷ, ἐπὶ χέρσου γενέσθαι, κολυμβῶντα δηλαδή. τοῦ γὰρ νηχομένου, αἱ χεῖρες πρῶται ἅπτονται γῆς. (ῃερς. 347.) Ὅτι παραμυθικὸν τὸ, οὐδέ τι τοι παθεῖν δέος οὐδ' ἀπολέσθαι. (ῃερς. 350.) Ὅτι δύσελπιν ἐπάνοδον δηλοῖ τὸ, ἐπεὶ ἑκὰς γαῖα ὅθι μοι φάτο φύξιμον εἶναι. (ῃερς. 343.) Βουλευτικοῦ δὲ ἀνδρὸς τὸ, ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέει δέ μοι εἶναι ἄριστον. (ῃερς. 361.) Ὅτι ὁ τέως μὲν μεταχειριζόμενός τι λυσιτελὲς μελετῶν δὲ κατ' ἀνάγκην καί τι ἕτερον δυσχερὲς ποιήσειν εἰ ἔλθοι καιρὸς, ἔχει πρὸς παράδειγμα τὸν Ὁμηρικὸν Ὀδυσσέα λέγοντα. Ὄφρ' ἂν μέν κεν δούρατ' ἐν ἁρμονίῃσιν ἀρήρῃ,τόφρ' αὐτοῦ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων. αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα τινάξῃ, νήξομαι. ἐπεὶ οὐ μέν τι πάρα προνοῆσαι ἄμεινον. (ῃερς. 364.) δῆλον γὰρ ὡς ὅτε καιρὸς, ἐγχειρητέον καὶ τοῖς μὴ καλοῖς. καὶ ἄλλως δὲ εἰπεῖν, παράδειγμά ἐστι τὸ τοιοῦτον, τῷ μετὰ ἀπορίαν μεγάλης βοηθείας πεποιθότι ἐπὶ μικροῖς. (ῃερς. 361.) Τὸ δὲ ἀρήρῃ, διὰ τοῦ ¯η ἔχει τὴν λήγουσαν ὡς ὑποτακτικὸς παρακείμενος τοῦ ἄρηρα. ὁποῖον καὶ τὸ ὀλώλῃ ἐκ τοῦ ὄλωλα ἐν τῷ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος. (ῃερς. 363.) Τὸ δὲ σχεδίαν διατινάξῃ, παραβολῆς ἤρτηται τῆς εἰπούσης, ἠΐων θημῶνα τινάξει. (ῃερς. 373.) Ὅτι ὁ χαίρων ἐφ' οἷς προήγαγέ τινα εἰς κάκωσιν πολλὴν, ἐρεῖ ἂν τὸ, κινήσας δὲ κάρη, ἔφη. οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω εἰσόκεν γένηται τό δέ τι. ἀλλ' οὐδ' ὥς σε ἔολπα ὀνόσσεσθαι κακότητος. (ῃερς. 373.) ἔστι δὲ ὀνόσσεσθαι κακότητος, τὸ ἐξευτελίσαι τὴν κάκωσιν ὡς καὶ προείρηται, ὅπερ εἰώθασι πολλοὶ ποιεῖν, βαρυνόμενοι ἐπὶ τοῖς βραχέα κακύνουσιν. οἱονεὶ μεμφόμενοι ὅτι ἀτεχνῶς καὶ οὐ βαρέως ἐκακοποίησαν καὶ οὐχ' ὡς ἐπεθύμουν. (ῃερς. 381.) Ὅτι τὰς Αἰγὰς περὶ ὧν προεῤῥέθη, τόπον ἱερὸν τῷ Ποσειδῶνι εἶναι λέγει ὁ ποιητής. εἰπών. ἵκετο δ' εἰς Αἰγὰς ὅθι οἱ κλυτὰ δώματ' ἔασιν. Ὅτι δ' ἐκ τῶν τοιούτων ὡς ἐπισήμων καὶ τὸ Αἰγαῖον ἐκλήθη πέλαγος, διείληπται ἀλλαχοῦ. Καὶ ὅτι διὰ τὸ ἐκεῖσε πολὺ βάθος, ἱερῶσθαι τῷ Ποσειδῶνι ὁ τόπος δοκεῖ ὡς οἷόν τι ἄδυτον. (ῃερς. 383.) Ὅτι εὐδίας φράσις τὸ, ἤτοι τῶν ἄλλων ἀνέμων κατέδησε κελεύθους, παύσασθαι δ' ἐκέλευσε καὶ εὐνηθῆναι ἅπαντας. ὦρσε δ' ἐπὶ κραιπνὸν βορέην, πρὸ δὲ κύματ' ἔαξε. Καὶ ὅρα τὸ, κατέδησε κελεύθους. ὅθεν ἡ κοινὴ γλῶσσα, ὁδοῦ δέματα λέγει, ἔνθα ὕλη τεθεῖσα, κωλύει τοὺς ὁδεύοντας. (ῃερς. 384.) Τοῦ δὲ εὐνηθῆναι ὁ ἐνεστὼς, εὐνῶ. ἐξ οὗ τὸ εὐνάζειν παράγεται. (ῃερς. 385.) Τὸ δὲ δὲ κύματ' ἔαξε τὰ τῶν ἄλλων δηλοῖ ἀνέμων. ἐπεί τοι καὶ ὁ βοῤῥᾶς ἐγείρει κύματα. (ῃερς. 394.) Ὅτι ἐθέλων ὁ ποιητὴς δηλώσειν ὅπως Ὀδυσσεὺς διετέθη ὁπηνίκα μεγάλου ὑπὸ κύματος ἀρθεὶς εἶδε τὴν τῶν Φαιάκων, φησίν. ὡς δ' ὅτ' ἂν ἀσπάσιος βίοτος παίδεσσι φανείη πατρὸς, ὃς ἐν νούσῳ κεῖται κρατέρ' ἄλγεα πάσχων (ῃερς. 396.) δηρὸν τηκόμενος. τηκεδόνος γὰρ αἰτία ἡ νόσος. στυγερὸς δέ 1.230 οἱ ἔχραε δαίμων, ἀσπάσιον δ' ἄρα τόν γε θεὸς κακότητος ἔλυσεν, ὣς Ὀδυσσῆ' ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη. (ῃερς. 398.) καὶ ἔστιν ἡ παραβολὴ, πρὸς μόνον τὸ πολὺ τῆς ἡδονῆς. ἄλλως γὰρ, ἀνομοίως ἔχει τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πράγματι. ἐκεῖ μὲν γὰρ, οἱ μηδὲν παθόντες παῖδες, χαίρουσιν ἐπὶ τῷ πεπονθότι πολλά. ἐνταῦθα δὲ, ὁ πολυπαθὴς Ὀδυσσεὺς χαίρει γῆν ἰδὼν τὴν ἐπ' αὐτῷ ἀπαθῆ. οὐκοῦν πρὸς μόνην τὴν πολλὴν χαρὰν ἡ παραβολή. (ῃερς. 397.) Καιρία δὲ λέξις ἐπὶ τοιούτου πράγματος τὸ ἀσπάσιος. ᾗ ἰσοδύναμον τὸ ἀσπαστόν. διὸ καὶ ἐπέμεινεν αὐτῇ. Ἔχει δέ τι ἀστεῖον ἡ παραβολὴ καὶ ἐν τῷ, μὴ πατέρα ἐπὶ παισὶν ἀλλ' αὐτοὺς ποιῆσαι χαίροντας ἐπὶ πατρὶ ἀπαλλαγέν τι ὀλεθρίας νόσου. καὶ Ὀδυσσεὺς γὰρ τὴν πατρίδα γῆν ἀναπολήσας ἣν ὡς ἐξ αὐτοῦ ἀπολωλυῖαν ἐλογίζετο, ἐχάρη δι' αὐτὸ, ἰδὼν τὴν γῆν. Τὸ δὲ φανείη, τινὰ τῶν ἀντιγράφων ἐν δυσὶν ἦτα γράφουσιν. ἵνα ᾖ φανῇ, καὶ κατὰ πλεονασμὸν φανήη. ἢ ἐκ τοῦ φανείη κατὰ τροπὴν τῆς παραληγούσης ε ̄ι διφθόγγου εἰς τὴν ̄ῃ δίφθογγον. ὃ γέγονε καὶ ἐπὶ τοῦ καλλιπάρῃος ἐκ τοῦ παρειά. (ῃερς. 396.) Τὸ δὲ στυγερὸς ἔχραε δαίμων, ἀντὶ τοῦ φρικτὴ ἢ θανάσιμος ἐπεβάρησε τύχη. (ῃερς. 398.) Τὸ δὲ Ὀδυσσῆ' ἀσπαστὸν, φίλον ἂν φανείη τοῖς νοηματίζουσι σχεδιακῶς. ἐξὸν γὰρ Ὀδυσσεῖ γράψαι διὰ διφθόγγου, συνείληπται ὅμως, ἐκ τῆς Ὀδυσσῆϊ δοτικῆς Ἰωνικῆς. Τὸ δὲ ἀσπαστὸν ἐφάνη γαῖα καὶ ὕλη, δυνάμενος εἰπεῖν ἀσπασταὶ ἢ ἀσπαστὰ, ὅμως ὡς ἐπὶ ἁπλῶς ἑνὸς πράγματος ἠρέσθη οὕτως εἰπεῖν. (ῃερς. 441.) Ὅτι ποταμοῦ στόμα καλλιρόου φησὶ μεταφορικῶς. ἐντεῦθεν δὲ, καὶ στόμια ποταμῶν λέγονται. οἷς ἀκόλουθον, καὶ τὸ λέγειν ἐρεύγεσθαι ποταμοὺς εἰς θάλασσαν. λέγονται δὲ καὶ ἐκβολαὶ ποταμῶν τὰ τοιαῦτα στόματα, διὰ τὴν ῥηθεῖσαν ἐρυγήν. ἄλλως γὰρ, εἰσβολὰς ἔδει λέγεσθαι διὰ τὸ εἰσβάλλειν εἰς θάλασσαν. Τὸ δὲ καλλίροον, οὐ διπλάζει τὸ ̄ρ. διά τε τὸ μέτρον, καὶ φυσικῶς δέ. οὕτω καὶ μετ' ὀλίγα ἐν τῷ, ἔγνω δὲ προρέοντα ἤγουν ἐπὶ τὰ ἔμπροσθεν ῥέοντα, οὐ διπλάζεται μετὰ τὴν πρόθεσιν συνήθως τὸ ῥῶ. (ῃερς. 442.) Ὅτι λιμένος δηλοῖ ἀγαθοῦ κατάστημα τὸ, ἔνθα χῶρος ἄριστος. λεῖος πετράων. καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο. τοῦτο δὲ ἀλλαχοῦ ἰωγὴν ἔφη, ὡς πρὸ ὀλίγων ἐδηλώθη. Τὸ δὲ λεῖος πετράων, πρὸς διαστολὴν κεῖται τῆς τρηχείας ἀκτῆς. ἐναντία γὰρ λειότης καὶ τραχύτης. (ῃερς. 445.) Ὅτι ἱκετευτικὸν τὸ, κλῦθι ἄναξ ὅς τις ἐσσί. πολύλλιστος δέ σ' ἱκάνω, φεύγων τὰς τοῦ δεῖνος ἐνιπάς. δύναται δὲ καὶ τὰ ἐφεξῆς εἰς τοιοῦτον παρῳδηθῆναι νοῦν, οὕτως. αἰδοῖος μέν τ' ἐστὶ πᾶσιν ἀνδρῶν ὅς τις ἵκηται ἀλώμενος. ὡς καὶ ἐγὼ νῦν σὰ γούναθ' ἱκάνω πολλὰ μογήσας. ἀλλ' ἐλέαιρε ἄναξ. ἱκέτης δέ τοι εὔχομαι εἶναι. Ὀδυσσεὺς δὲ ταῦτα λέγει πρὸς τὸν Φαίακα ποταμόν. εὐχόμενος οὔτε βαρεῖαν εὐχὴν, ἀλλὰ καὶ δικαίαν. (ῃερς. 451.) διὸ καὶ ἀκούσας δῆθεν ἐκεῖνος τὸ, σόν τε ῥόον σά τε γούναθ' ἱκάνω, παῦσεν ἑὸν ῥόον. ἔσχε δὲ κῦμα. πρόσθε δέ οἱ ποίησε γαλήνην. τρία ταῦτα κῶλα ἰσοδύναμα. τόν δ' ἐσάωσεν ἐς ποταμοῦ προχοάς. ταῦτα δὲ χρήσιμά ποτε καὶ εἰς ναυαγὸν σωθέντα ἐκ κινδύνου. (ῃερς. 445.) Ἰστέον δὲ ὅτι τὸ πολύλιστος, γράφεται καὶ, πολύλιστον δέ σ' ἱκάνω. ὅθεν μεταλαβὼν ὁ περιηγητής, τριλίστους Ἴβηρας φησί. (ῃερς. 440.) Τὸ δὲ ἱκάνω καὶ τὸ ἵκηται, ἐπὶ ἱκεσίας ἐλήφθη ὡς ἐδήλωσεν ὁ ποιητὴς διὰ τοῦ, ἱκέτης δέ τοι εὔχομαι εἶναι. (ῃερς. 453.) Τὸ δὲ ἐς ποταμοῦ προχοὰς, ἢ ἀντὶ τοῦ εἰς τὰς ἑαυτοῦ προχοάς. ἢ εἰς τὸ σῶμα τοῦ ποταμοῦ. ὡς αὐτὸς ἄλλος ὢν ὁ ἱκετευόμενος καὶ μὴ τὸ ποτάμιον ὕδωρ. οὕτω καὶ Ὠκεανὸς, τό, τε ὕδωρ αὐτὸ, καὶ ὁ μυθευόμενος ὡς θεός. ὃν ὁ τραγικὸς Αἰσχύλος ἐπὶ γρυπὸς καθίζων, ἐξάγει πρὸς θέατρον. ἐνταῦθα δὲ, χρήσιμον καὶ τὸ, ἐπεὶ δὲ σηκῶν περιβολὰς ἠμείψαμεν ὕδωρ τε ποταμοῦ σῶμα διεπεράσαμεν. ὃ δὴ Χαιρήμονος λέγεται εἶναι τοῦ τραγικοῦ. Ὅτι μετὰ τὴν μακρὰν νῆξιν εἰς γῆν περισωθεὶς Ὀδυσσεὺς, ἔκαμψε τὰς χεῖρας καὶ τοὺς πόδας, φιλοσόφῳ λόγῳ. ἵνα μὴ τῇ πολυημέρῳ τάσει τῶν νεύρων ἀπολέσωσι τὰ μέλη τὸ εἶναι γναμπτὰ καὶ οὕτως εἰς ἀχρηστίαν ἐλάσωσι. διὸ περιάγων αὐτὰ καὶ τῇ ἀνέσει καὶ αὖθις κάμψει εἰς τὸ κατὰ φύσιν ἀποκαθιστῶν, γναμπτὰ ὡς ἐξ ὑπαρχῆς ποιεῖ, ὅπέρ ἐστιν ἀρετὴ μελῶν. ἔστι δὲ ἡ Ὁμηρικὴ φράσις, αὕτη. ὅ δ' ἂρ ἄμφω γούνατ' ἔκαμψε. χεῖράς τε στιβαράς. ἁλὶ γὰρ δέδμητο φίλον κῆρ. (ῃερς. 460.) Ὅτι ἁλιμυρήεντα ὡς καὶ ἐν Ἰλιάδι ποταμὸν λέγει, τὸν εἰς ἅλα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μυρόμενον. ἤγουν κατά τινα ποιὸν ἦχον ῥέοντα. ἐκ δὲ τοῦ τοιούτου μύρεσθαι, καὶ τὸ μορμύρειν γίνεται. ὡς καὶ ἐκ τοῦ μαίρειν, τὸ μαρμαίρειν παράγεται. δοκεῖ δ' ἐκ τοῦ αὐτοῦ γίνεσθαι καὶ τὸ λαμυρόν. εἴγε λαμυρόν φασιν οἱ παλαιοὶ, εὔλαλον. εὐτράπελον. καὶ ὕστερον δέ, μύρεσθαι τὸ κλαίειν ἐῤῥέθη παρὰ τὸ αὐτὸ αἴτιον. ἵνα ᾖ μύρεσθαι, τὸ κατὰ ῥοῦν τινα προχέειν δά 1.231 κρυα. ἢ καὶ ἄλλως, ὑπηχεῖν κατὰ ἦχου τινὸς ὁμοίου ποιότητα. (ῃερς. 462.) Ὅτι ἐκ ποταμοῦ λιασθεὶς Ὀδυσσεὺς, σχοίνῳ ὑπεκλίνθη, τῇ αὐτοφυῶς ἐν ὑδρηλοῖς φυομένῃ τόποις. (ῃερς. 463.) κύσε δὲ ζείδωρον ἄρουραν. ὅ ἐστιν, ἐφίλησε τὴν γῆν ὡς καὶ Ἀγαμέμνων πρὸ τούτου ποιῆσαι δεδήλωται. Ἰστέον δὲ ὅτι τὸ κύειν καὶ κύσαι καθὰ καὶ τὸ φιλεῖν, ταπολλὰ μὲν, συμβολὴν χειλέων δηλοῖ ὡς καὶ ἐνταῦθα καὶ ἑτέρωθι πολλαχοῦ. καὶ διάθεσιν δὲ ψυχικὴν ὅθεν ὁ κύων τὸ ζῷον παρῆκται καὶ τὸ κυνεῖν καὶ προσκυνεῖν. λαμβάνεται δὲ ἀποτελέσματός τινος λόγῳ καταχρηστικῶς, καὶ ἐπὶ γεννήσεως. μετὰ μέντοι τῆς ¯εν προθέσεως καὶ τῆς ὑπ¯ο, σύλληψιν βρέφους ἡ λέξις δηλοῖ. τοιοῦτον γὰρ ἡ ἔγκυος. καὶ τὸ ἐγκυμονεῖν. καὶ τὸ, ἥδ' ὑποκυσσαμένη τέκε. καὶ ἄλλως δέ ποτε δίχα προθέσεως, κύειν λέγεται τὸ κατὰ γαστρὸς ἔχειν. ὅτι δὲ καὶ κυῶ κυήσω περισπωμένως λέγεται τὸ γεννῶ, οἱ κυήτορες δηλοῦσι καὶ τὸ ἐκύει ἤγουν ἐγέννησε, καὶ ἡ κύησις. (ῃερς. 466.) Ὅτι καὶ σωθέντι τῷ Ὀδυσσεῖ, ἀμηχανεῖν ἔπεισιν ὡς εἰ μὲν ἐν ποταμῷ δυσκηδέα φησὶ νύκτα φυλάξω, μή μ' ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση ἐξ ὀλιγηπελίης δαμάσῃ κεκαφηότα θυμόν. αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πέλεται ἠῶθι πρό. εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς καὶ δάσκιον ὕλην, θάμνοισι πυκινοῖσι καταδραθῶ, εἴ με μεθίει ῥῖγος καὶ κάματος γλυκερὸς δέ μοι ὕπνος ἐπέλθῃ, δείδω μὴ θήρεσσιν ἕλωρ καὶ κῦρμα γένωμαι. οὕτω δὲ αὐτῷ φρονοῦντι, δοάσατο τουτέστιν ἐδόκησε κέρδιον εἶναι, (ῃερς. 474.) βῆναι εἰς τὴν ὕλην, κἀκεῖ καταδραθεῖν. τοῦτο γὰρ εὐπλαστότερον πιθανῶς ἔδοξε τῷ ποιητῇ. ἐπεὶ καὶ κρεῖττον τοῦ ὁμολογουμένου κακοῦ, τὸ ἄδηλον. τὸ ῥῖγος μὲν γὰρ καὶ ὁ ἐκεῖθεν κάματος, ἐκδηλότατα. τὸ δ' ἐκ τῶν θηρίων κακὸν, οὐχ' οὕτως. εὗρε δὲ τὴν τοιαύτην ὕλην, σχεδὸν ὕδατος, ἐν (ῃερς. 476.) περιφαινομένῳ ἤγουν ἐν περιόπτῳ τόπῳ. οὔτε γὰρ ἔδει ἐρευνᾶν ποῦ ἂν εὕρῃ τοιοῦτον τόπον, οὔτε μακρὰν ἀπελθεῖν γυμνόν τε ὄντα καὶ ὀλιγηπελέοντα ὡς ἐῤῥέθη καὶ ἐκπεπνευκότα μικροῦ τὴν ψυχήν. (ῃερς. 468.) τοῦτο γὰρ δηλοῖ ὡς καὶ ἀλλαχοῦ ἐλέχθη, τὸ, κεκαφηότα θυμόν. καφῶ γὰρ καφήσω, τὸ ἐκπνέω. ἐκ τοῦ κάμπτω κάψω κέκαφα. ὅθεν καὶ κάπη ὡς προεῤῥέθη, ἡ φάτνη. καὶ κάφος, τὸ πνεῦμα. ἐξ οὗ καὶ κῆπος, ὁ ὑπὸ ἀνέμων φασὶ καταπνεόμενος. (ῃερς. 466.) Δυσκηδέα δὲ νύκτα λέγει, τὴν δυσφύλακτον καὶ δυσφρόντιδα. πρὸς διαστολὴν τῆς ἀναπαυσίμου. (ῃερς. 467.) Τὸ δὲ μή μ' ἄμυδις στίβη καὶ ἐέρση δαμάσῃ, ἐλλειπτικῶς εἴρηται. λείπει γὰρ τὸ δείδω ἤ τι τοιοῦτον. διὸ ἐντελῶς ἔχει τὸ, εἰ δὲ ἐς κλιτὺν ἀναβὰς καταδράθω, δείδω μὴ θήρεσσιν ἕλωρ καὶ κῦρμα γένωμαι. ἅπερ κεῖται καὶ ἐν τῇ ¯γ ῥαψῳδίᾳ. ἔνθα ὁ σώφρων ἀοιδὸς ἐν νήσῳ ἐρήμῃ κατελείφθη οἰωνοῖσιν ἕλωρ καὶ κῦρμα γενέσθαι. Στίβη δὲ ὥς που καὶ ἐν τοῖς ἑξῆς, ἡ ἑωθινὴ πάχνη. παρὰ τὸ στείβω τὸ καταπατῶ καὶ πυκνοποιῶ. ὅθεν καὶ στίβος ἡ ἐν τῷ καταπατεῖσθαι πυκνουμένη ὁδός. πυκνοῦται γὰρ ἡ δρόσος παχνουμένη. Ἑέρση δὲ μετὰ δασέος πνεύματος Ἀττικῶς, ἡ δρόσος. ὡς ἐν τῇ Ἰλιάδι δεδήλωται ἱκανῶς. ἡ λεγομένη καὶ δισυλλάβως ἕρση, ὡς δηλοῖ τὸ, λωτόν θ' ἱρσήεντα. Θῆλυς δὲ, ἡ θρεπτικὴ τῶν φυτῶν. ἐκ μεταφορᾶς τῶν ζῴων ἐν οἷς τὰ θήλεα θρεπτικά εἰσι τῶν νεογνῶν, μᾶλλον ἤπερ τὰ ἄῤῥενα. ποιητικῶς δὲ εἶπε τὸ θῆλυς ὁμοίως τῷ, πουλὺν ἐφ' ὑγρήν. τοιοῦτον καὶ τὸ, θῆλυν τε μέλαιναν. καὶ τὸ, θῆλυς ἀϋτμή. (ῃερς. 469.) Τὸ δὲ ἠῶθι πρὸ, ἀντὶ τοῦ πρὸ ἠοῦς ὅ ἐστι πρωΐας. (ῃερς. 470.) Τὸ δὲ ἐς κλιτὺν ἀναβὰς, ὑψηλὴν πρόσβασιν ὄρους δηλοῖ τὴν κλιτὺν εἶναι, διὰ τοῦ ἀναβάς. κοινῶς δὲ, τὰ παρὰ τὸ κλίνω, ὕψός τι δηλοῖ. οἷον. ἡ ἐπὶ θρόνου κλισία. καὶ ὁ κλισμός. καὶ ἡ κλίνη. καὶ τὸ ἀνάκλιντρον. καὶ ἡ κλίμαξ. ἴσως δὲ καὶ τὸ κλίτος. Ἡ δὲ δάσκιος ὕλη, ἐπίτηδες ἐξεφωνήθη. τοιαύτη γὰρ περισώσεται τὸν Ὀδυσσέα.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ῃερς. 472.) Τὸ δὲ ῥῖγος, πρωτότυπόν ἐστι τοῦ ῥίγιστος. ὡς καὶ τὸ κάλλος καὶ τὸ κράτος, τοῦ κάλλιστος καὶ τοῦ κράτιστος. (ῃερς. 476.) Ὅτι δὲ ἡ δάσκιος ὕλη ἐχρησίμευσε τῷ Ὀδυσσεῖ, δηλοῖ ὁ ποιητὴς γράψας οὕτω δοίους δ' ἂρ ὑπήλυθε θάμνους ἐξομόθεν πεφυῶτας. ὁ μὲν, φυλίης. (ῃερς. 477.) ὅ δ' ἐλαίης. ἀγρίας δηλαδή. τοὺς μὲν ἂρ, οὔτ' ὄμβρος περάασκε διαμπερές. ὣς ἄρα πυκνοὶ ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδύς. καὶ οὐκ ἐψεύδοντο οὔτε τὸ δάσκιον εἴγε ἀνήλιοι ἦσαν, οὔτε τὸ θάμνοι εἶναι διὰ τὸ θαμὰ πεφυκέναι. (ῃερς. 481.) οὓς ὑπ' Ὀδυσσεὺς δύσετο. ὃ ταυτόν ἐστι τῷ, ὑπήλυθεν. ἄφαρ δὲ, ὕλην ἢ μάλιστα εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν. εὐρεῖαν. φύλλων γὰρ (ῃερς. 483.) ἔην χύσις ἤλυθα πολλή. εἶτα ἑρμηνεύων τὸ πολλὴ, φησίν. ὅσσοντ' ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι ὥρῃ χειμερίῃ εἰ καὶ μάλαπερ χαλεπαίνει. τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς. ἐν δ' ἄρα μέσσῃ λέκτο. χύσιν δ' ἐπεχεύατο φύλλων. στιβάδα ταύτην ἁπαλὴν εὐτυ 1.232 χῶς εὑρηκὼς καὶ τεχνησάμενος ἑαυτῷ. ἣν στιβάδα, ἡ μὲν κοινὴ χρῆσις καὶ εἴδησις, ἄλλως παραδίδωσιν. ὁ δὲ γράψας ὅτι κατέκειτο ἐν σπηλαίῳ στιβάδας ἐντετμημένας ἔχοντι κατὰ τὴν πέτραν, ἢ τὰ κοινότερον λεγόμενα πεσσούλια, στιβάδας εἶπεν. ἢ συνεκδοχικῶς, καὶ τὰς ἐπ' αὐτῶν στιβάδας. αἵτινες ἢ φύλλων χύσις πολλὴ, ἢ ῥῶπες δασεῖαι εἰσὶν ἀπὸ λύγων ἤ τινων τοιούτων. (ῃερς. 476.) Ὅρα δὲ καινὸν σχῆμα ἐν τῷ, δύο ὑπῆλθε θάμνους. ὁ μέν, φυλίης. ὃς δ' ἐλαίης. ἐχρῆν μὲν γὰρ εἰπεῖν, τὸν μὲν, φυλίης. τόν δ' ἐλαίης. ὁ δὲ στίξας τελείαν ἐν τῷ, (ῃερς. 477.) ἐξομόθεν πεφυῶτας. εἶτα ὡς ἐξ ὑπαρχῆς, ἐπάγει κατὰ ἔλλειψιν ὑπαρκτικοῦ ῥήματος τὸ, ὁ μέν. ὁ δέ. ἵνα λέγῃ ὡς ὁ μὲν ἦν φυλίης, ὁ δὲ ἦν ἐλαίης. τοιοῦτον καὶ ἐν Ἰλιάδι ἐφάνη τὸ, φημὶ κατανεῦσαι Δία, ἀστράπτων ἐπιδέξια, καὶ ἕτερα δὲ πολλά. Τὸ δὲ ὑπήλυθε, νῦν μὲν ἀντὶ τοῦ ὑπέδυ ὡς ἀνωτέρω ἐδηλώθη. παρὰ δὲ τοῖς ὕστερον, καὶ ἐπὶ ἀπάτης καὶ δόλου ἡ λέξις τίθεται. οἷον. ὑπῆλθεν ὁ δεῖνα τὸν δεῖνα. τουτέστιν, ἠπάτησεν. Ἐν δὲ τῷ ἐξομόθεν, ἢ πλεονάζει ἡ πρόθεσις καθ' ὁμοιότητα τοῦ, ἀπουρανόθεν καὶ τῶν τοιούτων. ἢ καὶ προσνέμεται τῷ πεφυῶτας, ἵνα ᾖ, ὁμόθεν ἐκπεφυῶτας. ἤγουν φυέντας ἐκ γῆς. Ἡ δὲ φυλία, εἶδος καὶ αὐτὴ ἀγρίας ἐλαίας ἐχούσης φύλλα ὅμοια μυῤῥίνῃ. φυλάττουσα μέχρι καὶ νῦν παρὰ πολλοῖς τοὔνομα. (ῃερς. 478.) Τὸ δὲ μήτε ἀνέμους διαπνέειν τοὺς τοιούτους θάμνους μήτε ἡλίου αὐτοὺς ἀκτῖσι βάλλεσθαι μή τε ὄμβρῳ διαπερᾶσθαι, τὸ λίαν πυκνὸν τῆς ἐκεῖσε ὕλης δηλοῖ, ἔτι καὶ τὴν πολλὴν χύσιν τῶν φύλλων. εἰ μὲν γὰρ οὐκ ἀνέμων διάει μένος αὐτοὺς, ἄρα τὰ φύλλα ἔσω ἔμενε πίπτοντα. εἰ δὲ καὶ ὄμβρῳ ἦσαν ἀνεπιβούλευτοι, οὐκ ἄρα ἐσήποντο. εἰ δὲ καὶ ἡλίῳ ἄβλητοι, οὐκ ἄρα ἐφρύττοντο. δαψιλῶς ἄρα εἶχε τοῦ στρώματος τῆς εὐνῆς ὁ Ὀδυσσεύς. καὶ μάλιστα εἰ μὴ ἑνὶ μόνῳ ἄρκιος ἦν ἡ ὕλη ἀλλὰ καὶ δυσὶν ἀνδράσι καὶ τρισίν. Ἰστέον δὲ ὡς κατά τινα μίμησιν Ὁμηρικὴν τὴν τῶν ἐνταῦθα, κεῖται Σοφοκλεῖ τὸ, φυλλάδα μυριόκαρπον ἀνήλιον ἀνήνεμόν τε πάντων χειμώνων. Τὸ δὲ ἀνέμων ὑγρὸν ἀέντων, ἐτυμολογικῶς ἐγράφη. ἐκ τοῦ ἄω γὰρ ὁ ἄνεμος ἐπενθέσει τοῦ ¯ν. καιρία δὲ αὕτη λέξις πολλὰ ποιοῦσα. ἐν οἷς καὶ Ζήτης καὶ Κάλαϊς οἱ τοῦ Βορέου παῖδες. ὁ μὲν, οἱονεὶ ζαήτης ὅ ἐστι σφοδρὸς ἀήτης Βοῤῥᾶς. ὁ δὲ, καλὸν ἢ ἀκαλὸν ἤγουν ἥσυχον ἄημα Βορέου δηλαδή. Ὅτι δὲ ὑγρόν εἰσιν οἱ ἄνεμοι ἀέντες ἤτοι πνέοντες, πολλαχοῦ φαίνεται καὶ λέλεκται. Τοῦ δὲ ἀέντων πρωτότυπον, τὸ ἄημι. οὗ παρατατικὸς μὲν, τὸ ἄην. ὡς τὸ, τίθημι ἐτίθην. καὶ τρίτον, ἄει καὶ διάζει. ὡς ἐτίθει καὶ διετίθει. καὶ ἡ μετοχὴ, ἀεὶς ἀέντος ἀέντων ὡς τιθέντων. Τοῦ δὲ ἄημι πρωτότυπον τὸ ἄω. ἀφ' οὗ οὐ μόνον ἀήτης ἡ πνοὴ τοῦ ἀνέμου καὶ ὁ ἄνεμος, ἀλλὰ καὶ ἀΐτης ὁ ἐρώμενος κατὰ τοὺς παλαιοὺς, διὰ τοῦ ἰῶτα. ὁ εἰσπνέων ὡς καὶ προεγράφη, τῷ ἔρωτι τὸν ἐραστήν. εἰσπνεῖται γάρ φασι τῆς μορφῆς τι καὶ τῆς ὥρας. ὅθεν καὶ εἰσπνῆλαι διὰ διχρόνου ἢ ἐν τῷ ¯η, παρὰ Λάκωσιν οἱ ἐρασταί. ὅτι δὲ ἀΐτης ὁ ἐρώμενος καὶ διὰ διφθόγγου γράφεται, οὐκ ἔστιν ἀμφιβαλεῖν. ἐκ δὲ τοῦ ῥηθέντος ἄω, καὶ ἀήσυρον τὸ κοῦφον. ὅθεν καὶ παρ' Αἰσχύλῳ μύρμηκες ἀήσυροι. (ῃερς. 480.)



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τὸ δὲ φαέθων, καιρίως πρόσκειται. βάλλει μὲν γὰρ καὶ τοὺς τοιούτους θάμνους ἥλιος, πλὴν οὐ φαέθων. ὥσπερ καὶ ὄμβρος, περᾷ μὲν οὐ διαμπερὲς δέ. (ῃερς. 481.) Τὸ δὲ ἀλλήλοις ἐπαμοιβαδὶς, πιθανεύεται τὴν τῶν θάμνων πυκνότητα. ἐπιπεπλεγμένοι γὰρ ἀλλήλοις, ἐπιμᾶλλον πυκνοῦνται. αἴτιον δὲ τῆς τοιαύτης ἐπιπλοκῆς, τὸ ἐξομόθεν πεφυκέναι ὡς εἴρηται. Ἰστέον δὲ ὅτι τὲ ποιητικὸν μὲν, τὸ ἀμοιβαδὶς καθὰ καὶ τὰ ἐπαμοιβὰ ἱμάτια. κοινὸν δὲ, τὸ ἀμοιβαδόν. καὶ ὅτι οὐ ταυτὸν, ἀλλήλοις εἰπεῖν καὶ ἑαυτοῖς. τὸ μὲν γὰρ ἑαυτοὺς ὥς φασιν οἱ παλαιοὶ, ἐπὶ τῶν καθ' αὑτὰ λεγομένων τέθειται. οἷον. Αἴας καὶ Μενοικεύς φασιν ὁ Κρέοντος, ἑαυτοὺς ἀνεῖλον. ἤγουν ἑκάτερος ἑαυτόν. τὸ δὲ ἀλλήλους, ἐπί τινων συμπεπλεγμένων κεῖται. οἷον. οἱ τοῦ Οἰδίποδος παῖδες ἀλλήλους ἀπέκτειναν. ἤτοι ἕτερος τὸν ἕτερον. Μένανδρος οὖν φασιν ἁμαρτάνει λέγων, οὐκ ἠρκέσαμεν ἑαυτοῖς. ἐχρῆν γὰρ, ἀλλήλοις εἰπεῖν. (ῃερς. 482.) Τὸ δὲ ἐπαμήσατο χερσὶ φίλησιν, ἀντὶ τοῦ συνέλεξεν. ἐκ μεταφορᾶς τῶν ἀμώντων. οὕτω καὶ κόνιν τις ἐπαμᾶται χερσὶ καὶ τέφραν. κεῖται δὲ καὶ ἐν Ἰλιάδι ἡ λέξις. φέρεται δὲ αὐτῆς χρῆσις καὶ ἐν τῷ συμβολικῷ τοῦ Ἱπποκράτους, τοιαύτη. δοκὸς ἐπὶ στέγει τεθησομένη, κακόν. τεθεῖσα γὰρ γῆν ἐπαμᾶται. ὅ ἐστι συνάγει. τοιαῦτα γὰρ τὰ λεγόμενα δώματα ὡς καὶ νῦν φαίνεται. δηλοῖ δὲ τὸ ἐκτεθειμένον ἱπποκράτειον ῥητὸν, ὡς ἰατρῷ ἀπιόντι ἔς τινα δεινῶς ἀῤῥωστοῦντα, κακοῦ σύμβολόν ἐστι τὸ ἅμα ἰδεῖν δοκὸν ἐπιτιθεμένην κατασκευῇ δώματος. σημαίνει γὰρ ἡ θέα, ὅτι ταφήσεται ὅσον οὐκ ἤδη 1.233 ὁ ἐπισκεφθησόμενος. καὶ οὕτω καλυφθήσεται χώματι, καθὰ μικρὸν ὅσον καὶ ἡ εἰρημένη δοκός. τὸ δὲ χερσὶ φίλησι καὶ τὸ, φύλλων γὰρ ἔην χύσις, δοκεῖ παρηχεῖν κατὰ τό, Φυλέα φίλον μακάρεσσι θεοῖς. ὁποῖα τοιαῦτα ἐν τοῖς ἑξῆς που ἐκτεθήσεται. μάλιστα δὲ τοῦτο ἐμφανὲς ἐν τῷ, εὗδον ἐν φύλλοισι φίλον τετιημένος ἦτορ. (ῃερς. 485.) Τὸ δὲ χαλεπαίνειν, ἀφελῶς καὶ γλυκέως ἐῤῥέθη ἐπὶ χειμερίας ὥρας ὡς εἴπερ καὶ αὐτὴ ἔμψυχος ἦν. (ῃερς. 487.) Τὸ δὲ χύσιν ἐπεχεύατο, ἐτυμολογικῶς ἐστι τρόπος. δὶς δὲ εἶπε τὸ, φύλλων χύσις, διὰ τὸ καίριον τῶν λέξεων. (ῃερς. 488.) Ὅτι τὴν ἐν τοῖς ῥηθεῖσι φύλλοις κατάκρυψιν τοῦ Ὀδυσσέως διὰ παραβολικῆς ἐνεργείας ὁ ποιητὴς διαζωγραφῶν, φησίν. ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ ἀγροῦ ἐπ' ἐσχατιῆς, ᾧ μὴ πάρα γείτονες ἄλλοι, σπέρμα πυρὸς σώζων ἵνα μή ποθεν ἄλλοθεν αὔοι, ὣς Ὀδυσσεὺς φύλλοισι καλύψατο. καὶ ἔστιν ἀστεία ἡ παραβολή. τὸν γὰρ ἤδη λειποψυχοῦντα καὶ βραχὺ ἔχοντα τὸ ζωτικὸν καὶ οἷον σβεννύμενον, ζωπύρῳ εἰκάζει καὶ σπινθῆρι τῷ κατὰ σποδίαν. ἐξ οὗ οἷα καὶ σπέρματος, πολὺ καρπούμεθα πῦρ. Αἰσχύλος δὲ Προμηθεῖ, τὸ τοιοῦτον καὶ πυρὸς εἶπε πηγήν. ὡς οἷον ἀρχήν. καλῶς δὲ οὐ σπινθῆρα ἤ τι τοιοῦτον εἶπεν ὁ ποιητὴς τὸ ἐν τῇ σποδιᾷ κρυπτόμενον ἀλλὰ δαλὸν, διὰ τὸ σεμνότερον, ἵνα μὴ τοιαύτῃ τινὶ λέξει κατασμικρύνῃ τὸν ἐν τοῖς φύλλοις ἥρωα. Περιεκτικὴ δέ τις λέξις ἡ σποδιὰ καθὰ καὶ ἀχυρμιά. εἰ δὲ μὴ κατακόρως βαθὺ τὸ τῆς σποδιᾶς μέλαν, ὅμως δοκεῖ καὶ τὰ τεφρώδη καὶ τὰ φαιὰ, ὑπὸ τὸ μέλαν ἀνάγεσθαι. οὕτω δὲ γενικῶς καὶ γῆ μέλαινα λέγεται, καὶ αἷμα μέλαν τὸ καὶ ἐρυθρόν. ὁμοίως δὲ καὶ οἶνος μέλας. καὶ ὕδωρ δὲ μέλαν τὸ κατ' ἄλλον λόγον, λευκόν. (ῃερς. 489.) Τὸ δὲ ᾧ μὴ πάρα γείτονες ἄλλοι, πρὸς πιθανότητα παραβολικὴν κεῖται. οἱ γὰρ τοιοῦτοι ζωπυροῦσιν ἀναγκαίως τὴν κρύψιν τοῦ δαλοῦ. ἴσως δὲ διὰ τοὺς τοιούτους, καὶ σπέρμα ἔφη πυρὸς τὸ ζώπυρον. ἀγροτικὸν γὰρ ἡ τῶν σπερμάτων σύγκρυψις. (ῃερς. 490.) Τὸ δὲ σπέρμα πυρὸς σώζων ἵνα μή ποθεν ἄλλοθεν αὔοι, ἐχρησίμευσέ τινι τῶν καθ' ἡμᾶς διδασκάλων, εἰς εὐχὴν τὴν περὶ τοῦ μαθητοῦ ἰθαγενοῦς. εὐξαμένῳ συντηρεῖσθαι αὐτῷ οἰκείους μαθητὰς ἵνα μὴ ἀλλοτρίων χρῄζοι ποθέν. Ἰστέον δὲ ὅτι ὥσπερ ἐνταῦθα τροπικῶς ἐῤῥέθη σπέρμα πυρὸς, οὕτω τέτραπται καὶ τὸ σπερμολογεῖν, ἐπὶ τῶν ἀλοζονευομένων ἀμεθόδως ἐπὶ μαθήμασιν ἔκ τινων παρακουσμάτων. καθὰ ἐμφαίνειν Εὔπολις λέγεται τὸν φυσικὸν Πρωταγόραν διακωμῳδῶν ἐν τῷ, ὃς ἀλαζονεύεται μὲν ἀλιτήριος περὶ τῶν μετεώρων, τὰ δὲ χθαμᾶθεν ἐσθίει. ὁ δὲ κυρίως φασὶ σπερμολόγος καὶ σπερμονόμος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἶδός ἐστιν ὀρνέου λωβώμενον τὰ σπέρματα. ἐξ οὗ οἱ Ἀττικοὶ σπερμολόγους ἐκάλουν τοὺς περὶ ἐμπόρια καὶ ἀγορὰς διατρίβοντας, διὰ τὸ ἀναλέγεσθαι τὰ ἐκ τῶν φορτίων φασὶν ἀποῤῥέοντα καὶ διαζῆν. ἐκ τούτων δὲ, τὴν αὐτὴν ἐλάγχανον κλῆσιν, καὶ οἱ οὐδενὸς λόγου ἄξιοι. Αὔειν δὲ κυρίως, τὸ καίειν. ὅθεν καὶ βάναυσος ὁ αὔων τὸν ἐν ἄλλοις ῥηθέντα βαῦνον. ἐξ οὗ καὶ ὁ κρίβανος. ἵνα ᾖ βαύνασος, καὶ δι' εὐφωνίαν, βάναυσος. ἐκ δὲ τοῦ τοιούτου αὔειν, καὶ αὗον φασὶ, τὸ καὲν καὶ ἀφθὲν ξύλον. καὶ τὸ ὀπτῆσαι. ἐξαῦσαι. Πλάτων ἑορταῖς. ὁ δὲ, τὸν ἐγκέφαλόν τις ἐξαύσας, καταπίνει. ἐκεῖθεν δὲ καὶ αὐστηρὸν, τὸ ξηρὸν καὶ αὐχμηρόν, λέγει δὲ καὶ Ἀλκμάν. τὰν μοῦσαν καταύσεις. ἀντὶ τοῦ ἀφανίσεις. εἰ δὲ τὸ μὲν αὖσαι δασύνεται φασὶ τὸ δὲ καταῦσαι ψιλῶς προφέρεται, πολλὰ καὶ οὕτως ἐκφέρουσιν οἱ Ἀττικοί. Ὅτι δὲ τὸ αὔειν δασύνεται, προδεδήλωται. ὡς δηλοῖ καὶ τὸ ἀπαφαυαίνειν παρὰ τῷ κωμικῷ. δῆλον δὲ ὅτι αὖσαι κατὰ τοὺς παλαιοὺς, καὶ τὸ θιγεῖν καὶ ἅψασθαι. ὅθεν καὶ χραῦσαι τὸ τοῦ χροὸς αὖσαι. ἀπὸ δὲ τοῦ ἑτέρου αὔειν, καὶ πυραύστης. ζωύφιον πτηνὸν ἐναλλόμενον τῷ φωτὶ καὶ ῥᾷον κατακαιόμενον. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἑκοντὶ καὶ ῥᾳδίως θνησκόντων, τὸ, πυραύστου μόρος. ἐκεῖθεν δὲ καὶ πύραυνος κατὰ τοὺς παλαιοὺς, ὁ πῦρ ἐναυόμενος. (ηερς. 488.) Τὸ δὲ ἐγκρύπτειν δαλὸν σποδιᾷ καὶ τὸ, Ὀδυσσέα φύλλοις καλύψασθαι, ταυτὸν εἶναι δηλοῖ τὸ κρύψαι καὶ τὸ καλύψαι. δῆλον δὲ καὶ ὡς ἐκ τοῦ Ὁμηρικοῦ ἐγκρύπτειν, ὁ ἐγκρυφίας ἄρτος παρῆκται. (ηερς. 492.) Ὅτι ἔπαινος ὕπνου τὸ, ὕπνον ἐπ' ὄμμασι χεῦεν ἵνα μιν παύσειε τάχιστα δυσπονέος καμάτοιο φίλα βλέφαρ' ἀμφικαλύψας. σωματικῶς δὲ ἐπὶ ὕπνου ἐτέθη τὸ, ἀμφικαλύψας βλέφαρα. ὀφθαλμὸς μὲν γὰρ βλεφάροις καλύπτεται. βλέφαρα δὲ ὕπνῳ ἐπιπεπτωκότι αὐτοῖς, σωματοειδῶς μυθικώτερον. δύναται δὲ τὸ, βλέφαρα ἀμφικαλύψας, νοηθῆναι καὶ ἀντὶ τοῦ, κάλυμμα τοῖς ὀφθαλμοῖς τὰ βλέφαρα θέμενος. (ηερς. 493.) Εἰ δὲ δυσπονέος καμάτοιο παύει ὁ ὕπνος, εὐφυῶς ἄρα ἐτυμολογοῦσιν αὐτὸν τινὲς, παρὰ τὸ λύειν πόνους ἵνα ᾖ λύπονός τις καὶ ἀφαιρέσει καὶ συγκοπῇ, ὕπνος. εὐθεῖα δὲ τοῦ δυσ 1.234 πονέος ἀσυνήθης, ὁ δυσπονής. ὡμοίωται δὲ πρὸς τὸ ἀτερπής. ὡς γὰρ ἄτερπος ἀτερπὴς, οὕτω καὶ δύσπονος δυσπονής. τοιοῦτον δὲ καὶ τὸ πρὸ ὀλίγων ἄελπος ἀελπής. ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ζ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Ἀθηνᾶ ἐπιστᾶσα ὄναρ Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ κελεύει αὐτῇ τὴν ἐσθῆτα ἐπὶ ποταμὸν ἀγαγούσῃ πλύνειν, πλησίον γὰρ αὐτῇ εἶναι τὸν γάμον. ἡ δὲ, τὸ κελευσθὲν ποιεῖ. ἔπειτα παίζει μετὰ τῶν θεραπαίνων. ἀκούσας δ' αὐτῶν ὁ Ὀδυσσεὺς ἐξυπνίζεται, καὶ δεηθεὶς Ναυσικάας ἐσθῆτα καὶ τροφὴν παρ' αὐτῆς λαβὼν ἕπεται αὐτῇ εἰς τὴν πόλιν. ΟΔΥΣΣΕΙΑΣ Ζ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. Ὅτι Ὀδυσσέως μὲν ἄφιξις εἰς Φαίακας, ἡ ζῆτα ῥαψῳδία ἐπιγέγραπται. πλάττει δ' ἐνταῦθα ὁ ποιητὴς τὴν βασιλικὴν θυγατέραν Ναυσικάαν γενομένην ἐπὶ μεγάλῳ ἀγαθῷ τοῦ Ὀδυσσέως, οὐκ ἄνευ Ἀθηνᾶς. καὶ ἔστιν εἰπεῖν οὐκ ἀφυῶς τὸν Ὀδυσσέα ὥσπερ φιλογύναιον διὰ τὴν ἄλοχον Πηνελόπην, οὕτως ἄλλον τρόπον γυναικοφίλαν, ὡς τοιούτοις προσώποις φιλούμενον, καὶ ὑπ' αὐτῶν ὠφελούμενον. οὐ μόνον γὰρ πρὸς αὐτοῦ ἐστι Κίρκη καὶ Καλυψὼ ἐρωτικῶς, ἀλλὰ καὶ ἡ Ἀθηνᾶ τρόπον ἕτερον κηδεμονικῶς, διὰ τὸ χαίρειν τῷ ὁμοίῳ οἷα συνετῷ καὶ σοφῷ. ἔχει δέ τι καὶ τῆς Ἑλένης ἐν Τροίᾳ ἀπονάμενος ὁ Ὀδυσσεύς. καὶ νῦν δὲ, εἰς τὰ μέγιστα συντελέσει αὐτῷ ἡ Ναυσικάα ὡς φανήσεται. ἡ δὲ Πηνελόπη ὅτι ἔπαθλον αὐτῷ κεῖται τῶν μυρίων ἀγώνων, ἐκδηλότατον. (ηερς. 2.) Ὅτι συλληπτικὸν ἐνταῦθα σχῆμα τὸ, καθεῦδε πολύτλας Ὀδυσσεὺς, ὕπνῳ καὶ καμάτῳ ἀρημένος, καμάτου γὰρ βλάπτοντος, ὁ δὲ, συνέβαλε καὶ τὸν ὕπνον ὡς τοιοῦτον. τινὲς δὲ, στίξαντες τελείαν ἐν τῷ ὕπνῳ, φασὶν ὡς ἐκάθευδεν ὑπνῶν καί τοι καμάτῳ παρεθείς. ἕτεροι δὲ δασύναντες τὸ ἁρημένος, νοοῦσιν ἀντὶ τοῦ, ὕπνῳ καὶ καμάτῳ κεκρατημένος. Πάνυ δὲ προσφυῶς ἐνταῦθα (ηερς. 3.) πολύτλαν ἔφη τὸν τοσαῦτα κακὰ τλάντα προσεχῶς Ὀδυσσέα. ἵνα λέγῃ ὡς ὁ πολλὰ τλὰς, μόλις νῦν ὑπνῶν ἀναπαύεται. Διατί δὲ τὸ καθεῦδε προπερισπᾶται, ἐν ἄλλοις εἴρηται. Ὅτι τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φρονήσει Ἀθηνᾷ τὰ κατὰ τὴν ῥηθεῖσαν Ναυσικάαν ὁ ποιητὴς ἀνατίθησιν, ὡς πάνυ σοφῶς αὐτὸς καὶ συνετώτατα τὸ τοιοῦτον πλάσμα μεταχειρισάμενος. ἦν μὲν γὰρ αὐτῷ καὶ ἄλλως πως ἐνδῦσαι τὸν γυμνὸν Ὀδυσσέα ἐν τῇ ἐσχατιᾷ, διὰ ὑλοτόμου τυχὸν ἢ ἀγρότου ἢ ἁλιέως ἢ ὁπωσοῦν ἑτέρως. ὁ δὲ, τὸ ἐνδοξότατον ἐπελέξατο, τὸ διὰ τῆς βασιλικῆς νεάνιδος τοῦτο ποιῆσαι. ὑφ' ἧς καὶ εἰς τὰ βασίλια δώματα ποδηγηθήσεται. καὶ οὕτω τὸ πλάσμα εὐοδώτερον ἔσται καὶ πιθανώτερον. ἔσται δὲ ἡ τῆς καθ' Ὅμηρον Ἀθηνᾶς μέθοδος, ὄνειρος ἐρεθίζων εἰς ἔργα τὴν Ναυσικάαν ὡς ἐν τοῖς ἐφεξῆς δηλωθήσεται. (ῃερς. 4.) Ὅτι οἱ Φαίακες πρὶν μέν ποτ' αἴνεον ἐν εὐρυχόρῳ Ὑπερείῃ, ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερηνορεόντων. οἵ σφεας σινέσκοντο. βίῃ δὲ φέρτεροι ἦσαν. ἔνθεν ἀναστήσας, ἄγε Ναυσίθοος θεοειδής. εἷσεν δ' ἐν Σχερίῃ, ἑκὰς ἀνδρῶν ἀλφηστάων. ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλει καὶ ἐδείματο οἴκους. καὶ νηοὺς ποίησε θεῶν, καὶ ἐδάσσατ' ἀρούρας. ἀλλ' ὁ μὲν, ἤδη Κηρὶ δαμεὶς, Ἄϊδόσδε βεβήκει. Ἀλκίνοος δὲ τότ' ἦρχε. (ῃερς. 12.) θεῶν ἄπο μήδεα εἰδώς. ἤγουν θεόσοφος. καὶ νῦν μὲν, ἁπλῶς οὕτω Ναυσιθόου καὶ Ἀλκινόου ἐμνήσθη. προϊὼν δὲ, γενεαλογήσει ἀκριβέστερον. καταμερίσας καὶ τὴν ἱστορίαν ταύτην διὰ ποικιλίαν, τόποις διαφόροις. (ῃερς. 1.) Ὅρα δὲ ὡς κοιμίσας τὸν Ὀδυσσέα μετὰ τὸν οὕτω πολὺν κίνδυνον εἶτα τῶν ἐφεξῆς γινόμενος, ἱστορίαν παρενέπλεξεν, οὐκ ἀναγκαίαν μὲν ἄλλως, ὅμως δὲ γοργῶς ποικίλλουσαν καὶ ἐξαιροῦσαν τὸ τῆς γραφῆς μονοειδές. ἔστι δὲ καὶ χρήσιμος ἡ ἱστορία καὶ ἀξία μαθεῖν. (ῃερς. 4.) Τὴν δὲ ῥηθεῖσαν Ὑπέρειαν, πόλιν Σικελίας τινές φασι τὴν ὕστερον Καμαρίναν. οἱ δὲ, νῆσον πλησίον τῆς τῶν Κυκλώπων χώρας. εἰ δὲ καὶ εὐρύχορος αὕτη οἶδεν ἡ Ὁμηρικὴ Μοῦσα. Ἀεὶ δὲ παρ' Ὁμήρῳεὐρύχορος, συστέλλει τὴν παραλήγουσαν. ἔνθα δηλαδὴ ἔστιν εὐρὺ χορεύειν. ἵνα ᾖ χώρας εὐδαίμονος 1.235 ἐπίθετον τὸ οὕτως εὐρύχορον. τὸ δέ γε παρὰ τοῖς ὕστερον εὐρύχορον, πλάτος μόνον χώρας δηλοῖ. (ῃερς. 5.) Σημείωσαι δὲ ὅτι οὐ συντρέχειν δοκοῦσι τῷ ποιητῇ οἱ τὴν Ὑπέρειαν νῆσον λέγοντες. πῶς γὰρ ἂν νησιῶται ὄντες οἱ ἐν αὐτῇ, ὑπὸ Κυκλώπων ἐβλάπτοντο οἷς νῆες οὐκ ἦσαν κατὰ τὴν Ὁμηρικὴν ἱστορίαν; ἐν δὲ τῷ, ἀγχοῦ Κυκλώπων, θεωρεῖταί τι ἀστεῖον. τό δέ ἐστιν, ὡς ἀγχίθεοι ὄντες οἱ Φαίακες, καλῶς ἔφυγον τὸ ἀγχοῦ Κυκλώπων εἶναι τῶν ἀθεμίστων. οἳ καὶ ὡς ὑπερήνορες ἦσαν, δηλώσει τὰ ἐφεξῆς. (ῃερς. 6.) Τὸ δὲ οἳ σφέας σινέσκοντο, ἀσαφὲς μὲν κατὰ τὸ, τίνες τίνας ἐσίνοντο. ἐκ δὲ τοῦ ὑπερηνορεόντων δῆλον ὡς οἱ Κύκλωπες τοὺς Φαίακας ἐλύπουν. ὑπερηνορεόντων γὰρ ἀνδρῶν τὸ οὕτω ποιεῖν. Δῆλον δὲ ἐκ τοῦ σινέσκοντο, ὅτι δύνανται σίντιες καὶ σίνται λέγεσθαι καὶ οἱ Κύκλωπες. ὃ δὴ οὐ ληστῶν μόνον κλῆσις, ἀλλὰ καὶ κλεπτῶν. ὡς δηλοῖ καὶ Ὀππιανὸς ἐν τῷ, σίντῃσι μέγαν πόνον, ὅ ἐστι τοῖς κλέπταις. Τὸ δὲ βίῃ δὲ φέρτεροι ἦσαν, μαλθακοὺς ἐμφαίνει τοὺς Φαίακας εἶναι τὰ εἰς μάχην, ἐπεὶ καὶ τοιοῦτοι οἱ ἐν τρυφαῖς. (ῃερς. 7.) Τὸ δὲ ἀναστήσας, νῦν μὲν, ἀντὶ τοῦ ἀπαναστήσας, μετοικίσας. δηλοῖ δέ ποτε καὶ τὸ ἁπλῶς ἀναστατῶσαι. (ῃερς. 8.) Τὸ δὲ εἷσεν ἐν Σχερίῃ, ἀντὶ τοῦ, ἵδρυσεν. ἀπὸ τοῦ ἕω ἐξ οὗ καὶ τὸ ἕξω καὶ τὸ ἕδος. περὶ δὲ Σχερίης ἐγράφη οὐ πρὸ πολλῶν· ἀλλαχοῦ δὲ, καὶ περὶ ἀλφηστῶν ἀνδρῶν. Τὸ δὲ ἑκὰς ἀνδρῶν ἀλφηστάων, ἐκτοπισμόν τινα τῆς Σχερίας παραλαλεῖ ὡς εἴπερ μὴ ἦν ἡ νῦν Κέρκυρα ἡ γνωριζομένη, ἀλλά τις ἄγνωστος κατὰ τὴν Ὠγυγίαν. Ὅτι δὲ τοιοῦτόν τι βούλεται καὶ περὶ τῆς φαιακικῆς Σχερίας ὁ ποιητὴς, ἐν τοῖς ἐφεξῆς δηλωθήσεται σαφέστερον. ὅς γε, φασὶν, οὐδὲ ὠνόμασε Κέρκυραν τὴν Σχερίαν, ἵνα μὴ ἐλέγχοιτο ῥᾳδίως ὅτε τῆς καθ' ἡμᾶς οἰκουμένης ἔξω πλάττει αὐτήν. (ῃερς. 9.) Σημείωσαι δὲ καὶ ὅτι ἐν μὲν Ἰλιάδι πόλεως ἀφανισμὸν ἐξέφρασεν ἐν δυσὶν ἔπεσιν. ἐνταῦθα δὲ, τοὐναντίον ἐν διστίχῳ φράσει πόλεως ἐδήλωσε κατασκευὴν ἐντελῆ. εἰπών. ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλει καὶ ἑξῆς ὡς προσεχῶς γέγραπται. Ἔνθα ὅρα τήν τε ἐν τοῖς ῥήμασι καίριον εὐπορίαν, καὶ τὴν τῶν λέξεων ὁμοιοκαταληξίαν καθ' ὑπαλλαγὴν, τὸ ἔλασε καὶ ἐποίησε. καὶ τὰ ὑποτεταγμένα τούτοις, τὸ ἐδείματο καὶ ἐδάσσατο. ἔστι δὲ τὸ ἤλασεν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀντὶ τοῦ περιέτεινε. μετενεχθὲν ἀπὸ τοῦ ἐλαυνομένου ἵππου ἢ σιδήρου. (ῃερς. 10.) Τὸ δὲ ἐδάσσατο ἀρούρας, ἀνάδασμον γῆς εἰπεῖν ἐχορήγησε τοῖς ὕστερον. (ῃερς. 12.) Τὸ δὲ θεοῦ ἄπο μήδεα εἰδὼς ὥσπερ καὶ τὸ θεοειδὴς, θείου τινὸς καὶ σοφοῦ ἀνδρὸς ἔπαινός ἐστιν. (ῃερς. 15.) Ὅτι κυριολεκτῶν καὶ ἐνταῦθα τὸν θάλαμον ὃς ἦν κοιτὼν ἐνδοτάτω, φησί. βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον ᾧ ἔνι κούρη κοιμᾶτο. ἡ τοῦ Ἀλκινόου δηλαδὴ θυγάτηρ. ἣν καὶ ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίαν ἱστορεῖ. (ῃερς. 18.) ἐπαινῶν καὶ τὰς παρ' αὐτῇ ἀμφιπόλους, ἐν οἷς φησί. πὰρ δὲ δύ' ἀμφίπολοι Χαρίτων ἄπο κάλλος ἔχουσαι ὅ ἐστι καλαὶ καὶ οὐ δουλοπρεπεῖς, σταθμοῖϊν ἦσαν ἑκάτερθεν. (ῃερς. 19.) θύραι δ' ἐπέκειντο φαειναί. ὅ ἐστι κεκλεισμέναι ἦσαν. ἐφάνη γὰρ ἀλλαχοῦ, ἀνακλίνειν τὸ ἀνοίγειν, ὡς τὸ, ἀνακλῖναι πυκινὸν νέφος. ᾧ ἀκόλουθον ἐπὶ τοῦ κλείειν, τὸ ἐπικεῖσθαι καὶ τὸ ἐπιθεῖναι. διὸ ἔφη ἐκεῖ Ὅμηρος, ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι. (ῃερς. 19.) Ἰστέον δὲ ὅτι προϊὼν ὁ ποιητὴς ἐπὶ πλέον σεμνυνεῖ καὶ τὴν δέσποιναν καὶ τὰς ἀμφιπόλους. αὐτὰς μὲν, διὰ τοῦ Ὀδυσσέως νύμφαις ἀγρονόμοις εἰκάσας. τὴν δὲ νεᾶνιν, Ἀρτέμιδι κυνηγετούσῃ. Τὸ δὲ ἀμφίπολοι σταθμοῖϊν ἑκάτερθεν ὅ ἐστιν ἑκατέρωθεν τῶν παραστάδων, ἐκ τῆς ¯α ῥαψῳδίας παρείλκυσται. ἔνθα κεῖται τὸ, ἀμφίπολος ἑκάτερθεν παρέστη. Τὸ δὲ σχῆμα τοῦ, Χαρίτων ἄπο κάλλος ἔχουσαι, ὅμοιον τῷ, θεῶν ἄπο μήδεα εἰδώς. (ῃερς. .) Ὅτι τὸ, ἡ δὲ ἀνέμου ὡς πνοιὴ ἐπέσσυτο δέμνια κούρης, στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπε. λέγεται μὲν περὶ τῆς ὀνειροποιουμένης Ἀθηνᾶς. δύναται δέ ποτε παρῳδηθῆναι καὶ εἴς τινα ταχυτάτην ὁδόν. (ῃερς. 24.) Ἰστέον δὲ ὡς καὶ τῇ Ναυσικάᾳ ὄνειρος ἐπιφαίνεται ἐναργὴς ὅ ἐστιν αὐτόχρημα ὅραμα, περὶ ὄρθρον, ὅτε μάλιστα οἱ ὄνειροι δοκοῦσιν ἀληθεύειν ὡς καὶ ἀλλαχοῦ φαίνεται. ἐρεῖ γοῦν, ὡς αὐτίκα μετὰ τὸν ὄνειρον ἠὼς ἦλθεν ἐΰθρονος, ἥ μιν ἔγειρεν. ἄφαρ δ' ἀπεθαύμασ' ὄνειρον. ὁμοιοῦται δὲ ὥσπερ ὁ ἐν Ἰλιάδι βασιλικὸς ὄνειρος φιλουμένῳ προσώπῳ τῷ Νέστορι, καὶ πρὸ τούτων δὲ ὁ τῆς Πηνελόπης, γυναικὶ συγγενεῖ, οὕτω καὶ ὁ παρὼν, κούρῃ τινὶ, ἣ ὁμηλίκη μὲν ἦν τῇ νεάνιδι (ῃερς. 23.) κεχάριστο δὲ θυμῷ. ἤγουν ἐφιλεῖτο αὐτῇ κατὰ τὸ, Νεστορίδι τῷ μῷ κεχαρισμένε θυμῷ. εἰ δὲ ἐφιλεῖτο ἡ τοιαύτη κόρη τῇ βασιλίδι, πιθανῶς ἄρα καὶ ἀνειδωλοποιεῖτο ἐν ὕπνοις. λέγει δὲ (ῃερς. 25.) τὸ ῥηθὲν ὅραμα παραινετικῶς, ὅσα ἄν τις ὀνειδίσῃ εὐγενεῖ παρθένῳ μεθήμονι, ὅ ἐστιν ἀμελούσῃ τῶν τοῦ οἴκου. εἰσὶ δὲ ἐκεῖνα τοιαῦτα. τί νύ 1.236 σε ὧδε μεθήμονα γείνατο μήτηρ; εἵματα μέντοι κεῖται ἀκηδέα σιγαλόεντα. σοὶ δὲ γάμος σχεδόν ἐστιν. ἵνα χρὴ καλὰ μὲν αὐτὴν ἕννυσθαι. τὰ δὲ, (ῃερς. 28.) τοῖσι παρασχεῖν οἵ κε σ' ἄγωνται, ἔθος γάρ φασιν ἦν, τὰς νύμφας τοῖς τοῦ νυμφίου, ἐσθῆτας ἐν τῷ τοῦ γάμου καιρῷ χαρίζεσθαι. εἶτα (ῃερς. 29.) καὶ τὸ χρήσιμον τῆς τοιαύτης ἐπιμελείας ὁ ὄνειρος ἐκτιθεὶς, λέγει ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει ἐσθλή. χαίρουσι δὲ πατὴρ καὶ πότνια μήτηρ. εἶτα ἴομεν φησὶ πλυνέουσαι ἅμ' ἠοῖ φαινομένηφι. καίτοι ἐγὼ συνέριθος (ῃερς. 34.) ἅμ' ἕψομαι. δι' ἔργου τάχος. ἐπεὶ οὔτοι ἔτι δὴν παρθένος ἔσσεαι. ἤδη γάρ σε, μνῶνται ἀριστῆες κατὰ δῆμον ὅθι τοι γένος ἐστὶ καὶ αὐτῇ. τοῦτο δὲ, πρὸς εὐγενῆ παρθένον πρέπει ῥηθῆναι. (ῃερς. 74.) καὶ ποιήσει οὕτως ἡ Ναυσικάα διδοῦσα ἑαυτὴν εἰς ὑπερεσίαν εὐτελῆ κατὰ ἡρωϊκὴν ἀφέλειαν καὶ ἁπλότητα, δι' ἣν καὶ ψυχρολουτεῖ ἐν τοῖς ἑξῆς. καὶ φέρει ἐκ θαλάμου ἐσθῆτα φαεινήν. καὶ κατατίθησιν ἐπ' ἀπήνης. καὶ μάστιγα καὶ ἡνίον λαβοῦσα, μαστίζει τὰς ἡμιόνους. καὶ ἐν τῷ ἐκ τοῦ ποταμοῦ ἐπανιέναι ζεύξασα τὰς ἡμιόνους, πτύσσει τὰ εἵματα. καὶ τοιαῦτα μὲν ταῦτα. (ῃερς. 26.) Σιγαλόεντα δὲ εἵματα εἴπερ λέγει τὰ μὴ σκληρὰ μηδὲ κτυποῦντα διὰ τὸ ἀντιτυπεῖν ἀλλὰ τὰ ἁπαλὰ, γλυκέως λέγει καὶ ἀφελῶς. τὸ γὰρ σιγᾶν, κυρίως ἐπὶ ἐμψύχων. μᾶλλον δὲ, ἐπὶ λογικῶν. (ῃερς. 29.) Τὸ δὲ ἐκ γάρ τοι τούτων φάτις ἀναβαίνει ἐσθλὴ, γνωμικὸν μὲν οὐκ ἂν εἴη, χρήσιμον δὲ ἄλλως ἐστὶ τοῖς ὀτρύνουσι τινὰ εἴς τι σπουδαῖον. Φάτις δὲ, ἡ φήμη, ἀπὸ τοῦ πέφαται. ὡς ἀπὸ τοῦ πέφασαι ἡ φάσις καὶ ἐκ τοῦ πέφαμαι ἡ φάμα Δωρικῶς καὶ ἡ φήμη κοινῶς. Τὸ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναβαίνει, ἀναστροφὴν δοκεῖ ἔχειν. ἵνα λέγῃ, ὅτι φάτις ἀνὰ τοὺς ἀνθρώπους βαίνει. ἢ καὶ ἄλλως, ὁμοιότητά τινα ἔχει πρὸς τὸ ἀναδέδρομε. Τὸ δὲ ἐσθλὴ, πρὸς ἀκρίβειαν λόγου κεῖται καὶ διαστολήν. ἔστι γὰρ καὶ φάτις ἀναβαίνουσα οὐκ ἐσθλὴ, ὥσπερ καὶ ἀοιδή, τοιαύτη δὲ φάτις, ᾗ χαίρουσιν οἱ οἰκεῖοι. καὶ μάλιστα πατὴρ καὶ πότνια μήτηρ. (ῃερς. 32.) Συνέριθος δὲ κυρίως ὥσπερ καὶ ἔριθος, ἡ συνεργαζομένη ἔριον. καταχρηστικῶς δὲ, καὶ ἡ ἁπλῶς συνεργαζομένη. (ῃερς. 36.) Ὅτι ἐπίτηδες ἡ ἐν ὀνείροις μυθικὴ Ἀθηνᾶ πλυνέουσαν τὴν βασιλικὴν παῖδα ἐς ποταμὸν προκαλεῖται, ἵνα οὕτως ἐνδύσῃ δι' αὐτῆς ὁ ποιητὴς τὸν γεγυμνωμένον ναυαγὸν Ὀδυσσέα. διὸ αὐτὴ μὲν, συμβουλεύει τῇ παιδὶ, ἐποτρύναι Ἀλκίνοον τὸν πατέρα ἠῶθι πρὸ, ἡμιόνους καὶ ἄμαξαν ἐφοπλίσαι. ἢ ἄγοι ἂν, ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα. πολλὸν γάρ φησιν ἄπο πλυνοί εἰσι πόληος. ἡ δὲ παῖς, πείθεται. καὶ λαλεῖ τῷ πατρὶ οὕτω. καὶ ἐκεῖνος ὑπακούει ἐν τοῖς ἑξῆς. καὶ κελεύει ἐφοπλισθῆναι αὐτῇ ἀπήνην ὑψηλὴν εὔκυκλον, ὑπερτερίῃ ἀραρυῖαν. καὶ οἱ κελευσθέντες δμῶες ἐπείθοντο καὶ ἄμαξαν ἐΰτροχον ἡμιονείην ὅπλεον. ἡμιόνους δ' ὕπαγον. (ῃερς. 73.) ζεῦξαν δ' ὑπ' ἀπήνῃ. ἤγουν ὑπέζευξαν τῇ ἀπήνῃ. ὃ ταυτόν ἐστι τῷ, ἤγαγον ὑπὸ ζυγόν. ἐξ οὗ καὶ ζυγῶσαι τὸ ὑπὸ ζυγὸν ἀγαγεῖν τι τῶν ὑποζυγίων. καὶ ἐκ τούτου ζύγωθρον, μοχλὸς συνέχων τὰς δύο θύρας. ὁ καὶ ὀχεὺς ἐν Ἰλιάδι. (ῃερς. 37.) Ἰστέον δὲ ὅτι ταυτὸν ἄμαξαν καὶ ἀπήνην εἰπεῖν. καὶ ὅτι οὐχ' ἁπλῶς ἄμαξα ἡ τῶν ἡμιόνων, ἀλλὰ χρὴ προσκεῖσθαι καὶ τὸ, ἡμιονεία, καὶ ὅτι πλείων ἡ χρῆσις τοῦ ἀπήνη ἐνταῦθα ἤπερ τοῦ ἄμαξα, διὰ τὸ καιριώτατον. ἄμαξαν μὲν γὰρ, δὶς λέγει. ἀπήνην δὲ, πλεονάκις. τὸ μέντοι ἅρμα, ἐπὶ ἵππων μόνων εἴωθε λέγεσθαι. Τοῦ δὲ δὲ ἐφοπλίζειν, ἐφοπλέειν ἐστὶ τὸ πρωτότυπον, καθὰ καὶ τοῦ ἀφρίζειν, τὸ ἀφρέειν, ὡς ἡ Ἰλιὰς δηλοῖ. φησὶ γοῦν. ἄμαξαν ὅπλεον. (ῃερς. 38.) Τὸ δὲ ἄγειν, οὐ κυρίως μὲν ὅμως δὲ, ἐπὶ ἀψύχων κἀνταῦθα ἔθετο. τοιαῦτα γὰρ τὰ ζῶστρα καὶ οἱ πέπλοι καὶ τὰ ῥήγεα. Ἔφη δὲ ζῶστρα ἐνταῦθα εἰσάπαξ, τὰ πρὸς τὴν ζώνην ἐπιτήδεια οἷς ἔστι ζώσασθαι. Πέπλοι δὲ καὶ νῦν συνήθως, γυναικεῖα περιβλήματα. διὸ καὶ ἐπὶ γυναικῶν μόνων τὸ εὔπεπλον λέγεται. ῥήγεα δὲ, πιθανότητος χάριν παρείληπται, ἵνα ἐξ αὐτῶν ἐνδύσηται ὁ Ὀδυσσεύς. πέπλον γὰρ οὐκ ἂν ἀμφιέσηται γυναικικῶς. (ῃερς. 40.) Πλυνοὶ δὲ παρὰ μὲν ἄλλοις, σκάφαι τινὲς χρήσιμοι πλύνειν. παρὰ δὲ Ὁμήρῳ, βόθροι ἐν οἷς ἔπλυνον. διὸ προϊὼν φησίν· ἐσφόρεον μέλαν ὕδωρ. στεῖβον δ' ἐν βόθροισι θοῶς. δεικνὺς, ὡς ταυτόν ἐστι βόθρους εἰπεῖν καὶ πλυνούς. ὧν ἡ χρῆσις καὶ παρὰ τῷ κωμικῷ. (ῃερς. 58.) Εὔκυκλος δὲ ἀπήνη ὡς ὁ ποιητὴς εὐθὺς ἑρμηνεύει, ἡ εὔτροχος ἄμαξα. ἐπεὶ καὶ κύκλα λέγονται οἱ τροχοί. ὅθεν καὶ κυκλήσειν ἐν Ἰλιάδι, τὸ ἐφ' ἁμαξῶν ἀγαγεῖν. (ῃερς. 70.) Ὑπερτερία δὲ, τὸ ἐπικείμενον τετράγωνον πλινθίον τῷ ἄξονι, παρὰ τὸ ὑπερκεῖσθαι αὐτοῦ. ἐν δὲ Ἰλιάδι, πείρινθα τοῦτο εἶπεν ὁ ποιητής. Σημείωσαι δὲ ὅτι τὸ τοιοῦτον ὄνομα φέρεταί πως καὶ ἕως ἄρτι. ἐθνικοὶ γὰρ Ἰταλικοὶ παρακόπτοντες βερτέρην ταύτην φασὶ κατὰ παραφθοράν. 1.237 (ῃερς. 37.) Τὸ δὲ ὑπερτερίῃ ἀραρυῖαν, βούλεται δηλοῦν, ὡς εὖ ἥρμοσται ἡ ὑπερτερίη τῷ ἄξονι εἴτε κα1.237 ταμόνας οἱ τροχοὶ κινοῦνται, εἴτε συστρέφονται τῷ ἄξονι. (ῃερς. 73.) Τὸ δὲ ὁπλέειν καὶ τὸ ὁπλίζεσθαι, λέγοιτο ἂν καὶ ἐντύνεσθαι. ὡς δηλοῖ τὸ, συνέριθος ἅμ' ἕψομαι ὄφρα τάχιστα (ῃερς. 33.) ἐντύνεαι. ἐπεὶ καὶ ἔντεα, τὰ ὅπλα, ἐξ ὧν τὸ ἐντύνεσθαι. (ῃερς. 39.) Ὅτι χρήσιμον εἰς προτροπὴν τοῦ πλεῦσαι, ἢ ἐφ' ἵππου ἢ ἁμάξης ὁδεῦσαι, τὸ, καὶ δὲ σοὶ ὧδε πολὺ κάλλιον ἠὲ πόδεσσιν ἔρχεσθαι. Ἀθηνᾶ δὲ τοῦτο λέγει τῇ βασιλικῇ κόρῃ. ἔνθα ἔστιν ἰδεῖν οὐ μόνον τὸ σεμνὸν τῆς πορείας, ἀλλὰ καὶ τὸ πιθανὸν τοῦ κατὰ τὴν ἀπήνην πλάσματος. μακρᾶς γὰρ οὔσης τῆς ἐς τὰς πλυνοὺς ὁδοῦ πολλῶν δὲ καὶ τῶν πλυθησομένων πέπλων τε καὶ λοιπῶν, χρεία ἦν καὶ ἁμάξης τοιαύτης πρός τε φόρτον καὶ πρὸς ἔντιμον πορείαν τῆς βασιλίδος. διὸ καὶ δουλίδες αὐτῇ ἕπονται. τοῦτο δὲ, καὶ ἄλλου χάριν. ἵνα δηλαδὴ παίζουσαι καὶ ᾄδουσαι, ἀφυπνίσωσι τὸν Ὀδυσσέα οὗ χάριν ταῦτα. καὶ οὕτως, εἰς ἱκετείαν ἐκκαλέσωνται. ὅτι δὲ καὶ νῦν πρώτως ἡ κόρη


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄπεισιν ἐς ποταμὸν πλυνέουσα, δηλώσει αὐτὴ μετ' ὀλίγα πιθανῶς, εἰποῦσα τὸ, τά δ' ἐμῇ φρενὶ πάντα μέμηλε. δήλη δὲ ἐν τοῖς τοιούτοις ἡ ἡρωϊκὴ ἀφέλεια καὶ εὐτέλεια. εἵματα γὰρ φοροῦσιν οἱ βασιλεῖς πλυνόμενα καὶ οὐχ' ἁπλῶς, ἀλλὰ καὶ ἐν ποταμῷ καὶ οὐδαμοῦ χρυσὸς ἐνταῦθα ἤ τι ἕτερον ἀπρόσιτον ὕδατι, ἀλλ' ἔχαιρον καθαρὰ φοροῦντες νεόπλητα. (ῃερς. 41.) Ὅτι σεμνολογῶν ὁ ποιητὴς τὰ οὐράνια, φησὶν ὡς ἀπέβη Ἀθήνη Οὔλυμπόνδε. ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ ἔμμεναι. οὔτ' ἀνέμοισι τινάσσεται. οὔτέ ποτ' ὄμβρῳ δεύεται. οὔτε χιὼν ἐπιπίλναται ἀλλ' αἴθρη πέπταται ἀννέφελος. λευκή δ' ἐπιδέδρομεν αἴγλη. τῷ ἔνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντα. (ῃερς. 42.) καὶ τοιοῦτος μὲν ὁ Ὄλυμπος τά γε ἄνω. τὰ γάρ τοι κάτω καὶ μετὰ τὰ νέφη, ἀγάννιφός που λέγεται. (ῃερς. 44.) Τὸ δὲ αἴθριον τοῦ Ὀλύμπου καὶ ἀνέφελον καὶ αἰγλῆεν, εὔλογον. διότι οὐδὲ ἀναθυμίασις ἄνεισιν ἕως τῶν ὑψηλοτάτων. Ἰστέον δὲ ὡς πολλὰ καὶ ἄλλα ὄρη μὴ νεφελοῦσθαι τὰς κορυφὰς ἱστόρηνται, γνωσθέντα ἐκ πείρας θυτικῆς. θύσαντες γὰρ καὶ τῇ σποδῷ ἐντυπώσαντες γράμματα, εἶτα εἰς ἔτος ἀνελθόντες, εὗρον αὐτὰ πάλιν διηρθρωμένα καὶ εἰς τὸ πᾶν ἀσκέδαστα. οἱ δὲ παλαιοὶ φασὶ καὶ ἐπουράνιον καλεῖσθαι τὴν τοῦ Μακεδονικοῦ Ὀλύμπου κορυφήν. σημειούμενοι καὶ ὅτι οὐρανός ἐστι καθ' Ὅμηρον, τὸ ἀπὸ νεφῶν ἕως τοῦ κατηστερισμένου τόπου διάστημα. συνωνύμως τῷ καταστερισμένῳ. καλούμενον καὶ αὐτὸ οὐρανός. (ῃερς. 42.) Ὅρα δὲ ὅτι τὸ μὲν εἶναι θεῶν ἕδος τὸν Ὄλυμπον, ἐνδοιαστικῶς εἶπεν. ἔφη γάρ. ὅθι φασὶ θεῶν ἕδος εἶναι. τὰ δὲ ἑξῆς ἤγουν τὸ μὴ ἀνέμους ἔχειν μηδὲ ὄμβρους μηδὲ χιόνα αἴθρην δὲ καὶ αἴγλην, ἀποφαντικῶς προήγαγεν. ἐκεῖνο μὲν γὰρ, μυθικόν. ταῦτα δὲ, ἀληθῆ. ἄλλως δέ γε καὶ τὸ μυθικὸν θεραπεύεται, εἰ θεοὶ ὑπονοηθεῖεν οἱ ἀστέρες καὶ τὰ προσεχῶς ὑπ' αὐτοὺς καὶ κατ' αὐτούς. τότε γὰρ τὸ φασὶν, οὐ κατ' ἐνδοιασμὸν κείσεται, ἀλλὰ κατὰ κοινὴν δόξαν. αἰγλήεντα γὰρ τὰ ἐκεῖ καὶ μεστὰ αἴθρης, καὶ νεφέλαις ἀσκίαστα. (ῃερς. 43.) Τεχνικῶς δὲ τὸ χωρίον κατὰ γοργότητα προῆκται καὶ κάλλος. ὡραΐσται γὰρ παρίσοις τῷ, τινάσσεται. δεύεται. πίλναται. πέπταται. τούτων δὲ τῶν τεσσάρων τὰ μὲν δύο, ἄλλως παθητικῶς λέγονται, τὸ τινάσσεται καὶ τὸ δεύεται. τὸ δὲ πίλναται καὶ τὸ πέπταται, ἑτέρως κατὰ μόνην φωνὴν παθητικήν. (ῃερς. 44.) οὐ πελάζει γὰρ περὶ τὸν οὐρανὸν χιὼν, ἀλλὰ αἴθρη ἥπλωται. καὶ εἴρηται τοῦτο μὲν, κατὰ θέσιν. ἐκεῖνα δὲ τὰ τρία, κατὰ ἄρσιν. Γίνεται δὲ τὸ πίλναται, ἀπὸ τοῦ πελῶ μεταβληθέντος τοῦ ¯ε εἰς ¯ι ἅμα τῇ ἐπενθέσει τοῦ ¯ν. ὁμοίως τῷ κεδῶ κιδνῶ. καὶ ἑτέροις πολλοῖς. Αἴθρη δὲ, φανερῶς ἡ εὐδία. ὅθεν δοκεῖ καὶ Βορέας αἰθρηγενέτης γίνεσθαι. (ῃερς. 45.) Τὸ δὲ πέπταται ἀντὶ τοῦ ἐξήπλωται, ἀπὸ μικροπρεποῦς λέξεως εἰς μέγα πρᾶγμα τέτραπται. κυρίως γὰρ ἐπὶ πτηνῶν ἡ λέξις. ἐνταῦθα δὲ ἁπλῶς τὸ χύμα τῆς ἄνω αἰθρίας δηλοῖ. Τὸ δὲ ἀννέφελος, εἰ καὶ μὴ ἐδίπλαζε τὸ ¯ν, ὅμως εἶχε καὶ ἄλλως ἐκτείνειν τὴν ἄρχουσαν, ὡς τὸ ἀκάματος καὶ ἀθάνατος. Τὸ δὲ ἐπιδέδρομεν, ἀντὶ τοῦ ἐπιτρέχει. ἐπιπολάζει. καὶ ἔχει διαφορὰν πολλὴν πρὸς τὸ ἀναδέδρομεν. ὅπερ οὐκ ἔστιν οἰκεῖον ἐνταῦθα λεχθῆναι. οὐ γὰρ κάτωθεν ἀναδέδρομεν εἰς Ὄλυμπον αἴθρη οὗ νεφελώδη τὰ κάτω, ἀλλ' ἐπιδέδρομεν ὡς εἴρηται. (ῃερς. 52.) Ὅτι ἀφελῶς ἡ δέσποινα ἐνταῦθα ἐπ' ἐσχάρῃ κάθηται, ἴσως διὰ τὸ προῤῥηθὲν ψύχος. οὕτω δὲ καθημένην καὶ ἐν τοῖς ἑξῆς, Ὀδυσσεὺς ἱκετεύσει αὐτήν. κάθηται δὲ νῦν σὺν ἀμφιπόλοισι γυναιξὶ, ἠλάκατα (ῃερς. 53.) στρωφῶσ' ἁλιπόρφυρα, τουτέστι μέλανα κατὰ τὸ ἰοδνεφὲς εἶρος ὃ πρὸ τούτου εἶχεν ἡ Ἑλένη. καὶ ἄλλως δὲ εἰπεῖν, ἁλιπόρφυρα, τὰ ὅμοια πορφυρούσῃ ἁλί. ἢ τὰ ἐκ 1.238 θαλασσίας πορφύρας. (ῃερς. 52.) Τὸ δὲ ἀμφιπόλοισι γυναιξὶ, διὰ τὸ σαφὲς οὕτως ἐφράσθη. οὐ μόνον διότι καὶ τύμβοι ἀμφίπολοι λέγονται ὡς καὶ ἀλλαχοῦ ἐγράφη, ἀλλὰ καὶ ὡς εἰκὸς ὂν, καὶ ἐπὶ ἀνδρῶν νοεῖσθαι τὸ τοὺς δεσπότας ἀμφιπολεῖν. (ῃερς. 53.) Ἠλάκατα δὲ, ὅτι τὰ ἔρια, πολλαχοῦ δηλοῦται. καὶ ὅτι στρωφᾶν, τὸ στρέφειν ἤτοι κλώθειν, λέγεται. (ῃερς. 54.) Ὅτι ξυμβαλέσθαι καὶ ξυμβαλεῖν, οὐ μόνον τὸ νοῆσαι καὶ τὸ κατὰ μάχην συμμίξαι, ἀλλὰ καὶ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀντιβολῆσαι ἤτοι συναντῆσαι. οἷον. τῷ δὲ θύραζε ἐρχομένῳ ξύμβλητο ἐς βουλὴν, ἵνα μιν κάλεον οἱ δεῖνα. (ῃερς. 55.) Καὶ ὅρα τὸ κάλεον. ἐξ οὗ ἡ σύγκλητος βουλή. κεῖται δὲ καὶ ἐν Ἰλιάδι τὸ, (ῃερς. 54.) ξύμβληντο βασιλῆες, ἤγουν συνήντησαν. (ῃερς. 57.) Ὅτι τὸ παππάζειν ὅπερ ἐν Ἰλιάδι κεῖται, ἐκ τοῦ ἐνταῦθα ῥηθέντος πρὸς τὸν πατέρα Ἀλκίνοον ὑπὸ τῆς θυγατρὸς, παρῆκται. φησὶ γὰρ ἐκείνη οὕτω ἀφελῶς. πάππα φίλε. οὐκ ἂν δή μοι ἐφοπλίσειας ἀπήνην ὑψηλὴν εὔκυκλον ἵνα κλυτὰ εἵματ' ἄγωμαι ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται; ἔστι δὲ ὁ πάππας, συγγενικὴ λέξις, προσφωνουμένη ἐκ παιδὸς πρὸς πατέρα ὡς ἐν Ἰλιάδι καλῶς γέγραπται. Τὸ δὲ ἐφοπλίσειας, γράφεται καὶ ἐφοπλίσειαν. δμῶες γὰρ μετ' ὀλίγα κελευσθέντες ὡς καὶ προεγράφη, ὁπλέουσι τὴν ἅμαξαν. ἔστι δὲ ἀστειότερον κατὰ ἀφέλειαν νεωτερικὴν, τὸ ἐφοπλίσειας. ὅθεν ὁ γέρων πατὴρ διορθούμενος τὸ ἀφελὲς, ἐρεῖ ὅτι δμῶες ἐφοπλίσειαν ἀπήνην, οὐ μὴν ἐγὼ δηλαδή. (ῃερς. 58.) Τὸ δὲ εἵματ' ἄγεσθαι, ταυτὸν τῷ, ἐσθῆτα φέρειν. ὅπερ καὶ ἐν τῇ ἐφεξῆς ῥαψῳδίᾳ καὶ μετ' ὀλίγα δὲ, κεῖται. καὶ ἔστιν ὅμοιον ἐσθῆτα ἑνικῶς προσηγορικῷ λόγῳ εἰπεῖν, καὶ εἵματα πληθυντικῶς, ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. Σημείωσαι δὲ ὅτι τε παθητικῶς ἔφη τὸ ἄγωμαι, καὶ ὅτι ἀντὶ τοῦ φέρω δοκεῖ αὐτὸ εἰπεῖν ὡς ἐπὶ ἐμψύχων. πλὴν ὅσον οὐκ αὐτὴ ἀλλ' ἡ ἅμαξα φέρει τὰ εἵματα. (ῃερς. 59.) Τὸ δὲ ῥερυπωμένα, κοινότερον ἐῤῥέθη. τὸ γὰρ Ἀττικὸν ἐῤῥυπωμένα. προετιμήθη δὲ τὸ κοινὸν, ἵνα μὴ χωλὸν ἀθεράπευτον διὰ τοῦ Ἀττικισμοῦ τὸ ἔπος γένηται. ὅλως γὰρ, οὐκ ἔστιν ἐν δακτυλικῷ μέτρῳ ἢ τὸ ἐῤῥυπῶσθαι εἰπεῖν, ἢ τὰς ἀπὸ τοῦ τοιούτου παρακειμένου κινήσεις, διὰ τὸ παρασπίζεσθαι τὴν ῥ¯υ βραχεῖαν συλλαβὴν, ἑκατέρωθεν μακραῖς λέξεσι. δῆλον δὲ ὅτι Ἀττικοὶ μὲν, εὐφωνίας στοχάζονται ἐν τῷ, ἐῤῥητορευκὼς καὶ ἐῤῥηγμένος καὶ ἐῤῥυπωμένος. Ὅμηρος δ' ἐνταῦθα, τῆς καλλιφωνίας τὴν κανονικὴν ὀρθότητα προέκρινε, ῥερυπωμένα εἵματα εἰπών. αἱ γὰρ δύο ἄρχουσαι λέξεις τοῦ ἐῤῥυπωμένα, ποδιζόμεναι μετὰ τῆς μο¯ι ἀντωνυμίας τῆς ὄπισθεν αὐτῶν κειμένης, ἢ ἀμφίβραχυν ἐποίησαν ἂν λόγῳ κοινῆς συλλαβῆς ἄδεκτον Ὁμηρικῷ μέτρῳ, ἢ παλιμβακχεῖον ἀκάθαρτον ὥς φασιν οἱ παλαιοὶ, ὅπέρ ἐστιν ἀθεράπευτον ὡς μὴ οἷόν τε συμβιβασθῆναι μέτρῳ ἡρωϊκῷ. ἔστι δὲ παλιμβακχεῖος ἢ προπαροξυτόνως παλιμβάκχειος, πεντάχρονος ποὺς, ἐκ δύο μακρῶν καὶ βραχείας. οἷον Ἥφαιστος. ἀνάπαλιν ἔχων τῷ βακχείῳ, πενταχρόνῳ ὄντι ἐκ βραχείας καὶ δύο μακρῶν. οἷον νοήμων. ἔχοντι τὴν κλῆσιν, ἀπὸ τοῦ Βάκχου Διονύσου. ᾧ ὕμνους ἐκ τοιούτου μέτρου ᾖδον οἱ διθυραμβοποιοί. (ῃερς. 60.) Ὅτι κοσμίῳ ἀνδρὶ προσρηθήσεται τὸ, καὶ δέ σοι αὐτῷ ἔοικε, μετὰ πρώτοισιν ἐόντα βουλὰς βουλεύειν, καθαρὰ χροῒ εἵματ' ἔχοντα. ὅ ἐστι μὴ ῥερυπωμένα. διὸ ἀκολούθως ἀλλαχοῦ κεῖται τὸ, κάθηρε δὲ ῥύπα. ὅ ἐστι τὰ ἐῤῥυπωμένα. ἵνα εἶεν καθαρὰ εἵματα καὶ νεόπλυτα δὲ, ἅτις καθήρειε. Τὸ δὲ μετὰ πρώτοισιν ἐόντα, γράφεται καὶ ἐόντι κατὰ πτῶσιν δοτικήν. καὶ εἰσὶ καὶ ἄμφω ἀσολοίκιστα. τό, τε εἰπεῖν ἔοικέ σοι πρώτῳ ὄντι βουλεύειν. καὶ, ἔοικε βουλεύειν σε πρῶτον ἐόντα. τὸ γὰρ βουλεύειν, εἰσαγωγόν ἐστι πτώσεως αἰτιατικῆς. (ῃερς. 61.) Τὸ δὲ βουλὰς βουλεύειν, Ἀττικόν ἐστιν ὡς καὶ τὸ ξείνους ξενίζειν. καὶ ἕτερα μυρία. (ῃερς. 63.) Ὅτι τοὺς ἠϊθέους διαστέλλει καὶ ἐνταῦθα πρὸς τοὺς ὀπυίοντας, εἰπών. οἱ δύο ὀπυίοντες. τρεῖς δ' ἠΐθεοι θαλέθοντες. ὡς εἶναι ἠΐθεον, τὸν μήπω γάμῳ ἐκδοθέντα. Ὅρα δὲ ὡς θαλέθοντας εἶπε τοὺς ἠϊθέους. οἱ γὰρ ὀπυίοντες, ἤδη που φθίνουσι. διὸ καὶ τῶν τις παλαιῶν, φίλον χθὲς μὲν ἄζυγα σήμερον δὲ γυναικὶ ἐκδοθέντα οἰκτισάμενος, οἴμοι ἔφη, χθὲς ἔζη, ὡς δῆθεν σήμερον τεθνεώς. (ῃερς. 65.) Ὅτι τρυφῆς δηλωτικὸν τὸ, ἠΐθεοι θαλέθοντες. οἳ αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ' ἔχοντες ἐς χορὸν ἔρχεσθαι. περὶ τῶν Ἀλκινόου δὲ πέντε φίλων υἱῶν ὁ λόγος. Ἔνθα ὅρα ἐν μὲν Ἰλιάδι, τοὺς υἱοὺς ὁ Πρίαμος ἡρωϊκὰ φρονῶν, μέμφεται ὡς χοροιτυπίαις ἀρίστους. ἐνταῦθα δὲ παρὰ τῷ Φαίακι βασιλεῖ ἐπεὶ ἄλλα παρ' ἄλλοις καλὰ, ἐπαινοῦνται οἱ παῖδες ὡς αἰεὶ χορεύειν ἐθέλοντες. καὶ αὐτὸς ἀκούων ἀνέχεται.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τρυφηταὶ γὰρ οἱ Φαίακες καὶ οὐ κατὰ τοὺς Τρῶας ἀρειμάνιοι. (ηερς. 66.) Ὅτι σώφρονος παρθένου ἦθος δηλοῖ τὸ, αἴδετο γὰρ θαλερὸν γάμον 1.239 ἐξονομῆναι πατρὶ φίλῳ. Ναυσικάα δὲ ἡ τοῦτο ποιοῦσα. ἣ τὴν μὲν δι' ὀνείρου ὑποτεθεῖσαν πλύσιν τῶν ἱματίων, ἐξέφηνε. τὸ δὲ σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἐσίγησε κατὰ λόγον αἰδοῦς. ὁ μέντοι πατὴρ, πάντα ἐνόει φησί. διὸ καὶ πεισθεὶς, λέγει. οὔτε τοι ἡμιόνων φθονέω τέκος, οὔτε τευ ἄλλου. ὥστε δηλαδὴ οὐδὲ γάμου ὃν σὺ αἰδουμένη σεσίγηκας. οὐχ' ἁπλῶς δὲ οὕτω, τὰ περὶ γάμου παραῤῥιπτεῖ ὁ ποιητὴς, ἀλλὰ πρὸς πιθανότητα τῶν ἐς ὕστερον, ἔνθα καὶ ἡ κόρη εὔξεται, τὸν Ὀδυσσέα σχεῖν ἄνδρα καὶ ὁ πατὴρ δὲ Ἀλκίνοος γαμβρὸν αὐτὸν εὐτυχῆσαι, διὰ τὸ ὡραίαν δηλαδὴ γάμου τὴν παῖδα εἶναι. ταῦτα δὲ, φίλον τὸν Ὀδυσσέα τοῖς βασιλεῦσι ποιεῖ, ὅπερ αὐτὸς εὔξατο. καὶ οὕτω πιθανολογεῖται τὰ εἰς αὐτὸν ἐκ τῶν Φαιάκων ἀγαθά. (ηερς. 74.) Ὅτι ἐν τῷ, κούρη δ' ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινὴν, ἐσθῆτα λέγει κατὰ τρόπον προσηγορίας τὰ πολλὰ ἱμάτια ὡς καὶ πρὸ ὀλίγων ἐῤῥέθη. καὶ ἔστιν ἡ τούτου χρῆσις πολλὴ ἐν τοῖς κατὰ τὴν Ναυσικάαν. ἔστι δὲ τοιαύτη ἐσθὴς, ὡς μὲν ἓν ἀνθ' ἑνὸς εἰπεῖν, εἵματα κατὰ τὸν ποιητήν. ἄλλως δὲ κατὰ τὸν αὐτὸν, ζῶστρα καὶ πέπλοι καὶ ῥήγεα. Ἐσθῆτα δέ φασι φαεινὴν λέγει, τὴν φύσει τοιαύτην. ἄλλως γὰρ, ἐῤῥύπωτο. εἰκὸς δὲ, καὶ τὴν λεπτὴν οὕτω λέγεσθαι. ὡς δὲ ἡ ἐσθῆς καὶ τὸ ἔσθος τὰ ψιλούμενα, ἐκ τοῦ δασυνομένου ἕω γίνεται ἀφ' οὗ καὶ τὰ εἵματα δασυνόμενα λόγῳ ἄλλῳ καὶ αὐτὰ ὁμοίως τῷ θήματι, δῆλον ἐκ τῶν παλαιῶν. (ηερς. 76.) Ὅτι ἐφόδια τρυφερὰ ἤτοι δείπνου λαμπροῦ παρασκευὴ φράζεται ἐν τῷ, μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέα ἐδωδὴν παντοίην. ἐν δ' ὄψα τίθει. ἐν δ' οἶνον ἔχευεν ἀσκῷ ἐν αἰγείῳ. δῶκε δὲ χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον, εἵως χυτλώσαιτο σὺν ταῖς δεῖνα. κίστη δὲ παρ' Ἀττικοῖς, ἐδεσματοθήκη, ὡς ἑρμηνεύουσιν οἱ παλαιοί. καὶ σώζεται μέχρι νῦν ἡ τοιαύτη λέξις παρὰ πολλοῖς. οὐκ ἄποθεν δέ φασιν ἐστὶ τοῦ ἐγκεῖσθαί τι ἐν αὐτῇ, τουτέστιν, ἔοικεν ἡ λέξις ἐτυμολογεῖσθαι παρὰ τὸ κεῖσθαι. (ηερς. 77.) Τὸ δὲ ἐδωδὴν παντοίην, ποικιλίαν ἄρτων δηλοῖ καὶ τοιούτων τινῶν. τὰ γὰρ ὄψα, ἰδίᾳ ἐκπεφώνηται. (ηερς. 78.) Αἴγειον δὲ ἀσκὸν κἀνταῦθα, παρατετηρημένως εἶπεν. ὡς τοιούτου δεξιοῦ ὄντος εἰς οἴνου ὑποδοχήν. (ηερς. 79.) Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἀσκοῦ φέρεται παροιμία τὸ, ἀσκῷ φλαυρίζεις. οἷον. κενῷ σώματι φλυαρεῖς. Λήκυθος δὲ, ἀγγεῖον ἐλαιοδόχον, παρὰ τὸ ἔλαιον κεύθειν. ἵνα ᾖ ἐλαιόκυθός τις. Ὅτι δὲ ἡ λήκυθος καὶ ὄλπη λέγεται, φέρει χρῆσιν Ἀθήναιος ἐξ Ἀχαιοῦ γλαφυροῦ φησι ποιητοῦ. λέγων καὶ ὅτι λήκυθοι καὶ ἐκ τιμίας ἐγένοντο ὕλης. οἷον. στέφανοι καὶ διλήκυθον μύρου χρυσοῦν καὶ ἀργυροῦν. δοκεῖ δὲ ἡ ῥηθεῖσα ὄλπη γίνεσθαι, παρὰ τὸ ἔλαιον πεπάσθαι ἤγουν κεκτῆσθαι. Ἔλαιον δὲ ὑγρὸν οὐ μόνον ὡς χαλαστικὸν καὶ ὑγροποιὸν καὶ διατηροῦν τὸ ἀλιφὲν σῶμα ἐν ὑγρότητι ὡς μὴ σκελετεύεσθαι, ἀλλὰ καὶ ὅτι οὐκ ἀποκρυσταλοῦται τῷ ψύχει διὰ τὴν ἐν αὐτῷ ποιότητα οὐ μὴν ἁπλῶς ὑγρότητα. εἰ δὲ τὸ ἔλαιον ᾧ χρῆται ἡ βασιλικὴ νεᾶνις ἔχει τι ξενίζον, οὐκ ἔστιν ἀποφήνασθαι σταθερῶς. ἴσως γὰρ ὕστερον τὰ τοιαῦτα ἐπενοήθη. ὧν πολυειδῶν ὄντων, ἐγίνετό τι καὶ ἐξ ἀκάνθης. ὡς δηλοῖ ὁ γράψας τὸ, ἐν Καρμανίᾳ ἱστορεῖ Κτησίας, ἔλαιον γίνεσθαι ἀκάνθινον, ᾧ χρῆσθαι τὸν βασιλέα. Ὅτι δὲ ὥσπερ σπηλαίου καὶ προσκεφαλαίου καὶ τυχαίου ὑποκοριστικὰ σπηλάδιον προσκεφαλάδιον τυχάδιον οὕτω καὶ ἐλαίου ἐλάδιον, δηλοῦσιν οἱ τεχνικοί. κεῖται οὖν παρὰ τῷ δειπνοσοφιστῇ, ἐλαδίου κοτύλη. (ηερς. 80.) Τὸ δὲ εἵως χυτλώσαιτο, ἀντὶ τοῦ ὅπως μετὰ λουτρὸν χυλωθείη ἀλειψαμένη. ἐντεῦθεν δὲ καὶ χύτλα ἁπλῶς τὰ λουτρὰ πλεονασμῷ τοῦ ¯τ. κοινῶς γὰρ μέχρι καὶ τῶν ἄρτι, χυλοῦσθαι, τὸ ἐξ ὑετῶν τυχὸν ὑγραίνεσθαι. καὶ ὁλόχυλος, ὁ λίαν τοῦτο παθών. οἱ δὲ παλαιοὶ, φασὶ καὶ ὅτι χύτλα, τὸ μεθ' ὕδατος ἔλαιον, ὅθεν τὸ χυτλώσασθαι. Ὅρα δὲ τὸ εἵως κἀνταῦθα, γενόμενον πλεονασμῷ τοῦ ¯ε καὶ ἐπενθέσει τοῦ ¯ι. τὸ γὰρ ἁπλοῦν ἐστιν, ὡς χυτλώσαιτο. (ηερς. 82.) Ὅτι τὸν τῶν ἡμιόνων ἐν τῷ συντόνως κινεῖσθαι ἦχον, εἰς καναχὴν ὀνοματοποιεῖ, φησὶ γάρ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μάστιξε δ' ἐλάαν, καναχὴ δ' ἦν ἡμιονοΐϊν. αἵ δ' ἄμοτον τανύοντο. τουτέστιν εὐτόνως ἐκινοῦντο. (ῃερς. 83.) Ἄμοτον δὲ ὅτι τὸ ἐντελὲς κυρίως καὶ πληρέστατον ἐκ μεταφορᾶς σωμάτων ἢ τραυμάτων μὴ δεομένων μότου, καὶ ἐν ἄλλοις ἐῤῥέθη. (ῃερς. 85.) Ὅτι τὴν τοῦ πλύνειν διασκευὴν, οὕτω προάγει ὁ ποιητής. αἵ δ' ὅτε δὴ ποταμοῖο ῥόον περικαλλέ' ἵκοντο. Ἔνθ' ἤτοι πλυνοὶ ἦσαν ἐπηετανοὶ, πολὺ δ' ὕδωρ καλὸν ὑπεκπρορέει μάλα περ ῥυπόωντα καθῆραι, ἔνθα ἡμιόνους μὲν, ὑπεκπροέλυσαν ἀπήνης. καὶ τοὺς μὲν, σεῦαν ποταμὸν παραδινήεντα, τρώγειν ἄγρωστιν μελιηδέα. αἵ δ' ἀπ' ἀπήνης εἵματα χερσὶν ἕλοντο, καὶ ἐσφόρεον μέλαν ὕδωρ. στεῖβον δ' ἐν βόθροισι θοῶς ἔριδα προφέρουσαι. αὐτὰρ ἐπεὶ πλῦνάν τε κάθηράν τε ῥύπα πάντα. ἑξείης πέτασαν παρὰ θῖν' ἁλός. ἧχι μάλιστα λάϊγγας 1.240 ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα. τὰ μέντοι ἐφεξῆς στενολεσχῶν, ἐπάγει. αἱ δὲ, λοεσσάμεναι καὶ ἀλειψάμεναι λίπ' ἐλαίῳ δεῖπνον ἔπειθ' εἵλοντο παρ' ὄχθῃσι ποταμοῖο. (ῃερς. 198.) εἵματα δ' ἠελΐοιο μένον τερσήμεναι αὐγῇ. τουτέστι ξηρανθῆναι. ἡλίῳ μὲν γάρ φασι, ξηραίνεταί τι καὶ τέρσεται καθ' Ὅμηρον. ἀνέμῳ δὲ, ψύχεται καὶ ἀναψύχεται. (ῃερς. 85.) Περικαλλέα δὲ ῥοῦν ποταμοῦ λέγει, ἐπεὶ καὶ τὸ ὕδωρ ὑποκατιὼν, καλὸν ἔφη ἐν τῷ, πολύ δ' ὕδωρ καλόν. ὅπερ τὸν ποταμὸν περιφραστικῶς δηλοῖ. καθὰ καὶ τὸ πολὺ ἁλμυρὸν ὕδωρ, τὴν θάλασσαν. (ῃερς. 86.) Τῶν δὲ πλυνῶν ἡ ἐτυμολογία, ἐν τῷ, αὐτὰρ ἐπεὶ ἔπλυναν. βόθροι δὲ, οἱ πλυνοὶ ὥσπερ καὶ προεῤῥέθη, τουτέστιν ὀρύγματα. διὸ ἐπηετανοὺς αὐτοὺς εἶπεν, ὡς δι' ὅλου ἔτους κοίλους μένοντας, καὶ μὴ ἀναπληρουμένους οἷα εἰκὸς πάσχειν τὰ βεβοθρευμένα δι' ὀρύξεως. ἕτερος δέ που ποταμὸς, λαΐνους ἔχει πλυνούς. εἰκὸς δὲ, ἀλλαχοῦ καὶ ξυλίνους εἶναι. οὐκ ἐξ ἀνάγκης δὲ πλυνὸς ἔνθα τι πλύνεται, εἴγε λάϊγγας ποτὶ χέρσον ἀποπλύνει θάλασσα. Ἐν δὲ τῷ, πολὺ ὕδωρ καὶ ἐσφόρεον μέλαν ὕδωρ, ἐκτείνεται τὸ ¯υ. ἀλλαχοῦ δὲ, οὐχ' οὕτως. οἷον ἐν τῷ, γίνετο δ' ὑγρὸν ὕδωρ. καὶ, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ. Ἐν δὲ τῷ (ῃερς. 87.) ὑπεκπρορέει, καὶ (ῃερς. 88.) ὑπεκπροέλυσαν ἀπήνης, οὐκ ἀλόγιστος ἡ ὁμοιότης τῆς τῶν ἐπαλλήλων προθέσεων συνθέσεως. ἐν μὲν γὰρ τῷ ὑπεκπρορέειν, ἡ μὲν ὑπ¯ο, τὴν κάτωθέν ποθεν ἀνάδοσιν δηλοῖ τοῦ ὕδατος. ἡ δὲ ¯εκ, τὴν ἔξοδον αὐτοῦ. ἡ δὲ πρ¯ο, τὴν αὐτοῦ πρόοδον, οὕτω δὲ καὶ ἐν τῷ, ὑπεκπροέλυσαν ἀπήνης, λέγει ὅτι τοὺς ἐζευγμένους ἡμιόνους ὑπὸ τῇ ἀπήνῃ, ἔξω ζυγοῦ ἀγαγόντες, προέρχεσθαι ἀφῆκαν εἰς νομήν. (ῃερς. 87.) Ἐν δὲ τῷ, μάλα περ ῥυπόωντα καθῆραι, ὕδατός φασι μέμνηται ὁ ποιητὴς ῥυπτικοῦ. λέγοντες καὶ ὅτι Πινδάρου τὸ ὕδωρ ἄριστον πάντων εἰπόντος, Ὅμηρος ἄλλως αὐτὸ σεμνύνων, τροφιμώτατόν τε οἶδεν ἐκεῖνο ἐν οἷς αἰγείρων ὑδατοτροφέων ἄλσος λέγει. καὶ τὸ διαυγὲς αὐτοῦ ἐπαινεῖ ἐν τῷ, κρῆναι πίσυρες ῥέον ὕδατι λευκῷ. καὶ τὸ κοῦφον, ἱμερτὸν καλεῖ, ὡς τὸν Τιταρήσιον ὃς τῷ Πηνειῷ ἐπιτρέχει. τὸ γλυκερόν τε ὕδωρ φιλεῖ. καὶ τὴν τοῦ χλιαροῦ φύσιν ἀγαθὴν οἶδε πρὸς τραύματα. διὸ τὸν Εὐρύπυλον τοιούτῳ καταιονεῖ πρὸς παρηγορίαν ὀδύνης. ὅπου γε εἰ ἐπισχεῖν φασιν ἔδει αἱμοῤῥαγίαν, τὸ ψυχρὸν ἐπιτήδειον ἦν, ὡς συστρέφον καὶ συσφίγγον. Τοῦ δὲ ῥυπόωντα ἡ συζυγία, δευτέρα τῶν περισπωμένων ἐστὶν ὅτε κοινογραφεῖται, ὡς δῆλον ἐκ τοῦ, τί ποτε οἰόμεθα τοὺς πάλαι ποτε Πυθαγοριστὰς ῥυπᾶν. ὁ Ἀθήναιος δὲ οὕτω γράφει, ὅτι δὲ καὶ ῥυπῶ ῥυπώσω ἐστὶν ἐν τρίτῃ συζυγίᾳ, ἐδήλωσεν Ὅμηρος ἐν τῷ, τά μοι ῥερυπωμένα κεῖται. (ῃερς. 89.) Δινήεις δὲ ποταμὸς, ὁ καὶ αὐτὸς ὡς πολλαχοῦ φαίνεται δινούμενός που καθὰ καὶ ἡ θάλασσα, ἤτοι δίνας ἔχων. διὸ ἐρεῖ. βαθείῃ δ' ἔμβαλε δίνῃ. (ῃερς. 90.) Τὸ δὲ τρώγειν, ὠνοματοπεποίηται ἐπὶ ἀλόγων, τραχύτητα ἔχον καὶ ἑτερότητα πολλὴν πρὸς τὸ ἐσθίειν ὅπερ ἐπὶ λογικῶν μάλιστα λέγεται. δῆλον δὲ ὡς ἐκ τοῦ τρώγειν οὗ δεύτερος ἀόριστος τὸ ἔτραγον, καὶ τράγος γίνεται, ζῶον τοῦτο βορώτατον, ὡς ἡ ἐνάργεια δηλοῖ. ἵνα ᾖ τράγος, ὁ ὡς εἰπεῖν φάγος. παράγωγα δὲ τοῦ τρώγειν καὶ τοῦ τραγεῖν, καὶ τὰ τρωγάλια καὶ τὸ τράγημα καὶ τὸ αὐτοῦ ῥῆμα τὸ τραγηματίζω, περὶ ὧν προδεδήλωται. ἀναλογία δὲ τραγήματος. ὡς φαγήματος. ἵνα ᾖ τραγῶ τραγήσω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τράγημα. ὡς φαγῶ φαγήσω φάγημα. ᾧ σύστοιχον, καὶ ἡ ἀλλαχοῦ φαγησιποσία. (ῃερς. 91.) Ἡ δὲ ἄγρωστις βοτάνη ἣν ἀγρίαν ἡ κοινὴ γλῶσσα φησὶν, ὅτι μηλιηδής ἐστιν ὅ ἐστι γλυκεῖα, δῆλον. ἔστι δὲ καὶ διουρητική. καὶ φιλεῖται τοῖς ἀλόγοις ζῴοις. Ἐσφόρεον δὲ ὕδωρ, ἀντὶ τοῦ ἔφερον ἔσω τῶν πλυνῶν. ἐναντίον δὲ πρὸς τοῦτο, τὸ ἐκφορεῖν. (ῃερς. 92.) Τὸ δὲ στεῖβον, ἀντὶ, τοῦ, ἐπάτουν. ἔτριβον τοῖς ποσίν. ὅθεν καὶ στίβος ἡ ὁδὸς ἡ καὶ τρίβος ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη. καὶ στιβὰς, ἡ καταπεπιλημένη στρωμνή. Τὸ δὲ θοῶς ἔριδα προφέρειν, δοκεῖ ἐτυμολογία εἶναι τῆς ἐρίθου καὶ συνερίθου. εἰ γὰρ καὶ παρὰ τὸ ἔριον ἐῤῥέθη γίνεσθαι ἡ ἔριθος, ἀλλ' οὐκ ἀπίθανον, ἔριθον λέγεσθαι καὶ τὴν προφέρουσαν θοῶς ἔριδα. (ῃερς. 93.) Τὸ δὲ ῥύπα, μεταπλασμὸν ἔπαθεν. ὡς γὰρ ὁ ζυγὸς τὸ ζυγὸν καὶ τὰ ὅμοια, οὕτω καὶ ὁ ῥύπος τὸ ῥύπον. οὗ ἡ εὐθεῖα παρὰ Θεοκρίτῳ, εἰπόντι, ἅπαν ῥύπον. λέγει δὲ ῥύπα, τὰ ῥύπου μετέχοντα. (ῃερς. 94.) Τὸ δὲ πέτασαν, δηλοῖ μὲν πάλιν τὸ ἥπλωσαν. ἔστι δὲ ἴσως καιριώτερον τοῦ. αἴθρη πέπταται. ἐκεῖνο γὰρ, ἐπὶ μεγίστου πράγματος τέτραπται. (ῃερς. 95.) λάϊγγας δὲ λέγει, τὰ σμικρὰ λιθάρια τὰ πρὸ τῶν χειλέων τοῦ ποταμοῦ. (ῃερς. 96.) Τὸ δὲ ἀλειψάμεναι λίπ' ἐλαίῳ, ταυτόν ἐστιν ὡς καὶ εἴπερ εἶπε, χυτλωσάμεναι ὑγρῷ ἐλαίῳ, τὸ πρὸ ὀλίγων ῥηθέν. καθὰ καὶ τὸ λίπα ἔλαιον, καθ' ὁμοιότητα ἐῤῥέθη τοῦ, ὑγρὸν ἔλαιον. (ῃερς. 100.) Ὅτι 1.241 παιζούσας πλάττων τὰς περὶ τὴν βασιλικὴν νεάνιδα, φησί. σφαίρῃ ταί τ' ἂρ ἔπαιζον ἀπὸ κρήδεμνα βαλοῦσαι, ὅ ἐστιν ἀποῤῥίψασαι. καὶ γυμναῖς ἀφελῶς παίζουσαι ταῖς κεφαλαῖς. ταῖς δὲ, (ῃερς. 101.) Ναυσικάα λευκώλενος ἤρχετο μολπῆς. εἶτα καὶ ἀποσεμνύνουσα ἡ Ὁμηρικὴ (ῃερς. 102.) Μοῦσα οἵα εὖ εἰδυῖα τήν τε δέσποιναν καὶ τὰς ἀμφιπόλους, κατὰ σεμνοτέραν παραβολὴν, ἐπάγει. οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον. τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι. τῇ δὲ, ἅμα νύμφαι κοῦραι Διὸς αἰγιόχοιο ἀγρονόμοι παίζουσι. γέγηθε δέ τε φρένα Λητώ. πασάων δ' ὑπὲρ ἥ γε κάρη ἔχει ἠδὲ μέτωπα. ῥεῖα δ' ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι, ὣς ἥ γ' ἀμφιπόλοισι μετέπρεπε παρθένος ἀδμής. (ῃερς. 110.) ἐπὶ δὲ τούτοις δεικνὺς καὶ διατί παίζειν τὰ γυναικάρια ἔπλασεν, ἐπάγει. ἀλλ' ὅτε δὴ ἔμελλεν ἡ βασιλικὴ παῖς πάλιν οἶκονδε νέεσθαι ζεύξασ' ἡμιόνους πτύξασά τε εἵματα καλά. τότε δὴ Ἀθηνᾶ νοήσασα, ὡς Ὀδυσσεὺς ἔγροιτο, ἴδοι τε τὴν βασιλικὴν κόρην ἡγησομένην αὐτῷ εἰς Ἀλκινόου, ἐποίησε τάδε. (ῃερς. 115.) Σφαῖραν ἔπειτ' ἔῤῥιψε μετ' ἀμφίπολον βασίλεια. ἤγουν ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, ἡ δέσποινα. ἀμφιπόλου μὲν ἅμαρτεν, ἤγουν ἀπέτυχεν, ἠστόχησε, (ῃερς. 116.) βαθείῃ δ' ἔμβαλε δίνῃ. δινήεις γὰρ ἤδη πέπλασται ὁ ποταμός. αἵ δ' ἐπὶ μακρὸν ἄϋσαν. ὃς δὴ νόμος γυναικῶν ἐπὶ τοῖς καινοτέροις. (ῃερς. 117.) ὅ δ' ἔγρετο δῖος Ὀδυσσεύς. οὐχ' οὕτω τῇ μολπῇ ὅσον τῇ μακρᾷ βοῇ, ἀφυπνισθείς. (ῃερς. 118.) ἑζόμενος δ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν, τὰ αὐτῷ δοκοῦντα. (ῃερς. 116.) Καὶ σημείωσαι ὅτι διαβεβόηται τοῖς παλαιοῖς τὸ χωρίον τοῦτο ἐπὶ συντομίᾳ ὡς οὕτω τάχιστα καὶ οὐ διὰ περιττολογίας ἀφυπνίζει τὸν Ὀδυσσέα. ἐν οἷς ἐπαινεῖται καὶ τὸ, βαθείῃ δίνῃ. καὶ τὸ, μακρὸν ἄϋσαν ἵνα αἱ μὲν γυναῖκες, θορυβηθῶσι διὰ τὸ μὴ πρὸς ὄχθαις ἀλλ' εἰς βάθος τὴν σφαῖραν πεσεῖν, καὶ διὰ τοῦτο βοήσωσιν. Ὀδυσσεὺς δὲ, ἀνεγερθῇ διὰ τὸ μακρὸν τῆς βοῆς. (ῃερς. 115.) Ἐν τούτοις δὲ, πρῶτα μὲν ῥητέον ὡς καὶ πάλαι ποτὲ τὸ σφαιρίζειν διὰ σπουδῆς ἤγετο. οὐχ' ἁπλοῦν ὂν οὐδὲ αὐτὸ, ἀλλὰ διαφορὰς ἔχον ῥηθησομένας ἐν τοῖς ἑξῆς. μάλιστα δέ φασιν ἐπεμελήθησαν ὕστερον σφαιριστικῆς, πόλεων μὲν, κοινῇ Λακεδαιμόνιοι. βασιλέων δὲ, ὁ μέγας Ἀλέξανδρος. ἰδιωτῶν δὲ, Σοφοκλῆς ὁ τραγικός. ὃς καὶ, ὅτε φασὶ τὰς πλυντρίας ἐδίδασκε, τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης ὑποκρινόμενος, ἰσχυρῶς εὐδοκίμησεν. εἶτα ἰστέον καὶ ὅτι παρὰ τὴν σφαῖραν ᾗ παρώνυμον ὁ Ἐμπεδόκλειος σφαῖρος, πέπαικταί τινι παλαιῷ εἰς ἄσωτον βραχυήλικα τὸ, Χαρίδης ὁ μικρὸς, ἐν πένθ' ἡμέραις σφαῖραν ἐποίησε τὴν πατρῴαν οὐσίαν. οὕτω συνεστρόγγυλεν ἰταμῶς καὶ ταχύ. Ἰστέον δὲ καὶ ὅτι σφαῖρα μὲν γίνεται, ἢ παρὰ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σπῶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ἡ συνεσπαμένη καὶ εἰς ἑαυτὴν συνεστραμμένη καὶ κυκλοτερῶς, ἢ παρὰ τὸ αἴρω κατὰ τοὶς παλαιοὺς, ἡ εἰς ὕψος ἀειρομένη. ἐξ αὐτῆς δὲ, τὸ σφαιρομαχεῖν καὶ σφαιρίζειν παρὰ Πλάτωνι. (ῃερς. 101.) Τὸ δὲ Ναυσικάα, σημειῶδες, ἐπεὶ τὸ μὲν ἁπλοῦν, νηυσὶ διὰ τοῦ ¯η παρὰ τῷ ποιητῇ. τὰ δὲ σύνθετα, διὰ τοῦ ¯α. Ναυσικάα. Ναυσίθοος. Ναυσίκλυτος. καὶ τὰ ὅμοια. (ῃερς. 102.) Τὸ δὲ εἶσι κατ' οὔρεος, Ἀττικὴν ἔχει σύνταξιν. ὡς καὶ τὸ, κατὰ σπλάγχνων ἔβαψε ξίφος. καὶ τὸ, ὁρᾶν κατὰ γῆς. καὶ τὸ, κατὰ δὲ κεφαλῆς οὔλας ἧκε κόμας. ὅτι δὲ καὶ μετὰ αἰτιατικῆς δύναται ἡ τοιαύτη συνταχθῆναι πρόθεσις, δηλοῖ ἐπαχθὲν εὐθὺς τὸ, (ῃερς. 103.) ἢ κατὰ Τηΰγετον ἢ Ἐρύμανθον. ὧν τὸ μὲν Τηΰγετον ἤγουν Ταΰγετον περὶ οὗ πολλαχοῦ δηλοῦται, ὄρος ἐστὶ Λακωνικόν. περὶ οὗ φησὶν ὁ γεωγράφος, ὅτι τε ὄρος τὸ Ταΰγετον, ὑψηλὸν καὶ ὄρθιον, μικρὸν ὑπὲρ τῆς Λακωνικῆς θαλάσσης, συνάπτει δὲ πρὸς ἄρκτον ταῖς Ἀρκαδικαῖς ὑπωρείαις. καὶ ὅτι ὄρος Ταΰγετον, ᾧ ὑποπέπτωκε Σπάρτη ἐν μεσογαίῳ καὶ Ἀμύκλαι Ὁ δὲ Ἐρύμανθος, ὄρος τε καὶ ποταμὸς περὶ Ἀρκαδίαν, ἔνθα ὁ Ἐρυμάνθιος κάπρος κατὰ Ἡρακλέα. φαίνεται δ' ἐν τούτοις κάπρους μάλιστα τρέφεσθαι καὶ ἐλάφους. περιᾴδεται γοῦν καὶ ὁ Ἐρυμάνθιος κάπρος, ἐξ οὗ ληφθὲν εἴρηται τὸ, Ἐρυμάνθιοι τῷ ὄντι σύαγροι περιεφέροντο, σιβύναις ἀργυρέαις διαπεπερονημένοι. Καὶ ὅρα τὸ σύαγροι, ὅπερ Ἴων ἀνὴρ διαλύσας, σύες ἄγριοι ἐρεῖ. καὶ τὸ, σιβύναις οὐ μὴν ζιβύνες κοινότερον διὰ τοῦ ζῆτα. (ῃερς. 102.) Ἰοχέαιρα δὲ ὡς καὶ ἐν ἄλλοις δεδήλωται, ἢ ἡ χαίρουσα ἰοῖς, ἢ μᾶλλον ἡ χέουσα ἰούς. κατὰ τὸ, βέλεα στονόεντα χέοντο. τοῦτο δὲ, καὶ ἀσπίδος ἐπίθετον τῆς ἰοφόρου, παρὰ τοῖς ὕστερον. (ῃερς. 105.) Κοῦραι δὲ Διὸς τουτέστιν ἀέρος, νύμφαι αἱ κατ' ἀλληγορίαν τὴν πολλαχοῦ ῥηθεῖσαν, διὰ τὸ ἐξ ἀέρος ἐνδίδοσθαι τῇ γῇ τὸ θρεπτικὸν ἐν φυτοῖς καὶ γόνιμον, εἰς ὃ αἱ νύμφαι ἀλληγοροῦνται ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. (ῃερς. 106.) Ἀγρο 1.242 νόμοι δὲ παροξυτόνως μὲν, αἱ τὰ ἄγρια νέμουσαι ἢ ἐν ἀγρῷ νέμουσαι. εἰ δὲ καὶ παροξύνεται ἴσως ἡ λέξις, πάθος ἂν εἴη δηλοῦσα καθ' ὁμοιότητα τοῦ προτότοκοι καὶ τῶν ὁμοίων. δοκεῖ δὲ ἀπεμφαίνειν ἡ τοιαύτη σημασία. οὐ γὰρ ἂν αἱ νύμφαι νέμεσθαι λεχθεῖεν ἂν, εἰ μὴ ἄρα τὸ νέμεσθαι νοηθείη ἀντὶ τοῦ ἁπλῶς διάγειν καὶ οἰκεῖν. οὗ χρήσεις, ἐν τῇ Ὁμηρικῇ Βοιωτίᾳ ἱκαναί. Τὸ δὲ παίζειν, σεσημείωται ὡς μὴ ἀναλογοῦν. λέγεται γὰρ ὅτι τὰ εἰς ¯ζ¯ω εἰ παραλήγονται τῇ ¯α¯ι διφθόγγῳ, ἀνεκφώνητον ἔχουσι τὸ ¯ι. οἷον. σφαδᾴζω. βορᾴζω τὸ ἐσθίω. ματᾴζω τὸ μάταια φρονῶ. τὸ παίζω φασὶν ἐκ τοῦ παῖς παιδὸς παιδίζω συγκέκοπται. (ῃερς. 107.) Τὸ δὲ γέγηθε δέ τε φρένα Λητὼ, παρῳδίαν ἔχει τοῦ, γέγηθε δέ τε φρένα ποιμήν. (ῃερς. 108.) Τὸ δὲ πασῶν ὑπερέχειν κάρη καὶ μέτωπα καὶ ἀριγνώτην εἶναι, γυναικὸς καλῆς ἔπαινος. ἰδίᾳ τῶν μετώπων ἐκφωνηθέντων ποιητικῷ τρόπῳ μετὰ τὸ κάρη. (ῃερς. 109.) Τὸ δὲ καλαὶ δέ τε πᾶσαι, οὐ περιττῶς κεῖται, ἀλλ' οἷον ἐπιφωνηματικῶς. ἵνα οὕτω σὺν τῇ δεσποίνῃ καὶ τὰς ἀμφιπόλους σεμνύνῃ. Ἀδμὴς δὲ, νῦν μὲν παρθένου ἐπίθετον. πρὸ δὲ τούτων, καὶ βοὸς ἀδαμάστου. ἣν δηλαδὴ οὔπω ταῦρος ἐδάμασε. ὥστε, καλῶς καὶ ἀταύρωτος γυνὴ λέγεται ἡ ἄζυξ καὶ παρθένος. ἣν καὶ ἀταυρώτην λέγει ὁ κωμικός. (ῃερς. 111.) Τὸ δὲ πτύσσειν εἵματα ὅ ἐστι διπλοῦν, συντελεῖ καὶ εἰς νόησιν τοῦ περιπτύσσεσθαι. καὶ τοῦ, μύθοις προσπτύσσεσθαι ὅπερ πρὸ τούτων ἔφη ὁ ποιητής. (ῃερς. 115.) Τὸ δὲ σφαῖραν ἔπειτ' ἔῤῥιψε βασίλεια, Διονυσόδωρος λέγεται γράψαι, πάλλαν ἔπειτ' ἔῤῥιψεν. ὡς ταυτὸν ὂν εἰπεῖν σφαῖραν καὶ πάλλαν ἀπὸ τοῦ πάλλεσθαι. Ῥωμαῖοι μέντοι, πίλαν τὴν σφαῖραν φασὶν, ὡς ἐν Λατινικῷ εὕρηται λεξικῷ, κατά τινα συγγένειαν τοῦ ¯ι πρὸς τὸ ἄλφα. ἐπεί τοι καὶ πῖλος παρὰ τοῖς ἀρχαίοις ἐκαλεῖτο. Σουΐδας γοῦν ἐν τῷ ¯α, φησίν. ὡς ἡ Λάρισσα σφαιρίζουσα πίλῳ, ὤλισθεν εἰς τὸν Πηνειόν. σκοπητέον δὲ εἴπερ ἡ κατὰ σφαῖραν αὕτη παιδιὰ, ἡ λεγομένη ἐφετίνδα ἐστί. τοιαύτη δὲ λέγεται παρὰ τοῖς παλαιοῖς, ὅταν ἄλλῳ προσδείξαντες τὴν σφαῖραν, ἄλλῳ ἐφῶσιν. ἡ δ' αὐτὴ καὶ φεννὶς ἐλέγετο. ἔστι γάρ φασι φεννὶς, παιδιὰ διὰ σφαίρας. ὁπηνίκα ἑτέρῳ προδεικνύντες, εἶτα ἄλλῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀφιᾶσι τὴν σφαῖραν, ὥσπερ φενακίζοντες. (ηερς. 119.) Ὅτι ἀπορῶν τις ποῦ ἐστι καὶ δεδιὼς, ἐρεῖ ἂν κατὰ τὸν Ὀδυσσέα ᾤμοι ἐγώ. τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω; ἦ ῥ' οἵγε ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι. ἠὲ φιλόξενοι καί σφιν νόος (ηερς. 121.) ἐστὶ θεουδής. ὅ ἐστι θεοειδής. ἤτοι προσηνής, ἢ θεοῖς ἁδῶν ὅ ἐστιν ἀρέσκων, εἰ δὲ καὶ (ηερς. 122.) λεπτῆς τινος ἐκεῖνος ἀκούσει φωνῆς, οἰκεῖον ἐπενεγκεῖν καὶ τὸ, ὥς τέ με κουράων ἀμφήλυθε θῆλυς ἀϋτή. Καὶ ὅρα ὡς ἐπὶ φωνῆς καινότερον τὸ θῆλυς ἔθετο καθὰ καὶ προεμνημονεύθη. (ηερς. 125.) Ὅτι αἰνιττόμενος ὁ ποιητὴς νύμφας εἶναι ἀλληγορικῶς τὰς περὶ γῆν φυσικὰς δυνάμεις τὰς τῶν φυτῶν αὐξητικὰς ὡς καὶ ἐν ἄλλοις ἐῤῥέθη, φησί. κουράων νυμφάων αἳ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα, καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα. Λέγει δὲ πίσεα ὡς καὶ ἐν ἄλλοις ἐδηλώθη, τοὺς ὑγροὺς τόπους καὶ δυναμένους πίσαι τουτέστι ποτίσαι. οὗ ἡ χρῆσις παρὰ Πινδάρῳ. οἱ δὲ παλαιοὶ, ἑρμηνεύουσιν οὕτω. πίσεα, ἕλη. πεδία. λειμῶνες. ποτίστραι. οἱ δ' αὐτοὶ λέγουσιν ὅτι καὶ Εὔπολις ἐν δήμοις, πίσει φησὶν ἀντὶ τοῦ ποτιεῖ. ἐξ οὗ καὶ πίστρα ἡ ποτίστρα. καὶ πιστὸν τὸ πινόμενον. οὗ χρῆσις παρ' Αἰσχύλῳ, εἰπόντι. φάρμακα, τὰ μὲν χριστὰ τὰ δὲ πιστά. (ηερς. 122.) Κοῦραι δὲ κατὰ τὸν ποιητὴν αἱ ῥηθεῖσαι νύμφαι, διὰ τὸ ἀεὶ νεάζειν κατὰ φύσιν καὶ μὴ γηρᾶν. διὸ καὶ νύμφαι αἱ αὐταὶ καλοῦνται, διὰ τὸ ἀεὶ νέον. ἢ κατὰ τὸ νῦν φαίνεσθαι ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη. ὃ καὶ συμβιβαστέον πρὸς τὸ, ἀεὶ νέον ἐρχομενάων, τὸ ἐν Ἰλιάδι κείμενον. (ηερς. 125.) Ὅτι ὥσπερ ἀλφισταὶ ἄνθρωποι κατὰ ἐπίθετον ἰδικὸν, οὕτω καὶ αὐδήεντες ὡς πολλαχοῦ δεδήλωται. φησὶ γοῦν Ὀδυσσεὺς μετὰ κίνδυνον γνοὺς τὰς γυναικικὰς φωνάς. ἦ δήπου ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων. ὡς εἴπερ εἶπεν, ὅτι οὐκέτι πλανῶμαι, ἀλλ' οἰκου
μένης ἐπέβην. (ηερς. 126.) δύναται δὲ εἰπεῖν αὐτὸ καὶ ὁ ἐκ βαρβάρου γῆς εἰς μὴ τοιαύτην ἐλθών. Ὅτι ἐπιβολὴ πείρας ἀκριβοῦς τὸ, ἀλλ' ἄγ' ἐγὼν αὐτὸς πειρήσομαι καὶ ἴδωμαι. (ηερς. 127.) Ὅτι κοινῶς μὲν, τὸ ὑποδύεσθαι, κρύψιν τινὰ δηλοῖ καὶ αἰτιατικῇ συντάσσεται. οἷον. τάφον ὑπέδυ. ἢ θάμνους ὑπέδυ. ὁ δὲ ποιητὴς ἐνταῦθα, θάμνων ὑπεδύσετο φησὶν Ὀδυσσεὺς, ἀντὶ τοῦ, ὑπεξῆλθεν ἐκ τῶν θάμνων. καινότερον τοῦτο φράσας καὶ ἀσυνήθως τοῖς ὕστερον. (ηερς. 128.) Ὅτι ἐκ πυκινῆς ὕλης Ὀδυσσεὺς πτόρθον κλάσε χειρὶ παχείῃ, φύλλων ὡς ῥύσαιτο περὶ χροῒ μήδεα φωτός. αἰδεῖται γὰρ γυμνοῦσθαι κούρησιν ἐϋπλοκάμοισιν ἐπελθὼν, ὡς μετ' ὀλίγα ἐρεῖ. Πυκινὴν δὲ ὕλην λέγει, τὰς προσεχῶς εἰρημένας θάμνους. αἳ 1.243 παρὰ τὸ θαμὰ ὅ ἐστι πυκνῶς, ἐτυμολογοῦνται. ὁ δὲ πτόρθος, ἔοικε κλάδος εἶναι πλατύς τε καὶ ἐπιμήκης. καὶ δοκεῖ οὕτω λεχθῆναι, παρὰ τὸ διαπετάσαι καὶ τὸ ὄρθιον. οἱονεὶ ὁ διαπετασμένος εἰς ὀρθόν. οὐ ψιλὸς δὲ οὗτος, ἀλλὰ πτόρθος φύλλων οἷος συγκρύψαι τὰ μὴ οἷά τε ὁρᾶσθαι. εἰκὸς δὲ καὶ ἐξ ἀειθαλοῦς φυτοῦ εἶναι τὸν πτόρθον. ἄλλως γὰρ, ὑπερβῆναι τὸν φυλλοχόον μῆνα φαίνεται ὁ καιρὸς, ὡς καὶ προεσημειώθη. δύναται δὲ καὶ ἐκ μὴ ἀειθαλῶν δένδρων εὑρεθῆναί τις πολύφυλλος πτόρθος ἐν ὕλῃ πυκνῇ. Τὸ δὲ κλᾶν, ὀνοματοποιεῖται. καθὰ καὶ τὸ θλᾶν καὶ τὸ θραύειν καὶ ὅσα τοιαῦτα. Τὸ δὲ χειρὶ παχείῃ, νῦν μὲν, καὶ ἐν ἄλλοις δὲ ὁμοίοις τόποις, καλῶς κεῖται. ἐπὶ δὲ Πηνελόπης ὅτε ῥηθείη, ἀκύρως τεθὲν παρέλκει. ὅτι δὲ καὶ ἄλλα τινὰ προστίθησιν ἀκύρως ὁ ποιητὴς, ἐν τοῖς εἰς τὴν Ἰλιάδα σεσημείωται. (ηερς. 129.) Μήδεα δὲ τὰ αἰδοῖα, παρὰ τὸ μέδειν ὡς καὶ ἑτέρωθι ἐδηλώθη. ἀρχὴ γάρ τις ἐν τοῖς ζῴοις καὶ αὐτά. Ἡσίοδος δὲ καὶ ἄλλοι, μέζεα ταῦτα φασὶ, συστολῇ τῆς ἀρχούσης καὶ τροπῇ συνήθει τοῦ ¯δ εἰς ζῆτα. (ηερς. 130.) Ὅτι τὸν Ὀδυσσέα γυμνὸν ὄντα, καὶ δυσπρόσιτον διατοῦτο φανῆναι μετὰ βλοσυρότητος μέλλοντα ταῖς κόραις, λέοντι παραβάλλει. εἰπών. βῆ δ' ἴμεν ὥστε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς. ὅστ' εἶσ' ὑόμενος καὶ ἀήμενος. ἐν δέ οἱ ὄσσε δαίεται. αὐτὰρ ὁ βουσὶ μετέρχεται ἠὲ ὀΐεσσιν. ἠὲ μετ' ἀγροτέρας ἐλάφους. κέλεται δέ ἑ γαστὴρ μήλων πειρήσοντα, καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν. ὣς Ὀδυσσεὺς κούρῃσιν ἔμελλε μίξεσθαι γυμνός περ ἐών. χρειὼ γὰρ ἵκανεν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ηερς. 137.) εἶτα δεικνὺς ὡς οὐ πρὸς τὴν Ὀδυσσέως ἀνδρίαν ἡ παραβολὴ ἀλλὰ πρὸς ἔκπληξιν ἣν ἐξ αὐτοῦ αἱ γυναῖκες ἔπαθον, ἐπάγει. σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ. εἰ γὰρ καὶ τὴν ἅλμην ἀποπλυνάμενος κάλλεϊ καὶ χάρισι στίλβει, ἀλλὰ νῦν διὰ τὴν πολυήμερον κάκωσιν, πολὺ τὸ σμερδαλέον ἔχει ἄλουτος ὤν. (ηερς. 138.) οὗ δεῖγμα, ὁ τῶν ἀμφιπόλων φόβος. φησὶ γάρ. τρέσσαν δ' ἄλλυδις ἄλλη ἐπ' ἠϊόνας προυχούσας. πλάττει δὲ ταῦτα Ὅμηρος κατὰ τὸ εἰκός. καὶ πᾶσα μὲν γάρ φασι νεότης, διὰ ἀπειρίαν ἔμφοβος. ἡ δὲ θήλεια, μᾶλλον. μάλιστα δὲ, αἳ ἐν τρυφῇ διὰ τὸ ἄηθες καταπλήττονται. (ηερς. 139.) ἡ μέντοι Ναυσικάα μόνη ἔμενεν οὐδέν τι ἀγεννὲς παθοῦσα, διὰ σύνεσιν. διὸ λέγει ὁ ποιητὴς ὡς ἡ Ἀθηνᾶ ταύτῃ θάρσος ἐνὶ φρεσὶ θῆκε, καὶ ἐκ δέος εἵλετο γύων. (ηερς. 141.) στῆ δ' ἄντα σχομένη, ἤγουν κρατηθεῖσα ἡ ἐπισχοῦσα ἑαυτὴν τῆς φυγῆς. λογίζεται γὰρ φρονίμως, ὡς οὐδέν τι ἔχει φοβερὸν ἡ νῆσος καθάπερ αὐτὴ κατασκευάσει ἐν τοῖς ἑξῆς. ὥστε οὐδὲ φοβητέον τὸν βλεπόμενον. Ὁμήρου δὲ καὶ τοῦτο δεινότης διὰ τὸ εὐπλαστότερον. εἰ γὰρ ἡ τοῦ βασιλέως θυγάτηρ ἔφυγεν, εἰς κακόζηλον ἐνέπιπτεν ἡ Ὁμηρικὴ πλάσις καὶ οὐκ ἦν καλῶς πιθανεύσασθαι τὰ ἐφεξῆς. ὥστε καὶ τὸ Ὁμηρικὸν εὐμέθοδον εἴη ἂν, ἡ τὴν κόρην ποιοῦσα μένειν Ἀθηνᾶ. εἶχε μὲν γὰρ Ὀδυσσεὺς ἐν τῷ τὰς γυναῖκας φυγεῖν, αὐτὸς λαβὼν ἐνδύσασθαι καὶ γενέσθαι τῆς πόλεως. πολλαὶ δὲ ἂν οὕτω τῶν Ὁμηρικῶν Χαρίτων ἐπέλιπον ἐνταυθοῖ. διὸ κατά τινα Ἀθηνᾶν, τὸ εὐπλαστατότερον φρονίμως ἐπελέξατο. Ὅρα δὲ καὶ ὡς ἐν τῇ ῥηθείσῃ παραβολῇ στρέψας ὁ ποιητὴς τὸ νόημα, τὰς κόρας ἃς φθάσας νύμφαις εἴκασεν ἐρεσιβίοις, τὰς αὐτὰς κατὰ νοῦν ἄλλον, βουσὶ καὶ ἐλάφοις ἐνταῦθα καὶ μήλοις ἐξομοιοῖ αἷς ἐπέρχεται λέων. τοιαῦτα δὲ καὶ ἐν ἄλλοις ποιεῖ. ὡς καὶ ὅτε τὸν Ἀγαμέμνονα πῆ μὲν, τρισὶ θεοῖς εἰκάζει ἐν Ἰλιάδι. πῆ δὲ ταύρῳ ἀγέλης ἐξάρχοντι. κατὰ διαφόρους ἐννοίας τὰ τοιαῦτα ποιῶν. καὶ οὕτω μὲν ταῦτα. (ηερς. 130.) Τὸ δὲ ἀλκὶ πεποιθὼς, πολλαχοῦ κεῖται καὶ ἐν Ἰλιάδι παρὰ τῷ ποιητῇ. καὶ δεδήλωται περὶ αὐτοῦ τὸ ἀρκοῦν. (ηερς. 131.) Τὸ δὲ ὑόμενος καὶ ἀήμενος, δι' ὁμοιότητα ἐτέθη πλείω. ἵνα μὴ λέοντι ἁπλῶς ὁ τῇ ἅλμῃ κεκακωμένος εἰκάζηται, ἀλλὰ χειμαζομένῳ καὶ οὕτως ἐπὶ πλέον ἀγριουμένῳ. (ηερς. 132.) Τὸ δὲ ὄσσε δαίεται τουτέστι πυρόεν βλέπει, συντομώτατα μὲν ἐῤῥέθη. ἀλλαχοῦ γὰρ, πυρὶ λαμπετόωντι ἐοίκασιν οἱ τοιοῦτοι ὀφθαλμοί. δοκεῖ δὲ καί τι ἀστειότητος ἔχειν ἀντιθετικῆς. ἵνα λέγῃ ὡς αὐτὸς μὲν, πρόεισιν ὑόμενος. οἱ δὲ ὀφθαλμοὶ αὐτῷ, καίονται. ὡς τοῦ πολλοῦ ὑετοῦ ἀνάπτοντος αὐτῷ τὸν θυμόν. Ὅτι δὲ οὐ μόνον λέων καὶ σῦς ἄγριος ὄσσε δαίεται καὶ πῦρ δέδορκεν ἀλλὰ καὶ δράκων, δηλοῖ ὁ γράψας τὸ, δράκοντες πῦρ ὁρῶντες οἷον ὀξύτατον. (ηερς. 133.) Τὸ δὲ βουσὶ μετέρχεται, κρεῖττον γράφειν, ἐπέρχεται. Ἀγρότεραι δὲ καὶ ἐνταῦθα ἔλαφοι, οὐ μόνον αἱ ἄγριαι, ἀλλὰ καὶ αἱ ἀγηρότεραι, καὶ κατὰ τὴν ζωϊκὴν ἱστορίαν, πολυχρόνιοι. Τὸ δὲ κέλεται γαστὴρ, συντελεῖ καὶ αὐτὸ πάνυ εἰς τὴν παραβολὴν ὡς γὰρ τὸν λέοντα ἡ γαστὴρ πείθει καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν κατὰ τὸν παρὰ τῷ Ἀράτῳ μονόλυκον, οὕτω καὶ Ὀδυσσεὺς φανεῖται ἀναγκαίως ταῖς κόραις. χρειὼ γὰρ ἵκανεν. Ἐκ δὲ 1.244 τοῦ, κέλεται γαστὴρ λαβόντες οἱ μεθ' Ὅμηρον, δέσποιναν ἐφίστασθαι τοῖς τὴν ζῴοις γαστέρα εἶπον. (ηερς. 136.) Τὸ δὲ κούρῃσι μίξεσθαι, οὐ παιγνιῶδες κατὰ τὸ, μίγη φιλότητι καὶ εὐνῇ. καὶ, ἀνδράσι μίσγεται ἀμφαδίην πρὶν γάμον ἐλθεῖν ἀλλ' ὥσπερ καὶ Φαίαξιν ἐπιμίσγεται ἀντιθέοισιν ὁ Ὀδυσσεύς, οὕτω καὶ ἐνταῦθα ταῖς κόραις. (ηερς. 138.) Τὸ δὲ ἔτρεσαν, ἐπὶ φυγῆς ἐνταῦθα. εἰ καὶ οἱ μεθ' Ὅμηρον ἄλλως χρῶνται τῇ λέξει. Ἠΐονες δὲ προὔχουσαι, αἱ προκείμεναι. ἵνα καθ' ὃν λόγον προβλῆτες πέτραι λέγονται, οὕτω καὶ αἰγιαλοὶ προὔχοντες. χρήσιμον δ' ἐνταῦθα καὶ τὸ, ἀσκοῦ προὔχοντα πόδα. ἐντεῦθεν δέ ποτε μεταφορικῶς καὶ προέχειν τὸ ἀξιωματικῶς ὑπερέχειν. (ηερς. 139.) Τὸ δὲ μένειν καὶ θάρσος ἔχειν, οὐ μακράν ἐστι τοῦ μένος καὶ θάρσος σχεῖν. (ηερς. 140.) Τὸ δὲ θάρσος ἐνὶ φρεσὶ θῆκε, καὶ τὸ, ἐκ δέος εἵλετο γυίων, ἐκ παραλλήλου δηλοῦσι τὸ αὐτό. ἡ γὰρ τοῦ θάρσους ἔνθεσις, δέους ἐστὶν ἐξαίρεσις.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

(ηερς. 141.) Τὸ δὲ σχομένη, ἐνταῦθα μὲν, μέσως ἐῤῥέθη ὡς ἀνωτέρω ἡρμηνεύθη. ἐν δὲ τῷ, σχομένη λιπαρὰ κρήδεμνα, ἐνέργειαν δηλοῖ ὡς προδεδήλωται. (ηερς. 143.) Ὅτι μερμηρίξας Ὀδυσσεὺς ἢ γούνων λίσσοιτο λαβὼν εὐώπιδα κούρην ἢ αὔτως ἤγουν οὕτως ὡς ἔχει ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι λίσσοιτο εἰ δείξειε πόλιν καὶ εἵματα δοίη, ἔκρινε κέρδιον εἶναι, λίσσεσθαι ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι. Καὶ ὅρα ὡς παρὰ τρεῖς λέξεις, δὶς τὸν αὐτὸν ἔφη στίχον, τὸ ἐπέεσσιν ἀποσταδὰ μελιχίοισι, διὰ τὸ τῶν λέξεων καίριον καὶ τὸ τῆς συνθήκης εὐάρμοστον. (ηερς. 147.) αἰτία δὲ τῆς κερδίονος κρίσεως, αὕτη. μὴ οἱ φησὶ γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη, διὰ τὸ ἐνταῦθα ἴσως μὴ τοιοῦτον ἔθος εἶναι. πῶς δὲ τὸ τοιοῦτον σκέμμα κέρδιον τῷ Ὀδυσσεῖ, αὐτίκα μετ' ὀλίγα δηλωθήσεται. Καὶ ὅρα ὅτι τὸ λαβεῖν καὶ γενικῇ συνέταξεν ἐν τῷ, γούνων λαβὼν, καὶ αἰτιατικῇ ἐν τῷ, γοῦνα λαβόντι. οἱ δὲ μεθ' Ὅμηρον, λαβέσθαι φασὶ μετὰ γενικῆς. ὅτι δὲ τὸ, γούνων λαβὼν ἀντὶ τοῦ ἁψάμενός ἐστι, δηλοῖ μετ' ὀλίγα τὸ, δείδια γούνων ἅψασθαι. (ηερς. 143.) Τὸ δὲ ἀποσταδὰ ὅ ἐστι πόῤῥω καὶ ἐκ διαστήματος, κατὰ τὸ ἀναφανδὰ ἐσχημάτισται, ὡς γὰρ ἀναφανδὸν ἀναφανδὰ, οὕτως ἀποσταδὸν ἀποσταδά. Πρωτότυπον δὲ μειλιχίου λόγου, ὁ μείλιχος. ᾧ ἀνάλογον ἔχει, ὁ Φρύνιχος. ὁ τάριχος. ὁ κόψιχος ὅπερ ἐστὶ κόσσυφος, ὁ δόλιχος, ὀσπρίου εἶδος. ὁ Θευδέριχος. ὁ Ἰάμβλιχος. (ηερς. 144.) Τὸ δὲ εἰ δείξειε πόλιν, ἀντὶ τοῦ εἴπως δείξει, αὐτὸ δὲ, ταυτόν ἐστι τῷ ὅπως, κατὰ μετάληψιν συνδέσμων ὥς φασιν οἱ ῥήτορες. (ηερς. 149.) Ὅτι μερμηρίξας Ὀδυσσεὺς ὡς ἐῤῥέθη τὸ κέρδιον, αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον. τὴν βασιλίδα παῖδα κολακεύων λόγοις ἐπαινετηρίοις. ὧν οἱ πλείους, χρήσιμοι ἐγκωμίοις παραπλέκεσθαι γυναικῶν. λέγει δὲ τοιαῦτα ὁ Ὁμηρικὸς πολύμητις ῥήτωρ. γουνοῦμαί σε ἄνασσα, θεός νύ τις, ἢ βροτός ἐσσι. εἰ μέν τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν, Ἀρτέμιδί σε (ηερς. 157.) ἔγωγε Διὸς κούρῃ μεγάλοιο εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐΐσκω, τοῦτο δὲ, ἢ διὰ τὸ εὑρεθῆναι ὀρειφοῖτιν καὶ ταύτην, ἢ καὶ ὡς εἰκὸς διὰ τὸ ἀπὸ ζωγραφικῶν ἐκτυπώσεων ἐμφερές. (ηερς. 153.) εἰ δέ τις ἐσσὶ βροτῶν οἳ ἐπὶ χθονὶ ναιετάουσι, τρισμάκαρες μὲν σοίγε πατὴρ καὶ πότνια μήτηρ. τρισμάκαρες δὲ κασίγνητοι. μάλα που σφίσι θυμὸς αἰὲν εὐφροσύνῃσιν ἰαίνεται εἵνεκα σεῖο, λευσσόντων τοιόνδε θάλος χορὸν εἰσοιχνεῦσαν. (ηερς. 158.) κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων, ὃς κέ σ' ἐέδνοισι βρίσας, οἶκονδ' ἀγάγηται. εἰ δὲ τοῦθ' οὕτως ἔχει, τίς ἂν εἴει Ὀδυσσεὺς περιφρονήσας τοιαύτην γυναῖκα; οἵα δὲ καὶ ἡ Πηνελόπη ἣν τῆς τοιαύτης κόρης (ηερς. 160.) προτίθησιν; εἶτα ὑψῶν τὸν ἔπαινον συγκριτικῶς, ἐπάγει. οὐ γάρ πω τοιοῦτον ἴδον βροτὸν ὀφθαλμοῖσιν οὔτ' ἄνδρα οὔτε γυναῖκα. σέβας μ' ἔχει εἰσορόωντα. (ηερς. 162.) ὥς τε ἀσυγκρίτου τῆς κήρης οὔσης ὡς πρὸς τοὺς ὁμοειδεῖς ἀνθρώπους, ἐξ ἀνάγκης εἰς τὸν καθά περ Εὐριπίδης φησὶ, πρωτόγονον Δήλιον φοίνικα ἀφορᾷ, ᾧ οὐδὲν φυτὸν ὅμοιον εἰς κάλλος. καὶ ἄλλως δὲ εἰπεῖν, θείῳ μὲν ἤδη προσώπῳ εἰκάσας αὐτὴν, ἀνθρώπῳ δὲ παραβαλεῖν οὐκ ἔχων, ζῴῳ δὲ ἀλόγῳ σμικροπρεπὲς κρίνας ὁμοιῶσαι, παρατίθησιν αὐτὴν ἔρνει εὐγενεῖ. ὃ θάλος ἐνταῦθα εἶπεν ὁ ποιητής. καὶ συγκρίνας ἢ ἐκεῖνον τῇ κόρῃ ἢ ταύτην ἐκείνῳ διὰ τὸ εὐφυὲς καὶ κατὰ σῶμα εὐσταλὲς καὶ ὄρθιον καὶ εὔμηκες. μᾶλλον μὲν οὖν ἀντεξετάσας τὸ ἐπὶ τῷ φοίνικι θαῦμα καὶ τὸ ἐπὶ τῇ κόρῃ, ἄγει αὐτὰ πρὸς ἶσον. καὶ λέγει ἐπίσης ἄμφω θαυμάσαι, ἵνα πιθανῶς δόξῃ καὶ καλῶς ἣν ἀσύγκριτον ἀνθρώποις ἔφη, ἐξισάζειν οὕτω τῷ φοίνικι. θείῳ τινὶ καὶ αὐτῷ εἶναι δοκοῦντι ὡς αὐτίκα ῥηθήσεται ἐν τοῖς ἐφεξῆς. νῦν γοῦν τέως φησί. Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ, φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα, ἦλθον γὰρ κἀκεῖσε. πολὺς δέ μοι 1.245 ἕσπετο λαὸς τὴν ὁδὸν, ᾗ δὴ ἔμελλεν ἐμοὶ κακὰ κήδε' ἔσεσθαι. ὡς δ' αὔτως κἀκεῖνο ἰδὼν, ἐτεθήπεα θυμῷ δήν. ἐπεὶ οὔπω. τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης. ὥς σε γύναι ἄγαμαί τε, τέθηπά τε. δείδια δ', αἰνῶς γούνων ἅψασθαι. χαλεπὸν δέ με πένθος ἱκάνει. εἶτα εἰπὼν ὡς χθιζὸς ἐεικοστῷ ἔκφυγον ἤματι τὸν πόντον. (ηερς. 173.) καὶ εὐλαβεῖσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσεπειπὼν μή που καὶ τῇδε πάθοι κακὸν, ἐπιφέρει τὰ εἰς ἱκετείαν, καὶ φησίν. ἀλλὰ ἄνασσ' ἐλέαιρε. σὲ γὰρ κακὰ πολλὰ μογήσας, ἐς πρώτην ἱκόμην. τῶν δ' ἄλλων οὔ τινα οἶδα ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν, ἄστυ δέ μοι δεῖξον. δὸς δὲ ῥάκος ἀμφιβαλέσθαι εἴτι που εἴλυμα σπείρων ἔσχες ἐνθάδ' ἰοῦσα. (ῃερς. 180.) ἐφ' οἷς ἐπιτείνων Ὀδυσσεὺς τὸ τοῦ λόγου μειλίχιον, καὶ τὴν τοῖς ἀποροῦσιν εὐπόριστον ἀμοιβὴν τὴν εὐχὴν δηλαδὴ, προτείνων τῇ νεάνιδι, φησί. σοὶ δὲ θεὸς τόσα δοίη ὅσα φρεσὶ σῇσι μενοινᾷς. (ῃερς. 181.) εἶτα ὡς οἷον ὑπειπὼν αὐτὸς ἑαυτῷ τί δὲ ὦ Ὀδυσσεῦ εἴ σοι κακὰ μενοινᾷ ἡ κόρη αὕτη ὥς που καὶ ἡ τοῦ Ἀντιφάτου κορίσκη, περὶ ἧς ἐν τοῖς ἑξῆς δηλοῖ ὁ ποιητὴς ὡς ἐπὶ κακῷ τοῖς τοῦ Ὀδυσσέως ἐκείνη εἰς τὸν τοῦ πατρὸς οἶκον ἡγήσατο, ἐπιφέρει διὰ σαφήνειαν, διάρθρωσιν τῆς εὐχῆς. εἰπών. ἄνδρά τε καὶ οἶκον καὶ ὁμοφροσύνην ὀπάσειεν ἐσθλήν. (ῃερς. 182.) ὃ δὴ καὶ ἐξαίρων, γνωματεύει οὕτως. οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν, οἶκον ἔχητον ἀνὴρ ἠδὲ γυνή. πόλλ' ἄλγεα δυσμενέεσσι. χάρματα δ' εὐμενέτῃσι. (ῃερς. 185.) μάλιστα δ' ἔκλυον αὐτοί. τουτέστιν ἐξάκουστοι ἐγένοντο. καὶ ταῦτα μὲν ὁ Ὀδυσσεύς. ἡ δὲ κόρη, αὐτὸν εὔξεται ἄνδρα σχεῖν. οὐ τῷ Ὀδυσσεῖ ἔκφορον θεμένη τὸν λόγον, οὐδὲ γὰρ ἐχρῆν, ἀλλὰ ταῖς ἡλικιώτῃσιν ἀμφιπόλοις ἠρέμα καθ' ἑαυτάς. τοῦτο δὲ, ἐπαινεῖ φασιν Ἔφορος, λέγων εὐφυῶς πρὸς ἀρετὴν ψυχῆς εἶναι τὴν παῖδα. καὶ διατοῦτο τοῦ ὁμοίου καταστοχάσασθαι καὶ εὔξασθαι τυχεῖν αὐτοῦ. (ῃερς. 148.) Ἰστέον δὲ ὅτι μειλίχιοι μὲν οἱ τοῦ Ὀδυσσέως λόγοι, διὰ τὸ ἐγκωμιαστικὸν εἶδος. εἰώθαμεν γὰρ οἱ πολλοὶ, τοῖς εἰς ἡμᾶς αὐτοὺς ἐπαίνοις χαίροντες, μειλίσσεσθαι. κερδαλέοι δὲ, διότι μικρὰ αἰτήσας, δὸς γάρ φησι ῥάκος καὶ ἄστυ δεῖξον, κερδαίνει μεγάλα ἐκ τῆς βασιλικῆς παιδός, ὑπαχθείσης οἷς ἐπαινέθη καὶ διακρινάσης τὸ δέον. ἵνα μὴ δὲ ὁ Ὀδυσσεὺς μίλεον ἐνταῦθα αἶνον ἐρεῖ, ἔνθα διδάσκει ὁ ποιητὴς τοὺς αἰτουμένους, μὴ εἰς τοὺς λόγους τῶν αἰτούντων ἀλλ' εἰς τὴν χρείαν ἀφορᾶν. ἰδοὺ γὰρ ἡ Ναυσικάα μέτρια ζητηθεῖσα, μεγάλα καλὰ ποιεῖ πρὸς τὴν τοῦ αἰτησαμένου ποιότητα. ὁ τοιοῦτος λογισμὸς, τὸ τοῦ κυνικοῦ Διογένους ἐξέφῃνε σκῶμμα. ὃς δεξιωθεὶς πρὸς βασιλέως ὀστέοις ὡς κύων, κυνῶν μὲν ἔφη τὸ βρῶμα οὐ βασιλικὸν δὲ ὅμως τὸ δῶρον. ὡς χρεὼν ὂν, τοὺς μεγάλους καὶ μεγαλοδώρους εἶναι. ἐντεῦθεν περιᾴδεται βασιλεὺς ὃς ἀνδρὶ ταπεινῷ δούς τινα δωρεὰν καὶ ἀκούσας πολλὴν αὐτὴν εἶναι, εἶπε, τῷ λαβόντι τοιαύτην φανῆναι, αὐτῷ δὲ ὡς βασιλεῖ, μικρὰν εἶναι. ἱστορεῖ δέ που καὶ Πλούταρχος μεγάλην βασιλικὴν δωρεάν. ἣν κωλύοντος τοῦ βασιλικοῦ ταμιούχου, ὁ βασιλεὺς δυσανασχετήσας, ἐπλήθυνεν ἐπιβαλὼν πλέον ἀργύριον. ἐπαινεῖται δὲ καὶ ὁ ἐπὶ ἑρμαίῳ ἤτοι εὑρήματι θησαυροῦ προσενεχθέντι. παραχωρήσας τῷ εὑρηκότι, χρᾶσθαι τῷ τῆς τύχης καλῷ. ὡς δὲ ὁ εὑρὼν ἐπέμενε πλεῖον εἶναι τὸ εὑρημένον ἢ κατὰ τὴν αὐτοῦ ἀξίαν, ἐπιτάξας καὶ παραχρᾶσθαι οἷς εὕρηκεν. Ἔτι ἰστέον καὶ ὅτι ἐν τῷ, μειλίχιον καὶ κερδαλέον φάτο μῦθον, τὴν τοῦ κατὰ τὸν Ὀδυσσέα λόγου ἰδέαν θεωρητικῶς χαρακτηρίζει ὁ ποιητής. μονονουχὶ λέγων, ὡς ἐμβριθὲς οὐδὲν ἔχει κατὰ τὰς ἐν Ἰλιάδι ἐκείνου δημηγορίας. μόνα δὲ λαλεῖ ὅσα πρὸς κέδρους αὐτῷ ἔσται. διὸ καὶ τὸ ἐπὶ τῇ κόρῃ θάμβος, πολύ. καὶ ὁ ἔπαινος, οὐ μέτριος. καὶ ἡ εὐχὴ δὲ, πρὸς ἐπίτασιν. καὶ ἄλλως δὲ φράσαι, ῥητορικῶς θεωρεῖ ὁ ποιητής. ἑρμηνεύων ὡς οἱ ἐνταῦθα τοῦ Ὀδυσσέως λόγοι, δεινῶς μεθοδεύονται κατὰ λόγον γλυκύτητος. τοιοῦτος γὰρ ὁ μειλίχιος λόγος. διὸ καὶ αἱ συγκρίσεις αὐτῷ, ἡ μέν, τολμηρὰ, ἡ πρὸς τὴν Ἄρτεμιν. ἡ δὲ, γλυκέως ἀφελής. ἡ πρὸς τὸν Φοίνικα. ἔχει δὲ καὶ ἐπίδειξιν σοφίας τὸ περὶ ὁμοφροσύνης γνωμικόν. καὶ ὅλως, ἡ λαλιὰ πᾶσα πρὸς τὸ κερδαλέον διεσκεύασται, ἐπεὶ καὶ τοιούτου λόγου ἦν καιρός. Ἰστέον δὲ ὅτι τὸ δριμύτερον τῶν νοημάτων, ἐπίτηδες προέταξε, τὴν πρὸς τὸ θεῖον δηλαδὴ σύγκρισιν. κερδαλεώτατα καὶ τοῦτο ποιήσας. καὶ ἁρπάσας οὕτω τὴν τῆς κόρης γνώμην ὑπὲρ ἑαυτοῦ. καὶ ἔστι μὲν μειλίχιον τὸ, γουνοῦμαί σε ἄνασσα, εἰς πλέον δὲ τὸ, ἀλλ' ἄνασσ' ἐλέαιρε. (ῃερς. 149.) Τὸ δὲ γουνοῦμαι, δῆλον ὡς οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνεργείᾳ ἐνταῦθα, προαιρέσει δὲ μόνῃ. ἄλλως γὰρ ἐρεῖ δεδιέναι γούνων ἅψασθαι. Σημείωσαι δὲ καὶ ὅπως Ὅμηρος τὸν ῥήτορα Ὀδυσσέα, πλάττει ἐκεῖνο εἰπόντα, ὃ καὶ αὐτὸς ἔφη πρὸ μικροῦ. ἐκεῖνός τε γὰρ ἐν παραβολῇ, Ἀρτέμιδι τὴν κόρην 1.246 εἴκασε, καὶ Ὀδυσσεὺς δὲ ὁμοίως λέγει. (ῃερς. 152.) Φυὴν δὲ καὶ νῦν οἱ παλαιοὶ λέγουσι, τὴν ἐκ πάντων τῶν τῶν μελῶν ἀναλογίαν. ὃ δὴ κάλλους ἐστὶν ἴδιον. Τὸ δὲ ἄγχιστα ἐΐσκω, ἀντὶ τοῦ, σχεδὸν ἤτοι ἐγγὺς, οὐ μὴν αὐτόχρημα. οὐ γὰρ ἦν σύγκρισις. Θάλος δὲ, ὡς ἐπὶ φυτοῦ εἶπε. καὶ ἔστι τοῦτο ἀφορμὴ καὶ ἀρχὴ τῆς ἐφεξῆς πρὸς φοίνικος ἔρνος συγκρίσεως. ἐπεὶ καὶ ταυτὸν ἔρνος καὶ θάλος. ὁ δέ γε παρὰ τοῖς ὕστερον θαλλὸς ἐν δυσὶ λάμβδα καὶ ὀξυτόνως, δηλοῖ μὲν καὶ αὐτὸς πᾶν τὸ θάλλον καθὰ καὶ τὸ θάλος, ἐθέλει δὲ ἔχειν προσθήκην. διὸ κατὰ Αἴλιον Διονύσιον, προστιθέασιν, ἐλάας ἢ ἄλλου τινός. καὶ θαλλοφόροι δέ τινες ἦσαν ἐν Ἀθήναις. τοιοῦτοι δὲ ἔν τισιν ἑορταῖς οἱ γεραίτατοι. (ῃερς. 156.) Σημείωσαι δὲ καὶ τὸ, σφίσι θυμὸς ἰαίνεται λευσσόντων, δοκοῦν σολοίκως ἔχειν, λεύσσουσι γὰρ ὤφειλεν εἰπεῖν. ἔστι δὲ τοιοῦτον σχῆμα καὶ ἐν τοῖς κατὰ τὸν Κύκλωπα, ὅτε εἴπῃ, ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ δεισάντων φθόγγον βαρύν. καινοπρεπὲς γὰρ καὶ αὐτό. σόλοικον δὲ, οὐκ ἄν. Ἰστέον γὰρ ὅτι δυσχερές ἐστι σολοικίσαι τὸν πλαγιάζοντα. χρηστέον δὲ τοιούτοις σχήμασιν, ὅτε τι συγχέει πάθος τὴν ψυχήν. ὡς ἐνταῦθα μὲν τὸν Ὀδυσσέα τὸ πολὺ σέβας ὡς αὐτὸς λέγει, τουτέστιν ἡ ἔκπληξις, ἐκεῖ δὲ, τὸ δέος, ὡς δηλοῖ τὸ, δεισάντων. οὐκ ἔχει γὰρ κρατεῖν τῆς κατ' ὀρθὸν φράσεως ὁ τε ταραγμένος τὴν ψυχήν. Τὸ δὲ εἰσοιχνεῦσαν, ἄδηλον εἴτε οὐδέτερόν ἐστιν εἴτε θηλυκὴ μετοχὴ ἀντὶ τοῦ, εἰσοιχνέουσαν. δύναται γὰρ καὶ οὕτω κατὰ σχῆμα Ἀττικόν. Ἀττικίζει γὰρ πάντως ὁ εἰπὼν ἐνταῦθα, τοιόνδε θάλος, χορὸν εἰσπορευομένην. ταυτὸν ὂν τῷ, τοιάνδε θαλερὰν κόρην χορεύουσαν. τοιοῦτον δέ τι καὶ τὸ, φίλε τέκνον, ἀντὶ τοῦ, φίλε υἱέ. Ἰστέον δὲ ὡς δυνατὸν ὂν εἰσοιχνοῦσαν εἰπεῖν κοινότερον, ὅμως ὁ ποιητὴς εἵλετο τὸ καινότερον ὡς φίλον αὐτῷ καθὰ καὶ ἄλλοι προαιροῦνται. οὕτω Δωριεῖς ἐν τῷ, λεξεῖται ποιησεῖται ἐσσεῖται, μεταθέντες τὴν παρατέλευτον ¯ε¯ι δίφθογγον εἰς τὴν ¯ο¯υ, παρενθέσει τοῦ ¯ν, ποιησοῦντι φασὶ καὶ τελεσοῦντι καὶ ἐσσοῦντι. πᾶς γὰρ μέλλων καθ' Ἡρακλείδην τοιοῦτος ἐπὶ τρίτου πληθυντικοῦ, Δωρικῶς εἰς τὸ τ¯ι λήγει τῆς ο¯υ διφθόγγου παραληγούσης. οὕτω δὲ καὶ ἐπὶ τοῦ ποιοῦντι ἀντὶ τοῦ ποιοῦσι καὶ ὀρθοῦντι ἀντὶ τοῦ ὀρθοῦσι καὶ τῶν ὁμοίων θεμάτων τῆς πρώτης καὶ τρίτης τῶν περισπωμένων. ἔτι δὲ καὶ τῶν μελλόντων. ποιησοῦντι γὰρ καὶ ὀρθωσοῦντι καὶ τὰ ὅμοια. ἐπὶ μέντοι δευτέρας, διὰ τοῦ ¯α μηκυνομένου καὶ τοῦ ¯ν. γελασοῦντι γὰρ καὶ γελᾶντι. καὶ βοασοῦντι βοᾶντι. ἐπὶ δὲ βαρυτόνων, ἡ ¯ο¯ν συλλαβὴ ἐν τούτοις παρατελευτᾷ. οἷον. λέγοντι ἀντὶ τοῦ λέγουσι. καὶ τὰ ὅμοια. τῶν δ' αὐτῶν Δωριέων, καὶ τὸ φρονοῦσι καὶ νοοῦσι, φρονεῦντι λέγειν καὶ νοεῦντι ἐπὶ περισπωμένων δηλαδή. ἅπερ ἐξάρσει τοῦ ¯ν λεγόμενα, Αἰολικά ἐστιν. οἷον. φρονεῦτι. ἔτι δὲ καὶ εὖτι ἀντὶ τοῦ, εἰσίν. ὅπερ ἄλλως ἐντὶ λέγεται. Δώριον ὁμοῦ ὂν καὶ Αἰολικὸν. Δώριον μὲν φησὶ, διὰ τὸ ¯ν καὶ τὸ ¯τ. Αἰολικὸν δὲ, διὰ τὴν παράληξιν τοῦ ¯ε. τὰ γὰρ εἰς σ¯ι περαιούμενα τρίτα πληθυντικὰ θέματα τῇ ¯ε¯ι διφθόγγῳ παραληγόμενα, μετατιθέασι τὸ μὲν ἰῶτα εἰς ¯ν Δωρικᾶς, τὸ δὲ σίγμα εἰς ¯τ. τιθεῖσι τιθέντι. ἱεῖσιν ἱέντι. οὕτω δὲ καὶ Αἰολικῶς, οἴκεντι φίλεντι, ἤγουν οἰκοῦσι φιλοῦσι. τοιοῦτον δὲ καὶ τὸ εἰσὶν ὅτε γένοιτο ἐντί. τοιαῦτα ὁ Ἡρακλείδης εἰπών. εἶτα καὶ ὅτι ἔνιοι ἀκέραιον τὸ εἰσὶ δωριζόμενον ἐντὶ γενέσθαι φασὶν, ἐπάγει ὡς αἰολικεύοντές τινες αὐτὸ παρατίθενται εἰς πίστιν τὸ, τιθεῖσι τιθέντι καὶ τὰ ὅμοια. Αἰολικὰ ὄντα ταῦτα δίχα μυρίων ἄλλων. παρὰ τὸ πολλοὺς χαίρειν ταῖς ξενιζούσαις τῶν λέξεων μᾶλλον ἤπερ ταῖς συνήθεσι. (ῃερς. 158.) Τὸ δὲ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων, τρεῖς ἐπιτάσεις ἔχει, τὸ περ¯ι, τὸ μακάρτατος. καὶ τὸ ἔξοχον πρὸς ἔνδειξιν πάνυ πολλῆς μακαριότητος. ὁποία ἡ τοῦ τρισμάκαρος. (ῃερς. 159.) Τὸ δὲ βρίσας, ἀντὶ τοῦ, νικήσας ἕδνων πλήθει τοὺς ἄλλους μνηστῆρας διὰ τὸ τῆς κόρης δηλαδὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιμάχητον. (ηερς. 162.) καὶ ἔστιν ἡ μεταφορὰ, ἐκ τῶν σταθμιζομένων ῥοπῶν. Εἰς δὲ τὴν Δῆλον ὅτι παρέβαλον οἱ Ἕλληνες εἰς Τροῖαν πλέοντες, καὶ ὁ Λυκόφρων ἱστορεῖ. ὡς δὲ ἱερὰ ἡ Δῆλος Ἀπόλλωνος ὅ ἐστιν Ἡλίου δι' οὗ δῆλα γίνεται τὰ περὶ γῆν, ἐν ἄλλοις ἐγράφη. ὡς δὲ καὶ πρῶτον ἐκεῖ φοῖνιξ ἐκ γῆς ἀνῆλθεν, ἐῤῥέθη παρ' Εὐριπίδῃ τε καὶ ἑτέροις. ὡς δὲ καὶ δάφνη πρωτογόνος ἔφυ ἐκεῖ διὰ τὴν Λητὼ καὶ ὡς ἀμφοτέρων ἁψαμένη δάφνης τε ταύτης καὶ φοίνικος τοῦ ῥηθέντος ὅτε ὤδινε, μαῖα γάρ φασιν οὐκ ἦν, ἐγέννησεν Ἄρτεμιν καὶ Ἀπόλλωνα, παλαιὸς καὶ τοῦτο μῦθος φησί. Τὸν δὲ ῥηθέντα βωμὸν, οὐκ ἐν ναῷ ἀλλ' αἴθριον ὑπονοητέον. οὐ γὰρ εἰκὸς περιῳκοδομῆσθαι τὸν λεχθέντα φοίνικα. τοιοῦτος δὲ ἦν καὶ ἐν Ἰλιάδι βωμὸς περὶ ὃν ἡ καλὴ πλατάνιστος καὶ τὸ ἀγλαὸν ὕδωρ. (ηερς. 163.) Τὸ δὲ φοίνικος, βραχὺ ἐν τῇ εὐθείᾳ ἔχον τὸ δίχρονον ἢ γοῦν ἀλλὰ 1.247 θέσει μακρὸν, ἐνταῦθα φύσει μακρὸν αὐτὸ ἔχει. Ἐνταῦθα δὲ ἰστέον ὅτι τε καθὰ ἐλαία ἔτι δὲ καὶ λωτὸς, λέγεται αὐτὰ τὲ τὰ φυτὰ καὶ ὁ καρπὸς δὲ αὐτῶν, οὕτω καὶ φοῖνιξ, τὸ φυτὸν καὶ τὸ αὐτοῦ τρόφιμον. καὶ ὅτι σημασίαι φοίνικος, οὐ μόνον τὰ εἰρημένα δύο, καὶ κύριον ὄνομα, καὶ ὁ πυῤῥοῦ μετίσχων χρώματος ὡς ἐν Ἰλιάδι φοῖνιξ ἵππος δηλοῖ, ἀλλὰ καὶ ἕτερα ὡς μετ' ὀλίγα εἰρήσεται. Ἔρνος δὲ, οὐ μόνον τὸ εὐθαλὲς φυτὸν ὡς ἐῤῥέθη, ἀλλά ποτε καὶ τὸ ἄνθος κατὰ τοὺς παλαιούς. Τὸ δὲ ἀνερχόμενον, γλυκέως καὶ αὐτὸ ἐπὶ ἔρνους κεῖται καθὰ καὶ τὸ ἀναδέδρομεν ἐπὶ πέτρας, δηλοῖ δὲ, ταχεῖαν φυτοῦ αὔξησιν. Ἰστέον δὲ ὡς Ὅμηρος μὲν, ἠρέμα Ἡλίου ἀνῆκε τὴν εὐγενῆ βασιλικὴν κορίσκην διὰμέσου τοῦ κατὰ τὸν Δήλιον φοίνικα ἔρνους. ὅπερ Ἀπόλλωνι ἀνεῖται Ἡλίῳ κατὰ τὸν μῦθον, ὁ δὲ πανηγυρικὸς χορὸς ὃς ᾄδων ποιήματα εἰς τὸν Φαληρέα Δημήτρηον, ἡλιόμορφον ἐκεῖνον ἐξόχως τε εὐγενέταν προσηγόρευσε, θρασύτερον εἰς τὸν ἄνδρα ἐλάλησε τὸ ἡλιόμορφος. Ἰστέον δὲ ὅτι περὶ Ἀπόλλωνος Δηλίου ἤγουν γεννηθέντος ἐν Δήλῳ τῇ νήσῳ, αἴνιγμα φέρεται ἐοικὸς τοῖς τοῦ Θεοκρίτου σκληροῖς, τοιοῦτον. ἐν φανερᾷ γενόμην. πάτρην δέ μου, ἁλμυρὸν ὕδωρ ἀμφὶς ἔχει. μήτηρ δ' ἔστ' ἀριθμοῖο πάϊς. ἤγουν ἐν τῇ Δήλῳ ἐγεννήθην. μητέρα δ' ἔχω, Λητὼ τὴν παῖδα τοῦ Κοίου. ὃς ὁμώνυμός ἐστι τῷ παρὰ Μακεδόσι κοίῳ τουτέστι τῷ ἀριθμῷ. Ἔτι ἰστέον καὶ ὅτι Φοῖνιξ οὐ μόνον κύριον, καὶ ὀρνέου δὲ ὄνομα, καὶ δένδρου, καὶ καρποῦ τοῦ ἐξ αὐτοῦ πρὸς ὁμοιότητα ἐλαίας καὶ ῥοιᾶς, ἀλλὰ καί τις βαφὴ, καὶ ἵππου δὲ ὡς ἐῤῥέθη ἐπίθετον. πρὸς δὲ τούτοις, καὶ ἔθνος. καὶ μουσικόν τι ὄργανον. οἷον. φοίνικες. πηκτίδες. μαγαδίδες. σαμβύκαι. καὶ ἑξῆς παρὰ τῷ Ἀθηναίῳ. ἐν οἷς καὶ σκινδαψοί. Ὅτι δὲ (ηερς. 162.) μία τῶν Κυκλάδων ἡ Δῆλος, ἡ ἱστορία διασαφεῖ. λέγουσα καὶ ὡς Ὀρτυγία ἐκλήθη κατά τινας ἐξ ὀρτύγων. ὧν τὰς ἀγέλας φερομένας, ἐκ τοῦ πελάγους, ἱζάνειν εἰς τὴν νῆσον διὰ τὸ αὐτῆς εὔορμον ὡς ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται. ὁ δέ γε μῦθος, ἄλλα περί τε Δήλου καὶ Ὀρτυγίας, βούλεται. κείμενα καὶ ἐν τοῖς τοῦ Λυκόφρονος. (ηερς. 164.) Τὸ δὲ πολὺς δέ μοι ἕσπετο λαὸς, τίμιον τὸν Ὀδυσσέα παριστᾷ. ἵνα μὴ φορτηγός τις εἶναι φασὶν ἢ κωπηλάτης δοκοίη. Ἐν δὲ τῷ, (ηερς. 167.) οὔπω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης, τὸ μὲν ἀνῆλθεν, ἀφελῆ γλυκύτητα ἔχει ἐκφύσεως λεχθὲν φυτοῦ. δόρυ δὲ, ἢ ξύλον ἁπλῶς λέγει, ἢ μάλιστα, ξυλῶδες φυτόν. δύναται δὲ τὸ ῥηθὲν, σκωπτικῶς προσαρμόσαι καὶ ἀνδρὶ ἀνοήτῳ καὶ ἀφυεῖ. Εἰς τοὺς δὲ ἐνταῦθα γυναικείους Ὁμηρικοὺς ἐπαίνους, σημείωσαι παλαιὸν ὕστερον οὐδέν τι ἐοικὸς τοῖς Ὁμήρου, τὸ κάλλει καλῆς. μεγέθει μεγάλης. τέχνῃ σοφῆς. καλὸν δὲ ὅμως καὶ αὐτό. ἔτι δὲ, καὶ Φιλοξένου τοῦ Κυθηρίου τὸ, ὦ καλλιπρόσωπε χρυσεοβόστρυχε χαριτόφωνε κάλλος ἐρώτων. ἅπερ ἐκεῖνος εἶπεν ἐπὶ Γαλατείᾳ τῇ Νηρηΐδι, ἐπαινῶν αὐτὴν ὡς ἐρωμένην. ἐφ' οἷς παίζων τις ὅτι μὴ καὶ ὀφθαλμοὺς ἐκείνης ἐπῄνησε, φησί. τυφλὸς ὁ ἔπαινος, καὶ κατ' οὐδὲν ὅμοιος Ἰβυκείῳ ἐκείνῳ τῷ, γλαυκέων χαρίτων θάλαμος καλλικόμων μελέδημα. σὲ μὲν, Κύπρις ἅτ' ἀγανοβλέφαρος Πειθὼ, ῥοδέοισιν ἄνθεσι θρέψαν. οὐ δὲ τῷ, λάμπεις ἐπὶ πορφυραῖς παρειῇσι φῶς ἔρωτος. Σημείωσαι δ' ἐν τούτοις καὶ ὅτι ὅμοια νοούντων ἀλλήλοις τοῦ ἀνελθεῖν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνέρχεσθαι τοῦ ἀναδραμεῖν, ὧν χρήσεις τοῦ μὲν ἀνήλυθε καὶ τοῦ ἀνέρχεσθαι, ἐν τῷ προκειμένῳ χωρίῳ, τοῦ δὲ λοιποῦ, ἐν τῷ, ἀνέδραμεν ἔρνεϊ ἶσος, Ἡρόδοτος τὸ ἀναδραμεῖν φαίνεται φιλεῖν. (ῃερς. 168.) Ὅρα δὲ καὶ τὸ, σέβασμ' ἔχει, καὶ τὸ ἄγαμαι, καὶ τὸ τέθηπα, ἐπικεχυμένα ἀλλήλοις κατὰ σημασίαν ἰσοδύναμον. (ῃερς. 177.) Ἐν δὲ τῷ, οἳ τήνδε πόλιν ἔχουσιν, οὐ δεικτικὸν τὸ τήνδε ἀλλ' ἀναφορικόν. οὐ γὰρ ἔχει δεῖξαι Ὀδυσσεὺς δακτύλῳ τὴν τοιαύτην πόλιν. ὅτι δὲ ταυτὸν πόλιν εἰπεῖν καὶ ἄστυ, δηλοῖ ἐπαγαγὼν εὐθύς. ἄστυ δέ μοι δεῖξον. (ῃερς. 178.) καὶ ῥάκος δὲ καὶ σπεῖρον ἐνταῦθα εἰς ταυτὸν ἄγει. εἰπών. δὸς ῥάκος εἴτι που εἴλυμα σπείρων ἔχεις. ὅ ἐστι κάλυμμα ῥάκους. (ῃερς. 181.) Ὁμοφροσύνη δὲ, τὸ τὰ αὐτὰ βουλεύεσθαι. ὁ σπάνιον ἐν ταῖς κατ' ἀνθρώπους συζυγίαις. οἱ πλείους γὰρ ζυγομαχοῦσι κατὰ τὸν βίον. Τὸ δὲ ἄλγεα δυσμενέεσσι. τοὺς φθονεροὺς διαζωγραφεῖ. οἳ ἀλγοῦσιν ἐπὶ τοῖς ἑτέρων ἀγαθοῖς. ὥσπερ αὖ πάλιν οἱ εὐμενέται, χάρμα ἔχουσιν. (ῃερς. 184.) Ὅρα δὲ καὶ ὅτι δυνάμενος εἰπεῖν εὐμενέεσι καθ' ὁμοιότητα τοῦ δυσμενέεσιν, ὅμως οὐκ ἠθέλησεν ἐπιβούλως καλλωπίσαι. ἵνα μὴ ἀχρειώσῃ τὸ τοῦ λόγου πιθανὸν τῇ πρὸς κάλλος ἐπιβουλῇ. πάντως δὲ οὐκ ἐξ ὀνόματος τοῦ μένος, γίνεται ὥσπερ ὁ δυσμενὴς οὕτω καὶ ὁ εὐμενέτης, ἀλλὰ ἀπὸ ῥήματος περισπωμένου μὲν οὐκ ἐν χρήσει δὲ συνήθει κειμένου. ὡς ἔστι νοεῖν καὶ ἐκ τοῦ ὑπομενετέον. οὗ χρῆσις παρὰ τοῖς σοφοῖς. (ῃερς. 187.) Ὅτι ἔπαινος ἀγαθοῦ ἀνδρὸς 1.248 τὸ, ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι ἀνδρὶ ἔοικας. λέγει δὲ κακὸν ἐνταῦθα, τὸν δυσγενῆ πρὸς Ὀδυσσέα δὲ ὁ τοιοῦτος λόγος ἐκ τῆς κόρης. Ἔνθα σημείωσαι ὡς γυναικεῖον ἦθος μιμεῖται Ὅμηρος, διὸ πολλὰ ἐξ Ὀδυσσέως τοῦ ῥήτορος ἀκούσασα εἰς εἰκασμὸν, οὐκ ἔχει αὐτὴ καλόν τι εἰπεῖν οἷα κορίσκη ἁπαλή. ἀλλ' ἀρκεῖται, εἰποῦσα τὸν αὐτῆς ἐπαινέτην μὴ ἐοικέναι ἀνδρὶ κακῷ ἢ ἄφρονι, ἀλλὰ φρονίμῳ δηλαδὴ καὶ δεινῶς λαλήσαντι τὰ εἰς συμφέρον αὐτῷ. ἄλλως μέντοι (ῃερς. 188.) φιλοτιμουμένη καὶ αὐτὴ, γνωματεύει ὅτι θεὸς αἴτιος τοῦ τε ὀλβίους τινὰς εἶναι καὶ τοῦ μὴ τοιούτους. παραμυθομένη οὕτω τὸν Ὀδυσσέα. φησὶ γοῦν. Ζεὺς αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν ἐσθλοῖς ἠδὲ κακοῖσιν ὅπως ἐθέλῃσιν ἑκάστῳ. καί που σοὶ τάγ' ἔδωκε. (ῃερς. 190.) σὲ δὲ χρὴ τετλάμεν ἔμπης. παραμυθητικὸς δὲ ὁ λόγος πρὸς δυστυχῆ ἄνθρωπον. Ἰστέον δὲ ὅτι τὸ, (ῃερς. 189.) ἐσθλοῖς ἠδὲ κακοῖς, οἱ μὲν, ἐπὶ ἀνθρώπων νοοῦσι τῶν ὀλβιζομένων. οἱ δὲ, οὐδέτερα ταῦτα ὀνόματα ἐκδέχονται. λέγοντες ὅτι νέμει ὄλβον θεὸς ἔν τε ἐσθλοῖς πράγμασι καὶ ἐν κακοῖς. δοκοῦσι δὲ οὐ πάνυ καλῶς λέγειν. οὐ γὰρ ἂν εἴη τις ὄλβιος ἐν κακοῖς. ὡς τοῦ ὄλβου, ἐπὶ εὐδαιμονίας λεγομένου. εἰ μὴ ἄρα τις βαρυνόμενος ἢ ἀστεϊζόμενος τὸ τοιοῦτον εἴπῃ. ὡς καὶ Οἰδίπους παρὰ Σοφοκλεῖ, κάλλος κακῶν ἑαυτὸν ἀποκαλεῖ. τουτέστιν ἐν κακοῖς κάλλιστον. εἰ δὲ καὶ ὄλβον τὸν ἁπλῶς εἴπῃ τις πλοῦτον ὡς τὸ, ὄλβῳ τε πλούτῳ τε, εἴη ἂν καὶ οὕτω τις ὄλβιος ἐν κακοῖς, τουτέστι πλούσιος. δύναται δὲ καὶ ἄλλως κατὰ τὴν Ὁμηρικὴν δόξαν ὄλβιός τις εἶναι οὐκ ἐν μόνοις ἐσθλοῖς ἀλλ' ἐν ἐσθλοῖς ὁμοῦ καὶ κακοῖς, ἀναμὶξ χορηγουμένοις ἐκ τῶν παρὰ τῷ Διῒ πίθων οὓς ἡ Ἰλιὰς ἐδήλωσεν. ἐξ ὧν κεράννυται τὸ ἐν ἀνθρώποις εὔδαιμον. ὡς μὴ ἐξὸν ὂν ἄκρατον εἶναί τινι ἀγαθὸν, ἀλλὰ κατά τι κέρασμα θεόσδοτον. (ῃερς. 193.) Ὅτι ταλαπείριον ἱκέτην λέγει, ἢ τὸν ταλαίπωρον, ἢ τὸν τῆλε περάσαντα. καὶ νῦν μὲν ἡ κόρη οὕτω καλεῖ τὸν Ὀδυσσέα. ἐν τοῖς ἑξῆς δὲ, αὐτὸς ἐρεῖ τὸ, καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος τηλόθεν ἐξ ἀπίης γαίης. ὅ πέρ ἐστιν ἐτυμολογία τοῦ ταλαπείριος. οἱ δὲ παλαιοὶ, γράφουσι καὶ οὕτω. ταλαπείριον, τραγικοὶ τὸν ταλαίπωρον. Ὅμηρος δὲ, τὸν πόῤῥωθεν ἀφιγμένον. (ῃερς. 195.) Ὅτι διήγημα ἐνταῦθα σύντομον τὸ, Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν. εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο. τοῦ δ' ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε. Ὀδυσσέως δὲ ὥσπερ τὸ γνωματεύσασθαι οὕτω καὶ τὸ γοργῶς διηγήσασθαι ἀπώνατο ἡ κόρη. καὶ ἐκεῖνος γὰρ, τὴν μακρὰν κάκωσιν οὕτως ἐπέτεμε. χθιζὸς ἐεικοστῷ φύγον ἤματι οἴνοπα πόντον, τόφρα δέ μ' αἰεὶ κῦμα φόρει κραιπναί τε θύελλαι νήσου ἀπ' Ὠγυγίης. τρισὶ γὰρ καὶ αὐτὸς ἔπεσιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐμπεριγράψας τὸ κατ' αὐτὸν διήγημα. εἶτα ἐπήγαγεν ἠθικῶς τό. νῦν δ' ἐνθάδε κάββαλε δαίμων, ὄφρ' ἔτι που καὶ τῇδε πάθω κακόν. οὐ γὰρ οἴω παύσασθαι. (ῃερς. 195.) Ἰστέον δὲ ὅτι τὸ εἰπεῖν ὡς ἐξ Ἀλκινόου ἔχεται ἤτοι ἐξέχεται καὶ ἤρτηται τοῦ Ἀλκινόου ἡ τῶν Φαιάκων ἀρχὴ ὃ δὴ καὶ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται, βασιλέα ὑποβάλλει Φαιάκων νοεῖν τὸν Ἀλκίνοον. ἐν δὲ τοῖς ἑξῆς, ἀριστοκρατία ἐμφαίνεται παρὰ Φαίαξιν ἔνθα τρισκαίδεκα ἱστορηθήσονται βασιλεῖς. καὶ ἔστιν οἷον συνέλευσις ἐν τούτοις, βασιλείας τε καὶ ἀριστοκρατίας. ὁποῖόν τι καὶ περὶ Λακεδαίμονα ὕστερον τὸ κατὰ τοὺς ἐφόρους καὶ τοὺς βασιλεῖς. εἰ δὲ ὑπερέχει μὲν τῶν ἄλλων ὁ Ἀλκίνοος αὐτὸς δὲ πείθεται ὡς φανεῖται οἷς ἡ γυνὴ Ἀρήτη βούλεται, εἴποι ἄν τις καὶ γυναικοκρατεῖσθαι τὴν γῆν τῶν Φαιάκων. (ῃερς. 199.) Ὅτι ἐκφαίνων ὁ ποιητὴς πῶς ἡ Ἀθηνᾶ ἐλέχθη θάρσος ἐμβαλεῖν τῇ Ναυσικάᾳ ὥστε μεῖναι φανέντος τοῦ Ὀδυσσέως. καὶ δηλῶν ὡς κατὰ σύνεσιν γενέσθαι τοῦτο φαίνεται καθὰ καὶ ἐλέχθη, πλάττει τὴν κόρην θαῤῥύνουσαν καὶ τὰς ἀμφιπόλους ὡς μηκέτι φεύγειν ἀλογίστως ἀλλὰ στῆναι οἷα μηδέν τι καινὸν ἰδούσας ἀλλὰ ἁπλῶς ἄνθρωπον. καὶ αὐτὸν δύστηνον. ἀλήτην. κομιδῆς ἄξιον. φησὶ γάρ. στῆτέ μοι ἀμφίπολοι. πόσε φεύγετε φῶτα ἰδοῦσαι; ἦ μή που τινὰ δυσμενέων φάσθ' ἔμμεναι ἀνδρῶν. οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς οὐδὲ γένηται, ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται δηϊοτῆτα φέρων. οἰκέομεν δ' ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ. ἔσχατοι. οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος. (ῃερς. 6.) εἶτα ἐπὶ πλέον ἐξαιροῦσα τὸ τῶν ἀμφιπόλων δέος, καὶ θάρσος αὐταῖς ἐν φρεσὶ τιθεμένη, ἐπάγει. ἀλλ' ὅ δέ τις δύστηνος ἀλώμενος ἐνθάδ' ἱκάνει, ὃν νῦν χρὴ κομέειν. πρὸς γὰρ Διός εἰσιν ἅπαντες ξεῖνοί τε πτωχοί τε. δόσις δ' ὀλίγη τε φίλη τε. ἐφ' οἷς ἐκπληροῦσα καὶ τὴν τοῦ ξένου ἱκετείαν, ἐπιφέρει. (ῃερς. 9.) ἀλλὰ δότ' ἀμφίπολοι ξείνῳ βρῶσιν τε πόσιν τε. λούσατέ τ' ἐν ποταμῷ ὅθ' ἐπὶ σκέπας ἔστ' ἀνέμοιο. Νοητέον δὲ ὅτι κατὰ τὸ σιωπώμενον, καὶ εἵματα ἐκέλευσε παραθεῖναι τῷ Ὀδυσσεῖ. ὅ ἐστι φᾶρος τε χιτῶνα τε, καὶ 1.249 χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον. ὃ καὶ ἐποίησαν ἐκεῖναι. διὸ μετ' ὀλίγα ἐρεῖ. εἵματα ἅ οἱ πόρε παρθένος ἀδμής. Ὅρα δὲ τὴν σύντομον τῆς κόρης ἀντίθεσιν καὶ τὴν ἐπ' αὐτῇ λύσιν ἐν τῷ, ἦ μή τινα δυσμενῆ φατὲ εἶναι ἄνδρα. οὐκ ἔσθ' οὗτος ἀνὴρ, καὶ τὰ ἑξῆς. ἐπεὶ γὰρ εἰκὸς εἰπεῖν ἀντιπαραστατικῶς τὰς ἀμφιπόλους ὡς εἰ καὶ φῶτα βλέπομεν καὶ μή τι ἄγριον, ἀλλὰ δυσμενὴς ὁ ἀνὴρ, θεμένη τοῦτο ἡ κόρη, ἐπιφέρει εὐθὺς λύσιν ὡς οὔτε ἐστὶν οὔτε γενήσεται θνητὸς ὃς ἂν ἵκηται πολεμήσων Φαίαξιν. ὃ μιμησάμενος Ἡρόδοτος, σχηματίζει καὶ αὐτός που ἐν τοῖς κατ' αὐτὸν, οὕτως. οὐκ ἔστιν οὗτος ἀνὴρ ᾧ ἐστι δύναμις τοσαύτη, ὡς τό δέ τι ποιῆσαι. Ἰστέον δὲ ὅτι ἐκπλαγῆναι μὲν τὰς δμωὰς φῶτα ἰδούσας, οὐ καινόν. ἐπεὶ καὶ Φαίακες ἐν τοῖς ἑξῆς ἄνεῳ γίνονται φῶτα ἰδόντες. τὸν Ὀδυσσέα δηλαδή. τὸ δὲ καὶ τρέσαι ἰδούσας, ἀλλὰ τοῦτο γυναικικὸν καὶ ἀγενές. καὶ τοῦτο μὲν, τοιόνδε. ἡ δὲ κόρη τὴν ῥηθεῖσαν κατασκευάζουσα πρότασιν, φησί. (ῃερς. 3.) μάλα γὰρ φίλοι ἀθανάτοισιν. οἰκέομεν δ' ἀπάνευθε. μονονουχὶ λέγουσα ὡς εἰ καὶ μὴ πολεμισταὶ οἱ Φαίακες οἷς οὐ μέλει βιὸς οὐδὲ φαρέτρη ὡς ἐν τοῖς ἑξῆς λεχθήσεται οὐδὲ εἰσὶν ἀπροσπέλαστοι δι' ἀνδρίαν, ἀλλ' ὅμως θεοφιλεῖς ὄντες, οὐκ ἄν τι κακὸν ἐκ πολεμίων πάθοιεν. ἄλλως τε καὶ πάνυ ἐκτετοπισμένοι ὄντες, καὶ οὕτινας ἐγγὺς ἔχοντες ὡς ἐν τοῖς ἐφεξῆς που καὶ αὐτὸ εἰρήσεται. καὶ οὕτω μὲν ἡ κόρη ἔλυσε τὴν ἀντίθεσιν. (ῃερς. 1.) Τὸ δὲ οὐκ ἔστιν οὐδὲ γένηται, ἐπιτείνει τὴν ἄκραν τῶν Φαιάκων ἀσφάλειαν πρὸς ἔκπληξιν δῆθεν τοῦ ναυαγοῦ ξένου. Διερὸς δὲ βροτὸς ὁ ζῶν καὶ ἐῤῥωμένος. τὴν μὲν γὰρ ζωὴν, ὑγρότης καὶ θερμότης συνέχει. τὸν δὲ θάνατον, τὰ ἐναντία ποιεῖ. ὅθεν καὶ νεκροὶ ἀλίβαντες οἱ ζωτικῆς λιβάδος ἄμοιροι. καὶ ὁ κωμικὸς δὲ παίζων, αὐαίνου λίθον ἐν ᾅδου εἶναι πλάττει. ἀπὸ τοῦ αὐαινωθεὶς τοὔνομα. Πλούταρχος δὲ ἐν τοῖς κατ' αὐτὸν συμποσιακοῖς φησὶν οὕτως. ὑγρότητι καὶ θερμότητι τεθήλασι τὰ ζῷα. ἡ δὲ ψυχρότης καὶ ξηρότης, ὀλέθρια. διὸ χαριέντως Ὅμηρος διερὸν βροτὸν καλεῖ. καὶ τὸ μὲν χαίρειν, ἰαίνεσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγει. ὡς καὶ χαλκὸς ἰαίνεται πυρί. ῥιγεδανὸν δὲ καὶ κρυερὸν, τὸ λυπηρὸν καὶ φοβερόν. ὁ δὲ ἀλίβας καὶ ὁ σκελετὸς, ἐπὶ νεκρῶν λέγονται. λοιδορουμένων τῶν παλαιῶν, τῷ ὀνόματι τῆς ξηρότητος. καὶ τοιαῦτα μὲν καὶ τὰ τοῦ Πλουτάρχου. ὁ δὲ ἐν τοῖς τοιούτοις διαληφθεὶς ἀλίβας, βαρύνεται καθ' ὁμοιότητα τοῦ ἀλίκρας. ἔστι δὲ ἀλίκρας κατὰ Αἴλιον Διονύσιον, ὁ θαλάσσῃ μεμιγμένος. καθὰ καὶ χαλκόκρας, ὁ χαλκῷ φησι κεκραμένος. τὰ δὲ ῥηθέντα ἐνταῦθα εἰς τὸ, διερὸς βροτὸς, χρήσιμα καὶ ἐν τοῖς ἑξῆς εἰς τὸ, διερῷ ποδί. ὅτι δὲ ὁ ὑγιὴς καὶ ἡ ὑγίεια ἐκ τοῦ ὑγροῦ παράγεται, ἐν ἄλλοις δεδήλωται. (ῃερς. 3.) Τὸ δὲ δηϊοτῆτα φέρων, πρὸς διαστολὴν κεῖται. ἄλλως γὰρ, ἔπλεόν τινες ἴσως εἰς Φαίακας. ἐξ ὧν καὶ τὰς ἀμφιπόλους εἶχον ὡς εἰκὸς οἱ ἐν τῇ νήσῳ. Τὸ δὲ μάλα φίλοι ἀθανάτοισι παιδευτικῶς ἔχει. ὡς τῶν θεοφιλῶν, οὐ πειρωμένων δηϊοτῆτος. Τὸ δὲ οἰκέομεν ἐναλλαγὴν ἔχει σχήματος. ὤφειλε γὰρ ἀκολούθως τοῖς ἀνωτέρω εἰπεῖν. οἰκέουσι δ' ἀπάνευθεν. ὅμως δὲ κοινοῦται τὸν λόγον ἡ κόρη ὡς καὶ αὐτὴ Φαίαξ. Τοῦ δὲ ἀπάνευθεν, ἑρμηνεία εὐθὺς τὸ ἔσχατοι. καὶ τὸ, (ῃερς. 5.) οὐδέ τις ἡμῖν ἐπιμίσγεται. ἐκτετοπίσθαι γὰρ ὁ ποιητὴς βούλεται τὴν Φαιακίαν ὡς ἐν τοῖς ἑξῆς φανήσεται. καὶ μὴν οἱ Κερκυραῖοι Φαίακες, κατέναντι κεῖνται τῆς Ἠπείρου, ὡς καὶ Ὅμηρος ὕστερον παραδηλοῖ ἐν τοῖς κατὰ τὸν Φείδωνα. οὐδὲν δὲ καινὸν ἐὰν οἱ Κερκυραῖοι ἁπλοϊκώτερον ἑαυτοὺς ἐκτοπίζωσιν οὐκ ἀληθῆ λαλοῦντες, εἰ καὶ τὸν Ἀχελῷον μέγιστόν που εἶπεν ὁ Ἀχιλλεὺς ἐν ποταμοῖς. ἁπλούστερον λέγων, καὶ ταῦτα, ἑτέρων ἐχόντων τὸ τοιοῦτον σεμνολόγημα. οὕτω καὶ Αἰσχύλος φησὶ τερατωδέστερον καὶ τραγικώτερον, τὸ, ἔστι τις πόλις Κάνωβος ἐσχάτη χθονός. τερατευόμενος καὶ αὐτός. οὐ γὰρ ἐσχάτη γῆς ἁπάσης ἡ Κάνωβος, ἀλλ' ἢ μόνης τῆς ἐκεῖ ὡς ἀγχίαλος. Σημείωσαι δὲ ὅτι οὐκ αὐτὸς ὁ ποιητὴς ἀναιδῶς οὕτω τὴν τῶν Φαιάκων ἐκτοπίζει γῆν, ἀλλ' ἡ Ὁμηρικὴ κόρη καὶ οἱ λοιποὶ δὲ Φαίακες. οὐχ' οὕτως οὐδ' αὐτοὶ εἰδότες, οὐδὲ πρὸς ἀλήθειαν λαλοῦντες, ἀλλ' ἐθέλοντες τοιοῦτοι δοκεῖν τοῖς πολλοῖς, διὰ τὸ ἀνεπιβούλευτον. ἵνα δηλαδὴ μὴ πολεμοῖντο φθονούμενοι διὰ τὸ τῆς χώρας εὔδαιμον, ὃ πολλαχοῦ γίνεται. Ἰστέον δὲ καὶ ὅτι ἀστείως ἡ κόρη τὸ ψεῦδος σοφίζεται. οἰκοῦσι μὲν γὰρ ἀπάνευθε τῶν κύκλων οἱ Φαίακες πολυκλύστῳ ἐνὶ πόντῳ καθὰ νησιῶται, καὶ ἔσχατοι ἐκεῖ πρὸς τῇ ἠπείρῳ. καὶ οὔτις αὐτοῖς ἐπιμίσγεται ἁπλῶς δίχα τοῦ πλεῦσαι. βούλονται δὲ, ταῦτα καθ' ὑπερβολὴν νοηθῆναι ὡς ἐπὶ πολλῷ ἐκτοπισμῷ. Ὀδυσσεὺς δὲ, γελῴη ἂν ἐπὶ τούτοις οἷα τὴν κόρην ψευδομένην εἰδώς. (ῃερς. 6.) Τὸ δὲ ἐνθάδ' ἱκάνει, τόδ' ἱκάνει ἐν τοῖς ἑξῆς ἐρεῖ ὁ ποιητὴς, ὡς ἐκεῖ φανεῖται. (ῃερς. 7.) Τὸ δὲ κομέειν, λέγεται καὶ κομίζειν. μετ' ὀλίγα 1.250 γοῦν, πλαχθέντα κομίσσατο ἐρεῖ, παραγώγως. ὅθεν καὶ κομιδὴ ἡ ἐπιμέλεια. καὶ εὐκόμιστος κατὰ τοὺς παλαιοὺς, ὁ ἐπιμελείας τετευχώς. Τὸ δὲ πρὸς θεοῦ εἶναι τοὺς ξένους καὶ τοὺς πτωχοὺς καὶ τὰ ἑξῆς, (ῃερς. 8.) φιλοξένου ἤθους λόγος ἐστί. ξένοι δὲ καὶ πτωχοὶ, διαφέρουσιν. οὔτε γὰρ ἅπας ξένος, πτωχός ἐστιν. οὔτε ὁ πτωχὸς, ξένος, εἰ μὴ καὶ ἐπιξενωθῇ. Ἡ δὲ πρὸς τοὺς τοιούτους δόσις, ὀλίγη μέν τι τῷ διδόντι, πολλὴ δὲ τῷ λαμβάνοντι. ἀρκεῖται γὰρ ἐνδεὴς εὐγνώμων, καὶ ὀλίγον λαβών. ἑτεροῖον δὲ πάντως τὸ ἐνταῦθα ὀλίγον τε φίλον τε, παρὰ τὸ ἐν Ἰλιάδι. ἐκεῖ μὲν γὰρ, γέρας Ἀχιλλεὺς ἔρχεται ἔχων τὸ τοιοῦτον. ἐνταῦθα δὲ Ὀδυσσεὺς, δῶρον πτωχικόν. παρέξεσται δὲ ὅμως ἡ ὀλίγη τε φίλη τε δόσις ἐκ τῶν ἐκεῖ. (ῃερς. 9.) Αἱ δὲ ἀμφίπολοι, σεμνὴ λέξις ἤπερ τὸ, δμωαὶ καὶ δμωΐδες καὶ δουλίδες καὶ δοῦλαι. διὸ καὶ Ὀδυσσεὺς θαῤῥεῖ εἰπεῖν, ἀμφίπολοι στῆθ' οὕτως ἀπόπροθεν. σεμνὸν δὲ οὐδὲν ἧττον καὶ τὸ παῖς καὶ παιδίσκη, ἀντὶ τοῦ, δοῦλος καὶ δούλη. αἴτιον δὲ, ὅτι οὔτε τὸ τοῦ παιδὸς ὄνομα ἐξ ἀνάγκης δοῦλον σημαίνει, οὔτε τὸ τῆς ἀμφιπόλου, ὡς πολλαχοῦ δηλοῦται. οὕτω δὲ οὐδὲ ὁ πρόσπολος δουλικὸν ἀεὶ ὄνομά ἐστιν, οὐδὲ μὴν ὁ πρόσπολος. διόπερ ὁ γράψας τὸ, πίνειν ὁ πόσον κεν ἔχων ἀφίκοιο οἴκαδε ἄνευ προπόλου, ἀσαφῶς ἔγραψε. πρόπολον εἰπὼν, ἢ δοῦλον, ἢ τὸν ἁπλῶς προοδεύοντα εἰς χειραγωγίαν ὁδοῦ. χρῆσις δὲ προπόλου, ἔν τε τῷ τοῦ κωμικοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Πλούτῳ, καὶ ἐν τῷ, ἀλλ' ὦ Δελφῶν πλείστας ἀκονῶν Φοῖβε μαχαίρας καὶ προδιδάσκων τοὺς σοὺς προπόλους. (ῃερς. 215.) Τὸ δὲ ὑγρὸν ἔλαιον ὃ καὶ λίπα φησὶν ἐλλειπτικῶς, ἔν τε τῷ, ἀλειψάμεναι λίπ' ἐλαίῳ, καὶ λοέσσατο καὶ λίπ' ἄλειψε, προϊὼν καὶ ἀλοιφὴν λέγει ἐν τῷ, ἀμφὶ δ' ἐλαίῳ χρίσομαι, ἦ γὰρ δηρὸν ἀπὸ χροός ἐστιν ἀλοιφή. ὡς εἶναι ταυτὸν κατὰ πολυωνυμίαν, ἔλαιον καὶ ἀλοιφὴν καὶ λίπα. δῆλον δὲ ἐκ τῶν ἐνταῦθα λεγομένων, ὡς καὶ ἐψυχρολούτουν οἱ παλαιοί. ὅτι δὲ καὶ θερμοῖς ἐχρῶντο λοετροῖς, ἐν ἄλλοις δηλοῖ ὁ ποιητής. Ὅτι δὲ οὐχ' ἁπλῶς ἐλαίῳ πρὸς θεραπείαν ἰατρικώτερον οἱ παλαιοὶ ἐχρίοντο συνήθως καθὰ μυριαχοῦ δείκνυται, ἀλλά τινες καὶ πολυτελεῖ ἐχρῶντο ἐλαίῳ, δηλοῖ ὁ γράψας τὸ, τοῖς μὲν γυμνασίοις ὡς βαλανείοις χρώμενοι, ἀλειφόμενοι δ' ἐλαίῳ πολυτελεῖ καὶ μύροις. Ἰστέον δὲ καὶ ὡς κοινότερον μὲν τὸ λίπ' ἐλαίῳ, ἀποκεκόφθαι δοκεῖ ἐκ τοῦ λιπαρῷ. ἵνα ᾖ λιπαρὸν ἔλαιον, οὐ πρὸς διαστολὴν ἑτέρου μὴ τοιούτου, ἀλλὰ τὸ ἁπλῶς φύσει τοιοῦτον ὑγρόν. Ἡρῳδιανὸς μέντοι ἄλλως αὐτὸ σχηματίζων, φησὶν ὅτι τοῦ ἄλειφα καὶ λίπα ἡ κατάληξις, οὐκ ἀήθης. ἀλλὰ τὸ μὲν ἄλειφα, ὥσπερ θένω θέναρ καὶ κείρω κέρας, οὕτω καὶ αὐτὸ ἐκ τοῦ ἀλείφω, ἄλειφαρ ἢ ἄλειφας. καὶ ὑποστολῇ τοῦ ¯ρ ἢ τοῦ σίγμα, ἄλειφα. τὸ δὲ λίπα, ἐξ ἀναλόγου ἀντιπαραθέσεως ἐγένετο. ὡς γὰρ κῶος κῶας, ὕδος ὕδας, γῆρος γῆρας, οὕτω καὶ λίπος λίπας ἐξ οὗ τὸ λίπα, ἵνα ᾖ γένος μὲν τὸ λίπα, εἶδος δὲ τὸ ἔλαιον. (ῃερς. 216.) Ὅτι τὸ, λοῦσθαι ποταμοῖο ῥοῇσιν ὅ ἐστι ῥείθροις, ἀπὸ τοῦ λόεσθαι γίνεται. ἀφ' οὗ καὶ λοετρόν. ὅθεν καὶ παρὰ τῷ κωμικῷ τὸ, ψυχρᾷ θαλάττῃ λούμενος. οὕτω γὰρ οἱ Ἀττικοὶ, οὐ μὴν λουόμενος. καὶ προϊὼν δὲ λοέσσομαι λέγει ἐν ἁπλότητι. καὶ ἀπολούσομαι κατὰ συναίρεσιν. ὅτι δὲ καθὰ λόεσθαι λοῦσθαι οὕτω καὶ λοετρὸν καὶ λουτρὸν, δῆλόν ἐστι. λοῦτρον μέντοι μοναχῶς, τὸ ἀπόλουμα βαρυτόνως. ὃ γλίττον ἄλλοι φασὶν, ὡς δηλοῖ ὁ ἐπιμερίσας οὕτω, γλίον τὸ εὔτονον. γλία, ἡ κόλλα. γλιᾶσθαι, τὸ παίζειν ἢ προθυμεῖσθαι. γλίττων ὁ ἐν ταῖς ἐμβάσεσι γινόμενος ῥύπος. καὶ σημείωσαι τὰς ἐμβάσεις. (ῃερς. 221.) Ὅτι σώφρονος ἀνδρὸς λόγος τὸ, ἄντην οὐκ ἂν ἔγωγε λοέσσομαι αἰδέομαι γὰρ γυμνοῦσθαι, κούρῃσιν ἐϋπλοκάμοισι μετελθών. αὐτὸ δὲ (ῃερς. 223.) μόνον τὸ αἰδέομαι γὰρ γυμνοῦσθαι. Ὀδυσσεὺς δὲ καὶ ταῦτα φησὶ καὶ ἕτερά τινα ἐν στίχοις πέντε. ἃ μὴ θέλων ὁ ποιητὴς δισσεῦσαι διὰ τῶν δουλίδων πρὸς τὴν Ναυσικάαν, φησὶ κομματικῶς καὶ πάνυ γοργῶς, εἶπον δ' ἄρα κούρῃ, τουτέστιν ἐξεῖπον τῇ δεσποίνῃ τοὺς τοῦ Ὀδυσσέως λόγους. (ῃερς. 224.) Ὅτι λούματος φραστικὸν τὸ, αὐτὰρ ὃ χρόα νίζετο ἅλμην ἥ οἱ νῶτα καὶ εὐρέας ἄμπεχεν ὤμους. ἐκ κεφαλῆς δ' ἔσμηχεν ἁλὸς χνόον ἀτρυγέτοιο. Ἔστι δὲ τὸ μὲν ἀμπέχειν, ὅμοιον τῷ περιέχειν, ἤτοι ἐνδύειν. καὶ ὡς εἰπεῖν, ἀμφιέχειν. τροπῇ τοῦ ¯φ εἰς τὸ ἀντίστοιχον π¯ι κατὰ Ἴωνας. ὅθεν καὶ τὸ ἀμπίσχειν. καὶ ἡ ἀμπεχόνη. καὶ τὸ ἀμπέχονον. ὅτι δὲ τοῦ ἀμπέχω καὶ μέλλων ἐστὶν ἀμφέξω ἀντὶ τοῦ ἐνδύσομαι, ὁ Ἀθήναιος δηλοΐ. (ῃερς. 226.) Ἁλὸς δὲ χνόος, ἡ ἀκαθαρσία κατὰ τοὺς παλαιοὺς, ἤγουν ἡ ἐν ἄλλοις, ἁλὸς ἄχνη. Ἰστέον δὲ ὅτι τὸ, χρόα νίζετο ἅλμην, ἀντίπτωσιν πάσχει. ἢ γὰρ, τὸν χρόα ἔσμηχεν ἐκ τῆς ἅλμης. ἢ μᾶλλον, τὴν ἅλμην ἐκ τοῦ χροός, κατὰ τὸ, ἐκ κεφαλῆς ἔσμηχεν ἁλὸς χνόον. καὶ, ἅλμην ὤμοιϊν ἀπολούσομαι. ἔνθα τὸ ἅλμην 1.251 τὴν τὸ σῶμα δηλαδὴ δριμύττουσαν, πρὸς διαστολὴν ἐῤῥέθη τῶν τε διὰ ῥύπου ἀπέλευσιν λουομένων, καὶ τῶν ἄλλως διὰ τημέλειαν σώματος. καὶ τοῦτο μὲν, λοῦμα τῷ τληπαθεῖ Ὀδυσσεῖ, κατ' ἀνάγκην. ἀλλαχοῦ δὲ γυνή τις θυμῆρες ἐκέρασε κατὰ κρατός τε καὶ ὤμων. καὶ χαίρει μὲν καὶ Ὀδυσσεὺς θερμοῖς λοετροῖς. πλὴν καὶ ἄλλως οἶδεν ὑπομένειν ὥσπερ ἀσιτίαν καὶ ῥύπον καὶ ῥῖγος καὶ γυμνότητα, οὕτω καὶ ἀλουσίαν. φάναι τὸ τοῦ Ἀλέξιδος. ἐντούτοις δὲ κειμένου καὶ τοῦ (ῃερς. 227.) αὐτὰρ ἐπειδὴ πάντα λοέσσατο καὶ λίπ' ἄλειψεν, ἰστέον ὅτι πάντα μὲν, τὸν χρόα ὅλον εἰπεῖν δοκεῖ τὸν προειρημένον. τὸ δὲ λίπα, οὐ σαφῶς φράσαι, διὰ τὴν κατ' αὐτὸ ἀποκοπήν. ἄδηλον γὰρ, εἴτε λιπαρὸν ἔλαιον ἤλειψε κατὰ πάντα τὸν χρόα εἴτε λιπαρῷ ἐλαίῳ πάντα ἤλοιψεν. Ἔτι ἰστέον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὅτι ἰσοδυναμούντων κατὰ νοῦν τοῦ τε χρίω καὶ τοῦ ἀλείφω, τὸ μὲν χρίω, παρὰ τὸν χροῦν ἐῤῥέθη ὃς χρίεται. τὸ δὲ ἀλείφω, παρὰ τὸ ἀλέω καὶ τὴν ἐξ αὐτοῦ ἀλέαν ὅ ἐστι θερμασίαν, ἐπενθέσει τοῦ ¯ι. ὅπερ ἐστὶν ὅτε μονάζει ἐκδραμόντος ἐν ταῖς ἐκ τοῦ ἀλείφω παραγωγαῖς τοῦ φυσικοῦ ¯ε. γίνεται δὲ αὐτὸ οὐ μόνον ἐν τῇ συναλιφῇ τῇ δηλούσῃ κράσιν καὶ συναίρεσιν, ἀλλὰ καὶ ἐπὶ ἄλλων. τὰ γάρ φασιν ἐκ τοῦ ἀλείφω ὀνόματα διὰ μὲν τοῦ ¯π ¯τ ὄντα, φυλάττει τὴν δίφθογγον ὡς καὶ ἐν ἄλλοις δηλοῦται. οἷον ἀλειπτόν. ἀνήλειπτον. ἀναπάλειπτον. διὰ δὲ τοῦ ¯φ, μόνον τὸ ἰῶτα ἔχουσιν. οἷον. ἀνηλιφὴς ναῦς ἡ μὴ ἀλιφεῖσα πίσσῃ. καὶ πισσαλιφὴς, ἡ πεπισσωμένη. τὸ ἄλειφαρ ἢ ἄλειφα δίχα τοῦ ¯ρ, οὐ σύνθετον κατὰ ταῦτα καὶ κατὰ τὴν συναλιφὴν, διὸ καὶ φυλάσσει τὴν θεματικὴν δίφθογγον. ὅτι δὲ ἄλλως ἐκ τοῦ ἀλείφω καὶ ἡ ἀλοιφὴ γίνεται καὶ ὁ ἀλοιμὸς, ἑτέρωθι γέγραπται. (ῃερς. 230.) Ὅτι λουσάμενον τὸν Ὀδυσσέα, ἔθηκεν ἡ Ἀθηνᾶ μείζονάτ' εἰσιδέειν, καὶ πάσσονα. κὰδ δὲ κάρητος οὔλας ἧκε κόμας (ῃερς. 231.) ὑακινθίνῳ ἄνθει ὁμοίας. ὅ ἐστι μελαίνας κατὰ τὸν ὑάκινθον τὸ ἄνθος, ὁποίας καὶ τοῖς Ἰνδοῖς ὁ περιηγητὴς χρώζει τὰς κόμας. οὐ γὰρ ἔχει πιθανῶς ξανθὰς πλάσαι τρίχας τῷ ὁμογέροντι καθὰ τῷ Μενελάῳ καὶ τῷ Ῥαδαμάνθυϊ. καὶ ἐν τοῖς ἑξῆς δέ που, κυάνεαι γίνονται τῷ Ὀδυσσεῖ γενειάδες πρὸς τῆς Ἀθηνᾶς. καὶ ὅμως, ἐναντιοῦται πρὸς ταῦτα τὸ, ξανθάς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας. ἴσως οὖν, ἐνταῦθα τὸ χρόνιον τῆς κακώσεως τὴν μελανίαν ἐποίησε τῶν τριχῶν. ἢ καὶ ἄλλως, οὐ κατὰ μελανίαν ἡ πρὸς ὑάκινθον τῆς κόμης ὁμοίωσις, ἀλλὰ πρὸς τὸ οὖλον αὐτῆς, ἤγουν πρὸς τὸ οὐλότριχον. εἶτα παραδηλῶν ὡς φύσει καλὸς ὢν ὁ Ὀδυσσεὺς, ἐξηλλάγη πρὸς τὸ κάλλιον. (ῃερς. 232.) καὶ ὡς τοῦ μὲν καλὸν εἶναι, ἡ φύσις, τοῦ δὲ τοιοῦτον δοκεῖν, ἡ θεόθεν χάρις αἰτία, εἰκάζει αὐτὸν ἀργύρῳ χρυσωθέντι. εἰπών. ὡς δ' ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ, ἀνὴρ ἴδρις. ὃν Ἥφαιστος δέδαε καὶ Παλλὰς Ἀθήνη τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει, ὣς ἄρα τῷ, κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις ἡ Ἀθηνᾶ. (ῃερς. 236.) τοῦτο δὲ καὶ ἄλλως φράζων, ἐπιφέρει. ἕζετ' ἔπειτ' ἀπάνευθε κάλλεϊ καὶ χάρισι στίλβων. θηεῖτο δὲ κούρη. τά δ' αὐτὰ ῥητῶς περὶ Ὀδυσσέως πλάττει, καὶ ὅτε τῇ Πηνελόπῃ ἀνεγνωρίσθη. ἔνθα μετὰ τὸ περιβαλέσθαι τὸν Ὀδυσσέα φᾶρος καλὸν καὶ χιτῶνα, ἐπάγει ὅτι κατὰ κεφαλῆς χεῦε πολὺ κάλλος Ἀθήνη καὶ τὰ ἑξῆς. (ῃερς. 230.) δηλοῖ δ' ἐν τούτοις ὁ ποιητὴς, ὡς τὸ σῶμα λουτροῖς τε τημελούμενον, κάλλιον γίνεται. καὶ ἱματίων δὲ λαμπρῶν περιθέσει, εἰς τὸ καλὸν ἐξαλλάττεται. ὥσπερ αὖ πάλιν αὐχμοῦ πιναρότης καὶ κακὰ σπεῖρα, τὸ λαμπρὸν εἶδος ἀφανίζουσιν. ἀμέλει, καὶ ἡ Ἀθηνᾶ οὕτω τὸν Ὀδυσσέα ἐπικρύψει καὶ ποιήσει πᾶσιν ἄγνωστον. ὑποκατιὼν δὲ ὁ ποιητὴς, εἰς πλέον αὔξει τῇ κόρῃ τὸ ἐπὶ Ὀδυσσεῖ θαῦμα. καὶ Τηλέμαχος μὲν ἐν τοῖς εἰσέπειτα περὶ Ὀδυσσέως μεταβληθέντος εἰς τὸ φαιδρότερον, ἀλλοῖος μοι ξεῖν' ἐφάνης ἐρεῖ καὶ τὰ ἑξῆς. (ῃερς. 242.) ἡ δὲ Φαιακικὴ νεᾶνις ταῖς εὐπλοκάμοις καὶ λευκωλένοις ἀμφιπόλοις ἐκκαλύπτουσα ὡς καὶ προελέχθη τὸν ἔρωτα, λέγει. ὡς πρόσθε μὲν δή μοι ἀεικέλιος ἐδόκει εἶναι, νῦν δὲ θεοῖσιν ἔοικε τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν, αἳ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη ἐνθάδε νεαιτάων, (ῃερς. 245.) καί οἱ ἄδοι τουτέστιν ἀρέσκοι, αὐτόθι μένειν. Καὶ ὅτι τῷ μὲν Ὀδυσσεῖ ἔφη ἡ κόρη αὐτὸ δὴ μόνον ὡς οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικε. (ῃερς. 243.) ταῖς δ' ἀμφιπόλοις κατ' ἰδίαν λαλοῦσα, ἐθάῤῥησεν οὐ θεῷ ἑνί τινι αὐτὸν εἰκάσαι ὡς ἐκεῖνος αὐτὴν τῇ Ἀρτέμιδι, ἀλλὰ θεοῖς. καὶ οὕτως ἐνδιαθετώτερον ἀντέδωκε τὴν σύγκρισιν. οὐδὲ γὰρ ἀκούοντος ἐκείνου ἔφη, ἀλλ' ἰδίᾳ ὄντος. ὁ δέ γε πολὺς πόθος, ἐν τοῖς ἑξῆς πείσει τὴν κόρην, εἰπεῖν πλαγίως πως καὶ πρὸς τὸν Ὀδυσσέα τοιοῦτόν τι καὶ ἀντεπαινέσαι, ὡς κατὰ τόπον ῥηθήσεται. καὶ τοιόνδε μὲν καὶ τοῦτο. (ῃερς. 230.) Τοῦ δὲ κάρητος, εὐθεῖα τὸ κάρηαρ, οὗ γενικὴ, καρήατος. καὶ ἐν συγκοπῇ, κάρητος. (ῃερς. 231.) Οὖλαι δὲ κόμαι 1.252 αἱ συνεστραμμέναι, παρὰ τὸ εἰλεῖν ἢ καὶ εἵλειν βαρυτόνως. ἀμφοτέρως γὰρ λέγεται. Ἰστέον δὲ ὅτι ὡς ἀπὸ τῶν τοιούτων τριχῶν, στρεψίκαλλος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄνθρωπος κατὰ τοὺς παλαιοὺς, ὁ μὴ ἁπλοῦς ἀλλ' ὡς εἰπεῖν στρέφις. ὡς ἀπὸ ἐρίων δηλαδὴ ἐχόντων συνεστραμμένους τοὺς μαλλούς. οἱ δὲ παλαιοὶ, φασὶ καὶ ὅτι οὐ μόνον οὖλαι ἀλλὰ καὶ ἐπιστροφίδες, αἱ συνεστραμμέναι τρίχες. (ῃερς. 232.) Τὸ δὲ καθῆκε κόμας, ποιεῖ παρὰ τοῖς μεθ' Ὅμηρον ῥήτορσι. καὶ γένειον καθειμένον, τὸ βαθύ. (ῃερς. 233.) Τὸ δὲ χρυσὸν περιχεύεται, τὸν χρυσοχόον συντίθησι. Δέδαε δὲ, ἀντὶ τοῦ ἐδίδαξε. διὸ οἱ μεθ' Ὅμηρον σοφισταὶ λαβόντες οἶμαι ἐντεῦθεν, τὸ ἐκ τοῦ μανθάνειν γράμματα σόφισμα ἔπλεξαν. ὥσπερ γὰρ δέδαεν οὐ μόνον τὸ ἐδιδάχθη ἀλλὰ καὶ τὸ ἐδίδαξεν, οὕτω καὶ τὸ μανθάνειν, ἄμφω ταῦτα δηλοῖ. Ἰστέον δὲ καὶ ὅτι σεμνὸν μὲν τὸ εἰπεῖν ἀνδρὸς ἔργα ὃν Ἥφαιστος καὶ Ἀθηνᾶ ἐδίδαξε τέχνην παντοίην χαλκευτικὴν δηλαδὴ καὶ χρυσοχοϊκήν. Ἥφαιστος μὲν, διὰ τὴν ἐν πυρὶ τῶν τοιούτων ἐργασίαν. Ἀθηνᾶ δὲ, διὰ τὸ ἐπιστατεῖν τοῖς χειρώναξι. τὸ δέ γε εἰπεῖν τι ἔργον Ἡφαίστοιο ἢ Ἀθηνᾶς, πρὸς τῇ σεμνότητι, καὶ ὑπερβολὴν ἔχει ὡς οἱ παλαιοί φασιν. οὕτω γοῦν καθ' ὑπερβολὴν πέπλασται καὶ ἡ τῶν Ἀχιλλείων ὅπλων παρὰ τοῦ Ἡφαίστου ἐν Ἰλιάδι ποίησις. (ῃερς. 236.) Τὸ δὲ ἕζετ' ἔπειτ' ἀπάνευθε κιὼν, ἐκ τοῦ ἐν Ἰλιάδιἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν, παρῴδηται. (ῃερς. 245.) Τὸ δὲ τοιόσδε πόσις ἐνθάδε νεαιτάων, οὐ περὶ Φαίακος τινὸς ἡ κόρη εὔξατο, ἀλλὰ περὶ τοῦ Ὀδυσσέως. ἵνα τοιόσδε μένων καὶ μὴ μεταβληθεὶς καὶ προσμείνας τῇ νήσῳ, εἴη αὐτῇ πόσις. διὸ καὶ ἑρμηνεύων Ὅμηρος τὸ ἐνθάδε νεαιτάων ἵνα μὴ περί τινος τῶν Φαιάκων νοοῖτο, ἐπήγαγε τὸ, καὶ οἱ ἅδοι αὐτόθι μίμνειν. οἱονεὶ λέγων, ἐνθάδε νεαιτάων καὶ ἀρεσκόμενος αὐτόθι μένειν. (ῃερς. 240.) ἐν τούτοις δὲ καὶ πρὸς θεοῦ πεμφθῆναι τὸν Ὀδυσσέα ἡ κόρη λέγει, ἐν οἷς φησιν ὡς οὐ πάντων ἀέκητι θεῶν Φαίαξιν ἐπιμίσγεται. εἰ γὰρ καὶ Ποσειδῶνι τυχὸν ἀπέχθεται ἢ Νηρηΐσιν, ἀλλ' εἰσὶν ἕτεροι πρὸς αὐτοῦ. (ῃερς. 245.) Τὸ δὲ ἅδοι, ἀντὶ τοῦ ἀρέσκοι, ἔοικεν Ἰωνικὸς δεύτερος ἀόριστος εἶναι τοῦ ἥδω. διὸ συστέλλει μὲν ὡς δεύτερος ἀόριστος τὴν παραλήγουσαν, ψιλοῦται δὲ Ἰωνικῶς. κεῖται δ' ἐν τῷ τόπῳ τούτῳ (ῃερς. 242.) καὶ τὸ δέατο, ἀντὶ τοῦ ἐδόκει. λέξις ἀχρηστοτάτη τοῖς πεζολόγοις καθὰ καὶ τὸ ῥηθὲν ἅδοι, ᾧ κοινὸν σύστοιχον τὸ ἁδεῖν. (ῃερς. 240.) Ὅτι χαρὰν ἐπὶ ἐνδημίᾳ ξένου δηλοῖ παρῳδηθὲν τὸ, οὐκ ἀέκητι θεοῦ ὃς Ὄλυμπον ἔχει, ἡμῖν ὅδ' ἀνὴρ ἐπιμίσγεται. (ῃερς. 248.) Ὅτι καὶ παρὰ τῷ ποιητῇ ἐπιτραπέζιος λέξις πολλαχοῦ τὸ παραθεῖναι. οἷον. πὰρ δ' ἄρ Ὀδυσσεῖ θέσσαν βρῶσιν τε πόσιν τε. (ῃερς. 249.) Ὅτι ἔπινε καὶ ἦσθε πολύτλας δῖος Ὀδυσσεὺς, ἁρπαλέως. δηρὸν γὰρ ἐδητύος ἦεν ἄπαστος. τοῦτο δὲ, παντὶ οὕτω πειναλέῳ ἀνδρὶ προσαρμόζει. Ἰστέον δὲ ὅτι Σικελῶν κατὰ τὴν Ἡρακλείδου παράδοσιν τὸ ¯ε ᾧ ἕπεται τὸ σίγμα, μετατιθέντων εἰς ἰῶτα οἷον ἑστία ἱστίη ὡς καὶ μετ' ὀλίγα εἰρήσεται, δοκεῖ τὸ ἔσθω ἡμαρτημένον εἶναι. γενόμενον μὲν ἀπὸ τοῦ ἔθω προσλήψει τοῦ σίγμα. μὴ τρέψαν δὲ τὸ ¯ε εἰς ¯ι κατὰ τὸ ἔχω ἴσχω καὶ τὰ ὅμοια. αὐτὸ δὲ τὸ ἔθω οὗ χρῆσις ἐν τῷ, ἔθων Οἰνῆος ἀλωὴν, ἀπὸ τοῦ ἔδω λέγει ὁ Ἡρακλείδης παρῆκται Δωριέων ἔθει. οἵ φησὶ καὶ τὸν μαδὸν, μασθὸν λέγουσι. καὶ τὸ ψεῦδος ψύθος, ἄραντες τὸ ¯ε. Τὸ δὲ ἁρπαλέως πάνυ ἀστείως ἔχον, τὸ πολὺ δηλοῖ τῆς εἰς τὸ ἐσθίειν σπουδῆς. (ῃερς. 253.) Ὅτι οὐ μόνον ἵπποι κρατερώνυχες οἱ καὶ χαλκόποδες ἐν Ἰλιάδι, ἀλλὰ καὶ ἡμίονοι ἐνταῦθα. φησὶ γοῦν. ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας. Ὅτι δὲ καὶ λύκοι λέγονται κρατερώνυχες, ἀλλαχοῦ δηλοῦται. ἐν τούτοις δὲ, κεῖνται καὶ στεναὶ προαναφωνήσεις τῶν ἐφεξῆς. (ῃερς. 259.) Ὅτι ἔργα κατ' ἐξοχὴν ἐνταῦθα, τὰ γεωργικὰ ἐν τῷ, ἀγροὺς ἴομεν καὶ ἔργ' ἀνθρώπων. Καὶ ὅρα καὶ νῦν τὸ ἴομεν συστέλλον τὴν παραλήγουσαν καθ' ὁμοιότητα τοῦ τίομεν καὶ κυλίομεν καὶ τῶν ὁμοίων. (ῃερς. 261.) Ὅτι τὸ ἡγεμονεύειν ὅ ἐστι προηγεῖσθαι ὁδοῦ, αἰτιατικῇ συντάξας κἀνταῦθα Ὅμηρος, φησίν. ἔρχεσθον. ἐγώ δ' ὁδὸν ἡγεμονεύσω. ἤγουν προηγήσομαι εἰς ὁδόν. (ῃερς. 262.) Ὅτι ἐπιβαλὼν ὁ ποιητὴς ἐκφράσαι διὰ τῆς κόρης τὴν τῶν Φαιάκων πόλιν, περὶ μὲν αὐτῆς ἐκείνης, οὐδέν τι πλέον φησὶν, ἢ ὅτι περὶ αὐτὴν πύργος ὑψηλός. (ῃερς. 263.) περιηγεῖται δὲ τὰ τοῦ λιμένος μάλιστα, λέγων.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος. λεπτή δ' εἰσίθμη. νῆες δ' ὁδὸν ἀμφιέλισσαι εἰρύαται. πᾶσι γὰρ, ἐπίστιόν ἐστιν ἑκάστῳ. ἔνθα δ' αὐτοῖς ἀγορὴ καλὸν ποσιδήϊον ἀμφίς. ῥυτοῖσι λάεσσι κατωρυχέεσσ' ἀραρυῖα. ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσι, σπείσματα καὶ σπεῖρα, καὶ ἀποξύνουσιν ἐρετμά. οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη. ἀλλ' ἱστοὶ καὶ ἐρετμὰ νηῶν καὶ νῆες ἔΐσαι. (ῃερς. 272.) ᾗσιν ἀγαλλόμενοι, πο 1.253 λιὴν περόωσι θάλασσαν. προαναφωνεῖ δὲ ταῦτα ὁ ποιητὴς, ἵνα πιθανολογηθῇ ὁ διὰ Φαιακικῆς νηὸς εἰς Ἰθάκην σωτήριος τοῦ Ὀδυσσέως πλοῦς. (ῃερς. 264.) Ἀρετὴ δὲ λιμένος καὶ ἡ λεπτὴ εἰσίθμη,τουτέστι ἡ στενὴ δίοδος εἰς αὐτὸν, παρὰ τὸ εἰσιέναι γινομένη πλεονασμῷ τοῦ θῆτα. οὕτω καὶ τοῦ κατὰ Λαιστρυγόνας λιμένος, ἀραιὴ λεχθήσεται εἴσοδος. Ἐν οἷς ὅρα ὡς τῆς μὲν ἐνταῦθα εἰσίθμης, μετάληψις ἐκεῖ τὸ εἴσοδος. τῆς δὲ ἐκεῖ ἀραιᾶς, ἑρμηνεία ἐνταῦθα ἡ λεπτή. (ῃερς. 265.) Ἐπίστιον δὲ, τὸ ὡς ἄν τις εἴποι ἐποίκειον. Ἰώνων δὲ ἡ λέξις, διὸ καὶ ψιλοῦται. καθὰ καὶ τὸ Ζεὺς καθάρσιος καὶ ἐπίστιος παρὰ Ἡροδότῳ, ἀντὶ τοῦ ἐφέστιος. καὶ Ἀθηναίων ἐπίστια. γίνεται δὲ ἀπὸ τῆς ἱστίας. ἥτις ὁμοίως τῇ ἑστία δασύνεται. αὐτὴ μὲν, ἀπὸ τοῦ ἵστασθαι. ἀπὸ τοῦ ἑστάναι δὲ, ἡ ἑστία. λέγεται δὲ τὸ ἐπίστιον, καὶ νεώριον. καὶ νεὼν περιεκτικῶς. καὶ νεῶν οἶκοι. καλοῦνται δὲ καὶ οἱ αἰγιαλοὶ, νεῶνες καὶ οἶκοι νεῶν. Αἴλιος δὲ Διονύσιος, λέγει ὅτι Ἴωνες μὲν, νεῶνας φασίν. Ἀττικοὶ δὲ, νεωσοίκους καὶ νεώρια. οἱ δ' αὐτοὶ, καὶ νεωρεῖν φασι τὸ ναυφυλακεῖν. ὅτι δὲ ψιλωτικοὶ τῶν δασυνομένων οἱ Ἴωνες, δηλοῖ καὶ τὸ, λεύκιππος Περσεφόνη παρὰ Πινδάρῳ. καὶ τὸ αὐτόδιον, ὅ ἐστι κατὰ τὴν ὁδόν. καὶ ὁ ἀντήλιος, ἤγουν παρήλιος. καὶ ὁ ἀπηλιώτης. καὶ ἔπηλις ἡ ἐπὶ τοῦ προσώπου μελανία καὶ τὸ πῶμα τῆς λάρνακος ὥς φασιν οἱ παλαιοὶ κατὰ τὸν Σοφοκλῆν. ἡ δ' αὐτὴ, καὶ ἔφηλις κοινῶς ὡς ἀπὸ τοῦ ἥλου. λέγονται δὲ Ἰωνικῶς, καὶ ἀντήλια τὰ καὶ παρώπια ἤγουν τὰ περὶ τὰς ὄψεις τῶν ἵππων ὡς φησιν Αἴλιος Διονύσιος. Ἰστέον δὲ ὡς εἰ καὶ Ἰώνων ἐστὶν ἡ ψίλωσις τοῦ ἐπίστιον, ἀλλ' αὐτὴ ἡ λέξις τοῦἱστίου καθὰ καὶ ἡ ἱστία, Σικελῶν εἶναι πρὸ βραχέων ἐῤῥέθη καθ' Ἡρακλείδην. ὃς εἰπὼν ὡς Σικελοὶ τὸ ἀρκτικὸν ¯ε ᾧ ἕπεται τὸ σίγμα εἰς ¯ι μετατιθέασιν, ἐπάγει ὅτι οὕτω τὴν τοιαύτην ἀκολουθίαν ἐκεῖνοι σώζουσιν, ὥστε κἂν μὴ ἕπηται τὸ σίγμα φύσει ἀλλ' ἔξωθεν παρεισπέσῃ, ὁμοίως ποιοῦσι. τὸ γοῦν ἔχω, ἴσχω φασί. καὶ τὸ ἕπω, ἵσπω καὶ ἐνίσπω. οὕτω δὲ καὶ τὸ ἕζω ὅθεν τὸ καθέζομαι, ἵζω λέγουσι διὰ τὸ φύσει ἑπόμενον σίγμα τὸ ἀρκτικὸν τῆς συνθέσεως. τὸ γὰρ ζῆτα, ἐκ τοῦ σίγμα καὶ δέλτα σύγκειται. ταύτῃ τοι τὸ ἔσθω γραφόμενον φησὶ διὰ τοῦ ¯ε, ἁμαρτάνεται. ὡς οἷα ὀφεῖλον, ἴσθω εἶναι. καὶ οὕτω μὲν τοῦτο. Ἰστέον δὲ καὶ ὡς εἰ καὶ τὸ ἐπίστιον Ἰωνικόν ἐστι καὶ Σικελικὸν, ἀλλὰ τὸ ἐφέστιον, ἀττικίζεται. Τὸ δὲ ἑκάστῳ, πρὸς λόγου ἀσφάλειαν πρόσκειται. οὐ γὰρ πᾶσι κοινὸν ἦν ἓν μόνον ἐπίστιον, (ῃερς. 266.) ἀλλ' ἰδίᾳ ἑκάστῳ. ταυτὸν δὲ, ἑνὶ ἑκάστῳ καὶ πᾶσιν εἰπεῖν. Ποσιδήϊον δὲ, τὸ τοῦ Ποσειδῶνος ἱερόν, οὗ ἡ προπαραλήγουσα, διὰ τοῦ ἰῶτα γράφεται, ὡς ἀποδραμόντος ἐκ τῆς διφθόγγου τοῦ ¯ε, καθὰ ἐν τοῖς τοῦ περιηγητοῦ γέγραπται. ἁπλοῦν δὲ τοῦ ποσιδήϊον παραγώγου ὀνόματος, ἢ τὸ ποσιδεῖον προπερισπωμένως ὡς τὸ Ἰσεῖον καὶ εἰδωλεῖον καὶ Ἡρακλεῖον ἃ δηλοῖ ναὸν Ἴσιδος καὶ εἰδώλων καὶἩρακλέους, ἢ προπαροξυτόνως Ποσείδιον. ὥσπερ φασὶ καὶ Ἀπολλώνιον βραχέως, ἱερὸν Ἀπόλλωνος.καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος. καὶ Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς. ἐχρῆν δὲ τοὺς ἐκ Ποσειδῶνος κατάγοντας ὡς ἡ ἐφεξῆς ῥαψῳδίᾳ δηλώσει ἔτι δὲ καὶ ναυτικωτάτους καὶ νησιώτας, ἱερὸν Ποσειδῶνος τιμᾶν κατ' ἐξαίρετον. Σημείωσαι δὲ ὅτι πολλὰ περιεκτικὰ διφοροῦνται παρὰ τοῖς παλαιοῖς. ὧν καὶ τὸ ῥηθὲν Ἀπολλώνιον διὰ τοῦ ¯ι. κατά τινας δὲ, διὰ διφθόγγου κατὰ τὸ Ἡράκλειον. καθ' ἑτέρους δὲ, Ἀπολλωνεῖον ὡς Ἰσεῖον. οὕτως οὖν ἴσως ἀδιάκριτον καὶ τὸ Ποσιδεῖον ἢ Ποσίδειον. ἐξ οὗ κατὰ διάλυσιν καὶ ἔκτασιν τὸ ποσιδήϊον. εἰς δὲ τὰ καινὰ περιεκτικὰ, τακτέον καὶ τὸ ἐν τοῖς τοῦ Ἀθηναίου χορηγεῖον τοῦ Διονύσου. ἔτι δὲ καὶ τὸ παρ' ἄλλοις, ἅλειον. ὅπερ ἦν Ἡλίου ἱερὸν κατὰ ῥοδίους. Δωρικὴ δέ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φασιν ἡ τοιαύτη φράσις. Ἰστέον δὲ ὅτι τὸ εἰρημένον ῥοδιακῶς ἄλειον, κοινῶς ἡλιεῖον λέγεται ὡς δηλοῖ ὁ γράψας ὅτι Ἡφαιστεῖον καὶ Ἡλιεῖον, ἱερὸν Ἡφαίστου καὶ Ἡλίου. ἐκεῖνος δὲ καὶ τὸ προῤῥηθὲν Ἀθναιον ὕποπτον ποιεῖ ἐν τῷ εἰπεῖν Ἥραιος μὲν, κύριον. ἡραῖος δὲ, ναὸς Ἥρας. δόξοι γὰρ ἂν ἴσως οὕτω, καὶ τὸ Ἀθήναιον προπερισπᾶσθαι. οὐ καλὸν μέντοι τοῦτο. ἀλλ' ὁ μὲν ἡραῖος ναὸς, ἑτέρῳ λόγῳ προπερισπασθήσεται. τὸ δὲ ἀθήναιον, τονώσει ὁμοίως ἑαυτῷ, τὰ ἥραια. καὶ οὕτω μὲν ταῦτα. Ὁμοιότης δὲ ἀπελεύσεως τοῦ ¯ε ψιλοῦ ἐκ τῆς ε¯ι διφθόγγου ὁποίαν ἔπαθεν ἡ μετὰ τὴν ἄρχουσαν δευτέρα συλλαβὴ τοῦ ποσιδήϊον, ὡς ἐκ πολλῶν ὀλίγα παραθέσθαι, καὶ ἐν τῷ ἰκόνιον ὡς ἐκ τῆς εἰκόνος. καὶ τῷ χιράδες ἐκ τοῦ χεὶρ χειρός. χιράδες γὰρ, αἱ ἐκ τῶν χειρῶν ῥαγάδες. καὶ τῷ λιμὸς ἀπὸ τοῦ λέλειμμαι, καὶ τῷ χίδρα, ὡς χειρὶ δρεπόμενα καὶ ψωχόμενα. ὁποῖα τὰ ἐκ ληΐων καὶ λοιπῶν σπορίμων. Ἀλκμὰν δέ φασι χίδρα οἶδε, τοὺς ἑφθοὺς πυρούς. (ηερς. 267.) Τὸ δὲ ἀμφὶς, ἀντὶ τοῦ κύκλῳ. ἵνα ἡ ἀγορὰ 1.254 εἴη πάντοθεν καλὴ διὰ τὸ ἐσκευάσθαι εἰς ποσιδήϊον. Ῥυτοὶ δὲ λίθοι, οἱ ἑλκυστοὶ διὰ τὸ μέγεθος. Κατωρυχέες δὲ, οἱ κατορωρυγμένοι, ὅ ἐστιν εὖ τεθεμελιωμένοι. ἢ ὧν τὸ μὲν, κατορώρυκται. τὸ δὲ, ὑπερφαίνεται. (ηερς. 269.) Τὰ δὲ τῶν νηῶν ὅπλα ἑρμηνεύων, ἔφη πείσματα περὶ ὧν καὶ προεῤῥέθη. καὶ σπεῖρα, ἤγουν ὑφάσματα ἐξ ὧν τὰ ἱστία. ἢ σπεῖρας δι' ὧν αἱ σπεῖρας δι' ὧν αἱ νῆες ἕλκονται. ἢ δι' ὧν οἱ τροχίλοι δεσμοῦνται. Τὸ δὲ καὶ ἀποξύνουσιν ἐρετμὰ, δύναται μὲν ταυτὸν τῷ λεπτύνουσιν ἢ καὶ ἀποξύουσι. σχήματος δὲ ἔχει ἐναλλαγήν. εἶχε γὰρ εἰπεῖν, πείσματα καὶ σπεῖρα καὶ ἐρετμά. ὁ δὲ, ἀνελπίστως ἔφρασε μετὰ καὶ ῥήματος, περιαιρῶν τῆς φράσεως τὸ ὁμοειδές. (ηερς. 271.) Ἐν δὲ τῷ, ἀλλ' ἱστοὶ, ὅρα ὡς ἦν μὲν τῷ ποιητῇ, φράσαι καλῶς ὅτι οὐ μέλλουσι τοῖς Φαίαξιν ὀϊστοὶ ἀλλ' ἱστοί. ὁ δὲ, τὸ σεμνότερον ἐπιλεξάμενος, εἶπεν ὡς οὐ μέλει αὐτοῖς βιός. ἵνα μὴ κάλλος ἐπιτηδεύσητο ἄκαιρον. (ηερς. 256.) Σημείωσαι δὲ καὶ ὡς εἴπερ οὕτως οἱ Φαίακες ἀπόλεμοι, οὐδ' ἂν ἡ βασιλικὴ παῖς δαΐφρονα τὸν πατέρα καλοίη, ὡς δαΐα φρονοῦντα. ὡς φρόνιμον δὲ ἀπὸ μαθήσεως καὶ συνεθισμοῦ. (ηερς. 272.) Τὸ δὲ αἷς ἀγαλλόμενοι, ἀγάλματα καὶ τοῖς Φαίαξι τὰς νῆας ὑποβάλλει κατὰ τὸ Ὁμηρικὸν ἔθος εἰπεῖν. (ηερς. 276.) Ὅτι μιμούμενος ὁ ποιητὴς τὸ τοῦ δήμου ἀτάσθαλον βωμολόχον καὶ ὡς αὐτός φησιν ὑπερφίαλον, κωμικεύεται κατὰ τῆς Ναυσικάας. πλάττων αὐτὴν κατὰ ἠθοποιΐαν, λέγουσαν ὡς εἴποι ἄν τις (ηερς. 275.) κακώτερος ἤγουν κακὸς δυσγενὴς ἀντιβολήσας. τίς δ' ὅ δὲ Ναυσικάᾳ ἕπεται καλός τε μέγας τε ξεῖνος. ποῦ δέ μιν εὗρε. πόσις νύ οἱ ἔσσεται αὐτῇ. ἢ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν. ἤ τίς οἱ εὐξαμένη πολυάρητος θεὸς ἦλθεν οὐρανόθεν καταβάς. ἕξει δέ μιν ἤματα πάντα. βέλτερον εἴ κ' αὐτή περ ἐποιχομένη πόσιν εὗρεν ἄλλοθεν. ἦ γὰρ τούς δέ γ' ἀτιμάζει κατὰ δῆμον Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί. (ηερς. 285.) Καὶ ταῦτα εἰποῦσα ἡ κόρη, ἐπάγει. ὣς ἐρέουσιν. ἐμοὶ δ' ἂν ὀνείδεα ταῦτα γένοιτο. τὰ δὲ τοιαῦτα ὀνείδη, καὶ φῆμιν ἀδευκέα πρὸ τούτων εἶπε καὶ μῶμον. ἔφη γάρ. τῶν ἀλεείνω (ηερς. 273.) φῆμιν ἀδευκέα μή τις ὀπίσσω μωμεύῃ. μάλα δ' εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον. Καὶ ὅρα ἐν τούτοις τὸ φῆμιν. οὗ καθὰ καὶ ἐν ἄλλοις ἐγράφη, διὰ τοῦ ἰῶτα τὸ τέλος ὡς ἀπὸ εὐθείας τῆς, ἡ φῆμις ὡς ἡ μῆνις. Ἀδευκὴς δὲ καὶ νῦν, ἢ ἡ ἀδόκητος παρὰ δέκω, ἢ ἡ δακνηρὰ τὸ καὶ πικρά. ἵνα λέγηται φῆμις ἀδευκὴς ὡς καὶ καπνὸς ἀδευκής. (ηερς. 277.) Τὸ δὲ εὗρεν, ἀστείως ἔχει ῥηθὲν ὡς ἐπὶ ἑρμαίου τινός. εὕρημα γὰρ, τὸ κατὰ τύχην ἀγαθόν. δὶς δὲ τοῦτο ἔφη ἐνταῦθα, διὰ τὸ καίριον. Καὶ ὅρα ὡς ἐντεῦθεν ἡ κόρη ἀρξαμένη, ἀντισεμνύνει τὸν Ὀδυσσέα ἐφ' οἷς πρὸς ἐκείνου προεπηνέθη. καὶ εἰποῦσα εὐτυχῶς αὐτὸν εὑρεῖν εἰς ἄνδρα. εἶτα καὶ θεῷ αὐτὸν εἰκάζει, ὡς ἐκεῖνος αὐτὴν θεᾷ τῇ Ἀρτέμιδι. (ηερς. 276.) καὶ καλὸν καὶ μέγαν τὸν Ὀδυσσέα λέγει, ὡς ἐκεῖνος αὐτὴν τοῦ εἴδους καὶ τοῦ μεγέθους. καὶ τῆς φυῆς ἐθαύμασε. μετ' ὀλίγα δὲ, καὶ ἥρωα προσφωνεῖ. καὶ οὕτως ὃν ἔρωτα εἶχεν εἰς νοῦν, ἀνεκάλυψε κατὰ θαυμασίαν μέθοδον ὡς ἄλλου τινὸς δῆθεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιαῦτα ἐροῦντος. ἄλλως γὰρ, ἀνέκφορος ἦν ἤδη δὲ καὶ ἑαυτὴν πάνυ συνιστᾷ εἰ οὕτως ἐστὶν ἀξιέραστος ὡς μὴ μόνον πολλοὺς αὐτὴν μνηστῆρας Φαίακας ἔχειν ἀλλ' ἔχειν τι καὶ θεοῦ ἐφολκόν. (ῃερς. 279.) Τὸ δὲ οὔ τινες ἐγγύθεν εἰσὶ, πρὸς θάμβος καὶ τερατείαν ἐῤῥέθη. ἄλλως γὰρ, ἀντικρὺ τῆς Ἠπείρου κείμενοι, ἐγγυτάτω εἶχον τοὺς Ἠπειρώτας οἱ Φαίακες. Σημείωσαι δὲ καὶ ὡς ἀφόρητον κακὸν τοὺς τοῦ δήμου καὶ ἡ βασιλικὴ αὕτη παῖς οἶδε, μὴ δὲ τῶν μειζόνων φειδομένους ἐν καιρῷ. (ῃερς. 286.) Ὅτι γνώμη παιδευτικὴ τὸ, καί δ' ἄλλῃ νεμεσῶ ἥτις τοιαῦτά γε ῥέζοι, τουτέστιν. ἥτ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων, ἀνδράσι μίσγεται ὅ ἐστι σύνεστι, (ῃερς. 288.) πρίν γ' ἀμφάδιον γάμον ἐλθεῖν. ἤγουν πρὶν φανερῶς ἄνδρα λαβεῖν. ἐπεί τοι μετὰ γάμον, οὐ κεκώλυται καὶ ἑτέροις ἀνδράσι μίσγεσθαι ἐμφανιζομένας, ὃ καὶ ἡ Ἑλένη πρὸ βραχέων ἐποίησε. καὶ ἡ Πηνελόπη δέ. καὶ ἄλλως δὲ, μιχθήσονται ὅ ἐστι παρέσονται καὶ παρθένοι ἀνδράσιν ἐνώπιον γονέων. ὡς ἡ Ναυσικάα ἐν τοῖς ἑξῆς παρέσται καὶ ἐν ἐπηκόῳ προσφωνήσει τὸν Ὀδυσσέα, ἕτερον μέντοι τοῦτο μίσγεσθαι. ὁ δὲ ποιητὴς ἐνταῦθα φησὶν ἀνδράσι μίσγεσθαι οὐκ ἂν τολμήσῃ παρθένος, ὄντων ὅ ἐστι ζώντων τῶν τεκόντων. οὓς φίλους κατ' ἐξοχὴν καλέσας, ἐπήγαγε πρὸς ἑρμηνείαν τὸ, πατρὸς καὶ μητρός. (ῃερς. 286.) Τὸ δὲ νεμεσῶ, νῦν μὲν, ἐνεργητικῶς ἐξεφωνήθη. τὰ πλείω δὲ, παθητικῶς λέγεται. (ῃερς. 289.) Ὅτι ὁ συμβουλευόμενός τινι περὶ τῆς οἴκαδε πομπῆς, ἐρεῖ. ξεῖνε, σύ δ' ὧδ' ἐμέθεν ξυνίει ἔπος ὄφρα τάχιστα πομπῆς καὶ νόστοιο τύχῃς. Καὶ ὅρα τὸ, ξυνίει ἔπος, αἰτιατικῇ συνταχθέν. 1.255 δῆλον δ' ὅτι καὶ γενικῇ συντάσσεταί ποτε Ἀττικῶς. (ῃερς. 291.) Ὅτι ἀγλαὸν ἄλσος Ἀθηνᾶς ὑπογράφων, οὕτω φησί. δήομεν ἀγλαὸν ἄλσος Ἀθήνης, αἰγείρων. ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών. ἔνθα τεθαλυῖαν ἀλωὴν καὶ τέμενος εἶναι τοῦ Ἀλκινόου ἡ κόρη φησὶν, ἐγγὺς τῆς πόλεως. (ῃερς. 293.) Ἔστι δὲ τέμενος, ἰδιαίτατος τόπος περιωρισμένος καὶ οὕτως ἀποτετμημένος τῶν ἐγγύς. τέμενος γὰρ ἐπὶ ναοῦ, οἱ μεθ' Ὅμηρον οἴδασιν. ὁ δὲ ποιητὴς οὐδὲ ἱερὸν ἁπλῶς τόπον λέγει τὸ τέμενος, ἀλλὰ τὸν κατὰ ἀποτομὴν ὄντά τινος. (ῃερς. 291.) Τὸ δὲ ἄλσος, Αἰολικὴ λέξις ἀπὸ τοῦ ἅλλω ἅλσω. διὸ καὶ ψιλοῦται. ψιλωτικοὶ γὰρ ὥσπερ Ἴωνες, οὕτω καὶ Αἰολεῖς. Ἐν δὲ τῷ, Ἀθήνης, λείπει τὸ ἱερόν. προϊὼν οὖνφησὶν ἐντελῶς, κλειτὸν ἄλσος ἵκοντο ἱρὸν Ἀθηναίης. Αἰγείρων δὲ τὸ ἄλσος, ἐπεὶ κατὰ τοὺς σοφοὺς μεγαλοπρεπέστερον τὸ τῶν ἀειθαλῶν καὶ ἀκάρπων φυτῶν κτῆμα. (ῃερς. 292.) Τὸ δὲ νάει, πρωτότυπόν ἐστι τῶν Νηΐδων καὶ τοῦ νάματος καὶ τοῦ Νηρέως καὶ τῶν τοιούτων. Ἐν δὲ τῷ, ἀμφὶ δὲ λειμὼν, λείπει τὸ ἐστίν. οὐ γὰρ δήπου τὸ νάειν προσαρμόττει καὶ τῷ λειμῶνι. (ῃερς. 295.) Ὅτι κεῖται καὶ ἐνταῦθα χρόνος ἐπὶ ὀλιγίστου ἐν τῷ, ἔνθα καθεζόμενος, μεῖναι χρόνον εἰσόκεν ἡμεῖς ἄστυδε ἔλθωμεν, ὃ πάνυ ἦν ἐγγυτάτω. (ῃερς. 297.) Ὅτι ἐν τῷ, ἐπὰν ἡμᾶς ἔλπῃ ποτὶ δώματ' ἀφῖχθαι, ἀντὶ τοῦ στοχάζεσθαι κεῖται τὸ ἔλπεσθαι. (ῃερς. 300.) Ὅτι ἐνδόξου ἀνθρώπου δώματα ὑπογράφει τὸ, ῥεῖα δ' ἀρίγνωτ' ἐστί. καὶ ἂν πάϊς ἡγήσαιτο νήπιος. οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται τὰ τῶν ἄλλων. τοῦτο δὲ ὡς οἷον προαναφωνητικῶς εἶπε. νεάνιδι γὰρ εἰκασθεῖσα ἡ Ἀθηνᾶ, δείξει τῷ Ὀδυσσεῖ τὰ τοῦ βασιλέως δώματα. οὕτω γὰρ ἐχρῆν, ἵνα μὴ τελείῳ προσώπῳ περιτυχὼν ὁ ξένος καὶ ἀλήτης, λόγους δώσει τῷ ποιητῇ ἔξω καιροῦ. διὸ οὐδὲ ἡμέρας οὔσης εἰσέρχεται τὴν πόλιν Ὀδυσσεὺς, ἀλλὰ μετὰ δύσιν ἡλίου. ὡς ἂν μή τινι περιτυχὼν ἢ θεαθεὶς, πράγματα ἕξει ἐν μὴ δέοντι. κερτομούμενος κατὰ τὸν ποιητὴν ἢ ἐρωτώμενος. Τὸ δὲ καὶ ἂν πάϊς ἡγήσαιτο, Ἀττικὸς ἀνὴρ συναλείψας, κἂν πάϊς ἐρεῖ. καθὰ καὶ Σοφοκλῆς τὸ, καὶ ἂν ἐξέπραξεν εἰ κατημέλησ' ἐγὼ, κἂν ἐξέπραξεν ἔφη. (ῃερς. 303.) Ὅτι τὸ ὅτε εἰσέλθῃς περιφράζων, φησίν. ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή. ἔστι δὲ τὸ κεκύθωσιν ἤτοι κρύψωσιν, ἢ δεύτερος ἀόριστος ἐκ τοῦ κεύθω ἔκυθον καὶ Ἰωνικῶς κέκυθον, ἢ μέσος παρακείμενος τοῦ αὐτοῦ ῥήματος καθ' ὁμοιότητα τοῦ ἐληλύθωσιν. (ῃερς. 305.) Ὅτι ὡς καὶ προεγράφη ἀφελῶς κατὰ ἀρχαϊσμὸν ἡ Ἀρήτη κάθηται ἐπ' ἐσχάρῃ ἐν πυρὸς αὐγῇ, ἠλακάτα στρωφῶσα, ὡς καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτο προεδηλώθη, ἁλιπόρφυρα. θαῦμα ἰδέσθαι. κίονι κεκλιμένη. δμωαὶ δέ οἱ εἵατ' ὄπισθεν. ἔνθα καὶ ὁ τοῦ Ἀλκινόου θρόνος ποτὶ κέκλιται αὐγῇ ἢ αὐτῇ. τῷ, ὅ γε οἰνοποτάζει ἐφήμενος (ῃερς. 309.) ἀθάνατος ὥς, κατὰ τὸν τῆς κόρης λόγον. ἣ μηδὲν ὑψηλὸν φρονοῦσα, ἀθανάτῳ εἰκάζει τὸν τρυφῶντα πατέρα ὡς δῆθεν θεῖον ὂν τὸ τοιοῦτον. (ῃερς. 305.) Αὐγὴν δέ φασι πυρὸς λέγει, τὸν φωτιζόμενον τόπον ὑπὸ πυρός. (ῃερς. 307.) Τὸ δὲ κεκλίσθαι ὅτι οὐ μόνον ἀνάκλισιν ἀλλὰ καὶ περιοχήν τινα δηλοῖ, πολλαχοῦ τῆς ποιήσεως φαίνεται. (ηερς. 305.) Περὶ δὲ ἐσχάρας ᾗ παρώνυμος ὁ κοινῶς παρεσχαρίτης λεγόμενος, δηλοῦται μὲν καὶ ἐν ἄλλοις. ἐνταῦθα δὲ, μνηστέον τοῦ εἰπόντος ὅτι βωμὸς μὲν, ὁ προσβάσεις ἔχων. ἐσχάρα δὲ, ἡ πρὸς βιωτικὴν γινομένη χρῆσιν ἐπὶ γῆς. τὰ δὲ πολυτελῆ φησιν, ἑστίαι. μέγαρον δὲ, περιῳκοδομημένον ἐστὶ, καὶ σημαίνει οἶκον. γράφεται δὲ καὶ ἱστία διὰ τοῦ ἰῶτα ὡς ἐν τοῖς ἑξῆς φανεῖται, καὶ διὰ τοῦ ¯ε. ὅθεν ὁ ἄοικος, ἀνέστιος. Ἑστία δέ φησι, καὶ σωματοειδὴς θεὰ, ἡ καὶ διὰ τοῦ ¯ι οἶον. Ἱστίην καὶ Δήμητραν καὶ Ἶριν χρυσοπέδιλον. Νεάνθης δέ φασιν ὁ Κυζικηνὸς, λέγει ὡς βωμοὶ μὲν, δαιμόνων. ἐσχάραι δ', ἡρώων. Σοφοκλῆς δὲ, καὶ ἀντὶ βωμοῦ οἶδεν ἐσχάραν. λέγει δὲ καὶ Εὐριπίδης, μηλοσφαγεῖ τε δαιμόνων ἐπ' ἐσχάραις. ὅτι δὲ καὶ ἕλκους ἐσχάρα τροπικῶς, ἀλλαχοῦ ἐῤῥέθη. καὶ ὅτι αἱ εἰρημέναι προσβάσεις, ἐτυμολογοῦσι τοὺς βωμούς. καὶ ὅτι ἡ πρόσγειος ἐσχάρα, καὶ βαῦνος λέγεται εἰσέτι καὶ νῦν, ἀφ' ἧς ὁ βάναυσος. εἰ δὲ ἡ θυτικὴ ἐσχάρα παρὰ τὸ ἔχειν ἀρὰς παρῆκται, ζητητέον καὶ αὐτὸ ἑτέρωθι. οἰκονομικῶς δὲ πλάττει ὁ ποιητὴς ἐπ' ἐσχάρῃ νῦν καθῆσθαι ἀπεριέργως τοὺς βασιλεῖς. ἵνα αὐτόματος ἐπελθὼν Ὀδυσσεὺς, ἐντύχῃ αὐτοῖς καὶ ἱκετεύσῃ. παραμειψάμενος μὲν κατὰ τὴν συμβουλὴν τῆς κόρης, τὸν πατέρα (ηερς. 310.) μητρὸς δὲ περὶ γούνασι χεῖρας βαλών. ὅ ἐστι περιφραστικῶς, γουνασάμενος. ἵνα φησὶ, νόστιμον ἦμαρ ἴδηαι χαίρων, καρπαλίμως. εἰ καὶ μάλαπερ τηλόθεν ἐσσί. Καὶ ὅρα ὡς τῇ γυναικί, ἐφ' οἷς δέον ὁ Ἀλκίνοος εἰς τὰ μάλιστα πείθεται. ὡς δὲ καὶ τιμᾷ ἐκεῖνος τὴν γυναῖκα καὶ ὡς εὐλόγως, ἡ ἐφεξῆς ῥαψῳδία ἐρεῖ. (ῃερς. 318.) Ὅτι ἐν τῷ, αἱ δὲ, τουτέστιν αἱ ἡμίονοι εὖ 1.256 μὲν τρώχων εὖ δὲ πλίσσοντο πόδεσσι, τὸ μὲν τρώχων, ἀντὶ τοῦ ἔτρεχον, ἀπὸ τοῦ τρωχῷ. οὗ ἡ γραφὴ, ὁμοία τῷ στρωφῶ καὶ τρωπῶ καὶ τοῖς ὁμοίοις. Τὸ δὲ πλίσσοντο, λέξις μέν ἐστιν Ἰωνική. κατὰ δὲ τοὺς πλείονας, Δωρική. δηλοῖ δὲ, τὸ βηματίζειν καὶ μεταφέρειν σκέλος παρὰ σκέλος. ὅθεν καὶ πλὶξ, τὸ βῆμα. τὸ δ' αὐτὸ, καὶ πλίγμα. καὶ πλίξας, ὁ βηματίσας. καὶ περιπεπλιγμένον, τὸ περιβεβηκός. καὶ ἀπεπλίξατο, τὸ ἀπέβη, παρὰ τῷ κωμικῷ ἐν Ἀχαρνεῦσι. καὶ Ἱπποκράτης δέ φασι πλίγμα λέγει, τὸ μεταξὺ τῶν μηρῶν διάστημα. ὅθεν καὶ διαπεπλίχθαι, τὸ περιπλέκειν τοὺς πόδας. ἔστι δὲ τὸ μὲν τροχάζειν, συντόνου κινήσεως. ἑτεροίας δὲ, τὸ πλίσσεσθαι πόδεσσιν. ἵνα λέγῃ τὰς ἡμιόνους, ἀγαθὰς εἶναι καὶ τρέχειν καὶ ἄλλως δὲ ἁπλῶς βαδίζειν. (ηερς. 3.) Ὅτι νόῳ ἐπέβαλλεν ἱμάσθλην ἡ κόρη, τουτέστι, φρονίμως ἡνιόχευεν ὅπως ἅμα ἕποιντο οἱ πεζοί. καὶ ἄλλως δὲ ἡ κόρη νόῳ ἱμάσσει, ὡς μετροῦσα τὴν ὥραν. ἵνα πρὸς ἑσπέραν εἰς τὴν πόλιν ἔλθῃ ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. Ἡ δὲ ἱμάσθλη, γίνεται μὲν παρὰ τὸν ἱμάντα ἐξ οὗ ἴσως κατὰ ἀφαίρεσιν τῆς ἀρχούσης, καὶ ὁ μεμαλαγμένος λῶρος. λέγεται δὲ πολυωνυμίας λόγῳ, καὶ μάστιξ ἡ αὐτὴ, ἔτι δὲ καὶ κέντρον. ἀφ' οὗ ἵπποι κεντρηνεκέες. ἀνάπαλιν αὐτοὶ ὄντες τοῖς δίχα κέντροιο θέουσι. τοιούτου δὲ κέντρου, σύνθετον καὶ τὸ βούκεντρον, ἑτεροῖον μέντοι παντελῶς αὐτό. πρὸς ὅπερ ὁ ἀντιβαίνων βοῦς, λακτίζειν πρὸς κέντρα λέγεται. δῆλον δ' ὅτι καὶ ἐπὶ ἀνδρείου μορίου κωμικεύεται τὸ κέντρον, ὡς δηλοῖ τὸ, εἰς οὐχ' ὁσίην τρυμαλίην τὸ κέντρον ὠθεῖ. (ῃερς. 324.) Ὅτι πρὸς τὸν δυσωπούμενον ἄρτι γοῦν ἐλεῆσαι εἰ καὶ μὴ πρὸ τούτου ἐπείθετο, εἰκὸς ῥηθῆναι τὸ, κλῦθί μοι ὁ δεῖνα. νῦν δή περ μου ἄκουσον, ἐπεὶ πάρος οὔποτ' ἄκουσας ῥαιομένου, ὅτε μ' ἔῤῥαιεν ὁ δεῖνα. δὸς δέ με φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν. ὃ δή τις καὶ ἐν Ἰλιάδι ἱκετεύων εὔξατο, ἐθέλων καὶ φιληθῆναι καὶ ἐλέους τυχεῖν. (ηερς. 329.) Ὅτι τὸ, οὔπω φαίνετο ἐναντίη, ἀντὶ τοῦ, οὐ παρίστατο ἐναργὴς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλὰ πόῤῥωθεν ἐβοήθει. περὶ Ἀθηνᾶς δὲ ὁ λόγος. (ηερς. 330.) Ὅτι τὸ ζαφελῶς μενεαίνειν, ἐχρῆν μὲν βαρύνεσθαι ὡς ἀπὸ βαρυτόνου ὀνόματος τοῦ ζάφελος, καθὰ καὶ ἐν Ἰλιάδι γέγραπται. ἐπεκράτησε δὲ ἡ τοῦ Ἀριστάρχου ἐπὶ τῷ περισπασμῷ ἀρέσκεια. διατί δὲ τῷ Ποσειδῶνι ζαφελῶς μενεαίνοντι κατὰ Ὀδυσσέως ἡ Ἀθηνᾶ οὐκ ἀντέστη, Εὐριπίδης ἐξ Ὁμήρου κερδήσας, λύει σαφέστερον ἐντῷ κατ' αὐτὸν Ἱππολύτῳ. ἔνθα ἡ Ἄρτεμις ἔθος εἶναι θεοῖς φησι, μὴ ἀντικαθίστασθαι ἀλλήλοις ὅτέ τινα βλάπτουσι, κἂν ὁ φίλτατος ἀνθρώπων εἴη. καθὰ καὶ αὐτὴ οὐκ ἀντέπραξε τῇ Ἀφροδίτῃ ἐφ' οἷς ἐθανάτου τὸν φίλον Ἱππόλυτον. ΥΠΟΘΕΣΙΣ ΤΗΣ Η. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Ναυσικάα εἰς τὴν πόλιν ἀφικνεῖται. καὶ μετ' ὀλίγον ὁ Ὀδυσσεὺς ἱκετεύει Ἀρήτην Ἀλκινόου τοῦβασιλέως γυναῖκα. καὶ μετὰ τὸ δεῖπνον πυνθανομένης ὁπόθεν τὴν ἐσθῆτα ἔσχεν, ἐγνώρισε γὰρ αὐτὴν, τὰ συμβάντα αὐτῷ κατὰ τὸν πλοῦν ἀπὸ τῆς Ὠγυγίας μέχρι τῆς τῶν Φαιάκων γῆς διηγεῖται. ΟΔΥΣΣΕΙΑΣ Η. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. (ηερς. 4.) Ὅτι Ὀδυσσέως εἴσοδος πρὸς Ἀλκίνοον, ἡ παροῦσα ἐπιγράφεται ῥαψῳδίᾳ. πεζεύει δὲἡ ταύτης καταρχὴ τὴν Ναυσικάαν ἐκ τῆς ἡμιονείας ἀπήνης. καὶ οἱ κασίγνητοι ἀμφίστανται αὐτὴν, ἀθανάτοις ἐναλίγκιοι, ὅτι καὶ ἀγχίθεοι ὡς προγέγραπται. ὑπ' ἀπήνης δὲ ἡμιόνους λύουσιν ἐσθῆτά τε εἰσφέρουσιν ἔσω, τουτέστι τὰ πλυθέντα εἵματα. αὐτὴ δ' ἐς θάλαμον ἤϊε. δαῖε δέ οἱ πῦρ φωτὸς χάριν γρῆυς ἀπειραίη θαλαμηπόλος Εὐρυμέδουσα. ἥν ποτε ἀπείρηθεν νέες ἤγαγον, ἢ μάχης νόμῳ, ἢ κατὰ ἐμπορίαν. Ἀλκινόῳ δὲ γέρας ἔξελον, οὕνεκα (ηερς. 11.) πᾶσι Φαιήκεσσιν ἄνασσε, θεοῦ δ' ὣς δῆμος ἄκουεν. ἣ τρέφε Ναυσικάαν, καὶ ἑξῆς. Καὶ ὅρα ὡς φανερῶς ἄνακτα Φαιάκων λέγει τὸν Ἀλκίνοον, εἰ καὶ ἄλλως ἀριστοκρατεῖσθαι ὡς καὶ προελέχθη, φαίνονται οἱ Φαίακες. καὶ ὅτι ἀγαθὸς βασιλεὺς ὁ Ἀλκίνοος εἴγε ὡς θεοῦ αὐτοῦ ἤκουον οἱ τοῦ δήμου. (ηερς. 6.) Τὸ δὲ ἐσφέρειν, διαφέρει πάντως 1.257 τοῦ ἐκφορεῖν. ὡς γοῦν ἐσφόρεον πρὸ τούτων μέλαν ὕδωρ εἰς τὰς πλυνοὺς αἱ ἀμφίπολοι, οὕτως ἐσφέρουσι καὶ οἱ βασιλικοὶ παῖδες ἐσθῆτα ἔσω. ἐκφορεῖται δὲ ναῦς. καὶ ἐκφέρεται λόγος, ὁ καὶ ἔκφορος διατοῦτο λεγόμενος. Ἐν δὲ τῷ, Ἀπειραίη γραῦς οὗ ἑρμηνευτικὸν τὸ Ἀπείρηθεν, σημείωσαι ὅτι ὁ πολλαχοῦ τὴν Φαιακίαν ἐκτοπίζειν ἐθέλων διὰ τὸ τερατωδέστερον, ἐνταῦθα ἐνέφῃνε τὴν ἀληθῆ θέσιν αὐτῆς. πλάσας τὴν βασιλικὴν θαλαμηπόλον γραῦν, ἐκεῖθέν ποθεν αἰχμαλωτισθεῖσαν ἐκ τῆς ἀντιπέραν γῆς, ἰδίως οὕτω καλουμένης Ἠπείρου ὡς καὶ ἐν ἄλλοις ἐγράφη, ὁμωνύμως τῇ ὅλῃ γῇ. Καὶ ὅρα ὡς οὐ διὰ τοῦ ἦτα Ἤπειρον κατὰ τοὺς ὕστερον ἀλλὰ διὰ ἄλφα ἔφη Ἄπειρον τὴν ἰδίως οὕτω καλουμένην χώραν. καὶ τὴν ἐξ Ἠπείρου γραῦν, Ἀπείρηθεν ὁμοίως τῷ ἀθήνηθεν Θήβηθεν. σεμνότερον δὲ τοὔνομα τῇ γραΐ, τοῦ δε σποινικοῦ. τοιοῦτον γὰρ τὸ Εὐρυμέδουσα πρὸς τὸ Ναυσικάα. (ηερς. 7.) Τὸ δὲ πῦρ ἔδαιε, πῦρ ἀνέκαιε κατωτέρω λέγει ἐν τῷ, πῦρ ἀνέκαιε καὶ (ηερς. 13.) εἴσω δόρπον ἐκόσμει. τουτέστιν, εὐπρεπῶς ἔταττεν. οὗ ἡ παῦλα, ἀποκοσμεῖν λέγεται, ὡς δηλοῖ τὸ, ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαιτός. Τὸ δὲ ἐξελεῖν ὅτι ἀντὶ τοῦ δοῦναί τι ὡς ἐξαίρετον νοεῖται ὡς ἐπὶ πολὺ, ἡ Ἰλιὰς πολλαχοῦ ἐδήλωσε. Φανερὸν δὲ, καὶ ὡς πᾶν γέρας, κατά τι ἐξαίρετον δίδοται. (ηερς. 8.) Καὶ ὅτι Ὅμηρος μὲν, Ἄπειρονπρὸς διαστολὴν τῆς ὅλης γῆς, οἱ δὲ μεθ' Ὅμηρον, Ἤπειρον, τὴν χώραν φασίν. ἀφ' ἧς καὶ ὁ περιᾳδόμενος Ἠπειρώτης Πύῤῥος. καὶ βόες αἱ Ἠπειρώτιδες. (ηερς. 15.) Ὅτι Ὀδυσσέως ἰόντος εἰς τὴν Φαιακων πόλιν, Ἀθήνη πολλὴν ἠέρα χεῦεν, οὐκ ἐπὶ κακῷ μέντοι, ἀλλὰ φίλα φρονέουσ' Ὀδυσσῆϊ. ἔστι δὲ τοῦτο ἀλληγορικῶς, ἡ προῤῥηθεῖσα φρόνησις. δι' ἧς περὶ δύναντα ἥλιον γέγονεν ἡ εἰς τὴν πόλιν εἴσοδος τῷ Ὀδυσσεῖ. ὡς ἂν μή τέ τις Φαιήκων ἀντιβολήσας ἐρωτῴη καὶ κερτομέοι ὡς εἰκὸς ἐπέεσσιν οἷα νεάνιδι ἀκολουθοῦντα, καὶ ἵνα αἴφνης ἐπιφανεὶς τοῖς βασιλεῦσι, θαυμασθείη. εἰ δέ τις ἀποροίη πρὸς τὸ Φαιακικὸν φιλόξενον ἀφορῶν, εἰ κέρτομοι οἱ κατὰ Φαιακίαν, λύσει μετ' ὀλίγα τὸ ἄπορον ὁ ποιητὴς, κατειπὼν τοῦ δήμου κακοξενίαν ὡς τῶν ἀρίστων μόνων φιλοξένων ὄντων οὐ μὴν καὶ τῶν λοιπῶν. ἐοίκασι γὰρ κατὰ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὁμηρικὴν πλάσιν, εὐλαβεῖσθαι εἰ παραβάλλοντές τινες καὶ τὸ ἐν αὐτοῖς εὔδαιμον μαθόντες, ἐπιβουλεύσουσι. διὸ καὶ ἐπέκρυπτον ἑαυτοὺς καὶ ἐξετόπιζον καὶ πάντα ἐποίουν δι' ὧν ἂν ἀγνοοῖντο τοῖς παραβάλλουσιν. ὅθεν καὶ τὸν Ὀδυσσέα, νυκτὸς ἐπανεσώσαντο οἴκοι, φόβῳ ἐπιβουλῆς. ὡς ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται. Ἠέρα δὲ καὶ ἐνταῦθα, τὴν ἀορασίαν φησί. θηλυκῶς σχηματίζων κατὰ ἔθος Ἰωνικόν. (ῃερς. 18.) Ὅτι τὸ εἰσελθεῖν εἰς πόλιν, δύσεσθαι πόλιν φησί. πρὸ δὲ τούτων, καὶ πόλιν κατέδυ Τρώων Ὀδυσσεύς. ὡς πολέμιος μέντοι ἐκεῖ. (ῃερς. 22.) Ὅτι παρθενικῇ εἰκυῖα νεήνιδι κάλπιν ἐχούσῃ, ἡγεῖτο Ἀθηνᾶ τῷ Ὀδυσσεῖ δόμον Ἀλκινόου ἤγουν εἰς δόμον ὡς καὶ προεδηλώθη. τοιοῦτον καὶ μετ' ὀλίγα τὸ (ῃερς. 28.) ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω. σαφέστερον δὲ τούτων τὸ, δόμον ὅν μοι κελεύεις, δείξω. (ῃερς. .) Παρθενικὴ δὲ, ἡ παρθένος κατὰ τύπον ὡς κτητικὸν οὐ μὴν αὐτόχρημα κτητικόν. καθά που καὶ ὀρφανικοὶ παῖδες, οἱ ὀρφανοί. Ἡ δὲ κάλπις, οὕτω φασὶ λέγεται, ὡς καλοῦσα πιεῖν. (ῃερς. 24.) Ὅτι ἀλλοδαποῦ ξένου λόγος τὸ, καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ' ἱκάνω τηλόθεν ἐξ ἀπίης γαίης. τῷ οὔ τινα οἶδα ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ ἔργα νέμονται. (ῃερς. 28.) ὁ δὲ τοιοῦτον ἄνδρα ὁδηγῶν εἰς ὃν ἐκεῖνος οἶκον ζητεῖ, εἴποι ἂν τὸ, τοιγὰρ, ἐγώ τοι ξεῖνε πάτερ δόμον ὅν μοι κελεύεις δείξω. ὥσπερ καὶ τὸ, οὗτος δή τι ξεῖνε πάτερ δόμος ὅν μοι κελεύεις πεφραδέμεν. ἴσως δέ ποτε προσαρμόσει καὶ τὸ, ἀλλ' ἴθι σιγῇ τοῖον, ἀντὶ τοῦ, οὕτως ὡς νῦν ἔρχῃ σιγῶν. ἢ θαυμαστικῶς ἀντὶ τοῦ λίαν, κατὰ τὸ, τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι. (ῃερς. 30.) ἐγὼ δ' ὁδόν φησιν ἡγεμονεύσω. μὴ δέ τιν' ἀνθρώπων προτιόσσεο πρόσβλεπε μὴ δ' ἐρέεινε. (ῃερς. 31.) καλῶς δὲ τὸ, μηδέ τιν' ἀνθρώπων. ὁ γὰρ ταῦτα παραγγελλόμενος Ὀδυσσεὺς, ἀνθρώπους μὲν οὔ, λιμένας δὲ καὶ νῆας καὶ τοιαῦτα ὁρῶν, θαυμάσεται. εἰ δὲ καὶ (ῃερς. 32.) κακόξενοί εἰσιν οἱ τοιοῦτοι ἄνθρωποι, προσφυῆ αὐτοῖς καὶ τὰ ἐφεξῆς. οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται ἤτοι ἀνέχουσι καὶ τιμῶσιν. οὐδ' ἀγαπαζόμενοι φιλέουσ', ὅς κ' ἄλλοθεν ἔλθοι. (ῃερς. 34.) εἰ δὲ καὶ ναυτικὸν τὸ τοιοῦτον φῦλον, οὐκ ἀπᾷδόν ἐστιν εἰπεῖν ἐπ' αὐτοῖς καὶ τὸ, νηυσὶ θοῇσι τοίγε πεποιθότες ὠκείῃσι, λαῖτμα μέγ' ἐκπερόωσιν, ἐπεί σφισι δῶκε θεός. τῶν, (ῃερς. 36.) νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα. πρὸς Ὀδυσσέα δέ φησι καὶ ταῦτα ἡ Ἀθηνᾶ, θαῤῥύνουσα ἐπὶ τῷ νόστῳ οἷα ταχυναυτούντων τῶν Φαιάκων. μᾶλλον μὲν οὖν, Ὁμηρικῆς ταῦτα Μούσης μέθοδοι. πιθανολογούσης τὸν ἄπονον οἴκαδε τοῦ Ὀδυσσέως πλοῦν καὶ ταχὺν ἐκ τῆς τῶν ναυτικω 1.258 τάτων Φαιάκων πομπῆς. εἰ γὰρ καὶ πάνυ ἐκτετόπισται ἡ τῶν Φαιάκων γῆ, ὅμως οὐδέν τι τέρας οὐδ' ἀπίθανον, ἐν μιᾷ νυκτὶ κατᾶραι τὸν Ὀδυσσέα εἰς Ἰθάκην νηῒ ταχείᾳ κατὰ πτερὸν ἠὲ νόημα. Καὶ ὅρα ὅτι οὐχ' ὡς ἐν τῷ, ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης, ἐκ τοῦ μείζονος ἐπὶ τὸ ἔλαττον κατέβη, οὕτω καὶ ἐνταῦθα ποιεῖ. ἀλλὰ προσθεὶς τὸ ἧττον ἤτοι τὸ πτερὸν, ἐπήγαγε τὸ κατὰ πολὺ μεῖζον εἰς τάχος, δηλαδὴ τὸ νόημα. ὃ θείας ἐστὶ ταχυτῆτος ἔνδειξις. διὰ δὲ τοῦ πτεροῦ, ὄρνιν πάντως δηλοῖ. καὶ αὐτὸν, ταχύτατόν τινα ὡς εἰκὸς, καὶ ὡς εἰπεῖν, ὠκυπέτην. (ῃερς. 24.) Ταλαπείριος δὲ τίς λέγεται, προεγράφη. τὸ δὲ ταλαπείριος καὶ τὸ τηλόθεν ἐξ ἀπίης γῆς, ἐτυμολογικῶς εἰρῆσθαι δοκεῖ. ἐκ τοῦ τῆλε γὰρ ὡς προεῤῥέθη, καὶ ὁ ταλαπείριος. (ῃερς. 25.) ἡ δὲ Ἰλιὰς ἐδήλωσε τὴν ἀπίαν γῆν, ἐν τῇ ¯α ῥαψῳδίᾳ. Τὸ δὲ οἳ τήνδε πόλιν νέμονται, σημείωσαι ὡς χρήσιμον εἰς τὰς ἀγρονόμους νύμφας. οὐδὲν γὰρ ἀπεικὸς εἴπερ ἐκεῖ ἀγρόνομοι προπαροξυτόνως νύμφαι λέγονται, ὡς οὕτω καὶ αὐταὶ νέμονται ἀγρούς. Τὸ δὲ οὐκ ἀνέχονται ξείνους οὐδ' ἀγαπαζόμενοι φιλέουσι, περὶ τοῦ κατὰ Φαίακας ναυτικοῦ ὄχλου λέγεται, ἤγουν τοῦ δήμου, ὡς καὶ πρὸ ὀλίγων ἐῤῥέθη. εἰ γὰρ καὶ ἀγχίθεοι γεγάασιν οἱ Φαίακες, ἀλλ' οὐ πάντων τουτό ἐστι τὸ σεμνόν. μόνου δὲ τοῦ βασιλικοῦ γένους. διὸ καὶ ἡ μυθικὴ νεάνις ἡ τοῦ Διὸς Ἀθηνᾶ, ἐνταῦθα τῷ Ὀδυσσεῖ ἀστείως λέγει ὅτι Ἀλκίνοος πατρός μοι ἀμύμονος ἐγγύθι ναίει, ουμόνον διὰ τὸ εὐγενὲς καὶ βασιλικὸν, ἐπεὶ καὶ διοτρεφέες καὶ διογενεῖς οἱ βασιλεῖς, ἀλλὰ καὶ διὰ τὸ κατὰ φιλοξενίαν ἀγχίθεον.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς γὰρ Διός εἰσι καὶ οἱ ξεῖνοι. καὶ ἔστιν οἷον ἀνδρείκελον Διὸς Ἀλκίνοος καὶ οἱ κατ' αὐτὸν ἀγαθοὶ ἐκεῖσε ἄνδρες. ἴσως δὲ καὶ ἐπίτηδες κατ' ἐκφόβησιν ἡ Ἀθηνᾶ τῷ Ὀδυσσεῖ λαλοῦσα, καταψεύδεται τῶν Φαιάκων. Τὸ δὲ ὡσεὶ πτερὸν ἠὲ νόημα περὶ οὗ γέγραπται προσεχῶς, ὑπερβολῆς χρὴ ἔχειν παράδειγμα. ὅτε δὲ καὶ οἷον ἐμψύχους καὶ λογικὰς τὰς αὐτῶν πλάσονται νῆας οἱ Φαίακες, οὐκέθ' ὑπερβολικὸς ὁ τοιοῦτος λόγος, ἀλλ' ἤδη τερατώδης ἄντικρυς. ὅθεν οὐδὲ ψεκτέος Ὀδυσσεὺς, ἀντιφιλοτιμούμενος παρὰ τοιούτοις ἀνδράσι τερατολογεῖν ἐν οἷς διηγεῖται πρὸς τὸν Ἀλκίνοον. στοχασάμενος γὰρ οἷα εἰκὸς καὶ ἀφ' ὧν ἔλεγον ἐγνωκὼς τοιούτοις χαίροντας, ἀντιψεύδεται καὶ αὐτὸς ἐν τοῖς καθ' ἑαυτόν. Σημείωσαι δὲ καὶ ὅτι παραῤῥίψας ἐνταῦθα ὁ ποιητὴς διὰ τῆς Ἀθηνᾶς τὸ, ὡσεὶ πτερὸν ἠὲ νόημα, καὶ δελεάσας τῷ ἀστείῳ τοῦ νοήματος τὸν ἁπλούστερον ἀκροατὴν, ἤδη δὲ καὶ διὰ τὴν συντομίαν λαθὼν, οὕτω τερατεύσεσθαι τολμᾷ ἐν τοῖς ἑξῆς διὰ τοῦ Ἀλκινόου, καὶ ἐχέφρονας εἶναι τὰς ἐκεῖ νῆας ὡς φανήσεται. καὶ δοκεῖ σχεῖν τὸ ἀσφαλὲς ἐκεῖνος ὁ λόγος, διὰ τοῦ καὶ ἐνταῦθα εἰπεῖν αὐτὰς ὠκείας εἶναι ὡσεὶ νόημα. ἐντεῦθεν δέ τινες ὁρμηθέντες, καὶ τὴν παρὰ τῷ Ἡσιόδῳ Αὐτονόην, εἰς νῆα μετέλαβον ἀλληγορικῶς, ἀκολούθως τῇ Φαιακικῇ ταύτῃ τερατείᾳ. Τὸ δὲ νηυσὶ θοῇσι τοίγε πεποιθότες λαῖτμα ἐκπερόωσιν, ἀσυνδέτως ἔφη, ἐξιστῶν ὥσπερ τῷ νοήματι, οὕτω καὶ τῷ σχήματι τὸν ἀκροατήν. (ηερς. 39.) Ὅτι λαθραίου εἴσοδον δηλοῖ τὸ, τὸν δ' ἄρα οἱ δεῖνα οὐκ ἐνόησαν ἐρχόμενον κατὰ ἄστυ ἢ τυχὸν κατὰ δῶμα, διὰ σφέας. οὐ γὰρ θεὸς εἴασεν ὃς ῥά οἱ ἀχλὺν θεσπεσίαν κατέχευε φίλα φρονέων αὐτῷ. ἣν δὴ ἀχλὺν ἠέρα πρὸ ὀλίγων ἐκάλεσεν. (ηερς. 39.) Ὅτι ἐν τῷ, Φαίακες ναυσικλυτοὶ, ὀξύνεται τὸ ναυσικλυτοὶ, κατὰ τοὺς παλαιούς. καὶ οὐδὲν ἀπώνατο τῆς συνθέσεως εἰς τὸ παροξύνεσθαι. δῆλον δὲ καθὰ καὶ προεγράφη, ὅτι τὸ ναυσὶν ἰδίᾳ κείμενον, διὰ τοῦ ¯η προφέρεται οἷον. οἱ μὲν, παρὰ νηυσὶ θοῇσι πεποιθότες, ὅτε δὲ συντεθῇ, διὰ τοῦ ¯α λέγεται. (ηερς. 41.) Τὸ δὲ ἀχλὺν θεσπεσίην κατέχευε, παρῳδηθέν που, ἐποίησε τὸ, τῷ δ' ἄρα θεσπεσίην χάριν κατέχευεν. Ὅτι διδάσκαλος ὁ ποιητὴς καὶ τοῦ ἐκφράζειν γενόμενος τοῖς μετ' αὐτὸν, περιηγήσεται μὲν προϊὼν ἐκφραστικῶς, τὰ κατὰ τὸν βασιλικὸν οἶκον. τέως δὲ, ἀρξάμενος ἐκ τοῦ περιέχοντος κατὰ τὸν ἐκ φραστικὸν κανόνα, ποιεῖ τὸν Ὀδυσσέα θαυμάζοντα τὰ πρὸ τῆς πόλεως πρινὴ εἰσελθεῖν ἐκεῖ. φησὶ γοῦν. θαύμαζεν δ' Ὀδυσσεὺς λιμένας καὶ νῆας ἐΐσας. αὐτῶν θ' ἡρώων ἀγορὰς καὶ τείχεα μακρὰ, ὑψηλά. σκολόπεσσιν ἀρηρότα. ὅ ἐστι, κατησφαλισμένα. θαῦμα ἰδέσθαι. (ηερς. 44.) Καὶ ὅρα τὸ ἡρώων, ἀδιαφόρως κἀνταῦθα ῥηθὲν ἐπὶ τοῦ κοινοῦ λαοῦ, ὡς καὶ ἐν Ἰλιάδι πολλαχοῦ γίνεται. (ηερς. 45.) Σκόλοπες δὲ καὶ νῦν, ξύλα ὀρθά. οἱ καὶ σταυροί. εἰ δὲ ὑψηλὰ οὕτω τὰ τείχη καὶ σκολόπεσσι δὲ ἥρμοσται, σκοπητέον εἰ ἀπάνευθεν ἀνδρῶν οἰκοῦσιν οἱ Φαίακες, καὶ εἰ μηδεὶς εἰς Φαίακας ἵκηται δηϊοτῆτα φέρων. εἰ γὰρ ταῦθ' οὕτως, τίς χρεία τοιούτων τειχέων τοῖς Φαίαξι. τερατεύονται ἄρα τὰ περὶ τῶν κατ' αὐτούς. (ηερς. 50.) Ὅτι εἰποῦσα ἡ μυθικὴ Ἀθηνᾶ πρὸς Ὀδυσσέα, σὺ δ' ἔσω κίε μὴ δέ τι θυμῷ τάρ 1.259 βει, ἐπάγει γνωμικόν. θαρσαλέος γὰρ ἀνὴρ, ἐν πᾶσιν ἀμείνων ἔργοισι τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι. τουτέστιν εἰ καὶ ἀλλοδαπὸς εἴη ξένος. τοῦτο δὲ εἴρηται, πρὸς τὸ μὴ χρῆναι παρὰ τὸ δέον αἰδεῖσθαι. ἐπεί περ ἔστι ποτὲ αἰδὼς μὲν, πρὸς ἀνολβίῃ θάρσος δὲ, πρὸς ὄλβῳ. καὶ τοῦτο μὲν, θαῤῥυντικόν ἐστι τῷ Ὀδυσσεῖ ἐκ τῆς μυθικῆς Ἀθηνᾶς. ἐφεξῆς δὲ, καὶ τὸ ποιητέον ὑποθήσεται αὐτῷ, καὶ τοὺς βασιλεῖς αὐτὴ γενεαλογήσει. καὶ τὴν Ἀρήτην ἐπαινέσει ὡς ὁμοίαν τῇ Ἀθηνᾷ κατά γε τὸ ἀνενδεὲς νόου ἐσθλοῦ. ἅπερ οὐκ ἦν ἄλλως γνώριμα εἶναι τῷ Ὀδυσσεῖ περὶ Φαιάκων τῶν ἐκτετοπισμένων, εἰ μὴ Ἀθηνᾶ τὰ τοιαῦτα ὡς εὖ εἰδυῖα ἱστόρησε. καὶ οὕτω γίνεται σεμνὸν τὸ τῆς Ἀθηνᾶς ἐπεισόδιον καὶ μεγαλοπρεπὲς καὶ ὠφέλιμον τῷ Λαερτιάδῃ. ὡς εἴγε διὰ μόνον τὸ γνωρίσαι τὰ βασιλικὰ δώματα παρεισωδιάσθη, πάνυ ἂν ἦν τὸ Ὁμηρικὸν τοῦτο πλάσμα, σμικροπρεπὲς καὶ ποιητικῆς μεγαλονοίας οὐκ ἄξιον. (ηερς. 53.) Ὅτι κιχήσεσθαι ἐνταῦθα, ὡς καὶ ἀλλαχοῦ ἱκέσθαι, οὐ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταλαβεῖν ἁπλῶς ἀλλὰ τὸ ἐπὶ ἱκεσίᾳ. φησὶ γάρ. δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισι. (ηερς. 54.) περὶ Ἀρήτης δὲ ὁ λόγος. ἣν καὶ γενεαλογῶν εὐθὺς, ἐπάγει. Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον. ἐκ δὲ τοκήων τῶν αὐτῶν, οἵπερ τέκον Ἀλκίνοον βασιλέα. (ηερς. 56.) Ναυσίθοον μὲν πρῶτα Ποσειδάων γείνατο καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη. ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος. ὅς ποθ' ὑπερθύμοισι γιγάντεσσι βασίλευεν. ἀλλ' ὁ μὲν, ὤλεσε λαὸν ἀτάσθαλον. ὤλετο δ' αὐτός. τῇ δὲ, Ποσειδάων ἐμίγη καὶ ἐγείνατο παῖδα Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσε. (ηερς. 63.) Ναυσίθοος δ' ἔτεκε Ῥηξήνορά τε Ἀλκίνοόν τε. τὸν μὲν, ἄκουρον ἐόντα, βάλ' ἀργυρότοξος Ἀπόλλων νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα, Ἀρήτην. ἣν Ἀλκίνοος ἐποιήσατο ἄκοιτιν. Καὶ ὅρα τὸ ἐποιήσατο. λεχθὲν ἀντὶ τοῦ, ἔσχεν ἢ ἔθετο. Γοργότητα δὲ πεποίηκεν Ὅμηρος καὶ τὸ τῆς γραφῆς περιεῖλεν ὕπτιον, γενεαλογίαν ταύτην ἐπεμβαλὼν οὐκ ἄκομψον ὡς τὰ κατὰ μέρος δηλώσει. αὐτίκα γοῦν τὸ, Ἀρήτη δ' ὄνομ' ἔστιν ἐπώνυμον, ἱστορίαν τε ὑπολαλεῖ, καὶ τρόπον ἐτυμολογικόν. ὡς τῆς Ἀρήτης παρὰ τὸ ἀράσασθαι κληθείσης. ἵνα ὥσπερ φαιδρὸς ἐπίθετον ἐξ οὗ Φαῖδρος κύριον καὶ γυνὴ Φαῖδρα, οὕτω καὶ ἀρητὸς ἐπίθετον, ὡς τὸ, πένθος ἀρητόν. ἐξ οὗ, Ἄρητος κύριον. ὅθεν ὁ παρὰ τοῖς ὕστερον Ἄρατος. καὶ θηλυκὸν Ἀρήτη.ὡς εἴτις εἴποι εὐκταία τοῖς γονεῦσιν. ὥσπερ καὶ Δημάρατος ὁ Λάκων, ὡς πολύευκτος οὕτως ἐκλήθη. εὐξαμένων γὰρ καθ' Ἡρόδοτον πανδημεὶ Σπαρτιατῶν, ἐγένετο ἐκεῖνος τῷ πατρὶ Ἀρίστωνι. Ἐπώνυμονδὲ παρὰ τοῖς ἀρχαίοις, τὸ παρὰ τοῖς ὕστερον φερώνυμον, ἤγουν ἔνθα τὸ ὄνομα ἐμφερὲς τοῖς πράγμασι. διττῶς δὲ ὡς ἐπὶ πολὺ τὸ ῥηθὲν ἐπώνυμον. ἢ τὸ αὐτομάτως τεθὲν τὴν ἀρχὴν ὕστερον δὲ ἐπαληθεῦσαν ὡς εἴπερ ἐκ προνοίας ἐτέθη. οἷον. ὁ ῥήτωρ Δημοσθένης ἐπωνύμως ἐκλήθη, ἐπεὶ σθένος τοῦ τῶν Ἀθηναίων δήμου γέγονεν ὕστερον. καὶ τῷ Αἴαντι δὲ τὸ ὄνομα ἐπώνυμον ἐξηνέχθη τοῖς αὐτοῦ κακοῖς κατὰ τὴν τραγῳδίαν, διὰ τὸ αἶ, ὡς ἄξια αἰαγμάτων παθόντος αὐτοῦ. ἢ γοῦν οὕτως ἐπώνυμον τὸ ἀπὸ γενέσεως ἁπλῶς οὕτω τεθὲν, ἢ τὸ ἐκ μελέτης εἴτουν προνοίας, ὡς τὸ Ὀδυσσεύς. περὶ οὗ ὁ πάππος φησί. τῷ δ' Ὀδυσσεὺς ἔστω ὄνομα οὕνεκά μοι πολλοὶ ὀδύσαντο. τοιοῦτον ἐπώνυμον καὶ τὸ Ἀρήτη ὡς ἐῤῥέθη. καὶ τὸ Δημάρατος ὁ καὶ Δημάρητος. καὶ ἡ Δημαρέτη δέ που. ἀφ' ἧς τὸ δημαρέτειον νόμισμα. (ηερς. 65.) Τὸ δὲ ἐκ τοκήων τῶν αὐτῶν οἳ τέκον Ἀλκίνοον, ἔπεισέ φασι τὸν Ἡσίοδον, ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπολαβεῖν. Ὅμηρος δὲ τὸ, τῶν αὐτῶν τοκήων, ἀντὶ προγόνων ἔλαβεν.Ὅρα δὲ τὸ γείνατο καὶ τὸ ἔτεκεν ἐν τῷ ῥηθέντι χωρίῳ, ἐπὶ πατέρων κείμενα. εἰ καὶ τῶν τινες μεθ' Ὅμηρον, διώρισαν τὸ μὲν, ἐπὶ πατρὸς τὸ δ' ἐπὶ μητρός. ὡς πατρὸς μέν φασι γεννῶντος, μητρὸς δὲ τικτούσης. ὅπερ οὐκ ἂν οὕτως ἔχον εἴη συνήθως. γεννῶσι μὲν γὰρ ἄμφω ἐπεὶ καὶ γεννήτορες. καὶ τίκτουσιν, ἐπεὶ καὶ τοκῆες. κύουσι δέ γε, οὔ. ἀλλὰ μητρὸς μόνης τοῦτο κυρίως, τῆς καὶ ἐγκυμονούσης. καὶ ἥτις οὐ σπείρασα, ὑποκυσαμένη δὲ, τέκε τέκνα. ἐκ τοῦ κύειν γὰρ, καὶ τὸ ἐγκυμονεῖν καὶ τὸ ὑποκύσασθαι. Ἐν δὲ τῷ, μεγαλήτορος Εὐρυμέδοντος, σκοπητέον τὴν ἐν τοῖς παλαιοῖς ἁπλότητα. ἰδοῦ γὰρ, οἱ Φαίακες βασιλεῖς οὐκ ὤκνησαν τὴν ὡς προδεδήλωται γραῦν Ἀπειραίην θαλαμηπόλον, Εὐρυμέδουσαν ὀνομάσαι παρωνύμως τῷ αὐτῶν προγόνῳ βασιλεῖ Εὐρυμέδοντι. Ἐν δέ γε τῷ, ὑπερθύμοισι γιγάντεσσιν, ὅρα τὸ τοῦ Ὁμήρου καὶ τῆς κατ' αὐτὸν Ἀθηνᾶς ἀβλάσφημον. ὡς γὰρ τὸν ἐν αὐτοῖς βασιλέα Εὐρυμέδοντα, μεγαλήτορα εἶπεν οὐδὲν σκώψας, οὕτω καὶ αὐτοὺς ὑπερθύμους, ὡς εἴπερ εἶπεν ἀγήνορας. ὅπερ οὐ πάνυ τραχύ. καὶ ἄλλως γὰρ εἴη ἂν τὸ ὑπέρθυμον ταυτὸν τῷ μεγάθυμον ὃ περὶ Ναυ 1.260 σιθόου εἶπεν. ἐπεὶ δὲ ἔδει καὶ σφοδρότερον τῶν τοιούτων καθάψασθαι οἳ καὶ τῷ Διῒ ἀνταίρειν κατὰ τὸν μῦθον προηνέχθησαν, λέγει καὶ ἀτασθάλους αὐτοὺς ἐν τῷ, ἀλλ' ὁ μὲν, ὤλεσε λαὸν ἀτάσθαλον. ὤλετο δ' αὐτός. περὶ οὗ ὡς βασιλέως φείδεται βαρύ τε εἰπεῖν ὡς ἴσως καὶ φιλοφαίαξ οὖσα, διὰ τὸν Ὀδυσσέα τε καὶ διὰ τὸ κοινῶς τῶν Φαιάκων φιλόξενον. Ἐν τούτοις δὲ ὅρα καὶ ὡς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ ἀδύνατον φαύλων γονέων ἀγαθὸν ἀποτεχθῆναι γόνον. Ἀρήτη γὰρ ἐκ τοιούτων κατάγουσα θαυμαστὴ ἀπέβη, ὡς δηλώσει τὰ ἐφεξῆς. Σημείωσαι δὲ καὶ ὅτι τὸ, ὁ μὲν, ὤλεσε λαὸν ἀτάσθαλον, ὅμοιόν ἐστι τῷ, Κροῖσος μεγάλην ἀρχὴν καταλύσει. ἔστιν οὖν ἀστείως εἰπεῖν, ὡς εἴγε τὸ Ὁμηρικὸν τοῦτο ἀνηνέχθη ποθὲν τῷ Κροίσῳ, οὐκ ἂν ἐκεῖνος ἐδυστύχησε νοήσας πρὸς ἑαυτοῦ τὸ, μεγάλην ἀρχὴν καταλύσει τὴν τῶν Πέρσων. ἀλλ' ἔγνω ἂν τὴν ἑαυτοῦ καταλυθησομένην. Τὸ δὲ Ῥηξήνωρ, ἐξ ἀνδρικοῦ ἐπιθέτου μετήνεκται νῦν εἰς κύριον. ἔστι δ' εἰπεῖν ὅτι ἐκ τοῦ Ῥηξήνωρ ἐπινενόηται καὶ ἡ τοῦ Λυσάνδρου σύνθεσις. ῥῆξας γὰρ ἐν ἠνορέῃ καὶ λῦσαι ἐν ἀνδρίᾳ φάλαγγας, ταυτόν ἐστι. (ῃερς. 64.) Τὸ δὲ ἄκουρον, ἀντὶ τοῦ ἄπαιδα κούρου ὅ ἐστιν ἄῤῥενος. θυγατέρα γὰρ ἔσχε τὴν Ἀρήτην. αἴφνης δὲ δοκεῖ θανεῖν ὁ Ῥηξήνωρ. τοῦτο γὰρ ἡ τοῦ Ἀπόλλωνος αἰνίττεται βολὴ, ὡς φαίνεται πολλαχοῦ. Νυμφίον δὲ νῦν λέγει, τὸν οὐ πολὺ ἐπιβιόντα μετὰ τὸν γάμον. οὐ μὴν τὸν ἐπ' αὐτῷ τῷ νυμφῶνι θανόντα, εἴγε παῖς ἐξ αὐτοῦ γέγονε. τρίτος δὲ κατὰ τὴν ῥηθεῖσαν γενεαλογίαν ἐκ Ποσειδῶνος ὁ Ἀλκίνοος. τετάρτη δὲ ἡ Ἀρήτη. Ὅτι ἀποσεμνύνων τὴν δέσποιναν Ἀρήτην ὁ ποιητὴς, ἄρχεται οὕτως. τὴν δ' Ἀλκίνοος ποιησάμενος ἄκοιτιν, ἔτισεν ὡς οὔτις ἐπὶ χθονὶ τίεται ἄλλη, ὅσσαι νῦν τε γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχουσιν, ὡς κείνη περὶ Κῆρι τετίμηταί τε καὶ ἐστὶν, ἔκ τε φίλων παίδων ἔκ τ' αὐτοῦ Ἀλκινόοιο καὶ λαῶν, οἵ μιν θεὸν ὣς εἰσορόωντες, δειδέχαται ὅ ἐστι δεξιοῦνται μύθοισιν ὅτε στείχῃσιν ἀνὰ ἄστυ. εἶτα καὶ αἰτίαν λέγων τῆς τοσαύτης τιμῆς ἐπάγει. οὐ μὲν γάρ τι νόου καὶ αὐτὴ δεύεται ἐσθλοῦ, οἷσι τ' εὖ φρονέησι καὶ ἀνδράσι νείκεα λύει. τουτέστιν οἷς ἂν ἀνδράσιν εὖ φρονοίη, λύει τὰ νείκεα. ἵνα ᾖ τοῦτο, δεῖγμα τοῦ μὴ δεύεσθαι αὐτὴν νόου ἐσθλοῦ. τινὲς δὲ, χαριέστερον γράφουσι κατὰ γένος θηλυκὸν, ᾗσι τ' εὖ φρονέουσι καὶ ἀνδράσιν. ἤγουν αἷς γυναιξὶ φιληδεῖ καὶ οἷς ἀνδράσι προσέχει, λύει τὰ νείκεα. φέρεται δὲ καὶ τρίτη γραφὴ αὕτη. ᾗσιν εὐφροσύνῃσιν, ἤγουν ἰδίαις φρονήσεσι, λύει δικαστικῶς τὰ νείκεα. ἔπαινοι δὲ ταῦτα βασιλίδι πρέποντες. ὧν τὸ ἐξαίρετον, τὸ δικαστικὴν εἶναι τὰ νείκεα λύουσαν. Ὁμήρου καὶ ταῦτα πλάττοντος, ἵνα σεμνύνῃ τὴν Ἀρήτην ὡς περισωσαμένην τὸν Ὀδυσσέα, ὑπὲρ οὗ τὴν τοῦ βιβλίου τούτου πραγματείαν ἐνίστησιν Ὅμηρος. Ἰστέον δὲ ὅτι τὸ, γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχουσι, τὰς μεθ' Ὅμηρον ὑπάνδρουςσυνέθετο. Τὸ δὲ δειδέχαται, τοῦ δέδεκται παθητικοῦ παρακειμένου ἔστι τρίτον Ἰωνικὸν πληθυντικὸν κατ' ἐπένθεσιν τοῦ ἰῶτα ἀναγκαίαν τῷ μέτρῳ. δέχεσθαι δὲ μύθοις, ταυτὸν πάντως, τῷ εὐφημεῖν καὶ εὐλογεῖν. Τὸ δὲ οὐ μὲν νόου γε καὶ αὐτὴ ἐπιδεύεται ἐσθλοῦ, δηλοῖ μὲν τὸ, οὐδ' αὐτὴ δέεται φρονήσεως. ἔστι δὲ περίφρασις τοῦ περίφρων, ἵνα λέγῃ ὅτι περίφρων ἐστὶν ἡ βασιλὶς καθὰ καὶ ὁ βασιλεὺς, ᾧ καὶ τοὔνομα ἐκ τοῦ νόου σύγκειται. Ἀλκίνοος γὰρ καλεῖται, ὡς ἄν τις εἴποι δαΐφρων. ἐπεὶ καὶ συγγενὲς ἀλκὴ καὶ δαΐς. καὶ πάλιν, νόος καὶ φρόνησις. Ὅτι σύστασις προσώπου πρὸς ξένον ἱκέτην, τὸ, εἰ μέντοι κείνη γε φίλα φρονέῃσιν ἐνὶ θυμῷ, ἐλπωρή τοι ἔπειτα τό δέ τι ποιῆσαι. οἷον, φίλους τ' ἰδέειν καὶ ἐς πατρίδα ἱκέσθαι. (ῃερς. 78.) Ὅτι τὰς Ἀθήνας φίλην χώραν Ὅμηρος ἐμφαίνων εἶναι τῇ Ἀθηνᾷφησίν. ἔλιπε μὲν γλαυκῶπις Ἀθήνη Σχερίην ἐρίβωλον ἢ ἐρατεινὴν, ὅ ἐστι τὴν Φαιακίαν ὡς καὶ προγέγραπται. ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην. δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον. (ῃερς. 80.) ἔστι δὲ Μαραθὼν, δῆμος ὕστερον τῆς Λεοντίδος φυλῆς. διγενὴς δὲ ἡ λέξις, καὶ ἡ Μαραθὼν γὰρ λέγεται καὶ ὁ Μαραθών. ἔνθα καὶ τὸν λεγόμενον Μαραθώνιον ταῦρον Θησεὺς κατεπάλαισεν. Εὐρυάγυιαν δὲ Ἀθήνην ἑνικῶς τὰς Ἀθήνας λέγει, πρὸς διαστολὴν τῆς ὁμωνύμου Ἀθηνᾶς, ἐξ ἧς καὶ καλεῖται.ἐκείνη γὰρ γλαυκῶπις Ἀθήνη. καὶ ἔχει τι γλυκὺ τὸ εἰπεῖν ὡς Ἀθήνη ἵκετο Ἀθήνην, διὰ τὸ ἐξ ὁμωνυμίας ἀστεῖον. Ἰστέον δὲ ὅτι ὃν τρόπον Ἄρεος τέμενος τὰ κατὰ Θρᾴκην. καὶ Κύπρος, Ἀφροδίτης ἱερά.καὶ Δῆλος, ἀνεῖται Ἀπόλλωνι. οὕτω καὶ τῇ Ἀθηνᾷ ἡ πόλις Ἀθηνῶν, ἧς ἐβασίλευσέ ποτε Ἐρχθεύς. περὶ οὗ καὶ ἡ Ἰλιὰς δηλοῖ. ἐξ οὗ καὶ οἱ Ἀττικοὶ Ἐρεχθεῖδαι, καὶ δόμος Ἐρεχθέως ἡ Ἀττικηἐπεὶ κατὰ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τραγῳδίαν τοῦ κρατοῦντος ἡ πόλις νομίζεται. Τὸ δὲ δῦνε δόμον Ἐρεχθέως, ὅμοιον τῷ, πόλιν δύσεσθαι. (ῃερς. 84.) Ὅτι τὸ τοῦ Μενελάου δῶμα εἰπὼν ἐοικέναι Ἡλίου ἢ Σελήνης αἴγλῃ, 1.261 λέγει καὶ νῦν ἐπὶ Ἀλκινόου ἀπαραλλάκτως τὸ αὐτό. ὑπαλλάξας μόνον τὸ κύριον ὄνομα καὶ τὸ αὐτοῦ ἐπίθετον. ἀντὶ γὰρ τοῦ, Μενελάου κυδαλίμοιο, λέγει ἐνταῦθα μεγαλήτορος Ἀλκινόοιο. διδάσκων ὅπως χρὴ παρῳδεῖν. πλὴν ἐκεῖ μὲν, οὐκ ἐπεξειργάσατο ἐπὶ πλέον τὸ νόημα. (ῃερς. 86.) ἐνταῦθα δὲ καὶ ἔκφρασιν ἐπάγων, φησί. χάλκεοι μὲν γὰρ τοίχοι ἐρηρέδατ' ἔνθα καὶ ἔνθα, ἐς μυχὸν ἐξ οὐδοῦ. περὶ δὲ θριγκὸς κυάνοιο. χρύσειαι δὲ θύραι πυκινὸν δόμον ἐντὸς ἔεργον, ὅ ἐστι συνέκλειον. καθὰ καὶ ὁ δόμος (ῃερς. 88.) ἐντὸς καλύπτει τινά. κατὰ τὸ, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε. καὶ, οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει. ἀργύρεοι δὲ σταθμοὶ ἐν χαλκέῳ ἕστασαν οὐδῷ. ἀργύρεον δ' ἐφυπερθύριον. χρυσέη δὲ κορώνη. χρύσειοι δ' ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν, οὓς Ἥφαιστος ἔτευξεν ἰδυίῃσι πραπίδεσσι, δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο, ἀθανάτους ὄντας καὶ ἀγήρως ἤματα πάντα. ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα ἐς μυχὸν ἐξ οὐδοῦ διαμπερές. ἔνθ' ἐνὶ πέπλοι λεπτοὶ ἐΰννητοι βεβλήατο ἔργα γυναικῶν. ἔνθα δὲ Φαιήκων ἡγήτορες ἑδριόωντο, πίνοντες καὶ ἔδοντες. ἐπηετανὸν γὰρ ἔχεσκον. χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν ἕστασαν αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες, φαίνοντες νύκτας κατὰ δῶμα δαιτυμόνεσσι. πεντήκοντα δ' ἔσαν δμωαὶ κατὰ δῶμα γυναῖκες. αἱ μὲν, ἀλετρεύουσαι μύλης ἔπι, μήλοπα καρπόν. αἵδ' ἱστοὺς ὑφόωσι καὶ ἠλάκατα στρωφῶσιν, ἥμεναι οἷά τε φύλλα μακεδνῆς αἰγείροιο. καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον. τόσσον Φαίηκες περὶ πάντων ἴδριες ἀνδρῶν νῆα θοὴν ἐνὶ πόντῳ ἐλαυνέμεν. ὡς δὲ, γυναῖκες ἱστὸν τεχνῆσαι. περὶ γάρ σφισι δῶκεν Ἀθήνη ἔργα τ' ἐπίστασθαι περικαλλέα, καὶ φρένας ἐσθλάς. ἔκτοσθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων τετράγυος. περὶ δ' ἕρκος ἐλήλαται ἀφοτέρωθεν. ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα, ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι. συκαῖ τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι. τῶν, οὔ ποτε καρπὸς ἀπόλλυται, οὐδ' ἀπολείπει χείματος οὐδὲ θέρευς ἐπετήσιος. ἀλλὰ μάλ' αἰεὶ Ζεφυρίη πνείουσα, τὰ μὲν, φύει. ἄλλα δὲ, πέσσει. ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει. μῆλον δ' ἐπὶ μήλῳ. αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλή. σῦκον δ' ἐπὶ σύκῳ. (ῃερς. 115.) Ἔνθα ὅρα τὸ ὀπωροφόρον τοῦ τόπου περὶ ὃ ἡ τοῦ Ἀλκινόου νῆσος εὐδοκιμεῖν ᾄδεται. ὃ δὴ καὶ μέχρι νῦν καθιστορεῖται μάλιστα ἐπὶ τὰ ἔξω αὐτῆς. καὶ ἔστι καὶ τοῦτο μέθοδος ἐξ Ὁμήρου ἐνδεδομένη τοῖς μετ' αὐτὸν ἱστορικοῖς. οἳ μυρία παραδιδόασι χωρικὰ ἰδιώματα πρὸς ἐξοχήν τινα, ἢ φυόμενα γῆθεν, ἢ ἄλλως γινόμενα. ὁποῖον τὸ, πολλὴ κυπάριττος ἐν τῇ Κρήτῃ. καὶ τὸ, Ῥόδος, ἀσταφίδας. παρέχει δηλαδή. καὶ ἰσχάδας ἡδυονείρους. καὶ τὸ, αὐτὰρ ἀπ' Εὐβοίης, ἀπίους καὶ ἴφια μῆλα. περὶ ὧν ἀλλαχοῦ ἐῤῥέθη. καὶ τὸ, Ἀρκαδία, ἐπικούρους. Φοινίκη δ' αὖ, καρπὸν φοίνικος καὶ σεμίδαλιν. Καρχηθὼν, δάπιδας καὶ ποικίλα προσκεφάλαια. οὕτω δὲ καὶ Σκύριαι ἐς ἄμελξιν γλάγους αἶγες ἐξοχώταται λέγεται εἶναι. ὅπλα δ' ἀπ' Ἄργεος. ἅρμα Θηβαῖον. τέως μέντοι, Ὅμηρος προσιστορεῖ καὶ τάδε, ἔνθα δέ οἱ (ῃερς. 122.) πολύκαρπος ἀλωὴ ἐῤῥίζωται. τῆς, ἕτερον μὲν, θειλόπεδον λευρῷ ἐνὶ χώρῳ τέρσεται ἠελίῳ. ἤγουν ἕτερον μέν τι μέρος τῶν κατ' αὐτὴν σταφυλῶν, ἐν θειλοπέδῳ εἰληθερεῖται. ἑτέρας δ' ἄρα τε, τρυγόωσιν. ἄλλας δὲ τραπέουσι. πάροιθε δέ τ' ὄμφακές εἰσιν ἄνθος ἀφιεῖσαι. ἕτεραι δ' ὑποπερκάζουσιν. (ῃερς. 127.) ἔνθα δὲ κοσμηταὶ ἤτοι εὔτακτοι πρασιαὶ παρὰ νείατον ὄρχον παντοῖαι πεφύασιν, ἐπηετανὸν γανόωσαι. ἐν δὲ δύω κρῆναι. ἡ μέν τ' ἀνὰ κῆπον ἅπαντα σκίδναται. ἥδ' ἑτέρωθεν ὑπ' αὐλῆς οὐδὸν ἵησι πρὸς δόμον ὑψηλὸν, ὅθεν ὑδρεύονται πολῖται. (ῃερς. 132.) εἶτα συμπεραίνων τὴν ἔκφρασιν, φησίν. τοῖ' ἂρ ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα. ἔνθα στὰς, θηεῖτο πολύτλας δῖος Ὀδυσσεύς. προσήκων αὐτὸς ὢν τῷ θαυμάζειν, μᾶλλον, ἤπερ ὅτε τὸ τῆς Καλυψοῦς σπήλαιον ἐθαύμαζεν ὁ Ἑρμῆς. Ὅρα δὲ ὅσα καλὰ τῇ τῶν Φαιάκων πόλει ἐπιμαρτύρηται ἡ ῥηθεῖσα ἔκφρασις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλοῦτόν τε γὰρ πολὺν ἱστορεῖ τὸν ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ χαλκῷ. καὶ τέχνην τὴν περὶ τὰς τοιαύτας ὕλας. καὶ ἐπιστήμην ταλασιουργικήν. καὶ καρπῶν εὐθηνίαν. καὶ γεωργικὴν ἐμπειρίαν. καὶ γῆς εὐδαιμονίαν. καὶ ἀέρα εὔκρατον. καὶ τοιαῦτά τινα ἕτερα ὁποίοις οὐκ εἶχεν ἀγλαΐσαι τὴν ἡρωϊκὴν Ἰλιάδα, διὰ τὸ ἐκεῖ ἐμβριθὲς καὶ ἀπανηγύριστον. εἰπεῖν δὲ καὶ αἱμοχαρές. ὅτι δὲ συναγλαΐζει κἀνταῦθα τὴν φράσιν τοῖς πράγμασι καὶ γλυκέως φράζει τὰ καλὰ, δῆλόν ἐστιν. ἃ δέ τις εἴποι, τὰ κατὰ μέρος τῆς ἐκφράσεως περιϊὼν τοιαῦτά ἐστι. (ῃερς. 86.) Χάλκεοι μὲν οἱ τοῖχοι, πρὸς ἀσφάλειαν. ἐς μυχὸν ἐξ οὐδοῦ ἡρμοσμένοι. τουτέστιν οὐκ ἐπιπολῆς ἔχοντες πέταλα περίθετά τινα ἐκ χαλκοῦ, ἀλλὰ ὅλῳ τῷ πάχει κεχαλκωμένοι. Τὸ δὲ ἐρηρέδαται, 1.262 ἔστι μὲν Ἰωνικόν. γίνεται δὲ ἀπὸ τρίτου ἑνικοῦ τοῦ ἐρήρεισται, ἀποβολῇ τοῦ σίγμα τῆς ληγούσης καὶ πλεονασμῷ τῆς δ¯α συλλαβῆς, ὁμοίως τῷ, ὠνόμασται ὠνομάδαται. καὶ συστολῇ τῆς προπαραληγούσης. τοιαῦτα δὲ, καὶ τὸ πέφρασται πεφράδαται. καὶ ἐσκεύασται ἐσκευάδαται παρὰ Ἡροδότῳ. οἷον. τὰ προπύλαια ἐσκευάδαται. εἰ δὲ γράφεται ἐληλέδαται, οὕτω γὰρ ἔχουσι τῶν ἀντιγράφων τινὰ, καὶ λέγεται καὶ ἐπὶ τοιούτου σημαινομένου ἡ λέξις ὡς τὸ, καὶ ἕρκος ἐλήλαται, καὶ ἀμφὶ δὲ τεῖχος ἤλασε πόλει, ἐκ τοῦ ἐλήλαται τηνικαῦτα γίνεται παθητικοῦ παρακειμένου τὸ ἐληλέδαται, ἐπεντεθέντων πρὸ τοῦ ¯α τῆς παραληγούσης, τοῦ ¯ε καὶ τοῦ ¯δ ὁμοίως τῷ ἀκηχέδαται ἤγουν λελύπηνται, καὶ τοῖς τοιούτοις. περὶ ὧν καὶ ἐν τῇ Ἰλιάδι γέγραπται. Ἐνταῦθα δὲ σημειωτέον κείμενον παρὰ τῷ Ἀθηναίῳ τὸ, τὰ σώματα ἐκέχριντομίλτῳ καὶ χρώμασιν ἑτέροις. δοκεῖ γὰρ αὐτὸ καινότερον διὰ τοῦ ¯ν προφέρεσθαι. ὡς ἀναλογώτερον ὂν, ἢ ἐκέχριστο εἶναι, ἢ κεχρίδατο Ἰωνικῶς. (ῃερς. 86.) Ἰστέον δὲ ὅτι ἐρείδειν, οὐ μόνον κοινότερον ἐπὶ τοῦ ἑδραιοῦν, ἔτι δὲ καὶ ἐπὶ τοῦ ἀντιβαίνειν, ὡς ἐν τῷ, ἔπος πρὸς ἔπος ἤρειδον, ἀλλὰ καὶ σκωπτικόν. ὡς δηλοῖ Ἀριστοφάνης ἐν τῷ, ὅς τις ἐν ἡδυόσμοις στρώμασι παννυχίζων, τὴν δέσποιναν ἐρείδεις. τοῦτο δὲ σεμνῶς πάντως πέφρασται ὡς ἑξῆς. καθὰ καὶ τὸ ἐνεργεῖν ἐν τῷ, οἷός τε ἦν, τὴν ψάλτριαν ἐν ὀφθαλμοῖς πάντων ὡρώντων ἐνεργεῖν. ἐν δὲ τούτοις, ἰστέον καὶ ὅτι τὸ μὲν ἐρηρέδαται, θεματικὸν ἔχει τὸ δέλτα ἐκ τοῦ ἐρείδω. ἑξῆς δὲ τὸ, ὠνομάδαται πεφράδαται ἐσκευάδαται, ἀπὸ συγγενείας ὥρμηνται τῆς τοῦ ζῆτα πρὸς τὸ δέλτα ὡς ἀπὸ τοῦ ὀνομάζω φράζω σκευάζω. τῆς δὲ τοῦ ζῆτα καὶ δέλτα πρὸς ἄλληλα μεταχωρήσεως παραδείγματα μυρία. ὧν κατὰ τοὺς παλαιοὺς καὶ τὸ ὀζμὴ ὀδμή. ἴζμεν ἴδμεν Δωρικῶς. φράζω ἀφραδής. ἀναλόγως δὲ, ἀριφραδὴς τὸ ἐπίθετον. καὶ Ἀριφράδης βαρυτόνως πρὸς διαστολὴν, τὸ κύριον. ἔτι δὲ καὶ ἐρίζω ἐρίδω ἄχρηστον. ἀφ' οὗ ἐν χρήσει, τὸ ἐριδμαίνω καὶ τὸ ἐριδαίνω. καὶ γυμνάζω γυμνάδω. καὶ διπλασιασμῷ Αἰολικῷ καὶ Δωρικῷ γυμνάδδω. ὡς τὸ, γυμνάδδομαί τε καὶ ποτὶ πυγὰν ἄλλομαι. (ῃερς. 87.) Ὁ δὲ θριγκὸς ἤγουν ἡ τῶν τοίχων κόμη ἢ στεφάνη ἢ στεφάνωσις, παρὰ τὴν τρίχα γίνεται, τριχός. καὶ ἐπενθέσει τοῦ ¯ν πρός τε καλλιφωνίαν καὶ διαφορὰν τῆς τριχός, γίνεται τριγχός. ἀλλαγέντων δὲ τῶν ἀφώνων εἰς τὰ ἀντίστοιχα τούτοις, γίνεται θριγκός. ἤγουν φραγμὸς ὑπερκείμενος καὶ οἱονεὶ τριχῶν δίκην κοσμῶν. ἔχει δὲ ἡ λέξις καὶ ἀναδρομὴν γενικῆς τῆς τριχὸς, εἰς εὐθείαν τὴν, ὁ τριγχός. ἐξ οὗ ὁ θριγκός. ἔχει δέ τι καὶ ἀστειότητος. ἵνα εἴη ὅπερ τῇ κεφαλῇ αἱ κυάνεαι τρίχες, τοῦτο τῷ ἕρκει ὁ κυάνεος τριγχός. καὶ ἤθελον μέν τινες, τριγχὸν γράφειν ὀρθότερον. οἱ δὲ παλαιοὶ οὐκ ἐθέλουσιν οὕτως. ὅτι δὲ πολλαὶ τοιαῦται ἀφώνων τροπαὶ γίνονται Ἰωνικῶς, δηλοῖ πρὸς ἄλλοις καὶ τὸ ἐνθεῦτεν, καὶ ὁ βάθρακος, τὰ περὶ τῷ Ἴωνι Ἡροδότῳ. ὅλως δὲ, πολλὴ μεταλλαγὴ δασέων καὶ ψιλῶν συμφώνων πρὸς ἄλληλα δι' ἀποφυγὴν δυσφωνίας. ἀπὸ τοίνυν τοῦ φρίσσω, παρακείμενος οὐκ ἀναλόγως φέφριχα ἀλλὰ πέφρικα. ὅθεν καὶ ἡ φρίκη. τοιοῦτον καὶ τὸ κεχραμμένον ἐκ τοῦ χραίνω. καὶ τὸ πεφρασμένον ἐκ τοῦ φράζω. καὶ ἄλλα μυρία. τοιαύτης δὲ ἐφόδου καὶ τὸ, θρὶξ τριχός. ἐπεὶ δὲ καὶ τὰ ψιλὰ καθὰ καὶ τὰ δασέα δυσφωνεῖ καὶ αὐτὰ κατά τινα ἐπαλληλίαν, γίνεται καὶ ἐν αὐτοῖς ἐξώθησις,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλλιφωνίας χάριν καὶ εὐαρμοστίας λεκτικῆς ἣν φιλοῦμεν ἄνθρωποι τοιοῦτον τὸ πέφθακε καὶ τὸ κεχάλκευται. ἅπερ Ἀττικοὶ ἔφθακε φασὶ καὶ ἐχάλκευται. καθὰ καὶ ὁ ποιητὴς, ἐκτῆσθαι λέγει τὸ κεκτῆσθαι. ὅμοιον δὲ τούτοις, καὶ τὸ βεβούλευκεν, ὅτε λεχθῇ ἐβούλευκεν. ἀποσκευάζονται δὲ ὁμοίως γλυκείας ἀπηχήσεως χάριν τὸ τῆς αὐξήσεως κατάρχον σύμφωνον, καὶ τὸ εἰλημμένος ἐκ τοῦ λήβω. καὶ τὸ εἰρημένος, ἐκ τοῦ ῥῶ ῥήσω. καὶ τὸ ἐῤῥυπωμένοι, ἐκ τοῦ ῥυπῶ ῥυπώσω. καὶ οὕτω χαρίζονται τοῖς φωνήεσι, περιᾴδειν ἀκωλύτως ὡς μὴ ἀχρειοῦσθαι αὐτοῖς τὸ τῆς ἐκφωνήσεως εὐγενές. εἰσὶ δὲ οἳ τὸν θριγκὸν, περίβολον οἰκίας κοσμητὸν, ἡρμήνευσαν. Ὁ δὲ κύανος, χρῶμά τι μέλαν ἐξ οὗ τὸ κυάνειον μετουσιαστικῶς. ἀφ' οὗ κυάνεον καὶ κυανοῦν. κυάνεος δὲ νῦν ὁ θριγκὸς τῷ τείχει, ὡς ἂν οὕτως ἀεροειδὲς τὸ μετέωρον φαίνοιτο. (ῃερς. 89.) αἱ μέντοι προφαινόμεναι θύραι, καὶ οἱ περὶ αὐτὰς σταθμοὶ ὅ ἐστιν αἱ παραστάδες, καὶ τὸ ὑπερθύριον ἤγουν τὸ ἐπικείμενον ταῖς θύραις εἰς ὅ φασιν αἱ ἄνω στρόφιγγες ἁρμόζονται, ἔτι δὲ καὶ ἡ κορώνη τὸ κρικίον δηλαδὴ ᾧ ἐπισπᾶταί τις θύραν ὡς καὶ ἐν τῇ ¯α ῥαψῳδίᾳ ἐγράφη, (ῃερς. 91.) καί τινες κύνες, ἀπὸ χρυσοῦ εἰσὶν, ἵνα ἡ πολυτελὴς ὕλη, πρώτη προσπίπτῃ τῇ ὄψει καὶ ἔχῃ ἐξαλλαγὴν πρὸς τὸν θριγκὸν ὡς καὶ οἱ ἀργύρεοι κύνες πρὸς τὰ χρυσᾶ. καὶ οὕτω ποικιλία ἐν τῷ τηλαυγεῖ τοῦ ἔργου προσώπῳ εἴη πρὸς πανήγυριν ὀφθαλμοῦ γοητευο
1.263 μένου οἷς βλέπει καὶ τῇ αὐτῶν ἐντρυφῶντος ποικιλίᾳ. ἐν οἷς οἱ παλαιοί φασιν, ὁ μὲν φιλόπλουτος, τὴν ὕλην θαυμάσεται. ὁ δὲ φιλόκαλος, τὴν τέχνην. ὁ δὲ σπουδαιότερος, τὴν χρείαν. διὸ καὶ Ὀδυσσεὺς, οὐκ ἀπεικότως τὰ τοιαῦτα θαυμάζων ἐστήξεται. (ῃερς. 90.) Κορώνη δὲ, οὐ μόνον ἐπὶ θύρας ὡς ἀνωτέρω κεῖται, ἀλλὰ καὶ ἐπὶ τόξου ἐν ἄλλοις. καὶ ἐπὶ πλοίου πρύμνης. καὶ μέρος δέ ἐστι σώματος ἐπὶ τοῦ ἀγκῶνος, ὥς φασι Φιλόξενον εἰπεῖν ἐν τοῖς περὶ Ῥωμαίων διαλέκτου. εἴληπται δὲ ταῦτα, ἐκ τοῦ ζῴου τῆς κορώνης λυγίζειν εἰωθυίας τὸν τράχηλον. (ῃερς. 92.) τὸ δὲ ἰδύῃσιν, εἰ μὲν συναλιφὲν ῥηθείη, ἔτευξ' εἰδυίῃσι πραπίδεσσιν, ἔχοι ἂν διὰ διφθόγγου τὴν ἄρχουσαν. εἰ δὲ γράφεται ἔτευξεν ἰδυίῃσι πραπίδεσσι, δῆλον ὅτι διὰ τοῦ ¯ι γράφεται. οὐχ' ὡς μετοχὴ μέντοι ἀλλ' ὡς ὄνομα μετοχικόν. ἐξ οὗ καὶ ἰδύους τοὺς ἴδμονας μάρτυρας φασὶν οἱ παλαιοὶ ὡς γέγραπται ἀλλαχοῦ. (ῃερς. 91.) Τοὺς δὲ χρυσοῦς καὶ ἀργυροῦς κύνας, ἐμψύχους καὶ ἀΰπνους πλάττει, εἴγε φυλάσσουσι τὸ δῶμα. (ῃερς. 94.) Ἀγήρως δὲ καὶ ἀθανάτους, οὐ μόνον πρὸς ἐγκώμιον χρυσοῦ καὶ ἀκιβδήλου ἀργύρου οἱ οὐκ οἴδασιν ἰῷ φθείρεσθαι, ἀλλ' ἔστι καί τις μῦθος ὑπὲρ αὐτῶν, ληρῶν ὅμοιά τινα. ὃν περιττόν ἐστιν ἐκθέσθαι. ὃς δὲ οὐ μακρὰ ληρεῖ, τοιοῦτός ἐστι. Κύνες οὗτοι, οὓς Ἥρα δέδωκε Ποσειδῶνι, συλλαβεῖν αὐτῇ πρὸς τὴν ἐν Ἰλιάδι δηλουμένην ἐπίθεσιν κατὰ τοῦ Διός. οἳ περιῆλθόν φησιν εἰς Ἀλκίνοον. ἄλλως δὲ, δοκεῖ τὸ τοιοῦτον ἔμψυχον τῶν κυνῶν καὶ τὸ ἀθάνατον, τὸ μὲν, δηλοῦν τὸ ὡς ἐῤῥέθη ἀνίωτον. τὸ δὲ, τὸ ἔντεχνον καὶ εὐσχημάτιστον ὡς εἰς φυλακὴν οἴκου. διὸ καὶ Ἥφαιστος αὐτοὺς τεῦξαι λέγεται. ὃ δὴ τοῖς πυρὸς τεχνικοῖς ἔργοις εἴωθεν ἐπιλέγεσθαι ὡς ἐν πολλοῖς φαίνεται. τινὲς δὲ τοὺς ῥηθέντας κύνας, οὐ ζῷα νοῦσιν, ἀλλὰ ἥλους. ὅθεν φασὶ καὶ κυνάδας φαμέν. ἢ καὶ ἄλλως φασὶ, τοὺς διπλοῦς ἥλους. τοῦτο δὲ ἴσως, διὰ τὸ ἐν τοῖς ἥλοις δηκτικὸν καὶ οἷον κάρχαρον. (ῃερς. 96.) Τοὺς δὲ θρόνους, οὐ λέγει μὲν ποίας ὕλης εἰσίν. οἷα χρυσοῦς μὲν ἢ ἀργυροῦς ὀκνῶν εἰπεῖν, διὰ τὸ ἐν τῷ οὕτω πολλῷ τῆς τιμίας ὕλης ἀπίθανον. ἐκ λίθων δὲ, οὐκ ἐθέλων λαξεῦσαι αὐτοὺς, ἵνα μὴ ταῖς πολυτίμοις ὕλαις παραθήσει μὴ τοιαύτην ἧς δαψιλῶς εἶχε καὶ ὁ ἀπέριττος Πύλιος Νέστωρ. μή ποτε δὲ, καὶ αὐτοὺς χαλκοῦς δίδωσι νοεῖν, συνηνωμένους αὐτόθεν τοῖς τοίχοις. διὸ καὶ ὥσπερ ἐκεῖ ἔφη χαλκέους τοίχους ἡρμόσθαι ἔνθα καὶ ἔνθα εἰς μυχὸν ἐξ οὐδοῦ, οὕτω καὶ ἐπὶ τῶν θρόνων φησὶν ὡς θρόνοι περὶ τοῖχον ἐρηρέδατο καὶ ἑξῆς. ὅθεν οὐδὲ ἠθέλησεν εἰς πλέον ἀποσεμνῦναι αὐτούς. ὡς εἴγε ἐκ μαρμάρου λίθου ἦσαν ὤκνησε εἰ κἂν καὶ περὶ αὐτῶν εἰπεῖν τι σεμνὸν, ὡς ἐπὶ τῶν ἐν Πύλῳ λιθίνων τοίχων ἐποίησε. (ῃερς. 96.) Πέπλους δὲ εἰωθὼς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γυναικεῖα λέγειν περιβλήματα, ἐνταῦθα τὸ ἁπλῶς ὕφασμα οὕτω καλεῖ. οὐ γὰρ εἰκὸς γυναικείους πέπλους ὑπεστορέσθαι τοῖς καθημένοις. ἀλλ' ἁπλῶς ὕφασμά τι λαμπρὸν μὲν καὶ ἐπιπρέπον, ὅθεν ἐτυμολογεῖται ὁ πέπλος, πρέπαλός τις ὢν κατὰ τοὺς παλαιούς. χρησιμεῦον δὲ εἰς τάπητα θρόνου. οὕτω καὶ τὸ φᾶρος καὶ τὸ σπεῖρον εἰωθότα ἐπὶ ἱματίων λέγεσθαι, ὅμως ἔστιν οὗ ὁ ποιητὴς ἐπὶ ἁπλῶς ὑφασμάτων τίθησιν. (ῃερς. 97.) Εὔνητοι δὲ, οἱ εὖ νενησμένοι κατὰ τοὺς παλαιοὺς, ὅ ἐστιν εὔκλωστοι. διαλυθέντες δὲ, ἐΰννητοι γίνονται διπλωθέντος τοῦ ¯ν. οὕτω δὲ καὶ οἱ εὔδμητοι βωμοὶ, ἐΰδμητοι κατὰ διάλυσιν. Τὸ δὲ ἔργα γυναικῶν, προαναφωνητικῶς οἷον ἐτέθη ἵνα εὐαφόρμως ἐπάγῃ τὸ, πεντήκοντα δ' ἔσαν δμωαὶ γυναῖκες. (ῃερς. 98.) Τὸ δὲ ἑδριόωντο πίνοντες καὶ ἔδοντες, ἐπηετανὸν γὰρ ἔχεσκον, ἐπὶ πλουσίων τρυφώντων χρὴ λέγεσθαι. (ῃερς. 99.) Τὸ δὲ ἔδοντες, σημείωσαι καὶ αὐτὸ εἰς παράδειγμα τῆς τοῦ δέλτα καὶ τοῦ ¯θ φιλίας. ὡς γὰρ οὐδέτερον οὐθέτερον, καὶ χάριδος χάριτος, καὶ ἄλλα ὅσα ἐδηλώθη, οὕτω καὶ ἔδω ἔθω. ὡς τὸ, ἔθων Οἰνῆος ἀλωήν. καὶ πλεονασμῷ τοῦ σίγμα, ἔσθω καὶ ἐσθίω. (ῃερς. 100.) Βωμοὶ δὲ ἁπλῶς, ἀνάβαθμοι ἐνταῦθα, ἐφ' ὧν λυχνοφόροι κοῦροι ἵσταντο χρύσεοι καὶ αὐτοί. γέγονε δέ τις μνήμη καὶ ἀλλαχοῦ τῶν τοιούτων βωμῶν. (ῃερς. 101.) Τὸ δὲ αἰθομένας δαΐδας ἔχοντες καὶ (ῃερς. 102.) τὸ φαίνοντες, παρακείμενα ἀλλήλοις συναπτῶς, παρήγαγε τὸν φανὸν ὃς καὶ πανὸς ἐλέχθη παρὰ τοῖς ὕστερον ὡς καὶ αὐτὸ ἐν ἄλλοις ἐγράφη. καὶ τὸ φανίον δὲ τὸ ἐκ φανοῦ παράγωγον, οὗ ἡ χρῆσις παρὰ Μενάνδρῳ. οὗ φανίου τὸ ὑποκόρισμα, παράγει καὶ τὸ ἰδιωτικῶς λεγόμενον φανάριον. Φιλυλλίου δὲ κατὰ τὴν παράδοσιν τοῦ δειπνοσοφιστοῦ, τὰς λαμπάδας δᾷδας καλοῦντος ἀκολούθως δηλαδὴ τῷ ποιητῇ, Ἀθηναίων δὲ κατὰ τὸν γλωσσογράφον Σιληνὸν, φανοὺς ὀνομαζόντων τὰς λαμπάδας, ἔστι συναγαγεῖν, ταυτά τινα πολυωνομίας λόγῳ εἶναι, δᾷδας φανοὺς καὶ λαμπάδας. Τιμαχίδας δέ φησι, δέλετρον καλεῖ τὸν φανὸν ὃν οἱ νυκτερευόμενοι τῶν νέων ἔχουσι. Νεάνθης δέ 1.264 φασιν, ἑλάνας τὰς λαμπάδας ἔφη παρὰ τὴν ἕλην ἥτις ἐστὶν εἵλη, ἀφ' ἧς πολλὰ γίνονται. ὧν καὶ τὸ εἱληθερεῖν. καὶ θειλόπεδον ὡς μετ' ὀλίγα φανεῖται. παρὰ δὲ Νικάνδρῳ φησὶν ἑλάνη, ὁ ἐκ καλάμων δεσμός. εὕρηται δὲ καὶ λυχνοῦχος καλούμενος ὁ φανός. Ἄλεξις γοῦν φησιν, ὁ πρῶτος εὑρὼν μετὰ λυχνούχου περιπατεῖν τῆς νυκτὸς, ἦν τις κηδεμὼν τῶν δακτύλων. ὁ δ' αὐτὸς ἐν ἄλλοις ἔφη. ποῖός ἐστι φανὸς τοιοῦτος, οἷος ὁ γλυκύτατος ἥλιος; ἔστι δέ φασι φανὸς, ἡ ἐκ ξύλων τετμημένων δέσμη. καὶ δηλοῖ αὐτὸ Φιλιππίδης ἐν τῷ, ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν οὐδέν. πρὸς ὃ λέγει ὁ ἀκούσας. ἔπειτα φυσᾶν δυστυχὴς οὐκ ἠδύνω. Καὶ ὅρα τὸ, ὁ φανὸς οὐκ ἔφαινεν ἐτυμολογικῶς ῥηθέν. Ὁμήρου κατάρξαντος τοιαύτης μεθόδου ὡς εἴρηται. δοκεῖ δὲ τῶν εἰς φανὸν τεμνομένων ξύλων ἓν εἶναι καὶ τὸ καλούμενον γράβιον, πρίνινον αὐτό φασιν ἢ δρύϊνον ξύλον. ὃ ἐθλασμένον ἢ κατεσχισμένον, ἐξάπτεται καὶ φαίνει τοῖς ὁδοιποροῦσι. μή ποτε δὲ ἄρα δᾴδων εἶδός τι καὶ τὸ τοιοῦτον γράβιον εἴγε πίσσαν καταστάζειν ἔχει ὡς δηλοῖ Θεοδωρίδας ὁ Συρακούσιος ἐν τῷ, πίσσα δ' ὑπὸ γραβίων ἔσταζεν. ὅτι δὲ καὶ πυρσὸς ὁ φανὸς ἐκαλεῖτο, οὐκ ἔστιν ἀμφιβαλεῖν. τὴν δὲ ἐκ ξύλων τετμημένων σύνθεσιν τοῦ, εἴτε φανοῦ εἴτε λύχνου, δηλοῖ φασι καὶ Ἀριστοφάνης ἐν τῷ, τῶν ἀκοντίων συνδοῦντες ὀρθὰ τρία, λυχνίῳ χρώμεθα ἤγουν λυχνίᾳ. τὴν γὰρ νῦν φασι λυχνίαν, λυχνίον ἐκάλουν ὡς Φερεκράτης. πανοῦ δέ φασι χρῆσις τοῦ βραχέων εἰρημένου, καὶ παρὰ Διφίλῳ. οἷον. ἀλλ' ὁ πανὸς ὕδατός ἐστι μεστός. ἤτοι ὁ φανὸς ξύλα ἔχει χλωρότατα καὶ διατοῦτο ὑδατηρά. ὁ δὲ παρὰ Ἀλέξιδι ξυλολυχνοῦχος, τάχα φασὶν ὅμοιός ἐστι, τῷ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνῳ. οὐ παλαιὸν δὲ εὕρημα ὁ λύχνος. λέγει δὲ ὁ ῥηθεὶς Ναυκρατίτης ῥήτωρ, καὶ ὅτι λυχνοκαυτίαν ἔφη Κηφισόδωρος. ἣν οἱ πολλοὶ, λυχναψίαν. κεῖται δὲ παρ' αὐτῷ καὶ κανδήλας χρῆσις. οἷον. ἀσσαρίου κανδήλας πρίω. ἤγουν ἐξώνησαι. λέγει δὲ καὶ τὰ λύχνα οὐδετέρως κατὰ Ἡρόδοτον. (ῃερς. 101.) δῆλον δὲ καὶ ὅτι αἰθομένας δαΐδας ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποιητὴς ἔφη, τὰς σὺν τῷ καίεσθαι, καὶ ἀναλαμπούσας. ἐξ οὗ περ αἴθειν καὶ αἰθὴρ καὶ ἄστρον καὶ ἀστήρ. πολλῶν δὲ παραγομένων ἐκ τοῦ αἴθειν, παραδέδοται ἀπ' αὐτοῦ, καὶ ἡ παρὰ τῷ Σουΐδᾳ αἴθρακος. ἡ καὶ ἀνδράχλη ὡς ἐκεῖνος λέγει. δηλοῖ δὲ, τὸ ἰδιωτικῶς γυναικεῖον ποδαρούλιον. ἐνθυμητέον δ' ἐνταῦθα καὶ τὰς παρὰ τῷ Σουΐδᾳ πυρσουρίδας. φανοὺς δηλαδὴ, βαρβάρων ἔλευσιν προσημαίνοντας. ὧν ἴσως ἡ παραγωγὴ, κατὰ λαμπουρίδας. ἑτεροίας μέντοι παρὰ τὴν ἐν τῷ Λυκόφρονι. Ἰστέον δὲ ὅτι τῶν εἰρημένων δαΐδων ἡ εὐθεῖα, διαλέλυται πρὸς διαστολὴν τοῦ δαὶς ἡ εὐωχία. καὶ ὅμως ὅτε ἡ τοιαύτη δαῒς δᾳς λεχθείη ἐν προσγραφῇ τοῦ ἰῶτα, διφθογγίζεσθαι λογίζεται. Ἡρωδιανὸς οὖν παραδοὺς τὰ εἰς ¯ας ὀξύτονα διὰ τοῦ ¯δ κλίνεσθαι, οἷον στιβάδος ἰσχάδος πελιάδος, ἓν μόνων ἐκ τούτων εἰς α¯ις φησὶ λέγειν, τὸ, δᾴς. Πεντήκοντα δὲ δμωαὶ τῷ Ἀλκινόῳ, καθὰ καὶ τῷ Ὀδυσσεῖ ἐν Ἰθάκῃ ποτέ. (ηερς. 104.) Τὸ δὲ ἀλετρεύουσι ἐπὶ μύλης μήλοπα καρπὸν, ἔχει μὲν ἀσυνήθη παρήχησιν ὁποῖαί τινες καὶ ἄλλαι προεγράφησαν, κατὰ τὸ μύλης καὶ τὸ μήλοπα. νοῦς δὲ αὐτῷ διττός. οἱ μὲν γάρ φασιν, ὅτι στρέφουσαι καὶ τρίβουσαι ἐπὶ τῆς μύλης ἥ ἐστιν ἄκρον μηροῦ τοῦ κατὰ τὴν ἐπιγουνίδα, καρπὸν μήλοπα. ὅ ἐστιν ἐκ προβάτων ἔριον. οἱ δὲ τοιοῦτοι ἀντιλέγονται. οὔτε γάρ φασι ποιεῖ Ὅμηρος γυμνουμένας ἕως μηρῶν γυναῖκας αἳ τῇ χειρὶ τὴν κρόκην ἔνηθον, ὡς Εὔπολις. τῇ χειρὶ νῶσαι μαλθακωτάτην κρόκην. οὐδὲ μύλιν οἶδε τὸ γόνυ ὁ ποιητής. ψυχρὸν δὲ καὶ τὸ, καρπὸν προβάτου εἰπεῖν τὸ ἔριον. καὶ τὸ μήλοπα δὲ, κακοσύνθετον. μήλου γάρ ἐστι δῶρον τὸ ἔριον οὐ μὴν ὄψιν ἔχον μήλου. ἕτεροι δὲ κρειττόνως ἐξηγούμενοι, φασὶ τὰς ῥηθείσας γυναῖκας, ἀλήθειν ἐν μύλωνι σῖτον. καὶ ἀλετρεύειν μὲν, τὸ ἀλήθειν καὶ ἀλετὸν ποιεῖν. ὅθεν καὶ γυναῖκες ἀλετρίδες ὡς ἐν τοῖς μετὰ ταῦτα φανήσεται. αἳ καὶ μυλωθροὶ καὶ μυλωθρίδες, παρὰ τὸ μύλον ἀθρεῖν ἐν συναιρέσει. ἢ περὶ μύλωνα θορεῖν ἐν συγκοπῇ. μύλην δὲ, ἐν ᾗ τρίβονται οἱ πυροί. ὡς τὸ μύλην στήσασα. μήλοπα δὲ καρπὸν, τὸν σῖτον ὡς μηλοειδῆ τὴν χρόαν. ὅ ἐστι κιῤῥὸν καὶ ξανθόχλουν. ὅθεν καὶ Δημήτηρ ξανθὴ λέγεται. καὶ Ὅμηρος μὲν, οὕτω σεμνῶς ἔφρασε παρὰ τὸ μῆλον καὶ τὴν ὀπωπὴν ὅ ἐστι θέαν. οὐ μῆλον ἀγλαὸν τῇ ἐρυθρότητι παραλαβὼν, ἀλλὰ ἐοικὸς ὄψει πέπονος ἀστάχυος. τῶν τις δὲ μεθ' Ὅμηρον, τὸ μὲν μῆλον δωρίσας εἰς μᾶλον τὴν δὲ ὄψιν εἰς εἶδος μεταλαβὼν καὶ μεταθεὶς τὰς λέξεις, Ἀλκαῖος δὲ ἦν ἐκεῖνος ὁ κωμικὸς, εἰδομαλίδην ἔφη σκωπτικῶς τινα διὰ τὸ καλλωπίζεσθαι τὰ μῆλα τῆς ὄψεως. ἐρευθόμενον δηλαδὴ κομικώτερον. οὗ περ ἀνάπαλιν ἔχοι ἂν ὁ παρὰ τῷ Κρατίνῳ ἀῤῥενώπας. τὰ μὲν ἄλλα, γύνις ὤν. ἔχων δέ τι ἀνδρόμορφον, οἱ δὲ τοιοῦτοι, καὶ ἀνδρόγυνοι λέγονται. 1.265 (ηερς. 106.) Φύλλοις δὲ αἰγείρου τὰς δμωὰς εἰκάζει, διὰ τὸ εὐκίνητον καὶ συνεχὲς τῆς αὐτῶν ἐργασίας. εὐκράδαντα γάρ φασι καὶ τὰ τῶν αἰγείρων φύλλα διὰ τὸ ὕψος. μακεδνὴ γὰρ ἡ αἴγειρος. ἤγουν ἐπιμήκης. μακρά. παρὰ τὸ μᾶκος μακεδανὴ καὶ μακεδνή. ὡς θρὶξ ψεδανὴ ψεδνή. ὁμοίου δὲ τύπου καὶ τὸ ἀλαπαδνὸν καὶ ὀλοφυδνὸν καὶ παιδνόν. δῆλον δὲ ὅτι ἐκ τοῦ μᾶκος, καὶ ἡ μακερὰ γίνεται. καὶ ἐν συγκοπῇ μακρά. ἕτεροι δὲ εἰς τὸ, ἥμεναι οἷα φύλλα αἰγείρου, γράφουσιν ὡς ἡλιοτροπίου τάξιν ἐπεῖχον καθήμεναι θεατρικῶς. ἔστι δὲ ἀσαφὴς ὁ τοιοῦτος λόγος. Ἡλιοτρόπιον μὲν γὰρ μανθάνομεν καὶ τὴν τῶν φύλλων τοῦ τοιούτου φυτοῦ τροπὴν πρὸς ἀνίσχοντα καὶ δύοντα ἥλιον. ἐπὶ δὲ αἰγείρου τοιοῦτόν τι νοῆσαι, δοκεῖ δυσχερές. φαίνεται δὲ ὅμως καὶ τὰ φύλλα τῆς αἰγείρου τὰ τῶν ἡλιοτροπίων πάσχειν. ὡς δηλοῖ ὁ γράψας οὕτω φύλλα, ἤτοι διὰ τὸ πλῆθος τῶν δμωΐδων, ἢ διὰ τὸ εὐκίνητον τῶν χειρῶν ἐν τῷ στρέφειν τὴν κρόκην, ὡς καὶ τὰ φύλλα τῆς αἰγείρου ἀντεστραμμένα ἀλλήλοις καὶ εὐκίνητα. εἰσὶ δὲ οἳ τὸ ἥμεναι οἷα φύλλα αἰγείρου εἶπον ἀντὶ τοῦ, καθὰ πεπύκνωται τὸ δένδρον τοῖς φύλλοις. (ηερς. 107.) Τὸ δὲ καιροσέων ὀθονέων, ἀντὶ τοῦ, εὐυφῶν. εὖ κεκαιρωμένων. ἤτοι ἀγαθὸν ἐχουσῶν καίρωμα, ὅ ἐστι μίτωμα. καῖρος δέ φασι καὶ καίρωμα, τὸ διάπλεγμα ὃ οὐκ ἐᾷ τοὺς στήμονας συγχέεσθαι. ἐξ οὗ καὶ καιρωστρίδες ἢ καιρωστίδες γυναῖκες παρὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Καλλιμάχῳ, ἀντὶ τοῦ ὑφάντριαι. οὗ δὴ Καλλιμάχου καὶ τὸ, ὑδάτινον καίρωμα ὑμένεσσιν ὁμοῖον. ὁ δὲ εἰπὼν τὸ καιροσέων ἀντὶ τοῦ, κροσσωτῶν θυσανωτῶν, λέγει καὶ ὅτι καῖρος, σειρὰ δι' ἧς οἱ στήμονες καθίενται. Καὶ ὅρα ἐν τούτοις τὸ καῖρος βαρυνθὲν πρὸς διαστολὴν χρονικοῦ τοῦ καιρός. ἔτι δὲ κατὰ ἄλλους καὶ ἑτέρως καίρωμα ἡ διαπλοκὴ τοῦ διάσματος ἐν ᾗ οἱ στήμονες καθίενται. καὶ ἄλλως δὲ, τὸ διαπλεκόμενον παρὰ τὸν μίτον ὡς ἂν οἱ στήμονες μὴ συγχέωνται. μίτος δὲ, δι' οὗ τοὺς στήμονας ἐναλλάσσουσιν εἰς πλοκὴν τῆς κρόκης. οἱ δὲ φασὶν ὅτι καῖρος αὐτὸς ὁ μίτος ἐστὶν ἐξ οὗ παράγωγον, ὁ καιρόεις. οὗ θηλυκὸν, καιρόεσσα. γενικὴ πληθυντικὴ, καιροεσσῶν. καὶ συγκοπῇ, καιροσσῶν. καὶ Ἰωνικῶς καιροσέων. ἢ καὶ ἄλλως, καιροεσσῶν, ὡς εἴρηται, καὶ μεταθέσει, καιροσέων. ὅ ἐστιν εὐμίτων. ἄλλοι δὲ, εὐθεῖαν εἶπον ἡ καίροσα μονήρη λέξιν ὡς ἄτοσσα. ὅθεν γενικὴ πληθυντικὴ, καιροσῶν, καὶ καιροσέων Ἰωνικῶς, ἐπεὶ δὲ φέρεται ἐν ῥητορικῷ λεξικῷ καὶ ὅτι μεσάκμων, τὸ τῷ κανόνι ὑποδεδεμένον ὃ καλεῖται καῖρος, σκοπητέον εἴτι καὶ αὐτὸ εἰς τὸ, καιροσέων ὀθονέων συμβάλλεται. ποιητικὴ δὲ παρίσωσις τὸ, καιροσέων ὀθονέων. Τὸ δὲ ἀπολείβεται ὑγρὸν ἔλαιον, ἢ τὸ τῶν ὑφασμάτων τρυφερὸν κατὰ τοὺς παλαιοὺς δηλοῖ ὡς δοκεῖν ἔλαιον ἀποῤῥεῖν. ἢ τὸ πυκνὸν, ὡς μὴ δὲ ἔλαιον εἶναι δι' αὐτῶν ἐλθεῖν. ἢ καὶ τὸ στίλβον διὰ λευκότητα. ἴσως δὲ, καὶ ἄλλως στίλβειν αἱ τοιαῦται λέγοιντο ἂν ὀθόναι, ὡς εἴπερ ἔλαιον αὐτῶν ἀπελείβετο διὰ τὸ στιλπνὸν χρῶμα τῶν νεοϋφάντων καὶ ἔτι ἀπλύτων ὑφασμάτων. Ὅτι δὲ καὶ θρόνοι λίθινοι οὕτω στίλβουσιν ἐκ τῆς κατὰ συχνὴν παράτριψιν λειάνσεως, οἱ κατὰ Πύλον μαρμάρεοι θρόνοι ἐδήλωσαν. (ῃερς. 108.) Πάνυ δὲ ἐπιστήμονας τὰ εἰς ἱστουργίαν ἡ Ὁμηρικὴ σύγκρισις τὰς Φαιακίδας δηλοῖ εἴπερ ὅσον οἱ Φαίακες ναυτικοὶ, τοσοῦτον αἱ γυναῖκες τεχνικαὶ ὑφαίνειν. ἴδριες δὲ ἐκεῖνοι περὶ πάντων ἀνδρῶν, οὕτω δὲ καὶ αὗται πασῶν γυναικῶν. ὡς εἶναι αὐταῖς τρία ταῦτα καλά. ἐπιστήμην περὶ ἔργα. καὶ κάλλος. καὶ φρένας ἐσθλάς. ἅπερ ἐξ Ἀθηνᾶς ἔχειν λέγονται, ὡς ἐφόρου τῶν τοιούτων πρός τε ἀλληγορίαν καὶ μυθικῶς. (ῃερς. 110.) Τὸ δὲ τεχνῆσαι, ἀλλαχοῦ παθητικῶς κεῖται. ὡς καὶ ἐν τῷ, μὴ τεχνησάμενος μὴ δ' ἄλλό τι τεχνήσαιτο. (ῃερς. 112.) Ὄρχατος δὲ, δένδρα ἐπίστιχα κατὰ φυτείαν ἀμπέλου. διὸ ἐπάγει. ἔνθα δὲ δένδρεα μακρά. ὁ δ' αὐτὸς, (ῃερς. 129.) καὶ κῆπος ἐν τῷ τέλει τῆς ἐκφράσεως. καὶ ἐν τοῖς μετὰ ταῦτα δὲ κατὰ Ἰθάκην, κῆπον ἐρεῖ πολυδένδρεον. ὃς δὴ κῆπος μεταληφθεὶς ὑπὸ κωμικοῦ σκῶμμα ἐποίησε. γυναῖκα γάρ τις μανιόκηπον εἶπε, τὴν μεμηνυῖαν περὶ μίξεις. κῆπον ἐκεῖνος ὑποθέμενος εἶναι, τὸ παρὰ Λυκόφρονι ἐπείσιον. τῇ δὲ τοιαύτῃ γυναικὶ φίλα φρονεῖν εἶδεν, ὁ εἰς κιναιδίαν σκωπτόμενος. γίνεται δὲ ὄρχατος, ἢ παρὰ τὸ ἔρχω, ὁ εὔτακτος καὶ οἷον ἐρχόμενος ἤτοι στείχων, ἐντεῦθεν γὰρ καὶ ἐπίστιχος φυτεία λέγεται τὰ τοιαῦτα. ἢ παρὰ τὴν ὀρυχὴν τὴν ἐν τῇ φυτείᾳ. ἵνα ᾖ ὀρύχατος καὶ ἐν συγκοπῇ ὄρχατος. ἢ παρὰ τὸν ὤρεχα παρακείμενον, ὁ ἐπὶ πολὺ ὀρεγμένος ὅ ἐστιν ἐκτεινόμενος. ἔστι δὲ ἡ λέξις παράγωγος ἐκ τοῦ ὄρχος. ὁμοίως τῷ, τρίτος τρίτατος καὶ τοῖς τοιούτοις. (ῃερς. 113.) Τετράγυος δὲ, οὗ ἑκάστη τῶν τεσσάρων πλευρῶν γύην εἶχεν. ἵνα ᾖ, τετράπλεθρός φασι. τετράγωνος. ἰσόπλευρος. γύη δὲ ἢ γύης ἀρσενικὸν, μέτρον γῆς. οἱ δὲ παλαιοὶ, φασὶ 1.266 καὶ ὅτι γύης, καὶ μέτρον γῆς καὶ μέρος ἀρότρου. ὥστε ἀρσενικὸν ὁ γύης. Ἕρκος δὲ καὶ νῦν ὁ φραγμὸς, ὡς καὶ ἐν τῷ, ἕρκος ὀδόντων. ἀλλαχοῦ δὲ ἐγράφη ἕρκη λέγεσθαι παρὰ τοῖς κωμικοῖς, καὶ πλεκτά τινα ἐκ τριχῶν. ὅθεν καὶ ἑρκάνη φασὶν ὁ φραγμός. Τὸ δὲ ἐλήλαται ἀμφοτέρωθεν, ἀντὶ τοῦ πάντοθεν. λαμβάνει γὰρ Ὅμηρος ὡς ἓν μὲν, τὰς δύο παραλλήλους τοῦ τετραγώνου πλευράς. ὡς ἓν δὲ, τὰς λοιπὰς δύο. καὶ οὕτω τὸ ἀμφοτέρωθεν, τετραχόθεν γίνεται. δὶς γὰρ αἱ συζυγίαι τῶν πλευρῶν τοῦ τετραγώνου, τέσσαρές εἰσι πλευραί. καὶ τὸ διχῶς, τετραμερῶς ἐνταῦθα ἐστί. κἀντεῦθεν τό τε τετραχόθεν, οὐδὲν ἄλλο ἐστὶ ἢ τὸ πάντοθεν. τοιούτῳ δὲ λόγῳ καὶ ἀμφίαλος νῆσος, ἡ πανταχόθεν ἅλα ἔχουσα, ὅ ἐστιν ἀμφοτέρωθεν. κατὰ δεξιὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δηλαδὴ καὶ ἀριστερὸν μέρος καὶ ἔμπροσθεν καὶ ὄπισθεν. ἅπέρ ἐστι, πάντοθεν. (ηερς. 115.) Τὸ δὲ ὄγχναι καὶ ῥοαὶ καὶ μηλέαι καὶ τὰ ἑξῆς, κατὰ σχῆμα κάλλους ἐξήνεκται ὁμοιοκατάληκτον. συνεξωραϊζομένης τῆς ἀπαγγελίας τῷ κάλλει τῶν φραζομένων. καλὰ δὲ καὶ τὰ ἐπίθετα. παρατετηρημένως γὰρ ὁ ποιητὴς ἑκάστου δένδρου ἐπίθετον ἐκτίθεται κατὰ φυσικὴν ἰδιότητα. καλὸν μὲν γὰρ, τὸ μῆλον. καὶ ὡς αὐτός φησι, καρπὸς ἀγλαός. διὸ καὶ ἀγλαόκαρπος ἡ μηλέα ὡς αὐτίκα εἰρήσεται. γλυκὺ δὲ ὑπερβαλλόντως τὸ σῦκον ἐν ὀπώραις. ἀειθαλὴς δὲ ἡ ἐλαία. Ὄγχνη δὲ κυρίως κατὰ τοὺς παλαιοὺς, ἡ ἀγρία ἄπιος, ἤτοι ἡ ἀχράς. διὰ τὸ ἄγχειν τὸν προσιέμενον. διὸ καὶ ἄπιος λέγεται ὡς μὴ ἔχουσα πιότητα. καταχρώμεθα δὲ ὅμως τῇ λέξει, καὶ ἐπὶ τῶν ἡμέρων. καθ' ὁμοιότητα δὲ τοῦ, ἄρχαμος, ὄρχαμος, γίνεται καὶ ἀπὸ τοῦ ἄγχειν ἡ ὄγχνη. Ῥοιὰ δὲ, νῦν μὲν τὸ δένδρον. λέγεται δὲ ὁμωνύμως αὐτῇ ῥοιὰ, καὶ τὸ αὐτῆς καρποφόρημα. ὥσπερ καὶ ἐλαία, αὐτό τε τὸ φυτὸν καὶ ὁ καρπός. αὐτὸς δὲ, μάλιστα δίχα τοῦ ¯ι. ἐλάα γὰρ Ἀττικῶς, ὁ τῆς ἐλαίας καρπός. ὅθεν ἀστεΐζεται τὸ, μάστιξε δ' ἐλάαν. καὶ, τίς τῆς ἐλάας παρέτραγε; δῆλον δὲ ὅτι καὶ ῥόα λέγεται ὁμοίως τῷ, χροιὰ χρόα. ὅτι δὲ ῥοιαὶ ὁμωνύμως τῷ δένδρῳ καὶ αἱ περὶ αὐτὰς μυθικαὶ νύμφαι, δηλοῦται καὶ ἀλλαχοῦ. Καρπὸς δὲ παρὰ τὸ κάρφω γίνεται Ἰωνικῇ τροπῇ τοῦ δασέος εἰς ψιλόν. ὃς δηλαδὴ πεπανθεὶς ἤδη κάρφεται μηκέτι αὐξόμενος ὑγροῦ ἐπεισροῇ. ὁμώνυμος δὲ ἡ λέξις. καρπὸς γὰρ, καὶ μέρος ἤτοι ἄρθρον χειρὸς μεταξὺ βραχίονος καὶ θέναρος, ἀφ' οὗ παράγεται τὸ μετακάρπιον. καὶ ὁ κοινῶς λεγόμενος καρπόχειρ. καὶ ἡ παρὰ τοῖς ἰδιώταις ἐξώκαρπος πάλη. Ἰστέον δὲ ὅτι μῆλον οὐ μόνον τὸ συνήθως οὕτω λεγόμενον τὸ καὶ ἀληθῶς ἀγλαὸν οἷς ἐρεύθεται ὡς εἰς ἄγαλμα φύσεως, ἀλλὰ καὶ τὸ τῆς περσέας παρὰ τοῖς ὕστερον. ἔτι γε μὴν, καὶ τὸ κιτρίον. ὃ δὴ κίτρον Ῥωμαῖοι καλοῦσιν ὥς φησι Πάμφιλος ἐν τῷ περὶ γλωσσῶν. λέγων ὅτι τὸ δένδρον αὐτοῦ φέρει τὰ μῆλα πᾶσαν ὥραν. τὰ μὲν γὰρ, ἀφῄρηται, τά δ' ἀνθεῖ. τά δ' ἐκπέττει. καλεῖται δέ φασι τὸ κιτρίον παρὰ Λίβυσι, μῆλον ἑσπερικόν. ἀφ' ὧν Ἡρακλῆς ἐκόμισεν εἰς τὴν Ἑλλάδα σταλεὶς ὑπὸ Εὐρυσθέως τὰ διὰ τὴν ἰδέαν χρύσεα λεγόμενα μῆλα τὰ τῶν Ἑσπερίδων. ἅπερ εἰς ἀστέρας ἀλληγοροῦνται ὅτε ὁ Ἡρακλῆς εἰς ἥλιον μεταλαμβάνεται. παραθετέον δ' ἐνταῦθα καὶ μῆλα Φιλίππου, ὡς λεγομένου φιλίως περὶ αὐτὰ διακεῖσθαι. ἔτι δὲ καὶ τὰ τοῦ φιλομήρου υἱοῦ αὐτοῦ Ἀλεξάνδρου. ὃς καὶ φιλόμηλος ὡς ἔοικεν ὢν, κάλλιστα μῆλα εὑρὼν περὶ τὴν Βαβυλωνίαν χώραν τούτων τε πληρώσας τὰ σκάφη, μηλομαχίαν ἀπὸ τῶν νεῶν ἐποιήσατο, ὡς τὴν θέαν ἡδίστην γενέσθαι. ὡς δὲ καὶ ἐρωτικὰ τὰ μῆλα, δηλοῖ καὶ ὁ γράψας τὸ, μῆλα ἔρωτες ἰδοὺ τρυγῶσι. καὶ ὁ εἰπὼν τὸ, μήλῳ ὑπὸ πορνιδίου βληθείς. γνωστέον δ' ἐνταῦθα, καὶ τροπικὰ χρυσᾶ μῆλα. ἐξ ὧν ἡ τῶν μηλοφόρων αὐλὴ παρὰ τῷ δειπνοσοφιστῇ. δορυφόροι δὲ ἦσαν οὗτοι Πέρσαι, πάντες ἔχοντές φασιν ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ. (ηερς. 116.) Ἡ δὲ συκῆ, περισπᾶται διὰ συναίρεσιν ὡς καὶ τὸ, ἀμυγδαλέα ἀμυγδαλῆ. καὶ ὡς τὸ, φακέα φακῆ τὸ κατά τινα παλαιὸν, ἥδιστον ὄψον. ἧς κτητικὸν, φάκινος. ὡς τὸ, μέγαν κολοσσὸν φάκινον. Ὅτι δὲ καὶ κύριον ὄνομα ἦν Φακῆ, δηλοῖ ὁ γράψας ὅτι ἀδελφὴ Ὀδυσσέως. Καλλιστώ. κατὰ δὲ ἑτέρους, Φακῆ. ὁμώνυμός φησι τῷ ὀσπρίῳ. εἰς ὃ γράψαι λέγεται Ὅμηρος. ἐκθέμενος λεκίθου καὶ φακῆς σύγκρισιν. λεκίθου δὲ, δηλονότι οὐ τοῦ ἐν τοῖς ᾠοῖς, ἀλλὰ ὀσπρίου κροκοειδοῦς. ὅπερ ἀρσενικῶς λέγεται ὁ λέκιθος. ὡς δὲ καί τις ὕστερόν ποτε φιληδῶν τῷ ὀσπρίῳ ἐπεκαλεῖτο σκωπτικῶς δι' αὐτὸ φακῆ, καθωμίληται. ἐκ δὲ τοῦ σύκου, καὶ συκάζειν λέγεται τὸ τρυγᾶν σῦκα. καὶ ἀποσεσυκάσθαι μεταφορικῶς, τὸ ἀποτετρυγῆσθαι. λέγεται δὲ καὶ συκάσιος Ζεὺς παρὰ τοῖς παλαιοῖς, ὁ καθάρσιος. τῇ γὰρ συκῇ ἐχρῶντο φασὶν ἐν καθαρμοῖς. φέρεται δὲ καὶ παροιμία, σῦκον ἐφ' Ἑρμῇ ἤγουν ἕρμαιον καὶ εὕρημα ἐκκείμενον ἐπ' ὠφελείᾳ τοῦ ἐντυχόντος. καὶ τὸ μὲν παροιμιακὸν τοῦτο σῦκον, 1.267 οὕτω καλόν. τὸ δὲ παρονομάζον τὸν συκοφάντην, οὐκ ἂν εἴη καλόν. Ὅτι δὲ τὸ τῆς συκοφαντίας φαυλοτάτου πράγματος ὄνομα χρηστὴ ἐξαρτύει ὀπώρα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ σῦκον, οὐδεὶς τῶν περὶ λόγους ἀγνοεῖ. ἐκ δὲ τοῦ σύκου, καὶ ἑτέρα παροιμία τὸ, συκίνη ἐπικουρία, ἐπὶ ἀφαυρῶν βοηθῶν. ἐκτείνει δὲ τὴν ἄρχουσαν καὶ ἡ συκῆ καὶ τὸ σῦκον. διὸ καὶ προπερισπᾷ τὸ σῦκον ὁ ποιητής. ὡς δὲ καὶ ἰσχνανθὲν τὸ σῦκον σπουδαζόμενον ἦν, δηλοῖ ὁ τοῖς τραγήμασιν ἐντάξας καὶ τὴν ἰσχάδα. καὶ εἰπών. τό, τε θειοπαγὲς μητρῷον ἐμοὶ μελέδημ' ἰσχὰς Φρυγίας εὕρημα συκῆς. (ῃερς. 118.) Ἐπετήσιος δὲ, ὁ καὶ αὐτὸς ἐπηετανὸς καὶ διηνεκὴς καὶ ἐξαρκῶν εἰς ὅλον ἔτος. καὶ ὡς ὁ ποιητὴς ἡρμήνευσεν, (ῃερς. 117.) ὃς οὔ ποτε ἀπόλλυται οὐδ' ἀπολείπει. τουτέστιν οὔθ' ὑπό τινος πάθους φθείρεται, οὐδὲ μὴν δαπανώμενος ἀπολείπει, ἀλλὰ παραμένει ἐξ ἔτους εἰς ἔτος. (ῃερς. 114.) διὸ καὶ δένδρεα ἔφη τηλεθόωντα. ὃν τρόπον καὶ ἐλαίας ἔφη (ῃερς. 116.) τηλεθοώσας. ἄλλως γὰρ, οὐ τηλεθόωσιν ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι καὶ συκαῖ. καὶ τοιοῦτος μὲν ὁ ἐπετήσιος. ὁ μέντοι ἐπέτειος ὅτε ἂν λεχθείη ἐπὶ ἀνθρώπου, ψόγον ἔχει. δηλοῖ γὰρ τὸν εὐμετάβολον καὶ οὐ διηνεκῆ τὰ εἰς φιλίαν. ἀλλ' ὡς εἰπεῖν, κατ' ἔτος ἢ ἐξ ἔτους εἰς ἔτος μεταβαλλόμενον. οὗ χείρων πάνυ ὁ ἐφημέριος. (ῃερς. 118.) Τὸ δὲ οὔ ποτε ἑρμηνεύων, ἔφη. οὐ χείματος οὐ θέρους. ὥστε, ἀεὶ εἰσὶν οἱ καρποὶ διατοῦτο. Ἰστέον δὲ ὅτι ψεῦδος μὲν ἐπὶ τῶν ἀληθινῶν Φαιάκων, τὸ οὕτω παράμονον τῶν καρπῶν. ἄλλως μέντοι ἐπὶ πολὺ τοῦ ἔτους διαρκοῦσι καὶ ἐκεῖ οἱ καρποὶ ὡς οἴδασιν οἱ πείρᾳ μαθόντες. Ὅμηρος δὲ ἐκτοπίζων τὴν Φαιακίαν κατά τινα ὡς καὶ προεδηλώθη ποιητικὴν τερατείαν καὶ πόῤῥωτάτω μετάγων, ὑπερβάλλει τοιαῦτα πλάττων περὶ αὐτῆς, ὡς εἴπερ νῆσος ἦν τις μακάρων τοῖς ἀκούουσιν ἀνεξέλεγκτος. (ῃερς. 119.) Ἐν δὲ τῷ, Ζεφυρίη πνείουσα, σημείωσαι ὅτι ἀπὸ κοινοῦ εἴληφε τὸ πνοὴ ἐκ τοῦ πνείουσα. καὶ ἔστιν ὅμοιον τῷ, δικάσω, ἰθεῖα δὲ ἔσται. ἡ δίκη δηλαδή. Τὸ δὲ τὰ μὲν, φύει ἄλλα δὲ πέσσει ὅ ἐστι πεπαίνει καὶ πέπειρα ποιεῖ, τὸν τρόπον δηλοῖ καθ' ὃν ἐπετήσιος τοῖς ἐκεῖ δένδροις ὁ καρπός. ὡς τοῖς προγενομένοις καρποῖς ἑτέρων ἐπιγινομένων. διὸ καὶ ἐπάγει πρὸς τὸ σαφέστερον, (ῃερς. 1.) ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει. τουτέστι, πέπειρα ὄγχνη, καὶ οἱονεὶ γραῦς, ᾐώρηται τοῦ δένδρου ἐπὶ νεοφυεῖ ἑτέρᾳ ὄγχνῃ. οὕτω δὲ καὶ μῆλον ἐπὶ μήλῳ. καὶ ἐπὶ σταφυλῇ σταφυλή. ἐν οἷς καλὸν σχῆμα τὸ κατ' ἐπιμονὴν ὁμοιόσχημον. Τὸ δὲ σῦκον δ' ἐπὶ σύκῳ, ἀπέχρησέ ποτε τῷ σταγειρόθεν σοφῷ εἰς σκῶμμα τῶν Ἀθηναίων ὡς χαιρόντων συκοφαντείᾳ ὅτε Σωκράτην ὑπεξήγαγον κωνείῳ, τοῦ βίου. μελετήσας γὰρ ὑποχωρῆσαι τότε ὁ Σταγειρίτης, εἶπεν ἐξ Ὁμήρου τρυγήσας τὴν ὀπώραν τῆς ἐν λόγῳ χάριτος ὡς οὐκ ἂν μείνῃ παρὰ τοιαύτῃ πόλει ἐν ᾗ γηράσκει σῦκον ἐπὶ σύκῳ. τουτέστιν ὅπου τὰ τῆς συκοφαντίας διηνεκῆ καὶ ἀδιάδοχα καὶ τῷ μακρῷ τοῦ χρόνου συμπαρεκτεινόμενα. οὗ δηλωτικὸν τὸ γηράσκει, τιθέμενον καὶ ἐπὶ ἀψύχων, ὡς δῆλον ἔκ τε τοῦ γερανδρύου καὶ ἐκ τοῦ, γέρον σάκος. Ἰστέον δὲ ὅτι κατὰ τὴν ἱστορικὴν παράδοσιν καθάπερ ἡ Φαιακία, οὕτω καὶ ἡ Αἴγυπτος διὰ τὴν τοῦ περιέχοντος ἀέρος εὐκρασίαν καὶ διὰ τοὺς κηπεύοντας τὰ σπανίως καὶ καθ' ὥραν ἐνεστηκυῖαν ἐν ἄλλοις φυόμενα τόποις, ἄφθονα γεννᾷ καὶ διαπαντός. καὶ οὔτε ῥόδον οὔτε λευκόϊον οὔτ' ἄλλῳ ῥᾳδίως ἄνθος ἐκλείπειν οὐδὲν οὐδέ ποτ' εἴωθεν. Ἀριστοφάνης δὲ ἐν Εἰρήνῃ σεμνύνων καὶ αὐτὸς τὰς Ἀθήνας, μαρτυρεῖ, ὡς διηνεκεῖς ἐκεῖ αἱ ὀπῶραι. Ἀέθλιος δὲ ὁ Σάμιος, ἔφη ὡς ἐν Σάμῳ, σῦκον σταφυλὴ ὁμομηλὶς ἢ ἀμαμηλὶς καὶ μῆλα καὶ ῥόδα, δὶς τοῦ ἐνιαυτοῦ ἐγένετό ποτε. παραμονὴ δὲ σταφυλῶν ἠστεΐσθη κατὰ τὸν Ἀθήναιον ὑπὸ Λυγκέως, οὕτω. βότρυς, ὃς οἷα περ ἀγαθὸς οἰκέτης διαμένει τὴν αὐτὴν ἔχων εὔνοιαν. (ῃερς. 122.) Ἀλωὴ δὲ φανερῶς ἐνταῦθα, μόνη ἡ ἀμπελόφυτος, ᾗ καὶ αὐτῇ ἐμπρέπουσα ἡ τῶν Φαιάκων φαίνεται γῆ. ὡς δηλοῖ καὶ ὁ εἰπὼν ὅτι χαριέστατος οἶνος εἰς παλαίωσιν, ὁ Κερκυραῖος. ἤγουν ὁ κατὰ τὴν Φαιακίαν. ὁ δὲ Ζακύνθιος καὶ ὁ Λευκάδιος, διὰ τὸ γύψον λαμβάνειν, ἀδικοῦσι κεφαλήν. δῆλον δὲ ὡς ἡ εἰρημένη ἀλωὴ, καὶ ἀμπελὼν τρισυλλάβως κοινότερον λέγοιτ' ἂν τύπῳ περιεκτικῷ, καὶ τετρασυλλάβως δὲ, ἀμπελεὼν κατὰ Ἀττικοὺς, ἀναλόγως τῷ ἀκανθεών. οὗ τύπου ἐστὶ καὶ τὸ, χαραδρεών. κυκεών. ἀνθερεών. ἤδη


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ καὶ ἀπατεών. καὶ τὰ τοιαῦτα. καὶ ἔστι σαφὴς χρῆσις ἀμπελεῶνος. οὗ πρὸς ὁμοιότητα καὶ ὁ κοινὸς λεγόμενος ἀνδρὼν, ἀνδρεὼν κεῖται παρ' Ἡροδότῳ. οἶκος καὶ αὐτὸς μέγας. ὁ παρ' ἄλλοις ἀνδρόδομος ἢ τρίκλινος. (ῃερς. 123.) Θειλόπεδον δὲ, εἵλης βοτρύων τόπος. ψυκτὴρ σταφυλῶν. ὕπαιθρος ἡλίῳ ἐκκείμενος. καὶ ὡς εἰπεῖν, πέδον εἵλης ὅ ἐστι θερμότητος Ἡλίου. ὡς καὶ ὁ ποιητὴς παρετυμολογεῖ ἐν τῷ, τέρσεται ἠελίῳ. ἢ καὶ ἄλλως 1.268 εἰπεῖν καθ' Ὅμηρον, λευρὸς ὅ ἐστιν ὁμαλὸς τόπος τερσόμενος ἡλίῳ. σύγκειται δὲ ἡ λέξις κατά τινας καθ' ὁμοιότητά τινα τοῦ στρατοπέδου, παρὰ τὸ τ¯ο ἄρθρον οὐδέτερον καὶ τὴν εἵλην καὶ τὸ πέδον. οἷς καὶ ἀρέσκει, θειλόπεδον ἀεὶ ἄνευ ἄρθρου προφέρειν, ὡς ἐγκειμένου τοῦ ἄρθρου συνθέτως τῇ λέξει. διὸ καὶ μὴ δεῖν φασι λέγειν τὸ θειλόπεδον. ἵνα μή τις λέγῃ τρόπον τινὰ, τὸ τὸ είλόπεδον διπλάζων τὸ ἄρθρον καὶ οὕτω βαρβαρικῶς ἀδολεσχῶν. ὥσπερ φασὶν, οὐδὲ ὁ θάτερος εἴποι τις ἂν, ἵνα μὴ ἀδολεσχοίη. καὶ ἐκεῖ γὰρ, Δωρικὸν ἄρθρον ἀρσενικὸν τὸ τ¯ο, σύγκειται μετὰ τοῦ ἅτερος. ἐξ ὧν θάτερος. καθ' ὁμοιότητα τοῦ οὐδετέρου καὶ τοῦ θηλυκοῦ. ἤγουν τοῦ, τὸ ἅτερον θάτερον. καὶ τὴν ἁτέρα θατέρα. καὶ λέγουσι μὲν οἱ τοιοῦτοι, πιθανῶς. τί γὰρ ἂν καὶ βούλοιτο τὸ θῆτα στοιχεῖον προκατάρχειν ἐν τῷ θειλόπεδον, εἰ μὴ ἐξ ἄρθρου ἦν; ἀντιλέγονται δὲ αὐτοὶ διὰ τὸ θειλοπεδεύω. οὐ γὰρ δή που καὶ ἐν τῷ τοιούτῳ ῥήματι, τὸ τ¯ο ἄρθρον σύγκειται. εἴποιεν δ' ἂν ἴσως πρὸς τούτοις ἐκεῖνοι, μηδὲν μὴ δὲ τοῦτο αὐτοῖς προσίστασθαι. καθάπαξ γὰρ τὸ τ¯ο ἄρθρον καθ' ἕξιν τινὰ συντεθὲν ἐν τῷ θειλόπεδον καὶ κραθέν, ἔμεινεν ἀχώριστον τῆς λέξεως καὶ ἐν τῷ ῥήματι. ὁποῖόν τι γέγονε καὶ ἐν τῷ ταυτόν. κἀνταῦθα γὰρ τὸ τ¯ο ἄρθρον ἐκτικῶς τῇ αὐτὸς ἀντωνυμίᾳ συντακὲν κατὰ σύνθεσιν, διέβη καὶ εἰς τὸ ταυτίζω ῥῆμα καὶ εἰς τὸ θηλυκὸν τὴν ταυτότητα. εἰσὶ δὲ οἱ ἄλλως λύοντες τὴν ἀπορίαν τῆς τοῦ θῆτα στοιχείου προκατάρξεως ἐν τῷ θειλόπεδον, συνέθεντο τὴν λέξιν ἀπὸ τοῦ θεῖναι καὶ τῆς ἕλης καὶ τοῦ πέδον. Ὅτι δὲ τὴν εἵλην οἱ παλαιοὶ καὶ ἕλην φασὶν, ἐν ῥητορικοῖς δηλοῦται λεξικοῖς. ἔνθα κεῖται καὶ ὅτι εἵλη καὶ ἕλη, ἡ τοῦ ἡλίου αὐγή. καὶ εἰληθερεῖν, τὸ ἡλιάζεσθαι, καὶ εἰλεῖν, τὸ ἐν ἡλίῳ ξηραίνειν. καὶ εὔειλον χωρίον, τὸ εὐήλιον. καὶ πρόσειλον, τὸ πρὸς μεσημβρίαν τετραμμένον. (ῃερς. 124.) καὶ εἰληθερὲς ὕδωρ, τὸ ὑπὸ ἡλίου τεθερμασμένον. Ἐν δὲ τῷ ἕτερον μὲν θειλόπεδον, ἑτέρας δὲ τρυγῶσιν, ἄλλας δὲ τραπέουσιν, ἕτεραι δ' ὑποπερκάζουσιν, ἐφ' ὧν ἐν τρισὶ τόποις κεῖται τὸ ἕτερον εἰωθὸς ἐπὶ δύο λέγεσθαι καὶ δηλοῦν τὸ ἓν ἐξ αὐτῶν, γράφοντες οἱ παλαιοὶ περὶ τοῦ ἕτερος καὶ ἄλλος, λέγεσθαί φασι τὸ ἕτερος καὶ ἐπὶ πολλῶν. Δημοσθένης γοῦν ἐν τῷ κατ' Ἀριστοκράτους φησί. τρίτον δ' ἕτερον δικαστήριον πρὸς τούτοις. οὕτω δὲ καὶ τὸ ἄλλος οὐ μόνον ἐπὶ πολλῶν, ἀλλὰ καὶ ἐπὶ δύο. καὶ ὅλως, ἀδιαφόρως Ἀττικοὶ χρῶνται ἀμφοῖν. ὥστε καὶ ἐκ παραλλήλου λέγουσιν ἀμφότερα. καὶ οὕτω μέν τινες. ἕτεροι δὲ, καὶ οὕτω φασίν. ἕτερον καὶ ἄλλο, ἀδιαφόρως. Πλάτων οὖν ἐν πολιτείαις, φησίν. ἄλλη μὲν ἡ ἀπωθοῦσα χεὶρ, ἑτέρα δὲ ἡ προσαγομένη. καὶ οὕτω μὲν αὐτοί. ἀφανίζοντες τὴν περὶ τοῦ ἕτερος παλαιὰν παρατήρησιν. ἥτις ἐπὶ δύο τίθεσθαι τὸ ἕτερον παραδιδοῦσα, τὸ ἓν ἐκ τῶν δύο λέγει δηλοῦν. εἰ δέ τις ἀκριβῶς τῇ Ὁμηρικῇ φράσει προσχοίη, εὑρήσει κἀνταῦθα φυλαττόμενον τὸ κοινῶς πάλαι παραδοθέν. εἰ γὰρ καὶ οἱ μεθ' Ὅμηρον Ἀττικοὶ τὸ ἕτερον καὶ ἐπὶ τρίτου τινὸς καὶ τετάρτου τιθέασιν, ἀλλ' Ὅμηρος ἐπὶ δύομόνων τάττει αὐτό. τὸ γοῦν ἕτεραι δ' ὑποπερκάζουσι, πρὸς μόνας τὰς ἀνωτέρω ῥηθείσας ὄμφακας διέστειλεν. ὥσπερ αὖ πάλιν διαστέλλονται πρὸς τὰς ἐν θειλοπέδῳ, αἱ τρυγώμεναι. ἔφη γάρ. ἧς ἕτερον μὲν, θειλόπεδον. ἑτέρας δὲ, τρυγῶσιν. ὅθεν τρίτας μέλλων εἰπεῖν τὰς πατουμένας, οὐ λέγει ἑτέρας δὲ τραπέουσιν, ἵνα μὴ ἐπὶ τρίτου πράγματος θήσῃ τὸ ἕτερον. ἀλλὰ εἰπὼν ὡς ἕτεραι μὲν θειλοπεδεύονται ἕτεραι δὲ τρυγῶνται, ἐπάγει. ἄλλας δὲ τραπέουσι. τὸ μὲν γὰρ ἕτερος, ἐπὶ δύο μόνων λέγεται. τὸ δὲ ἄλλος, ἐπὶ πλειόνων. Ἰστέον δὲ ὡς κατὰ τοὺς παλαιοὺς, οὐ μόνον ἕτερον καὶ ἕτερα, ἀλλὰ καὶ μετὰ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θῆτα θάτερον καὶ θάτερα λέγεται τὸ τῶν οὐδετέρων πληθυντικὸν ἑνικόν. Χρύσιππος δὲ λέγων τὸν θάτερον τῶν Διοσκούρων, ἐσχάτως βαρβαρίζει ὥς φησι Παυσανίας. τὸ γὰρ ἀρσενικὸν, κατὰ τὴν ὀρθὴν, ἅτερος λέγεται. κραθὲν ἀπὸ τοῦ, ὁ ἕτερος. ἢ καὶ Δωρικῶς φασι τραπὲν κατὰ τὸ, Ἄρτεμις Ἄρταμις. τρέπω τράπω. τρέχω τράχω. αἴκε αἴκα. πιέζω πιάζω. ἔστι δὲ καὶ θατέρου γενικὴ ἑνική. καὶ θατέρῳ δοτικὴ τῶν ἑνικῶν οὐ θατέροις. σολοικισμὸς γὰρ τοῦτο κατὰ Παυσανίαν. ἐπὶ δὲ αἰτιατικῆς, οὐ κιρνᾶται. τὰ δὲ θηλυκὰ, οὕτω συναλείφεται. /ἡτέρα. καὶ θητέρα, οὔτε δὲ κατὰ γενικὴν οὐδ' αὐτὰ, οὔτε κατὰ αἰτιατικὴν κιρνᾶται. καὶ οὕτω μὲν ταῦτα. (ῃερς. 125.) Τὸ δὲ τραπέουσιν, ἀντὶ τοῦ πατοῦσιν. ὅθεν φασὶ καὶ τραπηταὶ, οἱ πατοῦντες τὰς σταφυλάς. γίνεται δὲ παρὰ τὸ τρέπειν ἡ λέξις, ἐπεὶ πατουμένη τρέπεται εἰς ἄλλό τι ἡ σταφυλή, εἰς οἶνον γάρ. τρεπομένη ἀπὸ πηκτοῦ εἰς ῥυτόν. Ἰστέον δὲ ὅτι τὸ τραπεῖν μὲν σταφυλὰς, ποιητικὴ τραχεῖα λέξις. τὸ δὲ πατεῖν, ἀνάπαλιν. κοινή τε γάρ ἐστι καὶ λεία. καὶ εὕρηται καὶ αὐτοῦ χρῆσις παρὰ τοῖς παλαιοῖς, ἔν τε πεζολογίᾳ. οἷον. ἐπάτουν ἑξήκοντα σάτυ 1.269 ροι πρὸς αὐλὸν ᾄδοντες μέλος ἐπιλήνιον. ἔτι δὲ καὶ ἐν σκολίῳ. Ὑβρίας γοῦν ὁ Κρὴς κατὰ τὴν τοῦ δειπνοσοφιστοῦ ἱστορίαν, γράφει οὕτως. ἔστι μοι πλοῦτος, μέγα δόρυ. καὶ ξίφος. καὶ τὸ καλὸν λαισήϊον πρόβλημα χρωτός. τούτῳ γὰρ ἀρῶ. τούτῳ θερίζω. τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλου. καὶ ἰδοὺ χρῆσις αὕτη τοῦ πατεῖν ληνοβατικῶς. τὸ δὲ σκόλιον, ἔχει καὶ ταῦτα. τούτῳ δεσπότας κέκλημαι. τοιδὲ μὴ τολμῶντες ἔχειν δόρυ καὶ τὸ καλὸν λαισήϊον, πάντες γόνυ πεπτηῶτες ἐμὸν, κυνέοντι δεσπόταν. καὶ μέγαν βασιλέα φωνέοντι. ἤγουν προσκυνοῦσί με ὡς δεσπότην καὶ προφωνοῦσι μέγαν βασιλέα. σκόλια δὲ τοῦτο τὲ καὶ τὰ κατ' αὐτὸ λέγεται, τῷ μὲν τόνῳ, πρὸς διαστολὴν τοῦ κοινῶς σκολιοῦ ἢ πράγματος ἢ λόγου. τῇ δὲ ἐννοίᾳ, οὐχ' ὅτι σκολιά εἰσι λόγῳ ψόγου, ἀλλὰ κατά τινα μελοποιΐας νόμον. ὃς οἷα εἰκὸς, οὐ πρὸς εὐθὺ ἐμέλπετο ἁπλοϊκώτερον, ἀλλὰ ποικίλως ἐσκολιοῦτο. μυρία δὲ τοιαῦτα περιφέρονται. τὰ μὲν, σκωπτικά. τὰ δὲ, πρὸς ἔρωτα. πολλὰ δὲ, καὶ σπουδαῖα. ἐν οἷς καὶ τὸ παιδεῦον ὀρθότητα φιλικὴν, ἔχον οὕτως. ὅ δὲ καρκίνος ὧδ' ἔφη χαλᾷ τὸν ὄφιν λαβών. εὐθέα χρὴ τὸν ἑταῖρον ἔμεν καὶ μὴ σκολιὰ φρονεῖν. ἤγουν καρκίνος χηλῇ τὸν ὄφιν συσχὼν, εἶπεν ὡς ὀρθὸν χρὴ τὸν φίλον εἶναι καὶ μὴ σκολιόφρονα. παίδευσιν δὲ κἀκεῖνο τὸ σκόλιον ἔχει. εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος τὸ στῆθος διελόντα ἔπειτα τὸν νοῦν ἰδόντα, κλείσαντα πάλιν, ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί. αὐτὸ δὲ χρηστὸν μέν ἐστιν εἰς τὴν Ἀχιλλέως γνώμην ὃς ὁμῶς ἀΐδω πύλῃσιν ἄνδρα ἐχθαίρει ἕτερα μὲν κεύθοντα ἐν φρεσὶν ἄλλα δὲ βάζοντα. ὥρμηται δὲ ἀπὸ Αἰσωπείου μύθου. ἐν ᾧ μέμφεται ὁ Μῶμος τὸν Προμηθέα, ὅτι πλάσας ἄνθρωπον, μὴ προσέπλασε τῷ στήθει καὶ πύλας, ὥστε ἀνοιγομένων αὐτῶν, βλέπεσθαι τὰς φρένας αὐτοῦ. ἀλλ' ἀφῆκε κρυψίφρονα εἶναι. ἔτι παιδεύει κἀκεῖνο εἰς φιλίαν τὸ, σύν μοι πῖνε. συνήβα. συνέρα. συγκανηφόρει. σύν μοι μαινομένῳ μαίνεο. συσσωφρόνει σώφρονι. οὗ περ ἀρχὴ, ἐξ Ὁμήρου. εἰπόντες ἐν ταῖς λιταῖς, ὡς καλόν τοι σὺν ἐμοὶ τὸν, κήδειν. καὶ ἑξῆς. Τὸ δὲ πάροιθεν ὄμφακες, ἀντὶ τοῦ, πρὸ ὀφθαλμῶν. οἷα βλεπόμεναι καὶ μὴ εἰς τὸ ἐπιὸν ἔτος ἐλπιζόμεναι. (ῃερς. 126.) Τὸ δὲ ἄνθος ἀφιεῖσαι, ἑρμηνευτικόν ἐστι τοῦ ὄμφακες. ὄμφακες γάρ εἰσι κατὰ τοὺς παλαιοὺς, αἱ τὸ ἄνθος καὶ τὴν κύπριν μεταβάλλουσαι εἰς σταφυλάς. ἐπετήσιον δέ πως καὶ τὴν σταφυλὴν ἐκεῖ βούλεται εἶναι ὁ ποιητής. εἴπερ τομὲν αὐτῆς, εἰληθερεῖται. τοδὲ, τρυγᾶται. τοδὲ, πατεῖται. ἄλλο δὲ, ἄνθος ἀφίησι. τοδὲ, περκάζει ὅ ἐστι μελαίνεται. δηλοῖ δὲ τὴν τοῦ περκάζειν σημασίαν, καὶ ὁ περκνὸς εἴτε ἀετὸς εἴτε ἄλλό τι. (ῃερς. 127.) Πρασιαὶ δὲ, τόποι λαχανηφόροι, ἀπὸ μέρους τῶν πράσων κληθέντες. ἀφ' ὧν καὶ χρῶμα τὸ πράσιον, περιεκτικὴ δὲ ἡ λέξις ὡς καὶ ἡ ἀχυρμιά. (ῃερς. 128.) Τὸ δὲ γανόωσαι, ἀντὶ τοῦ, γάνος ἐμποιοῦσαι. ὥσπέρ που καὶ χθὼν γελᾶν ἐλέχθη παρὰ τῷ ποιητῇ. καὶ ἐπὶ θαλάσσης δὲ γαληνὰ κλυζούσης τὴν χέρσον, γέλως παρά τισι λέγεται. οὐχ' ὅτι κῦμα γελᾷ, ἀλλ' ὅτι διαχέονται οἱ αὐτὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁρῶντες. μεταγομένου τοῦ πάθους, ἀπὸ τῶν πασχόντων ἐπὶ τὰ ποιοῦντα. οὕτω δὲ καὶ θώρηκες ἐν Ἰλιάδι γανόωντες λέγονται. (ηερς. 129.) Αἱ δὲ κρῆναι, χρήσιμοι τῇ τε πόλει, καὶ τοῖς περὶ τὸν κῆπον. διὸ καὶ αὐτὰς προσιστόρησεν ὁ ποιητὴς διὰ τὸ ἀναγκαῖον τῆς χρήσεως. Ὅρα δὲ ὅτι τὸν ῥηθέντα τετράγυον κῆπον, εἰς τρία διεῖλεν. εἰς δενδροφόρον. καὶ εἰς ἀμπελόφυτον ἣν ἀλωὴν εἶπε κατ' ἐξοχήν. καὶ εἰς λαχανηφόρον. (ηερς. 132.) Τὸ δὲ ἐν Ἀλκινόου, Ἀττικῶς συντέτακται ὡς καὶ τὸ ἐν ᾄδου καὶ τὸ ἐν Κίρκης καὶ ὅσα τοιαῦτα. (ηερς. 137.) Ὅτι καὶ οἱ Φαίακες ὑπνῶσαι μέλλοντες, Ἑρμῇ ἔσπενδον. φησὶ γοῦν περὶ Ὀδυσσέως, ὡς εὗρε τοὺς τῶν Φαιάκων ἡγήτορας, σπένδοντας δεπάεσσιν ἐϋσκόπῳ ἀργειφόντῃ. ᾧ πυμάτῳ σπένδεσκον (ηερς. 138.) ὅτε μνησαίατο κοίτου. καὶ ὡς ὀνειροπομπῷ δὲ καὶ ὑπνοδότῃ ἐκείνῳ ἔσπενδον τηνικαῦτα καιροῦ. πλάττει δὲ ὁ ποιητὴς ἐν τοιαύτῃ ὥρᾳ τὸν Ὀδυσσέα ἱκέτην ἐλθεῖν ἐς Ἀλκινόου, καθὰ καὶ τὸν Πρίαμον ἐν Ἰλιάδι μετὰ δόρπον ἤγαγεν ἱκετεύσοντα εἰς Ἀχιλλέα. ἱλαρώτεροι γὰρ ἐν τοιούτῳ καιρῷ μάλιστα οἱ ἱκετευόμενοι. εἰ μὴ ἄρα κατὰ τὸν Πολύφημον ἐξηγριώνται. οὕτω δὲ καὶ ἐν Πύλῳ θυσίαν εὗρεν εὐτυχῶς ὁ Τηλέμαχος, καὶ γάμον ἐν Λακεδαίμονι. (ηερς. 136.) Τὸ δὲ ἡγήτορας, καὶ μέδοντας εἶπε κατὰ παράλληλον νόημα. ἔφη γάρ. Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας. (ηερς. 138.) Τὸ δὲ ὅτε μνησαίατο κοίτου, ἑρμηνεία ἐστὶ τοῦ, ᾧ πυμάτῳ σπένδεσκον. ἔσπενδον δὲ τῷ Ἑρμῇ πυμάτῳ, ἁπλῶς. εἰ μή τι παρενέπεσε κωλυτικόν. Ὥσπερ ἐνταῦθα μετ' ὀλίγα καὶ Διῒ ξενίῳ σπείσουσι διὰ τὸν ἐλθόντα ξένον οἱ Φαίακες. (ηερς. 139.) Ὅτι ἀσύνηθες τοῖς μεθ' Ὅμηρον τὸ, ἔβη διὰ δῶμα ἤτοι κατὰ δῶμα. ἐκεῖνοι γὰρ διὰ δώματος φασὶν ὡς καὶ ἔβη δι' ἀγορᾶς ἢ διὰ μέσης τῆς 1.270 πόλεως. (ηερς. 140.) Ὅτι ἐπέλευσιν δηλοῖ ἀπροόρατον τὸ, ἔβη πολλὴν ἠέρα ἔχων. ὅτε δὲ ὁ ἐλθὼν ἢ ἐπελθὼν ὁραθείη, οἰκεῖον εἰπεῖν τὸ, καὶ τότε δή ῥ' αὐτοῖο (ηερς. 143.) πάλιν χύτο θέσφατος ἀήρ. ὅ ἐστιν, ἡ ἀορασία. θηλυκὸν δὲ καὶ τοῦτο καθὰ καὶ τὸ, πολλὴν ἠέρα. Ὅτι δὲ διὰ τοῦ ἦτα μὲν αἱ τοῦ ἀέρος πλάγιοι διὰ τοῦ ¯α δὲ ἡ εὐθεῖα μόνη, καὶ ἀλλαχοῦ ἐῤῥέθη. αἰτία δὲ, τὸ μὴ χρῆναι καὶ τὴν εὐθεῖαν διὰ τοῦ ¯η ἔχειν τὴν ἄρχουσαν διὰ τὸ ἐκεῖθεν κακόφωνον ἐκ τοῦ σεσηρέναι τὰ χείλη. διὸ καὶ τοῦ ἀηδίζω καὶ ἀηθέσσω, ἀήδιζον καὶ ἀήθεσσον οἱ παρατατικοὶ ἀεὶ κατὰ τοὺς παλαιούς. Τὸ δὲ πάλιν χύτο, ἀντὶ τοῦ, ὀπίσω τοῦ ἐλθόντος καὶ φανέντος. οἰκεῖον δὲ ἐπὶ ἀέρος τὸ χύειν ὥσπερ καὶ τὸ χέειν διὸ ἔφη. πολλὴν ἠέρα ἣν περίχευεν Ἀθήνη. τουτέστι φρόνησις ἡ προβουλευσαμένη τὸν τοιοῦτον καιρόν. ἢ καὶ ἄλλως, τῶν ἐναντίων ἔχουσα δύναμιν, τοῦ τε φωσφορεῖν, καὶ τοῦ ἠέρα χέειν. (ηερς. 142.) Ὅτι τὸ γουνάζεσθαι περιφράζων, ἀμφὶ γούνασι βάλλειν χεῖρας. φησίν. ὅ ἐστι ῥίπτειν ἢ τιθέναι. ὡς καὶ ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ ἔφη. προϊὼν δὲ, καὶ (ηερς. 145.) λιτανεύειν τὸ γουνάζεσθαι λέγει ἐν τῷ, θαύμαζον δ' ὁρόωντες, ὁ δὲ λιτάνευε. τὸ δ' αὐτὸ, καὶ γούνατα ἱκάνειν φησὶν, εἰπών. σά τε γούναθ' ἱκάνω πολλὰ μογήσας. (ηερς. 148.) Ὅτι εὐχὴ πρέπουσα εἰς ἄρχοντας τὸ οἷς θεὸς ὄλβια δοίη ζωέμεναι. καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος κτήματ' ἐν μεγάροισι. γέρας θ' ὅ, τι δῆμος ἔδωκε. (ηερς. 150.) Καὶ ὅρα τὸ δῆμος, ὡς ἐπὶ δημοκρατίας ῥηθέν. ἵνα καὶ δημοκρατεῖσθαι δοκοῖεν οἱ Φαίακες σὺν τῷ βασιλικῶς καὶ ἀριστοκρατικῶς διοικεῖσθαι. (ηερς. 149.) Ὅρα δὲ καὶ ὅτι τὸ τῶν ἐπιτρόπων ὄνομα, ἐξ Ὁμήρου ἔχει τὴν ἀρχήν. τοιαύτης γὰρ ἐννοίας τὸ, παισὶν ἐπιτρέπειν κτήματα καὶ ὅτι ἔθος παλαιὸν, καὶ ἀξιωμάτων τοὺς παῖδας κληρονομεῖν. ἀξιωματικὸν γὰρ πάντως τὸ γέρας. (ηερς. 151.) Ὅτι τὸ, αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνετε θᾶσσον, ἐπειδὴ δηθὰ φίλων ἄπο πήματα πάσχω. εἴποι ἂν ὁ προπεμπτικῆς που ἐπικουρίας δεόμενος. Ὀδυσσεὺς δὲ νῦν τοῦτο φησὶν οὐ θέλων ὀψέ ποτε χρόνου πεμφθῆναι ὡς ἡ Κίρκη αὐτὸν ἐξέπεμψε καὶ ἡ Καλυψὼ, ἀλλὰ ὀτρυνθῆναι τὴν πομπὴν, διά τε τὸ ἐπὶ μακρὸν ἐκ τῆς πατρίδος ἀπόδημον αὐτοῦ, καὶ μάλιστα ὅτι ἐθέλει ὁ ποιητὴς ταχὺ τῶν παρέργων ἀπαλλαγεὶς γενέσθαι τῶν ἐφεξῆς. (ηερς. 153.) Ὅτι ἄλλως μὲν ἐπ' ἐσχάρῃ προελέχθη καθῆσθαι ἡ δέσποινα Ἀρήτη,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄλλως δ' ἐνταῦθα ὁ ξένος Ὀδυσσεύς. ἡ μὲν γὰρ, ὡς εἰκὸς, τρυφερῶς εἶχε τοῦ καθῆσθαι. ὁ δὲ ἕζετο ἐπ' ἐσχάρῃ ἐν κονίῃσι πὰρ πυρί. ὃ φθάσας ἔφη ἐν πυρὸς αὐγῇ. μετ' ὀλίγα δὲ, φησὶν ὅτι χαμαὶ ἧστο ἐπ' ἐσχάρῃ ἐν κονίῃσι, διασαφῶν εἰς πλέον οὕτω τὸ πρᾶγμα διὰ τοῦ χαμαὶ, ὃ δηλοῖ τὸ, χοῒ ἅμα. ἤτοι ὁμοῦ ταῖς κόνεσιν. ὅπερ οὐκ ἦν καὶ τῇ Ἀρήτῃ, διὰ τὸ ὡς εἰκὸς ἐπὶ θρόνου καθῆσθαι. καὶ αὐτοῦ, ἀργυροήλου. ἐφ' οἵου καὶ Ὀδυσσεὺς καθεσθήσεται ἐν τοῖς ἑξῆς. ἀρχαϊσμοῦ δὲ, τὸ τοὺς ἐπήλυδας ἅμα εἰσόδῳ χαμαὶ καθῆσθαι. ὃ καὶ αὐτὸ παρὰ Λατίνοις φυλάσσεται. γίνοιτο δ' ἂν ἐσχάρα ἡ κυρίως, παρὰ τὸ ἔχειν ἀρὰς ὅπέρ ἐστιν εὐχὰς τὰς καθημέραν. ἵνα ᾖ ἐχάρα, καὶ πλεονασμῷ τοῦ σίγμα ἐσχάρα. ἢ παρὰ τὸ σχεῖν ἀρὰς, σχάρα καὶ πλεονασμῷ τοῦ ¯ε, ἐσχάρα. κατὰ τὸ, χθὲς ἐχθές. δοκεῖ γὰρ ταυτὰ εἶναι ἑστία καὶ ἱστία καὶ ἐσχάρα. ἐφ' ὧν ἀραί τε καὶ θυσίαι Διῒ ἑρκείῳ καὶ ἱστιούχῳ ἐγίνοντο. βωμοῦ δὲ διαφέρει ἐσχάρα, καθότι ὁ μὲν, ὑπερέστηκε καὶ ὡς εἰπεῖν ἀναβέβηκεν. ἡ δὲ, πρόσγειός ἐστι. βαῦνος λεγομένη ἕως καὶ νῦν παρὰ τοῖς ἐν Πελοποννήσῳ δωρίζουσιν. Ὅτι δὲ οὐ μόνον κατὰ γῆς ἐσχάραι πυρὸς ἦσαν ἀλλὰ καὶ περιφορηταὶ, δῆλον ἐκ τοῦ, ἐπόμπευσαν καὶ θυμιατήρια χρυσᾶ καὶ ἐσχάραι ἐπίχρυσοι. λέγονται δὲ καὶ τραυμάτων ἐσχάραι. ὅθεν καὶ ἀπεσχαροῦσθαι, τὸ αὐτὰς ἐξαιρεῖν. Ἀθήναιος δὲ, καὶ ἐσχάριον παραγώγως οἶδε δι' οὗ καθέλκονται νῆες εἰς θάλασσαν ὅθεν ἡ ἀπερίεργος γλῶσσα παραφθείρουσα, τὸ καινὸν πλοῖον ἀπὸ σκαρίου εἶναί φησι. βουλομένη πάντως, ἀπὸ ἐσχαρίου εἰπεῖν. πρὸς ὁμοιότητα δὲ ἴσως ἐσχαρίου τοιούτου, καὶ ἡ κοινότερον λεγομένη μαγειρικὴ ἐσχάρα, καὶ ἐσκεύασται καὶ ὠνόμασται. Ἰστέον δὲ ὅτι τὸ ἐπ' ἐσχάρῃ, ταυτόν ἐστι τῷ, παρ' αὐτῇ τῇ ἐσχάρα. διὸ καὶ ὁ ποιητὴς ἐπήγαγε διασαφητικῶς τὸ, πὰρ πυρί. ἡ γὰρ ἐπ¯ι πρόθεσις κατὰ τοὺς παλαιοὺς, ποτὲ μὲν, οὕτω δηλοῖ τὴν παρ¯α πρόθεσιν. λαμβάνεται δέ ποτε καὶ ἀντὶ τῆς πρ¯ος οἷον. τὴν μὲν, ἔπειτ' ἐπὶ βωμὸν ἄγων. καὶ ἀντὶ τῆς ¯εν. ὡς ἐν τῷ, ἐπουράνιος ὁ ἐν οὐρανῷ καὶ ἀντὶ τοῦ, ἔπεστιν. οἷον. οὔτοι ἔπι δέος, καὶ ἐκ περισσοῦ. ὅθεν ἐπίουρος καὶ ἐπιβουκόλος. βούλεται δὲ καὶ τὴν κατὰ δηλοῦν ἐν τῷ, ἐπίσκοπος ὁ κατάσκοπος. σημαίνει δὲ πάντως καὶ ὑστεροχρονίαν ἐν τῷ, ἐπίλογος. καί τινα δὲ προσθήκην ἐν τῷ, ἐπίκουρος καὶ ἐπιβολή. (ῃερς. 160.) Ὅρα δ' ἐν τοῖς ῥηθεῖσι, τὸ χαμαὶ ἧσθαι 1.271 πάνυ διαφέρον τοῦ χαμαὶ εὐνάζεσθαι. ἐξ οὗ χαμαιευνάδες σύες. Σημείωσαι δὲ ὅτι πρωτότυπον τῆς κονίας ἡ κόνις. αὐτὴ δὲ γίνεται ἀπὸ τοῦ κνῶ κατὰ Ἡρῳδιανόν. ἵνα ᾖ κνίς. καὶ ἐπεὶ οὐδέ ποτε λέξις Ἑλληνικὴ μονοσύλλαβος βραχύνεται δίχα τοῦ τίς, πλεονάζει τὸ ¯ο καὶ γίνεται κόνις, ἀφ' ἧς ἡ κονία. ὥσπερ δηλαδὴ καὶ ἀπὸ τοῦ θῶ, γίνεται θός, καὶ πλεονασμῷ τοῦ ¯ε διὰ τὴν αὐτὴν αἰτίαν, θεός. οὕτω δὲ καὶ ἐκ τοῦ τλῶ, τλός. καὶ ὅτλος, ἤτοι πόνος. μόχθος. ἡ δὲ χρῆσις τοῦ κνῶ καὶ ἐν Ἰλιάδι ἐν τῷ, κνῆ τυρόν. ὅ ἐστιν ἔκοψεν. ἀφ' οὗ ὡς ἐῤῥέθη, καὶ ἡ κόνις, ὡς ἐκ παχυτέρου σώματος κνησθεῖσα. καὶ κατὰ Ἡρῳδιανὸν εἰπεῖν, εἰς λεπτομερῆ οὐσίαν χωρήσασα. Ἐνταῦθα δὲ ἐκ βαλβίδων ὅ φασι τὴν ἐπὶ φιλοξενίᾳ σπουδὴν τῶν Φαιάκων δεικνὺς ὁ ποιητὴς, πλάττει τινὰ λέγοντα ὡς οὔτοι τόδε κάλλιον, οὐδὲ ἔοικε, τὸν ξένον οὕτω καθῆσθαι. ἦν δὲ ὁ εἰπὼν, οὐχ' ὁ τυχών. ἀλλά τις γέρων ἥρως Ἐχένηος. ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν. (ῃερς. 157.) καὶ μύθοις ἐκέκαστο, παλαιά τε πολλά τε εἰδώς. χρήσιμον δὲ τοῦτο, εἰς ἔπαινον σοφοῦ γέροντος. σεμνότερον φρασθὲν ἤπερ τὸ, ὃς δὴ γήραϊ κυφὸς ἔην καὶ μυρία ᾔδη. (ῃερς. 151.) Ὅτι δὲ τὰ πλείω τῶν Φαιακικῶν ὀνομάτων ναυτικὰ ἔκ τε νηῶν καὶ θαλάσσης εἰλημμένα, προϊὼν δείξει ὁ ποιητής. νῦν δὲ οἴδαμεν Ἐχένηον τοῦτον. καὶ μετ' ὀλίγα, κήρυκα Ποντόνοον. εἰ δὲ ἐκ τοῦ Ἐχενήου τούτου ὁ ναυκράτης ἰχθὺς ἐπενοήθη κληθῆναι ἐχενηῒς, οἴδασιν οἱ ὀνομάσαντες. (ῃερς. 159.) Τὸ δὲ οὔτοι κάλλιον, ἁπλῶς ἐῤῥέθη ἀντὶ τοῦ, οὐ καλόν. Εἰ δὲ μὴ ἀνέστησεν αὐτίκα τὸν Ὀδυσσέα ὁ βασιλεὺς Ἀλκίνοος, ἐπίτηδες αὐτὸ πεποίηκεν. ἵνα μὴ δόξῃ ποιεῖν οἴκοθέν τι εἰς τὸν ξένον. ἀλλ' ἄρτι ὀνειδισθεὶς προκαλέσηται ὕστερον τοὺς Φαίακας δώροις τοῖς δηλωθησομένοις τὸν φίλον ξένον δεξιώσασθαι. ἔστι δὲ ὄνειδος τοῦ δηλωθέντος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἐχενήου πρὸς τὸν βασιλέα, τὸ τὸν ξένον μὲν, χαμαὶ ἧσθαι. τοὺς δὲ Φαίακας, τὸν τοῦ βασιλέως μῦθον προσδεδέχθαι. ὅπερ ἐκεῖνος μαθὼν ὦρσεν ἀπ' ἐσχαρόφι τὸν Ὀδυσσέα καὶ ἐπὶ θρόνου εἶσε φαεινοῦ, ὃν ἀργυρόηλον ἀνωτέρω εἶπεν, υἱὸν ἀναστήσας Λαοδάμαντα. ὃν ἐπιθετικῶς ἀγαπήνορα λέγει, ὅ ἐστιν ἀνδρεῖον. Καὶ ὅρα ὡς οὐ μόνον ἐν Σπάρτῃ καθ' Ἡρόδοτον γέρας βασιλεῦσι πρώτους ἵζειν ἐπὶ τῷ δείπνῳ, ἀλλ' ἰδοὺ καὶ ὁ βασιλεὺς Ἀλκίνοος τοῦτο εἰς τὸν Ὀδυσσέα ποιεῖ. σεμνότερον δὲ αὐτὸ τῶν παρὰ τῷ Νέστορι. ἐκεῖ μὲν γὰρ ὁ τοῦ Ὀδυσσέως Τηλέμαχος, παρὰ τῷ Νεστορίδῃ Θρασυμήδει κάθηται καὶ τῷ ἐκείνου πατρί. ἐνταῦθα δὲ, ὁ βασιλεὺς τὸν υἱὸν ἀναστήσας ὅς οἱ πλησίον ἶζε μάλιστα δέ μιν φιλέεσκεν, ἐκάθιζε τὸν ξένον. (ῃερς. 163.) Καιρία δὲ λέξις τὸ ἀναστῆναι, διὸ δὶς αὐτῇ ἐνταῦθα κέχρηται. Καὶ ὅρα ὅτι τὲ εὐξάμενος Ὀδυσσεὺς φίλος ἐλθεῖν τοῖς Φαίαξι καὶ ἐλεεινὸς, ἄρχεται ἤδη τυγχάνειν τούτου, καὶ ὅτι ἀπὸ τῶν ἄρτι, μαρτυρία καταβάλλεται τοῦ πρωτεύειν ἐν τοῖς τῶν Φαιάκων ἀρίστοις τὸν Ἀλκίνοον. (ῃερς. 164.) Ὅτι οἶνον ἐπικρῆσαι φησὶν ἐνταῦθα, ἀντὶ τοῦ ἐπὶ τῷ προκερασθέντι καὶ ἕτερον κεράσαι. ὅπερ καὶ ἀνακεράσαι ἐστὶν ὡς ἐδήλωσεν ὁ ποιητὴς ἐν τῷ, ἀνὰ κρητῆρα κέρασεν. (ῃερς. 165.) Ὅτι σεμνύνων κἀνταῦθα ὁ ποιητὴς γοργῶς τὴν ἱκεσίαν, ἤτοι τὰς λιτὰς, φησὶν ὅτι θεὸς ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. τοῦτο δὲ καὶ ὑποκαταβὰς, ἀπαραλλάκτως οὕτω φησί. ταυτολογῶν συνήθως εἰς καίριον, ἵνα ὁ λόγος ἐμμείνῃ τῷ ἀκροατῇ. διὰ δὲ τὴν θεόθεν ἐφορείαν ταύτην τῶν ἱκετῶν, καὶ ὁ ἱκέσιος ἐῤῥέθη καὶ ὁ ξένιος θεός. Ἐκ δὲ τοῦ ὀπηδεῖ, γίνεται καὶ ὄνομα ὁ ὀπηδὸς παρ' Ἀττικοῖς. κοινῶς δέ γε, ὀπαδός. ὃ δηλοῖ τὸν ἀκόλουθον. (ῃερς. 166.) Ὅτι φιλόφρονες λόγοι τὸ, δόρπον δὲ ξείνῳ ταμίη δότω ἔνδον ἐόντων. ἃ καὶ παρεόντα λέγονται ὡς δηλοῖ τὸ, χαριζομένη παρεόντων. (ῃερς. 179.) Φιλόξενον δὲ καὶ τὸ, κρητῆρα κερασσάμενος, μέθυ νεῖμον πᾶσιν ἀνὰ μέγαρα. Ἔστι δὲ ἐτυμολογικοῦ τρόπου τὸ, κρητῆρα κερασσάμενος. Τὸ δὲ μέθυ ἑρμηνεύων, ἐπάγει. μελίφρονα οἶνον ἐκίρνα. Ὅρα δὲ τὸ νεῖμον, οὐ γὰρ πάνυ σύνηθες τὸ ῥῆμα ὡς οὐδὲ τὸ ἀνάτειλον καὶ τὰ τοιαῦτα. νεῖμαι γὰρ καὶ ἀνάτειλαι τὸ κοινότερον. (ῃερς. 188.) Ὅτι δημοτικὸν τὸ, νῦν μὲν δαινύμενοι κατακείετε οἴκαδ' ἰόντες. ἠῶθεν δὲ, γέροντας ἐπὶ πλέονας καλέσαντες, τό δέ τι ποιήσομεν. (ῃερς. 190.) οἷον καὶ τὸ, ξεῖνον ἐνὶ μεγάροις ξεινίσομεν. ὃ καὶ αὐτὸ ἐτυμολογία ἐστίν. Ἀλκίνοος δὲ τοῦτο φησίν. οὐ δημοκρατίαν τοσοῦτον δηλῶν ὅσον ἀριστοκρατίαν, εἰ γέροντας τοὺς ἐντίμους νοήσει τις. (ῃερς. 191.) Ὅτι φιλοξενίας λόγος καὶ τὸ, ἔπειτα δὲ καὶ περὶ πομπῆς μνησόμεθα. ὡς ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης, πομπῇ ὑφ' ἡμετέρῃ ἣν πατρίδα γαῖαν ἵκηται χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστί. μή δέ τι μεσσηγύς γε κακὸν (ῃερς. 195.) καὶ πῆμα πάθῃσι, πρίν γε τὸν, ἧς γαίης ἐπιβήμεναι. ἔνθα δ' ἔπειτα πείσεται ἃ μέλλει παθεῖν. Καὶ ὅρα οἵα 1.272 ἡ Φαιακικὴ πομπὴ τῶν ξένων. ἄνευ δηλαδὴ πόνου καὶ ἀνίας. ἃ εἰ καὶ ἔχουσιν οἱ ἄλλοι ναυτικοὶ, οὐ μὴν καὶ οἱ Φαίακες. Τὸ δὲ κακὸν καὶ πῆμα, ἐν ἄλλοις πολλαχοῦ δίχα συνδέσμου κακὸν πῆμα λέγεται. (ῃερς. 197.) Ὅτι ἐν τῷ, ἅσσά οἱ αἶσα κατακλῶθές τε βαρεῖαι, γεινομένῳ νήσαντο λίνῳ ὅτε μιν τέκε μήτηρ, τοὺς παρὰ τοῖς ὕστερον γενεθλιακοὺς ἔοικε παραλαλεῖν ὁ ποιητής. Τὸ δὲ κλῶθες ἢ κατακλῶθες, μεταπλασμὸν ἔπαθεν ἐκ τοῦ, αἱ κλωθοί. οὗ εὐθεῖα ἡ κλωθώ. δηλοῖ δὲ τὰς Μοίρας, παρονομασθείσας ἀπὸ μιᾶς αὐτῶν τῆς Κλωθοῦς. καὶ οὕτω μέν τινες. ἴσως δὲ μᾶλλον, οὐχ' ἁπλῶς Μοῖραι αἱ κατακλῶθες. ἀλλὰ αἶσα μὲν, ἡ ἁπλῶς μοῖρα. κατακλῶθες δὲ, αἱ μὴ εὐτυχεῖς. διὸ καὶ βαρεῖαι λέγονται, οὐ μὴν ὄλβιοι κατὰ τὸ, ὄλβον ἐπικλώσειε γαμέοντί τε γεινομένῳ τε. ἐτυμολογία δὲ τοῦ (ῃερς. 198.) κατακλῶθες, τὸ, νήσαντο λίνῳ ὅ ἐστιν ἐπέκλωσαν. γράφεται δὲ τὸ, κατακλῶθές τε βαρεῖαι, καὶ κατακλώθησι βαρεῖα, αἶσα δηλαδὴ, κατά τινα τῶν ἀντιγράφων. οὐ μέντοι καλῶς. ἔχει δέ τι καὶ ἀστεῖον κατὰ τροπὴν τὸ βαρεῖαι. οὐ γάρ ἐστι κλωθῆναι ὡς ἐπὶ πολὺ λίνον, μὴ βρίθον κάτω, καὶ μάλιστα τὸ ἐν ἀτράκτοις. Λίνον δὲ μοιρῶν συμβολικῶς, αἱ τῶν πραγμάτων στροφαὶ καὶ τὰ ἐν βίῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑφαινόμενα. Ἰστέον δὲ ὡς εἴπερ μὴ ἐγράφετο κατακλῶθές τε βαρεῖαι ἀλλὰ κατακλώθησι βαρεῖα, ἦν ἂν τὸ ῥῆμα Ῥηγίνων διαλέκτου. οἳ καθ' Ἡρακλείδην τὰ τρίτα τῶν ὁριστικῶν περισπωμένων τῆς πρώτης συζυγίας καὶ τῶν βαρυτόνων δὲ ῥημάτων, κατὰ τὸ ἑνικὸν εἰς τὴν σ¯ι συλλαβὴν περαιοῦσι τοῦ ¯η παραλήγοντος. τὸ γὰρ φιλεῖ καὶ νοεῖ καὶ λέγει καὶ φέρει, φίλησι φησὶ καὶ νόησι καὶ λέγησι καὶ φέρησι. τοιοῦτον δὲ καὶ τὸ λαμπρὸν παμφαίνησι παρ' Ὁμήρῳ. ἅπαξ φησὶ χρησαμένῳ τῇ διαλέκτῳ ἐπὶ τούτου. καλεῖται δὲ καὶ τὸ σχῆμα Ἰβύκειον ὑπὸ τῶν γραμματικῶν, διὰ τὸν μελοποιὸν δηλαδὴ Ἴβυκον φιληδήσαντα τοιαύτῃ γλώσσῃ. εἰ δή φησι καὶ τὸ ὦ τουτέστιν ὑπάρχω πρώτης ἐστὶ συζυγίας κατὰ τὸ φιλῶ, καὶ ἔστι τρίτον αὐτοῦ εἶ, δωριζόμενον κατὰ Ῥηγίνους, γένοιτ' ἂν ὁμοίῳ λόγῳ ἐκ τούτου ἦσιν ὁ ἐνεστώς. Ἰστέον δὲ ὅτι οὐ περὶ τρίτων αὐθυποτάκτων ἔστιν ὁ λόγος ὁποῖον τὸ λάβῃ λάχῃ ἐξ ὧν λάβησι λάχησιν, αὐτὰ γὰρ καὶ ὅσα τοιαῦτα, οὐ Ῥηγίνων εἰσὶν ἀλλὰ Ἰώνων. Τὸ δὲ ὅτέ μιν τέκε μήτηρ, πρὸς σαφήνειαν ἐῤῥέθη. ἵνα τὸ γεινομένῳ, μὴ νοηθείη ἀντὶ τοῦ γεννῶντι καθά τινες αὐτὸ πρὸ τούτων ἐνόησαν ἐν τῷ, γαμέοντί τε γεινομένῳ τε. ἀλλ' εἴη ἐνταῦθα γεινόμενος, ὃν τέκε μήτηρ. (ῃερς. 199.) Ὅτι θεοφιλεῖς τοὺς Φαίακας ἐθέλων ὁ ποιητὴς εἰπεῖν, πλάττει τὸν βασιλέα λέγοντα (ῃερς. 0.) ὡς εἴπερ τις ἀθάνατος φαντάσας ἑαυτὸν εἰς ξένον ἄρτι μετὰ δόρπον ἐνεφανίσθη, ἄλλο τι τόδε θεοὶ περιμηχανόωνται. διὰ τὸ ἀσύνηθες δηλαδή. αἰεὶ γὰρ τὸ πάροσγε θεοὶ φαίνονται ἐναργεῖς ἡμῖν, εὖτε τουτέστιν ὁπηνίκα ἔρδομεν ἀγακλειτὰς ἑκατόμβας. δαίνυνταί τε πὰρ ἄμμι καθήμενοι, ἔνθά περ ἡμεῖς. εἰ δ' ἄρα τις καὶ μοῦνος ἰὼν ξύμβληται ἤγουν συναντήσει ὁδίτης, (ῃερς. 4.) οὔτι κατακρύπτουσιν. ἀλλὰ δηλονότι ἐναργεῖς καὶ αὐτῷ φαίνονται, ὡς καὶ τῷ Ὀδυσσεῖ πρὸ ὀλίγων ἡ Ἀθηνᾶ. (ῃερς. 5.) εἶτα καὶ τὴν αἰτίαν τῆς τοιαύτης ἐναργείας λέγων, ἐπάγει. (ῃερς. 6.) ἐπεί σφισιν ἐγγύθεν εἰμὲν τουτέστιν ἐσμὲν, ὥσπερ Κύκλωπές τε καὶ ἄγρια φῦλα Γιγάντων. ὅπερ ὅτι ὁμοιότης ἐστὶ πεπορισμένη ἐξ ἀνομοιότητος, προγέγραπται. ῥητέον δὲ καὶ νῦν ὅτι τοιοῦτός ἐστιν ἐνταῦθα ὁ τῆς ὁμοιόσεως λόγος, ὡς εἴ τις εἴποι τόσον εἶναι Σωκράτην ἐγγύθι τῷ Πλάτωνι κατ' ἀρετὴν, ὅσον Ἄνυτος καὶ Μέλιτος ἀλλήλοις κατὰ κακίαν. οὕτω καὶ ἐνταῦθα ἐγγύθεν Φαίακες θεοῖς κατὰ δικαιοσύνην, ὡς Κύκλωπες καὶ Γίγαντες ἀλλήλοις κατὰ ἀδικίαν. ἐνταῦθα δὲ καὶ τὸ (ῃερς. 5.) θεοῖς ἐγγύθεν εἶναι, ὅμοιόν ἐστι τῷ, ἀγχιθέους αὐτοὺς εἶναι. ὡς ἐν τῇ ¯ε ῥαψῳδίᾳ γέγραπται. (ῃερς. 199.) Ἰστέον δὲ ὅτι παρὰ τὸν καιρὸν ἐνταῦθα τῷ Ἀλκινόῳ ἡ ἀπορία ἐστίν. οὐ γὰρ εἰ ἐπεφάνη θεὸς τεθαύμακεν, ἀλλ' εἴπερ ἐν τοιούτῳ καιρῷ. (ῃερς. 8.) Ὅρα δὲ ὡς οὐδὲ ἡ Ναυσικάα ὑπαίτιος εἰ θεὸν τὸν Ὀδυσσέα ὑπώπτευσεν, εἴγε καὶ Ἀλκίνοος τοιοῦτόν τι περὶ αὐτοῦ ὑπονοεῖ. ὁ μέντοι Ὀδυσσεὺς ὑπεξαιρῶν τὴν περὶ ἑαυτοῦ θειοτέραν ὑπόνοιαν ὡς θεοῦ μὲν ὂν τὸ μακάριον αὐτὸς δὲ ἀθλίως πεπραγώς, φησὶν ἃ δὴ ἁρμόττει παντὶ ἄλλως μὲν δυστυχεῖ νομιζομένῳ δὲ εὐπραγεῖν, παρῳδηθέντα οὕτω πως. ἄλλο τί τοι μελέτω φρεσίν. οὐ γὰρ ἔγωγε ἀθανάτῳ ἔοικα ὃς οὐρανὸν εὐρὺν ἔχει, οὐ δέμας οὐδὲ φυὴν, ἀλλὰ θνητοῖσιν, οὕς τινας ὑμεῖς ἴστε μάλιστ' ὀχέοντας ὀϊζύν, τοῖσί κεν ἐν ἄλγεσιν ἐξισωσαίμην. καὶ μᾶλλον δ' ἂν, ἐγὼ κακὰ μυθησαίμην ὅσσά γε δὴ ξύμπαντα θεοῦ ἰότητι μόγησα. (ῃερς. 213.) τοῦτο δὲ προαναφώνησίς ἐστι τῶν ἑξῆς. ὡς πολλὰ τοῦ Ὀδυσσέως μυθησομένου περὶ τῶν καθ' ἑαυτόν. (ῃερς. 8.) Ὅρα δὲ ὡς οὐκ εἶπεν ὅτι οὐ γὰρ 1.273 ἔγωγε ἀθάνατός εἰμι, ἀλλ' ὅτι οὐδὲ ἔοικα οὔτε δέμας οὔτε φυήν. ἀλλ' οὐδὲ ἀνθρώπων τοῖς μακαριωτέροις, ἀλλὰ τοῖς ἀνάπαλιν. (ῃερς. 1.) Τὸ δὲ φαίνονται ἐναργεῖς, ἔοικέ πως ἐτυμολογικῷ τρόπῳ. ἐναργὲς γὰρ, τὸ οἱονεὶ λευκὸν καὶ διατοῦτο φανερὸν ἢ φαεινόν. ὧν πρωτότυπον τὸ φαίνειν ἐστί. δῆλον δὲ ὡς ἐξ Ὁμήρου κατῆρξε τὸ, θείας λέγειν ἐναργείας, τὰς θείας ἐπιφανείας. ὡς ταυτὸν ὂν ἐνάργειαν εἰπεῖν καὶ ἐμφάνειαν. συντελεῖ δέ τι πρὸς ταῦτα καὶ τὸ, οὔτι κατακρύπτουσι. τὸ γὰρ μὴ κρυπτόμενον, καὶ ἐναργὲς εἶναι δοκεῖ καὶ φαίνεσθαι λέγεται. (ῃερς. 2.) Τὸ δὲ ἔρδειν ὅτι δασύνεται ὡς ἀπὸ τοῦ ῥέζω, δῆλον καὶ ἐκ τῆς ἐνταῦθα συναλιφῆς. φησὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γάρ. εὗθ' ἔρδομεν ἀγακλειτὰς ἑκατόμβας. (ῃερς. 211.) Ὀχέειν δὲ ὀϊζὺν, τὸ ὀχεῖν. φέρειν. βαστάζειν. τοιοῦτον καὶ τὸ, οὐδέ τι σὲ χρὴ νηπιάας ὀχέειν. Ἰστέον δὲ ὅτι τε τὸ, ὀχέοντας ὀϊζὺν, περίφρασίς ἐστι τοῦ ὀϊζυρούς. καὶ ὅτι ἐκ μεταφορᾶς ἀχθοφορικῆς εἴρηται. καὶ ὅτι τὸ ὀχεῖν, ὀκχεῖν παρὰ Πινδάρῳ εὕρηται, λόγῳ τοιούτῳ. ἄδεια τοῖς Αἰολεῦσιν ἦν ἤδη δὲ καὶ τοῖς Ἴωσι καὶ ὅλως εἰπεῖν ταῖς γλώσσαις, διπλάζειν σύμφωνα, ὡς δῆλον ἐκ τοῦ ἔδδεισεν. ἔννεπεν. ὅππως. ἡμιπέλεκκα. Περδίκκας τὸ κύριον καὶ ἄλλα μυρία, δίχα γε τῶν δασέων αὐτὰ γὰρ οὐκ ἐξῆν διπλάζεσθαι. οἷα μὴ εὑρισκομένης λέξεως Ἑλληνικῆς ληγούσης εἰς δασύ. διὸ εἴπου καὶ ἐχρῆν ἀναγκαίως τὰ δασέα διπλοῦσθαι, μετέπιπτεν εὐθὺς τὸ δασὺ τῆς διπλώσεως εἰς τὸ ἀντίστοιχον ψιλόν. οἷον. βάζω βάξω βέβαχα βάχος καὶ βάχαι αἱ τροφοὶ αὐτοῦ. διπλουμένου δὲ τοῦ χ' καὶ οὕτως ἀηδῆ ἐρυγὴν ἐκπέμποντος τρέπεται τὸ διπλωθὲν δασὺ εἰς τὸ αὐτοῦ ἀντίστοιχον καὶ γίνεται Βάκχος καὶ Βάκχαι. τοιοῦτον δὲ καὶ ὁ Ἴακχος. οὐκοῦν, ὅμοιον καὶ τὸ ὀκχῶ Πινδαρικῶς. τὸ δ' αὐτὸ γίνεται καὶ ἐπὶ τοῦ κὰπ φάλαρα, ὡς ἐν τοῖς εἰς τὴν Ἰλιάδα δηλοῦται σαφῶς. ἔτι δὲ καὶ ἐπὶ τοῦ κάτθανεν, ὅθεν καὶ οἱ θεραπεύοντες τὸν πυῤῥιχισμὸν τοῦ, Τρῶες δ' ἐῤῥίγησαν ὅπως ἴδον αἰόλον ὄφιν. καὶ ἀναιδεσάμενοι διπλάσαι τὸ δασὺ ¯φ, οὐκ ἐτόλμησαν οὕτω προαγαγεῖν τὴν Ἑλληνικὴν λέξιν, ἀλλὰ ὄπφιν ἔγραψαν. (ῃερς. 212.) Τὸ δὲ ἐξισωσαίμην ταυτὸν τῷ ἐρίσαιμι ὅπερ ἐγράφη ἐν τῷ, ἤ κέν τις μοι ἐρίσσεται ἠὲ καὶ οὐκί. καίρια δὲ καὶ ἐπιφανῆ πάρισα ὡς ἐν τέλει στίχων κείμενα, τὸ ἐξισωσαίμην καὶ τὸ μυθησαίμην. (ῃερς. 215.) Ὅτι πεινῶντος λόγος τὸ, ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ. τουτέστι βλαπτόμενον. (ῃερς. 216.) ὃ προκλητικὸν εὐθὺς γίνεται γνωμικοῦ λόγου τοιούτου. οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο ἔπλετο, ἥ ἐκέλευσεν ἕο τουτέστιν ἑαυτῆς μνήσασθαι ἀνάγκῃ, καὶ μάλα τειρόμενον καὶ ἐν φρεσὶ πένθος ἔχοντα. (ῃερς. 219.) εἶτα ὥσπερ ὁ Μενέλαος εἰπὼν γνωμικῶς ἀρίγνωτον εἶναι τὸν ὄλβιον ἄνδρα, ἐπήγαγεν ὡς νῦν Νέστορι ἔδωκε θεὸς τὰ καὶ τὰ, οὕτω καὶ ἐνταῦθα Ὀδυσσεὺς ἐκ τοῦ καθόλου καταβὰς ἐπὶ τὸ μερικὸν φησίν. ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν. ἡ δὲ μάλ' αἰεὶ ἐσθέμεναι κέλεται καὶ πινέμεν. ἐκ δέ με πάντων ληθάνει ὅσσ' ἔπαθον, (ῃερς. 2.) καὶ ἐνιπλήσασθαι ἀνώγει. Καὶ ὅρα κἀνταῦθα τὸ κελεύειν ὡς ἐπὶ δεσποίνης τινὸς λεχθὲν τῆς γαστρός. ὅτι καινότερον πέφρασται τὸ, οὐ γάρ τι στυγερῇ ἐπὶ (ῃερς. 216.) γαστέρι κύντερον. ἤγουν οὐδὲν γαστρὸς κύντερον τουτέστι κυνεώτερον. ἀναιδέστερον. χεῖρον. Ὅτι δὲ Λάκωνες μὲν τὰς γογγυλίδας Βοιωτοὶ δὲ τὰς κράμβας, γαστέρας ἐκάλουν, ἐν τοῖς τοῦ δειπνοσοφιστοῦ δηλοῦται. παρ' ᾧ καὶ Τίμων γράψας περὶ ἐπικούρου, οὐ στυγερὴν γαστέρα ἔφη Ὁμηρικῶς ἀλλὰ λαμυρόν. οἷον γαστρὶ χαριζόμενος. τῆς, λαμυρώτερον οὐδέν. (ῃερς. 221.) Τὸ δὲ ἐκληθάνει, πρωτότυπον μέν ἐστι τοῦ ἐκλανθάνει ὡς καὶ ἀλλαχοῦ ἐφάνει. ἔστι δὲ ὅμοιον πρὸς τὸ ψεύδειν. ὥσπερ γὰρ ψεύδειν τὸ ποιεῖν ψεύδεσθαι, οὕτως ἐκληθάνειν, τὸ ποιεῖν λανθάνεσθαι. (ῃερς. 222.) Ὅτι μυριαχοῦ παραφράζων Ὅμηρος ἑαυτὸν, ποιεῖ τοῦτο κἀνταῦθα. καὶ φθάσας εἰπεῖν τὸ, αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνετε καὶ ἑξῆς τοὺς προσημειωθέντας δύο στίχους, φησὶν ἐνταῦθα. ὑμεῖς δ' ὀτρύνεσθε ἅμ' Ἠοῖ φαινομένηφι, ὥς κέ με τὸν δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης, καί περ πολλὰ παθόντα. (ῃερς. 224.) ἐπεὶ δὲ ἦν εἰκὸς εἰπεῖν τινα, τί δή ποτε πολλὰ παθὼν εἶτα ἐθέλεις ἐπιβῆναι πάτρης; φησίν. ἰδόντα με καὶ λίποι αἰὼν, κτῆσιν ἐμὴν δμῶας τε καὶ ὑψερεφὲς μέγα δῶμα. ἐνδείκνυται δ' ἐν τούτοις ὁ ποιητὴς, ὡς τοιαῦτά τις ἔχων ἀγαθὰ, ἐρασθείη ἂν πατρίδος. ἄλλως γὰρ οὐχ' οὕτω μέγα ἡ πατρίς. εἴγε κατὰ τὴν παροιμίαν, πατρίς ἐστι πᾶσα ἵνα ἂν πράττοι τις εὖ. γυναικὸς δὲ οὐ μέμνηται Ὀδυσσεὺς ἐνταῦθα, οὐ μόνον ἵνα μὴ ἀποκναίσῃ οὕτω τὸν Ἀλκίνοον εἰς τὴν πομπὴν τὴν ἐς Ἰθάκην ὃς εὔξεται γαμβρὸν αὐτοῦ τὸν Ὀδυσσέα κληθῆναι αὖθι μένοντα, ἀλλὰ καὶ διότι οὐ πάνυ μέγα τοῦτο εἰς εὐδαιμονίαν. καὶ οἱ τυχόντες γὰρ ἔχουσι γυναῖκας. Τὸ δὲ λίποι αἰὼν 1.274 ἰδόντα με τὴν Ἰθάκην, οὐ μακράν ἐστι τοῦ εἰπεῖν ὡς ἱέμενος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καπνὸν ἀποθρώσκοντα νοῆσαι ἧς γαίης θανέειν ἱμείρεται. (ῃερς. 226.) Ὅτι φιλοξένων ἀνδρῶν τὸ, οἳ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν. (ῃερς. 230.) Ὅτι παρὰ μὲν τοῖς ὕστερον Ἀττικοῖς ὑπολείπεσθαι λέγεται τὸ ἡττηθῆναι κατὰ δρόμον καὶ μεῖναι ὀπίσω τῶν συνάθλων ὡς καὶ ὁ κωμικὸς δηλοῖ. Ὅμηρος δ' ἐνταῦθα ὑπολείπεσθαι λέγει τὸν Ὀδυσσέα ἐν Ἀλκινόου, ἀντὶ τοῦ ἐκεῖσε μεῖναι τῶνἄλλων ὑποχωρησάντων. (ῃερς. 232.) Ὅτι εὐκοσμίαν ἔχει καὶ ἡ σπουδαία τράπεζα. διὸ κοσμεῖ μὲν αὐτὴν ὁ κατὰ νόμον συμποσιακὸν παρατιθείς. ἀποκοσμεῖ δὲ, ὁ καταλύων ὡς καὶ προεγράφη. ἀμφίπολοι γοῦν ἀπεκόσμεον ἐνταῦθα ἔντεα δαιτός. ἤτοι ὅπλα. οἷον τραπέζας. κρητῆρας. κάνεα. καὶ ὅσοις δὲ ἄλλοις ἐξαρτύεται τράπεζα. (ῃερς. 239.) Ὅτι τὸ φῂς ἐν τῷ ἐνεστῶτι μὲν, κατὰ παράδοσιν ὀξύνεται καὶ σὺν τῷ ἰῶτα γράφεται. οἷον. οὐ δὴ φῂς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι. εἰ δὲ περισπασθῇ, ἄνευ τοῦ ἰῶτα γράφεται καὶ ἀντὶ τοῦ ἔφης λαμβάνεται. ὡς ὁ Ἕκτωρ πρὸς Πάτροκλον ἐν Ἰλιάδι λέγει. φῆς που τὰ καὶ τὰ ποιήσειν, ἤγουν ἔλεγες. (ῃερς. 241.) Ὅτι πολυπενθοῦς ἀνθρώπου λόγος τὸ, ἀργαλέον διηνεκέως ἀγορεῦσαι κήδε', ἐπεί μοι πολλὰ δῶκε θεός. Ἐνταῦθα δὲ καὶ βασίλεια ἡ δέσποινα κεῖται. Ὀδυσσέως οὕτω τὴν Ἀρήτην προσφωνοῦντος ὅτε τὸ φᾶρος ἐκείνη καὶ τὸν χιτῶνα γνωρίσασα τὰ τῆς θυγατρὸς δῶρα ἠρώτησεν αὐτὸν τίς πόθεν εἷς ἀνδρῶν. τίς τοι τάδε εἵματ' ἔδωκε. πρὸς ὃ ἀποκρινόμενος Ὀδυσσεὺς, τίς μὲν ἔδωκε τὰ φορούμενα, ἐρεῖ. πόθεν δέ ἐστι, σιωπήσει πρός γε τὸ παρόν. ἐν τοῖς ἑξῆς δὲ παρὰ τοῦ βασιλέως ἐρωτηθεὶς ἐκθήσεται καὶ αὐτό. νῦν γὰρ οὐκ ἀναγκαῖον τοῦτο γενέσθαι. (ῃερς. 244.) Ὅτι ἀνακεφαλαιώσει χρῆται ὁ ποιητὴς ἐνταῦθα, ὡς ἐν τῇ ¯ε καὶ τῇ ζῆτα ῥαψῳδίᾳ περὶ τοῦ Ὀδυσσέως ἱστόρησεν, ἀρξάμενος ἐκ τῶν πρὸ τούτων. ὅτε δηλαδὴ νῆα ἔτι καὶ ἑταίρους ἔχων, εἶτα ἐξώκειλεν εἰς τὴν τῆς Καλυψοῦς νῆσον. φησὶ γὰρ διὰ τοῦ Ὀδυσσέως οὕτω πως ἀφηγηματικῶς. Ὠγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται. ἔνθα μὲν Ἄτλαντος θυγάτηρ δολόεσσα Καλυψὼ ναίει. εὐπλόκαμος δεινὴ θεός. οὐδέ τις αὐτῇ μίσγεται, (ῃερς. 247.) οὔτε θεῶν οὔ τε θνητῶν ἀνθρώπων. ὃ δὴ ἑρμηνευτικόν ἐστι τοῦ ἀπόπροθεν. ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε (ῃερς. 249.) δαίμων, οἷον, ἤγουν μεμονωμένον τῶν περὶ ἐμέ. ἐπεί μοι νῆα θοὴν ἀργῆτι κεραυνῷ, ὡς μετὰ ταῦτα ἱστορηθήσεται, (ῃερς. 250.) Ζεὺς ἔλσας ὅ ἐστιν ἐλάσας, ἐκέασε μέσῳ ἐνὶ οἴνοπι πόντῳ. εἶτα διηγησάμενος ὡς οἱ μὲν ἄλλοι πάντες ἀπέφθιθον αὐτὸς δὲ τὴν τῆς νηὸς τρόπιν ἀγκὰς ἑλὼν ἐννῆμαρ ἐφέρετο, δεκάτῃ δὲ νυκτὶ ἐς Ὠγυγίην αὐτὸν θεὸς ἐπέλασσε. καὶ ὡς ἡ Καλυψὼ αὐτὸν λαβοῦσα ἐνδυκέως ἐφίλει τε καὶ ἔτρεφεν, ἠδὲ ἔφασκε θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα. (ῃερς. 258.) καὶ ὡς ἀλλ' ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν, ἐπάγει. ὡς ἑπτάετες μὲν αὐτόθι ἔμπεδον. εἵματα δ' αἰεὶ δάκρυσι δεύεσκον ἄμβροτα τὰ ἐκ τῆς Καλυψοῦς. ἀλλ' ὅτε δὴ ὄγδοον ἐπιπλόμενον ἔτος ἦλθε, καὶ τότε δὴ ἐκέλευσεν ἐποτρύνουσα νέεσθαι, Ζηνὸς ὑπ' ἀγγελίης, ἢ καὶ νόος ἐτράπετ' αὐτῆς. πέμπε δ' ἐπὶ σχεδίης πολυδέσμου. πολλά δ' ἔδωκε. σῖτον καὶ μέθυ ἡδὺ καὶ ἄμβροτα εἵματα ἕσσε. καὶ ὡς οὐρίῳ πνεύματι ἕως ὀκτωκαιδεκάτης ἡμέρας ἔπλεε. καὶ ὡς μετ' αὐτὰς ὁ Ποσειδῶν ὀϊζὺν πολλὴν αὐτῷ ἐπῶρσεν, ὃς ἐφορμήσας ἀνέμους κατέδησε κελεύθους, ὤρινε δὲ θάλασσαν ἀθέσφατον. οὐδέ τι κῦμα εἴα, ἐπὶ σχεδίης ἀδινὰ στενάχοντα φέρεσθαι. τὴν μὲν, (ῃερς. 275.) ἔπειτα θύελλα διεσκέδασεν. ὃ ταυτόν ἐστι τῷ ἐκέασε. αὐτὰρ ἔγωγε φησὶ νηχόμενος τόδε λαῖτμα διέτμαγον, ὄφρά με γαίῃ ἡμετέρῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ. ἔνθά κε μ' ἐκβαίνοντα βιήσατο κῦμ' ἐπὶ χέρσου πέτρῃς πρὸς μεγάλῃσι βαλὸν καὶ ἀτερπέϊ χώρῳ. ἀλλ' ἀναχασάμενος νῆχον πάλιν ἕως ἦλθον εἰς ποταμόν. ἔνθα χῶρος ἄριστος. λεῖος πετράων. καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο ἐκ δ' ἔπεσον θυμηγερέων. (ῃερς. 283.) λέγει δὲ ἀνακεφαλαιωτικῶς, καὶ ὡς νυκτὸς ἐλθούσης, ἀπάνευθε διϊπετέος ποταμοῖο ἐκβὰς ἐν θάμνοισι κατέδραθον. ἀμφὶ δὲ φύλλα ἠφυσάμην. ὕπνον δὲ θεὸς κατ' ἀπείρονα χεῦεν. ἔνθα μὲν ἐν φύλλοισι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φίλον τετιημένος ἦτορ εὗδον παννύχιος καὶ ἐπ' ἠῶ καὶ μέσον ἦμαρ. δείλετό τ' ἠέλιος καί με γλυκὺς ὕπνος ἀνῆκε. (ῃερς. 290.) καὶ ἐπὶ πᾶσιν ἐκτίθεται ὡς αἱ ἀμφίπολοι ἔπαιζον. καὶ ὡς ἡ τοῦ βασιλέως θυγάτηρ ἐν αὐταῖς ἦν ἐοικυῖα θεοῖς. καὶ ὡς αὐτὸς μὲν ἱκέτευσεν, ἡ δὲ, οὔτι νοήματος ἤμβροτεν ἐσθλοῦ. ὡς οὐκ ἂν ἔλποιο νεώτερον ἀντιάσαντα ἐρξέμεν. αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσιν, (ῃερς. 295.) ἐφ' οἷς τελειοῖ τὸ διήγημα, εἰπών. αὕτη μοι σῖτον ἔδωκεν ἅλις ἠδ' αἴθοπα οἶνον. καὶ λοῦσεν ἐν ποταμῷ, καί μοι τάδε εἵματ' ἔδωκεν. 1.275 ὃ δὴ ἀπόκρισις μέν ἐστι πρὸς τὸ, τίς τοι τάδε εἵματ' ἔδωκεν. ἀφορμὴ δὲ τοῦ διηγήσασθαι γέγονεν. εἶτα καθιστῶν τὸ χωρίον, ἐπιφέρει συμπληρωτικῶς. (ῃερς. 297.) ταῦτά τοι ἀχνύμενός περ, ἀληθείην κατέλεξα. ἤγουν ἀληθῶς ἢ πρὸς ἀλήθειαν. τοῦτο μὲν, ἐλλειπτικῶς. τοῦτο δὲ, ἐπιῤῥηματικῶς. Καὶ ὅρα τὸ ἀληθείην, ἀμφιβόλως ἔχον εἴτε ἀπὸ προπαροξυτόνου τοῦ ἀλήθειαν, εἴτε ἀπὸ παροξυτόνου τοῦ ἀληθείαν, γέγονεν Ἰωνικῶς. οἱ γὰρ παλαιοὶ Ἀττικοὶ κατὰ Αἴλιον Διονύσιον, ἐξέτεινον τὰς τῶν τοιούτων ὀνομάτων ληγούσας. διὸ καὶ παρόξυναν αὐτά. ἡ ἀγνοία γάρ φησιν ἔλεγον καὶ ἡ εὐκλεία. καὶ ἡ ἱερεία. καὶ ἡ ἀναιδεία δέ φησι καὶ ἡ προνοία. ὧν πάντων ἐκτείνεται μὲν ἡ τελευταῖα, ἡ δὲ πρὸ αὐτῆς ὀξύνεται. Ἀριστοφάνης Δαιταλεῦσιν, ὦ προνοία καὶ ἀναιδεία. Ὅρα δὲ ὡς τὸν μακρὸν ἐκεῖνον τοῦ Ὀδυσσέως κίνδυνον ἐν ὀλιγίστῳ φράσας ἐνταῦθα, ὅμως οὐκ ἀπήλλαξεν οὐδὲ τὸ τοιοῦτον χωρίον τοῦ φοβερῶς φρασθῆναι. (ῃερς. 244.) Τὸ δὲ ἀπόπροθεν ὥσπερ καὶ τὸ οὐδέ τις αὐτῇ θεῶν ἢ ἀνθρώπων μίσγεται, πολὺν ἐκτοπισμὸν τῆς Ὠγυγίας νήσου δηλοῖ. καθὰ καὶ ἡ βασιλικὴ κόρη τὴν πατρίδα ἐξετόπισεν ὅτε εἶπεν, οὐδέ τις ἡμῖν βροτῶν ἐπιμίσγεται. Δολόεσσαν δὲ τὴν Καλυψὼ ἔφη, διὰ τὰς περὶ ἀθανασίας ψευδεῖς ὑποσχέσεις. ἅμα δὲ καὶ ὑπολαλεῖ Ὀδυσσεὺς, ὡς οὐ πείθεται ῥᾷον τοῖς μεγάλα ὑπισχνουμένοις. (ῃερς. 246.) δεινὴ δὲ θεὸς, ἴσως μὲν, καὶ ἡ φοβερά. μάλιστα δὲ, ἡ δεξιὰ καταφρόνησις. καὶ διατοῦτο δολόεσσα ἐπίτηδες. δῆλον γὰρ ὡς φρονήσεως μήτηρ ἡ δεινότης οὖσα ὑποτίθησιν ἐν καιρῷ καὶ τὸ, λόγοις τε καὶ ἔργοις δολιεύεσθαι. καὶ εἴη ἂν τοῦτό γε, ὁμοία ἡ δολόεσσα Καλυψὼ, τῷ Ὀδυσσεῖ ὃς δόλων ἆτος ὢν, αὐχεῖ που διὰ τοῦτο πᾶσιν ἀνθρώποις μέλεσθαι. (ῃερς. 247.) Τὸ δὲ μίσγεται καὶ ἐν τούτοις ἀντὶ τοῦ, συνοικεῖ ἁπλῶς εἴρηται. οὐ μὴν ἀντὶ τοῦ νόμῳ γάμου σύνεστιν, ὁποῖον τὸ, γυναῖκα νέην, ἵνα μίσγεαι ἐν φιλότητι. (ῃερς. 298.) Ἐφέστιος δὲ, ὁ ἐπὶ τῆς αὐτῆς ἑστίας. ὃς καὶ φιλητὸς ἦν διὰ τὸν ἐφέστιον Δία. Καὶ ὅρα ὡς εἰ καὶ ταυτὸν ἱστία καὶ ἑστία, ὅμως διαφέρει ὁ ἐφέστιος καὶ τὸ προλεχθὲν ἐπίστιον. ἐφέστιος μὲν γὰρ, ὁ προῤῥηθείς. ἐπίστιον δὲ οὐδετέρως ὡς προείρηται, νεὼς οἶκος ὁ καὶ νεώσοικος ἐν ἑνὶ μέρει λόγου καὶ νεώριον. ὅτε μέντοι κατὰ γένος ἀρσενικὸν ἐπίστιος λεχθῇ, ὁ αὐτὸς τῷ ἐφεστίῳ ἐστὶν ὡς καὶ τοῦτο προδεδήλωται. ἀπὸ δὲ τῆς ἑστίας καὶ ὁ ἐν Ἰλιάδι ἀνέστιος γίνεται. ἐκ ταύτης δὲ, καὶ παροιμία τὸ, ἑστίᾳ θύομεν, ἐφ' ὧν οὐκ ἔστι φασὶ μεταδοῦναι οὐδὲ ἐξενεγκεῖν. ἵνα εἴη τὸ, ἑστίᾳ θύομεν, ταυτὸν τῷ, οὐδενὶ μεταδιδόαμεν τῶν τῆς ἑορτῆς. καὶ ἑτέρα παροιμία τὸ, ἀφ' ἑστίας ἀρχόμενος. ἤγουν ἐκ τῶν κρειττόνων ἢ καὶ ἐκ τῶν οἰκείων. μετῆκται δέ φασιν ὁ λόγος ἐκ τῶν ἱερῶν. ἔθος γὰρ, Ἑστίᾳ πρῶτον ἀπάρχεσθαι. τῆς ἑστίας δὲ γίνεται καὶ τὸ ἑστιᾶν, ὅπερ κατὰ τοὺς παλαιοὺς οἱ Δωριεῖς ἱστιᾶν λέγουσιν ἐν τῷ ἰῶτα. περὶ δὲ ἱστίας καὶ ἑστίας καὶ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. (ῃερς. 250.) Τὸ δὲ ἐκέασε τί τὲ σημαίνει καὶ ὅπως γίνεται, προγέγραπται. (ῃερς. 252.) Τὸ δὲ ἀγκὰς ἑλὼν, λειότερον ἐκφωνεῖται τοῦ, ἀγκὰς ἐμάρπτεν ὅπερ ἐν Ἰλιάδι κεῖται. ἐπεὶ καὶ ἕτερόν ἐστι τοῦτο ἐκείνου κατ' ἔννοιαν. ἐν δὲ τοῖς ἑξῆς, περιπλεχθῆναι ἐρεῖ τὸ, ἀγκὰς ἑλεῖν. (ῃερς. 256.) Τὸ δὲ ἐνδυκέως, οὐ φιλεῖται μὲν πεζολόγοις ῥήτορσι, δηλοῖ δὲ τὸ ἐπιμελῶς. καὶ γίνεται ἐκ τοῦ δέκω τὸ δεξιοῦμαι τραπέντος τοῦ ¯ε εἰς ¯ο κατὰ κίνησιν ὀνοματικήν. εἶτα, τοῦ ¯ο μεταβληθέντος εἰς ¯υ Αἰολικῶς. (ῃερς. 258.) Οὐ πείθει δὲ ἡ Καλυψὼ τὸν Ὀδυσσέα ἐφ' οἷς ὑπισχνεῖται, οὐ μόνον ὅτι οἶδεν οἷα τὰ τῶν γυναικῶν ὅτ' ἂν εἰς ἔρωτα βακχεύωνται, ἀλλὰ καὶ ὅτι οὐ δύνανται ἀθανασίαν αἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιαῦται χαρίζεσθαι. ἄλλως δὲ ἀλληγορικῶς, ἡ Καλυψὼ ἣν εἰς σῶμα ἐξελαβόμεθα πρὸς ἣν οὐδὲ θαμίζει ὁ Ἑρμῆς ὡς ἐν τῇ ¯ε ῥαψῳδίᾳ λέγεται τουτέστιν ὁ λόγος, οὐ γὰρ τὸ σῶμα λόγου ἂν μετέχοι. ἡ τοίνυν κατὰ σῶμα Καλυψὼ, ὑποβάλλει μὲν ἀθανασίαν τοῖς φιλοσωμάτοις. οἳ ὡς ἀεὶ ζησόμενοι αὐτῇ συνδέδενται, φιλοζωοῦντες. καὶ ὡς ἐπί τινι ἀθανασίᾳ, θεραπείας ὑγιεινὰς ἀναλεγόμενοι, πλανᾷ τοὺς πλείονας. Ὀδυσσεὺς δὲ καὶ εἴπου τινὲς κατ' αὐτὸν, περιφρονῶν ἅπερ ἂν φάσκοι ἡ δολόεσσα Καλυψὼ, τὸ πλάνον δηλαδὴ σῶμα, οὐκ ἀναμένουσι τὴν τοῦ σώματος αὐτοὺς λύσουσαν φύσιν. ἀλλὰ τὸν φιλοσοφίας μελετήσαντες θάνατον, τῆς τοιαύτης Καλυψοῦς ἀφίστανται. (ἠερς. 259.) Τὸ δὲ ἔμενον ἔμπεδον, ἀντὶ τοῦ ἐν τῷ αὐτῷ πέδῳ. (ἠερς. 262.) Τὸ δὲ ἐπιπλόμενον ἔτος οὐκ ἂν εἴη ἑτεροῖον τῶν ὡς προεγράφη περιπλομένων ἐνιαυτῶν. (ἠερς. 263.) Τὸ δὲ Ζηνὸς ὑπ' ἀγγελίης ἢ καὶ νόος ἐτράπετ' αὐτῆς, τὴν ἐν ἀνθρώποις δηλοῖ νόησιν. ἣ τὰ πολλὰ, κατὰ εἰκοτολογίαν γίνεται. ἰδοὺ γὰρ ἀληθῶς μὲν κατὰ τὴν Ὁμηρικὴν πλάσιν, Ἑρμοῦ ἀγγείλαντος ἐξεπέμφθη ἐξ Ὠγυγίας ὁ Ὀδυσσεύς, αὐτὸς μέντοι στοχαστικῶς εἰδὼς, 1.276 νοεῖ μὲν καὶ τοῦτο. οἴεται δὲ καὶ τὴν Καλυψὼ αὐτὴν οἴκοθεν ὁρμηθεῖσαν ἐκπέμψαι αὐτόν. καὶ εἴη ἂν καὶ οὕτως ἐκείνη δολόεσσα εἴγε μὴ τὸ ἀληθὲς τῷ Ὀδυσσεῖ ἀνεκάλυψε. (ἠερς. 273.) Θάλασσα δὲ ἀθέσφατος, καθὰ καὶ πρὸ ὀλίγων ἀθέσφατος ἀήρ. νηχόμενος δὲ παθητικῶς εἰπὼν, ὑποκαταβὰς, (ἠερς. 280.) ἔνηχον λέγει ἐνεργητικῶς. οὕτω δὲ καὶ ἐν τοῖς προτούτων διχῶς τὸ αὐτὸ ῥῆμα ἐξήνεγκεν ὡς καὶ ἐπὶ ἄλλων πολλῶν ποιεῖ. Ὅτι δὲ τὸ νήχεσθαι παρὰ τὴν νῆσαν γίνεται ὥσπερ καὶ τὸ κολυμβᾶν παρὰ τὴν κολυμβίδα, ὀρνέων δὲ ὀνόματα καὶ ἄμφω, ἐν τοῖς τοῦ Ἀθηναίου δηλοῦται. (ἠερς. 278.) Τὸ δὲ ἔνθα μ' ἐκβαίνοντα ἕως τοῦ, καὶ ἀτερπέϊ χώρῳ, ναυαγοῦ ἀνδρὸς δυστυχίαν φράζει. (ἠερς. 279.) Τὸ δὲ ἀτερπέϊ χώρῳ, πολύνουν ἐστί. δηλοῖ γὰρ τοὺς προῤῥηθέντας πάγους ὀξέας. τὸ περὶ αὐτοὺς βεβρυχὸς ῥόθιον κῦμα. τὴν λισσὴν πέτραν. τὴν ἀγχιβαθῆ θάλασσαν. τὰς προβλῆτας ἀκτάς. (ἠερς. 283.) Τὸ δὲ ἐκ δ' ἔπεσον, ἀντὶ τοῦ, ἔξω ἔπεσον τῆς θαλάσσης ἀψύχου τινὸς δίκην. καὶ ὡς οἷον εἰπεῖν, ἐξεβράσθην κατά τι ναυάγιον. Τὸ δὲ θυμηγερέων, σύνθετόν ἐστι τοῦ, ἐς φρένα θυμὸς ἀγέρθη ὃ προγέγραπται. δηλοῖ δὲ τὸ, συνάγων καὶ ἀνακτώμενος ψυχήν. (ἠερς. 286.) Τὸ δὲ φύλλα ἀφύσσασθαι, ὕλην ἐπαμήσασθαι χερσὶ προέγραψεν ὁ ποιητής. δηλοῖ δὲ τὴν τῶν φύλλων περιβολήν. εἰ δὲ τὸ ἀφύσσασθαι ἐπὶ ὕδατος ἀντλουμένου κυριολεκτεῖται ὡς δηλοῖ τὸ ἀφυσσόμενοι μέλαν ὕδωρ, ἀλλ' ἡ τροπὴ οὐδ' ἐνταῦθα ἔξω λόγου. εἴγε ὥσπερ χυτὸν τὸ ὕδωρ, οὕτω καὶ ἔνθα Ὀδυσσεὺς ὕπνωσσε, φύλλων ἦν χύσις ἤλιθα πολλή. Ὕπνον δὲ ἀπείρονα, τὸν βαθὺν λέγει καὶ διατοῦτο πολύν. καὶ ἀσύμμετρον ὡς πρὸς τὸ σύνηθες, εἴπερ νυχθήμερον ὅλον Ὀδυσσεὺς ἐκοιμήθη κατὰ τὸν ποιητήν. Σημείωσαι δὲ τὴν λέξιν, ὡς οὐκ ἐξανάγκης ἀπείρονος λεγομένου τοῦ μηδόλως πέρας ἔχοντος. ὁ δὲ τοιοῦτος τόπος, συντελεῖ τι καὶ εἰς τὸν νήδυμον ὕπνον. πάντως γὰρ ὁ περιχυθεὶς ἀπείρων ὕπνος, εἴη ἂν νήδυμος. ἤγουν ἀνέκδυτος. δῆλον δὲ ὡς ἐφ' ὑγρῶν καὶ τὸ δύεσθαι καὶ, χέεσθαι δίχα τροπολογίας τινός. (ἠερς. 287.) Τὸ δὲ ἐν φύλλοις καὶ φίλον ἦτορ ὅτι παρηχεῖν δοκεῖ, προγέγραπται. (ἠερς. 288.) Ἐν δὲ τῷ, ἐπ' ἠῶ καὶ μέσον ἦμαρ καὶ δείλετό τ' ἠέλιος, τριμερῆ τὴν ἡμέραν ἔτεμεν ὡς καὶ ἀλλαχοῦ. ἤγουν εἰς πρωΐαν. μεσημβρίαν. καὶ δείλην. (ἠερς. 289.) Ἐν δὲ τῷ δείλετο, γραφόντων τινῶν δύσετο ἤγουν ἔδυνε, πρὸς ὃ παίζων ἀπορητικῶς φασι Ματρέας ὁ Ἀλεξανδρεὺς, ἔλεγε διατὶ ὁ ἥλιος δύνει μὲν οὐ κολυμβᾷ δέ; φασὶν οἱ παλαιοὶ, ὡς Ἀρίσταρχος οὐ γράφει δύσετο ἀλλὰ δείλετο. ὅ ἐστιν, εἰς δύσιν ἀπέκλινε. Καὶ σημείωσαι τὴν λέξιν σύστοιχον οὖσαν τῇ δείλῃ. εἰ δὲ τὸ δείλετο ἀσύνηθές ἐστιν, ἀλλὰ τὸ δειελιήσας, ἐν τοῖς μετὰ ταῦτα κεῖται παρὰ τῷ ποιητῇ. δῆλον δὲ ὅτι τε ἡ δείλη παρὰ τὴν ἔνδειαν τῆς εἵλης σύγκειται, ἐνδέει γὰρ τηνικαῦτα ἡ ἐκ τοῦ ἡλίου ἕλη. καὶ ὅτι διττὴ κατὰ τοὺς παλαιοὺς ἡ δείλη. ἡ μὲν γὰρ ὀψία δείλη. τὸ τελευταῖον φασὶ τῆς δείλης μέρος τὸ περὶ ἡλίου δυσμάς. ἑτέρα δὲ δείλη πρωΐα, τὸ πρῶτον φασὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς δείλης, τὸ εὐθὺς ἐκ μεσημβρίας. (ῃερς. 291.) Ἐοικέναι δὲ θεαῖς ἄρτι λέγει τὴν κόρην Ὀδυσσεὺς, κολακικώτερον. φθάσας γὰρ, μιᾷ ἐκείνην εἴκασε, τῇ Ἀρτέμιδι. (ῃερς. 292.) Τὸ δὲ οὔτι νοήματος ἤμβροτεν ἐσθλοῦ καὶ ἑξῆς, ἔπαινος προσώπου νέου συνετοῦ. (ῃερς. 293.) Ἔνθα ὅρα τὸ, ὡς οὐκ ἂν ἔλποιο νεώτερον ἀντιάσαντα ἔρξειν, ὡς γοργῶς φρασθὲν, πολλὴν ἔννοιαν κρύπτει. ἐχρῆν μὲν γὰρ εἰπεῖν νεωτέρην ἀντιάσασαν. ὁ δὲ, παραβλητικῶς οἷον ἔφη ὡς οὐ μόνον κόρη νέα ἀλλ' οὐδὲ ἀνὴρ νεώτερος τοίοῦτόν τι ἔδρασεν ἄν. (ῃερς. 294.) Τὸ δὲ αἰεὶ νεώτεροι ἀφραδέουσι, παράφρασίς ἐστι τοῦ, αἰεὶ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται. (ῃερς. 295.) Τὸ δὲ σῖτον ἔδωκε καὶ οἶνον καὶ ἔλουσε καὶ τὸ ἑξῆς, φιλοξενίας ἐνδεικτικά. Ἐν τούτοις δὲ, ὅρα ὅτι τε τὴν τῆς κόρης καὶ τῶν ἀμφιπόλων μολπὴν καὶ τὴν διὰ σφαίρας παιδιὰν σιγᾷ Ὀδυσσεὺς ἵνα μὴ καταγορεύειν δοκῇ τῆς παιδός. καὶ ὅτι τοῦ μὲν παίζειν ἐστέρησεν αὐτὴν ὡς θεοείκελον. τὸ δὲ λοῦσαι καὶ θρέψαι καὶ εἵματα δοῦναι, αὐτῇ μόνῃ προσένειμε διὰ τὸ σεμνότερον. (ῃερς. 299.) Ὅτι Ὀδυσσεὺς μὲν ὡς προσεχῶς ἐδηλοῦτο, ἠρωτήθη πρὸς τῆς βασιλίδος, τίς αὐτὸν ἐνέδυσε τάδε εἵματα δούς. ὁ δὲ, εἰπεῖν ἔχων αὐτὸ τὸ πρᾶγμα ἐν ὀλίστοις, ὅμως ἵνα μὴ κινήσῃ οὐκ ἀγαθὴν ὑποψίαν, ἐλίττει μακρὰν διήγησιν. καὶ οὕτως ἐξισχύει τῇ ῥητορικῇ δυνάμει, ὥστε πεποιηκέναι τὸν βασιλέα μὴ ὅτι γε ἁπλῶς μὴ μέμψασθαι, ἀλλὰ καὶ εἰπεῖν ὡς τοῦτό γ' αἰνέσιμον οὐκ ἐνόησε παῖς ἐμὴ, οὕνεκά σε οὔτι μετ' ἀμφιπόλοισι γυναίξιν ἦγεν ἐς ἡμέτερον. σύ δ' ἄρα πρώτην ἱκέτευσας. (ῃερς. 302.) ὥστε δηλαδὴ καὶ ἔδει αὐτὴν ἀγαγεῖν σε οἴκοι. καὶ ἔστι τῷ βασιλεῖ μεταληπτική τις αἰτίασις. τὰ μὲν γὰρ ἄλλα τῆς παιδὸς, οὐκ ἔχει μέμψασθαι ἀλλὰ συγχωρεῖ 1.277 εὖ γενέσθαι αὐτά. ἓν δέ τι αἰτιᾶται τὸ μὴ μετ' αὐτῆς τὸν ξένον εἰς τὴν πόλιν ἀγαγεῖν. Ὅρα δὲ καὶ τὸ, ἐς ἡμέτερον, ἐλλειπτικῶς φρασθέν. λείπει γὰρ τὸ, δῶμα ἢ δόμον ἢ μέγαρον. οὕτω καὶ ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ ἐρεῖ. ἡμέτερον δ' ἐλθόντες. ἔνθα κεῖται καὶ τὸ τέλειον ἐν τῷ, ἵκετ' ἐμὸν δῶ. Τὸ δὲ ἱκέτευσας, συστέλλει τὴν ἄρχουσαν Ἰωνικῶς. ἄλλως γὰρ, ἐκτείνεσθαι ὤφειλε κατὰ χρονικὴν αὔξησιν. καὶ οὕτω μὲν ὁ βασιλεὺς ἐπετίμησε τῇ θυγατρί. (ῃερς. 303.) Ὀδυσσεὺς δὲ ὑπεραπολογούμενος τῆς παιδὸς, φησί. μή μοι τοὔνεκ' ἀμύμονα νείκεε κούρην. (ῃερς. 305.) ἡ μὲν γάρ μ' ἐκέλευε, σὺν ἀμφιπόλοισιν ἕπεσθαι, ἀλλ' ἐγὼ οὐκ ἔθελον. Καὶ ὅρα ὡς ψεύδεται φανερῶς ὁ Ὀδυσσεύς. ὅπερ ἐν καιρῷ ποιήσει ἂν
ὁ σοφός. αἰτίαν δὲ τοῦ μὴ ἐθέλειν ἕπεσθαι τῇ κόρῃ λέγει Ὀδυσσεύς, φόβον καὶ αἰσχύνην. καὶ τὸ μὲν τῆς αἰσχύνης, οὐκ ἐπεξεργάζεται. τὸ δὲ περὶ τοῦ φόβου, ἠρέμα πλατύνει. φησὶ γάρ. δείσας αἰσχυνόμενός τε μή πως καὶ σοὶ θυμὸς ἐπισκύσαιτο ἢ ἐπισκύζοιτο ἰδόντι. δύσζηλοι γάρ τ' εἰ μὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων. καὶ οὕτω μὲν Ὀδυσσεύς. (ῃερς. 309.) Ἀλκίνοος δὲ ἀπαρνούμενος δύσζηλος εἶναι, φησί. ξεῖνε, οὔ μοι τοιοῦτον στήθεσσι φίλον κῆρ, μαψιδίως κεχολῶσθαι. ἀμείνω (ῃερς. 310.) δ' αἴσιμα πάντα. ἤτοι τὰ καθήκοντα. Καὶ ὅρα τὸ, μαψιδίως κεχολῶσθαι. εἰκῇ μὲν γὰρ καὶ μάτην οὐ χολωθήσεται ὁ σπουδαῖος. αἴσιμον μέντοι χόλον ἀναλήψεταί ποτε. γνωμικὸν δὲ πάντως τὸ, ἀμείνω δ' αἴσιμα πάντα. (ῃερς. 306.) Ὅρα δὲ τὸ, καὶ σοὶ θυμός. δῆλον γὰρ ἐντεῦθεν, ὡς καὶ ἑτέρους ἐδεδίει δι' οὓς οὐκ ἤθελεν ἕπεσθαι τῇ κόρῃ. Τὸ δὲ ἐπισκύσαιτο, δηλοῖ μὲν τὸ ὀργισθείη, παράγει δὲ τὸ ἐπισκύνιον. οὗ ἑρμηνεία παρὰ τοῖς παλαιοῖς, αὕτη. ἐπισκύνιον, τὸ ὑπὲρ τὴν ὀφρῦν ἐποφρύδιον. ἡ περὶ τὰς ὀφρῦς χάρις. εὕρηται δὲ παρὰ τῷ ποιητῇ καὶ σκυδμαίνειν ἐκ παραγωγῆς, τὸ σκύζεσθαι. (ῃερς. 307.) Δύρζηλοι δὲ, οἱ ἀλλαχοῦ προλεχθέντες ζηλήμονες. εἶδος δὲ χόλου ἄμφω ταῦτα δηλοῖ. διὸ ἀποστερῶν ἑαυτὸν ὡς ἐῤῥέθη ὁ βασιλεὺς τοῦ μὴ δύσζηλος ὅ ἐστι ζηλήμων εἶναι, ἔφη μὴ ἂν μαψιδίως χολοῦσθαι. ὡς ταυτὸν ὂν δύσζηλον εἶναι καὶ μαψιδίως χολούμενον. Τὸ δὲ δύσζηλοι ἐσμὲν, διὰ τῆς πληθυντικῆς κοινότητος, παραιρεῖται τὸ τραχὺ τῆς ἐπιτιμήσεως. ὡς μὴ μόνου τοῦ Ἀλκινόου τοιούτου ὀνομασθέντος, ἀλλὰ γνωμικῶς ἐν κοινῷ τοῦ λόγου λεχθέντος. καὶ ἔστιν ὅμοιον τῷ, ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν οἷον ἔειπε. καὶ τοῖς τοιούτοις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Δῆλον δὲ καὶ ὡς Ἀττικῶς ἔφη τὸ, δύσζηλοι ἐσμὲν φῦλ' ἀνθρώπων, ἀντὶ τοῦ οἱ ἄνθρωποι. τὸ γὰρ κοινὸν ἦν, δύσζηλα φῦλα. (ηερς. 311.) Ὅτι οὐ μόνον οὐκ ἂν χολώσεσθαι τῷ Ὀδυσσεῖ λέγει ὁ βασιλεὺς ἐλθόντι μετὰ τῆς θυγατρὸς, ἀλλὰ καὶ χαίρειν ἄν. φησὶ γοῦν εὐχόμενος. αἲ γὰρ Ζεῦ τε πάτερ τοῖος ἐὼν οἷος ἐσσὶ, τά τε φρονέων ἅτ' ἐγώ περ, παῖδά τ' ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι αὖθι μένων. οἶκον δὲ ἐγὼ καὶ κτήματα δοίην, εἰ ἐθέλων γε μένοις, ἀέκοντα δέ σε οὔ τις ἐρύξει Φαιήκων. μὴ τοῦτο (ηερς. 316.) φίλον Διῒ πατρὶ γένοιτο. ὃ ταυτόν ἐστι τῷ, μὴ τοῦτο θεὸς τελέσειε, κειμένῳ ἀλλαχοῦ. (ηερς. 313.) Σημείωσαι δὲ τὴν κατὰ ἀπαρέμφατον ῥῆμα εὐχὴν τὸ, αἲ γὰρ Ζεῦ παῖδα ἐμὴν ἐχέμεν καὶ γαμβρὸς καλέεσθαι, Ἀττικῶς προενεχθεῖσαν, ὡς καὶ ἐπ' ἄλλων φαίνεται. λείπει δὲ τὸ ἐθέλοις ἤ τι τοιοῦτον ἵνα λέγῃ ὅτι εἴθε ἐθέλοις ἐμὸς γενέσθαι γαμβρός. μετ' ὀλίγα δὲ, κεῖται καὶ συνήθης εὐχὴ, τὸ Ζεῦ πάτερ αἴθ' ὅσα εἶπε, τελευτήσειεν ἅπαντα. Καὶ σημείωσαι ἐν τούτοις ὅτι τε ταυτὸν εὐχῆς λόγῳ εἰπεῖν εἰ καὶ αἲ καὶ εἴθε ὡς μυριαχοῦ φαίνεται. (ηερς. 311.) καὶ ὅτι οὐ μόνον θρηνητικόν ἐστιν ἐπίῤῥημα τὸ αἲ, ἀλλ' ἰδοὺ καὶ εὐκτικόν. νοεῖται δέ ποτε καὶ μεμπτικὸν, ὡς παρὰ τῷ κωμικῷ ἐν τῷ, αἲ τάλαν. ἔτι δὲ καὶ δυσφορικὸν κατὰ τοὺς παλαιούς. (ηερς. 312.) Τὸ δὲ τοῖος ἐὼν οἷος ἐσσὶ, ὠφέλησε τὸν Πίνδαρον εἰπεῖν πρὸς ἀγαθὸν ἄνδρα τινὰ τὸ καλὸν νόημα ἐκεῖνο, τὸ γένοιο οἷος ἐσσί. ὡς μὴ ἔχων δηλαδὴ κρείττονα πρὸς ὃν ἂν ὅμοιος γένοιο. Τὸ δὲ τὰ φρονέων ἅπερ ἐγὼ, δηλοῖ δεῖν ὁμοφροσύνην εἶναι μὴ μόνον ἀνδρὶ καὶ γυναικὶ, ἀλλὰ καὶ τοῖς κηδεσταῖς πρὸς τοὺς νυμφίους. (ηερς. 315.) Τὸ δὲ ἀέκοντα δέ σε οὔ τις ἐρύξει, φιλοξενικοῦ ἔθος ἐστίν. εἴπερ ἐν τοῖς μετὰ ταῦτα ἐρεῖ ὁ ποιητὴς, χρῆναι ξεῖνον παρεόντα φιλεῖν ἐθέλοντο δὲ πέμπειν. Φασὶ δὲ οἱ παλαιοὶ τὸν βασιλέα ἐπίτηδες τὸν περὶ γάμου λόγον ἀνακινῆσαι, πειρώμενον τοῦ Ὀδυσσέως εἰ ταῖς ἀληθείαις παρητήσατο τὸν τῆς Καλυψοῦς γάμον. εἰ γὰρ προπετῶς φασι ὑπόσχηται γαμήσειν, παντελῶς ἐλεγχθήσεται κἀκεῖνο ψευδόμενος. ἔθος δὲ ἄλλως ἦν τοῖς ἀρχαίοις, ἐπιλέγεσθαι τοὺς ἀρίστους τῶν ξένων καὶ γαμβροὺς αὐτοὺς ποιεῖσθαι. ὡς καὶ ἐπὶ Βελλεροφόντου καὶ Τυδέως καὶ Πολυνείκους ἐγένετο. ἐπέκρινον δὲ οὐκ εἰς πλοῦτον ἀφορῶντες, ἀλλ' ὅτι ὁ μὲν, τυχὸν βασιλεῖ ἀνδρὶ ἐῴκει. οἱ δὲ, γενεῇ Διὸς μεγάλοιο εἴκ 1.278 την. καὶ παῖδες ἀνάκτων ἦσαν. καὶ ὅλως, τοιοῦτοι οἵους οὐκ ἂν κακοὶ τέκοιεν. (ηερς. 318.) Ὅτι ὑπισχνεῖται μὲν ὁ βασιλεὺς αὔριον πέμψαι τὸν Ὀδυσσέα, οὐ γίνεται δὲ τοῦτο διά τινα περιπέτειαν κερδαλόεσσαν τῷ Ὀδυσσεῖ, πεμφθήσεται δὲ τὴν μενὰ τὴν αὔριον. καὶ ἰδοῦ καὶ νῦν σπουδαῖος ἀνὴρ ὁ βασιλεὺς, ἐψεύσατο μὲν, οὐκ ἐπιψόγως δέ. (ηερς. 3.) Ὅτι πομπὴν δηλοῖ ἄπονον καὶ ἄλυπον τὸ, σὺ μὲν δεδμημένος ὕπνῳ, λέξεαι. οἴδ' ἐλόωσι γαλήνην ὄφρ' ἂν ἵκηαι πατρίδα σὴν καὶ δῶμα καὶ εἴπου τοι φίλον ἐστίν. Ἀλκίνοος δὲ πρὸς Ὀδυσσέα τοῦτο πάνυ πεπαιδευμένως φησί. πατρίδα μὲν γὰρ πάντως ἔχοι ἂν ὁ ξένος καὶ δῶμα, εἰ δὲ καὶ γυναῖκα ἢ τέκνα ἢ γονεῖς, οὐκ οἶδεν ὁ βασιλεύς. περὶ τούτου γὰρ ἐῤῥέθη τὸ, εἴπου τοι φίλον ἐστίν. ἐπὶ γὰρ τοιούτων ἡ τοῦ φίλου λέξις κυριολεκτεῖται. ἃ δὴ καὶ φίλτατα κατ' ἐξοχὴν λέγονται. Πιθανῶς δὲ πέπλασται τὸ, ὑπνοῦντα τὸν Ὀδυσσέα ἐγκαταστῆναι τῇ πατρίδι πρὸς τῶν Φαιάκων. ἐποίησαν γὰρ ὡς εἰκὸς οὕτως ἐκεῖνοι, δεδιότες μή ποτε ὁ ξένος νήφων ἐν τῷ κατάπλῳ, ἢ κατάσχῃ αὐτοὺς, ἢ καὶ τὴν ὁδὸν σημῃνάμενος, ἐπαναστῇ τοῖς ἐν τῇ νήσῳ οἷς οὐ μέλει βιὸς οὐδὲ φαρέτρη. ἅμα δὲ, καὶ ἵνα μὴ δόξωσιν ἀντίχαριν τῆς ἀνακομιδῆς ἀπαιτεῖν. (ηερς. 319.) Τὸ δὲ ὕπνῳ δεδμημένος λέξαι, πρὸς διαστολὴν εἴρηται τοῦ ἄλλως πως λέγεσθαι. ὃ δὴ πολυσήμαντόν ἐστι. Τὸ δὲ ἐλόωσι, χρόνος ἐστὶν ἐνεστὼς ἀντὶ μέλλοντος τοῦ, ἐλάσουσι. (ηερς. 317.) Τὸ δὲ γαλήνην, ἀντὶ τοῦ γαληνῶς. ὡς καὶ πρὸ ὀλίγων ἐπιῤῥηματικῶς ἔφη ἀληθείην ἀντὶ τοῦ ἀληθῶς. Ἐν δὲ τῷ ῥηθέντι χωρίῳ, κεῖται καὶ τὸ τεκμαίρομαι ἀντὶ τοῦ τελειῶ, ἐκ τοῦ τέκμωρ τὸ τέλος. οἷον. πομπὴν τεκμαίρομαι. (ηερς. 318.) ἔτι δὲ καὶ τὸ τῆμος, ἐς τῆμοσδε. καὶ δῆλον ὡς εἰπεῖν μὲν ἐς τῆμος, ὅμοιον τῷ ἐσαύριον καὶ τοῖς τοιούτοις. ἡ δὲ ἐν τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τέλει ἐπέκτασις περιττὴ καὶ οὐκ ἀντὶ προθέσεως ὡς ἐν τῷ τῆμοσδε. (ῃερς. 323.) Ὅτι θέλων ὁ βασιλεὺς ἐνδείξεσθαι τὸ τάχος τῶν παρὰ τοῖς Φαίαξι νηῶν, ἱστορεῖ ὡς ἦν καιρὸς ὅτε οἱ Φαίακες τὸν Ῥαδάμανθυν ἦγον εἰς Εὔβοιαν ἐπὶ θέᾳ τοῦ Τιτυοῦ. καὶ κατὰ τὴν αὐτὴν ἡμέραν ἀπήγαγον αὐτὸν οἴκαδε, ἀπονητί. Ἔνθα σημείωσαι ὡς εἴτε ἀντικρὺ τῆς ἰδίως οὕτω καλουμένης Ἠπείρου κατὰ τὴν ἱστορίαν ἡ νῆσος τῶν Φαιάκων ᾤκισται εἴ τε καί που ποῤῥωτάτω ἐν ἀπανθρώπῳ τόπῳ καθὰ φαίνεται δοκεῖν Ὁμήρῳ, ὑπερβολικὸς ὁ ἐνταῦθα λόγος. καὶ ἀδύνατον ἀνυσθῆναι τὸν ἐκ Φαιάκων εἰς Εὔβοιαν πλοῦν καὶ ἐκεῖθεν εἰς Φαίακας, ἤματι τῷ αὐτῷ. ἤγουν ἡμέρᾳ μιᾷ. ἔσται δὲ ὅμως ἡ τοῦ τοιούτου πλοῦ ἱστορία δυνατὴ, εἰ τὸ τάχος τῶν Φαιακικῶν νηῶν εἴη ὡσεὶ πτερὸν ἠὲ νόημα, Ἔστι δ' ἐν τούτοις ἡ Ὁμηρικὴ φράσις, τοιαύτη. ὄφρ' ἂν ἵκηαι πατρίδα σὴν, εἴπερ καὶ μάλα πολλὸν ἑκατέρω ἔστ' Εὐβοίης. τήν περ τηλοτάτω φασὶν ἔμμεναι οἵ μιν ἴδοντο λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν ἦγον ἐποψόμενον Τιτυὸν γαιήϊον υἱόν. καὶ μὲν οἳ, ἔνθ' ἦλθον καὶ ἄτερ καμάτοιο τέλεσσαν ἤματι τῷ αὐτῷ, καὶ ἀπήνυσαν οἴκαδ' ὀπίσω. (ῃερς. 324.) Καὶ ὅρα ὡς ἀφαιρῶν ὁ ποιητὴς τὴν τοῦ λόγου ὑπτιότητα, παρενέβαλε τὴν περὶ τοῦ ἀθεμίστου Τιτυοῦ ἱστορίαν. ὃν Ἐλάρας τῆς Μίνωος ἢ Ὀρχουμένου θυγατρὸς, παραδιδόασι παῖδα. ᾗ συνελθὼν ὁ Ζεὺς, ἔκρυψεν αὐτὴν κατὰ γῆς διὰ ζηλοτυπίαν Ἥρας. ἡ δὲ, ἀνῆκεν υἱὸν ἐξοχώτατον. ὃς ἐκλήθη Τιτυὸς, καθ' ὁμοιότητα ἴσως τῶν ἀτασθάλων τιτάνων. αὐξηθεὶς δὲ, ἑάλω ἔρωτι Λητοῦς. καὶ ἐτοξεύθη φασὶν ὑπ' Ἀπόλλωνος. μεγαλοσώματος δὲ δοκεῖ ὁ ἀνὴρ εἶναι. καὶ οὐ μόνον βουγάϊος, ἀλλὰ καὶ εἰς πλέον πολυμήκης, εἴπερ ἐπὶ ἐννέα ἐν τοῖς ἑξῆς που κεῖται πέλεθρα. διὸ καὶ γῆς υἱὸς εἶναι πλάττεται, διὰ τὸ βαρὺ καὶ τὸ ὡς εἰπεῖν, ἐτώσιον ἄχθος τῆς γῆς. ἦν δὲ καὶ ὑβριστὴς κατ' ἐπιθυμίαν. διὸ καὶ τὸ ἧπαρ ἐν ᾅδου εὑρεθήσεται κειρόμενος. ὅθεν καὶ ὁ Ῥαδάμανθυς ἐπὶ θέαν τοῦ Τιτυοῦ ἐλθεῖν πλάττεται. ἢ διὰ θαῦμα τοῦ μεγέθους. ἢ καὶ ἵνα δίκαιος ὢν κατὰ τὴν ἱστορίαν, σωφρονίσῃ αὐτόν. (ῃερς. 322.) Ὅρα δ' ἐν τῷ χωρίῳ τούτῳ, καὶ ὅτι οὐ τηλοῦ ἁπλῶς ἀλλὰ τηλοτάτω ἤτοι ποῤῥωτάτω τῆς τῶν Φαιάκων νήσου τὴν Εὔβοιαν ὁ Ἀλκίνοος εἶναι φησί. καὶ οὐχ' ἁπλῶς ποῤῥωτάτω, ἀλλά που καὶ πρὸς ταῖς τῶν μακάρων νήσοις ταῖς κατὰ τὸν Ὠκεανόν. ἔνθα ἡ ¯δ ῥαψῳδία διάγειν εἶπε τὸν Ῥαδάμανθυν. ὡς φαίνεσθαι παραλαλεῖν τὸν Ἀλκίνοον, ἐγγίζειν τὴν κατ' αὐτὸν γῆν τῇ τῶν μακάρων νήσῳ ἔνθα ἦν ὁ Ῥαδάμανθυς. ὅθεν καὶ τὴν προϊστορηθεῖσαν εὐδαιμονίαν εἶναι παρὰ τοῖς Φαίαξιν ὡς εἰ καὶ νῆσον ᾤκουν μακάρων. (ῃερς. 322.) Ἰστέον δὲ ὅτι τὸ τηλοτάτω, εἶχε μὲν, ὀρθῶς εἶναι τηλετάτω ἀπὸ τοῦ τῆλε. ὅμως ἵνα μὴ ἀπαιτῆται προπαραλήγεσθαι τῇ α¯ι διφθόγγῳ τῷ λόγῳ τῶν διὰ τοῦ α¯ιτατος, γέγονεν ἐκ τοῦ τηλοῦ, ἀπελεύσει ¯υ τοῦ διὰ ἀπαρτισμὸν δακτύλου πρὸς ὁμοιότητα τοῦ, ἀγχοῦ ἀγχοτέρω καὶ ἀγχοτάτω. (ῃερς. 321.) Τὸ δὲ ἑκα 1.279 τέρω, σημαίνει μὲν τὸ ποῤῥωτάτω ὁμοίως τῷ τηλοτάτω. ὅπως δὲ γίνεται, ἐν τῇ Ἰλιάδι δεδήλωται. Περὶ δὲ Εὐβοίας, καὶ ἡ Ὁμηρικὴ Βοιωτία δηλοῖ καὶ τὰ τοῦ περιηγητοῦ. (ῃερς. 322.) Τὸ δὲ φασὶν ἔμμεναι, ἀσφαλῶς ἐῤῥέθη. ὡς ἂν εἴπου καὶ ἐλέγχεται ὁ βασιλεὺς, εἰς τὴν κοινὴν φήμην ἀνάγοι τὸ αἴτιον. (ῃερς. 324.) Τὸ δὲ γαιήϊον, κτητικοῦ τύπου ἐστίν. ἔστι γὰρ ἀπὸ τοῦ γαῖα, τὸ κτητικὸν γαίειος. καὶ κατὰ διάλυσιν, γαιήϊος. ὁ κατὰ μῦθον μὲν, γῆς υἱὸς οἷα ἐκεῖθεν ἀναδοθείς. ἄλλως δὲ, πολυπέλεθρος καὶ τὰ εἰς σῶμα περιττός. (ῃερς. 325.) Τοῦ δὲ ἄτερ ἡ σύνθεσις, εἴη ἂν, ἀπὸ τοῦ ¯α στερητικοῦ μορίου καὶ τοῦ τείρειν. τὰ γὰρ ἄτερ εἶναι λεγόμενα, οὐ τείρουσιν ἄλληλα δι' ἐπιπτώσεως ἢ ἀντερείσεως ἤ τινος ὅλως θίξεως. διὸ καὶ ἑρμηνεία τοῦ ἄτερ ἐπιῤῥήματος, τὸ χωρίς. διὰ τὸ χωρίον ἤτοι χώραν εἶναί τινα μέσον ὁπωσοῦν τῶν ἄτερ ὄντων. τὸ δ' αὐτὸ ἄτερ, διασαφεῖται καὶ ὑπὸ τοῦ δίχα, διὰ τὸ δεδιχᾶσθαι ἀλλήλων τὰ ἄτερ τεταγμένα. λέγεται δὲ αὐτὸ καὶ νόσφι, διὰ τὸ νενοσφίσθαι ἤτοι διακεκρίσθαι καὶ κεχωρίσθαι τὰ ἄτερ, ἀλλήλων. ἔτι δὲ καὶ ἄνευ ἐκεῖνο φαμὲν καὶ ἄνις, διὰ τὸ ἐν τοῖς οὖσιν ἄτερ, θεωρεῖσθαι τὸ μὴ νεύειν μὴ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νίσσεσθαι ὅ ἐστι πορεύεσθαι πρὸς ἄλληλα, ἀλλὰ ἰδιάζειν. ὅθεν καὶ ἰδίᾳ ἐπιῤῥηματικῶς λέγεται τὸ ἄτερ. οὐκοῦν ταυτὰ πολυωνυμίας λόγῳ, τὸ ἄτερ. χωρίς. νόσφιν. ἄνευ. ἄνις. καὶ ἰδίᾳ. Τὸ δὲ ἄτερ καμάτοιο, ἢ τὸ φερέπονον δηλοῖ τῶν κωπηλατῶν. ἢ τὸ ὡς καὶ προεῤῥέθη, ἔμψυχον τῶν νηῶν. Τὸ δὲ τέλεσσαν, ἐλλειπτικῶς ἔχει. τὸ γὰρ τέλειον ἦν, ὅτι ἐτέλεσαν τὸν πλοῦν ἢ τὸ ἀγαγεῖν τὸν Ῥαδάμανθυν εἰς Εὔβοιαν. ταυτὸν δὲ τὸ ἐτέλεσαν καὶ τὸ ἀπήνυσαν, ἐπεὶ καὶ ἀνύω τὸ τελειῶ λέγεται. Τὸ δὲ ἀπήνυσαν, γράφεται καὶ ἀπήγαγον. (ηερς. 326.) Ἰστέον δὲ ὡς εἰ καὶ πάλαί ποτε οἱ Φαίακες σὺν τῷ εἶναι ναυτικοὶ καὶ ἀγαθοὶ ἦσαν, ἀλλ' ἐν τοῖς ὕστερον ἀλλοῖοι ἐξέπεσον. Ἕρμιππος γοῦν ψέγων αὐτοὺς, ἔγραψεν οὕτω. Κερκυραίους ὁ Ποσειδῶν ἐξολέσειε ναυσὶν ἐπὶ γλαφυραῖς ὅτι δίχα θυμὸν ἔχουσιν. ἔδειξε δὲ τὸ κατ' αὐτοὺς τοιοῦτον ἦθος, καὶ ὁ κατὰ τὸν Ξέρξην καιρὸς ὡς καὶ Ἡρόδοτος ἱστορεῖ. (ηερς. 327.) Ὅτι λόγος ἄρχοντος ἐναβρυνομένου στόλῳ οἰκείῳ τὸ, (ηερς. 328.) εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν ὅσσον ἄρισται νῆες ἐμαὶ καὶ κοῦροι ἀναῤῥίπτειν ἅλα πηδῷ, ὅ ἐστι κωπηλατεῖν. ὡς ἀπὸ τοῦ παρακλουθοῦντος. ἀναῤῥίπτεται γὰρ ταῖς κώπαις τὸ ὕδωρ. Τὸ δὲ ἀναῤῥίπτειν, γράφεται καὶ περισπωμένως. Πηδὸν δὲ, οὐ τὸ πηδάλιον λέγει νῦν, οὐ γὰρ ἔχειν δοκοῦσι πηδάλιον αἱ τῶν Φαιάκων νῆες. οἷα κατὰ τὸ ποιητικὸν τέρας, αὐταὶ νοοῦσιν ὅπῃ πλευσοῦνται. κώπη δέ ἐστιν ἄρτι τὸ πηδόν. ἐν δὲ σχολίοις παλαιοῖς εὕρηται καὶ ὅτι εἶδος ξύλου τὸ πηδόν. δῆλον δὲ ὡς ἐκ τοῦ πηδὸν γίνεται πλεονασμῷ τῆς ¯αλ συλλαβῆς, τὸ πηδάλιον. (ηερς. 331.) Ὅτι εὐχὴ ξένου πρὸς ξενοδόχον ἀγαθὰ ὑπισχνούμενον τὸ, θεὲ πάτερ αἴθ' ὅσα εἶπε τελευτήσειεν ἅπαντα ὁ δεῖνα. τοῦ μὲν ἂν ἐπὶ ζείδωρον ἄρουραν ἄσβεστον κλέος εἴη, ἐγὼ δέ κε πατρί δ' ἱκοίμην. Ὀδυσσέως δὲ ἡ εὐχὴ, τρέψαντος ἐνδιαθέτως τὸν λόγον ἐκ δευτέρου προσώπου τοῦ Ἀλκινόου εἰς τρίτον πρόσωπον τὸν Δία. (ηερς. 333.) Καὶ ὅρα ὡς ἄσβεστον μὲν γέλων εἰπεῖν, καὶ οὐδέ ποτ' οὖρος ἔσβη, ἔχουσιν ἐν τῇ τροπῇ θεραπείαν δι' ἐμφαινομένην θερμότητα. καθ' ὁμοιότητα τοῦ, ἄσβεστον πῦρ καὶ ἀσβέστη φλόξ. τὸ δὲ ἄσβεστον κλέος οὐκ ἂν εἴη μακρὰν κακοζήλου εἰ μή τις ὑπονοήσει τοιοῦτον, τὸ οὐράνιον ἤτοι αἰθέριον. καὶ ἐρεῖ ὅτι καὶ τὸ ὑψηλὸν κλέος, ἄσβεστον εἴη ἂν ὡς διὰ τὸν θερμὸν αἰθέρα, ᾧ παρονομάζεται τὸ αἰθέριον. ἐν τούτοις δὲ καὶ γέρας εἴτε τέλος τοῦ εὐεργετεῖν τὸ κλέος εἰπὼν ὁ ποιητὴς, ἀρχὴν ἐνδίδωσι τοῖς δοξάζουσιν ἐν τιμῇ κεῖσθαι τὸ τέλος τῆς ἀρετῆς. (ηερς. 336.) Ὅτι καὶ τῷ Ὀδυσσεῖ ἐνταῦθα ὡς καὶ τοῖς βασιλικοῖς ξένοις ἐν τῇ ¯δ ῥαψῳδίᾳ δέμνια ὑπ' αἰθούσῃ τίθεται καὶ ῥήγεα καλὰ πορφύρεα ἐμβάλλεται. στορέννυνταί τε ἐφύπερθε τάπητες. χλαῖναι τ' ἐντίθενται οὖλαι. Τὰ δὲ δέμνια, τρητὰ λέχη προϊὼν λέγει, ἔτι δὲ καὶ πυκινὸν λέχος. εἰ δὲ τὸ τρητὸν οὐκ ἔστι πυκινὸν καθὸ τέτρηται, ἀλλ' ἐν τούτοις, ἥρμοσται ἄμφω τοῖς δεμνίοις. τὸ μὲν, διὰ τὰς ἐν τῇ κλίνῃ κατατρήσεις. τὸ δὲ, διὰ τὴν τοῦ στρώματος πυκνότητα δι' ἣν καὶ στιβὰς λέγεται ἀπὸ τοῦ στείβω, ἐξ οὗ καὶ ἡ στίβη ὡς προδεδήλωται. (ηερς. 337.) Ὅτι δὲ τὸ στορέσαι ἐπὶ εὐνῆς κυριολεκτεῖται, δηλοῖ ἐνταῦθα καὶ τὸ, ἐστόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι. ὃ καὶ πεποιῆσθαι εὐνὴν λέγεται ἐν τῷ, ὦ ξεῖνε, πεποίηταί τοι εὐνή. Τίς δὲ ἡ αἴθουσα καὶ διατὶ οὕτω καλεῖται, καὶ πῶς ἐρίδουπος λέγεται, ἐν ἄλλοις δὲ καὶ ἐρίγδουπος, πολλαχοῦ δηλοῦται. 1.280 ΥΠΟΘΕΣΙΣ ΤΗΣ Θ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Ἐκκλησία γίνεται τῶν Φαιάκων περὶ τοῦ ξένου. καὶ ναῦς καθέλκεται πρὸς ἐκπομπὴν τοῦ Ὀδυσσέως. καὶ ἑστιῶνται παρὰ τῷ Ἀλκινόῳ τῶν Φαιήκων οἱ ἄριστοι. καὶ μετὰ ταῦτα δίσκῳ ἀγωνίζονται Φαίακες καὶ Ὀδυσσεύς. καὶ ὁ Δημόδοκος ᾄδει, πρῶτα μὲν τὰ περὶ τὴν μοιχείαν Ἄρεως καὶ Ἀφροδιτης. ἔπειτα δὲ, τὰ περὶ τὴν εἰσαγωγὴν τοῦ δουρείου ἵππου. καὶ τοῦ Ὀδυσσέως κλαίοντος, ὁ Ἀλκίνοος πυνθάνεται διατὶ κλαίει, καὶ τίς καὶ πόθεν εἴη. ΟΔΥΣΣΕΙΑΣ Θ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. Ὅτι ἡ θῆτα ῥαψῳδία σύστασιν τοῦ Ὀδυσσέως ἔχει πρὸς τοὺς Φαίακας. ἀθροίζονται γὰρ διὰ κήρυκος ἐπ' αὐτὸν, καὶ θαυμάζουσι διὰ πολλά. μετὰ δέ γε τὴν ῥαψῳδίαν ταύτην ἄρχεται διηγεῖσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὀδυσσεὺς μακρολογῶν τὰ καθ' ἑαυτόν. διὸ καὶ ἡ ἐπιγραφὴ τοῦ γράμματος τούτου τοιάδέ τις. τὰ παρὰ Ἀλκινόῳ προδιηγήσεως. ἢ τῶν παρὰ Ἀλκινόῳ προδιήγησις. πλείων δὲ ἡ πρώτη γραφή. ἢ λέγοι ἂν, ὅτι ἐνταῦθα τὰ τοῦ Ὀδυσσέως παρὰ Ἀλκινόῳ, ἤγουν τὰ πρὸ τῶν ἑξῆς διηγημάτων. ἔχει δὲ ἀσαφῶς ἡ ἐπιγραφὴ, διὰ τὸ περιεργασθῆναι εἰς βραχυλογίαν ἐπίτηδες. (ῃερς. 2.) Ὅτι δηλῶν ὁ ποιητὴς ταυτὸν εἶναι (ῃερς. 3.) ὄρνυσθαι καὶ ἀνόρεσθαι, φησὶν ἐνταῦθα. ὤρνυτ' ἂρ ἐξ εὐνῆς Ἀλκίνοος. καὶ, ἂν δ' ἄρα διογενὴς ὦρτ' Ὀδυσσεύς. (ῃερς. 5.) Ὅτι ὥσπερ οἱ ὕστερον Ἀττικοὶ ἔλαιον φασὶ, τὸν τόπονἔνθα ἐμπολᾶται τὸ ἔλαιον, καὶ ἰχθύας, ἔνθα οἱ ἰχθύες τιμῆς ἀπεδίδοντο, ἐκ τοῦ περιεχομένου δηλοῦντες τὸν περιέχοντα τόπον, οὕτω καὶ νῦν ὁ ποιητὴς τὴν τῶν Φαιάκων ἀγορὰν παρὰ νηυσὶ τετύχθαι φησὶν, ἤγουν ὅπου αἱ νῆες ἵσταντο. ἔνθα καὶ λίθων ξεστῶν ἕδρας ἱστορεῖ. (ῃερς. 7.) Ὅτι Ἀθηνᾶ καὶ ἐνταῦθα ὥς που καὶ ἐν Ἰλιάδι, κήρυκι ὁμοιοῦται, προθεμένη ὀτρῦναι τοὺς Φαίακας ὑπὲρ Ὀδυσσέως. ἑκάστῳ γάρ φησι φωτὶ παρισταμένη, φάτο μῦθον. δεῦτ' ἄγε Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες (ῃερς. 12.) εἰς ἀγορὴν ἰέναι ἤγουν ἔλθετε, ὄφρα ξείνοιο πύθοισθε, ὃς νέον Ἀλκινόοιο δαΐφρονος ἵκετο δῶμα πόντον ἐπιπλαγχθεὶς, δέμας ἀθανάτοισιν ὁμοῖος. ἔστι δὲ Ἀθηνᾶ ἐνταῦθα, ἢ φήμη τις περὶ τοῦ, φρόνιμόν τινα πλανήτην εἰς τὴν κατ' αὐτοὺς γῆν ἐλθεῖν ἧς χάριν καὶ συνάγονται, ἢ ἡ παρ' ἑκάστῳ τῶν Φαιάκων φυσικὴ σύνεσις. καθ' ἣν μαθόντες ξένον ἄξιον λόγου ἐπιφοιτῆσαι χρῆμα τοῦτο σπάνιον ἐν αὐτοῖς, ἥκουσι κατὰ θέαν πειρασόμενοι τοῦ ἀνδρός. σεμνὸν δὲ τὸ πρᾶγμα, εἰ μὴ θνητὸς κῆρυξ ἀλλ' Ἀθηνᾶ ὑπουργεῖ τῇ τοῦ λαοῦ προσκλήσει. καὶ τὸ πιθανὸν τῆς ἐφεξῆς ἀλλοιώσεως τοῦ Ὀδυσσέως ἐκ τοῦ καλοῦ εἰς τὸ κάλλιον, ἐντεῦθεν ἄρχεται προκαταβάλλεσθαι ὁ ποιητής. (ῃερς. 11.) Ὅρα δὲ τὸ, δεῦτ' ἄγε καὶ ἑξῆς. ἔνθα φανερῶς δηλοῦται τὸ ἄγε, προστακτικὸν ἐπίῤῥημα ὄν. δυνάμενον καὶ ἀκινητίζειν, καὶ συμμεταπίπτειν ταῖς πτώσεσι. καὶ νῦν μὲν, ἀκίνητον μένει. ἀλλαχοῦ δὲ, πληθύνεται. ὡς καὶ ἐν τῷ, ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες. (ῃερς. 12.) Ὅρα δὲ καὶ τὸ πυθέσθαι γενικῇ συντάσσεσθαι πεφυκὸς, ὡς δηλοῖ τὸ, ὄφρα ξείνοιο πύθεσθε. (ῃερς. 14.) Τὸ δὲ δέμας ἀθανάτοισιν ὁμοῖος, ἐπεγείρουσα εἰς ἀγορὰν λέγει. ὡς ἂν οἱ μὲν φιλόξενοι τὸν ξένον ποθήσωσιν. οἱ δὲ φιλόκαλοι, πρὸς τὸ κάλλος ἀπίδωσιν. οἱ δὲ φιλίστορες, πρὸς τὴν ἀκρόασιν τοῦ πολυπλανήτου ξένου. ἐοίκασι δὲ χαίρειν μάλιστα οἱ Φαίακες τῷ κάλλει ὡς καὶ ἡ κόρη ἐδήλωσε καὶ ὁ πατὴρ Ἀλκίνοος. διὸ καὶ ἡ μυθικὴ Ἀθηνᾶ μετ' ὀλίγα, πλείονα ἑαυτοῦ τὸν Ὀδυσσέα ποιήσει, ὡς ἂν φιληθείη τοῖς Φαίαξιν. (ῃερς. 15.) Ὅτι σπουδαίαν ἄθροισιν λαοῦ εἰς ἀγορὰν δηλοῖ τὸ, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. καρπαλίμως δὲ ἔπλυντο βροτῶν ἀγοραί τε καὶ ἕδραι ἀγρομένων. (ῃερς. 17.) εἰ δὲ καὶ θαυμαστὸς ἀνὴρ εἴη τις δι' ὃν ἡ ἀγορὰ, προσήκει εἰπεῖν καὶ τό. πολλοὶ δ' ἄρα θηήσαντο ἰδόντες τὸν δεῖνα. Ὅτι τῷ Ὀδυσσεῖ θεσπεσίην ἡ Ἀθηνᾶ κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις. καὶ μακρότερον καὶ πάσσονα 1.281 θῆκεν ἰδέσθαι, ὥς κεν Φαιήκεσσι φίλος πάντεσσι γένοιτο, δεινός τ' αἰδοῖος τε. (ῃερς. 23.) καὶ ἐκτελέσειεν ἀέθλους πολλούς. τοὺς, ἤγουν καθ' οὓς, Φαίηκες ἐπειρήσαντ' Ὀδυσσῆος. Καὶ ὅρα τὸ φύσει χρήσιμον τοῦ μήκους καὶ τοῦ πάχους. διὰ τούτων γὰρ δεινός τε τοῖς βλέπουσι φαίνεται Ὀδυσσεὺς, (ῃερς. 22.) καὶ αἰδοῖος διὰ τὸ ἡρωϊκὸν μέγεθος καὶ ἀγαθὸς ἀθλητής. εὐσωματεῖν γὰρ χρεὼν τοὺς τοιούτους ὡς καὶ ἡ παρὰ τοῖς παλαιοῖς ἀλείπταις σωμασκία δηλοῖ. (ῃερς. 22.) Τὸ δὲ μακρότερον καὶ πάσσονα θῆκεν, οὐκ ἀπέοικε τοῦ, μέλε' ἤλδανεν. ὅ ἐστιν ηὔξανε τὰ μέλη. συντομώτερον δὲ τούτου ἐκεῖνο. εἰσὶ δὲ ταῦτα, ἡ ῥηθεῖσα θεσπεσία χάρις. ἅπερ οὐ φύσει τῷ Ὀδυσσεῖ προσῆσαν ἀλλὰ θεόθεν συνέπεσον. Ἔστι δὲ πάσσων ὡς καὶ ἀλλαχοῦ ἐγράφη, ὁ παχύτερος. καὶ γίνεται ἀπὸ τοῦ παχὺς παχίων πάσσων. ὁποίῳ τρόπῳ καὶ ὁ μάσσων γίνεται ἐκ τοῦ μακρύς. καὶ ὁ βράσσων, ἐκ τοῦ βραχύς. καὶ ὁ ἐλάσσων, ἐκ τοῦ ἐλαχός. ὃ παρὰ Καλλιμάχῳ κεῖται. τοῦ δὲ μάσσων τὸ οὐδέτερον κεῖται μετ' ὀλίγα ἐν τῷ, τοσοῦτον ἢ ἔτι μάσσον. Ἐκ δὲ τοῦ, μακρότερον καὶ πάσσονα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἰδέσθαι, κεχορήγηται τοῖς ὕστερον τὸ, ὁ δεῖνα καλὸς ἰδεῖν, ἢ ὁ δεῖνα ἐμβριθὴς ἰδέσθαι. (ηερς. 22.) Τὸ δὲ ἐκτελέσειεν ἀέθλους πολλοὺς, οὐ πρὸς ἐνέργειαν κεῖται, ἀλλὰ κατὰ τὸ φύσει δύνασθαι. εἰ γὰρ καὶ μόνον ἐδίσκευσεν ὁ Ὀδυσσεὺς οὐχ' ὑποδὺς καὶ ἑτέρους ἄθλους, ἀλλ' ἐπεὶ ἐν οἷς αὐτὸς εὐδοκιμεῖν εἴπῃ ἐν ἐκείνοις ἀπαγορεύσουσιν οἱ Φαίακες, τρόπον τινὰ καὶ τούτους τοὺς πολλοὺς ἐξετέλεσσεν ὧν οἱ Φαίακες ὑπεξεχώρησαν αὐτῷ. ἐρεῖ γὰρ, ὡς πάντα οὐ κακός εἰμι μετ' ἀνδράσιν ὅσοι ἄεθλοι καὶ τὰ ἑξῆς ὡς κατὰ τόπον ῥηθήσεται. Τὸ δὲ ἐπειρήσαντ' Ὀδυσσῆος, προκατῆρξε γνωμικοῦ τοῦ, διάπειρά τοι βροτῶν ἔλεγχος. (ηερς. 28.) Ὅτι χρήσιμόν ποτε ῥηθῆναι εἰς ξενίαν καὶ πομπὴν ξένου τὸ, ξεῖνος ὅδε οὐκ οἶδ' ὅς τις, ἀλώμενος ἵκετ' ἐμὸν δῶ, ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων. πομπὴν δ' ὀτρύνει, καὶ λίσσεται ἔμπεδον εἶναι. ἡμεῖς δ' ὡς τὸ πάρος περ, ἐποτρυνώμεθα πομπήν. οὐδὲ γὰρ οὐδέ τις ἄλλος ὅς τις κ' ἐμὰ δώμαθ' ἵκηται, ἐνθά δ' ὀδυρόμενος. δηρὸν μένει εἵνεκα πομπῆς. Ἀλκίνοος δὲ ταῦτα φησίν. Ἔνθα καὶ σημείωσαι ὡς οὐ μόνος Ὀδυσσεὺς τοῖς Φαίαξιν ἀλήτης ἦλθεν, ἀλλὰ καὶ ἄλλοις τοῦτο ἐγίνετο. οὐκ ἄρα πάντῃ ἐκτετοπισμένοι ἦσαν κατὰ τὸν μῦθον, ἀλλ' ὑπεμφαίνει που καὶ τὸ ἀληθὲς ὁ ποιητής. Ὅρα δὲ τὸ, (ηερς. 33.) ὀδυρόμενος μένει εἵνεκα πομπῆς. νόσος μὲν γὰρ ἴσως ἤ τι τοιοῦτον, κωλύσει τὸν ξένον τῆς ταχείας πομπῆς. ἡμεῖς μέντοι οὐκ ἀναβαλούμεθά ποτε τὴν πομπήν. Ἠοίους δὲ ἀνθρώπους λέγει, τοὺς ἀνατολικούς. ὃ καὶ ἀλλαχοῦ ἐῤῥέθη. (ηερς. 29.) Τὸ δὲ πρὸς ἠοίων, ταυτόν ἐστι τῷ, ἐκ τῶν ἐῴων. προθέσεως κειμένης ἀντὶ ἑτέρας προθέσεως. ὃ μυριαχοῦ γίνεται. Ἰστέον δὲ ὅτι σύνηθες Ὁμήρῳ οὐκ ἐνταῦθα μόνον ἀλλὰ καὶ ἐν ἄλλοις, εἰς δύσιν καὶ ἀνατολὴν ὁλοσχερῶς μερίζειν τὰ κοσμικά. ὡς δηλοῖ καὶ τὸ, οὐκ ἴδμεν ὅπῃ ζόφος οὐδ' ὅπῃ ἠώς. καὶ εἴτ' ἐπὶ δεξιὰ ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε, εἴτ' ἐπαριστερὰ ποτὶ ζόφον ἠερόεντα. (ηερς. 30.) Τοῦ δὲ ἔμπεδον ἡ μὲν κυριολεξία, καὶ πρὸ ὀλίγων ἐγράφη. νῦν δὲ, μεταφορικῶς οὕτω φησὶ τὸ στερεόν. (ηερς. 35.) Ὅτι πρωτόπλοον μὲν νῆα τῷ Ὀδυσσεῖ ἐπιλεγῆναι κελεύει ὁ βασιλεύς. κούρους δὲ δύο καὶ πεντήκοντα κρίνασθαι κατὰ δῆμον ἐθέλει, (ηερς. 36.) οὐ πρωτοπλόους καὶ αὐτοὺς ἤτοι πρωτοπείρους τῆς ναυτιλίας, ἀλλὰ ὅσοι πάρος εἰσὶν ἄριστοι. ταυτὸν δὲ εἰπεῖν, ἔκκριτοι, πάντως γὰρ, οἱ ἄριστοι κρίνονται ἤγουν ἐπιλέγονται. Πρωτόπλοος δὲ ναῦς, οὐ μόνον ἡ ἐκ καινῆς ναυπηγηθεῖσα, ἀλλὰ καὶ ἡ πρώτη κατὰ τὸ πλέειν. ἢ μετὰ πρώτου τινὸς πλέουσα, ὅ ἐστι ναυαρχίς. Ἰστέον δὲ ὡς εἰ καί τινα τῶν ἀντιγράφων παροξύνουσι τὴν πρωτόπλοον νῆα διὰ τὸ τῆς σημασίας ἐνεργητικὸν ὁμοίως τῷ, πρωτοτόκος γυνὴ καὶ τοῖς τοιούτοις, ἀλλὰ κωλύεται ἡ παροξυτόνησις διὰ τὸ ἀριθμητικὸν εἶναι τὸ τοιοῦτον. καὶ οὐ κατὰ τὸ, ἁπλόος. διπλόος. τριπλόος. προληφθὲν οὖν ἀριθμητικῶς τοῦτο οὐκ ἐᾷ παροξύνεσθαι τὸ πρωτόπλοον. (ηερς. 39.) Ὅτι παρέχειν ἐνταῦθα κεῖται τὸ διδόναι. φησὶ γάρ, ἐγώ δ' εὖ πάντεσσι παρέξω. οὗ τὸ ἀνάπαλιν, ἀφέξω. ἵνα εἴη παρέχειν μέν τι, τὸ ἐγγύς τινος ἔχειν. ἀπέχειν δὲ, τὸ πόῤῥω ἔχειν. ὡς δηλοῖ ἐν τοῖς ἑξῆς καὶ τὸ, ἄπισχε δὲ φάσγανον ὀξύ. (ηερς. 37.) Ὅτι ἐν τῷ, δησάμενοι ἐπὶ κληῖσιν ἐρετμὰ, ἔοικε κληῖδας λέγειν. τὴν συνοχὴν τῶν κωπῶν πρὸς τοὺς σκαλμούς. τοιαύτη δὲ συνοχὴ, οἱ τροποί. οὓς καὶ φθάσας εἶπεν. (ηερς. 41.) Ὅτι σκηπτούχους βασιλεῖς λέγει τοὺς δώδεκα οἳ συνάρχουσι τῷ Ἀλκινόῳ οὐκ ἀποστερήσας οὐδ' αὐτοὺς τῆς βασιλικῆς κλήσεως, εἰ καὶ ὑπερέχει ὁ Ἀλκίνοος. ὑποκαταβὰς δὲ, 1.282 (ηερς. 26.) σκηπτούχους μόνον αὐτοὺς λέγει, ἐλλείψας τὸ βασιλεῖς. οὓς καὶ ἕπεσθαι ἡγουμένῳ τῷ Ἀλκινόῳ λέγει, ὡς ἐλάττονας μείζονι. Ὅτι προτροπὴ εἰς φιλοξενίαν τὸ, ἔρχεσθ' ὄφρα ξεῖνον ἐνὶ μεγάροις φιλέωμεν μὴ δέ τις ἀρνείσθω. (ηερς. 44.) Ὅτι καθὰ τοῖς Ἰθακησίοις τὸν Φήμιον, οὕτω καὶ τοῖς Φαίαξι περικλυτὸν καὶ θεῖον ἀειδὸν Ὅμηρος δίδωσι τὸν Δημόδοκον καὶ ἔφθασε γραφῆναί τι ἱστορικῶς περὶ τούτων τῶν δύο ἀνδρῶν. Εἰ δὲ θεῖος ἀοιδὸς ὁ Δημόδοκος ὡς μὴ μόνον τὰ κατ' ἀνθρώπους ἀείδων ἀλλὰ καὶ τὰ περὶ θεοὺς ὡς ἐν τοῖς ἑξῆς εἰρήσεται, οὐκ ἂν οὐδ' ὁ ποιητὴς στεροῖτο τοῦ, θεῖος καὶ αὐτὸς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀοιδὸς καλεῖσθαι. ᾧ καὶ ἄλλως ἐμφέρειά ἐστι πρὸς τὸν Δημόδοκον. ἐρίηρος γὰρ καὶ Ὅμηρος κατ' ἐκεῖνον ἀοιδός, καὶ περικλυτός. καὶ Μούσαις φίλος. καὶ ἔχων ἀγαθόν τε κακόν τε τὸ κατὰ σοφίαν καὶ πήρωσιν καθὰ καὶ ἐκεῖνος, ὡς μετ' ὀλίγα ῥηθήσεται. καὶ οἴμην καὶ αὐτὸς μεταχειρισάμενος συγγενῆ τῇ τοῦ Δημοδόκου. Τρωϊκὴν γὰρ ᾄδει μετ' ὀλίγα ἱστορίαν ὁ Δημόδοκος, ἧς τότε τὸ κλέος οὐράνιον. καὶ Ὅμηρος δὲ, Τρωϊκὸν βιβλίον τὴν Ἰλιάδα ᾖσεν. ἧς τὸ κλέος οὐρανὸν εὐρὺν ἵκει. καί πως κατὰ τὴν τῆς τραγῳδίας Ἑκάβην εἰποῦσαν δύστην' ἐμαυτὴν γὰρ λέγω λέγουσα σὲ, εἰπεῖν ἔχει καὶ ὁ ποιητὴς πρὸς ἑαυτόν. θεῖε ἀοιδὲ, ἐμαυτὸν γὰρ λέγω ἐν οἷς χαρακτηρίζω τὸν Δημόδοκον. εἰ δὲ καὶ τῷ Δημοδόκῳ (ῃερς. 45.) θεὸς περιδῶκεν ἀοιδὴν τερπνὴν ὅπῃ οἱ θυμὸς ἐποτρύνῃσιν ἀείδειν, τίς ἂν πλέον Ὁμήρου καὶ τὸ τοιοῦτον ἔχοι καλόν; Ἐν τούτῳ δὲ τὸ μὲν τερπνὴν, γράφεται καὶ τέρπειν. Θυμὸς δὲ, ἢ ὁ τοῦ Δημοδόκου νοεῖται, ἢ ἡ ἐπιθυμία τῶν ἀκροατῶν κατὰ τοὺς παλαιούς. Εἰ δὲ καὶ Μοῦσα τὸν Δημόδοκον ἀνίῃσιν ᾄδειν ὁρμηθέντα, πάσχοι ἂν αὐτὸ καὶ Ὅμηρος οἷα Μούσῃ κάτοχος. ἀφ' ἑαυτοῦ γὰρ οἷά τινος πρωτοτύπου, καὶ τὴν τοῦ Δημοδόκου εἰκόνα ἔχρωσεν. (ῃερς. 47.) Ὅτι μετοίχεσθαι, τὸ εἴς τινα ἐλθεῖν. οἷον. κῆρυξ δὲ μετῴχετο θεῖον ἀοιδόν. Καὶ ὅρα ὡς δὶς εἰπὼν τὸ, θεῖον ἀοιδὸν, μετ' ὀλίγα τὸν αὐτὸν ἐρίηρον λέγει ἀοιδὸν ἤγουν πάνυ ἁρμονικὸν, ἐν τῷ, κῆρυξ δ' ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν. εἰπεῖν γὰρ πάνυ ἐπιθυμητὸν, οὐχ' οὕτως ἐπιτυχές. ἔοικε δὲ πρὸς τοῦτο καὶ τὸ, (ῃερς. 62.) ἐρίηρες ἑταῖροι. περὶ οὗ ἀλλαχοῦ διελήφθη. Ὅτι σύνηθες παρὰ τοῖς ῥήτορσιν, ἐν παραθέσει δύο ἀριθμῶν τοῦ μὲν μείζονος, τοῦ δ' ἐλάττονος, προηγεῖσθαι φυσικῷ λόγῳ τὸν ἐλάττονα. οὕτω γὰρ ἕνδεκα καὶ δυοκαίδεκα φαμέν. καὶ δύο καὶ εἰκοσίπηχυ. καὶ ἕτερα μυρία. διὸ καὶ ἐνταῦθα ὁ ποιητὴς οὐ μόνον δύω καὶ πεντήκοντα λέγει, ἀλλὰ καὶ τὴν τοῦ λόγου σύνταξιν πρὸς τὸ δύο ἀποτείνει, οὐ πρὸς τὸ πληθυντικὸν τὸ πεντήκοντα, εἰπών. κούρω δὲ κριθέντε δύο καὶ πεντήκοντα, βήτην. καὶ πρὸ ὀλίγων δὲ, κούρω δύο καὶ πεντήκοντα κρινάσθων ἔφη. ἐκεῖ μέντοι διὰ τὸ πεντήκοντα, καὶ πληθυντικὸν ἐπάγει τὸ, ὅσοι πάρος ἄριστοι. Ἰστέον δὲ ὅτι τρίτον ἐστὶ μεγάλης τριήρεως ἡ ἐνταῦθα ναῦς. ὁ γὰρ καθ' Ὅμηρον τρίτος ἀριθμὸς τῶν ἐν τοῖς τριήρεσιν ἐπικώπων εἰς πεντηκοντάδα ἐκορυφοῦτο, ὡς καὶ ἐν Ἰλιάδι ἐδηλώθη κατὰ τὸ τέλος τῆς βῆτα ῥαψῳδίας. κατὰ τοιοῦτον ἀριθμὸν καὶ Ὀδυσσεὺς ἐν τοῖς ἑξῆς τοὺς ἑταίρους μερίζων, εἰς Κίρκην στέλλει. τοσοῦτοι δὲ καὶ ἐνταῦθα οἱ τὸν Ὀδυσσέα στελοῦντες κοῦροι ναῦται. οἱ δέ γε ἐπέκεινα δύο, ὁ κυβερνήτης δοκοῦσιν εἶναι καὶ ὁ πρωρεύς. (ῃερς. 50.) Ὅτι διασκευὴ κεῖται καὶ ἐνταῦθα, συντόμου ἑτοιμασίας πλοῦ, ὁποῖα κεῖται καὶ ἐν τῇ ¯δ ῥαψῳδίᾳ παρ' ὀλίγα τινά. λέγει γὰρ ὡς ἐπὶ νῆα κατήλυθον, καὶ νῆα μὲν ἁλὸς βένθοσδε ἔρυσαν, ἐν δ' ἱστὸν τίθεντο, ἠρτύναντο δ' ἐρετμά. ἀνὰ δ' ἱστία λευκὰ πέτασαν. ὑψοῦ δ' ἐν (ῃερς. 55.) νοτίῳ τήνδ' ὥρμισαν. ὃ ταυτόν ἐστι πάντως τῷ, ἁλὸς βένθοσδε ἔρυσαν. Καὶ ὅρα τὴν ἐν τῇ τοιαύτῃ διασκευῇ κατασπορὰν τῶν παρίσων. τὸ, ἔρυσαν. πέτασαν. ὥρμισαν καὶ τὸ, τίθεντο. ἠρτύναντο. (ῃερς. 66.) Ὅτι λαμπρᾶς εἰλαπίνης ἡρωϊκῆς μικρὰ ἔκφρασις τὸ, βὰν ἴμεν ἐς μέγα δῶμα. πλῆντο δ' ἄρ αἴθουσαί τε καὶ ἕρκεα καὶ δόμοι ἀνδρῶν. τοῖσι δὲ, ὁ δεῖνα δυωκαίδεκα μῆλ' ἱέρευσεν. ὀκτὼ δ' ἀργιόδοντας ὕας. δύο δ' εἰλίποδας βοῦς, (ῃερς. 61.) εἶτα συντομώτατα ἐπιπλέκων διασκευὴν σφαγιάσματος καὶ δαιτὸς ἐπάγει. τοὺς δέρον ἀμφί θ' ἔπον τετύκοντό τε δαῖτ' ἐρατεινήν. Καὶ ὅρα ὅτι παιδεύων Ὅμηρος εἰς ἔργα σπουδαῖα οὐκ ἐθέλει ἐνδιατρίβειν διασκευαῖς. (ῃερς. 63.) Ὅτι τὴν ἀνθρωπίνην εὐτυχίαν ὑποδηλῶν ὡς ἐν Ἰλιάδι ἐν τῷ περὶ τῶν δύο πίθων λόγῳ οὕτω δὴ κἀνταῦθα ὁ ποιητὴς, ἔχουσαν συναναμεμιγμένα φαῦλα καλοῖς φησὶν οὕτω περὶ Δημοδόκου. τὸν, περὶ Μοῦσα φίλησε. δίδου δ' ἀγαθόν τε κακόν τε. ἃ καὶ ἐφερμηνεύων φησίν. (ῃερς. 64.) ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν. τινὲς δὲ οὐχ' Ὁμηρικῶς νοοῦντες, εἶπον πρὸς ἀγαθοῦ εἶναι τῷ ἀοιδῷ καὶ τὴν τῶν ὀφθαλ
1.283 μῶν ἄμερσιν ὅ ἐστιν ἀμαυρότητα, ἐπεί φασι μουσικώτεροι οἱ τοιοῦτοι ὡς μὴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσχολούμενοι περὶ πολλά. (ῥερς. 63.) Σημείωσαι δὲ καὶ ὅτι κατὰ σύλληψιν ἤτοι συνεκδοχὴν εἴρηται τὸ, δίδου δ' ἀγαθόν τε κακόν τε. ἀοιδὴν μὲν γὰρ ἀγαθὴν δίδωσιν ἡ Μοῦσα, οὐ μὴν ἡ αὐτὴ καὶ ὄψεως ἀποστερεῖ κατά γε τὸν μῦθον εἴγε θεοὶ δοτῆρες ἑάων, ἀλλ' αὐτόματον ἥκειν δοκεῖ τὸ κακόν. εἰ δὲ ὀρθῶς εἴρηται τὸ, ὦ Ζεῦ μίξον τι τοῖς ἀγαθοῖς καὶ δυστύχημα, εἴη ἂν καὶ κακόν τι θεόσδοτον. Ἰστέον δὲ ὅτι τὸ ἐφίλησε καὶ ἁπλῶς τὸ φιλεῖν, οὐ μόνον τὸ ἀγαπᾶν σημαίνει ἔτι δὲ καὶ τὸ χείλεσιν ἀσπάζεσθαι καὶ τὴν ἐκεῖθεν κατ' ἀρετὴν φιλίαν καὶ τὸν σπουδαίως φίλον, ἀλλὰ καὶ ἐπὶ ἐμπαθοῦς διαθέσεως τίθεται, ὡς δηλοῖ καὶ παρὰ τῷ σοφῷ Ἀθηναίῳ μάγειρος ἐμβαμμάτια καταλέγων καὶ ἰχθύδια κατασκευασθέντα μειρακίῳ ἐρωμένην ἔχοντι. φησὶ γὰρ ἐκεῖνος, ὡς ὁ τοιοῦτος νέος ἔστιν οὐ δειπνητικός. πρὸς τῷ φιλεῖν δὲ τὴν διάνοιαν ἔστ' ἔχων. Τὸ δὲ ὀφθαλμῶν ἄμερσε, ταυτόν ἐστι τῷ, ὀφθαλμοῦ ἀλάωσε. λάειν γὰρ καὶ μέρδειν, τὸ ὁρᾶν. διὸ καὶ ἀλαοῦν καὶ ἀμέρδειν, ἰσοδύναμά εἰσιν. ὅθεν καὶ ἄμφω ἀπὸ στερήσεως ἑρμηνεύονται. ἀλάωσε γὰρ καὶ ἄμερσεν, ἀντὶ τοῦ ἐστέρησεν ὄψεως. εἰ δέ τις, Μοῦσαν τὴν τῶν ἄνω καὶ περὶ οὐρανὸν ἐμμελῆ κίνησιν νοήσει ἀλληγορικῶς, δύναται καὶ κατὰ τὸν οὕτω φρονοῦντα, ἐκ τῆς τοιαύτης Μούσης καθ' εἱμαρμένην νοηθῆναι καὶ ἡ τύφλωσις. καὶ ἡ περὶ ἀνάγνωσιν δὲ ἔμμουσον ἄμετρος ἀσχολία ποιεῖ ποτε τὸ τοιοῦτον κακόν. Ἰστέον δὲ ὅτι τὸ, ἡ Μοῦσα τῷδε ἔδωκεν ἀγαθόν τε κακόν τε. ἢ μᾶλλον, τῷ δ' ἕτερον μὲν δῶκε πατὴρ ἕτερον δ' ἀνένευσεν, εἰπών τις ἀγαθὸς κιθαρῳδὸς ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη περὶ ἑτέρου φαύλου κιθαριστοῦ, καὶ ἐρωτηθεὶς τὸ ποῖον, ἔφη. κακῶς μὲν κιθαρίζειν ἔδωκε. καλῶς δὲ ᾄδειν, ἀνένευσε. παρ' ὑπόνοιαν ἐκεῖνος ἀστείως εἰπών. (ῥερς. 66.) Ὅτι ὥσπερ τὸν δημηγοροῦντα ἐχρῆν μέσον ἵστασθαι ὡς πάντοθεν ἀκούεσθαι, οὕτω καὶ τῷ ἀοιδῷ Δημοδόκῳ τίθεται θρόνος ἀργυρόηλος μέσσῳ δαιτυμόνων πρὸς κίονα μακρὸν ἐρεισθείς, ἵνα εἰς πάντας ἐξικνῆται τοὺς κύκλῳ τὰ τῆς ἀοιδῆς. οὕτω δὲ καὶ ἐν τοῖς ἑξῆς ὁ αὐτὸς κίεν ἐς μέσον. (ῥερς. 67.) Ὅτι ἐκ πασσαλόφιν κρέμαται φόρμιγξ λίγεια ἡ τοῦ Δημοδόκου ὑπὲρ κεφαλῆς αὐτοῦ. ὅθεν αὐτὴν ἐκεῖνος καθαιρῶν, ἐν καιρῷ μετεχειρίζετο. καὶ οὕτω μὲν ὁ ποιητής. ἡ δὲ ὕστερον παροιμία, ἐπὶ τῶν ἀμελουμένων λέγει τὸ, ἐκ πασσάλων φόρμιγγα ἢ τόξον ἤ τι τοιοῦτον ἀπῃωρῆσθαι καθ' ὁμοιότητα τοῦ, ὑπὲρ καπνοῦ τὸ πηδάλιον. ὅ ἐστιν, ἠμέληται ἡ ναυτιλία. καὶ μετὰ τὴν ἀοιδὴν δὲ, ἐκ πασσαλόφιν κατακρεμᾷ τὴν αὐτὴν φόρμιγγα ὁ Δημόδοκος. ἣν ὁ ποιητὴς οἰκείῳ ἔθει, λίγειαν προπαροξυτόνως λέγει, κατά τινα σειρηνιακὴν κλῆσιν. μιᾶς γὰρ τῶν Σειρήνων ὄνομα ἡ Λίγεια. (ῥερς. 69.) Ὅτι γοργὴ φράσις τραπεζώματος τὸ, πὰρ δ' ἐτίθει κάνεον, καλήν τε τράπεζαν. πὰρ δὲ δέπας οἴνοιο (ῥερς. 70.) πιεῖν ὅτε θυμὸς ἀνώγει. τουτέστιν, ὅτε προεθυμεῖτο πιεῖν οἴνου. τὸ δ' ὅμοιον καὶ ἐπὶ βρώσεως. οὐ γὰρ ἀναγκαστὸν τὸ συμπόσιον. Τῷ δὲ κανέῳ, καὶ τὸ σῖτον καὶ τὰ ὄψα συνεπινοοῦνται. ὅτι δὲ οὐ μόνον κανέοις ἤτοι πίναξι βρώματα συνετίθεντο ἀλλὰ καὶ σπυρίσι, δῆλον ἐκ τῶν παλαιῶν. καὶ ἐλέγοντο αὐτὰ, ἀπὸ σπυρίδων δεῖπνα. συγκομιζόμενα ὅτε τις ἀπήει παρά τινι δειπνήσων. καλῶς ἄρα σπυρὶς ἐτυμολογεῖται παρὰ τὸν πυρὸν ὃ δηλοῖ σῖτον ὅθεν καὶ τὰ σῖτα καὶ οἱ Ὁμηρικοὶ πύρνοι παράγονται, ὧν δεκτικαί εἰσιν αἱ ῥηθεῖσαι σπυρίδες. Τραπέζης δὲ φιλοτησίου ἔπαινος φέρεται τοιοῦτος ἐν τοῖς τοῦ Ἀθηναίου. βίου τιθήνη πολεμία λιμοῦ φύλαξ φιλίας ἰατρὸς ἐκλύτου βουλιμίας, τράπεζα. Ἔνθα ὅρα ψευδοπαρηγητικὸν τὸ, φύλαξ φιλίας. ὅμοιον ὂν τῷ, Φυλέα φίλον θεοῖς. καὶ τῷ, φίλησε δὲ φῦλον ἀοιδῶν. καὶ τῷ, κοίμησε δὲ κύματα δαίμων, καὶ ἄλλοις τοιούτοις ἅπερ καὶ ἐν ἄλλοις κεῖνται. (ῥερς. 73.) Ὅτι χρησαμένῳ τῷ Ἀγαμέμνονι περὶ τοῦ κατὰ τὸν Τρωϊκὸν πόλεμον τέλους ἀνεῖλεν ὁ ἐν Δελφοῖς Ἀπόλλων, τότε ἁλῶναι τὴν Ἴλιον ὅτε οἱ ἐν Ἀχαιοῖς ἄριστοι καταστασιάσουσι. καί ποτε παρὰ θυτικὸν πότον, ἔπαθον τοῦτο Ἀχιλλεύς τε ἀνδρίᾳ θέλων περιέσεσθαι Τρώων, καὶ Ὀδυσσεὺς φρονήσει καὶ δόλῳ συμβουλεύων ἐπιτρέψαι τὸ ἔργον. ὃ καὶ κρεῖττον ἀπέβη. εἴγε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀχιλλεὺς μὲν, πρὸς βίαν ἀνδριζόμενος, πίπτει. Ὀδυσσεὺς δὲ, δόλῳ πτολίπορθος γίνεται. τέως γε μὴν ἔχαιρεν ὁ βασιλεὺς ὁρῶν τοὺς ἀριστέας φιλοτιμουμένους ἐν καιρῷ δαιτός. καὶ τὸν μὲν, τὰ ψυχικὰ ἐπαινοῦντα. τὸν δὲ, τὰ σωματικά. καὶ τὸ τῆς μάχης ἤδη κατὰ τὸν χρησμὸν τέλος, καθυπεμφαίνοντας. ταύτην τὴν ἱστορίαν ὁ Δημόδοκος ἄρτι μετὰ ἐδητὺν ᾄδει, οὐ προβουλευσάμενος, ἀλλ' ἁπλῶς οὕτω κινηθεὶς ὑπὸ Μούσης, ἔστι δὲ ἡ Ὁμηρικὴ φράσις, τοιαύτη. Μοῦσ' ἂρ ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν. οἴμης, τῆς, τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε. νεῖκος Ὀδυσσῆος καὶ 1.284 Πηλείδεω Ἀχιλῆος. ὥς ποτε δηρίσαντο θεῶν ἐν δαιτὶ θαλείῃ, ἐκπάγλοις ἐπέεσσιν. (ηερς. 78.) Ἀγαμέμνων δὲ, χαῖρε νόῳ ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο. οὕτω γάρ φησιν αὐτῷ ἔχρησεν Ἀπόλλων ὅτε ἦλθε χρησόμενος. τότε γὰρ, κυλίνδετο πήματος ἀρχὴ Τρωσί τε καὶ Δαναοῖσι, (ηερς. 82.) Διὸς μεγάλου διὰ βουλάς. αἴπέρ εἰσι, τὸ πολλῷ πόνῳ ἑκατέρων τῶν στρατευμάτων ἁλῶναι τὴν Τροίαν, καὶ οὐ δή ποτε τὸ τιμηθῆναι τὸν Ἀχιλλέα ὅπερ ἐν Ἰλιάδι ἐφαίνετο. οὐ χαιρέκακος δὲ πάντως ὁ βασιλεὺς, χαίρων ἐπὶ τῇ τῶν ἀρίστων ἔριδι. αἴτιον γὰρ ἐκείνῳ χαρᾶς, οὐ τὸ ἁπλῶς αὐτοὺς ἐρίζειν. ἀλλ' ἡ ἐπ' αὐτῷ ἀγαθὴ ὡς ἐῤῥέθη ἐλπίς. ἐστι δὲ καὶ ἡ τοιαύτη στάσις, ἀγαθῆς ἔριδος ὑπόδειγμα. καὶ τοῦ τὰ συμπόσια στασιασμοὺς ποιεῖν, φαύλους μὲν, ἐν τοῖς φαύλοις, οὐ τοιούτους δέ τινας ἐν τοῖς ἀγαθοῖς. Ὀδυσσεὺς οὖν καὶ Ἀχιλλεὺς ἐν τούτοις ἐοίκασιν ἀνδρίας καὶ φρονήσεως ὑποκινῆσαι σύγκρισιν. πρᾶγμα σπουδαῖον. γράφει γοῦν καὶ Ἀθήναιος, οὕτω. κοσμίως ἐδείπνουν οἱ ἀριστεῖς ἐν Ἀγαμέμνονος. εἰ δὲ καὶ φιλονεικοῦσιν Ἀχιλλεὺς καὶ Ὀδυσσεὺς, ἀλλ' ὁ βασιλεὺς χαίρει νόῳ, ἐπεὶ ὠφέλιμοι αἱ φιλοτιμίαι, ζητούντων εἰ λόγῳ ἢ μάχῃ αἱρεθῆναι δεῖ τὸ Ἴλιον. χρήσιμον δ' ἐνταῦθα καὶ Βίωνος τοῦ Βωρυσθενίτου τὸ, οὐδεὶς ἀπὸ τῆς τραπέζης ἡδονὰς πορίζεται ἀλλ' ἀπὸ τοῦ φρονεῖν. (ηερς. 73.) Τὸ δὲ ἀοιδὸν ἀειδέμεναι, δῆλον ὅτι ἐτυμολογία ἐστί. Τὸ δὲ ἀνῆκεν, ἀντὶ τοῦ, ἀνέπεισεν. ἠρέθισεν. ὡς καὶ ἐν ἄλλοις φαίνεται πολλαχοῦ. Τὸ δὲ κλέ' ἀνδρῶν, διασαφεῖται ἐν τῷ, νεῖκος Ὀδυσσῆος καὶ Ἀχιλῆος. ἔνθα κάλλος ποιεῖ παρακείμενατὰ πάρισα. (ηερς. 74.) Τὸ δὲ οἴμης, οἱ μὲν μετὰ τοῦ ἀνδρῶν συντάσσουσιν. ἵνα ᾖ, κλέα ἀνδρῶν οἴμης. κάλλιον δὲ, στίζειν εἰς τὸ ἀνδρῶν. εἶτα ὡς ἐξ ἄλλης ἀρχῆς ἀπὸ κοινοῦ σχηματίσαι καὶ εἰπεῖν. ὡς ἄειδεν ἀπὸ οἴμης ἐκείνης, ἧς εὐρὺ τὸ κλέος ἦν. Οἴμη δὲ, ἡ διήγησις. ἀφ' ἧς καὶ τὸ προοίμιον σύγκειται καὶ τὸ φροίμιον. ἀφ' οὗ καὶ ἡ φόρμιγξ καὶ τὸ φορμίζειν παρῆχθαι δοκεῖ. (ηερς. 78.) Τὸ δὲ χαῖρε νόῳ, τὸ βασιλικὸν ἐμβριθὲς δηλοῖ, ὡς τοῦ βασιλέως μὴ προφαίνοντος ἐν τοῖς ἔξω τὴν χαρὰν, μὴ καὶ λυπήσῃ τοὺς ἀρίστους οἷα καταγελῶν. (ηερς. 81.) Τὸ δὲ κυλίνδετο πῆμα, καὶ ἀλλαχοῦ εἶπεν ὁ ποιητής. καὶ δηλοῖ τὸ, ἄνωθεν ἐκ Διὸς ἥκειν αὐτό. Ὅρα δὲ τὸ, πήματος ἀρχήν. οὐ γὰρ πολέμου ἦν ἀρχὴ νῦν ἀλλὰ πήματος τοῦ κατὰ τὴν Τροίαν. Ἰστέον δὲ ὡς οὐ μάτην Ὅμηρος πλάττει ᾄδειν τοιαῦτα τὸν Δημόδοκον, ἀλλ' ἵνα τῇ ἀναμνήσει κλαίων ὁ Ὀδυσσεὺς γνωσθῇ εὐαφόρμως, αὐτὸς εἶναι ὁ ἐν τῇ Τροίᾳ μέγας Ὀδυσσεύς. καὶ οὕτως ἐπὶ πλέον ἐλεηθῇ τὲ καὶ φιληθῇ. (ηερς. 84.) Ὅτι Δημοδόκου ᾄδοντος τὴν εἰρημένην Τρωϊκὴν οἴμην, μνησάμενος τῶν ἐκεῖ Ὀδυσσεὺς, πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι. (ηερς. 85.) κὰκ κεφαλῆς ἤτοι κατὰ τῆς κεφαλῆς εἴρυσε, κάλυψε δὲ καλὰ πρόσωπα. ὃ δήπου καὶ ὁ τούτου υἱὸς Τηλέμαχος ἐν τῇ Πύλῳ ἐποίει ἀλλ' ἐκεῖ μὲν ἡ αἰτία οὐκ ἐτέθη. (ηερς. 86.) ἐνταῦθα δὲ κεῖται οὕτως. αἴδετο γὰρ Φαίηκας ὑπ' ὀφρύσι δάκρυα λείβων. συχνὰ δὲ τοῦτο ἐποίει. φησὶ γὰρ, ὡς ὅτε μὲν λήξειεν ἀείδων θεῖος ἀοιδὸς, δάκρυ' ὀμορξάμενος, κεφαλῆς ἄπο φᾶρος ἔλεσκε. καὶ δέπας λαβὼν, ἔσπενδεν. Αὐτὰρ ὅτ' ἂψ ἄρχοιτο καὶ ὀτρύνειαν ἀείδειν οἱ ἄριστοι ἐπεὶ τέρποντ' ἐπέεσσιν, ἂψ Ὀδυσσεὺς κατὰ κρᾶτα (ηερς. 92.) καλυψάμενος, γοάασκε. καὶ ἴσως οὐ μόνον μνήμη ὑποκινοῦσα ἐξέθλιβε τῷ Ὀδυσσεῖ δάκρυον, ἀλλὰ καὶ ὅτι ἐπιλέγδην ὁ θεῖος ἀοιδὸς οἴκτους ἐφόρμιζεν. Ἰστέον δὲ ὅτι δοκεῖ ἀνοίκειον ἀνδράσι τὸ δακρύειν, καὶ μάλιστα παρὰ ξένοις. Ὀδυσσεὺς μέντοι παρὰ τῷ υἱῷ καὶ τοῖς δούλοις οἰκείοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖσι κλαίει. οὕτω δὲ καὶ Μενέλαος καὶ οἱ παρ' αὐτῷ βασιλικοὶ φίλοι παῖδες. (ῃερς. 85.) Ὅρα δὲ ὅτι τὸ κατὰ κεφαλῆς ἐρύσαι φᾶρος, κατὰ κρᾶτα καλύψαι ὁ ποιητὴς παρέφρασεν, ἀμφοῖν δὲ ἑρμηνεία τὸ, κάλυψε δὲ καλὰ πρόσωπα. τοιοῦτον δὲ καὶ τὸ ἐν τῇ ¯δ ῥαψῳδίᾳ χλαῖναν, πορφυρέην ἄντ' ὀφθαλμοῖϊν ἀνασχών. Πληθύνει δὲ κἀνταῦθα τῷ ἥρωϊ τὰ πρόσωπα Ὅμηρος ὡς καὶ ἀλλαχοῦ τῷ Αἴαντι, εἰπὼν ταῦτα καὶ καλὰ διὰ τὴν προλεχθεῖσαν θεσπεσίαν χάριν ἣ κεφαλῇ καὶ ὤμοις ἐπεχέθη. δῆλον δ' ὅτι πρόσωπον μὲν κατὰ τὴν παλαιὰν παρατήρησιν, κυρίως ἐπὶ ἀνθρώπου. ῥύγχος δὲ, ἐπὶ τετραπόδων. ῥάμφος δὲ, ἐπὶ πτηνῶν. αἱ μέντοι καταχρήσεις, ἔστιν ὅτε καὶ τὰ τοιαῦτα ἐναλλάσσουσι. (ῃερς. 88.) Τὸ δὲ ὀμορξάμενος, θέμα ἔχει τὸ ὀμόργω. ἐξ οὗ κατὰ παραγωγὴν, καὶ τὸ ἀπομόργνυσθαι. καθ' ὁμοιότητα παραχθὲν τοῦ ἄγνυσθαι καὶ ἄχνυσθαι καὶ τῶν ὁμοίων. δοκεῖ δὲ καὶ δίχα τοῦ ¯ο προφέρεσθαι τὸ πρωτότυπον, ὡς δηλοῦσιν οἱ γράφοντες τὸ ἀπεμόρξαντο καὶ τὰ τοιαῦτα. Ὅτι δὲ τὸ ἀμέργω παντελῶς ἕτερόν ἐστι τοῦ ῥηθέντος ὀμόργω, ἐν ἄλλοις ἐδηλώθη. ἐξ οὗ δοκεῖ καὶ ἡ ἀμόργη παρῆχθαι. οὐ μόνον λεγομένη ἐπὶ ὕλης ἐλαίου, ἀλλὰ καὶ πορφύραν σημαίνουσα 1.285 κατὰ τοὺς παλαιούς. εἰ δὲ καὶ τὸ ὀμόργω ἀπὸ τοῦ ἀμέργω δόξειε γενέσθαι διὰ τὸ καὶ τὴν ἐλαϊκὴν ἀμόργην σπογγισμοῦ δέεσθαι, οὐκ ἂν εἴη πάντῃ ἀλλόκοτον. (ῃερς. 93.) Ὅτι ὥσπερ Μενέλαος ἔγνω τοὺς βασιλικοὺς παῖδας κρύφα κοινολογουμένους, προσέσχε γὰρ ὡς ἐχρῆν, οὕτω κἀνταῦθα τοῦ Ὀδυσσέως πρῶτος ὁ βασιλεὺς ᾔσθετο κλαίοντος. φησὶ γάρ. ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα εἴβων ἢ λείβων. Ἀλκίνοος δέ μιν οἶος ἐπεφράσατ' ἠδὲ νόησεν, ἥμενος ἄγχ' αὐτοῦ. (ῃερς. 95.) βαρὺ δὲ στενάχοντος ἄκουσεν. ὥστε, οὐ τὸ δάκρυον μόνον κατεμήνυσε τὴν Ὀδυσσέως λύπην, ἀλλὰ καὶ ὁ βαρὺς στεναγμός. οὕτω δὲ ἀπαραλλάκτως κεῖται καὶ ἐν τοῖς ἑξῆς ἔνθα ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἴβων, τοὺς μὲν ἄλλους ἐλάθανεν, οὐ μὴν καὶ τὸν βασιλέα. ἐκεῖ δὲ τὸ εἴβειν καὶ λείβειν φησὶν, εἰπών. δάκρυον εἶβε. καὶ ἐπαγαγὼν εὐθὺς τὸ, δάκρυα λείβων. (ῃερς. 94.) Τὸ δὲ ἐφράσατο καὶ τὸ ἐνόησεν, ἐκ παραλλήλου τὸν αὐτὸν ἔχουσι νοῦν. δύναται δὲ καὶ ἄλλως τὸ φράσασθαι μὲν, βουλὴν καὶ σκέψιν ἁπλῶς δηλοῦν. τὸ δὲ νοῆσαι, κατάστασιν βουλῆς καὶ ὡς εἰπεῖν, ἀποτελεύτησιν. ἵνα τὴν φράσιν ἐπισφραγίσῃ ἡ ἐντελὴς νόησις. (ῃερς. 98.) Ὅτι εὕρηται βρῶσις ἐνταῦθα μέχρι κόρου παρὰ τοῖς τρυφηταῖς Φαίαξιν. ὅπερ ὡς καὶ ἡ Ἰλιὰς δηλοῖ, σπάνιον παρὰ τῷ ποιητῇ. φησὶ γάρ. ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης, φόρμιγγός τε. (ῃερς. 99.) ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ. τουτέστιν ἥτις συνήρμοσται καὶ συνέρευκται προσεταιριζομένη τῇ εἰλαπίνῃ. διὸ τινὰ τῶν ἀντιγράφων ἀντὶ τοῦ θαλείῃ, ἑταίρῃ γράφουσι. παραμυθεῖται δέ πως νῦν ὁ τῆς φόρμιγγος κόρος, τὸν τῆς δαιτός. ὡς διὰ τοῦτον, μὴ δὲ ἐκεῖνον δοκεῖν ψεκτόν. θεῖον γὰρ ἡ ἀοιδή. ὥστε τοιοῦτόν τι καὶ ὁ αὐτῆς κόρος. (ῃερς. 98.) Τὸ δὲ ἐΐσῃ, νηός τε ἐπίθετον καὶ εὐωχίας ὡς μυριαχοῦ δηλοῦται. Συνήορος δὲ, γίνεται παρὰ τὸ ἀείρω τὸ συζευγνύω. ἐξ οὗ καὶ ὁ παρήορος. ὁ μέντοι ἐν Ἰλιάδι μετήορος, ἀπὸ τοῦ ἀείρω τὸ κουφίζω καὶ ἐπαίρω γίνεται. οἱ δὲ ἀπήωροι κλάδοι ἐν τοῖς ἑξῆς, τουτέστιν ἀποκρεμεῖς καὶ πόῤῥω τῆς ῥίζης ὄντες. κατὰ δὲ ἑτέρους εἰπεῖν, ἀφεστῶτες, παρεκτεταμένοι, ἀπηρτημένοι, ἐκτείνουσι τὴν παραλήγουσαν, ὡς μὴ γενόμενοι ἀπὸ τοῦ ἀείρω ἀλλ' ἐκ τοῦ αἰωρῶ. (ῃερς. 100.) Ὅτι φιλενδεικτῶν ἐπὶ τοῖς ἐγχωρίοις ἄθλοις ὁ βασιλεὺς Ἀλκίνοος, (ῃερς. 101.) φησί. νῦν δ' ἐξέλθωμεν καὶ ἀέθλων πειρηθῶμεν πάντων. τῶν συνήθων δηλαδὴ τοῖς Φαίαξιν. ὡς ἂν ὁ ξεῖνος εἴπῃ τοῖς ἑαυτοῦ οἴκαδε νοστήσας, ὅσσον περιγινόμεθ' ἄλλων. (ῃερς. 103.) πύξ τε, παλαισμοσύνῃ τε, καὶ ἅλμασιν, ἠδὲ πόδεσσιν. ἑνὶ στίχῳ περιλαβὼν τέσσαρας ἄθλους. ἔνθα σκοπητέον, πῶς εἶδεν ὁ Φαίαξ εἴπερ τῶν ἄλλων ἀνθρώπων περιγίνονται ἐν ἄθλοις οἱ ὑπ' αὐτὸν, ὁ ἐκτοπίζων τὴν κατ' αὐτὸν γῆν καὶ μήτε εἰδώς τινας μήτε γινωσκόμενος. ἢ τοίνυν τοῦτο ἀλαζονεύεται, τὸ πάντων δηλαδὴ περιγενέσθαι. ἢ ἐκεῖνο, ἤτοι τὸ ἀπῳκίσθαι τὴν κατ' αὐτὸν νῆσον. (ῃερς. 100.) Ὅρα δὲ καὶ ὅτι ἅμα δαῒς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἅμα ἄεθλοι. καὶ οὐκ ἦν ἔθος τοῖς ἥρωσιν ἀναπαύεσθαι μετὰ βρῶσιν κατὰ τοὺς ὕστερον, ἐπὶ σιτίων πέψει. (ῃερς. 103.) Ἰστέον δὲ καὶ ὅτι νῦν μὲν τέσσαρας ἠρίθμησεν ἄθλους ὁ βασιλεύς, προϊὼν δὲ ὁ ποιητὴς πέντε νικητὰς ἐκθήσεται, οἳ πέντε ἄθλους ἐνίκησαν. ἐρεῖ γάρ. τῶν δὲ, θέειν ὄχ' ἄριστος ἔην Κλυτόνυος ἀμύμων. ἐν δὲ πάλῃ, Εὐρύαλος ἀπεκαίνυτο πάντας ἀρίστους. ἅλματι δ' Ἀμφίαλος πάντων προφερέστατος ἦεν. δίσκῳ δ' αὖ, πάντων πολὺ φέρτατος ἦεν Ἐλατρεύς. πύξ δ' αὖ, Λαοδάμας ἀγαθὸς πάϊς Ἀλκινόοιο. καὶ ἰδοῦ ἐνταῦθα πέντε ἆθλοι προτεθέντος τοῦ δίσκου. καὶ ἴσως πένταθλον ἦν τοῦτο παρ' αὐτοῖς. Παρὰ μέντοι τοῖς ὕστερον, τὰ τοιαῦτα, οὕτω μετρικῶς ἀριθμεῖται. ἅλμα. δρόμος. δίσκευμα. κοντός. καὶ πάλη. καὶ ἄλλως δὲ ἐν ἡρώῳ μέτρῳ, οὕτω ἅλμα ποδὸς, δίσκου τε βολὴ, καὶ ἄκοντος ἐρωὴ, καὶ δρόμος ἠδὲ πάλη. μία δ' ἔπλετο πᾶσι τελευτή. Σημείωσαι δὲ καὶ ὅτι ἐν Ἰλιάδι ἀγωνοθετήσας ὁ ποιητὴς, ὤκνησεν ἐνταῦθα τοιούτοις ἐνασχολῆσαι τὴν ἑαυτοῦ Μοῦσαν ἔξω καιροῦ, διὸ καὶ ἐπιτρέχει αὐτά. οἷα μὴ δὲ ἔχων πιθανῶς καὶ νῦν τοῖς ὅλοις ἐμπλατύνασθαι ὥσπερ ἐκεῖ. ἵπποι γὰρ, οὐ πάρεισιν, ὥστε οὐδὲ ἱππεῖς ἀγωνίσονται. οἷς δὲ οὐ μέλει βιὸς οὐδὲ φαρέτρη, οὗτοι οὐδ' ἂν ἥμασι καὶ ὀϊστεύμασιν ἐναθλήσωσι. καὶ οὕτω μὲν ταῦτα. (ῃερς. 102.) Ὁ δέ γε εἰπὼν ἐνταῦθα βασιλεὺς ὅσον περιγινόμεθ' ἄλλων ἐν ἄθλοις, ὅτε πειράσεται τοῦ Ὀδυσσέως καὶ ἀκούσει καυχησαμένου καὶ μόνον παραιτησαμένου τὸν δρόμον, τότε δὴ τὴν ἀλαζονείαν μεθεὶς, ἐρεῖ μήτε πυγμάχους ἀγαθοὺς εἶναι τοὺς Φαίακας μήτε παλαιστάς. (ῃερς. 103.) Τὸ δὲ περιγινόμεθα, μακρὰν ἀεὶ ἔχει τὴν ἄρχουσαν τοῦ γινόμεθα ὥσπερ καὶ τὸ γινώσκειν. Τὴν δὲ παλαισμοσύνην ὥσπερ ἐν Ἰλιάδι, οὕτω κἀνταῦθα δίχα τοῦ ¯σ παλαιμοσύνην γράφει φασὶ τὸν Ἀρίσταρχον. (ῃερς. 104.) Ὅτι 1.286 ὁδηγία τυφλοῦ τὸ, ἕλε χεῖρα τοῦ δεῖνος καὶ ἔξαγεν ἐκ μεγάροιο. ἦρχε δὲ τῷ αὐτὴν ὁδὸν, ἥν περ οἱ ἄλλοι. Ὅτι οὐδὲν μὲν θεάτρου μετὸν τυφλῷ ἀνδρὶ ὥσπερ οὐδὲ κατόπτρου κατὰ τὴν παροιμίαν. Δημόδοκος μέντοι, ἐξάγεται ἔνθα Φαιήκων οἱ ἄριστοι, ἀέθλια (ῃερς. 105.) θαυμανέοντες ὅ ἐστι θαυμασόμενοι ἢ θεασόμενοι, οὐ μόνον ἀκοῇ κατατρυφήσων τοῦ ἀγῶνος, ἀλλὰ καὶ οἷον ἀεθλεύσων καὶ αὐτὸς, καὶ τὴν μουσικὴν ἐπιδειξόμενος τέχνην. ᾗ καὶ αὐτῇ, μάλιστα οἱ Φαίακες διὰ τὸν Δημόδοκον ἐναβρύνονται. εἰ δὲ καὶ ἀντίτεχνόν τινα εἶχε πλάσαι ὁ ποιητὴς τῷ Δημοδόκῳ κατὰ τοὺς ὕστερον μουσικῶς ἀγωνιζομένους, οὐκ ἂν ὤκνησε τοῦτο ποιῆσαι. Τοῦ δὲ θαυμανέοντες τὸ ῥῆμα, θαυμαίνω ἐκ τοῦ θαῦμα. ὁμοίως τῷ, ὄνομα ὀνομαίνω. εἰσὶ δὲ οἳ καὶ ἐν δυσὶ μέρεσι λόγου γράφουσι θαῦμα νέοντες ἤγουν εἰς θαῦμα πορευόμενοι οὐκ ἂν δὲ ἐπαινοῖτο ἡ τοιαύτη γραφή. (ῃερς. 109.) Ὅτι πολλὴν ἐναγώνιον ὁμήγυριν φράζει, τὸ βάν δ' ἴμεν εἰς ἀγορήν. ἅμα δ' ἕσπετο πουλὺς ὅμιλος. μυρίοι. (ῃερς. 110.) ἂν δ' ἵσταντο νέοι πολλοί τε καὶ ἐσθλοὶ, ἀεθλεύσοντες δηλαδή. Καὶ ὅρα τὸ, πολὺς ὅμιλος. καὶ τὸ, μυρίοι. ἐφερμηνευτικὰ ὄντα ἀλλήλων. Τὸ δὲ ἀνίστασθαι, οὐ μακράν ἐστι τοῦ ὄρνυσθαι, καὶ τοῦ ὄρεσθαι. διὸ ἐπάγει. ὦρτο μὲν ὁ δεῖνα καὶ ὁ δεῖνα. (ῃερς. 111.) Ὅτι τὰ πλείω τῶν κατὰ τοὺς Φαίακας ὀνομάτων, ναυτικά. καὶ τὸ ὅλον εἰπεῖν, ἀπὸ θαλάσσης συναγηγερμένα. πίστις δὲ τοῦ λόγου, ὁ πρόγονος αὐτῶν Ναυσίθοος. οἱ βασιλικοὶ παῖδες Ἅλιος καὶ Κλυτόνηος. ἡ τούτων ἀδελφὴ Ναυσικάα, τῇ θαλαμηπόλῳ παραχωρήσασα τοῦ εὐγενεστέρου καὶ σεμνοτέρου ὀνόματος τοῦ, Εὐρυμέδουσα. ὃ, παρώνυμον Εὐρυμέδοντος τοῦ τῆς Ναυσικάας πάππου. καὶ οὗτοι μὲν, βασιλικὸν γένος. οἱ δὲ τοῦ δήμου, Ἀκρόνεως, Ὠκύαλος. Ἐλατρεὺς, παρὰ τὸ ἐλᾶνὲξ οὗ περ οὐ μόνον τὸ ἐλατρεῖν, ἀλλὰ καὶ τὸ ἐλαστρεῖν ὡς καὶ ἐν Ἰλιάδι φέρεται. Ναυτεύς τε Πρυμνεύς τε καὶ Ἀγχίαλος καὶ Ἐρετμεύς. Ποντεύς τε Πρωρεύς τε. Θόων. ὡς παρὰ τὸ ναῦς θοή. Ἀναβησίνεώςτε. Ἀμφίαλός τε υἱὸς Πολυνήου τεκτονίδαο. (ῃερς. 116.) Ναυβολίδης τε, ὃν καὶ ἐπαινῶν, φησίν. ὃς ἄριστος ἔην εἶδός τε δέμας τε μετ' ἀμύμονα Λαοδάμαντα. τοῦτο δὲ, διττὴν ἀστειότητα ἔχει. μίαν μὲν, ὅτι ἄριστον αἰνίττεται ἐν τοῖς κατὰ θάλασσαν ἔργοις τὸ τὰς νῆας εὐτυχῶς πλέειν. τοῦτο γὰρ δηλοῖ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ναυβολίδης παρὰ τὸ βάλλειν τὸ ἐπιτυγχάνειν. ὡς τὸ, ἡ δὲ φερὰς ἐπέβαλλεν. ἵνα ᾖ Ναυβολίδης, ὁ ναυτιλλόμενος εὐτυχῶς καὶ ὡς εἰπεῖν, εὔπλους. ἢ καὶ ἄλλως, ὅτι ἄριστος ἐν τοῖς περὶ θάλασσαν ὁ εἰς ναῦν βάλλειν ἔχων ἤτοι ἐντιθέναι φόρτον ἵνα λέγῃ Ναυβολίδην, τὸν φορτηγόν. ὃ δὴ καὶ σκοπός ἐστι τοῦ ἐπινοηθῆναι τὴν ναῦν. καὶ μία μὲν αὕτη ἀστειότης τοῦ ῥηθέντος λόγου. ἑτέρα δὲ, ὡς οὐχ' ἁπλῶς ὁ Ναυβολίδης πάντων κρατιστεύει, ἀλλ' ἐν τοῖς κατὰ θάλασσαν ἔργοις. κατὰ ἕτερον γὰρ λόγον κράτιστος ὁ Λαοδάμας, τουτέστι τὸ λαοῦ ἄρχειν καὶ βασιλεύειν. τούτῳ μὲν γὰρ, κατὰ τὸν ποιητὴν, αἶψα δῶ ἀφνειὸν πέλεται καὶ τιμηέστερος αὐτός. τῷ δὲ περὶ θάλασσαν πονουμένῳ, μόγις καὶ ὡς τὰ πολλὰ, κινδύνοις τὸ πλουτεῖν πορίζεται. (ῃερς. 115.) λέγει δὲ καὶ Εὐρύαλόν τινα βροτολοιγῷ ἶσον Ἄρηϊ, ἀστείως καὶ αὐτὸ διὰ τὸ βροτολοιγὸν τοῦ ἀνέτου πελάγους. τοῦτο γὰρ ὑπαινίττεται ὁ Εὐρύαλος. μάλιστα δὲ βροτολοιγῷ εἰκάζει τὸν Εὐρύαλον, διὰ τὸ ἦθος. μόνον γὰρ αὐτὸν πλάττει ἐν τοῖς ἐφεξῆς, καὶ ξιφοφοροῦντα καὶ ἀγριώτερον τῷ Ὀδυσσεῖ προσφερόμενον, εἰ καὶ ὕστερον κατήλλακται. ἔχει δὲ τὸ ῥηθὲν χωρίον, καὶ παρισώσεις ἀναγκαίως πρὸς ἀνέγερσιν τῆς ἀφηγηματικῆς ὑπτιότητος, οὐ μόνον ἐν τῷ Ὠκύαλος. Ἀγχίαλος. Ἀμφίαλος. Εὐρύαλος. ἀλλὰ καὶ ἐν τῷ, Ναυτεύς τε Πρυμνεύς τε καὶ τοῖς ὁμοίοις.καὶ μάλιστα ἐν τῷ, (ῃερς. 112.) Ἐλατρεὺς καὶ Ἐρετμεύς. ἅπερ ἐν τέλει στίχων κρουστικῶς παράκεινται τῶν δὲ παρισωτικῶν τὰ μὲν, ἐγγὺς ἀλλήλων ἐπιβούλως κεῖνται. ὡς τὸ, Ναυτεύς τε Πρυμνεύς τε καὶ τὰ μετ' αὐτὰ τρία ὅμοια ὀνόματα. τὰ δὲ διέσπαρται ὡς καὶ τὸ, Ἀκρόνεως καὶ Ἀναβησίνεως καὶ Πολύνηος καὶ Κλυτόνηος. δῆλον δὲ καὶ ὅτι τὸ, Ἀγχίαλος καὶ Ἀμφίαλος καὶ Εὐρύαλος, ἐκ τοπικῶν μετῆκται εἰς κύρια. Ἀγχίαλος μὲν γὰρ, τόπος ἅπας ἀγχοῦ ὢν θαλάσσης. ἀμφίαλος δὲ, νῆσος ἅπασα. εὐρύαλος δὲ χῶρος, εὕρηται πολλαχοῦ, δύο δὲ μόνα ἐν τῷ τόπῳ τούτῳ κεῖται ὀνόματα μὴ θαλάσσια, ὁ βασιλικὸς παῖς Λαοδάμας, καί τις τέκτων. τεκτονίδης γὰρ ὁ Πολύνηος εἴρηται. Σημείωσαι δὲ ὅτι (ῃερς. 119.) τὸ Ἅλιος κύριον ἐνταῦθα ὤφειλε μὲν παροξύνεσθαι ὡς τρίβραχυ ὁμοίως τῷ, Δολίος Ὁδίος καὶ τοῖς τοιούτοις. προπαροξύνει δὲ αὐτὸ κατὰ Ἡρωδιανὸν, ἡ συνήθης ἀνάγνωσις. (ῃερς. 1.) Ὅτι τὸ δραμεῖν ἐν ἀγῶνι, πειρήσασθαι ποσὶ λέγει. ἐπεὶ καὶ ἀπόπειρα ἀνδρῶν πᾶς ἀγών. φησὶ γάρ. οἱ δὲ, πρῶτον 1.287 μὲν ἐπειρήσαντο πόδεσσι. τελεῖται δὲ πρῶτος ὁ τῶν δρομέων ἄεθλος, ἐπεὶ ὡς ἐῤῥέθη οὐκ ἔχουσιν ἱππέας οἱ Φαίακες. τέταται δὲ καὶ τούτοις ἀπὸ νύσσης ὁ δρόμος, ὡς καὶ ἐν Ἰλιάδι τοῖς ἐκεῖ δραμοῦσι. καὶ ζήτει τὰ εἰς τὸν τοιοῦτον τόπον γεγραμμένα ἐκεῖ. (ῃερς. 121.) Ὅτι δρομέων συντομίαν φράζων, φησίν. οἵδ' ἅμα πάντες καρπαλίμως ἐπέτοντο κονιόντες πεδίοιο. (ῃερς. 123.) εἶτα ἐκτίθεται ὡς καὶ πρὸ ὀλίγων ἐγράφη, τίνες οἱ ἐν τοῖς Φαιακικοῖς ἀέθλοις νικήσαντες. ὅτι δηλαδὴ, δρόμον μὲν, Κλυτόνηος. πάλην δὲ, Εὐρύαλος. ἅλμα δὲ, Ἀμφίαλος. δίσκον δὲ, Ἐλατρεύς. πὺξ δὲ, Λαοδάμας ὁ τοῦ βασιλέως παῖς. ἐν οἷς μετὰ ἐπιθέτων μόνους προάγει τοὺς τοῦ βασιλέως υἱούς. ἀμύμονα μὲν εἰπὼν τὸν Κλυτόνηον. ἀγαθὸν δὲ τὸν Λαοδάμαντα. χρησάμενος καὶ ῥήμασι διαφόροις. οἷον ἐπὶ μὲν Κλυτονήου, τῷ, θέειν ὄχ' ἄριστος ἦν. ἐπὶ δὲ Εὐρυάλου, τῷ, (ῃερς. 127.) ἀπεκαίνυτο πάντας ὅ ἐστιν ἐνίκα ὡς καὶ προδεδήλωται. ἐπὶ δὲ Ἀμφιάλου τῷ, πάντων προφερέστατος ἦν, ὅπερ ἐναλλάξας ἐπὶ Ἐλατρέως, ἔφη. πολὺ φέρτατος. ταὐτὸν ὂν τῷ προφερέστατος. ὅ ἐστιν ὑπερφερέστατος. ἤγουν ὕπερθεν τῷ τῆς ἀρετῆς ὕψει φερόμενος. ἢ ἔμπροσθεν τῶν ἄλλων φερόμενος. μόνον (ῃερς. 130.) τὸν Λαοδάμαντα δίχα ῥήματος προαγαγών. καὶ ἀφεὶς ἐπ' αὐτοῦ νοεῖσθαι τὰ ἐπὶ τοῖς ἄλλοις ῥήματα. φησὶ γάρ. πὺξ δ' αὖ Λαοδάμας ἀγαθός. παῖς Ἀλκινόοιο. δύναται γὰρ αὐτῷ ἁρμόσαι τὰ ῥηθέντα πάντα. οἷον. πὺξ Λαοδάμας ὄχ' ἄριστος ἔην. ἢ πὺξ ἀπεκαίνυτο πάντας. ἢ πὺξ πάντων προφερέστατος ἦεν. ἢ πὺξ πάντων πολὺ φέρτατος ἦεν. (ῃερς. 123.) ἐν οἷς καὶ αὐτὸ τὸ ἦεν, ὑπήλλαξεν ἐν τῷ, ὄχ' ἄριστος ἔην. οἷα ποικίλος καὶ πολύφωνος ὤν. (ῃερς. 124.) ἐν τούτοις δὲ καὶ τὸ ταχύπουν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κλυτονήου παραβολικῶς δηλῶν, ἐπάγει παραβολὴν ταύτην. ὅσσον τ' ἐν νειῷ οὖρον πέλει ἡμιόνοιϊν. τουτέστιν ὅσον ἀφορίζονται τῶν βοῶν ἀροτριῶσαι ἡμίονοι, ὡς προφερέστεραι βοῶν οὖσαι ἄροτρον ἐλαύνειν καθὰ καὶ ἐν Ἰλιάδι λέλεκται. χρᾶται γὰρ καὶ ἐκεῖ ὁ ποιητὴς τοιαύτῃ παραβολῇ, τόσου ὑπεκπροθέων, λαοὺς ἵκετο. εἶτα σαφέστερον λέγων, ἐπιφέρει. (ῃερς. 125.) οἵδ' ἐλίποντο. τουτέστιν οἱ δὲ συνθέοντες, ὀπίσω ἔμειναν. ὅθεν μέχρι καὶ νῦν ἐντεῦθεν τρέποντες, λειφθῆναι τὸ ἡττηθῆναι φαμέν. γεωργικῆς δὲ παρατηρήσεως τὸ, ἐν νειῷ προφερεστέρας βοῶν τὰς ἡμιόνους εἶναι. (ῃερς. 124.) Τὸ δὲ οὖρον, οὐδέτερόν ἐστιν ἐκ μεταπλασμοῦ. ὡς γὰρ ἡ κέλευθος τὸ κέλευθον ὁ ζυγὸς τὸ ζυγὸν, οὕτως ὁ οὖρος τὸ οὖρον. ὅμοιον δὲ καὶ ἡ ἐνέδρα τὸ ἔνεδρον. καὶ ἄλλα μυρία. (ῃερς. 126.) Ἀλεγεινὴν δὲ κἀνταῦθα ὡς καὶ ἀλλαχοῦ τὴν παλαισμοσύνην φησὶ, διὰ τὸ κατ' αὐτὴν βίαιον καὶ πάνυ κοπηρόν. Ὅτι δὲ καὶ τέλος τῶν ἀγώνων ἡ ἡδονὴ κἂν ἄλλως εἶεν ἆθλοι τινὲς ἀλγεινοὶ, δηλοῖ ὁ ποιητὴς ἐπαγαγὼν συμπληρωτικῶς τὸ, αὐτὰρ ἐπειδὴ πάντες, ἐτέρφθησαν φρέν' ἀέθλοις. καὶ ἔστιν οἰκεῖον πρὸς τὸν ἐπιπόνως ἀθλοῦντα εἰπεῖν τῶν τοῦ Ὁμήρου. ἐκεῖνο. τὸ, τέρπεαι ἄλγεα πάσχων. (ῃερς. 133.) Ὅτι ἀπόπειρα ἐμφανοῦς ἀνδρὸς ἐν καιρῷ ἀέθλων τὸ, δεῦτε φίλοι τὸν ξεῖνον ἐρώμεθα εἴ τιν' ἄεθλον οἶδέ τε καὶ δεδάηκε. φυήν γε μὲν οὐ κακός ἐστι. καὶ ἑξῆς ἃ μετ' ὀλίγα ῥηθήσεται. ὁμοίως δὲ πρὸς τοιοῦτον ἄνδρα ῥηθήσεται καὶ τὸ, (ῃερς. 145.) δεῦρ' ἄγε καὶ σὺ ξεῖνε πάτερ πείρησαι ἀέθλων, εἴ τινά που δεδάηκας. ἔοικε δέ σ' ἴδμεναι ἀέθλους, διὰ τὴν ῥηθεῖσαν δηλαδὴ φυὴν καὶ τὰ ἐφεξῆς. (ῃερς. 153.) ὁ δὲ τοιοῦτος ἀνὴρ εἴπερ ἐκ πόνων πολλῶν ἥκει, ἐρεῖ ἂν πρὸς τὸν ἐρεθίζοντα. τί με ταῦτα κελεύετε κερτομέοντες; κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν ἤπερ ἄεθλοι. ὃς μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα. καὶ ἔχομαι κακότητι καὶ ἄλγεσι. πολλὰ γὰρ ἔτλην. ἴσως δέ ποτε προσαρμόσει καὶ τὸ ἐφεξῆς, τὸ, ἀνδρῶν τε πολέμους ἀλεγεινά τε κύματα πείρων. (ῃερς. 124.) Τὸ δὲ οἶδε καὶ δεδάηκε, προθυστέρως ἔγραψε. χρὴ γὰρ πρῶτον δαῆναι εἶτα εἰδέναι. ἴσως δὲ, καὶ ἐκ περιττοῦ κεῖται τὸ οἶδε. διὸ καὶ εἰπὼν εἴ τινά που δεδάηκας, οὐ προσέθετο καὶ τὸ οἶδας, ὡς ἀρκοῦν ὂν οὕτως εἰπεῖν. Ὅτι ὁ Ὀδυσσεὺς τοῖς Φαίαξιν ἀνδρεῖος εἶναι ἀπὸ τῆς θέας ἐχαρακτηρίζετο. Λαοδάμας οὖν ὁ βασιλικὸς παῖς οὕτω φησί. φυήν γε μὲν οὐ κακός ἐστι, μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθεν. αὐχένα τε στιβαρὸν μέγα τε σθένος, οὐδέ τι ἥβης δεύεται. εἶτα ὡς εἰκὸς καὶ ὑπερλαλῶν τοῦ ξένου, φησίν. (ῃερς. 137.) ἀλλὰ κακοῖσι συνέῤῥηκται πολέεσσι. τοῖς ἐκ τοῦ ναυαγίου δηλαδή. διὸ ἐπάγει γνωμικῶς. (ῃερς. 138.) οὐ γὰρ ἔγωγέ τι φημὶ κακώτερον ἄλλο θαλάσσης, ἄνδρα συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη. Καὶ σημείωσαι τὸ, κακώτερον συγχέαι. οὐ γὰρ ἁπλῶς κακὸν ἡ θάλασσα ἡ πολύχρηστος καὶ ἄλλως ἰαίνουσα, ὡς δηλοῖ καὶ τὸ Ἰάνειρα Νηρηΐδος ὄνομα παρὰ τὸ ἰαίνειν, ἀλλὰ κακὸν ἡ θάλασσα, 1.288 εἰς τὸ (ῃερς. 139.) συγχέαι ναυαγὸν ἄνδρα. τουτέστιν εἰς τὸ παραλῦσαι τοῖς κατὰ φύσιν ἁρμονίας καὶ συνθήκης. ὥς που καὶ οἶκος καταπεσὼν συγχέεται. (ῃερς. 134.) Ὅρα δὲ ὅτι τὴν φυὴν ἑρμηνεύων, εἶπε τὸ, οὐ κακός ἐστι μηρούς τε κνήμας τε καὶ χεῖρας καὶ αὐχένα, οὐδὲ ἥβης δεύεται. ταῦτα γάρ ἐστιν ἡ φυή. Ἐν δὲ τῷ, (ῃερς. 135.) ἄμφω χεῖρας ὕπερθεν, περιττεύειν δοκεῖ καὶ τὸ ἄμφω καὶ τὸ ὕπερθεν. (ῃερς. 136.) Αὐχένα δὲ στιβαρὸν λέγει, ὡς καὶ χεῖρας ἀλλαχοῦ στιβαράς. Τὸ δὲ μέγα σθένος, ὡς ἐκ τῶν φαινομένων ὁ ποιητικὸς Λαοδάμας συνάγει. ἵνα ᾖ ταυτὸν κατὰ τοὺς παλαιοὺς σθένος καὶ δύναμις. ἔοικε γὰρ ἐκ τοῦ εἴδους ὁ ξένος μεγάλα δύνασθαι κατὰ τὸ κυρίως παρὰ τοῖς φιλοσόφοις σημαινόμενον τῆς δυνάμεως. καὶ τὴν ἥβην δὲ κατὰ τὸ φαινόμενον λέγει. ἄλλως γὰρ οὐκ ἂν ὁ ὠμογέρων Ὀδυσσεὺς ἡβᾶν λέγοιτο, εἰ μὴ ἄρα ἴσως κατὰ τὸν παρὰ τῷ Ἡσιόδῳ τεσσαρακονταετῆ αἰζηόν. εἰ δὲ καὶ Ὀδυσσεὺς μετ' ὀλίγα τῇ ἥβῃ πεποιθέναι λέγει, ἐκ τοῦ Λαοδάμαντος τοῦτο λαβὼν λέγει, συντρέχων οἰκονομικῶς οἷς δοκοῦσιν οἱ Φαίακες. μάλιστα μὲν οὖν οὐδὲ λέγει νῦν ἔχειν ἥβην, ἀλλά ποτε χρόνου. ἐρεῖ γάρ. ὄφρ' (ῃερς. 181.) ἥβῃ πεποίθεα χερσί τ' ἐμῇσιν, ἤγουν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐθάῤῥουν. Ἰωνικὸς γὰρ ὑπερσυντέλικος τὸ πεποίθεα, ὡς τὸ ᾔδεα καὶ ὅσα τοιαῦτα. (ῃερς. 137.) Τὸ δὲ συνέῤῥηκται, ῥῆμά ἐστιν ἐξ οὗ ὁ ῥηγμίν. ὡς γὰρ ὁ ῥηγμὶν κύμασιν, οὕτω κακοῖς ὁ Ὀδυσσεὺς συνέῤῥηκται. καὶ ἄλλως δὲ, ἐκ μεταφορᾶς τῶν ῥηγυμένων σωμάτων καὶ μὴ τὸ ἀκέραιον φυλασσόντων, δοκεῖ ῥηθῆναι τὸ συνέῤῥηκται. ᾧ λόγῳ καὶ δῶμα συνεῤῥῆχθαι λέγεται. ἐφ' οὗ προσφυὲς καὶ τὸ συγκεχύσθαι εἰπεῖν. (ῃερς. 138.) Τὸ δὲ, οὐ γὰρ ἔγωγε φημὶ, σεμνῶς εἴρηται διὰ τὸ ἀποφαντικόν. οὗ τὸ ἀνάπαλιν, οὐ γὰρ ἔγωγε οἶμαι, ἐνδοιαστικόν. δῆλον δὲ (ῃερς. 139.) ὡς τὸ συγχέειν, ἐναντίον ἐστὶν οὐ μόνον πρὸς τὸ εὐκρινεῖν καὶ διευκρινεῖν, ἀλλὰ καὶ πρὸς τὸ κοσμεῖν καὶ τάσσειν. διὸ καὶ ἐν Ἰλιάδι κτίσμά τι παιδικὸν χαλασθὲν, συγχέεται ἄνω κάτω γεγονός. (ῃερς. 141.) Ὅτι ὥσπερ Ἀκάμας Ἀκάμαντος καὶ ἡ κλητικὴ ὦ Ἀκάμα δίχα τοῦ ¯ν, οὕτω και Λαοδάμας Λαοδάμαντος ὦ Λαοδάμα. οἷον. Λαοδάμα μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔοιπας. (ῃερς. 147.) Ὅτι ἐπαινῶν ὁ ποιητὴς τοὺς ἀθλητικοὺς ἀγῶνας φησίν. ὡς οὐ μεῖζον κλέος ἀνέρος ὄφρα κεν ᾖσι, τουτέστιν ἕως ἂν ζῇ, ἢ ὅ, τε ποσσί τε ῥέξει καὶ (ῃερς. 148.) χερσὶν ἑῇσιν. ἤτοι ταῖς ἑαυτοῦ. πρὸς ὅπερ εἴποι ἄν τις. σοὶ δὲ ἀλλ' ὦ ποιητὰ ἐπὶ τίσι τὸ κλέος μέγα τῷ πηρῷ μὲν καὶ ἀχρείῳ τήν τε κατὰ χεῖρας ἀλκὴν καὶ τὴν κατὰ πόδας ἀρετὴν, ἐν λόγοις δὲ ἄλλως εὐκλεεστάτῳ. οὗπερ εἶδος μὲν, ἀκιδνότηρον, εἴποις ἂν αὐτός. μορφὴν δὲ θεὸς ἔπεσι στέφει. ἆρά γε ἀληθῶς ἐνταῦθα γνωματεύεις; οὔκουν φησίν, ἀλλὰ πρὸς τοὺς φιλάθλους ὁ λόγος, ὁποῖοι καὶ οἱ Φαίακες. καὶ κεῖται νόημά τι τοιοῦτον καὶ παρὰ τῷ Πινδάρῳ. Ὅρα δὲ τὴν τελικὴν τῶν στίχων παρίσωσιν τὸ, ὄφρα κεν ᾖσι. καὶ τὸ, χερσὶν ἑῇσιν. (ῃερς. 150.) Ὅτι προπεμπτικοῦ λόγου τὸ, σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται. ἀλλά τοι ἤδη νηῦς κατείρυσται. (ῃερς. 151.) καὶ ἐπαρτέες εἰσὶν ἑταῖροι, ὅ ἐστιν ἕτοιμοι. ὅπερ ὁμοιότητα ἔχει πρὸς τὸ, ἠρτύναντο ἐρετμά. (ῃερς. 156.) ἱκέτου δὲ ξένου λόγος τὸ, νῦν δὲ μεθ' ἡμετέρῃ ἀγορῇ νόστοιο χατίζων ἧμαι, λισσόμενος βασιλῆά τε, πάντα τε δῆμον. Ἔνθα ὅρα ὡς καὶ ἐβασιλεύετο καὶ ἐδημοκρατεῖτο ἡ τῶν Φαιάκων καθὰ καὶ προείρηται. (ῃερς. 159.) Ὅτι ἐρεθίζων Εὐρύαλος φιλονείκως τὸν Ὀδυσσέα ὀκνοῦντα τοὺς ἄθλους, φησίν. Οὐ γάρ σ' οὐδὲ ξεῖνε δαήμονι φωτὶ ἐΐσκω ἄθλων οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται. ἀλλὰ τῷ, ὅσθ' ἅμα νηῒ πολυκληῖδι θαμίζων ἀρχὸς ναυτάων οὐ πολεμιστῶν ἀλλὰ οἵ τε πρηκτῆρες ἔασι, φόρτου τε μνήμων καὶ ἐπίσκοπος ᾖσιν ὁ δαίων κερδέων θ' ἁπαλέων, οὐδ' ἀθλητῆρι ἔοικας. Καὶ ὅρα τὸ Ὁμηρικὸν δίγλωσσον. εἴγε Λαοδάμας μὲν ἔφη, ἐοικέναι εἰδέναι ἄθλους τὸν Ὀδυσσέα. Εὐρύαλος δὲ ἀνάπαλιν σκώπτων, οὐκ ἀθλητῆρι ἐοικέναι φησὶν οὐδὲ δαήμονι ἄθλων. ὁ δὲ οὐ δαήμων, ἀδαήμων ἐῤῥέθη ἀλλαχοῦ. δῆλον δὲ ὅτι τὸ, δαήμων ἄθλων, περίφρασίς ἐστι τοῦ, ἀθλητήρ. (ῃερς. 160.) Τὸ δὲ οἷα πολλὰ, ὡς πρὸς πρᾶγμα ἐσχημάτισται κατὰ γένος οὐδέτερον. ἄλλως γὰρ ἀρσενικὸν οἱ ἆθλοι. ὡς δηλοῖ πρὸ ὀλίγων ῥηθὲν καὶ τὸ, ἴδμεναι ἀέθλους. καὶ μετ' ὀλίγα, σὺ δὲ θάρσει τόνδε γ' ἄεθλον. καὶ, ὅσσοι ἄεθλοι. τοιοῦτον δὲ σχῆμα καὶ μετ' ὀλίγα ἐν τῷ, πάντα οὐ κακός εἰμι ὅσσοι ἄεθλοι. ὅμοιον δὲ ἦν πρὸ τούτων καὶ τὸ, πάντα μὲν οὐκ ἂν μυθήσομαι ὅσσοι Ὀδυσσέως ἄεθλοι. (ῃερς. 161.) Τὸ δὲ νηῒ θαμίζειν, ἀρχὴ τοῖς μεθ' Ὅμηρον τοῦ, παρὰ διδασκάλῳ θαμίζειν καὶ ὅσα τοιαῦτα. (ῃερς. 162) Ἀρχὸς δὲ ναυτάων, ὁ ναύκληρος. ἐκ τούτου δὲ καὶ ἡ τοῦ ναυάρχου ἐπινενόηται σύνθεσις. Πρηκτῆρες δὲ, οἱ παρὰ τοῖς ὕστερον πραγματευταί. σεμνότερον 1.289 δὲ τούτων ἐν Ἰλιάδι, ὁ πολεμικὸς πρηκτήρ. κατὰ τὸ, μύθων τε ῥητῆρα πρηκτῆρά τε ἔργων. καὶ γίνεται ἐκεῖνος παρὰ τὸ εὖ πράσσειν. ὃ κεῖται μετὰ βραχὺ παρὰ τῷ ποιητῇ ἐν τῷ, εὐπρήσσεσκον ἕκαστα. (ῃερς. 163.) Μνήμων δὲ φόρτου, ὁ γραμματεὺς ἤτοι ἀποσημάντωρ διὰ γραμμάτων. ἢ καὶ ἄλλως, λογιστής. ἐπιμελητής. Ἐπίσκοπος δὲ ἢ ἐπίστροφος ὁδαίων ὅ ἐστιν ἐφοδίων, διχῶς γὰρ τοῦτο λέγεται, ὁ τῶν ἐφοδίων ταμίας. ὅθεν γὰρ τὸ ὁδαῖον, ἐκεῖθεν καὶ τὸ ἐφόδιον. Τὰ δὲ συχνὰ πάρισα κάλλος κἀνταῦθα λόγου ποιεῖ. τὸ ὁδαίων. τὸ κερδέων. τὸ ἁρπαλέων. Ἁρπαλέα δὲ, τὰ πάνυ περισπούδαστα. (ῃερς. 165.) Ὅτι ἐπεὶ οὐκ εἰκὸς τὸν σπουδαῖον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνασχέσθαι σκωφθέντα εἰς μάτην, παῤῥησιάζεται Ὀδυσσεὺς ἐφ' οἷς ὁ ῥηθεὶς Εὐρύαλος ὡς ἐλέχθη καθήψατο τούτου. καὶ ὑπόδρα ἰδὼν, φησί. ξεῖνε, οὐ καλὸν ἔειπες. ἀτασθάλῳ ἀνδρὶ ἔοικας. (ῃερς. 167.) εἶτα ἐπάγει γνωμικὸν δι' οὗ καταβάλλεται μὲν τὸ αὔχημα τῶν ἐπὶ κάλλει μόνῳ μέγα φρονούντων, στέφανος δὲ μορφῆς ὁ λόγος εἶναι δείκνυται, καὶ φησίν. οὕτως οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν ἀνδράσιν, οὔτε φυὴν οὔτ' ἄρ φρένας οὔτ' ἀγορητύν. ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ, (ῃερς. 170.) ἀλλὰ θεὸς μορφὴν ἔπεσσι στέφει, ὅ ἐστι κοσμεῖ. οἱ δέ τ' ἐς αὐτὸν τερπόμενοι λεύσσουσιν ὅ δ' ἀσφαλέως ἀγορεύει αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν. (ῃερς. 173.) ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς εἰσορόωσιν. ὡς καὶ νῦν δηλαδὴ τὸν Ὀδυσσέα οἱ Φαίακες. ἄλλος δ' αὖτ' εἶδος μὲν, ἀλίγκιος ἀθανάτοισιν. ἀλλ' οὔ οἱ χάρις ἀμφιπεριστέφεται ἐπέεσσιν. (ῃερς. 177.) εἶτα καταβαίνων εἰς τὸ προκείμενον ὡς καὶ ἀλλαχοῦ ποιεῖ, ἐπιφέρει. ὣς καὶ σοὶ εἶδος μὲν ἀριπρεπές, οὐδέ κεν ἄλλως οὐδὲ θεὸς τεύξειε, νόον δ' (ῃερς. 177.) ἀποφώλιος ἐσσί. τουτέστιν ἀπαίδευτος, ὡς προγέγραπται. (ῃερς. 178.) εἶτα θεραπεύων τὸ, ἀτασθάλῳ ἀνδρὶ ἔοικας, μεγαλοψύχως μὲν ῥηθὲν ὅμως δὲ κατὰ σφοδρότητα, οὐδὲ γὰρ ἔδει τραχυνθῆναι τὸν ξένον παρὰ τοῖς ξενίσασιν ὡς καὶ αὐτὸς μετ' ὀλίγα ἐρεῖ, ἐπάγει ἀπολογητικῶς. (ῃερς. 178.) Ὤρινάς μοι θυμὸν ἤγουν ἐτάραξας ἐνὶ στήθεσσι φίλοισιν, εἰπὼν οὐ κατὰ κόσμον. ἐγὼ δ' οὐ νῆϊς ἀέθλων ὡς σὺ λέγεις, ἀλλ' ἐν πρώτοισιν ὀΐω ἔμμεναι. διά τε ἴσως τὴν ἥβην ὡς προεῤῥέθη, καὶ μάλιστα διὰ τὸ χερσὶ πεποιθέναι. εἰ δὲ καὶ πολλά φησιν ἔπαθον ὡς καὶ αὐτὸ πρὸ βραχέων δεδήλωται, ἀλλὰ καὶ ὣς κακὰ πολλὰ παθὼν, πειρήσομαι ἀέθλων. θυμοδακὴς γὰρ μῦθος. (ῃερς. 185.) ἐπώτρυνας δέ με εἰπών, ὃ ταὐτόν ἐστι τῷ, ὤρινάς μοι θυμόν. Ὅρα δὲ ὅτι τε ἐκ τοῦ ὡς ἀλλαχοῦ κεῖται δακέθυμος ἄτα, ἐῤῥέθη ἐνταῦθα κατ' ἀναστροφὴν συνθέσεως ὁ θυμοδακὴς μῦθος, καὶ ὅτι ἀφελέστερον ἀρξάμενος ὁ ῥήτωρ ἐν τῷ, (ῃερς. 166.) ξεῖνε οὐ καλὸν ἔειπες, καὶ ἰδὼν ἄχολον τὸν ξεῖνον, ἐπάγει σφοδρότερον τὸ, ἀτασθάλῳ ἀνδρὶ ἔοικας. πρὸς ὁμοιότητα σχηματισθὲν τοῦ, οὐδ' ἀθλητῆρι ἔοικας. ἵνα Εὐρύαλος μὲν εἴπῃ ἀποφατικῶς, ὡς οὐκ ἔοικας ἀθλητῇ, Ὀδυσσεὺς δὲ καταφατικῶς, ὅτι ἀλλὰ σύ γε ἀτασθάλῳ ἀνδρὶ ἔοικας. Ξεῖνον δὲ λέγει Ὀδυσσεὺς τὸν Εὐρύαλον, ἐπεὶ ὡς πολλαχοῦ φαίνεται, ξένοι ἀλλήλοις εἰσὶ καὶ ὁ ξενοδοχούμενος καὶ ὁ ξενοδοχῶν. ὅπερ καὶ ἐπὶ οἰκέτου ἐν τοῖς ἐφεξῆς φανήσεται. πάντως δὲ, ξεινοδόκος Ὀδυσσέως ὁ ξεῖνος οὗτος Εὐρύαλος. ὃς παρὰ τοῖς ὕστερον καὶ ξυνοδόκος εὕρηται λεγόμενος ἄλλον λόγον, ὡς ξυνὸς ὑποδοχεύς. ἤγουν κοινός. ὃς κοινῶς μὲν πανδοχεὺς λέγεται, Ἰωνικῶς δὲ πανδοκεύς. ὅθεν καὶ Ἀττικῶς, πανδοκεύτρια. Ὅμηρος δὲ, διαλύσας ἐν Ἰλιάδι τὸν τοιοῦτον, πάντας φιλέοντα εἶπεν. Ὅτι δὲ ἐκ τοῦξυνὸς γίνεται καὶ τὸ ἐν Ἰλιάδι ξυνήϊον, καὶ ὅτι καὶ ῥῆμά ἐστιν αὐτοῦ τὸ ξυνῶ ξυνώσω, οἷον, γαῖαν ὁμοῦ καὶ πόντον ἐνὶ ξύνωσεν ἀγοστῷ, ἤτοι μιᾷ δρακὶ λαβόμενος τῶν κάτω ἐκοινώσατο, δεδήλωται καὶ ἀλλαχοῦ. θετέον δ' ἐνταῦθα καὶ ὅτι τὰ εἰρημένα ξυνήϊα τὰ κατὰ τὴν Ἰλιάδα, Ὁμήρου ἄδαστα εἰπόντος ὡς μή πω μερισθέντα, ἕτεροι δριμέως φράσαντες, ἄληκτα εἶπον, ὡς μή πω λαχόντα. Τὸ δὲ οὐ καλὸν ἔειπες, ταυτὸν τῷ. εἰπὼν οὐ κατὰ κόσμον. (ῃερς. 167.) Χαρίεντα δὲ οὐκ ἔργα μόνον, ἀλλ' ἰδοὺ ἐνταῦθα καὶ τὰ τῆς φύσεως δῶρα. (ῃερς. 168.) Τὸ δὲ οὔτ' ἄρ φρένας οὔτ' ἀγορητὴν, ἐκ τῆς Ἰλιάδος παρῴδηται ὅπου φησὶν, οὔτ' ἄρ φρένας οὔτε τι ἔργα. δηλοῖ δ' ἐνταῦθα, καὶ ὡς ταυτὸν φρένες καὶ ἀγορητύς. (ῃερς. 169.) εἰκὸς γὰρ φρονοῦντά τινα, ὅμως μὴ εὐροεῖν λόγῳ κατ' ἀγοράν. Ἀκιδνὸν δὲ πολλαχοῦ, τὸ ἀσθενὲς, παρὰ τὸ αἰκίζειν κατὰ τοὺς παλαιοὺς ἀποβολῇ τοῦ ἰῶτα καθ' ὁμοιότητα τοῦ παίζω παιδνὸς καὶ τῶν ὁμοίων. (ῃερς. 170.) Τοῦ δὲ θεὸς μορφὴν ἔπεσι στέφει, παράφρασις τὸ, χάρις ἀμφιπεριστέφεται ἐπέεσσιν. ἐξ ὧν ὁ στέφανος καὶ τὸ στέφος, τὰ τῷ ποιητῇ ἄγνωστα κατὰ τοὺς παλαιούς. (ῃερς. 171.) Ἀσφαλῶς δὲ ἀγορεύειν, τὸ ἀπροσκόπως, κυρίως δὲ σφάλλεσθαι ἐπὶ ποδῶν 1.290 καθὰ καὶ τὸ προσκόπτειν. ὅθεν γνώμη ἐξηνέχθη τοῖς ὕστερον τὸ, φορητότερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἶναι ποσὶν ἤπερ γλώττῃ προσκόπτειν, ταυτὸν δ' εἰπεῖν σφάλλεσθαι. τὸ μὲν γὰρ ἔχει ἀνέγερσιν. (ῃερς. 172.) γλώσσης δὲ ὄλισθος ἀνέγερτα κεῖσθαι πολλάκις ποιεῖ. τὸ δὲ αἰδοῖ μειλιχίῃ ἢ τὴν ἐκ τῶν ἀκουόντων αἰδῶ λέγει, ἢ τὴν ἐκ τοῦ ἀγορεύοντος ὅτε μὴ θρασύστομος ᾖ ἀλλὰ μειλίχιος ἐν τῷ λαλεῖν. Τὸ δὲ μεταπρέπειν δύναται καὶ ἐκπρέπειν λέγεσθαι. εἰ δὲ μὴ αὐτὸ ἐν χρήσει κεῖται, ἀλλ' ὁ ἐκπρεπὴς πολλαχοῦ εὕρηται, ὥσπερ καὶ ὁ ἀριπρεπὴς καὶ ὁ εὐπρεπὴς καὶ ὁ διαπρεπής. Τὸ δὲ θεὸν ὣς εἰσορόωσιν ἐκ τοῦ θεὸς μορφὴν ἔπεσι στέφει μεταπεποίηται. (ῃερς. 176.) τὸ δὲ οὐδ' ἂν ἄλλως οὐδὲ θεὸς τεύξειεν ἀλήθειαν δηλοῖ πράγματος. τὸ γὰρ πεπραγμένον οὐκ ἔστιν ἀποίητον γενέσθαι, ὥς που γνωματεύει καὶ Πίνδαρος. (ῃερς. 177.) Τὸ δὲ καὶ σοὶ εἶδος μὲν ἀριπρεπὲς νόος δὲ ἀποφώλιος, παραφρασθήσεται ἐν τῷ, οὐκ ἄρα σοί γ' ἐπ' εἴδει καὶ φρένες ἦσαν. ἐν οἷς δηλοῦται, φαῦλόν τι τὰ φυσικὰ εἶναι δῶρα εἰ μὴ καὶ τὰ ἐξ ἀρετῆς πάρεισιν. ἔχει δὲ τὴν τοιαύτην γνώμην καὶ ἡ Ἰλιάς. (ῃερς. 179.) Τὸ δὲ νῆις ἀέθλων, ἀντὶ τοῦ ἄπειρος. ἀνεπιστήμων. ἄϊδρις δὲ μᾶλλον εἰπεῖν οἰκειότερον. ὡς γὰρ ὁ ἄϊδρις, οὕτω καὶ ὁ νῆις παρὰ τὴν στέρησιν τοῦ εἰδέναι ἐτυμολογοῦνται ὡς καὶ ἡ Ἰλιὰς ἐδήλωσε. (ῃερς. 185.) περὶ δὲ τοῦ θυμοδακὴς μῦθος, καὶ ἀλλαχοῦ ἐσημειώθη ὅτι κάλλος τι ἐνταῦθα ἐμφαίνεται κατὰ τὸν ἀναγραμματισμὸν τοῦ θυμὸς καὶ τοῦ μῦθος, ὡς καὶ ἐν τῷ θυμαλγέα μῦθον. (ῃερς. 186.) Ὅτι Ὀδυσσέως δριμυξαμένου οἷς ἀντέσκωψε τὸν σκώπτην Εὐρύαλον, ἐπάγει ὁ ποιητὴς ἀσυνδέτως, οὕτως. ἔφη δή. καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον μείζονα καὶ πάχετον, στιβαρώτερον οὐκ ὀλίγον περ, ἢ οἵῳ Φαίηκες ἐδίσκεον ἀλλήλοισιν. (ῃερς. 189.) ὃν δὴ περιστρέψας τουτέστιν εἰλήσας ἤτοι δινήσας, ἧκε στιβαρῆς ἀπὸ χειρός. βόμβησε δὲ λίθος. κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ Φαίηκες λᾶος ὑπαὶ ῥιπῆς. ὅ δ' ὑπέρπτατο σήματα πάντα, (ῃερς. 193.) ῥίμφα θέων ἀπὸ χειρός. τουτέστιν οὐ δι' ἀνέμου κατὰ τὴν νῆα, οὐδὲ ποσὶ κατὰ τὰ ζῷα, ἐκ χειρὸς δὲ τῆς δισκευσάσης. καινὸν δὲ οὐδὲν εἰ θέειν ἔφη δίσκον ὃν καὶ ὑπερπετασθῆναι τὰ τῶν ἄλλων λέγει σήματα δίκην πτηνοῦ τινος. ὥστε καὶ λίθος ἂν εἴη τολμηρῶς εἰπεῖν ὁ τοιοῦτος δίσκος, οὐ παρὰ τὸ λίαν τεθεῖσθαι κατὰ τοὺς λοιποὺς διὰ τὸ φύσει βρίθον, ἀλλὰ διὰ τὸ λίαν θέειν ἀπὸ χειρός. (ῃερς. 186.) τὸ δὲ ἀσυνδέτως εἰπεῖν, ἔφη δὴ καὶ ἀναΐξας ἐδίσκευσε, τῇ τοῦ ἥρωος σπουδῇ τὸν λόγον συνεσχημάτισε. συντομώτερος γὰρ καὶ ὁ ἀσύνδετος λόγος τοῦ μετὰ συνδέσμων προφερομένου. τὸ δὲ αὐτῷ φάρει ἀναΐξας, δηλοῖ μὲν Ἀττικῶς τὸ, σὺν αὐτῷ ἱματίῳ, ἐμφαίνει δὲ, τὸ τοὺς ἄλλους ἡμιγύμνους δισκεύειν. ἐκ δὲ τοῦ ἀΐξαι, οὐ μόνον αἲξ τὸ ζῶον, ἀλλὰ καὶ κύριον ὁ Αἴξων, ἐξ οὗ καὶ δῆμος Ἀττικὸς οἱ Αἰξωνεῖς. Δίσκος δὲ, ἄλλως μὲν, ἐκ σιδήρου. ὁποῖος ὁ ἐν Ἰλιάδι σόλος. ἢ ξύλινος. ἴσως δὲ καὶ χαλκοῦς. καί που καὶ λίθινος. ἐνταῦθα δὲ, λίθος τετρημένος καὶ ἔχων ἐκ μέσου καλώδιον οὗ ἐχόμενοι οἱ ἀγωνιζόμενοι ἔδισκον ὅ ἐστιν ἔβαλλον. ἐῤῥιπτον. ὅθεν ὁ δίσκος γίνεται. τὸ δὲ ῥῆμα τούτου, δισκέω ἐνταῦθα. ὡς δηλοῖ τὸ, ἐδίσκεον ἀλλήλοις. ἐξ αὐτοῦ δὲ τὸ δισκεύειν. (ῃερς. 190.) Ὅτι δὲ λίθος ἦν ὁ Φαιακικὸς δίσκος, ἡρμήνευσεν Ὅμηρος ἐπαγαγὼν τὸ, βόμβησε δὲ λίθος, καὶ τὸ, λᾶος ὑπαὶ ῥιπῆς. Σημείωσαι δ' ἐνταῦθα καὶ Τρύφωνος τὸ, δίσκος, λίθος τετρημένος. σόλος δὲ, χαλκοῦν ὅλον σφαιρωτόν. Ὅμηρος. σόλον αὐτοχόωνον. ἔοικε δὲ ὁ Τρύφων ἐν τούτοις, χαλκοῦν, τὸ σιδηροῦν εἰπεῖν. ἐπεὶ σιδήρεος δοκεῖ ὁ Ὁμηρικὸς εἶναι σόλος. φέρει δὲ ὁ Τρύφων ἐπὶ τῷ κατ' αὐτὸν δίσκῳ, καὶ Πινδάρου χρῆσιν τὸ, λιθίνοις ὁπόταν δίσκουσι. Σημείωσαι δὲ ὅτι ὁ δίσκον εἰπὼν ἐπὶ ἡλίου, πάνυ ἐτόλμησεν. εἰ καὶ ἄλλως, ἧττον τοῦ φαμένου σκάφος τὴν ὅλην οἰκουμένην. τολμᾷ δὲ ἀκολούθως, καὶ ὁ λέγων φῶς ἐξ ἡλίου ἢ ἀκτῖνας ἀποδισκεύεσθαι. δισκεύεται μὲν γὰρ, δίσκος. τὰ δὲ ἐξ ἡλίου ἤγουν τὸ φῶς καὶ αἱ ἀκτῖνες, οὐκ εἰσὶ δίσκοι ὡς λέγεσθαι ἀποδισκεύεσθαι. (ῃερς. 187.) Στιβαρὸν δὲ δίσκον λέγει, ὡς καὶ αὐχένα στιβαρὸν καὶ χεῖρα στιβαρήν. (ῃερς. 190.) Ὁ δὲ βόμβος, δῆλον ὡς ὠνοματοπεποίηται. λεγόμενός ποτε καὶ ἐπὶ βροντῆς. καὶ ἐπί τινων δὲ εὐτελῶν. ὡς δηλοῖ καὶ τὸ ζωΰφιον ὁ βομβυλιὸς, κληθεὶς οὕτω διὰ τὸ βομβητικὸς εἶναι. Τὸ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταπτῆξαι πρὸς τῇ γῇ, τὸ πολὺ τοῦ βόμβου δηλοῖ. δι' αὐτοῦ δὲ, τὸ σφοδρὸν τῆς βολῆς. ἔστι δὲ καταπτῆξαι πρὸς τῇ γῇ, τὸ διὰ δέος κατακύψαι ἕως καὶ εἰς γῆν, δεδιότα ἕκαστον περὶ τῇ σφετέρᾳ κεφαλῇ. (ῃερς. 191.) Τοὺς δὲ Φαίακας δολιχηρέτμους καὶ ναυσικλυτοὺς ἄνδρας λέγει καὶ νῦν καὶ ἐν τοῖς ἑξῆς, ὡς ἢ δολιχὰ ἔχοντας ἐρετμὰ, ἢ μᾶλλον ὡς εἰς δολιχὸν πλοῦν ἐξαρκοῦντας ἐν τῷ ἐρέσσειν. συνήθης δὲ ἡ ἐκ τοῦ ἐρέσσω τοιαύτη 1.291 παραγωγὴ, ὡς ἐδήλωσε καὶ τὸ ἐπήρετμοι. ἐκ τοῦ τοιούτου δὲ ῥήματος, καὶ ὑπηρέσιον κατὰ τοὺς παλαιοὺς, ἐφ' οὗ κάθηνται οἱ ἐρέται, ἀκολούθως δὲ κατὰ τροπὴν, καὶ ἡ ὑπηρεσία ἐπὶ δουλείας, καὶ τὸ ὑπηρετεῖν. ἔστι δὲ καὶ νηῶν ἐπίθετον τὸ δολιχήρετμον ὡς πρὸ τούτων ἔφη ὁ ποιητής. (ῃερς. 192.) Τὸ δὲ λᾶος ὑπαὶ ῥιπῆς, ἀντὶ τοῦ ὑπὸ λίθου ὁρμῆς. καὶ ἔστι τὸ μὲν λᾶος κράσις ἐκ τοῦ λάας λάαος λᾶος. ὡς ἔαρ ἔαρος ἦρος καὶ τὰ τοιαῦτα. Ἡ δὲ ῥιπὴ, παρὰ τὸ ῥίπτω καὶ παρὰ τὰς προλεχθείσας εὐλυγίστους καὶ εὐμεταφόρους ῥῖπας. Σήματα δὲ λέγει, οἷς ἐσημειοῦντο ποῦ ὁ δίσκος ἐν πρώτῃ καταφορᾷ ἔπεσε. διὸ ὑποκατιὼν καὶ τέρματα ἐρεῖ αὐτά. εἰπών. ἔθηκε δὲ τέρματ' Ἀθήνη. ἤγουν σημεῖα ἔνθα τὸ πρῶτον κατῆλθεν ὁ δίσκος. (ῃερς. 195.) Τὸ δὲ ὑπερπετασθῆναι τὰ τῶν ἄλλων σήματα τὸν τοῦ Ὀδυσσέως δίσκον, μετ' ὀλίγα διασαφεῖ ὁ ποιητὴς, εἰπών. καί κεν ἀλαός τοι ξεῖνε διακρίνειε τὸ σῆμα ἀμφαφόων. ἤγουν διερευνώμενος ἁφῇ. φιλοκρινῶν. περιβλεπόμενος. δι' οὗ, παροιμίαν παραφράζει τὴν λέγουσαν ὡς καὶ τυφλῷ δῆλον. εἶτα ἐπεξεργαζόμενος εἰς τὸ σαφέστερον, φησίν. (ῃερς. 196.) ἐπεὶ οὔτι μεμιγμένον ἐστὶν ὁμίλῳ. ἤγουν τοῖς τοῦ ὁμίλου τέρμασιν. ἢ ἀφελέστερον, τῷ πλήθει τῶν σημάτων. ἀλλὰ πολὺ πρῶτον. τουτέστι λίαν ὑπὲρ ἐκεῖνα. (ῃερς. 197.) διὸ καὶ θαρσύνουσα ἡ μυθικὴ Ἀθηνᾶ, ἐπιφέρει. σὺ δὲ θάρσει τόνδ' ἄεθλον. οὔτις τόν γ' ἵξεται οὐδ' ὑπερήσει, ὅ ἐστιν ὑπερπέμψει. ὑπερβήσεται. εἰκὸς δὲ Ἀθηνᾶν ἐνταῦθα νοῆσαι καθὰ καὶ ἐν Ἰθάκῃ, ἄνδρα τινὰ ἐγχώριον τὰ ὑπὲρ Ὀδυσσέως φρονοῦντα ὡς καὶ ἐκεῖ τὰ ὑπὲρ Τηλεμάχου τοῦ υἱοῦ. Καὶ σημείωσαι ὡς οὐ μόνον ὁ ἀκοντιστὴς, ἥμων λέγεται, ἀλλά πως καὶ ὁ δισκευτής. ὡς δῆλον ἐκ τοῦ ὑπερήσει. οὗ τὸ ἁπλοῦν καὶ μετ' ὀλίγα κεῖται. Ἰστέον δὲ ὅτι τὸ ὑπερήσει, καὶ τὸ ὑπέρπτατο σήματα πάντα, οὐ μακρὰν ἐσχημάτισται τοῦ, ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν ὃ κεῖται παρὰ τοῖς ὕστερον. ἤγουν ὑπέρμετρα. παροιμιαζόμενον μὲν ἐπὶ τῶν ὑπερβαλλόντων ἢ πλεονεκτούντων. μετενεχθὲν δὲ, ἀπὸ τῶν πεντάθλων. ἤρξατο δέ φασιν ὁ λόγος, ἀπὸ Φαΰλου πεντάθλου Κροτωνιάτου. ὃς πεντήκοντα ποδῶν ὄντων πρότερον τῶν σκαμμάτων, αὐτὸς ὑπερέβαλε ταῦτα πηδήσας. ὡς τὸ ἐπίγραμμα, φασὶ, λέγει τῆς εἰκόνος αὐτοῦ. πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλος. δίσκευσε δ' ἑκατὸν, πέντ' ἀπολειπομένων. (ῃερς. 0.) Ὅτι παρήγορος ἐν ἀέθλοις ὁ λαλῶν ὑπὲρ τοῦ ἀγωνιῶντος, ὡς δηλοῖ Ὀδυσσεὺς, ὃς γήθησε χαίρων οὕνεχ' ἑταῖρον ἐνηέα λεῦσσ' ἐν ἀγῶνι. ὃς ἦν, ὡς ἐῤῥέθη, ἡ μυθικὴ Ἀθηνᾶ. ὑφ' ἧς καὶ θαῤῥυνθεὶς ἐκεῖνος, (ῃερς. 2.) κουφότερον μετεφώνει, ὅ ἐστιν ἐπηρμένον θρασύτερον. Ὅτι ὁ θαῤῥῶν εἰς ὃ καλῶς ἠγωνίσατο εἴποι ἂν τοῖς ἀνταγωνισταῖς. τοῦτον νῦν ἀφίκεσθε νέοι, τάχα δ' ὕστερον ἄλλον ἄεθλον δηλαδὴ, ἥσειν ἢ τοσοῦτον ὀΐομαι, (ῃερς. 3.) ἢ ἔτι μᾶσσον ὅ ἐστι μακρότερον ὡς προγέγραπται. (ῃερς. 2.) Τὸ δὲ ἀφίκεσθε, ὡς ἐπὶ τόπου τινὸς κεῖται. γράφεται δὲ καὶ ἐφίκεσθε ἀντὶ τοῦ ἐφάψεσθε. καταλάβετε. (ῃερς. 4.) Ὅτι ἐπαρθεὶς Ὀδυσσεὺς ἐπὶ τῇ ὑπερβαλλούσῃ βολῇ τοῦ δίσκου φησί. τῶν δ' ἄλλων ὅ τινα κραδίη θυμός τε κελεύει, δεῦρ' ἄγε πειρηθήτω, ἐπεί μ' ἐχολώσατε λίην, ἢ πὺξ ἠὲ πάλῃ ἢ καὶ ποσὶν, οὔτι μεγαίρω πάντων Φαιήκων, πλήν γ' αὐτοῦ Λαοδάμαντος. (ῃερς. 8.) διατί πλὴν τούτου; ξεῖνος γάρ μοι ὅδ' ἐστίν. εἶτα ἐπάγει γνωμικόν. τίς ἂν φιλέοντι μάχοιτο; ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνὴρ, ὅστις ξεινοδόκῳ ἔριδα προφέρηται ἀέθλων δήμῳ ἐν ἀλλοδαπῷ. (ῃερς. 211.) ἕο τ' αὐτοῦ πάντα κολούει. ὅ ἐστι ἑαυτὸν βλάπτει καὶ κολοβεῖ καὶ ἐλαττοῖ. τῶν δ' ἄλλων οὔ τινα ἀναίνομαι οὐδ' ἀθερίζω, ἀλλ' ἐθέλω (ῃερς. 213.) ἴδμεν καὶ πειρηθήμεναι ἄντην. ταῦτα δὲ ἐκφοβεῖ μὲν τὸν βασιλέα,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σεμνύνει δὲ τὸν Ὀδυσσέα, ὡς ἐν τοῖς ἑξῆς φανεῖται. (ῃερς. 4.) Ἰστέον δὲ ὅτι τὸ, ὅτινα ποιητικὸν ὂν, κεῖται μὲν ἀντὶ τοῦ ὅν τινα, γίνεται δὲ ἀπὸ τοῦ τινὰ πλεονασμῷ τοῦ ¯ο καθ' ὁμοιότητα τοῦ ὅτου. καὶ ὅτῳ. καὶ ὅτοισιν ἀντὶ τοῦ οἷστισι. καὶ ὁτέοισι. καὶ ὅτινας ἀντὶ τοῦ οὕς τινας. καὶ ὅτις ἀντὶ τοῦ ὅς τις. οἷον. ὅτις σφέας εἰσαφίκηται. καὶ, ἠδ' ὅτις οὐκ ἀλέγει. (ῃερς. 5.) Τὸ δὲ ἐπεί μ' ἐχολώσατε λίην ὅθεν μετ' ὀλίγα καὶ ὁ βασιλεὺς ὁρμηθεὶς χώεσθαι τὸν Ὀδυσσέα ἐρεῖ ἐφ' οἷς ἐκ τοῦ Λαοδάμαντος ἤκουσε, λεαίνει τὸ τραχὺ τοῦ κατὰ τὸν Ὀδυσσέα λόγου καθὰ καὶ πρὸ τούτων τὸ, ὤρινάς μοι θυμὸν εἰπὼν οὐ κατὰ κόσμον. δοκεῖ γὰρ ἄλλως θρασὺς ὁ Ὀδυσσεὺς εἶναι ἐφ' οἷς ἑαυτὸν ἄγαν σεμνύνει. (ῃερς. 6.) Σημείωσαι δὲ καὶ ὅτι καταφήσας τρεῖς ἄθλους ἐνταῦθα Ὀδυσσεὺς ἐν τῷ ἢ πὺξ ἢ πάλῃ ἢ καὶ ποσὶ, μετ' ὀλίγα καὶ τοξότης εἰδήμων εἶναι φησὶ καὶ ἀκοντιστής. τὸ μέντοι ποδῶκες, ἀποφάσκει ἑαυτοῦ. παιδεύων χρεὼν εἶναι τὸν συνετὸν εἴπου καὶ παραῤῥίψοι οὐκ ἀκριβῶς λόγον 1.292 τινὰ, ἐπιδιορθροῦσθαι αὐτόν. (ῃερς. 8.) Τὸ δὲ τίς ἂν φιλέοντι μάχοιτο, ἑρμηνεύων, ἔφη. ξεινοδόκῳ ἔριδα προφέρηται. (ῃερς. 211.) Τὸ δὲ δήμῳ ἐν ἀλλοδαπῷ, πρὸς λόγου ἀσφάλειαν κεῖται. οἴκαδε μὲν γάρ τις περιφρονήσοι ἂν ξεινοδόκον. οὐκ ἂν δὲ καὶ ἐν αὐτῷ τῷ τοῦ ξεινοδόκου δήμῳ. Τὸ δὲ ἴδμεν ἐπὶ ἀπαρεμφάτου σπανίως εὕρηται. (ῃερς. 214.) Ὅτι συνιστῶν ἑαυτὸν Ὀδυσσεὺς παρὰ τοῖς Φαίαξιν οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν ἐν τοῖς μετὰ ταῦτα μνηστηροφονίαν πιθανὴν ποιῶν καθ' ἣν πρῶτος τῶν ἄλλων αὐτὸς ὀϊστεύσας ἀριστεύσει, φησί. πάντα γὰρ οὐ κακός εἰμι μετ' ἀνδράσιν ὅσσοι ἄεθλοι. εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι. πρῶτος ἂν ἄνδρα βάλοιμι ὀϊστεύσας ἐν ὁμίλῳ ἀνδρῶν δυσμενέων εἰ καὶ μάλα πολλοὶ ἑταῖροι (ῃερς. 218.) ἄγχι παρασταῖεν καὶ τοξαζοίατο φωτῶν ἤτοι κατὰ ἀνδρῶν. εἶτα εἰπὼν ὅτι οἷος δή με Φιλοκτήτης ἀπεκαίνυτο τόξῳ ἐν Τροίᾳ ὅτε τοξαζοίμεθα Ἀχαιοί. τῶν δ' ἄλλων, ἐμέ φημι προφερέστατον εἶναι, ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες. καὶ ὅτι, ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω, (ῃερς. 224.) οὔθ' Ἡρακλῆϊ οὔτ' Εὐρύτῳ Οἰχαλιῆϊ. καὶ τὴν αἰτίαν εἰπὼν ὡς ῥηθήσεται μετ' ὀλίγα, ἥτις ἦν, τὸ καὶ θεοῖς αὐτοὺς ἐρίζειν διὰ τὸ κατ' ἀρετὴν ἀνυπέρβλητον, ἐπάγει. (ῃερς. 229.) δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀϊστῷ. πάνυ ἐνταῦθα περιαυτολογήσας. διὸ παραμυθούμενος τὴν ἀλαζονείαν ἐπάγει εὐθὺς ταπεινότερον ὡς πρὸς ἔνδειξιν τοῦ ἀληθεύειν τὸ, μόνοις δέδοικα (ῃερς. 230.) ποσὶ μή τίς με παρέλθῃ Φαιάκων. καὶ τὴν αἰτίαν προτιθεὶς, φησί. λίην γὰρ ἀεικελίως ἐδαμάσθην κύμασιν ἐν πολλοῖς, ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα ἔην ἐπηετανός. τῷ μοι φίλα γυῖα λέλυνται. (ῃερς. 246.) ἐφ' οἷς ὁ βασιλεὺς Ἀλκίνοος τῷ τοῦ Ὀδυσσέως κόμπῳ πίστιν σχὼν, οὐκέτι καθὰ καὶ πρὸ τούτων ἀριστεύειν φησὶ τοὺς Φαίακας πὺξ καὶ παλαισμοσύνῃ καὶ ἅλμασι καὶ ποσίν. ἀλλὰ μεταβαλὼν, λέγει. οὐ γὰρ πυγμάχοι ἐσμὲν ἀμύμονες, οὐδὲ παλαισταί. ἀλλὰ ποσὶ κραιπνῶς θέομεν (ῃερς. 247.) καὶ νηυσὶν ἄριστοι, ἐσμὲν δηλαδή. εἰ καὶ λείπει τὸ ῥῆμα. Ἔνθα ὅρα ὡς Ὀδυσσέως εἰπόντος δεδοικέναι μή τις αὐτὸν ποσὶ παρέλθοι, ὁ βασιλεὺς ἀριστεύειν ἐνταῦθα φησὶ τοὺς Φαίακας. εὐδοκιμεῖν αὐτοὺς εἰπὼν, περὶ ὅπερ ὁ ξένος ἀπείπατο. καὶ ἀρετὴν αὐτοῖς ἐπιμαρτυράμενος ἀνεξέλεγκτον. ἐλεγχθεὶς γάρ, φασιν, ἀρνεῖται ἵνα μὴ παροξύνῃ τὸν ξένον. τάχα γοῦν ὁ Ἀλκίνοος ἀπόδρομον τὸν Ὀδυσσέα ἐνόμισεν, ὡς ἤδη πεπαυμένον ἀπὸ τῶν δρόμων. ὃ δή τισι τῶν παλαιῶν ἐῤῥέθη πρὸς ὁμοιότητα τοῦ ἀπόμαχος καὶ τῶν ὁμοίων. καὶ μὴν ἕτεροι ἄλλως χρῶνται τῷ ἀπόδρομος, φάμενοι, ὡς ἐν Κυρήνῃ μὲν, τοὺς ἐφήβους, τριακάπους καλοῦσιν. ἐν δὲ Κρήτῃ, ἀποδρόμους, διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. οὕτω δὲ καὶ Καλλίμαχος ἀπότριχα τὸν ἄνηβον ἔφη. (ῃερς. 214.) Σημείωσαι δὲ ὅτι τὸ μὲν οὐ κακός εἰμι, μετρίως εἶπε καὶ ἐπιεικῶς Ὀδυσσεύς. δυνάμενος εἰπεῖν ὡς πάνυ δεξιῶς ἔχω. ἵνα εἴη τὸ οὐ πάνυ κακὸς, οὐ μόνον κακίας ἀπόφασις ἀλλὰ καὶ ἀντὶ τοῦ λίαν δεξιὸς ἢ ἀνδρεῖος. (ῃερς. 221.) τὸ μέντοι τῶν ἄλλων ἐμέ φημι προφερέστερον εἶναι, οὐκέτι ἐπιεικοῦς ἤθους, ἀλλὰ σεμνοῦ. καθ' ὑπερβολὴν γὰρ ἐπικριτικῶς ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περιαυτολογία. (ῥαψ. 224.) παραμυθεῖται δὲ ὅμως αὐτὴν ἠρέμα, τὸ ὑπαγαγεῖν ἑαυτὸν τῷ Φιλοκτήτῃ. καὶ τὸ μὴ ἔχειν ἐξισοῦσθαι μήτε τῷ Ἡρακλεῖ μήτε τῷ Εὐρύτῳ. ἔστι δ' ὅμως καὶ ἐν τούτοις καύχημά τι τῷ Ὀδυσσεῖ περιττὸν, εἴγε τῶν ζώντων μὲν μόνῳ τῷ Φιλοκτήτῃ τοῦ ἐπὶ τόξῳ ἤγουν τοξείᾳ κλέους παραχωρεῖ. τῶν δὲ τεθνεώτων, Ἡρακλεῖ καὶ Εὐρύτῳ. ἔστιν οὖν εἰπεῖν, ὅτι καὶ Ὀδυσσεὺς κατὰ τὸν ὕστερον Ἐφέσιον ζωγράφον τὸν Παῤῥάσιον, ἐσέμνυνεν ἑαυτόν. οὗτός τε γὰρ ἑαυτὸν ὑπεξῆρεν ἐπισημηνάμενος καὶ ταπεινότητα, καὶ ὁ Παῤῥάσιος ἔφη ὡς ἀνυπέρβλητος αὐτῷ πέπηγεν οὖρος. ἀμώμητον δ' οὐδὲν ἐγένετο βροτοῖς. τὸ μὲν αὐχῶν, τὰ τῆς τέχνης εὑρῆσθαι αὐτῷ τέρματα, τὸ δ' ὑπονοῶν, ὡς ἴσως ἐψέγετο πρὸς τῶν ὁμοτέχνων ὡς μάτην θαῤῥῶν ἀμώμητος εἶναι. (ῥαψ. 225.) Τόξον δὲ ἐΰξοον λέγει, ἐπεὶ καὶ τὸν αὐτοῦ τέκτονα κεραοξόον ἐν ἄλλοις φησίν. Ἀμφαφάασθαι δὲ τὸ μεταχειρίζεσθαι, παρὰ τὴν ἁφήν. ἀφ' ἧς καὶ τὸ, σῆμα ἀμφαφόων πρὸ ὀλίγων εἴρηται, ὅ ἐστι παραδεικνὺς τῇ χειρί. (ῥαψ. 217.) Τὸ δὲ εἰ καὶ μάλα πολλοὶ ἑταῖροι, καὶ ταχυτοξότην τὸν Ὀδυσσέα εἶναι δηλοῖ. ὃς εἰ καὶ πάνυ πολλοὶ περὶ αὐτόν εἰσιν, ἀλλὰ πρῶτος αὐτὸς βαλεῖ τὸν δυσμενῆ. (ῥαψ. 218.) Τὸ δὲ τοξαζοίατο, οὐκ ἀεὶ ἀναγκαίως καὶ πτωτικήν τινα σύνταξιν ἔχει, ἀλλὰ καὶ μόνον καθ' αὑτὸ ἐκφωνεῖται ὡς δηλοῖ τὸ, ὅτε τοξαζοίμεθ' Ἀχαιοί. καὶ τὸ, προκαλίζετο τοξάζεσθαι. (ῥαψ. 219.) Τὸ δὲ ἀπεκαίνυτο, περιττὴν μὲν ἔχει τὴν πρόθεσιν ὡς ἀλλαχοῦ προεφάνη. δέδωκε δὲ τοῖς ἰδιώταις ἀρχὴν τοῦ, νίκην ἀποκοπτὴν τὴν μεγάλην λέγειν. 1.293 (ῥαψ. 222.) Τὸ δὲ σῖτον ἔδοντες, πρὸς διαστολὴν ἴσως ἐῤῥέθη ἑτέρων βροτῶν μὴ τοιούτων. ὁποίους καὶ τοὺς μακροβίους Αἰθίοπας ἡ ἱστορία φησίν. οἳ ἄρτον ἰδόντες κόπρῳ αὐτὸν εἴκασαν. ἦσαν δὲ καὶ οἱ ἐξ ἀκρίδων ζῶντες καὶ οἱ ἐξ ἰχθύων. οἳ καὶ ἀκριδοφάγοι διατοῦτο καὶ ἰχθυοφάγοι ἐκαλοῦντο. τὸ δὲ Σκυθικὸν φῦλον καὶ τὸ Μασσαγετικὸν κρέασι διοικονομούμενον οὐδ' αὐτὸ ἐθέλει σιτοφαγεῖν. (ῥαψ. 223.) Τὸ δὲ ἐρίζειν, καιρία λέξις ἐπὶ ἐξισώσεως. διὸ καὶ δὶς ἐνταῦθα κεῖται. (ῥαψ. 224.) Τὸ δὲ οὐκ ἐθελήσω, ἀντὶ τοῦ οὐ δυνήσομαι. πολλαχοῦ δὲ ἐπὶ τοιαύτης σημασίας ἡ λέξις κεῖται. Τὸν δὲ Ἡρακλῆν, οὗ πολὺς λόγος τοῖς παλαιοῖς, καὶ Ἡρακλείδην Παυσανίας καλεῖσθαι φησί. (ῥαψ. 229.) Περὶ δὲ Εὐρύτου καὶ τοῖς κατ' αὐτὸν Οἰχαλίας ἡ Βοιωτία ἐδήλωσεν. Ἐν δὲ τῷ, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ, ῥῆμα νοητέον ἔξωθεν τὸ ἵησιν ἢ πέμπει ἤ τι τοιοῦτον. τὸ γὰρ ἀκοντίζειν οὐκ ἔστιν οἰκεῖον ἐπὶ ὀϊστοῦ. ταῦτα δὲ ἀλλαχοῦ παρὰ τῷ ποιητῇ καὶ τὸ, σῖτον ἐσθίειν καὶ οἶνον, πίνειν δηλαδή. οἶνος γὰρ οὐκ ἐσθίεται. καὶ τὸ, καπνὸν ἐλεύσσομεν καὶ φθογγὴν, ἠκούομεν δηλαδή. φθογγὴ γὰρ οὐ βλέπεται. οὐκ ὀλίγα δέ εἰσι καὶ ἄλλα τοιαῦτα. ὧν ὁ ποιητικὸς τρόπος, σύλληψις εἴτουν συνεκδοχή ἐστι. (ῥαψ. 230.) Τὸ δὲ ποσὶ παρέλθῃ, πρὸς διαστολὴν ἐῤῥέθη. ἔστι γὰρ τροπικῶς καὶ νόῳ παρελθεῖν καὶ δόλοις καὶ τοιούτοις τισί. (ῥαψ. 232.) Τὸ δὲ ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα ἦν, ἀντὶ τοῦ, ἐπεὶ ὤλετο ἡ ναῦς. οὐ γὰρ διὰ τὸ μὴ κομιδὴν ἐν βρώμασιν ἔχειν ἐδαμάσθη Ὀδυσσεὺς τοῖς κύμασιν, ἀλλ' ὅτι ἐθραύσθη κύμασιν ἡ τὴν κομιδὴν ἔχουσα ναῦς. (ῥαψ. 233.) Τὸ δὲ ἐπηετανὸν ἐν μὲν τῷ, ἐπηετανὸν γάλα θῆσθαι, κυριολεκτεῖται. δηλοῖ γὰρ τὸ, ἐν ὅλῳ ἔτει. ἐνταῦθα δὲ κομιδὴ ἐπηετανὸς, ἡ ἁπλῶς πολλὴ λέγεται. Τὸ δὲ φίλα γυῖα λελύσθαι ταυτόν ἐστι τῷ ἀεικελίως δαμασθῆναι. (ῥαψ. 225.) Ὅτι τοὺς ῥηθέντας Ἡρακλέα τε καὶ Εὔρυτον ἐπαινῶν Ὀδυσσεὺς, φησὶν ὅτι καὶ ἀθανάτοις ἐρίζεσκον περὶ τόξων. διό φησι καὶ (ῥαψ. 226.) αἶψα ἔθανε μέγας Εὔρυτος. εἶτα ἑρμηνεύων πῶς αἶψα ἔθανε, φησίν. οὐδ' ἐπὶ γῆρας ἵκετ' ἐν μεγάροισι. τοῦτο δ' αὖθις ἐφερμηνεύων, ἐπιφέρει. χολωσάμενος γὰρ Ἀπόλλων ἔκτανε. διὰ τί; (ῥαψ. 228.) οὕνεκά μιν προκαλίζετο τοξάζεσθαι. ἔοικε δὲ αἴφνης θανεῖν καὶ ὁ Εὔρυτος. τοῦτο γὰρ δηλοῖ ὁ πρὸς Ἀπόλλωνος θάνατος, ὡς πολλαχοῦ φαίνεται. Ἡρακλῆς δὲ οὐδέν τι λέγεται παθεῖν δεινὸν ὑπὲρ τῆς πρὸς θεοὺς ἔριδος, ὅτι μὴ δὲ ἐπροκαλίζετο εἰς τοξείαν. οὐδὲ πάνυ δοκεῖ θρασὺς αὐτοῖς εἶναι. ἄλλως δέ γε ἀθανάτοις αὐτὸν ἐρίσαι κατὰ ἄμυναν, ἡ Ἰλιὰς ἐδήλωσε. τὸ μέντοι ὑφ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἡρακλέος θανεῖν τὸν Εὔρυτον κατὰ τοὺς ὕστερον καὶ τὰ περὶ τῆς θυγατρὸς τοῦ Εὐρύτου Ἰόλης, οὐκ οἶδεν ὁ ποιητής. ἄλλοι δὲ μεθ' Ὅμηρον, αὐτὸ ἱστοροῦσιν. ὧν καὶ Σοφοκλῆς. Σημείωσαι δὲ καὶ ὡς ἐμφαίνει Ὀδυσσεὺς ἐνταῦθα, μὴ δὲ δεῖν εἶναι εὔξεσθαί τινα ἐξισωθῆναι τῷ Εὐρύτῳ, εἴγε οὕτω ταχὺ ἐκ θεομηνίας ἔθανεν. Ὅτι δὲ τῷ τοῦ Εὐρύτου τόξῳ ἐχρᾶτο ποτὲ Ὀδυσσεὺς, ἐν τοῖς μετὰ ταῦτα ἱστορήσει Ὅμηρος. καθά που καὶ Φιλοκτήτης τῷ τοῦ Ἡρακλέος. (ηερς. 236.) Ὅτι οὐκἀλαζονείαν Ἀλκίνοος ἡγεῖται τοὺς τοῦ Ὀδυσσέως λόγους, ἀλλὰ εὐδιακρίτως δεχόμενος αὐτοὺς φησί. ξεῖνε, ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις, τουτέστιν ἀηδῆ καὶ ἔξω χάριτος, ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ. χωόμενος ὅτι σ' (ηερς. 238.) οὗτος ἀνὴρ τουτέστιν ὁ Εὐρύαλος ἐν ἀγῶνι παραστὰς νείκεσεν, ὡς ἂν σὴν ἀρετὴν βροτὸς οὔτις ὄνοιτο ὅς τις ἐπίσταιτο φρεσὶν ἄρτια βάζειν. Καὶ ὅρα ὡς ἁπλῶς τὸ ἦθος ὁ βασιλεύς. ὃς πρὶν σχεῖν διάπειραν πιστεύει οἷς Ὀδυσσεὺς ἐκόμπασεν. ἔστι δὲ ἡ ἀπόδοσις τοῦ ἐπε¯ι συνδέσμου, ἐν τῷ, (ηερς. 239.) ὡς ἂν σὴν ἀρετὴν οὔτις ὄνοιτο. ἵνα λέγῃ ὅτι ἐπεὶ οὐκ ἀχάριστα φῂς, ὄντως ἂν οὐδεὶς μέμψοιτό σε. (ηερς. 236.) Ἀσύνηθες δὲ τοῖς μεθ' Ὅμηρον τὸ ἀχάριστον ἐπὶ τοῦ μὴ χαρίεντος. αὐτοὶ γὰρ ἀχάριστόν φασιν, οὗ ἀποῤῥέει μνῆσις εὖ πεπονθότος. ὃν οὐδὲ γινώσκεσθαι χρὴ ὥς που Εὐριπίδης γνωμολογεῖ. ἐκ δὲ τοῦ Ὁμηρικοῦ ἀχαρίστου, καὶ τὸ ἀχαρίστερον ἐν τοῖς ἑξῆς. (ηερς. 237.) Ἀρετὴν δὲ, οὐ τὴν ἀνδρίαν μόνον ἐνταῦθα φησὶν ὡς ἐν ἄλλοις, ἀλλὰ τὴν ἁπλῶς περὶ τοὺς ἀέθλους δεξιότητα. δηλοῖ δέ ποτε, καὶ τὴν παρὰ τοῖς ὕστερον εὐδαιμονίαν. οἷον. ὄφρ' ἀρετὴν παρέχωσι θεοί. καὶ, ἤτοι ἐμὴν ἀρετὴν εἶδός τε. ὃ δήπου ἡ Πηνελόπη φησίν. ἐκεῖθεν δὲ καὶ τὸ, ἀρετῶσι λαοὶ ὑπ' αὐτῷ. καὶ τὸ, οὐκ ἀρετᾷ κακὰ ἔργα. ἐπὶ μέντοι ἀνδρίας κεῖται ἐν τῷ, οἶδ' ἀρετὴν, οἷος ἐσσί. καὶ παντοίης ἀρετῆς μιμνήσκετο. τρὶς δὲ ἐνταῦθα λέγει τὴν ἀρετὴν διὰ τὸ τῆς λέξεως καίριον. Φαινέμεν δὲ, τὸ φανεροῦν καὶ ἐμφανῆ ποιεῖν. Τὸ δὲ ἥ τοι ὀπηδεῖ, διὰ σαφήνειαν κεῖται. ἔστι γάρ τις ἀρετὴ παλαιὰ ἣ νῦν οὐκ ὀπηδεῖ τῷ πάλαι σχόντι αὐτήν. ἔχει δ' ἐντεῦθεν 1.294 ἀρχὴν γνωματεύματος καὶ ὁ τὴν ἀρετὴν εἰπὼν ἀγωγίμων τὸ τιμιώτατον. ἣ πάντων ἔστιν ὅτε ἀπολλυμένων αὐτὴ παραμένει ὡς οἷον ὀπηδοῦσα τῷ ἔχοντι. (ηερς. 240.) Τὸ δὲ ὅς τις ἐπίσταιτο καὶ ἑξῆς, πρὸς διαστολὴν καὶ αὐτὸ ἐῤῥέθη, μέμψεται μὲν γάρ τις ἴσως τὸν Ὀδυσσέα καθὰ καὶ ὁ Λαοδάμας, οὐ μὴν φρενήρης ἐκεῖνος ἀνὴρ ὁποῖος καὶ ὁ φρεσὶν ἄρτια βάζων. Τὸ δὲ ἄρτια βάζειν ταυτόν ἐστι τῷ, ὡς ἄν τις εἴποι ἀπαρτιλογεῖν. κεῖται γὰρ παρὰ Ἡροδότῳ ἀπαρτιλογίη ὁ ἀπηρτισμένος λόγος. (ηερς. 241.) Ὅτι διδασκαλικὸν τὸ, ἀλλ' ἄγε νῦν ἐμέθεν ξυνίει ἔπος ὄφρα καὶ ἄλλῳ εἴπῃς ἡρώων ὅτε κεν σοῖς ἐν μεγάροις διάγεις, ἡμετέρης ἀρετῆς μεμνημένος, οἷα καὶ ἡμῖν θεὸς ἐπὶ ἔργα τίθησι διαμπερὲς ἐξ ἔτι πατρῶν. ὅ ἐστιν ἐκ προγόνων ἀέκαθεν. ὅ περ εἰς ἑρμηνείαν ἐπῆκται τοῦ διαμπερές. Ὅρα δ' ἐν τούτοις, ὡς χαίρει ὁ βασιλεὺς ἐπαινουμένων τῶν περὶ αὐτόν. Τὸ δὲ πατρῶν ποιητικόν ἐστιν ὡς καὶ τὸ θυγατρῶν. εἰ δέ που καὶ μητρῶν ἐστὶν, ἀλλ' οὐ προφανὴς ἡ χρῆσις. (ηερς. 248.) Ὅτι ἅπερ ἂν εἴποι Σαρδανάπαλος ὁ Νίνου ἢ Ἀνακυνδαράξεω, ἢ ὁ τῆς ἡδονῆς ἑταῖρος Ἐπίκουρος, ταῦτα καὶ ὁ Ὁμηρικὸς Φαίαξ βασιλεὺς λέγων φησίν. αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε, χοροί τε. εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί. εἰ δ' οὕτως ἀεὶ φίλη δαὶς τοῖς Φαίαξιν, οὐ δ' αὐτοῖς ἀργά ποτε ἦσαν τὰ κατὰ στόμα. ὃ δὴ λέγεται Ἄλεξις εἰπεῖν ἐν τῷ, συμποσίου διατριβὴ τὰ τραγήματα ὥστε ἀργοὺς ἔχειν μηδέ ποτε τὰς σιαγόνας. Καὶ ὅρα τὸ ἀργοὺς Ἀττικῶς, ἀντὶ τοῦ ἀργάς. οὐ διδάσκει δὲ ὁ ποιητὴς τοιούτους δεῖν τοὺς ἀνθρώπους εἶναι, ἀλλ' ἱστορεῖ τοιούτους τοὺς Φαίακας. χωρικὴν ἰδιότητα ἱστορῶν, οὐ μὴν παιδεύων τρυφᾶν. τί γὰρ ἂν σπουδαῖον βίος ἐκφήνῃ ἁβροδαίτων ἀνδρῶν; καὶ τοῦτο δῆλον μὲν καὶ ἐξ ἱστοριῶν ἐν αἷς καὶ οἱ Συβαρῖται πινακογραφοῦνται ἀναστηλούμενοι. δηλοῖ δὲ αὐτὸ καὶ ὁ καλὸς δειπνοσοφιστὴς ἐν τῷ, Παῤῥάσιος ὁ Ἐφέσιος ζωγράφος τρυφῶν μὲν παρὰ μέλος ὑπὲρ τὴν γραφικήν. ἤγουν σπαταλῶν ἐκμελῶς καὶ ἀπῳδῶς ὑπὲρ ὃ ἔδει τρυφᾶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄνδρα γραφέα, λόγῳ δὲ ἀρετῆς ἀντιλαμβανόμενος ἐπέγραψε τοῖς αὐτοῦ ἔργοις. ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων, τάδε ἔγραψε. καί τις φησὶν ὑπεραλγήσας, παρέγραψε, ῥαβδοδίαιτος. Πολλὴ δὲ ἡ τῶν Φαιάκων τρυφὴ εἰ μὴ δὲ ψυχρολουτοῦσι κατὰ τὴν βασιλικὴν κόρην ἀλλὰ θερμοῖς λοετροῖς χαίρουσιν ἅπερ καὶ ἡ κωμῳδία σκώπτει, οὐδέν τι ἐπιστρεφομένη τῆς παροιμίας ἣ λέγει λουτρὰ Ἡράκλεια τὰ θερμά. εἰ γὰρ καί τινες ἀνεῖσθαι αὐτὰ εἶπον τῷ Ἡρακλεῖ ὡς τρυφᾶν εἰδότι, ἀλλ' ἐκεῖνος μὲν οὐ τοιοῦτος ἦν ὅς γε διὰ βίου ἐκακοπράγει στελλόμενος τὰ πολλὰ καὶ ὑπερόριος. ἡ δὲ παροιμία, διὰ μόνον τὸ ἄτεχνον καὶ αὐτοφυὲς καὶ ἀπερίεργον τοῦ τοιούτου λούματος, ἀνέθετο αὐτὰ τῷ Ἡρακλεῖ. δηλοῦσα, ὡς εἰ καί ποτε βάψει ἑαυτὸν Ἡρακλῆς εἰς θερμὸν ὕδωρ, ἀλλ' ἐκεῖνο φύσις ἐξέζεεν αὐτομάτως, οὐ μὴν ἀνθρωπίνη τέχνη περιέργως ἐθέρμανεν ὡς δι' αὐτοῦ ζῆν μαλακῶς ταυτόν δ' εἰπεῖν τρυφερῶς κατὰ τοὺς παλαιούς. εἰ καὶ κατ' ἄλλον λόγον μαλακῶς ἔχειν λέγεται καὶ ὁ νοσεῖν ἐναρξάμενος. καὶ μὴν εἴ τις ὀρθῶς ἐθέλει διαιτῆσαι, εἰ καὶ Ἡρακλῆς καὶ τὸ πᾶν ἡρωϊκὸν γένος διπλοῖς ἀληθῶς λουτροῖς χρᾶται ὅσα τε φύσις ἐμπυρεύει καὶ ὅσα τέχνη βαλανεύει ἀλλ' αὐτοὶ μὲν ποτὲ καὶ οὐδὲ πρὸς τρυφὴν, Φαίακες δὲ ἀεὶ φιλοῦσι καὶ πρὸς ἁβρότητα δὲ τὰ λοετρά. εἰ δὲ ταῦθ' οὕτως ἔχει καὶ ὁ Φαίαξ βασιλεὺς ἐπὶ τοιούτοις ἐσεμνύνατο, πῶς ἄν τις ψέξοι τὸν Ὀδυσσέα καὶ ἡγεμόνα Ἐπικούρῳ ἐρεῖ γενέσθαι τῆς πολυθρυλήτου ἡδονῆς, ἐν οἷς ἔφη. οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον καὶ ἑξῆς. δῆλον γὰρ ὅτι καθομιλῶν τοὺς καιροὺς Ὀδυσσεὺς ὑπὲρ τοῦ δοκεῖν ὁμοήθης εἶναι τοῖς Φαίαξιν ὥς φασι Μεγακλείδης ὑπερλαλῶν τοῦ Ὀδυσσέως, τὸ ἁβροδίαιτον αὐτῶν ἀσπάζεται οὗ μάρτυς ὁ βασιλεὺς ἐν ὁμίλῳ τρανώσας τὸν λόγον. ἐνταῦθα δὲ χρήσιμον ἐκ τῶν Ἀθηναίου, καὶ τὸ, ὦ τέκνον, ποντίου θηρὸς πετραίου ἤγουν πολύποδος, χρωτὶ μάλιστα νόον προσφέρων, πάσαις πολίεσσιν ὁμίλει. τὸ παρεὸν δ' ἐπαινήσας, ἑκὼν ἄλλοτ' ἀλλοῖα φρόνει. δῆλον γὰρ, ὡς τοιοῦτον ἐν τοῖς εἰρημένοις καὶ τὸ τοῦ Ὀδυσσέως ἦθος, τοῖσιν ἐφαρμοζουμένου ὅν κε δῆμον ἵκηται, ὡς ἐν τῇ ¯ε ῥαψῳδία προγέγραπται. ἀπὸ τούτων δὲ παραξέσασα καὶ ἡ κοινὴ γλῶσσα, βούλεται τὸν φρονοῦντα ἄνθρωπον ὅτε που ἐς ἀλλοτρίαν παραβαλεῖ, κατὰ τὸ ἐγχώριον ζῶμα ζώνυσθαι καὶ αὐτόν. (ῃερς. 249.) Ἐξημοιβὰ δὲ λέγει, τὰ, ἄλλο τε ἄλλα ἀμειβόμενα. ὃ καὶ περιουσασμὸν Φαιακικοῦ πλούτου δηλοῖ. Τὸ δὲ καὶ εὐναὶ, σεμνοῦ λόγου ἐστί. δηλοῖ γὰρ οὐχ' ἁπλῶς κοίτας, ἀλλὰ καί τι πλέον, εἰ χρὴ σεμνῶς φράσαι τὸ σεμνόν. Ὅτι δὲ καὶ Ὀδυσσεὺς καθομιλῶν τὸν καιρὸν ἐπαινέσει τὸν τοιοῦτον βίοτον κεχαρισμένα λέγων τοῖς ξενοδόχοις, μετ' ὀλίγα φανήσεται. ὅ που δῆλον ἔσται ὅτι Ὀδυσσεῖ 1.295 διοικονομουμένῳ τοὺς καιροὺς ἔχοι ἂν παρατίθεσθαι ὁ ὑστερογενὴς Ἀλκιβιάδης. ὃς ἐν Ἰωνίᾳ μὲν ὢν ἐφαίνετο τρυφερώτερος καθὰ ἱστορεῖ Ἀθήναιος. ἐν Θήβαις δὲ σωμασκῶν καὶ γυμναζόμενος, τῶν Θηβαίων αὐτῶν μᾶλλον Βοιώτιος. καὶ τὰ ἑξῆς. δοκεῖ γὰρ κόθορνος καὶ ἐκεῖνος εἶναι κατὰ τὴν παροιμίαν, καὶ δεξιὸς πρὸς τὰ παραπίπτοντα σχηματίζεσθαι. καὶ μὴ γεγραμμένη ἑστάναι εἰκὼν ἀνεπαίσθητος τοῦ εὖ ὅ φασιν ἔχοντος τοίχου. (ῃερς. 250.) Ὅτι πιστούμενος ὁ βασιλεὺς ὅπερ εἶπεν ὡς δαΐς τε φίλη Φαίαξι κιθαρίς τε χοροί τε, ἐπάγει εὐθέως. (ῃερς. 250.) ἀλλ' ἄγε Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι, παίσατε, ὡς ἂν ὁ ξεῖνος ἐνίσπῃ τοῖς ἑαυτοῦ οἴκαδε νοστήσας, ὅσσον περιγινόμεθ' ἄλλων ναυτιλίῃ καὶ ποσσὶ καὶ ὀρχηστΰϊ καὶ ἀοιδῇ. ὡς τοῦ Δημοδόκου ἀρίστου ὄντος ᾄδειν ὑπὲρ πάντας ἀοιδούς. Καὶ ὅρα ὡς ἐνὶ κἀνταῦθα στίχῳ περιώρισεν ὁ βασιλεὺς τέσσαρας ἀέθλους ἐφ' οἷς εὐδοκίμουν Φαίακες. (ῃερς. 250.) Ὅρα δὲ καὶ τὸ, ἄγε βητάρμονες παίσατε. καὶ νῦν γὰρ ἐπιῤῥηματικῶς ἐῤῥέθη τὸ ἄγε, ὡς καὶ ἐν τῷ, ἀλλ' ἄγε μοι δότε νῆα θοήν. Βητάρμονες δὲ, οἱ ἀγαθοὶ ὀρχησταὶ, παρὰ τὸ βαίνειν ἐναρμονίως. τοὺς δὲ τοιούτους, καὶ δαήμονας ὀρχηθμοῦ ἐρεῖ. Τὸ δὲ παίσατε, ἀντὶ τοῦ, παίξατε. ὡς ἀπὸ τοῦ παίζω παίσω. ὅθεν καὶ ἡ συμπαίστρια καὶ ὁ συμπαίστωρ Ἀττικῶς. ὡς τοῦ παίζω παίξω, Δορικοῦ ὄντος. ὅθεν καὶ τὸ παίγνιον καὶ ὁ ἐμπαιγμός.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡ δὲ χρῆσις τοῦ τοιούτου παῖσαι καὶ παρὰ τῷ κωμικῷ, λέγει δὲ καὶ Ἡρόδοτος. οὗτος μὲν ὁ λόγος ἄλλως πέπαισται ὑπὸ Ἑλλήνων. τινὲς δὲ τὸ παίσατε, ἀντὶ τοῦ τύψατε. ὅ ἐστιν, ὀρχηστικῶς κρούσατε τὴν γῆν. ὡς ἀπὸ τοῦ παίω παίσω. καὶ συμβάλλεταί τι πρὸς τοῦτο μετ' ὀλίγα ῥηθὲν τὸ, πέπληγον δὲ χορὸν ποσίν. ἵνα καὶ τὸ παίσατε δηλοῖ ἐλλειπτικῶς τὸ, τύψατε ποσὶ τὴν γῆν. καὶ ἄλλως δὲ, ἀπὸ τοῦ παρακολουθοῦντος ἡ λέξις εἴρηται, ἐπεὶ παίουσι γῆν οἱ ὀρχούμενοι. (ῃερς. 254.) Ὅτι κἀνταῦθα καὶ ἐν τοῖς ἑξῆς δὲ λίγειαν προπαροξυτόνως ὡς καὶ πρὸ τούτων τὴν τοῦ Δημοδόκου φόρμιγγα λέγει. τὴν δ' αὐτὴν καὶ γλαφυρὴν κατά τι κοινὸν ἐπίθετον. (ῃερς. 255.) κεῖται δ' ἐνταῦθα καὶ τὸ κεῖσθαι γενικῶς ἀντὶ τοῦ κρέμασθαι. φησὶ γάρ. φόρμιγγα ἥ που κεῖται ἐν ἡμετέροισι δόμοισιν. ἡ γὰρ τοιαύτη φόρμιγξ ἐκ πασσαλόφιν ἐκρέματο ὡς προείρηται. (ῃερς. 258.) Ὅτι ἀγωνοθέται ἦσαν καὶ τοῖς Φαίαξι τὰ κατὰ τοὺς ἀέθλους βραβεύοντες. φησὶ γοῦν ὁ ποιητής. αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν, δήμιοι. οἳ κατ' ἀγῶνας ἐΰπρήσσεσκον ἕκαστα. Καὶ ὅρα ὁρισμὸν ἐνταῦθα τῶν αἰσημνητῶν, τοιοῦτον. αἰσυμνήτης ἐστὶν ἀνὴρ κριτὸς ὑπὸ δήμου εὖ πράσσων τὰ κατὰ τοὺς ἀγῶνας. (ῃερς. 259.) τί δέ ἐστιν ὃ πράσσοντες εὖ οὗτοι διατίθενται; λείηναν δὲ χορόν. καλόν δ' εὔρυναν ἀγῶνα. Εἰσὶ δὲ (ῃερς. 258.) αἰσυμνῆται κατὰ τοὺς παλαιοὺς, βραβευταί. ἀγωνοθέται. ἀγῶνος ἐπίσκοποι. οἷς κατὰ τὸ τοῦ λόγου ἔτυμον, τὸ αἴσιον νέμεται. καὶ ἄλλως δὲ εἰπεῖν, οἱ τὸ αἴσιον ἀπονέμοντες τοῖς ἀγωνιζομένοις, ὅ ἐστι τὸ κατὰ μοῖραν καὶ τὸ καθῆκον. ἢ οἱ τὸ αἴσιον ὑμνοῦντες. ἐννέα δὲ καὶ οὗτοι, κατὰ μέτρον ἀριθμητικὸν φίλον τῷ μουσολήπτῳ ποιητῇ. Δῆλον δ' ὅτι τῷ προσεχῶς εἰρημένῳ αἰσίῳ συστοιχεῖ καὶ τὸ αἴσιμον. ἐξ οὗ καὶ τὸ ἐναίσιμον. τοῦ δὲ αἰσίμου ῥῆμα αἰσιμῶ καὶ ἀναισιμῶ. τούτων δὲ αἰσιμοῦν μὲν ἐξάπαντος τὸ εἰς δέον ἀναλίσκειν καὶ δαπανᾶν, ἀναισιμοῦν δὲ, ἴσως τὸ ἀνάπαλιν. ὡς δῆλον ἐκ τοῦ, τὰς γυναῖκας ἀπέπνιξαν ἐν πολιορκίᾳ δηλαδὴ, ἵνα μὴ ἀναισιμῶσι τὸν σῖτον. εἰ δ' ἴσως καὶ τὸ ἀναισιμοῦν δέουσαν δαπάνην δηλοῖ, ἐκ περισσοῦ κεῖται ἡ ἀν¯α πρόθεσις. Σημείωσαι δὲ ἐν τῇ εἰρημένῃ τῶν γυναικῶν ἀποπνίξει τῇ διὰ φόβον λιμοῦ τὸν παλαίτατον ἐν Τροίᾳ πλοῦτον. ἔνθα δέκα ἔτη τρυχόμενος ὁ λαὸς δώροις καὶ ἐδωδαῖς οὐδέν τι τοιοῦτον εἰς τὴν ἄχρηστον ἐπέταξεν ἡλικίαν γενέσθαι. (ῃερς. 259.) Δήμιοι δὲ οἱ μὲν μεθ' Ὅμηρον κολασταὶ σωμάτων. οἱ δὲ παλαιοὶ, ἐκλογὴ δήμου ἦσαν ἐπαινετέα καὶ ἔνδοξος. ἢ γοῦν, ἀλλ' οὐκ ἄτιμος. ὡς ἐν τοῖς ἑξῆς οἱ δημιοεργοὶ δηλώσουσι. Τὸ δὲ ἐΰπρήσσεσκον ὅ ἐστιν εὖ ἔπρασσον, τοὺς ὕστερον ἀγωνοθέτας παρήγαγεν, ὡς ἀπὸ τοῦ πράσσειν. ὃ ταυτόν ἐστι τῷ ποιεῖν καὶ τίθεσθαι. Ὁμήρου γοῦν διαλελυμένως εἰπόντος ὡς οἱ τῶν ἀέθλων προστάται τὰ κατὰ τοὺς ἀγῶνας εὖ ἔπρασσον ἤτοι διετίθεντο, ἐντεῦθεν οἱ ἀγωνοθέται συνθέτως ἐῤῥέθησαν. Τὸ δὲ χορὸν ἐνταῦθα ἀντὶ τοῦ τὸν τόπον τῆς χορείας καὶ τῆς ὀρχήσεως. ἵνα καθ' ὁμοιότητα τῆς βουλῆς σημαίνῃ καὶ ὁ χορὸς μὴ μόνον τὸ χορεύειν καὶ τὸ χορευτικὸν πλῆθος, ἀλλὰ καὶ τὸν τόπον ἔνθα ταῦτα. τὸ δὲ ὅμοιον καὶ ἐπὶ ἀγῶνος καὶ ἀγορᾶς, διὸ ἀγῶνα κἀνταῦθα τὸν τόπον λέγει περὶ ὃν οἱ ἄεθλοι. οὐ πάνυ δὲ ἀλλότριον τοῦ εὐρύνεσθαι ἀγῶνα, καὶ τὸ εὐρυάγυια. (ῃερς. 258.) Σημείωσαι δὲ ὡς οὐ 1.296 μόνον ἐνταῦθα μετρητοὶ οὗτοι ἄρχοντες ὡς καὶ ἐν τῇ νήσῳ οἱ τρισκαίδεκα βασιλεῖς καθὰ καὶ μετ' ὀλίγα ῥηθήσεται, ἀλλὰ καὶ ἑτέρωθι πολλαχοῦ. ὡς καὶ οἱ ἔφοροι παρὰ Λάκωσι. καὶ οἱ ἐννέα ἄρχοντες Ἀθήνῃσι. καὶ νόμων δὲ ἐπιμεληταὶ ἦσαν ἐν Ἀθήναις, ἓξ τὸν ἀριθμόν, οἱ καὶ θεσμοθέται. κυριεύοντές φασι τοῦ δικάζειν καὶ χειροτονεῖν. ἐκεῖ δὲ καὶ ἄρχοντες ἕτεροι ἕνδεκα ἐπιμελούμενοι τοῖς ἐν δεσμωτηρίῳ καὶ ἐνήγοντό φασιν ἐπὶ τὴν ἀρχὴν ταύτην κλέπται τε καὶ ἀνδραποδισταί. τῶν δὲ ῥηθέντων Ἀθήνῃσιν ἐννέα ἀρχόντων, κατὰ Παυσανίαν, τρεῖς μὲν ἦσαν, ἄρχων. πολέμαρχος. καὶ βασιλεύς. οἱ δὲ ἓξ, θεσμοθέται. (ῃερς. 263.) Ὅτι τοὺς παρὰ Φαίαξιν ὀρχηστὰς πρωθήβας εἶναι πλάττει, ὡς τοῦ ἔργου τοιούτοις προσήκοντος. φησὶ γοῦν. πρωθῆβαι ἵσταντο δαήμονες ὀρχηθμοῖο. πέπληγον δὲ χορὸν θεῖον ποσίν. αὐτὰρ Ὀδυσσεὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μαρμαρυγὰς θηεῖτο ποδῶν. (ηερς. 265.) θαύμαζε δὲ θυμῷ. οὐ προφέρων καὶ χείλεσι τὸ θαῦμα, διὰ τὸ σεμνότερον. καὶ ἔστι μὲν ταυτὸν τὸ θηεῖτο καὶ τὸ ἐθαύμαζε. λέγει δὲ διπλώσας πρὸς σαφήνειαν, ὅτι ἐθαύμαζε μὲν τὴν ὄρχησιν, ἐθαύμαζε δὲ σιγῶν. Μαρμαρυγαὶ δὲ ποδῶν, αἱ σύντονοι κινήσεις. ἐν γὰρ ταῖς ὀξείαις φασὶ κινήσεσιν ἀπόστιλψις γίνεταί τις τῶν ποδῶν. κεῖται δὲ ἡ λέξις καὶ παρὰ τῷ Ὀππιανῷ εἰπόντι μαρμαρυγὴν βαρυηχέα, ὅτε θάλασσα μαρμαίρει κινουμένη ἐν τῷ τύπτεσθαι κώπαις καὶ κοντοῖς. (ηερς. 264.) Χορὸν δὲ πάλιν τὸν τῆς ὀρχήστρας λέγει τόπον ἐκ τοῦ ἐν τόπῳ τὸν τόπον αὐτὸν δηλῶν Ἀττικῶς. καθ' ὃν τρόπον καὶ μύρα καὶ κρόμυον, οἱ τόποι ἐν οἷς αὐτὰ ἦσαν. οὕτω δὲ καὶ Μένανδρος, ἀναμενῶσε φησὶ πρὸς τοὔλαιον, ἤγουν ἔνθα πολεῖται τὸ ἔλαιον. Θεῖον δὲ τὸν τοιοῦτον λέγει χορὸν, διὰ τοὺς αὐτόθι τιμωμένους θεούς. ἢ καὶ διὰ τὸ θεῖον τοῦ ἔργου. Τὸ δὲ πέπληγον, Ἰώνων καὶ Συρακουσίων λέξις. οὗ ἐνεστὼς πεπλήγω ἐκ τοῦ πέπληγα. καθὰ ἐν Ἰλιάδι τὸ, ἐκλέλαθον κιθαριστὺν, ἐκ τοῦ λέλαθα λελάθω. Σικελοὶ γὰρ καθ' Ἡρακλείδην τὸ ¯α τῶν περισπωμένων εἰς ¯ω μετατιθέασιν. οἷον πεποίηκα πεποιήκω. οὕτω δὲ καὶ πέφυγα πεφύγω καὶ κατὰ Ἀλκαῖον, πεφύγγω. Ἀριστόνικος δὲ οὐ Σικελικὰ ταῦτα ἀλλ' ἀναδιπλώσεις Ἰακὰς βούλεται εἶναικατὰ τὸ κεκάμω καὶ λελάβω. κατὰ μέντοι τὸν ἀνωτέρω λόγον, γίνεται καὶ ἐνεστὼς ὁ πεφύκω ἐκ τοῦ πέφυκα. οὗ παρατατικὸς παρ' Ἡσιόδῳ ἐν Θεογονίᾳ τὸ ἐπέφυκον. Ἰστέον δὲ ὅτι δοκοῦσιν ἐνταῦθα οἱ ὀρχούμενοι προθῆβαι πρὸς ᾠδὴν ὀρχεῖσθαι τὴν τοῦ Δημοδόκου. ὃ δὴ καὶ ἐν τῇ κατὰ τὴν Ἰλιάδα ὁπλοποιΐᾳ φαίνεται. κιθαρίζοντος γὰρ ἐκεῖ παιδὸς χαίρουσιν ἄλλοι μολπῇ καὶ ὀρχηθμῷ. ἐν οἷς ὑποσημαίνεταί φασι τὸ ὑπορχηματικὸν εἶδος, ἀνθῆσαν ἐπὶ Ξενοδήμου καὶ Πινδάρου. ἔστι δέ φασιν ἡ τοιαύτη ὄρχησις μίμησις τῶν ὑπὸ τῆς λέξεως ἑρμηνευομένων πραγμάτων. ἣν παρίστησι Ξενοφῶν ἐν τῇ Ἀναβάσει. ὀρχήσεις ἱστορῶν σὺν ὅπλοις καὶ ἅλματα ὑψηλὰ καὶ κοῦφα καὶ μετὰ μαχαιρῶν. ἐναρμόνια δηλαδὴ καὶ αὐτὰ ὁποῖα καὶ τὰ τῶν ἐνταῦθα βηταρμόνων. ὧν τῆς ἀρετῆς παράδειγμα καὶ Τελέστης ὀρχηστής φασιν Αἰσχύλου, οὕτω τεχνίτης, ὥστε ἐν τῷ ὀρχεῖσθαι τοὺς ἑπτὰ ἐπὶ Θήβας φανερὰ ποιῆσαι τὰ πράγματα δι' ὀρχήσεως. Ὅτι δὲ ἡ ὄρχησις ἐσπουδάζετό ποτε, δηλοῦσι καὶ οἱ περιᾳδόμενοι ὀρχηστοδιδάσκαλοι, καὶ οἱ ζηλώσαντες αὐτὴν σοφοί. Σοφοκλῆς οὖν, καλός φασι τὴν ὥραν γινόμενος, δεδίδακτο ἐξ ἔτι παίδων καὶ ὀρχηστικὴν καὶ μουσικήν. Καὶ Σωκράτης δὲ πολλάκις ἐν τῷ καταλαμβάνεσθαι ὀρχούμενος ἔλεγε τοῖς γνωρίμοις, παντὸς εἶναι μέρους τὴν ὄρχησιν γυμνάσιον. (ηερς. 267.) Ὅτι καιροῦ λαβόμενος ὁ ποιητὴς καὶ πρόσωπα εὑρὼν τρυφῶντα ἐν τῇ τῶν Φαιάκων, γελᾷ καὶ αὐτὸς ἐνταῦθα εἰς ἀστεϊσμὸν ἐλθὼν διὰ τοῦ κατὰ τὸν Ἄρην καὶ τὴν Ἀφροδίτην διηγήματος, ἐρωτικοῦ ὄντος καὶ διατοῦτο τεταγμένου εἰς γλυκεῖαν ἔννοιαν. οὐκ ἀπεικὸς δὲ πάντως τοὺς ὡς πολλαχοῦ φαίνεται τρυφητὰς Φαίακας καὶ ἀκούσμασι χαίρειν ἐρωτικοῖς, ἅπερ οἱ πρὸς ἀρετὴν ζῶντες ἀποτροπιάζονται, λέγοντες καὶ αὐτοὶ, ὅτι τροφὴ ψυχῆς λόγοι καλοί. καὶ ὅτι ἐν κενῇ γαστρὶ τῶν καλῶν ἔρως οὐκ ἔστιν, ἤγουν τῶν εὐμόρφων. πεινῶσι γὰρ ἡ Κύπρις πικρὰ ὥς φησιν Ἀχαιὸς ὁ ποιητής. ἀφ' οὗ λαβὼν Εὐριπίδης φησίν. ἐν πλησμονῇ τοι Κύπρις, πεινῶντι δ' οὔ. εἰ δὲ σεμνολογεῖται τοῖς σοφοῖς ὁ Ἔρως, ἀλλ' ἐκεῖνοι σεμνὸν ἄλλως τὸν Ἔρωτα καὶ παντὸς αἰσχροῦ κεχωρισμένον ᾔδεσαν. διὸ καὶ κατὰ τὰ γυμνάσια Ἑρμῇ καὶ Ἡρακλεῖ αὐτὸν συνίδρυον, τῷ μὲν λόγου, τῷ δ' ἀλκῆς προεστῶτι. ὧν μιγέντων φιλία καὶ ὁμόνοια γεννᾶται. ὅτι δὲ γέλωτα ποιεῖ τὸ ῥηθησόμενον διήγημα, ἐπισημανεῖται καὶ αὐτὸς ἐν οἷς ἐρεῖ γέλωτα ἐγγέσθαι τοῖς θεοῖς ἐπὶ τῷ πράγματι. ἔστι δὲ ἡ ἐν τούτοις Ὁμηρικὴ φράσις τοιαύτη. αὐτὰρ ὁ φορμί
1.297 ζων, ἀνεβάλλετο καλὸν ἀείδειν ἀμφ' Ἄρεος φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτης, ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισι λάθρῃ. πολλά δ' ἔδωκε. λέχος δ' ᾔσχυνε καὶ εὐνὴν Ἡφαίστοιο ἄνακτος. ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν Ἥλιος, ὅ σφ' ἐνόησε μιγαζομένους φιλότητι. Ἥφαιστος δ' ὡς οὖν θυμαλγέα μῦθον ἄκουσεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκ τοῦ Ἡλίου, βῆ ῥ' ἴμεν εἰς χαλκεῶνα, κακὰ φρεσὶ βυσσοδομεύων. ἐνδ' ἔθετ' ἀκμοθέτῳ μέγαν ἄκμονα, κόπτε δὲ δεσμοὺς ἀῤῥήκτους, ἀλύτους. (ῃερς. 275.) ὄφρ' ἔμπεδον αὖθι μένοιεν, οἱ δεσμηθέντες δηλαδή. αὐτὰρ ἐπειδὴ τεῦξε δόλον κεχολωμένος Ἄρει, βῆ ῥ' ἴμεν εἰς θάλαμον ὅθι οἱ φίλα δέμνια κεῖτο. ἀμφὶ δ' ἄρ ἑρμῖσι χεῦε δέσματα κύκλῳ ἁπάντῃ πολλὰ δὲ καὶ καθύπερθεν μελαθρόφιν ἐξεκέχυντο ἠΰτ' ἀράχνια λεπτὰ, τάγ' οὐ κέ τις οὐδὲ ἴδοιτο οὐδὲ θεῶν μακάρων, περὶ γὰρ δολόεντα τέτυκτο. αὐτὰρ ἐπειδὴ πάντα δόλον περὶ δέμνια χεῦεν (ῃερς. 283.) εἴσατο τουτέστι προσεποιήσατο καὶ ἐφάνη, ἀπιέναι ἐς Λῆμνον ἐϋκτίμενον πτολίεθρον. οὐδ' ἀλαοσκοπιὴν ἔχε χρυσήνιος Ἄρης ὡς ἴδεν Ἥφαιστον κλυτοτέχνην νόσφι κιόντα. βῆ δ' ἰέναι πρὸς δῶμα περικλυτοῦ Ἡφαίστοιο, ἰσχανόων φιλότητος ἐϋστεφάνου Κυθερείης. ἡ δὲ, νέον παρὰ Διὸς ἦλθεν. ὅ δ' εἴσω δώματος ᾔει ἔν τ' ἄρα οἱ φῦ χειρί. καὶ ἔφη. (ῃερς. 292.) δεῦρο φίλη λέκτρονδε τραπείομεν εὐνηθέντε. οὐ γὰρ ἔθ' Ἥφαιστος μεταδήμιος ἀλλά που ἤδη οἴχεται ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους. ὣς φάτο τῇ δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι. τὼ δ' ἐς δέμνια βάντε, κατέδραθον. ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχυντο πολύφρονος Ἡφαίστοιο. οὐδέ τι κινῆσαι μελέων ἦν οὐδ' ἀναεῖραι. καὶ τότε δὴ γίνωσκον ὅτ' οὐκέτι φυκτὰ πέλονται. ἀγχίμολον δ' αὐτοῖς ἦλθεν Ἥφαιστος αὖτις ὑποστρέψας πρὶν Λῆμνον γαῖαν ἱκέσθαι, Ἠέλιος γάρ οἱ σκοπιὴς ἔχεν, εἶπέ τε μῦθον. (ῃερς. 305.) ἔστη δ' ἐν προθύροισι, χόλος δέ μιν ἄγριος ᾕρει. σμερδαλέον δ' ἐβόησε, γέγωνέ τε πᾶσι θεοῖσι. Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες, δεῦθ' ἵνα ἔργα γελαστὰ καὶ οὐκ ἐπιεικτὰ ἴδησθε. ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη αἰὲν ἀτιμάζει, φιλέει δ' ἀΐδηλον Ἄρηα, οὕνεχ' ὁ μὲν, καλός τε καὶ ἀρτίπος, αὐτὰρ ἔγωγε ἠπεδανὸς γενόμην. αὐτὰρ οὔ τι μοι αἴτιος ἄλλος ἀλλὰ τοκῆε δύω, τὼ μὴ γείνασθαι ὄφελλον. ἀλλ' ὄψεσθε ἵνα τώ γε καθεύδετον ἐν φιλότητι, εἰς ἐμὰ δέμνια βάντες. ἐγὼ δ' ὁρόων ἀκάχημαι, οὐ μέν σφας ἔτ' ἔολπα μίνυνθά γε κειέμεν οὕτω, καὶ μάλα περ φιλέοντε. (ῃερς. 316.) τάχ' οὐκ ἐθελήσετον ἄμφω εὕδειν, ἤγουν οὐ δυνήσονται τὰ σφίσι φίλα ποιεῖν, ἀλλά σφωε δόλος καὶ δεσμὸς ἐρύξει, εἰσόκε μοι μάλα πάντα πατὴρ ἀποδῶσι ἔεδνα ὅσσά (ῃερς. 319.) οἱ ἐγγυάλιξα, τουτέστιν, ἐχείρισα περὶ τὰ γυῖα ἤτοι τὰς χεῖρας δοὺς, κυνώπιδος εἵνεκα κούρης. οὕνεκά οἱ καλὴ θυγάτηρ ἀτὰρ (ῃερς. 3.) οὐκ ἐχέμυθος. τουτέστιν οὐκ ἔχουσα λογισμόν. ἢ οὐκ ἐπέχουσα τὰς ἐπιθυμίας. οὐ σώφρων. οὐκ ἐγκρατής. ἐνταῦθα δὲ (ῃερς. 321.) συντελέσας ὁ ποιητὴς τὴν ἐπὶ τῷ Ἡφαίστῳ ἠθοποιΐαν, ἐμελέτησε γὰρ ποίους ἂν ὡς εἰκὸς ἐκεῖνος εἶπε λόγους ἐφ' οἷς εἶδεν, ἐπάγει καὶ ὡς πρὸς τὴν τοῦ Ἡφαίστου βοὴν ἦλθε Ποσειδάων. (ῃερς. 322.) ἦλθεν ἐριούνης Ἑρμείας. ἦλθε δὲ ἄναξ Ἀπόλλων. τρὶς ἐπαναγαγὼν εἰς τὸ ἦλθε κατὰ λόγον κάλλους. πλείους μέντοι θεοὺς ἀριθμῆσαι ὀκνεῖ, διὰ τὸ μηδὲν εἶναι δέον. θηλύτεραι δέ φησι θεαὶ μένον αἰδοῖ οἴκοι ἑκάστη. ἔσταν δ' ἐν προθύροισι θεοὶ δωτῆρες ἐάων. ἄσβεστος δ' ἄρ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσι, τέχνας εἰσορόωσι πολύφρονος Ἡφαίστοιο. (ῃερς. 328.) εἶτα καὶ ἑτέραν ἐπιπλέκων ἠθοποιΐαν στενὴν καὶ βραχύλογον ὡς εἴωθεν ἐπὶ λαοῦ ποιεῖν, ἐπιφέρει σεμνῶς. ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον. οὐκ ἀρετᾷ κακὰ ἔργα. κιχάνει τοι βραδὺς ὠκὺν, ὡς καὶ νῦν Ἥφαιστος, ἐὼν βραδὺς, εἷλεν Ἄρηα ὠκύτατόν περ ἐόντα θεῶν, χωλὸς ἐὼν, τέχνησι. τὸ, καὶ μοιχάγρι' ὀφέλλει. (ῃερς. 335.) ἐφ' οἷς μεταβαίνων εἰς τὸ γελοιωδέστερον διὰ τοὺς οὕτω φιληδοῦντας ἀκούειν Φαίακας, φησὶν ὡς τῶν ἄλλων τοιαῦτα λαλούντων, Ἀπόλλων τὸν Ἑρμῆν προσέφη. Ἑρμεία Διὸς υἱὲ διάκτορε δῶτορ ἑάων, ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς εὕδειν ἐν λέκτροισι παρὰ χρυσῇ Ἀφροδίτῃ; ὁ δὲ, αἲ γὰρ τοῦτο φησὶ γένοιτο ἄναξ ἑκατηβόλε Ἄπολλον. δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες ἀμφὶς ἔχοιεν, ὑμεῖς δ' εἰσορόῳτε θεοὶ πᾶσαί τε θέαιναι, αὐτὰρ ἐγὼν εὕδοιμι παρὰ χρυσῇ Ἀφροδίτῃ. ὣς ἔφατ'. ἐν δὲ γέλως ὦρτ' ἀθανάτοισι θεοῖσι. καὶ ἔστι σημειώσασθαι ὡς ἐν τῷ χωρίῳ τούτῳ συνέμιξεν Ὅμηρος σπουδαῖα καὶ γελοῖα καὶ πικρά. καὶ πικρίας μὲν πολύ τι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχουσιν οὐκ ὀλίγα τῶν τοῦ Ἡφαίστου. ἐν οἷς κατατρέχει ὡς μοιχαλίδος τῆς Ἀφροδίτης. γελοῖα δέ εἰσιν ἄλλα τε, καὶ τὰ προσεχῶς λεχθέντα ὑπὸ Ἑρμοῦ. καθὰ καὶ ὁ ποιητὴς ἐπέστησεν ἐν τῷ, γέλως ὦρτο. καὶ πρὸ αὐτοῦ δὲ ἀνωτέρω. ἔνθα καὶ ἄλλως ἐγέλασαν οἱ ἐνταῦθα γελῶντες. φανερὸν δ' ὅτι οὐ σεμνὸς γέλως 1.298 ὁ ἐφ' οἷς ἐλάλησεν Ἑρμῆς, ἀλλ' οἷος ἐπιπρέπειν τοῖς παραύλοις ταυτόν δ' εἰπεῖν παρεξηυλημένοις Φαίαξι. τοιαῦτα γὰρ ὁ Ἑρμῆς εἶπεν, ὁποῖα ἐρεῖ ἂν ἀνὴρ κήλων. καὶ λάγνης ἢ λάγνος διὰ τοῦ ¯ο. καὶ οἰφόλης. καὶ τιτάν. καὶ μάχλος. ὧν αἱ χρήσεις, παρὰ τοῖς παλαιοῖς. οἵ φασιν, ὡς κήλων μὲν πεποίηται ἀπὸ τῶν ὀχευτῶν ὄνων. Ἀρχίλοχος. ὥστ' ὄνου πριηνέως κήλωνος ἐπλήμυρον. οἰφόλης δὲ, ὁ καὶ φιλοίφας, ἀπὸ τοῦ οἴφειν φασὶν ἢ οἴφεσθαι, ὅ πέρ ἐστι, περαίνειν ἢ περαίνεσθαι. τιτὰν δὲ, ἀπὸ τοῦ τιταίνειν. ἤγουν ἐντείνειν. λάγνος δὲ, παρὰ τὸ ¯λ¯α ἐπιτατικὸν μόριον καὶ τὸ γόνος, οἱονεὶ λαγόνης ὁ λίαν πολύγονος. μάχλος δὲ ἀφ' οὗ καὶ ἡ κατὰ τὸν Πάριν μαχλοσύνη, ὁ δίυγρος ὑπὸ καταφερείας. ὅθεν φασὶ καὶ Αἰσχύλος τὴν ῥεομένην ἄμπελον μάχλον ἔφη. καὶ οὕτω μὲν γελοῖα τὰ εἰρημένα. σπουδαῖα δὲ τοῖς τοιούτοις λόγοις ἀναμέμικται, ἥ, τε ῥηθησομένη τοῦ Ποσειδῶνος ἐμβρίθεια, καὶ τὸ, οὐκ ἀρετᾷ κακὰ ἔργα. καὶ τὸ ἐφεξῆς περὶ ἐγγύης γνωμικόν. καὶ οὕτω μὲν καὶ τοῦτο. ἐπεὶ δὲ ἐχρῆν πιθανῶς λυθῆναι τὴν μυθικὴν ἐνταῦθα γελοίαν περιπέτειαν, οὐκ ἦν δὲ εὐκόσμως τοῦτο γενέσθαι πάντων γελώντων, πλάττει ἀγέλαστον ἐπί τε τοῖς λεγομένοις, (ῃερς. 344.) ἐπί τε τῇ θέᾳ, τὸν πρεσβύτατον Ποσειδῶνα διδάσκων χρῆναι τοὺς ἀρχικοὺς γέροντας μήτε φιλογέλωτας εἶναι, καὶ τὰ πρὸς φιλίαν δὲ πραγματεύεσθαι. καὶ δι' αὐτοῦ λύει τὸ κατὰ τὴν Ἀφροδίτην καὶ τὸν Ἄρην δρᾶμα. φησὶ γοῦν. οὐδὲ Ποσειδάωνα γέλως ἔχε. λίσσετο δ' αἰεὶ Ἥφαιστον κλυτοεργὸν ὅπως λύσειεν Ἄρηα. εἰπών. λῦσον.ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις, τίσειν αἴσιμα πάντα. (ῃερς. 351.) Ἥφαιστος δὲ πολιτικώτερον εὐλαβούμενος. μή με φησὶ Ποσείδαον ταῦτα κέλευε. δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι. πῶς ἂν ἐγώ σε δέοιμι τουτέστι δεσμήσαιμι καθὰ νῦν τὸν Ἄρην, εἴ κεν αὐτὸς οἴχοιτο χρέως καὶ δεσμὸν ἀλύξας. (ῃερς. 355.) καὶ ὁ Ποσειδῶν ὑπισχνεῖται εἴπερ Ἄρης χρείως ὑπαλύξας οἴχηται φεύγων, αὐτὸς τάδε τίσειν. καὶ Ἥφαιστος πεισθεὶς καὶ εἰπὼν ὡς οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι, ἀνίησι δεσμοῦ τὸν Ἄρηα. ὁ δὲ, λυθεὶς ἐκ δεσμοῦ κρατεροῦ σὺν καὶ τῇ ἐρωμένῃ, ᾤχετο ἔνθα ἐν τοῖς ἐφεξῆς ῥηθήσεται. (ῃερς. 367.) Ἰστέον δὲ ὅτι τε ὁ δειπνοσοφιστὴς εἰπὼν ὡς τὸ τοῦ Ἀλκινόου συμπόσιον ἱλαρότητα περιέχει καὶ παιδιὰν εὐσχήμονα, ἐπάγει ἔννοιαν δι' ἧς ὁ ὑποκείμενος μῦθος φαίνεται συμβάλλεσθαί τι τῷ Ὀδυσσεῖ. λέγει γὰρ ὅτι μετὰ τὸν γυμνικὸν ἀγῶνα ᾄδει ὁ ᾠδὸς ἀμφ' Ἄρεος φιλότητος μῦθόν τινα χλεύῃ κεκραμένον. καὶ εἰς τὴν μνηστηροφονίαν ὑποθήκας ὑποτιθέμενον Ὀδυσσεῖ ὡς τοῦ κυλλοποδίωνος τὸν ἀνδρειότατον Ἄρην καταγωνισαμένου. ᾧ δηλαδὴ τρόπῳ καὶ αὐτὸν ἐγχειρητέον τοῖς ὑπερφιάλοις μνηστῆρσιν εἴ πως δόλῳ περιγένηται αὐτῶν. καὶ ὅτι πολλῶν πολλὰ εἰπόντων περὶ τῆς ἐνταῦθα ἐκτεθείσης μυθοποιΐας, ταῦτα μᾶλλον ἐστὶν ἁπλούστερον ἔχοντα. τὸ γὰρ τῇ Ἀφροδίτῃ τὸν μὲν Ἥφαιστον ὡς ὁμευνέτην συνεῖναι τὸν δὲ Ἄρην μυθικῶς ὁμιλεῖν καὶ τὰ ἑξῆς, ὁ μὲν μῦθος ἐπλάσατο, δεικνὺς μηδὲ τοιούτων παθῶν ἀμοίρους εἶναι τοὺς Ἑλληνικοὺς θεοὺς, διὰ τὸ προσπλαττόμενον αὐτοῖς ἀνθρωποπαθές. ἡ δὲ φιλόσοφος θεραπεία ἠθικῶς μὲν παιδαγωγεῖσθαι τοὺς ἀνθρώπους καὶ ἐν τούτοις λέγει, μανθάνοντας ὡς οὐδὲ παρὰ τοῖς κρείττοσιν ἀρετᾷ κακὰ ἔργα. εἰσὶ δὲ οἳ καὶ οὕτως εἶπον, ὡς μακρόθεν παιδεύει μὴ ἀσελγαίνειν, ὡς καὶ θεῶν διὰ ταῦτα ἀσχημονούντων. ἄλλως δὲ οἱ μὲν εἰς νεῖκος καὶ φιλίαν ἠλληγόρησαν τὰ τοιαῦτα. ἅπερ Ἐμπεδοκλῆς ἐδόξαζεν ὡς τῷ παντὶ λυσιτελοῦντα εἰς γένεσιν. ὧν, τῆς φιλίας μὲν σύμβολον, ἡ τῆς Ἀφροδίτης καὶ τοῦ Ἄρεος μίξις ποιούντων ἅπερ αὐτοῖς φίλα. τοῦ δὲ νείκους, ἡ ἐκ θερμοῦ λύσις αὐτῶν. ἧς τό, τε ἄλλο θερμὸν αἴτιον ὃ διὰ τοῦ Ἡφαίστου ἐμφαίνεται, καὶ ὁ Ἥλιος οὐ μισῶν τὴν Ἀφροδίτην, ἀλλὰ χαίρων τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοιαύτῃ λύσει ὡςαἰτία οὕτω γενέσεως. διὸ καὶ ὁ παραβάτης φησὶν ὅτι σύγκρασις τῶν οὐρανίων ἡ Ἀφροδίτη καὶ τῆς ἁρμονίας αὐτῶν φιλία καὶ ἕνωσις. Ἡλίου γάρ φησιν ἐγγὺς οὖσα καὶ συμπεριθέουσα πληροῖ μὲν τὸν οὐρανὸν εὐκρασίας, ἐνδίδωσι δὲ τὸ γόνιμον τῇ γῇ, καὶ πολλὰ δὲ ἕτερα πληροῦνται εἰς τὴν τοιαύτην ὑπόθεσιν. καὶ οὕτω μέν τινες. ἕτεροι δὲ μαθηματικώτερον ἐπέβαλον τοῖς ῥηθεῖσιν ὡς καὶ ἡ Δημώ. σχέσεις τινὰς φιλοσοφοῦντες τῶν τοῖς θεοῖς ὁμωνύμων ἀστέρων Ἄρεός τε καὶ Ἀφροδίτης καὶ Ἡλίου. οἱκαὶ κλιμακτῆρας τινὰς ἐξ Ἄρεος ἐπικειμένους ἀπρακτεῖν πλανῶνται, Ἀφροδίτης ἀπαγούσης αὐτοὺς ὡς ἐκεῖνοι τερθρεύονται, διὰ φιλίαν τὴν πρὸς τὸν Ἄρην. ἄλλοι δὲ, ἁπλούστερον ἐπιβάλλοντες, Ἀφροδίτην νοοῦσι τὴν χάριν ἥτις ἕπεται οὐ μόνον τῷ κατ' Αἰσχύλον ἄνθει τοῦ πυρὸς, ἀλλὰ καὶ τοῖς δι' αὐτοῦ ἀποτελουμένοις, εἴγε χαρίεντα ἔργα τελοῦνται διὰ πυρός. μετέχει δὲ δή τινος τοιαύτης χάριτος 1.299 καὶ σίδηρος ἐκ τοῦ ὁμιλεῖν πυρὶ, εἰ καὶ ἐπ' ὀλίγον καὶ ἀμυδρᾶς. διὸ καὶ λάθρα καὶ ὡς εἰπεῖν, μοιχικῶς τῇ τοῦ Ἡφαίστου Ἀφροδίτῃ Ἄρης ὅ ἐστι σίδηρος σύνεστιν, ὑποκλέπτων τὴν ἐκεῖθεν χάριν. καὶοὕτω μὲν καὶ ταῦτα ὡς ἐν βραχεῖ φάναι. πλατύναι γάρ τις ταῦτα προθέμενος, οὔτε ἂν εὐροήσῃ διόλου, καὶ οὐδ' ἂν ἐκφευξεῖται ψυχρολογίαις περιπεσεῖν. Ὅτι δὲ Ἀφροδίτη οὐ μόνον αἰδοῦς ἀξίας λέξεις προάγει ἀλλὰ καὶ σεμνὰς, οὐκ ἄδηλόν ἐστιν. ἡ γοῦν ἀφροδισιὰς πόλις οὐκ ἐντρέπει τοὺς λέγοντας. οὐδὲ τὸ κύριον ὁ Ἐπαφρόδιτος. οὐδ' εἴ τις ῥόδον ἐρεῖ ἐπαφρόδιτον. οὐ μὴν οὐδὲ ἡ ἐπαφροδισία. ἧς χρῆσις ἐν τῷ, ὅ, τι ἂν καλήσειεν ἢ πικρανθείη Φιλόξενος πρός τινα τῶν συζώντων, πανεπαφροδισίας καὶ χάριτος ἦν μεστόν. Σημείωσαι δ' ἐνταῦθα καὶ ὅτι ἀστείως ὥς φησιν ὁ Ἀθήναιος, παρὰ Φαίαξι, τοῖς ἄγαν ἐμπιπλαμένοις ἐκτρυφῆς, Ὅμηρος ποιεῖ ᾀδόμενα τὰ κατὰ τὴν Ἀφροδίτην γελοῖα. κατὰ γὰρ τὸν εἰπόντα, ἐν πλησμονῇ τοι Κύπρις, ἐν δὲ τοῖς κακῶς πράσσουσιν οὐκ ἔνεστιν Ἀφροδίτη βροτοῖς. καὶ τοιαῦτα μὲν ταῦτα. Τὰ δὲ κατὰ μέρος τοῦ ῥηθέντος χωρίου, τοιαῦτα. Τὸ μὲν ἀμφ' Ἄρεος φιλότητος ληφθὲν ἀντὶ τῆς περ¯ι, γενικῇ συνετάχθη κατὰ δύναμιν τῆς περ¯ι προθέσεος. Ὅτι δὲ καὶ δοτικῇ συντάσσεται ἡ ἀμφὶ καὶ αἰτιατικῇ δὲ, πολλαχοῦ δηλοῦται. Ὁ δὲ Ἄρης νῦν μὲν συστέλλει τὴν ἄρχουσαν, ὡς καὶ ἐν τῷ, ἀΐδηλον Ἄρηα. καὶ, εἷλεν Ἄρηα. καὶ ἐν ἄλλοις. ἐν δὲ τῷ, κεχολωμένος Ἄρης καὶ χρησήνιος Ἄρης, ἐκτείνεται τὸ αὐτὸ δίχρονον. τὸ δὲ τοιοῦτον ἐδήλωσε καὶ ἡ Ἰλιὰς ἔν τε ἄλλοις καὶ μάλιστα ἐν τῷ, Ἆρες Ἄρες βροτολοιγέ. Ἐϋστέφανος δὲ, ἀπὸ κόσμου γυναικίου. ἀθλητικὸν μέντοι στέφανονοὐκ οἶδε φασὶν ὁ ποιητής. (ῃερς. 268.) Τὸ δὲ ἐμίγησαν, οὐκέτι τὴν ἁπλῶς ὡς ἐν ἄλλοις ἀλλὰ τὴν κατ' ἔρωτα συνουσίαν δηλοῖ. τὸ δὲ μιγῆναι τοῦτο, καὶ μιγάζεσθαι φιλότητι ἔφη σαφέστερον. (ῃερς. 269.) Τὸ δὲ πολλὰ δ' ἔδωκε δῶρα δηλαδή. νοηθέντα ἐκ τοῦ παράγοντος αὐτὰ ῥήματος τοῦ ἔδωκε. Λέχος δὲ καὶ εὐνὴ καὶ δέμνια ταυτὰ κατὰ πολυωνυμίαν εἰσίν. ὥσπερ καὶ δεσμοὶ καὶ δέσματα καὶ δεσμὰ καὶ ἐπίδεσμα. περὶ ὧν οἱ Ἀττικοί φασι, δεσμὰ οὐχὶ δεσμούς. καὶ ἐπίδεσμα οὐχὶ ἐπιδέσμους. ἔτι ὅμοια κατὰ πολυωνυμίαν καὶ ὁ δόλος καὶ ἡ τέχνη. ὡς τὸ, εἷλε τέχνῃσιν. ὃ σαφέστερον ἐν τοῖς περὶ Πρωτέως δολίην τέχνην ἔφη. ὅθεν καὶ δεσμοὶ τεχνήεντες, οἱ κατὰ δόλον. ἐκεῖθεν δὲ καὶ τὸ ἀτεχνῶς ἀντὶ τοῦ δίχα δόλου καὶ φανερῶς. οὕτω δὲ ὅμοιον καὶ τὸ πολύφρων καὶ κλυτοτέχνης καὶ κλυτοεργὸς Ἥφαιστος. καὶ τὸ, οὐδ' ἀλαοσκοπιὴν εἶχεν Ἄρης. καὶ τὸ, Ἠέλιος σκοπιὴν ἔχε.(ῃερς. 270.) Τὸ δὲ λέχος δ' ᾔσχυνεν, αἰσχρὸν εἶναι τὸ ἔργον δηλοῖ. Ἐν δὲ τῷ, Ἡφαίστοιο ἄνακτος, θεία λέξις κατὰ κυριολεξίαν τὸ ἄναξ. ὡς καὶ ἐν τῷ, ἄναξ Ἀπόλλων. (ῃερς. 272.) Τὸ δὲ θυμαλγέα μῦθον ἄκουσεν, ὅμοιόν ἐστι τῷ, θυμοδακὴς γὰρ μῦθος. καὶ ἡ ἐκεῖ δοκοῦσα εἶναι παρήχησις καὶ ἐνταῦθα ἐμφαίνεται. (ῃερς. 273.) Χαλκεὼν δὲ, τὸ ἐργαστήριον τοῦ χαλκέως Ἡφαίστου. πέφρασται καθ' ὁμοιότητα τοῦ, ἀκανθεών. χαραδρεών. καὶ τῶν τοιούτων. (ῃερς. 274.) Περὶ δὲ ἀκμοθέτου καὶ ἄκμονος καὶ τοῦ κόπτειν δεσμοὺς ἐν τῇ Ἰλιάδι ἐῤῥέθη. (ῃερς. 273.) Ἄῤῥηκτοι δὲ δεσμοὶ καὶ ἄλυτοι, οἱ πάνυ στερεοί, οὔτε οὓς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναγνάμψας τις ἠρέμα λύσει, οὓς οὔτε πρὸς βίαν ῥήξει καλῶς δὲ κεῖται τὸ πρὸς βίαν ἐνταῦθα. λύει μὲν γάρ τις, ἐν ἀδείᾳ. ῥήγνυσι δέ, βιαζόμενος. διὸ καὶ πρὸς ἔμφασιν λείως μὲν λαλεῖται τὸ λύειν, τραχυφωνεῖται δὲ τὸ ῥηγνύειν. καὶ ἀληθῶς, ἁπάσῃ ῥήξει, βίαιόν τι ἐμφαίνεται. ὁ γοῦν ῥηξήνωρ βίῃ ἀνδρῶν ῥήγνυσι φάλαγγας. ἐμφαίνει δὲ βίαν, καὶ τὸ, ἐῤῥάγη πόλεμος. δηλαδὴ σκεδασθεὶς ὧδε καὶ ἐκεῖ καὶ μὴ ἐφ' ἑνὸς μένων. καὶ σκηπτὸς δὲ καταῤῥαγεὶς καθὰ καὶ ὁ ῥαγδαῖος ὄμβρος, βίαιόν τι δηλοῦσιν. ὡς καὶ τὸ ἀποῤῥαγῆναι, καὶ τὸ συῤῥῆξαι μάχην. μάλιστα δὲ, τὸ διαῤῥαγῆναι. οὗ χρήσεις καὶ ἄλλαι μὲν οὐκ ὀλίγαι, καὶ αὕτη δὲ ἡ ἀστεία. εὐδαίμων ἐγὼ, οὐχ' ὅτι ἐν τοῖς γάμοις εὐωχήσομαι, ἀλλ' ὅτι διαῤῥαγήσομ' ἢν θεὸς θέλῃ. τούτου δέ μοι τοῦ τέλους γένοιτο τυχεῖν. (ῃερς. 276.) Τὸ δὲ τεῦξε, πρωτότυπόν ἐστι παράγωγον τῆς τέχνης καθ' ἣν Ἥφαιστος ἐργάζεται. (ῃερς. 277.) Τὸ δὲ κεχολῶσθαι Ἥφαιστον Ἄρει δηλοῦται καὶ ἐν τῷ, χόλος δέ μιν ἄγριος ᾕρει. καὶ ἐν τῷ, ἐγὼ δ' ὀρόων ἀκάχημαι. (ῃερς. 278.) Τὸν δὲ θάλαμον ἑρμηνεύων, ἔφη. ὅθι οἱ φίλα δέμνια κεῖτο. ἵνα ᾖ θάλαμος, ὁ κοιτών. οὗ ἐνδεικτικὸν τὸ κεῖτο. ἐξ αὐτοῦ γὰρ ὁ κοιτών. Ἑρμὶς δὲ ὁ τῆς κλίνης ποὺς ὁ καὶ ἑρμὶν καθὰ καὶ δελφὶς καὶ δελφὶν, ἢ παρὰ τὸ ἕρμα κλίνης εἶναι. ἢ παρὰ τὸν Ἑρμῆν δοτῆρα ὄντα τοῦ ὕπνου. διό φασι καὶ Ἑρμῆς ταῖς ἑρμῖσιν ἐντυποῦτο. (ῃερς. 279.) Τὸ δὲ χεῦε καὶ τὸ κέχυντο, τῆς ἄγαν λεπτότητος καὶ τῆς οἷον ἐντεῦθεν ὑγρότητος τῶν δεσμῶν ἐστὶ δηλωτικόν. διὸ καὶ 1.300 ἐπλεόνασε τῇ τοιαύτῃ λέξει διὰ τὸ καίριον. (ῃερς. 278.) Τὸ δὲ κύκλῳ ἁπάντῃ, τοὺς ἀπείρονας ἑρμηνεύει δεσμούς. οἳ καὶ κρικωτοὶ διασαφούμενοι ὑπὸ τῶν παλαιῶν, εἶεν ἂν καὶ κυκλωτερεῖς. (ῃερς. 280.) Τὸ δὲ λεπτὰ, ἢ πρὸς τὸ ἀράχνια φησὶν, ἢ πρὸς τὸ δέσματα. ἑρμηνεία δὲ αὐτοῦ τὸ, ἃ οὐκ ἄν τις οὐδὲ ἴδοιτο, λεπτότατα γὰρ τὰ τοιαῦτα, (ῃερς. 281.) καὶ τὸ, οὐδὲ θεῶν μακάρων. ὃ καὶ πρὸς πιθανότητα ἐῤῥέθη. οὐ γὰρ ἀνθρώποις μόνον, ἀλλὰ καὶ θεοῖς ἦσαν ἀόρατα. διὸ συνέσχον τὸν Ἄρην τεχνικῶς τετυγμένα. (ῃερς. 283.) Τὸ δὲ εἴσατο ἴμεν, δύναται ὅμοιον εἶναι καὶ τῷ, βῆ δ' ἰέναι. ἵνα ᾖ καὶ ἀντὶ τοῦ ἐπορεύθη τὸ εἴσατο, καὶ μὴ μόνον ἀντὶ τοῦ ἔδοξε. (ῃερς. 284.) Ὅτι δὲ φιλτάτη γαιάων ἡ Λῆμνος τῷ Ἡφαίστῳ διὰ τοὺς ἐκεῖ κρατῆρας τοῦ πυρὸς, καὶ ὅτι καὶ πόλεις δύο περὶ αὐτὴν ὧν μία καὶ ἡ Ἡφαιστία, εἰς ἣν καὶ εἰκὸς ἀπελθεῖν ἄρτι τὸν Ἥφαιστον, καὶ ὅτι Σίντιες οἱ Λήμνιοι, καὶ διατί ταῦτα ἡ Ἰλιὰς δηλοῖ. (ῃερς. 283.) Τὸ δὲ ἐϋκτιμένον πτολίεθρον, τρόπος ἐστὶ ποιητικὸς συνεκφωνήσας χάριν σαφηνείας τῇ ὅλῳ ἤγουν τῇ Λήμνῳ, τὸ μέρος αὐτῆς, τὴν πόλιν. καὶ ἔστιν ὅμοιον τῷ, ἐς Κύπρον ἐς Πάφον, ὃ μετ' ὀλίγα κεῖται. Τὸ δὲ γαιάων, πληθυντικῶς καὶ νῦν καὶ ἐν τοῖς μετὰ ταῦτα δὲ παρὰ τῷ ποιητῇ κεῖται, εἰ καὶ οἱ μεθ' Ὅμηρον σημειοῦνται μὴ εἶναι πληθυντικὸν ἀριθμὸν τῆς γῆς ὥσπερ οὐδὲ τοῦ ἡλίου διὰ τὸ μονήρη αὐτὰ εἶναι, ἀλλ' ἡ κοινὴ συνήθεια ἐν τούτοις οὐχ' ὑπακούει αὐτοῖς, γαίας τὰς νήσους νοοῦσα. οἱ μέντοι Λύκιοι καὶ ἄλλως ἐθέλοντες εἰπεῖν τὰς ἄνω χώρας, τὰς ἄνω γᾶς λέγουσι. (ῃερς. 285.) Χρυσήνιον δὲ τὸν Ἄρην λέγει, συνεξωραΐζων αὐτὸν οὕτω τῇ χρυσῇ Ἀφροδίτῃ. (ῃερς. 288.) Ἰσχανόων δὲ, ὁ ἐχόμενος καὶ ἐπιθυμῶν, ὡς καὶ ἀλλαχοῦ. Κυθέρεια δὲ ὡς καὶ ἐν ἄλλοις, ἢ ἡ ἀναφανεῖσα περὶ νῆσον τὰ Κύθηρα, ἢ ἡ κεύθουσα ἔρωτας. (ῃερς. 293.) Μεταδήμιος δὲ καὶ νῦν ὁ ἐνδήμιος. ὡς μεταδόρπιος ὁ ἐν τῷ δόρπῳ. (ῃερς. 294.) Ἀγριοφώνους δὲ τοὺς Λημνίους καλεῖ, καθ' ὃν ἴσως λόγον καὶ τοὺς Κάρας βαρβαροφώνους. ἢ καὶ ὡς λῃστρικοὺς καὶ διατοῦτο ἄγρια λαλεῖν ἐπίτηδες εἰθισμένους. οἳ πρῶτοι, καὶ βελοποιΐας εὑρεταὶ εἶναι δοκοῦσι, διὸ καὶ Σίντιες λέγονται. κατὰ μέν τινας, αὐτόχθονες ὄντες ἐν Λήμνῳ. κατὰ δὲ ἑτέρους, ἐκ τῆς ἀντιπέραν ἥκοντες. (ῃερς. 295.) Τὸ δὲ τῇ δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι καὶ τὸ, ἐς δέμνια βάντε κατέδραθον, σεμνῶς τὰ τῆς μοιχείας φράζουσι. (ῃερς. 298.) Τὸ δὲ οὐδέ τι κινῆσαι μελέων ἦν παραλύτου ὂν, ἔστι προσρηθῆναι καὶ τοῖς ἄγαν μεθύουσιν, οὓς καὶ ἐξοίνους φαμέν. καλῶς οὖν ἔγραψέ τις τὸ, οἶνος πόδας δεῖ γλῶσσαν τε νόον τε δεσμοῖσιν ἀφράστοισι τοῖς Ὁμήρου φρασθεῖσι. πάσχει δέ τις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεσμοὺς τοιούτους, ὅτε κατὰ τὸν εἰπόντα, πίνει οἶνον ὑπερβολάδην. ὁπηνίκα καί τι σπουδαῖον εἰ γίνοιτο, σκώπτεται. Αἰσχύλος οὖν ἐν τῷ μεθύειν γράφων ἐπαινετὰς τραγῳδίας ἤκουσε παρὰ Σοφοκλέους τὸ, ὦ Αἰσχύλε, εἰ καὶ τὰ δέοντα ποιεῖς, ὅμως οὐκ εἰδώς γε ποιεῖς. (ῃερς. 299.) Τὸ δὲ οὐκέτι φυκτὰ πέλονται, καὶ ὡς παροιμιῶδες ἐστὶν ἐπὶ ἀφύκτων κακῶν. (ῃερς. 302.) Πιθανῶς δὲ ὁ Ἥλιος ἑταῖρος πλάττεται τῷ Ἡφαίστῳ, διὰ τὸ ἐν ἀμφοῖν φωσφόρον. εἰ δὲ καὶ ὁ Ἄρης τὸν ἀλεκτρυόνα ἐν ἀνθρώποις ὄντα τότε κατάσκοπον εἶχε ταχθέντα μηνύσειν τὴν Ἡφαίστου ἔφοδον, ὁ δὲ, ὑπνώσας, προὔδωκε τὰς τοῦ Ἄρεος ἐλπίδας, ὅ δ' ὕστερον εἰς πτηνὸν αὐτὸν ἀπεμόρφωσε, καὶ δηλοῦσιν ἔτι τὴν ἐκείνου στρατιωτικὴν, ὁ λόφος ὁ θυμὸς τὰ κέντρα κατὰ τὸν γράψαντα ῥήτορα, ἀλλὰ τοῦτο τῆς ὕστερον μυθοποιητικῆς οὐ σεμνόν ἐστι λάλημα. ἧς πλάσμα, καὶ ὁ ἐν τοῖς μετὰ ταῦτα δηλωθησόμενός που Γιγγρών, δαίμων φησὶ διακονήσαν τῇ τῆς Ἀφροδίτης μοιχείᾳ. (ῃερς. 305.) Τὸ δὲ γέγωνε θεοῖσιν, ἀντὶ τοῦ ἐγνώσθη ἐφ' οἷς ἐβόησε. (ῃερς. 307.) Τὸ δὲ ἔργα γελαστὰ, γράφεται καὶ ἔργ' ἀγέλαστα, ἤγουν οὐκ ἄξια γέλωτος. τοῦτο δὲ πρός γε τὸν χολούμενον Ἥφαιστον, οἱ γὰρ ἄλλοι γελάσουσιν. Ἰστέον δὲ ὅτι τὸ γελαστὰ καθὰ καὶ τὸ ἀγέλαστα εἰκὸς γενέσθαι ἀπὸ τοῦ γελῶ γελάζω ἀῤῥήτου θέματος ὁμοίως τῷ, ἀγῶ ἀγάζω ὅθεν τὸ ἀγαστόν. καὶ ἀποβολῇ τοῦ σίγμα καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ἀγαθόν. ἔτι δὲ καὶ ὡς ἀπὸ τοῦ ἐρῶ διάζω ἐραστὸν καὶ ἐπέραστον, οὗ παθητικὸς ἀόριστος ἠράσθην. κατὰ τὸ, πειρῶ πειράζω ἐπειράσθην. ἄλλως μέντοι, ἐκ τοῦ ἐράω ἐρῶ, τὰ ὀνόματα Ἐρατὼ Μούσης ὄνομα καὶ ἐρατὸν καὶ ἐρατεινὸν τὸ ἐπιθυμητόν. Οὐκ ἐπιεικτὰ δὲ, οἷς οὐκ ἄν τις εἴξῃ ἐπιεικῶς διατεθείς. ἢ τὰ σκληρὰ καὶ μὴ εἴκοντα. καὶ ἄλλως δὲ εἰπεῖν, γελαστὰ μὲν τοῖς ἄλλοις ἐμοὶ δὲ οὐκ ἐπιεικτά. Τὸ δὲ αἰὲν ἀτιμάζει, ἐπίτασιν ἀτιμίας δηλοῖ. οὐ γὰρ ποτὲ μὲν ποτέ δ' οὔ, ἀεὶ δέ. (ῃερς. 309.) Τὸ δὲ ἀΐδηλον Ἄρηα, ἐντρέπει τὴν Ἀφροδίτην. εἰ γὰρ καὶ καλὸς καὶ ἀρτίπους ὁ Ἄρης, ἀλλ' ἀτιμαστέος αὐτὸς μᾶλλον ὡς ἑκὼν ἀΐδηλος ἤπερ Ἥφαιστος ὁ μὴ 1.301 αἴτιος τοῦ χωλὸς εἶναι. δῆλον δὲ ὡς ἀείδελος μὲν διὰ διφθόγγου, παρὰ ἐνεστῶτος τὸ, εἴδω. ἀΐδηλος δὲ, διὰ τοῦ ¯ι κατὰ στέρησιν τοῦ ἰδεῖν. (ῃερς. 310.) Τὸ δὲ ἀρτίπος ὅ ἐστιν ἀρτίπους, διὰ μέτρον ἐξέπεσε τοῦ ¯υ. καθὰ καὶ τὸ, Ἶρις ἀελλόπος. (ῃερς. 311.) Ἠπεδανὸν δὲ ὁ Ἥφαιστος ἑαυτὸν ὀνομάζει, καὶἄλλως μὲν ἠθικῶς, μάλιστα δὲ διὰ τὸ ὡς εἰκὸς αἰδεῖσθαι τὴν κατ' αὐτὸν προφέρειν χωλότητα, δι' ἣν κυλλοποδίων λέγεται ὡς παθὼν ἐπικύλλωμα. ἢ κατακύλλωμα. ὧν ἀμφοτέρων μνησθεὶς Ἀριστοφάνης ὁ γραμματικὸς, οὐδέτερον αὐτῶν ἀνάττικον εἶναι φησίν. (ῃερς. 312.) Αἴτιος δὲ καὶ νῦν, ὁ ὑπὸ αἰτίασιν καὶ μέμψιν. Ἐν δὲ τῷ, οἳ μὴ γείνασθαι ὄφελλον, λύπης πάντως ἄκρας τὸ τοὺς γονεῖς αἰτιᾶσθαι τοῦ τεκέσθαι. (ῃερς. 315.) Τὸ δὲ οὐ μέν σφας ἔολπα μίνυνθα κειέμεν οὕτως, ἀντὶ τοῦ οὐκ οἶμαι ἐπιθυμεῖν αὐτοὺς κεῖσθαι οὕτως. ὅπερ ἑρμηνεύων ἐπήγαγε. τάχ' οὐκ ἐθελήσετον ἄμφω εὕδειν. ταυτὸν γὰρ τὸ, οὐδ' ἐπολίγον ἔολπα κειέμεν, καὶ τὸ, ταχὺ οὐκ ἐθελήσουσιν εὕδειν. οὕτω καὶ ἐν τῷ, κακκειόντες ἔβαν, ἐπιθυμίαν καὶ θέλησιν τοῦ κεῖσθαι δηλοῖ τὸ κείοντες. (ηερς. 318.) Ἔεδνα δὲ φανερῶς καὶ ἐνταῦθα, τὰ ἐκ τοῦ νυμφίου τῇ γαμετῇ διδόμενα. (ῃερς. 319.) Τὸ δὲ κυνώπιδος, ψόγος ὀφθαλμοῦ. ὥσπερ αὖ πάλιν ἔπαινος τὸ, κυανώπιδος. καλῶς ἄρα καὶ ἡ Ἑλένη κυνῶπιν ἑαυτὴν καλεῖ που ἐφ' οἷς μοιχικῶς ἔδρασεν. (ῃερς. 322.) Ἐριούνης δὲ Ἑρμῆς ὡς ἐν ὀλιγίστῳ εἰπεῖν, ὁ ἄγαν ὀνῶν ὅ ἐστιν ὠφελῶν. (ῃερς. 324.) Τὸ δὲ θηλύτεραι παρέλκειν μὲν δοκεῖ. ἤρκει γὰρ μὲν καὶ μόνον τὸ θεαί. εἴρηται δὲ ὅμως πρὸς ὁμοιότητα τοῦ, γυναικῶν θηλυτεράων. ὃ ἐῤῥέθη πρὸς σύγκρισιν τῶν ἄλλων θηλέων ζῴων ἃ οὐχ' οὕτω ἀεὶ πρὸς ἔρωτα ἐκθηλύνονται. καὶ ἄλλως δὲ θηλύτεραι γυναῖκες κατὰ τοὺς παλαιοὺς, αἱ εὔκαρποι καὶ πολύφοροι. ὅθεν καὶ θῆλυς ἑέρση, ἡ τοῦ εὐκαρπεῖν καὶ πολυφορεῖν αἰτία. ὅθεν καὶ Καλλίμαχος θηλύτατον πεδίον λέγει, τὸ πολύγονον. (ῃερς. 325.) Δωτῆρες δὲ ἐάων, ἀντὶ τοῦ ἀγαθῶν, περὶ οὗ σαφῶς ἀλλαχοῦ δεδήλωται ποιητικοῦ ὄντος καὶ οὐκ εὐχρήστου πεζογράφοις ῥήτορσιν. Ὅρα δὲ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δοτῆρες ἐκτεῖνον τὸ ¯ω τῆς ἀρχούσης καὶ ἐνταῦθα καθ' ὁμοιότητα τοῦ, δῶτορ ἑάων. οἱ δέ γε μεθ' Ὅμηρον συστέλλουσι μὲν τὸ δοτήρ. τὸ δὲ δῶτορ ἐκτείνουσιν ἐν ταῖς παραληγούσαις. (ῃερς. 326.) Τὸ δὲ ἄσβεστος γέλως, ἔχει θεραπείαν διὰ τὴν ἐν τοῖς γελῶσι θερμότητα. (ῃερς. 329.) Τὸ δὲ οὐκ ἀρετᾷ κακὰ ἔργα κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ οὐκ ἀρετὴν καὶ εὐσθένειαν ἄγουσιν. ἵνα γίνηται τὸ ἀρετᾶν ἐκ τῆς κατὰ ἀνδρίαν ἀρετῆς. οὗ πρὸς σαφήνειαν ἐπῆκται καὶ τὸ, κιχάνει τοι βραδὺς ὠκύν. ὡς τοῦ ὠκέος Ἄρεος ἀπολέσαντος τὸ κατ' ἀρετὴν εὐσθενὲς διὰ κακουργίαν. καὶ πρὸς ἔνδειξιν τοῦ τοιούτου καθολικοῦ γνωμικοῦ ἐπήγαγε μερικὸν συνήθως τὸ, ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλε τὸν ὠκύτατον Ἄρην. Τῷ δὲ ἀρετᾷ, σύστοιχον καὶ τὸ ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ. δῆλον δὲ καὶ ὡς τὸ ἀρεταίνειν ἐκ τοῦ τοιούτου ἀρετᾶν παράγεται. Ἰστέον δὲ ὡς τῶν τινες ὁμηρομαστίγων, ἔφασαν πρὸς τὸ, οὐκ ἀρετᾶ κακὰ ἔργα, ὅτι καί τις οὐκ οἶδεν ὡς ἡ ἀρέτη οὐκ ἔστι κακία. πρὸς οὓς δίχα τῶν ἀνωτέρω ῥηθέντων ἔστιν εἰπεῖν καὶ ὅτι τὸ λεγόμενόν ἐστιν, ὡς οὐκ ἀρετᾷ ὅ ἐστιν οὐκ εὐδαιμονίζει τινὰ τὰ κακὰ ἔργα. ὡς καὶ τὸ, ἀρετῶσι δὲ λαοὶ, ἀντὶ τοῦ εὐδαιμόνως ζῶσιν. οὐδὲν γὰρ ἡ εὐδαιμονία ἕτερον ἀλλ' ἢ συγκρότησις ἀρετῶν. Πρὸς δὲ τὸ κιχάνει βραδὺς ὠκὺν, ἐτέθη καὶ παροιμία τὸ, ἔστι καὶ χωλῷ δρόμος, πρὸς ὁμοιότητα τοῦ, ἔνεστι καὶ μύρμηκι χόλος. Ἐνταῦθα δὲ τηρητέον ὁποία τις ἡ κατὰ ἔρωτα βιαία ἰσχύς. καθ' ἣν ἄλλα τε μυρία γέγονε θαυμάζεσθαι ἄξια, καὶ δὴ καὶ τὸ κατὰ τὸν Κροτωνιάτην Μίλωνα. οὗ φασὶ ῥοιὰν τὴν ἐν τῇ χειρὶ ἀντίπαλος μὲν οὐδεὶς ἑλεῖν ἠδύνατο, ἡ δὲ ἐρωμένη ῥᾷστα αὐτὴν ἐξῄρει φιλονεικοῦσα πρὸς αὐτόν. ἦν γάρ φασι τὸ μὲν σῶμα ἰσχυρός, ἀνδρεῖος δὲ τὴν ψυχὴν οὐκ ἦν. ᾧ δὴ λόγῳ καὶ ἡ μάχλος Ἀφροδίτη, οὐ μόνον Ἡφαίστου περιγέγονε κατ' ἔρωτα πρὸς αὐτῆς ποιουμένη τὸν οὕτω κυλλὸν, ἀλλὰ καὶ Ἄρεα τὸν ὀβριμοεργὸν εἷλε καὶ ᾔσχυνε. (ῃερς. 332.) Τὸ δὲ χωλὸς ἐὼν, ἑρμηνεία ἐστι τοῦ, ἐὼν βραδύς. Μοιχάγρια δὲ, τὰ ὑπὲρ ἀγρεύσεως ὅ ἐστι συλλήψεως μοιχῶν ἐκτινύμενα. ἡ δὲ σύνθεσις αὐτοῦ ὁμοία τῷ, ζωάγρια. βοάγρια. ἀνδράγρια. (ῃερς. 335.) Ἐν δὲ τῷ, Ἑρμεία Διὸς υἱὲ διάκτορε δῶτορ ἑάων ἤτοι δοτὴρ τῶν ἀγαθῶν, ἐριούνης γὰρ ὡς πρὸ βραχέων ἐῤῥέθη, ἔτι δὲ καὶ ἐν τῷ, ἄναξ ἑκατηβόλε Ἄπολλον, ὅρα τὴν τῶν ἐπαίνων ἀνταπόδοσιν φραζομένην βιωτικώτερον. χρηστοὺς γὰρ χρηστοῖς λόγοις ἀμειβόμεθα. ὡς τοὺς ἐναντίους, ἀνάπαλιν. (ῃερς. 341.) Τὸ δὲ πᾶσαί τε θέαιναι, πρὸς ἐπίτασιν δῆθεν αἰσχύνης ἐλέχθη, ἐπεὶ ἐν τοῖς κατὰ τὸν Ἄρην ἐκρύπτοντο αἰδοῖ αἱ θεαί, ὅθεν οὐδὲ ἦν ἡ αἰσχύνη ἐκ πολλῶν. Καινότερον δὲ ἐσχημάτισται τὸ θέαιναι. ἀπὸ γὰρ τοῦ θεὸς, 1.302 θέαινα. καὶ οὐ κατὰ τὴν δράκαιναν καὶ τὴν λέαιναν καὶ τὴν θεράπαιναν. οὐδὲ κατὰ τὸ, γείτονος γείταινα καὶ τέκτονος τέκταινα. καὶ ὅσα παραδίδωσιν ἡ τοῦ Χοιροβοσκοῦ ἐξήγησις ἀλλὰ κατὰ τὸ λύκος λύκαινα καὶ γνάθος γνάθαινα, καὶ ὅσα τοιαῦτα διείληπται ἀλλαχοῦ. ὧν πάντων διαφέρει ἡ τρίανα, οὐχ' ὅλῃ διφθόγγῳ ἑτεροιουμένη πρὸς τὸ πρωτότυπον, ἀλλὰ μόνῳ διχρόνῳ. ἀπέοικε δὲ αὐτῆς τῷ τῆς παραγωγῆς τρόπῳ καὶ ἡ παρὰ τῷ κωμικῷ ἀρύταινα, ἐκ τοῦ ἀρύτω ἤγουν ἀρύω γινομένη. ἔστι δ' αὐτὴ λεκανίδος εἶδός τι, ὡς δηλοῖ ὁ κατὰ γυναικὸς κωμικευσάμενος τὸ, ἐμπερδολεκαρύταινα. (ῃερς. 344.) Τὸ δὲ λίσσετο αἰεὶ, ἱκετείαν δηλοῖ παράμονον. ὃ δὴ καὶ λιπαρεῖν λέγεται, ἀντὶ τοῦ λίαν παρεῖναι. (ῃερς. 347.) Τὸ δὲ λῦσον κυριολεκτούμενον ἐπὶ τοῦ δεθέντος Ἄρεος, πολλάκις καὶ αὐτὸ ἐνταῦθα κεῖται. οἷον. ὅπως λύσειεν Ἄρεα. καὶ λῦσον. καὶ ἐκ δεσμοῦ λύσε. τὸ δ' αὐτὸ, καὶ ἀνιέναι λέγεται. ὡς δηλοῖ τὸ, δεσμῶν ἀνίει. Τὸ δὲ ὑπίσχημαι, τὸ πρωτότυπόν ἐστι τοῦ ὑπισχνοῦμαι. ἐξ οὗ καὶ τὸ, ὑπίσχεται ἀνδρὶ ἑκάστῳ. (ῃερς. 348.) Τὸ δὲ αἴσιμα πάντα ὅ ἐστι καθήκοντα καὶ δίκαια, οὐχ' ὥρισται κατὰ ποσόν. οὐδὲ γὰρ ἐχρῆν ὁρισθῆναι, ὅτι μηδὲ ἦν εἰκὸς αὐτόθεν ἀσκέπτως εἰδέναι τὸν Ποσειδῶνα ὅσα ἕδνα ὀφείλεται τῷ Ἡφαίστῳ, οὐ δὲ μὴν ὅσης ποινῆς τιμήσεται τὴν τῆς Ἀφροδίτηςμοιχείαν. Τὸ δὲ δειλαί τοι δηλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι, ἀντὶ τοῦ τῶν κακῶν καὶ αἱ ἐγγύαι κακαὶ ὥστε ἐγγυᾶσθαι. ὡς οὐ δέον ὂν οὐδὲ νῦν ἐγγύας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δοθῆναι ὑπὲρ τοῦ φαυλοτάτου Ἄρεος, ἐπὶ δειλαίου γὰρ καὶ φαύλου τὸ δειλὸς ἐνταῦθα κεῖται. ἕτερον δέ φασιν ὅτι δειλαὶ αἱ ἐγγύαι εἰσὶ τουτέστι δυστυχεῖς, καὶ δειλῶν ἀνδρῶν τὸ ἐγγυᾶσθαι, ὡς καθόλου μὴ δέον ὂν ἐγγυᾶσθαί τινα, κατὰ τὸ ἐν Δελφοῖς ἐπίγραμμα. ἐγγύᾳ πάρα δ' ἄτα. ὃ λύει πολλὰς τῶν κατὰ βίον κοινωνιῶν. καὶ πάνυ ἐστὶν ἀπάνθρωπον εἰ μηδὲ πατέρα ἐγγυητέον μηδὲ τῶν τινὰ πρὸς αἵματος ἢ φίλων. φασὶν οὖν ἄλλοι, ὅτι τῶν δειλῶν καὶ εὐτελῶν εὐτελεῖς ὀφείλουσιν εἶναι καὶ αἱ ἐγγύαι, ὡς ἂν ἔχοιεν ἄγειν τοὺς ἐγγυητὰς οἱ εὐτελεῖς, ὡς ὁμοίους. (ῃερς. 352.) διὸ καὶ ἐπάγει ὁ Ἥφαιστος, πῶς ἂν ἐγὼ ἐλάσσων ὢν σὲ τὸν μείζονα Ποσειδῶνα δέοιμι ἐὰν λυθεὶς ὁ Ἄρης οἴχηται; ὅμως μέντοι νικᾷ διὰ τὸ πρεσβεῖον ὁ Ποσειδῶν. καὶ ὑποσχόμενος ἀποτίσει. ἀποτίσειν αὐτὸς τὸ χρέος, πείθει λυθῆναι τὸν Ἄρην. καὶ ἄλλως δὲ φράσαι κατὰ τοὺς παλαιοὺς, αἱ πρὸς τοὺς δειλοὺς καὶ ἀσθενεῖς ἐγγύαι δειλαὶ καὶ αὐταὶ καὶ μηδὲν δυνάμεναι, ὡς μὴ δυναμένων τῶν τοιούτων ἐπεξελθεῖν ἀδικήματα δι' ἀσθένειαν. ἢ καὶ ἄλλως, αἱ ὑπὲρ κακῶν ὡς προεῤῥέθη ἐγγύαι, κακαί εἰσι καὶ αὐταί, ὡς πίστιν φασὶν ὑπὲρ τῶν τοιούτων μηδενὸς τηρεῖν δυναμένου. Ἰστέον δὲ ὅτι ἐγγύη καθ' ἣν ἐγγυᾷ μέν φασιν ὁ διδοὺς, ἐγγυᾶται δὲ ὁ λαμβάνων, γίνεται παρὰ τὸ ἐν γύοις ὅ ἐστι χερσί τινος κεῖσθαι τὸ κατεγγυηθὲν, καὶ οἷον ἔχεσθαι ὑπ' ἐκείνου ἐχυρῷ ἤγουν ἰσχυρῷ λόγῳ ἐξ οὗ καὶ πόλις ἐχυρὰ καὶ ἐνέχυρον. λέγεται δέ ποτε ἐγγύη καὶ γάμου ἀπογραφὴ, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. (ῃερς. 353.) Τὸ δὲ χρέος ὅτι ὡς ἐπὶ πολὺ ἐκτείνει τὴν λήγουσαν ἐπὶ δανείου, καὶ ἀλλαχοῦ ἐῤῥέθη. ἴσως δὲ καὶ τὸ χρεῖος κατὰ ὁμοίαν Ἀττικὴν ἔκτασιν, ὡς καὶ τὸ μέτρον ὑποδηλοῖ ἐν τῷ, χρείως ὑπαλύξας. (ῃερς. 358.) Τὸ δὲ οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι, οἰκεῖον ῥηθῆναι ὅτε τις ἔνδοξος ἀνὴρ ἄξιόν τι λόγου ἀπαιτεῖ. ὥσπερ θυμοῦ ἐνδεικτικὸν ἦν τὸ, χόλος δέ μιν ἄγριος ᾕρει ἤγουν ἀγριοποιός. σμερδαλέον δ' ἐβόησε. (ῃερς. 307.) Τὸ δὲ δεῦτε ἵνα ἔργα γελαστὰ καὶ οὐκ ἐπιεικτὰ ἴδησθε, πράγμασιν ἂν ἐπιλέγοιτο γελοίως γινομένοις. ὥσπερ αὖ πάλιν προβολῆς κεφάλαιον ἐπὶ μοιχείᾳ τὸ, ὄψεσθε ὡς καθεύδετον ἐν φιλότητι εἰς ἐμὰ δέμνια βάντες, ἐγώ δ' ὁρόων ἀκάχημαι. ἐφ' οἷς καὶ ἀπαιτεῖ τὸν πατέρα δικανικῶς ὁ Ἥφαιστος, ἀποδώσειν τὰ ἔδνα ὡς εἴρηται. τὰ γάρ τοι μοιχάγρια ὁ Ἄρης ἀποτίσει ἢ ὁ ἐγγυησάμενος Ποσειδῶν. Πρὸς τοῖς εἰρημένοις δὲ, ἰστέον ἐν τῷ, (ῃερς. 358.) οὐκ ἔστ' οὐδὲ ἔοικεν, ὅτι τὸ ἔστιν οὐχ' ἁπλῶς ἐνταῦθα παροξύνεται ἀλλὰ κατὰ παρατήρησιν ἀρχαίαν, τοιαύτην. τὸ ἔστιν ἡνίκα ἄρχεται λόγου ἢ ὑποτάσσεται τῇ οὒ ἀποφάσει ἢ τῷ κα¯ι συνδέσμῳ ἢ τῷ ¯ως ἐπιῤῥήματι, παροξύνεται. οἷον, ἔστι πόλις Ἐφύρη, οὐκ ἔστ' οὐδὲ ἔοικε. καὶ ἔστιν. ὡς ἔστι δεινόν. εἰ δὲ ὑποτάσσεται ὀξυτόνῳ λέξει ἢ περισπωμένῃ ἢ τροχαίῳ προπερισπωμένῳ ἢ προπαροξυνομένῃ λέξει, ἐγκλίνεται κατὰ τοὺς κανόνας τοῦ Χάρακος. οἷον. ἀγαθός ἐστιν. Ἑρμῆς ἐστι. κῆπός ἐστιν. εἰ δὲ πρόκειται τοῦ ἔστι πυῤῥίχιος παροξύτονος ἢ σπονδεῖος ὅμοιος ἢ ἴαμβος παροξυτονούμενος, τὸν τόνον ἐπὶ τοῦ ¯ι ἔχει. οἷον, φίλος ἐστίν. Ἀγαμέμνων ἐστίν. ἔρως ἐστίν. Ἔτι ἰστέον καὶ ὅτι τοῦ ἔστιν ἡ παραγωγὴ οὕτω σκευωρεῖται 1.303 τῷ τεχνικῷ. εἰμὶ τὸ ὑπαρκτικὸν, οὗ ἀκολούθως τροπῇ τῆς μ¯ι εἰς σ¯ι, τὸ τρίτον εἰσὶ, κατὰ τὸ τίθημι τίθησι. καὶ τροπῇ Δωρικῇ τοῦ ¯σ εἰς ¯τ, εἰτὶ ἵνα τὴν πρὸς τὸ πληθυντικὸν συνέμπτωσιν ἀποφύγῃ. ἀποβολῇ δὲ τοῦ ¯ι, ἐτί. καὶ προσθήκῃ τοῦ ¯σ, ἐστίν. ἵνα ὁπωσοῦν ἡ παραλήγουσα μηκυνθῇ. τὰ γὰρ εἰς μ¯ι, μακρᾷ θέλει παραλήγεσθαι ἐν τοῖς ἑνικοῖς. δύναται δὲ τὸ ἐστὶ, καὶ ἀπὸ τοῦ ἐσσὶ δευτέρου προσώπου εἶναι, ἢ τροπῇ τοῦ δευτέρου σίγμα εἰς ¯τ, ἢ ἀπελεύσει μὲν ἐκείνου ἀντενθέσει δὲ τοῦ ¯τ. Τοῦ δὲ ἔοικεν ἡ μὲν κοινὴ κλίσις ἀλλοία ἐστὶν ὡς ἑτέρωθι δηλοῦται. παρὰ δὲ τοῖς παλαιοῖς εὕρηται καὶ οὕτω. εἴκω. εἶκα καὶ διαλύσει, ἔϊκα. καὶ δοχῇ ἤγουν ἐπενθέσει τοῦ ¯ο, ἔοικα. οὕτω δέ φασι καὶ εἴδω εἶδα. καὶ διαλύσει, ἔϊδα. καὶ προσελεύσει τοῦ ¯ο, ἔοιδα. καὶ ἀπελεύσει τοῦ ¯ε, οἶδα. οἱ δὲ οὕτω καινότερον κανονίσαντες καὶ τὸ σύνοιδα Αἰολικῶς φασὶ τὸν τόνον ἀναβιβάσαι, εἴτουν κατ' ἄλλους, ἀναστεῖλαι. (ῃερς. 359.) Τὸ δὲ ἀνεῖναι, οὐ δεσμοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μόνον σημαίνει λύσιν ὡς ἐν τοῖς ῥηθεῖσι χρᾶται ὁ ποιητὴς, ἀλλὰ καὶ τὸ ἀναπείσειν δηλοῖ ποτέ. οἷον. ἦ μάλα δή τινα Κύπρις ἀνιεῖσα. καὶ τὸ γυμνοῦν. οἷον. κόλπον ἀνιεμένη, καὶ τὸ ἐκδέρειν. οἷον. αἶγας ἀνεμένους ἤγουν ἐκδέροντας. καὶ τὸ παρορμᾶν. οἷον. μαργαίνειν ἀνέηκεν. (ηερς. 360.) Ὅτι μετὰ τὸ λυθῆναι τοῦ δεσμοῦ τοὺς ῥηθέντας μοιχοὺς, αὐτίκ' ἀναΐξαντες. (ηερς. 361.) ὁ μὲν, Θρῄκηνδε βεβήκει, Ἄρεος γὰρ οἰκητήριον ἡ Θρᾴκη διὰ τὸ τοῦ ἔθνους, ὡς πολλαχοῦ φαίνεται, φιλοπόλεμον. (ηερς. 362.) Ἀφροδίτη δὲ διὰ τῶν Κυπρίων ἐπαφρόδιτον, Κύπρον ἵκανεν ἐς Πάφον. ἔνθα τέμενος αὐτῇ βωμός τε θυήεις. ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίῳ ἀμβρότῳ οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας. (ηερς. 365.) Καὶ ὅρα τὸ ἐπενήνοθεν, ἄλλην μὲν ἐνταῦθα σημασίαν ἔχον παρὰ τὸ, ψεδνὴ δ' ἐπενήνοθε λάχνη. ὅμως δὲ καὶ αὐτὸ ἐπιπόλασίν τινα δηλοῦν ἐλαίου ὥσπερ ἐκεῖνο λάχνης. ἐκείνη τε γὰρ ἐπιπολάζει, καὶ τὸ χριόμενον δὲ ἔλαιον. καὶ ἔστιν ἡ αὐτὴ ἐτυμολογία καὶ κίνησις τοῦ ἐπενήνοθεν, ἐνταῦθά τε καὶ ἐκεῖ. ἑρμηνεία δὲ αὐτοῦ, τὸ ἐπικινεῖται. ἔπεστιν. ἐπανθεῖ. ἤ τι τοιοῦτον. ἐκφύγῃ δὲ ἂν καὶ ταύτην τὴν λέξιν ῥήτωρ ἐν τῇ κατὰ λογάδην γραφῇ. (ηερς. 362.) Φιλομειδῆ δὲ κἀνταῦθα λέγει τὴν Ἀφροδίτην, διὰ τὰ ἐν τοῖς κατ' αὐτὴν μειδιάματα. καὶ οὐ μόνον, ἀλλὰ καὶ γέλωτας, ὡς ὁ ἄσβεστος γέλως ὁ ἐν θεοῖς πρὸ βραχέων ἐδήλωσε. Τὸ δὲ ἐς Πάφον, διὰ σαφήνειαν συνήθως ἐπήγαγεν. ἵνα δηλώσῃ ὅπῃ τῆς Κύπρου ἦλθεν ἡ φιλομειδής. τοιοῦτον καὶ τὸ, εἰς Ἴδην εἰς Γάργαρον. προηγησαμένου μὲν τοῦ ὅλου, ἐπενεχθέντος δὲ τοῦ μέρους διὰ τὸ σαφέστερον. ὅμοιον δὲ καὶ πρὸ μικροῦ ἦν ὡς ἐῤῥέθη καὶ τὸ, ἐς Λῆμνον ἐϋκτίμενον πτολίεθρον. ὡς εἴπερ εἶπεν, ἐς Λῆμνον ἐς Ἡφαιστίαν. οὐκ ἀπέοικε δὲ τούτων οὐδὲ τὸ, Κικόνεσσι πέλασσεν Ἰσμάρῳ. ὅλον μὲν γάρ τι, οἱ Κίκονες τὸ ἔθνος. μέρος δὲ Ἴσμαρος ἡ πόλις. Ἰστέον δὲὅτι τοῦ, Κύπρον ἵκανεν ἐς Πάφον, τὸ κοινὸν τοιοῦτον ἵκανεν ἐς τὴν τῆς Κύπρου Πάφον. οὕτω δὲ καὶ εἰς τὸ τῆς Ἴδης Γάργαρον. καὶ εἰς τὸ τῆς Λήμνου πτολίεθρον. καὶ εἰς τὴν τῶν Κικόνων Ἴσμαρον. διὰ τὸ ἐπαφᾶσθαι δὲ ἢ διὰ τὸ ἀπαφίσκειν ἤγουν ἀπατᾶν κατὰ τοὺς παλαιοὺς, τῇ Ἀφροδίτῃ ἀνεῖται ἡ Πάφος οἷα τοιουτόφωνος τῇ προφορᾷ. ὥσπερ καὶ ἡ Κύπρος, διὰ τὸ ἐξ Ἀφροδίτης τὸ κύειν πόρεσθαι ὅ ἐστι πορίζεσθαι ἢ πορσύνεσθαι. ὃ καὶ ἡ Κύπρος ἐμφαίνει κατὰ τὴν προφοράν. Τέμενος δὲ, γῆ ἀποτομὰς, ὅ ἐστιν ἀποτετμημένη τῶν πέριξ. καὶ νῦν μὲν ἱερὸν τοῦτο τέμενος. κοινῶς μέντοι καὶ πᾶς τόπος παρὰ τῷ ποιητῇ ὃς τῶν ἄλλων ἀφώρισται. Ὁ δὲ ῥηθεὶς βωμὸς αἴθριος προέκειτο οἷα εἰκὸς, καθὰ καὶ ἄλλοι παρὰ τῷ ποιητῇ φαίνονται, περὶ οὓς ῥέζεσκον ὁδῖται. Θυήεις δὲ, παρὰ τὸ θύος ἢ τὸ θύειν. ὅθεν καὶ θυοσκόοι φασὶν, οἱ ἱεροσκόποι, ὅ ἐστι δι' ἐμπύρων τὸ μέλλον σημαίνοντες. καὶ θυηχόοι, ἱερεῖς ὑπὲρ ἄλλων θύοντες. ἐκ δὲ τοῦ θύειν καὶ θυηλαὶ, αἱ διὰ θυσιῶν φασὶ μαντεῖαι. ἃς πελάνους τινές φασιν, ἢ καὶ ὀξυτόνως πελανούς. (ηερς. 364.) Αἱ δὲ Χάριτες, δαιμόνια κἀνταῦθα, ὑπουργοῦντα ὡς εἰκὸς τῇ χρυσῇ Ἀφροδίτῃ. (ηερς. 361.) Ὅρα δ' ἐν τούτοις καὶ τὸ καινοπρεπὲς τοῦ, αὐτίκ' ἀναίξαντες, ὁ μὲν, Θρῄκηνδε βεβήκει. ἡ δὲ, Κύπρον ἵκανεν. οὐ γὰρ ἔχων ἐπαγαγεῖν τῷ ἀναΐξαντες ἔντι πρᾶγμα κοινῶς ὑπὸ τῶν δύο ποιηθὲν, ἔφη μερίσας τὸ, ὁ μὲν, ἔβη ἐς Θρᾴκην. ἡ δὲ, εἰς Κύπρον. ἔχει δέ τινα τὸ σχῆμα καινότητα καὶ ἐν τῷ ἀναΐξαντες, ὃ ἐπεκράτησε διὰ τὸν Ἄρην. ὡς δέον ὂν, πρὸς τὸ ἀρσενικὸν φρασθῆναι τὴν μετοχήν. οὐ γὰρ ἂν εἴποι τις χρῆναι διὰ τὴν Ἀφροδίτην, εἰπεῖν αὐτίκ' ἀναΐξασαι ᾤχοντο, ἀλλὰ τὴν τοῦ τιμιωτέρου ἐκφωνηθῆναι μετοχήν. ὡς καὶ εἴ τις εἴποι ὅτι Ἄρης καὶ Ἀφροδίτη λυθέντες τοῦ δεσμοῦ ᾤχοντο. Δοκεῖ δὲ τὸ ἀναΐξαντες ἀποτείνεσθαι πρὸς τὸ, οὐδέ τι 1.304 κινῆσαι μελέων ἦν οὐδ' ἀναεῖραι, ὃ δὴ παρακολούθημα ἦν τοῦ δεσμοῦ. ὅθεν λυθέντες ἀνήϊξαν. οὐ μόνον κινηθέντες καὶ ἀείραντες ἑαυτοὺς, ἀλλὰ καὶ ἀναΐξαντες εἰς ὁδὸν σύντονον. (ηερς. 362.) Ὅρα δ' ἐν τοῖς ῥηθεῖσι καὶ ὡς τὴν μὲν εἰς Θρᾴκην ὁδὸν τοῦ Ἄρεος ψιλῶς οὕτως εἶπε. τὴν δὲ τῆς περιέργου Ἀφροδίτης ἀπέλευσιν εἰς τὴν καλὴν Κύπρον πλειόνός τινος λόγου ἠξίωσεν. (ηερς. 367.) Ὅτι Ὀδυσσεὺς τὰ κατὰ τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μοιχείαν τῆς Ἀφροδίτης ἀκούων ἐτέρπετο ἐν φρεσὶ καθὰ καὶ οἱ ἄλλοι Φαίακες. εἰ δὲ μὴ ἐχρῆν ἐπὶ οὕτω φαυλοτάτῳ ἀκούσματι τὸν φιλόσοφον διαχέεσθαι, ἀλλ' ἔστιν εἰπεῖν ὡς οὐ τοῖς λεγομένοις ἁπλῶς χαίρει ἀλλὰ τῷ ῥυθμῷ καὶ τῇ ἐμμελείᾳ τοῦ σοφοῦ ἀοιδοῦ. ἴσως δὲ καὶ ταῖς τοῦ μύθου ἀλληγορίαις ἐμβαθύνων φιλοσοφώτερον, καὶ οὐ κατὰ τοὺς Φαίακας ἀκροώμενος καὶ αὐτὸς, οἳ ἄλλως τέρπονται ἀκούοντες διὰ τὸ φύσει δηλαδὴ τὰς ἐρωτικὰς ἐννοίας γλυκείας εἶναι. (ῃερς. 370.) Ὅτι Ἀλκίνοος ἐναβρυνόμενος τῇ τῶν ἐγχωρίων ὀρχηστύϊ ἐκέλευσεν (ῃερς. 371.) Ἅλιον καὶ Λαοδάμαντα τοὺς αὐτοῦ υἱοὺς μουνὰξ ὀρχήσασθαι. τουτέστι μόνους. ἢ καθ' ἕνα ἰδίως. οὓς καὶ ἐξαίρων ὁ ποιητὴς, φησίν. ἐπεί σφισιν οὔτις ἔριζε τουτέστιν ἐξισοῦτο. οἱ δὲ πλεῖόν τι ποιοῦντες οὗ ἐκέλευσεν ὁ πατὴρ, (ῃερς. 372.) σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο. ἣν καὶ σεμνύνων ὡς ἐξῆν ἐπάγει πορφυρέην. τοῦτο γὰρ ἦν τὸ σφαῖραν καλήν. ἣν (ῃερς. 373.) Πόλυβος ποίησε δαΐφρων. ὄνομα δὲ τὸ Πόλυβος, οἰκεῖον τοιούτῳ τεχνίτῃ πολλὰς δηλαδὴ βόας ἔχοντι ὅ ἐστι βύρσας. ταύτην ἕτερος ῥίπτασκέ φησι ποτὶ νέφεα σκιόεντα, ἰδνωθεὶς ὀπίσω. ὃ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθεὶς, ῥηϊδίως μελέθεσκε (ῃερς. 376.) πάρος ποσὶν οὖδας ἱκέσθαι. ἤγουν ἀναπηδήσας καὶ ἔτι μετέωρος ὢν μετελάμβανε. καὶ ἦν ἔθος παλαιὸν οὕτω παίζειν. καὶ ἐπεχωρίαζέ φασι Λακεδαιμονίοις ἀγὼν τὰ σφαιρομάχια. εἰκὸς δὲ καὶ τὴν διὰ σφαίρας παιδιὰν τὴν καλουμένην οὐρανίαν τοιαύτην εἶναι. τοῦτο γὰρ ὑποβάλλει νοεῖν ὑπερβολικῶς ῥηθὲν τὸ, ἕως καὶ εἰς νέφη ῥιπτεῖσθαι τὴν σφαῖραν. Σημείωσαι δὲ καὶ ὅτι ὀρχήσεως εἶδος ἦν καὶ ἡ τοιαύτη διὰ σφαίρας παιδιὰ, ὡς δηλοῖ καὶ ὁ οὕτω γράψας. θερμαϋστρὶς, ὄρχησις διὰ ποδῶν σύντονος. φησὶ γοῦν Κριτίας οὕτω ἀναπηδήσαντες εἰς ὕψος πρὸ τοῦ κατενεχθῆναι ἐπὶ γῆν παραλλαγὰς πολλὰς τοῖς ποσὶν ἐποίουν, ὃ δὴ θερμαϋστρίζειν ἔλεγον. ἐοίκασιν οὖν καὶ οἱ βασιλικοὶ ἐνταῦθα παῖδες τοιαῦτά τινα παίζοντες καὶ τὴν σφαῖραν ἀναῤῥιπτεῖν. Ὅτι δὲ ἡ ῥηθεῖσα οὐρανία εἶδος ἦν τῆς διὰ σφαίρας παιδιᾶς, δηλοῖ ὁ γράψας ὅτι ταύτης ἡ μέν τις ἐλέγετο οὐρανία, ἡ δὲ, ἀπόῤῥαξις. ἡ δὲ, ἐπίσκυρος. ἡ δὲ, φαινίνδα. Οὐρανία μὲν, ἡ εἰς οὐρανὸν τῆς σφαίρας ἀναβολή. ἣν ὁ ποιητὴς ἐμφαίνειν δοκεῖ ἐν τῷ, οἵ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο. πορφυρέην καὶ ἑξῆς ὡς προγέγραπται. Ἀπόῤῥαξις δὲ, ὅτ' ἂν τὴν σφαῖραν μὴ πρὸς τοῖχον ἀλλὰ πρὸς ἔδαφος σκληρῶς φασὶν ἀράττωσιν ὥστε ἀποκρουομένην ἅλλεσθαι πάλιν. Ἐπίσκυρος δὲ, ᾗ ἐχρῶντο οἱ παίζοντες κατὰ πλήθη, καλουμένη διατοῦτο καὶ ἐπίκοινος. ἡ δ' αὐτὴ, καὶ ἐφηβική. ὠνόμαστο δὲ ἐπίσκυρος, ἐπειδὴ οἱ κατ' αὐτὴν σφαιρίζοντες ἐπὶ λατύπης ἑστῶτες ἣν σκύρον φαμὲν, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, βολῇ σφαίρας ἀλλήλους ἐξεδίωκον. καὶ τοιαύτη μὲν ἡ ἐπίσκυρος. Φαινίνδα δὲ, ὅτ' ἀν ἑτέρῳ φασὶ τὴν σφαῖραν προδεικνύντες ἑτέρῳ αὐτὴν ἐπιπέμπωσιν. ἣν καὶ ἐτυμολογοῦντες οἱ παλαιοὶ λέγουσι γίνεσθαι αὐτὴν ἴσως ἀπὸ τοῦ φενακίζειν, οὐ πάνυ ἀκριβῶς οὕτως ἐτυμολογήσαντες, ὡς ἐκ τῶν προγραφέντων ἐν τῇ ζῆτα ἔστι γνῶναι. Ὅτι δὲ τὸ σφαιρίζειν οὐκ ὀλίγη μοῖρα ἐνομίζετό φασι γυμναστικῆς, ἔστι συμβάλλειν καὶ ἐκ τῆς Ἡροφίλου τοῦ ἰατροῦ εἰκόνος. παράκειται γάρ φασιν αὐτῇ σὺν ἑτέροις τισὶ γυμναστικοῖς ὀργάνοις καὶ σφαῖρα. τοῦ δὲ ἀξίαν λόγου καὶ τὴν σφαιριστικὴν εἶναι, πίστις καὶ Ἀθηναῖοι, πολίτην ποιησάμενοι Ἀλέξανδρον τὸν Καρύστιον σφαιριστήν, καὶ ἀνδριάντας ἐκείνῳ ἀναστήσαντες. Μιλήσιοι μέντοι τὴν γυμνασίαν ταύτην παρῃτήσαντο. αἴτιον δέ φασιν, ὅτι περιττῶς ἐξασκήσαντες τὰ ἀθλητικὰ καὶ πολλὰς ἐκ τῶν στεφανιτῶν ἀγώνων ἀπενεγκάμενοι νίκας, τὴν σφαῖραν εἰς οὐδὲν τούτων χρησίμην ἔγνων. διὸ καὶ παραιτητέαν αὐτὴν ἔκριναν. ὅτι δὲ τῶν αὐτὴν παιζόντων τοὺς μὲν νικῶντας βασιλεῖς ἐκάλουν ὡς ἐπὶ σεμνώματι τοῦ ἔργου, ὄνους δὲ τοὺς ἡττωμένους, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί, παραφέροντες καὶ χρήσεις τὴν μὲν ἐκ τοῦ κατὰ Πλάτωνα Θεαιτήτου τοιαύτην. ὁ δὲ ἁμαρτῶν καθεδεῖται, ὥσπερ φασὶν οἱ σφαιρίζοντες, ὄνος. ὅς δ' ἂν παραγενῆται ἀναμάρτητος, βασιλεὺς ἡμῶν. τὴν δὲ, ἀπὸ Κρατίνου. οἷον. ὄνοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπωτέρω κάθηνται τῆς λύρας. τοὺς γὰρ ἡττωμένους ὄνους καθῆσθαι ἔλεγον. Ὅτι δὲ οὐ μόνον σφαιρισταὶ ἀλλὰ καὶ ἕτεραι τέχναι οὐ λόγου πολλοῦ ἄξιαι ἀλλὰ βάναυσοι ἐτιμήθησαν 1.305 μᾶλλον ἤπερ αἱ ἐν παιδείᾳ, ἱστορεῖ καὶ Ἀθήναιος, λέγων καὶ ὅτι ἑστιαιεῖς καὶ ὠρεῖται, Θεοδώρου τοῦ ψηφοκλέπτου, ἐν θεάτρῳ χαλκῆν εἰκόνα ἀνέθηκαν κρατοῦσαν ψῆφον. τί δὲ δηλοῖ ὁ ψηφοκλέπτης, εἴσεταί τις εὑρὼν Σοφοκλέους τὸ, κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης. Ὅτι δὲ παιδιὰ ὀρχηστικὴ καὶ τὸ καλούμενον διὰ τῆς σφαίρας ἁρπαστὸν, καὶ ὡς ἡ εἰρημένη φανίνδα ἄφεσιν εἶχε καὶ φυγὴν, καὶ ὡς ἔμελλεν εὐρυθμίας τοῖς σφαιρίζουσι, καὶ ὡς διαβόητοι ἐπὶ σφαιρικῇ Δημοτέλης ὁ Χῖος καί τις Χαιρεφάνης, ἐσφαίριξε δ' οὐκ ἀηδῶς καὶ Κτησίβιος ὁ Χαλκιδεὺς φιλόσοφος, ὁ Ἀθήναιος λέγει, ἀλλὰ τούτων μὲν ἅλις. (ῃερς. 373.) Ὅρα δὲ καὶ τὸ, ἣν Πόλυβος ἐποίησε, συνήθως ἤγουν κοινότερον ληφθὲν ἀντὶ τοῦ, ἔτευξε. (ῃερς. 374.) Τὸ δὲ ῥίπτασκε, γίνεται μὲν ἐκ τοῦ ῥίπτω, λέγεται δὲ καὶ ἐπὶ δίσκου βολῆς καὶ τῶν τοιούτων. Ἐκ δὲ τοῦ, ἕτερος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα, παρῳδηθήσεται ἐν τοῖς ἑξῆς τὸ, τὰς δ' ἄνεμος ῥίπτασκεν ἢ φέρεσκε ποτὶ νέφεα σκιόεντα. (ῃερς. 378.) Σημείωσαι δὲ καὶ ὅτι ἡ μὲν ῥηθεῖσα ὄρχησις ἀερία τις εἴη ἂν διὰ τὰ ῥηθέντα. ἡ ἑτέρα δὲ ἡ κοινὴ, χθονία λέγοιτ' ἂν, ὡς δηλοῖ τὸ, ὀρχείσθην δή 'πειτα ποτὶ χθονί. (ῃερς. 375.) Τὸ δὲ ἰδνωθεὶς, ἐν τῇ Ἰλιάδι ζητητέον ὡς ῥηθὲν ἐκεῖ. Εὐλύγιστον δὲ σῶμα δηλοῦται διὰ τοῦ ἰδνωθῆναι ὀπίσω. ὥσπερ κοῦφον τὸ, ὑψόσ' ἀερθείς. ἀντὶ τοῦ, εἰς ὕψος ἐλαφρισθείς. καιριώτερον δὲ εἰπεῖν, μετεωρισθείς. ἤτοι γενόμενος μετῄορος. ὅπερ ἀπὸ τοῦ ἀείρω γίνεται. Τὸ δὲ μεθελεῖν, δέδωκε τοῖς μεθ' Ὅμηρον εἰπεῖν τὸ μεταλαμβάνειν ἐπὶ ἐξαλλαγῆς. ἐντεῦθεν γοῦν λαβόντες, φασὶ τὸ, μετέλαβεν ὅπλα καὶ τὰ τοιαῦτα. (ῃερς. 378.) Ὅτι δὲ καὶ ἡ ῥηθεῖσα παιδιὰ οὐ σφαίρισμα ἦν ἁπλῶς, ἀλλ' ὁ ταύτην παίζων σφαιριστὴς ἦν ὀρχηστὴς, δηλοῖ Ὅμηρος, ἐπαγαγών, αὐτὰρ ἐπειδὴ σφαίρῃ ἀν' ἰθὺν πειράσαντο, ὀρχείσθην δή 'πειτα ποτὶ χθονὶ τουτέστιν οὐκ ἀπὸ χθονὸς ὑψόσε ἀειρόμενοι, ἀλλὰ περὶ γῆν πουλυβότειραν ταρφέ' ἀμειβόμενοι. κοῦροι δ' ἐπελήκεον ἄλλοι ἑσταότες κατ' ἀγῶνα. (ῃερς. 380.) πολὺς δ' ὑπὸ κόμπος ἢ δοῦπος ὀρώρει. (ῃερς. 382.) καὶ Ὀδυσσεὺς κολακεύων αὖθις ἐν καιρῷ φησίν. Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν. ἦ μὲν ἀπείλησας, βητάρμονας εἶναι ἀρίστους. (ῃερς. 384.) ἦ δ' ἄρ ἑτοῖμα τέτυκτο, σέβας μ' ἔχει εἰσορόωντα. λέγει δὲ ἑτοῖμα προπερισπωμένως ὡς ἀλλαχοῦ, τὰ πρόχειρα καὶ ἐναργῆ καὶ διατοῦτο καὶ ἀληθῆ. (ῃερς. 377.) Τὸ δὲ ἀν' ἰθὺν πειρήσαντο, δύναται μὲν καὶ ἐν δυσὶ μέρεσι λόγου εἶναι, ἀνὰ ἰθὺν ἤγουν καθ' ὁρμήν. ὁμοίως τῷ, οἷς μάλιστα πεποίθεα πᾶσαν ἐπ' ἰθύν. οἱ δὲ παλαιοὶ ὡς ἓν μέρος λόγου λαμβάνοντες, οἷα ἐπίῤῥημα, φασὶν ὡς ἔγκειται ἐνταῦθα τὸ ἄνω καὶ ἰθύνειν ἢ ἰθύειν, τουτέστιν ὁρμᾶν. ἀνορμῶντες γὰρ ἥλλοντο. καὶ εἴη ἂν οὕτω ῥηθὲν τὸ ἀν' ἰθὺν, πρὸς διαστολὴν τοῦ, ἐπὶ χθονὶ ὀρχεῖσθαι. (ῃερς. 378.) Πολυβότειραν δὲ χθόνα Ὁμήρου εἰπόντος, ὁρμηθεὶς ἐντεῦθεν ὁ Σοφοκλῆς, παμβῶτιν ἔφη τὴν γῆν. ὅθεν πάλιν ἕτερός τις λαβὼν πάντροφον πελειάδα ἔφη κατ' ἄλλον λόγον τὴν δι' ὅλου ἔτους τρέφουσαν νεοσσούς. (ῃερς. 379.) Τὸ δὲ ταρφέα, κυρίως μὲν ἐπὶ δάσους φυτῶν δυναμένων ζῷα τρέφειν, ἐπεὶ καὶ τάρφος ἁπλῶς τὸ δάσος. ταρφέες μέντοι ὀϊστοὶ καὶ ταρφέ' ἀμειβόμενοι, καταχρηστικῶς δηλοῦσι τὸ ἁπλῶς πυκνόν. Τὸ δὲ ἐπελήκεον, δηλοῖ μὲν τὸ ἐπεκρότουν. ὀνοματοποιΐας δὲ τρόπος ἐστί. καὶ γίνεται ἀπ' αὐτοῦ καὶ τὸ λακεῖν. οἷον. λάκε δ' ὀστέα. οἱ μέντοι τραγικοὶ καὶ ἐπὶ φωνῆς ἀνθρωπίνης τῇ λέξει ἐχρήσαντο. οἷς ὁ κωμικὸς ἐπιπαίζων, φησί. τί δῆτα ὁ Φοῖβος ἔλακε. (ῃερς. 380.) Καὶ ὁ κόμπος δὲ ὀνοματοποιεῖται, καὶ νῦν μὲν, ἦχον δηλοῖ τινα ὀρχηστικόν. ἐν δὲ Ἰλιάδι, κόμπος, ὁ ποιὸς ἦχος τῶν σιαγόνων τοῦ ἀγρίου συός. ὅτε θυμούμενος ἀφρίζει τε καὶ τοιοῦτον ἦχον ἀποτελεῖ. καὶ μάλιστα ἐκεῖ ἐπιτυχὴς ἡ τοιαύτη ὀνοματοποΐα. ὅθεν καὶ ῥῆμα τὸ κομπεῖν, ὅτε πολλά τις εἰς κενὸν στωμύλλεται. (ῃερς. 379.) Ἰστέον δὲ ὅτι τε τὸ, ταρφέ' ἀμειβόμενοι, ταυτὸν ἐστὶ τῷ, ὀρχούμενοι ἀνὰ μέρος πυκνῶς. καὶ ὅτι τὸ ἐπελήκεον ἄλλοι, ἶσον δύναται τῷ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπεκρότουν τοῖς λιχανοῖς δακτύλοις, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται. Δῆλον δ' ὅτι ὠνοματοπεποίηται καὶ τὸ κροτεῖν ὡς καὶ τὸ κρούειν ἀφ' οὗ καὶ τὸ κροῦμα. καὶ τὸ κροαίνειν. καὶ ὁ κρότος. ἔτι δὲ καὶ ἀποκρότημα. ὅπερ ἐστὶ κατὰ τὸν Ἀθήναιον, κτύπος δεξιοῦ μέσου δακτύλου ὅτε τῷ μεγάλῳ ἐπερεισθεὶς, εἶτα κατακτυπήσει τοῦ ὑπ' αὐτὸν σαρκώδους. (ῃερς. 382.) Τὸ δὲ ἀριδείκετε, ὡς ὑπερθετικὸν ἐλήφθη διὰ τὴν ἀρ¯ι ἐπίτασιν καθὰ καὶ ἀλλαχοῦ ἐσημειώθη, διὸ καὶ γενικῇ συνετάχθη. ἔφη γάρ. ἀριδείκετε λαῶν. (ῃερς. 383.) Τὸ δὲ ἠπείλησας, ἀντὶ τοῦ ἐκαυχήσω. καὶ ἔστι συγγενὲς τῷ ἀπειλῆσαι ὃ δηλοῖ τὸ εὔξασθαι. καθότι καὶ τὸ εὔξασθαι πολλάκις ἀντὶ τοῦ καυχήσασθαι λέγεται. Διατί δὲ βητάρμονες οἱ ὀρχησταὶ, πρὸ ὀλίγων εἴρηται. 1.306 Ὅτι δὲ σεμνὸν ἡ ὄρχησις διείληπται μὲν καὶ ἐν ἄλλοις. δηλωτέον δὲ μετρίως καὶ νῦν, ὅτι τε ὀρχησταὶ περιᾴδονται, Βολβός. Ζήνων ὁ Κρὴς, πάνυ Ἀρταξέρξῃ φίλος. καί τις Θεόδωρος. καὶ Χρύσιππος. καὶ ὅτι Πίνδαρος ὀρχηστὴν τὸν Ἀπόλλωνα καλεῖ, δεικνὺς πρᾶγμα ἔνδοξον καὶ σοφὸν τὴν ὄρχησιν. φησὶ γάρ. ὀρχηστὰ ἀγλαΐας ἀνάσσων εὐρυφαρέτρ' Ἄπολλον. καὶ Ὅμηρος δὲ ἢ τῶν τις Ὁμηριδῶν ἐν ὕμνῳἈπόλλωνος, φησίν. Ἀπόλλων φόρμιγγ' ἐν χείρεσσ' ἔχων χαρίεν κιθάριζε καλὰ καὶ ὕψι βιβάς. καί τις ἕτερος τὸν Δία ὀρχούμενον παράγει. λέγων. μέσσοισι δ' ὀρχεῖτο πατὴρ ἀνδρῶν τε θεῶν τε. ὁ δὲ ταῦτα παραδιδοὺς Ἀθήναιος ἱστορεῖ καὶ ὅτι τὸ ὀρχεῖσθαι σικελίζειν τοῖς παλαιοῖς ἐλέγετο, διὰ τὸ δηλαδὴ ὡς εἰκὸς ἐπιχωριάζειν τοῖς ἐν Σικελίᾳ. καὶ ὅτι ὀρχήσεις διάφοροι ἐθνικαί. οἷον. Λακωνικαί. Τροιζηνιακαί. Ἐπιζεφύριοι. Κρητικαί. Ἰωνικαί. Μαντινειακαὶ προκρινόμεναι διὰ τὴν τῶν χειρῶν κίνησιν. (ῃερς. 385.) Ὅτι φιλότιμος ὢν ὁ Φαίαξ βασιλεὺς καὶ χαίρων οἷς ἐπαινεῖται, ἡδέως ἀκούει τοῦ Ὀδυσσέως ἐπαινέσαντος τοὺς Φαιακικοὺς βητάρμονας. (ῃερς. 388.) καὶ βραχὺν ἀκούσας ἔπαινον μεγάλα εὐεργετεῖ μεγαλοπρεπῶς. γηθήσας γὰρ ναὶ μὴν καὶ οὐ μέλεον εἰρῆσθαι τὸν ἔπαινον ἀφεὶς τοῦ ῥήτορος Ὀδυσσέως, ἀλλ' ἀντεπαινέσας, καὶ εἰπὼν ὡς ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι, (ῃερς. 389.) εἶτα καὶ δῶρα εὐθὺς ἐκεῖ ἐν τῷ ἀγῶνι παρέλκει ἐκ τῶν συμβασιλέων. εἰπών. ἀλλ' ἄγε οἱ δῶμεν ξεινήϊον ὡς ἐπιεικές. φιλοτίμως καὶ βασιλικῶς τὸν εἰς αὐτὸν ἔπαινον ἀμειβόμενος. ὄφρα καὶ ἄλλος εἴπῃσιν ἡρώων, φησὶν, ἡμετέρης ἀρετῆς μεμνημένος. καὶ ὅπως ἐνίσπῃ οἷσι φίλοισιν οἴκαδε νοστήσας, ὅσον περιγίνονται ἄλλων τοῖς ἄθλοις οἱ περὶ αὐτόν. ἐλλάμπεται γὰρ οὐ μόνον τοῖς οἰκείοις ἀλλὰ καὶ τοῖς τῶν πατριωτῶν ἐπαίνοις ὁ Ἀλκίνοος. Ὅρα δὲ καὶ νῦν τὸ, ἀλλ' ἄγε δῶμεν, ἐπιῤῥηματικῶς λεχθὲν ὁμοίως τῷ, ἀλλ' ἄγε σιγῇ τοῖον ἀναστάντες τελέωμεν μῦθον. Τὸ δὲ ξεινήϊον ὃ καὶ ἐν Ἰλιάδι κεῖται, εἶχε μὲν καὶ πληθυντικῶς εἰπεῖν ξεινήϊα. λέγει δὲ ὅμως ἑνικῶς, ἵνα δηλώσῃ τὸ ἰδίᾳ ἐξ ἑνὸς ἑκάστου τῶν ἀριστέων ξένιον. καθὰ εὐθὺς αὐτίκα ἑρμηνεύει καὶ Ἀλκίνοος. Ἐπιεικὲς δέ φησι, τὸ ἐοικός, ἢ ᾧ τις εἴκει διὰ τὸ λόγου εἶναι ἄξιον. (ῃερς. 390.) Ὅτι προκαλούμενος ὁ βασιλεὺς Ἀλκίνοος εἰς εὐεργεσίαν Ὀδυσσέως τοὺςσυνάρχοντας φησί. δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες ἀρχοὶ κραίνουσι, τρισκαιδέκατος δ' ἐγὼ αὐτός. τῶν οἱ ἕκαστος, φᾶρος ἐϋπλυνὲς ἠδὲ χιτῶνα καὶ (ῃερς. 393.) χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος. ἔστι δὲ κἀνταῦθα τὸ τοῦ ταλάντου ποσὸν οὐ δῆλον ὁπόσου ὄγκου ἐστὶ, διὰ τὸ συνήθως ἀόριστον παρὰ τοῖς παλαιοῖς ὡς πολλαχοῦ δηλοῦται. φασὶ δὲ οἱ παλαιοὶ, ὅτι διχῶς τὸ τάλαντον. ζυγός τε γὰρ ὃν στατῆρα καλοῦμεν, καὶ σταθμὸς χρυσίου σύμμετρος οὐχ' ὡς ἡμεῖς τῶν ἑξήκοντα μνῶν. (ῃερς. 390.) Ὅρα δὲ ὅπως οὐδενὸς τῶν δώδεκα βασιλέων ἱστόρησεν ὄνομα. ἴσως μὲν, ὡς μὴ ἔχων ἐξ ἱστορίας, τυχὸν δὲ, καὶ μὴ ἐθέλων ἀσχολεῖσθαι περὶ τὰ μὴ καίρια. εἰ δὲ καὶ πλάσασθαι χρεὼν ἦν, ἀλλ' ἱκανῶς ἤδη Φαιακικοῖς ὀνόμασιν ἐνδιέτριψεν. Ὅτι δὲ ὁ νῦν ἀριπρεπὴς, ἐκπρεπὴς ἐν Ἰλιάδι ἐγράφη, δῆλον. καὶ ὅτι ταυτὸν οὕτως ἢ οὕτως εἰπεῖν. διὰ τὸ καὶ τὴν ¯εκ πρόθεσιν ἐπίτασιν ποτὲ δηλοῦν καθάπερ καὶ τὸ ἀρ¯ι ἐπίρῥημα. ἐρεῖ δὲ μετ' ὀλίγα καὶ χηλὸν ἀριπρεπέα. (ῃερς. 391.) Τὸ δὲ κραίνουσι, παράγωγόν ἐστι τοῦ κρῶ, ἐξ οὗ καὶ ὁ κρείων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὁ εὐρυκρείων. ὡς γὰρ χῶ χαίνω. βῶ βαίνω. ῥῶ ῥαίνω. κῶ καίνω. σέω σῶ σαίνω, οὕτω καὶ κρῶ κραίνω. Τὸ δὲ τρισκαιδέκατος, διφορεῖται κατὰ τὴν ἄρχουσαν. καὶ ἡ μὲν διὰ τοῦ ¯ι γραφὴ κοινοτέρα μὲν, οὐκ εὐαπολόγητος δὲ, διὰ τὴν ἐξ ἐπιῤῥήματος καὶ ὀνόματος σύνθεσιν ἀσυνήθη οὖσαν καὶ ἔξω ἀναλογίας. ἡ δὲ διὰ διφθόγγου ἀναλογώτερον ἔχει. ὡς γὰρ ἐκ τοῦ τέσσαρες καὶ τοῦ δέκα, ὁ τεσσαρεσκαιδέκατος, ὁμοίως δὲ καὶ ἐπὶ ἄλλων τοιούτων, οὕτω καὶ ἐκ τοῦ τρεῖς καὶ τοῦ δέκα, ὁ τρεισκαίδεκα. ὅθεν ὁ τρεῖς καὶ δέκατος. εἰ δὲ διὰ τοῦ ¯ι γράφεται ὁ τρισκαίδεκα καὶ ὁ τρισκαιδέκατος ὡς ἐκ τοῦ τρὶς ἐπιῤῥήματος, ὥρα λοιπὸν καὶ τετρακισκαιδέκατον λέγειν τὸν τεσσαρεσκαιδέκατον. καὶ τὰ ἐφεξῆς δὲ οὕτω κατὰ ὁμοίαν ἔφοδον. ἀλλὰ τοῦτο μὲν ἐς τοσοῦτον διὰ τοὺς πολλούς. ὁ δὲ Ἀλκίνοος οὐκ ἂν ἐλάττων εἴη τῶν ἄλλων ὡς τρισκαιδέκατον ἑαυτὸν ἀριθμήσας κατὰ μετριότητα ἐπιεικῆ. ἄλλως γὰρ ἔγνωσται ὡς ἐξ αὐτοῦ πᾶν ἔργον ἔπος τε ἤρτηται. διὸ καὶ εἰς τὸν αὐτοῦ οἶκον οἱ λοιποὶ συνάγονται καὶ οἷς λέγει πείθονται. καὶ τὰ δῶρα πάντα κελεύσαντος φέρονται ἤγουν φέρουσιν ἀολλέα κατὰ τὸ, φερώμεθα πάντα. ὄφρα, φησὶν, ἐν χερσὶ ξεῖνος ἔχων ἐπὶ δόρπον ἴῃ χαίρων ἐνὶ θυμῷ. (ῃερς. 423.) ὁ δ' αὐτὸς ἐπιτάσσει καὶ τῇ γυναικὶ Ἀρήτῃ μετ' ὀλίγα, (ῃερς. 423.) οὕτω. δεῦρο γύναι φέρε χηλὸν ἀριπρεπέα ἥτις ἀρίστη, ἐν δ' αὐτῇ θὲς φᾶρος ἐϋπλυνὲς 1.307 ἠδὲ χιτῶνα. καὶ ἐκείνη εὐθὺς ξείνῳ περικαλλέα χηλὸν ἐξέφερε θαλάμοιο. τίθει δ' ἐνὶ κάλλιμα δῶρα, ἐσθῆτα χρυσόν τε. τά οἱ Φαίηκες ἔδωκαν. (ῃερς. 441.) ἐν δ' αὐτῇ φᾶρος θῆκε καλόν τε χιτῶνα. ἐνθεμένη δηλαδὴ καὶ αὐτὰ, ὡς δῶρον οἰκεῖον. καὶ οὕτω ποιήσασα φησὶ πρὸς Ὀδυσσέα. (ῃερς. 443.) αὐτὸς νῦν ἴδε πῶμα ὅ ἐστι τὸ σκέπασμα τῆς χηλοῦ. θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον. μήτις καθ' ὁδὸν δηλήσεται, ὁπότ' ἂν εὕδῃσθα γλυκὺν ὕπνον ἰὼν ἐν νηῒ μελαίνῃ. ἀκούσας δὲ Ὀδυσσεὺς, αὐτίκα ἐπήρτυε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλε ποικίλον. ὅν ποτέ μιν (ῃερς. 448.) δέδαε φρεσὶ πότνια Κίρκη. τουτέστιν ἐδίδαξεν. ὥς που καὶ ἐν Ἰλιάδι Ἄρτεμις δέδαέ τινα κυνηγετεῖν. ἀσφαλὴς δὲ ὡς εἰκὸς ἦν ὁ τοιοῦτος δεσμός. καὶ δύναται καὶ εἰς παροιμίαν κεῖσθαι ὁ τοῦ Ὀδυσσέως δεσμὸς, ἐπὶ τῶν σφραγιζομένων ἀσφαλῶς. παλαιὸν δέ φασιν ἔθος ἦν, κατασφαλίζεσθαι δεσμοῖς. ἡ κλεὶς γὰρ, νεωτέρων. καὶ Λακώνων εὕρημα. καὶ ἔστιν ἀσφαλέστερον δεσμοῦ ποικίλου, τὸ κλειδίον. καὶ μάλιστα τὸ κακοηθέστατον. ὃ μισοῦσιν αἱ παρὰ τῷ κωμικῷ δειπνολόχοι γυναῖκες. (ῃερς. 395.) Ὅρα δὲ ὡς πάνυ ἐφολκὸν ἡ τῆς ἐλπίδος ἔκβασις. διὸ καὶ ὁ βασιλεὺς Ἀλκίνοος οὐκ ἀφίησι τὸν ξένον ἐλπίζειν, ἀλλ' εἰς ὄψιν ἄγει τὰ δῶρα ἵνα ἰδὼν χαίρῃ. (ῃερς. 393.) Τὸ δὲ ἐνεῖκε καὶ τὸ ἐνείκατε καὶ τὰ τοιαῦτα, δίχα μὲν προθέσεως, ἐπὶ τοῦ φέρειν καὶ κομίζειν λέγεται. μετὰ δὲ προθέσεων γίνονταί τινες ἐν τούτοις διαφοραί. οἷον. συνενεγκεῖν μὲν λέγεται, τὸ λυσιτελεῖν. συνδιενεγκεῖν δὲ, τὸ συνδιαβαστάσαι φορτίον ἢ καὶ φροντίδα τινά. διενεγκεῖν δὲ, τὸ διαφέρειν. περιενεγκεῖν δὲ, τὸ κύκλῳ ἀγαγεῖν. μετενεγκεῖν δὲ, τὸ μετακομίσαι. παρενεγκεῖν δὲ, τὸ παραγαγεῖν. τὸ δ' αὐτὸ καὶ ἐπαγαγεῖν. ὑπενεγκεῖν δὲ, τὸ ὑπομεῖναι. ὑπερενεγκεῖν δὲ, τὸ ὑπερτερῆσαι καὶ ὑπέρθεν φέρεσθαι. εἰσενεγκεῖν δὲ, τὸ εἴσω ἀγαγεῖν. οὗ ἀνάπαλιν τὸ ἐξενεγκεῖν. τὸ μέντοι ἀνενεγκεῖν, ἔχει πλείω τινὰ διατριβήν. ὅτι μὲν γὰρ ἀνενεγκεῖν λέγεται καὶ τὸ ἀναγαγεῖν τι καὶ τὸ ἀναβῆναι, δηλοῖ τὸ, εἰς τὸ κωρύκιον ἀνενείκαντο, ἤγουν ἀνέβησαν. καὶ τὸ, ἐς σπάρτην ἀνενείκαντο καὶ αὐτοὶ ἀνέβησαν. Ὅτι δὲ καὶ ἀντὶ τοῦ ἀνέπνευσε κεῖται κατὰ Παυσανίαν, δηλοῖ Θεόπομπος. εἰπών. ἄφωνος ἐγένετο. ἔπειτα μέντοι πάλιν ἀνηνέχθη. καὶ Ἡρόδοτος. ἐκπλαγεὶς δὲ τούτοισιν, ἐπὶ χρόνον ἄφθογγος ἦν. μόγις δέ τε ἀνενεχθεὶς, εἶπε. καὶ πάλιν. ἀνενεγκάμενόν τε καὶ ἀναστενάξαντα ἐκ πολλῆς ἡσυχίας. κατὰ ταυτὸν τῷ, μνησάμενος δ' ἀνενείκατο φώνησέν τε. οἱονεὶ ἀνέπνευσε καὶ ἀνεστέναξε. λέγεται δέ τις καὶ ἐκ νόσου ἀνενεγκεῖν, καὶ ἐκ παραφροσύνης. ὃ καὶ ἀναφέρειν λέγεται. ἡ δὲ ἐν τῷ ἀνενείκατο ἀνηνέγκατο τροπὴ τοῦ ¯ι εἰς ¯ν, καὶ ἐπὶ ἄλλων ἐφάνη γίνεσθαι. ὡς καὶ ἐπὶ τοῦ αἰεὶ αἰέν. φαεινὸν φαεννόν. κλεεινὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κλεεννόν. οὕτω δὲ καὶ ἐπὶ τοῦ κτείνω κτέννω. οὗ χρῆσις καὶ ἐν τῷ, τὸ παλαιὸν λύκους ἀπέκτεννον ἐν τῇ Ἀττικῇ καὶ, νόμος ἦν λυκοκτοννεῖν. καὶ τῷ κτείναντι μὲν τέκνον λύκου τάλαντον δίδοσθαι. τῷ δὲ τέλειον, δύο. (ῥερς. 424.) Ἡ δὲ χηλὸς ὅτι καὶ λάρναξ λέγεται κατὰ πολυωνυμίαν καὶ κιβωτὸς, δεδήλωται καὶ ἀλλαχοῦ. οἱ δὲ παλαιοὶ φασὶ καὶ ὅτι ζύγαστρον, ἡ κιβωτός. καὶ ζυγῶσαι, τὸ συναρμόσαι. καὶ κεῖται ἡ τοῦ ζυγάστρου λέξις καὶ παρὰ Λυκόφρονι. ἕτεροι δέ φασιν, ὅτι ξυλίνη σορὸς τὸ ζύγαστρον, παρὰ τὸ ζυγῶσθαι, δόξοι δ' ἂν ἴσως ἐκ τῆς κατὰ Λατίνους χρήσεως ἧς πολλοὶ πεπείρανται μὴ ἐξανάγκης ξύλινον εἶναι τὸ ζύγαστρον, ἀλλὰ καὶ τὸ κατὰ παραφθορὰν λεγόμενον σίγιστρον, καλούμενον ἴσως οὕτω, διὰ τὸ κατὰ ζυγοῦ ἰσότητα φορτίζεσθαι. δοχεῖον ὂν καὶ αὐτὸ, κρυπτικὸν τῶν ἔσω. πολλὰ δὲ καὶ ἄλλα τῶν πάλαι χρηστῶν λεκτῶν παρέφθαρται. ὧν ἔστι καὶ τὸ ἰδιωτικῶς λεγόμενον σπαρτζίον. σπαρτίον ὀφεῖλον λέγεσθαι κατὰ τὴν ἀνέκαθεν χρείαν. εὑρέθη γάρ ποτε τοῖς λουομένοις, ἀντὶ σπόγγων πλέγμα τι ἀπὸ σπάρτων ὡς εἰκός. καὶ λέγεται Ἀριστοφάνης παραδηλοῦν αὐτὸ, ἐν δράματι καλουμένῳ ἀναγύρῳ. (ῥερς. 440.) Τὸ δὲ ἥτις ἀρίστη, ἐφερμηνευτικόν ἐστι τοῦ ἀριπρεπέα, ὥσπερ καὶ τὸ περικαλλέα. Ἐσθῆτα δὲ, ἑνικῶς καὶ νῦν, τὰ πολλὰ περιβλήματα λέγει τὰ ἐκ τῶν βασιλέων δηλαδή. (ῥερς. 441.) Τὸ δὲ καλόν τε χιτῶνα. ὅμοιόν ἐστιν ὡς εἰ καὶ εὔπλυνῆ καὶ αὐτὸν εἶπε. (ῥερς. 443.) Τὸ δὲ ἐπὶ δεσμὸν ἴηλον, τέτραπται καὶ αὐτὸ κατὰ τὸ ἐπὶ χεῖρας ἴηλαν. (ῥερς. 444) Τὸ δὲ δηλήσεται, εὐφήμως εἶπεν ἐπὶ κλοπῆς. (ῥερς. 445.) Τὸ δὲ γλυκὺν ὕπνον, παραμυθεῖται τὸν Ὀδυσσέα εἴπερ ἀπόνως οὕτω καὶ ἀνεπαισθήτως πλευσεῖται εἰς Ἰθάκην. Ἰστέον δὲ ὡς ἐντεῦθεν οἱ παλαιοὶ ἐμυθεύσαντο, καὶ ὕπνου δοτεῖρας εἶναι τὰς τῶν Φαιάκων νῆας. καὶ τὸν ὕπνον πλεούσαις αὐταῖς συμπαρομαρτεῖν. (ῥερς. 447.) Ἐπαρτύειν δὲ πῶμα, τὸ συναρμόττειν. καὶ ἔστιν ἀρετὴ πώματος τὸ συναρηρέναι. καὶ οὕτως ἂν εἴη καὶ ὁ τῆς χηλοῦ δεσμὸς ἀσφαλής. Ἰστέον 1.308 δὲ ὅτι τε τὸ πῶμα, καὶ ἐπίθημα λέγεται. καὶ ὅτι ἐπίθημα ταυτόν δ' εἰπεῖν πῶμα οὐ μόνον τραπέζης καὶ κιβωτοῦ, ἀλλὰ καὶ χύτρας. ὡς δηλοῖ μάγειρος εἰπών. ὅταν ἐν περιδείπνῳ τυγχάνω διακονῶν, τοὐπίθημα τῆς χύτρας ἀφελὼν, ἐποίησα τοὺς δακρύοντας γελᾶν. (ῥερς. 448.) Τὸ δὲ δέδαε φρεσὶ, δαΐφρονα συνθέτως βούλεται καὶ τὴν Κίρκην εἶναι. ὅθεν καὶ διδάσκαλος ποικίλου δεσμοῦ τῷ ποικιλόφρονι γίνεται Ὀδυσσεῖ. (ῥερς. 430.) Ἐν τούτοις δὲ, ὁ Ἀλκίνοος ἐμφαίνει καὶ τὸ ποσὸν τοῦ ταλάντου μὴ εἶναι πολύ. ἑκάστου γὰρ τῶν ἄλλων βασιλέων τάλαντον δωρησαμένου, αὐτὸς χρύσεον δίδωσιν ἄλεισον. φησὶ γάρ. καί οἱ ἐγὼ τόδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσω χρύσεον. ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα, (ῥερς. 432.) σπένδῃ ἐν μεγάρῳ. τοῦτο δὲ σεμνῶς εἶπε. σπένδειν γὰρ δίδωσιν, ἵνα μὴ δόξῃ προσονειδίζειν τῷ ξένῳ τὸ οἰνοποτεῖν. καὶ νῦν μὲν, ποτήριον σεμνολογεῖται ὡς χρηστὸν μὴ πίνειν ἐξ αὐτοῦ ἀλλὰ σπένδειν. ἡ δὲ γραῦς Ἑκάβη ἐν Ἰλιάδι οἶνον δίδωσι τῷ υἱῷ, οὐχ' ἵνα πίῃ ἀλλὰ σπείσῃ τῷ Διΐ. (ῥερς. 430.) Περικαλλὲς δὲ τὸ ἄλεισον λέγει, καθὰ καὶ τὰ τῶν βασιλέων δῶρα περικαλλέα φησὶν, ὧν φύλαξ ἡ Ἀρήτη. φησὶ γάρ. μητρὶ παρ' αἰδοίῃ ἔθεσαν περικαλλέα δῶρα τὰ καὶ κάλλιμα, οἱ τοῦ βασιλέως παῖδες. (ῥερς. 4.) Καὶ ὅρα τὸ, παρ' αἰδοίῃ ἔθησαν ὅ ἐστι παρέθεντο. ἀφ' οὗ καὶ ἡ παραθήκη συνετέθη μεθ' Ὅμηρον. (ῥερς. 431.) Τὸ δὲ μεμνημένος ἤματα πάντα, τὸ τέλος ἐμφαίνει τοῦ εὐεργετεῖν, ὅ πέρ ἐστιν ἡ διηνεκὴς ἐσύστερον μνήμη. διὰ μακροῦ γὰρ καὶ οὕτως ἡ χάρις κατὰ τὸν τραγικόν. (ῥερς. 399.) Κήρυκα δὲ πέμπει ἕκαστος οἴσειν τὰ δῶρα, ἐπεὶ καὶ ἕκαστος τῶν δεκατριῶν, ἀριπρεπὴς ἐλέχθη βασιλεύς. πάντως δὲ, βασιλικοὶ οἱ κήρυκες. (ῥερς. 396.) Ὅτι τοῦ Φαίακος Εὐρυάλου λυπήσαντος ἤδη τὸν Ὀδυσσέα ὡς προδεδήλωται, μέσος πεσὼν ὁ βασιλεὺς, εἰς φιλίαν συνάγει αὐτούς. εἰπών. Εὐρύαλος δὲ αὐτὸν ἀρεσάσθω ἐπέεσσι καὶ δώρῳ. ἔπεσι μὲν, ὡς λόγοις ὀνειδιστικοῖς λυπήσας. (ῥερς. 397.) δώροις δὲ, ὡς οἷον κατά τινα ποινήν. ἐπεὶ οὔτι ἔπος κατὰ μοῖραν ἔειπε. καὶ ὁ Εὐρύαλος πεισθεὶς, ποιεῖ ἀμφότερα. καὶ ἀρέσεσθαι εἰπὼν τὸν ξένον καὶ δώσειν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οἱ τόδ' ἄορ παγχάλκεον, ᾧ ἔπι κώπη ἀργυρέη, κολεὸν δὲ νεοπρίτου ἐλέφαντος ἀμφιδεδίνηται πολέος δέ οἱ ἄξιον ἔσται, τίθησιν ἐν χερσὶν Ὀδυσσέως, ξίφος ἀργυρόηλον. καὶ χαῖρε φησὶ πάτερ ὦ ξεῖνε, (ηερς. 408.) ἔπος δ' εἴ πέρ τι βέβακται δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι. ὃ δὴ πᾶς εἴπῃ ἂν, ὁ μετὰ ὕβρεις φιλούμενος γηραιῷ ἐνδόξῳ τινί. εἶτα καὶ εὐφήμως ἐπεύχεται τῷ Ὀδυσσεῖ, τὰ ἑαυτοῦ ἰδεῖν. καὶ Ὀδυσσεὺς εἰπὼν φιλοφρόνως, καὶ σὺ φίλος μάλα χαῖρε θεὸς δέ τοι ὄλβια δοίη, ἐπάγει. (ηερς. 414.) μηδέτι τοι ξίφεός γε ποθὴ μετόπισθε γένοιτο τούτου, ὃ δή μοι δῶκας ἀρεσσάμενος ἐπέεσσι. τοῦτο δὲ πρὸς ἀποτροπιασμὸν ἐῤῥέθη, μὴ καὶ ἐπὶ κακῷ ἡ τοῦ ξίφους δόσις ἀποβαίη δυστυχῶς. εὔχεται γὰρ Ὀδυσσεὺς μὴ δεηθῆναί ποτε τοῦ ξίφους τούτου, ἀλλ' ἀπόθετον φυλάξειν αὐτό. (ηερς. 416.) νῦν μέν τοι, ἀμφ' ὤμοις αὐτὸ τίθησι κατὰ τὸ πολλαχοῦ φανὲν Ἑλληνικὸν ἔθος. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ξίφους οὐ μόνον διαξιφίζεσθαι τὸ πολεμεῖν ὡς παρὰ τῷ κωμικῷ, οἷον Μήδοισι διεξιφίσω, ἀλλὰ καὶ ξιφίζειν τὸ χειροτονεῖν, παραπλήσιον φασὶ ξίφει τὸ τῆς χειρὸς σχῆμα ποιοῦντα. καὶ ξιφισμὸς, σχῆμα φασὶν ἐμμελείας. (ηερς. 403.) Ἔστι δὲ κἀνταῦθα ὑπιδέσθαι τὴν Φαιακικὴν τερατολογίαν. οἱ γὰρ μὴ δεδιότες δηϊοτῆτα καὶ οἷς οὐ μέλει τὰ πολεμικὰ, φαίνονται ἰδοὺ ὡς ἐκ τοῦ Εὐρυάλου, καὶ ὅπλοις χρώμενοι. εἰ καὶ μὴ βιός ἐστιν αὐτῷ μὴ δὲ φαρέτρα ἅπερ ἀπέφησεν ἡ Ναυσικάα. (ηερς. 402.) Ἀρέσασθαι δὲ, τὸ φιλικῶς θεραπεῦσαι ἤγουν φιλοφρονήσασθαι. ὅθεν καὶ ἐρίηρες οἱ πρὸς φιλίαν ἡρμοσμένοι ἑταῖροι. καὶ ἀρθμὸς ἡ φιλία. καιρίᾳ δὲ οὔσῃ τῇ λέξει ὅσον εἰς ποίησιν, τρεῖς ἐν τοῖς ῥηθεῖσιν ἐχρήσατο ὁ ποιητής. συντάσσεται δὲ μετὰ αἰτιατικῆς, ὡς δηλοῖ τὸ, αὐτὸν ἀρεσσάσθω. καὶ, τὸν ξεῖνον ἀρέσσομαι. (ηερς. 404.) Οὐδετέρως δὲ κἀνταῦθα τὸ κολεόν. ὃ κοινότερον, κουλεὸν λέγεται μετὰ τοῦ ¯υ. (ηερς. 405.) Τὸ δὲ ἀμφιδεδίνηται, ἀντὶ τοῦ, κύκλῳ περιθέει. οὐ μέντοι τετόρευται κατὰ τὸν κυρίως δῖνον. οὐ γάρ ἐστιν ἐσφαιρῶσθαι ξίφους θήκην κυλινδροειδῶς. λαμπρὸν δὲ τὸ ξίφος καὶ πολλοῦ ἄξιον, ὡς ἡ ἔκφρασις δηλοῖ. (ηερς. 408.) Βέβακται δὲ, οὐχ' ἁπλῶς ἁπλῶς ἀντὶ τοῦ εἴρηται, ἀλλὰ κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ πεφλυάρηται, ἀπὸ τοῦ βάζω. ἐξ οὗ καὶ ὁ παρὰ Λυκόφρονι βάβαξ γίνεται. (ηερς. 409.) Τὸ δὲ ἀναρπάξασαι ἄελλαι, ἀστείως ἔχει. ὡς τοῦ προφορικοῦ λόγου εἰς ἀέρα χεομένου τὸν ἐν τῇ φωνῇ πληττόμενον. (ηερς. 410.) Ὅτι ἔστι ποτὲ πρὸς πολυπλάνητον ξένον ῥηθῆναι πρός τινος τὸ, σοὶ δὲ θεὸς ἄλοχόν τ' ἰδέειν καὶ πατρίδ' ἱκέσθαι δοίη, ἐπειδὴ δηθὰ φίλων ἄπο πήματα 1.309 πάσχεις. (ηερς. 426.) Ὅτι λουστικῆς παρασκευῆς φράσις τὸ, ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ. καὶ τὸ, ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν ὅττι τάχιστα. καὶ τὸ, αἱ δὲ λοετροχόον τρίποδ' ἔστασαν ἐν πυρὶ κηλέῳ. ἐν δ' ἂρ ὕδωρ χεῦαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλοῦσαι. γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε. (ηερς. 437.) θέρμετο δ' ὕδωρ. ἔστι δὲ τὸ θέρμω πρωτότυπον τοῦ θερμαίνω. (ηερς. 326.) Χαλκὸς δὲ ἰαίνεται, ἀντὶ τοῦ θερμαίνεται, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται. διὸ καὶ χαλκοῦ ἰαινομένου θέρμεται τὸ ὕδωρ. (ηερς. 434.) Ὁ δὲ τρίπους καὶ τιβὴν παρά τε Λυκόφρονι καὶ ἄλλοις λέγεται. ὡς οἱονεὶ τριβὴν ὅ ἐστι τρεῖς βάσεις ἔχων. (ηερς. 435.) Πῦρ δὲ κήλειον, τὸ καυστικόν. καὶ ἀποβολῇ τοῦ ¯ι κήλεον, ὁμοίως τῷ τέλειον τέλεον. (ηερς. 436.) Ξύλα δὲ ὑποδαίειν, τὸ ὑποκάτω τρίποδος ἀνακαίειν. ἐκ δὲ τῆς ἐννοίας ταύτης ξύλα δανὰ καὶ κάγκανα, τὰ εἰς τὸ δαίεσθαι καὶ καίεσθαι ἐπιτήδεια. Γάστρη δὲ τρίποδος, ὁ πυθμήν. παρηγμένη καθ' ὁμοιότητα τοῦ πάτρη καὶ μίτρη. (ηερς. 437.) Ὅτι καινόν τι σχῆμα καὶ τὸ, (ηερς. 429.) δαιτί τε τέρπηται καὶ ἀοιδῆς ὕμνον ἀκούων. ἦν γὰρ εἰπεῖν, δαιτί τε τέρπηται καὶ ἀοιδῇ. ὁ δὲ ποιητὴς καινοτέρον κατὰ περίφρασιν ἐσχημάτισεν. Ὕμνον δὲ ἀοιδῆς περιφραστικῶς τὴν ᾠδὴν λέγει. ἐξ οὗ λαβὼν καὶ Πίνδαρος ὁμοίως φράζει πολλαχοῦ. (ηερς. 449.) Ὅτι ἐν τῷ, αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγεν, οἱ μὲν αὐτόδιον φασὶν ἀντὶ τοῦ παραχρῆμα, ἐξ αὐτῆς ὁδοῦ, οὐκ ἀλλαχοῦ που χωρισθέντα, οἱ δὲ ἀντὶ τοῦ, αὐτοδίως ἤγουν αὐτίκα μετὰ τὸ δῆσαι τὴν κιβωτόν. ἔδησε γὰρ ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προεδηλώθη τὴν χηλὸν μή πως οἱ ξένοι ἐπιβουλεύσωσι λύσαντες καθά ποτε καὶ οἱ ἑταῖροι τὸν τοῦ ἀσκοῦ δεσμὸν περὶ ὃν οἱ ἄνεμοι ἐγκεκλεισμένοι ἦσαν. Ἅπαξ δὲ εἴρηται καὶ ἡ λέξις αὕτη. καὶ εἴπερ δηλοῖ τὸ ἐξ αὐτῆς ὁδοῦ, Ἰωνικῶς ἐγράφη καθὰ καὶ τὸ ἐπίστιον, καὶ ὁ ἀπηλιώτης. καὶ λοιπὰ τὰ προγραφέντα. ἄλλως γὰρ αὐθόδιον κοινῶς γραφῆναι ὤφειλεν. (ῃερς. 450.) Ὅτι ἀσπασίως ἴδε θυμῷ θερμὰ λοετρὰ Ὀδυσσεὺς, ἐπεὶ οὔτι κομιζόμενός γε θάμιζεν ἐπειδὴ λίπε δῶμα Καλυψοῦς. τόφρα δέ οἱ κομιδή γε θεῷ ὣς ἔμπεδος ἦεν. Ἡδέα δὲ καὶ μάλιστα τοῖς ἐκ καμάτου τὰ θερμὰ λοετρὰ, καθὰ δηλοῖ καὶ τὰ Ἡράκλεια λουτρὰ, θερμὰ ὄντα κατὰ τὸν κωμικὸν, οἷς ὁ πολύτλας Ἡρακλῆς ἔχαιρε. (ῃερς. 451.) Τὸ δὲ κομιζόμενος, ἀντὶ τοῦ κομιδὴν ἔχων καὶ ἐπιμέλειαν, διὸ ἐπάγει. τόφρα δέ οἱ κομιδή, ἤγουν ἕως ἦν παρὰ τῇ Καλυψοῖ. (ῃερς. 453.) Θαμίζειν δὲ, τὸ ἁπλῶς ἔργῳ τινὶ συχνάκις παρεῖναι. διδασκάλοις τε γοῦν θαμίζει τις, καὶ θερμοῖς λοετροῖς, καὶ νηΐ, καὶ ἑτέροις ἔργοις οἷς χαίρει. Τὸ δὲ θεῷ ὣς, ἀλληγορικῶς ὑποβάλλει νοεῖν οἵαν ἀθανασίαν ἡ σωματικὴ Καλυψὼ τῷ φιλοσόφῳ ὑπισχνεῖτο Ὀδυσσεῖ, τὴν σωματικὴν δηλαδὴ ἄνοσον εὐκτικὴν ἐπιμέλειαν ὡς καὶ πρὸ ὀλίγων δεδήλωται. (ῃερς. 456.) Ὅτι τοὺς συμποσιαστὰς ἄνδρας οἰνοποτῆρας λέγει, τὴν δὲ περικαλλῆ Ναυσικάαν, (ῃερς. 457.) θεῶν ἄπο κάλλος ἔχουσαν, διὰ τὸ θεόσδοτον καὶ τὸ κάλλος εἶναι. κατὰ τὸ, οὔτοι ἀπόβλητα θεῶν ἐρικυδέα δῶρα. (ῃερς. 458.) Ὅτι παραστᾶσα τῷ συμποσίῳ ἡ βασιλικὴ κόρη κατ' ἔθος ἀρχαῖον τὸ καὶ προδηλωθὲν θαύμαζεν Ὀδυσσῆα ἐν ὀφθαλμοῖσιν ὁρῶσα, καὶ χαῖρε ξεῖνε εἶπεν. ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίῃ μνήσῃ ἐμοῖο ὅτι μοι (ῃερς. 462.) πρώτῃ ζωάγρια ὀφέλλεις, ἀνθ' οὗ σε δηλαδὴ ζωὴν ἀγεῖραι τουτέστιν ἀθροῖσαι πεποίηκα. αὐτὴ γὰρ ὀλιγοδρανέοντα τὸν Ὀδυσσέα περιεσώσατο, ζωὴν ὀλιγηπελέοντι αὐτῷ ἀγείρασα, ὃ καὶ θυμὸν ἀγείρειν λέγεται. ὅθεν καὶ ὁ θυμηγερέων. καὶ ἔστιν ἄλλο τοῦτο ζωάγριον παρὰ τὸ ἐν πολέμῳ, ὃ γίνεται παρὰ τὸ ζῶντας τινὰς ἀγρεύεσθαι. καὶ οὕτω μὲν ἡ κόρη. (ῃερς. 467.) Ὀδυσσεὺς δὲ ὑπεραναβαίνων τὴν αὐτῆς ἀξίωσιν ὡς θεῷ αὐτῇ εὔχεσθαι φησὶ οἴκοι ἐλθών. εἰπών. (ῃερς. 468.) οὕτω νῦν θεὸς θείη, οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι. τῷ κέν τοι κἀκεῖθι θεῷ ὣς εὐχετοῴμην αἰεὶ ἤματα πάντα, σὺ γάρ με βιώσαο κούρη. ἤγουν ζῆν πεποίηκας. καὶ ὡς δεξιῶς κολακεύει καὶ νῦν ὁ ἥρως τὴν κόρην. εἰ γὰρ καὶ τὰ μέγιστα συνεβάλετο, ἀλλ' οὐκ ἐβιώσατο τὸν Ὀδυσσέα αὐτή. (ῃερς. 462.) Ὅρα δὲ κἀνταῦθα τὸ, μνήσῃ ἐμεῖο, ὡς τῆς εἰσέπειτα διηνεκοῦς ἀγαθῆς μνήμης ἐφετῆς οὔσης καὶ παρὰ τοῖς Φαίαξιν ὡς καὶ προδεδήλωται. (ῃερς. 466.) Τὸ δὲ οἴκαδε ἐλθεῖν καὶ νόστιμον ἦμαρ ἰδεῖν τῆς αὐτῆς σημασίας εἰσίν. ὥσπερ καὶ τὸ αἰεὶ καὶ τὸ ἤματα πάντα. (ῃερς. 467.) Τοῦ δὲ εὐχετοῴμην οὗ ἡ κλίσις κατὰ τὸ, βοαοίμην βοῴμην, τὸ θέμα εὐχετάω εὐχετῶ. ἀφ' οὗ εὐχετῴμην, καὶ πλεονασμῷ τοῦ ¯ο μικροῦ, εὐχετοῴμην. τοιοῦτον δέ που καὶ τὸ ὁράοιτε ὁρῷτε, καὶ ἐπενθέσει τοῦ ¯ο ὁρόῳτε ἀντὶ τοῦ, βλέποιτε. (ῃερς. 468.) Ὅρα δὲ καὶ τὸ, σύ με βιώσαο κούρη, ἀλλοπαθῶς ῥηθὲν ἀντὶ τοῦ, ἔζησάς με, ἤγουν ζῆν με πεποίηκας, (ῃερς. 470.) Ὅτι εἰλαπινατικὸν τὸ, οἵδ' 1.310 ἤδη μοίρας ἔνεμον, κερόωντό τε οἶνον. Καὶ ὅρα ὅτι μοίρας τὰς μερίδας φησὶ, κοινότερον γράψας. (ῃερς. 477.) Ὅτι μέλλων Ὀδυσσεὺς προκαλέσασθαι τὸν Δημόδοκον εἰς ἀοιδὴν φίλην αὐτῷ δεξιοῦται πρῶτον, ᾧπερ εἶχε δώρῳ ἐκ τῆς δαιτός. καὶ ἐπαινεῖ δέ. εἶτα καὶ ἀξιοῖ ᾄδειν. φησὶ γοῦν ὁ ποιητὴς οὕτω. δὴ τότε κήρυκα προσέφη πολύμητις Ὀδυσσεὺς, νώτου ἀποπροταμὼν ἐπὶ δὲ πλεῖον ἐλέλειπτο ἀργιόδοντος ὑός. θαλερὴ δ' ἦν ἀμφὶς ἀλοιφή. κῆρυξ, τῇ δὴ τοῦτο πόρε κρέας ὄφρα φάγῃσι, Δημοδόκῳ. καί μιν προσπτύξομαι ἀχνύμενός περ. (ῃερς. 479.) πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ τιμῆς ἔμμοροί εἰσι καὶ αἰδοῦς, οὕνεκ' ἄρα σφέας οἴμας Μοῦσ' ἐδίδαξε, φίλησε δὲ φῦλον ἀοιδῶν. ἃ δὴ πάντως διαβαίνει καὶ εἰς Ὅμηρον, ὡς εἶναι καὶ αὐτὸν Μούσαις τε φίλον καὶ μουσοδίδακτον καὶ αἰδοῖον, καὶ ἐπὶ τυχῇ τιμῆς ὅ ἐστι τίμιον. (ῃερς. 480.) τοῦτο γὰρ ὁ τιμῆς ἔμμορος. καὶ νῦν μὲν ταῦτα ὁ Ὁμηρικὸς ῥήτωρ Ὀδυσσεὺς ἔφη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς τὸν κήρυκα. (ηερς. 487.) μετ' ὀλίγα δὲ καὶ ἄλλως οὐ κατὰ κοινοῦ ἀλλ' ἰδικῶς ἐπαινῶν τὸν ἀοιδὸν Δημόδοκον ὃν καὶ λαοῖσι τετιμημένον ὁ ποιητὴς ἔφη οὐ μόνον Μούσης ὑποφήτην ἀλλὰ καὶ Ἀπόλλωνος λέγει, εἰπὼν πρὸς αὐτὸν ἐκεῖνον τὸν ἀοιδόν. Δημόδοκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων. ἢ σέ γε Μοῦσ' ἐδίδαξε Διὸς παῖς, ἢ σέ γ' Ἀπόλλων. λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις. ὅσσ' ἔρξαντ' ἔπαθόν τε, καὶ ὅσσ' ἐμόγησαν Ἀχαιοί. ὥστε που ἢ αὐτὸς παρεὼν, ἢ ἄλλου ἀκούσας. ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον δουρατέου. (ηερς. 493.) τὸν Ἐπειὸς ποίησε σὺν Ἀθήνῃ τουτέστι σὺν φρονήσει. ὅν ποτ' εἰς ἀκρόπολιν δόλον ἤγαγε δῖος Ὀδυσσεὺς, ἀνδρῶν ἐμπλήσας οἳ Ἴλιον ἐξαλάπαξαν. αἴ κεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς, αὐτίκα καὶ πᾶσι μυθήσομαι ἀνθρώποισιν, ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν. (ηερς. 498.) Δῆλον δ' ὡς ἑαυτὸν ἐνοπτρίζει ὁ ποιητὴς καὶ ἐν τούτοις, ὃς θεῖος ἀοιδὸς εἶναι δοκεῖ. ὡς καὶ αὐτὸς ἐκ Μουσῶν καὶ Ἀπόλλωνος ᾄδων ἐκεῖνα οἷς οὔτε αὐτὸς παρῆν, οὔτε ἄλλου ἀνθρώπου παρατυχόντος ἤκουσεν εἰς τὸ πᾶν, ἀλλὰ μικραῖς τισὶν ἱστορίαις παρακολουθήσας ἢ καὶ τὸ πᾶν ἐκ Μούσης μαθὼν μεγάλα ἔγραψε. διασκευάσας τὰ πολλὰ πλάσμασι πιθανοῖς. Καὶ τοιαῦτα μὲν ταῦτα τῷ Ὀδυσσεῖ, μερίσαντι νόημα ἓν πρός τε τὸν κήρυκα καὶ πρὸς τὸν Δημόδοκον, ταμιευσαμένῳ δὲ τὰ καιριώτερα εἰς τὸν Δημόδοκον τεχνικῶς. Νώτου δὲ Ὀδυσσεὺς ἀποπροτέμνει, τοῦ αὐτῷ δηλαδὴ παρατεθειμένου βασιλικώτερον, ὁποῖα πολλαχοῦ φαίνεται, καθὰ καὶ ἡ Ἰλιὰς ἐδήλωσεν. ἐν ᾗ καὶ ὁ μέγας Αἴας νώτοισί που διηνεκέεσσι γεραίρεται. (ηερς. 475.) Ὅτι δὲ οὐ νῶτα μόνον ἀλλὰ καὶ μηρὰ ἦν περισπούδαστα δηλοῖ φασὶ Ποσειδώνιος, γράψας ὅτι ἔν τισι μερισμοῖς τὸ μηρίον ὁ κράτιστος ἐλάμβανεν. εἰ δέ τις ὕστερον ἀντιποιήσαιτο, συνίσταντο μονομαχήσοντες ἄχρι θανάτου. Τὸ δὲ πλεῖον αὐτῷ λείπεται καθὰ καὶ ἔδει, βιωτικώτερον. ἦν δέ φασι παλαιὸν ἔθος, ἕκαστον ἀπὸ τῆς αὑτοῦ μοίρας δωρεῖσθαι οἷς ἐβούλετο. δοκεῖ δὲ τὸ τοιοῦτον Ὁμηρικὸν χωρίον ἀφορμὴ γενέσθαι τοῦ εἰπεῖν ὡς χρὴ καί τι δῶρον λαμβάνειν τοὺς μουσικοὺς καὶ καλῶς δὲ ἀκούειν ἐφ' οἷς ᾄδουσι. διὸ κιθαρῳδός τις ἐν Ῥόδῳ ἐπιδεικνύμενος, ἐπεὶ οὐδεὶς ἐπεσημήνατο, ἀπῆλθε τοῦ θεάτρου, εἰπών. ὅπου τὸ ἀδάπανον οὐ ποιεῖτε, πῶς ἐλπίζω παρ' ὑμῖν ἔρανον λήψεσθαι; (ηερς. 476.) Ἀλοιφὴ δὲ ἡ πιμελὴ, ἐκ τοῦ μετὰ σφαγὴν τέλους λέγεται. τότε γὰρ αὐτῇ χρώμεθα εἰς ἀλοιφήν. Θαλερὴ δὲ ἡ τοιαύτη, ὡς τῶν ἐχόντων αὐτὴν ζώων τοιούτων ὄντων. τὰ γὰρ ἀλιπέστερα φθίνειν ἔοικε. θαλερὴ τοίνυν, ἡ ἐνδεικτικὴ τοῦ θάλλειν τὸ ζῷον. ἢ καὶ ἡ μονιμωτέρα τῶν κρεάτων. (ηερς. 477.) Τὸ δὲ τῆ ἀντὶ τοῦ λάβε, ἀπὸ θέματος γίνεται τοῦ τῶ, ἀῤῥήτου ὄντος. ὡς καὶ ἀπὸ τοῦ δρῶ, τὸ δρᾶ ἀντὶ τοῦ πράττε. καὶ ἀπὸ τοῦ ζῶ, τὸ, ζῆ. προστακτικῶς καὶ αὐτὸ παρὰ Σοφοκλεῖ, ἐν τῷ. πλούτει τε γὰρ κατ' οἶκον εἰ βούλει μέγα, καὶ ζῆ. ἐξ οὗ δηλαδὴ τὸ ζῆθι γίνεται. Ἐκ δὲ τοῦ τοιούτου προστακτικοῦ καὶ ἡ τήθη γίνεται κατὰ τοὺς παλαιοὺς, ὡς λέγουσα τῷ βρέφει τῆ, θῆ. τουτέστι λάβε θήλασον. Τὸ δὲ ὄφρα φάγῃσιν, οὐκ ἀναγκαίως κεῖται, ἀλλ' ἀφελῶς οὕτω ῥηθὲν τὸ ἔπος ἀναπληροῖ. (ηερς. 478.) Τὸ δὲ προσπτύξομαι ἀντὶ τοῦ, ἁπλῶς φιλοφρονήσομαι εἴρηται. ἢ ἀντὶ τοῦ, φιλοτιμήσομαι. πολλαχοῦ δὲ ἡ λέξις αὕτη κεῖται καὶ ἐπὶ τοιούτου σημαινομένου. Τὸ δὲ τοὺς ἀοιδοὺς τιμίεντας καὶ αἰδοίους εἶναι ὧν ἐν τοῖς μάλιστα καὶ Ὅμηρος ἐδήλωσε μὲν καὶ ὁ τῆς Κλυταιμνήστρας φύλαξ ἀοιδός. δηλοποιήσει δέ που ἐν τοῖς ἑξῆς καὶ ὁ Φήμιος. (ηερς. 480.) Τὸ δὲ ἔμμοροι ἀντίκειται τῷ ἄμμοροι. ἑτεροιοῦνται δὲ πρὸς αὐτὰ οἱ κάμμοροι. Τὴν δὲ αἰδῶ εὐφυῶς τις ἐτυμολογήσας ἔφη ὅτι αἰδὼς ἡ μὲν καλὴ, παρὰ τὸ ἀεὶ τὸ δέον ἔχειν. ἡ δὲ κακὴ, παρὰ τὸ ἀεὶ ἐνδείας αἰτία εἶναι. καθ' ὃ καὶ εἴρηται τὸ, αἰδώς τοι πρὸς ἀνολβίῃ. 1.311 ὁ δὲ τοῦτο καινότερον γράψας ἐπέβαλεν ὁμοίως καὶ τῇ τοῦ πατρὸς ἐτυμολογίᾳ, οὕτω. πατὴρ θεὸς μὲν, ὡς τὸ πᾶν τηρῶν ἄνθρωπος δὲ, ὡς τοὺς παῖδας τηρῶν. (ηερς. 481.) Οἴμας δὲ καὶ νῦν τὰς ᾠδὰς λέγει. ὡς καὶ πρὸ ὀλίγων. Τὸ δὲ ἐφίλησε φῦλον ἀοιδῶν ὡς ἔχει τι παρηχήσεως, οὐκ ἄδηλόν ἐστιν. ὥσπερ καὶ μετ' ὀλίγα τὸ, Ἐποιὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐποίησε σὺν Ἀθήνῃ. (ῃερς. 474.) Σημείωσαι δὲ ὅτι δεξίωσίς τις ἐνταῦθα πρὸς τὸν Δημόδοκον ἡ δόσις τοῦ κρέατος, ὡς ἐν τοῖς ἑξῆς πρὸς Ἀρήτην ἡ δόσις τοῦ ποτηρίου. (ῃερς. 487.) Τὸ δὲ αἰνίζομαι καὶ ὁ ἥμισυς τῶν ἐνταῦθα στίχος οὗτος κεῖται καὶ ἐν Ἰλιάδι. (ῃερς. 488.) Τὸ δὲ ἢ Μοῦσα ἐδίδαξεν ἢ Ἀπόλλων, οὐ διὰ μόνην ποιητικὴν ἄλλως σοφίαν ἐῤῥέθη, ἀλλὰ καὶ διὰ τὸ κατ' Ἀπόλλωνα μαντικόν. τοιοῦτοι γὰρ οἱ ποιηταὶ ὡς ἐδηλώθη πολλαχοῦ, οἳ καὶ τοῖς μέλλουσι μαντικῶς ἐπιβάλλουσι. καὶ τὰ πρὸ αὐτῶν δὲ καὶ τὰ κατ' αὐτοὺς οἴδασι μήτε παρόντες αὐτοὶ μήτε ἀκούσαντες. καὶ οἴκοθεν εἰδότες ᾄδουσι, θεόθεν μαθόντες. ὡς δηλοῖ καὶ τὸ, ὅ δ' ὁρμηθεὶς θεοῦ, ἤρχετο. ἤγουν ὑπὸ θεοῦ κινηθείς. θυμόσοφος γὰρ καὶ αὐτοδίδακτος, ἢ θεόσοφος κατὰ τοὺς τοιούτους καὶ ὁ Δημόδοκος πλάττεται. ἃ δὴ πᾶσιν ἐνθεωρεῖσθαι τοῖς σοφοῖς ἀοιδοῖς ἀριδήλως ἐν τοῖς ἑξῆς που καὶ πάνυ σαφῶς ἅμα καὶ σεμνῶς δηλώσει ὁ Ἰθακήσιος Φήμιος. Καὶ σημείωσαι κἀνταῦθα τὸν τερατευόμενον ἐκτοπισμὸν τῆς τῶν Φαιάκων γῆς. αὐτοῦ γὰρ προσυποκειμένου, καλῶς ἂν νομίζοιτο Δημόδοκος πρὸς μηδενὸς μαθεῖν ἢ ἀκοῦσαι τὰ κατὰ τὸν Ὀδυσσέα. ὡς εἴγε μὴ ἐκτετόπισται κατὰ τὸ πλάσμα τῆς ποιήσεως ἡ τῶν Φαιάκων νῆσος ἀλλὰ πρὸς τῇ Ἠπείρῳ ἐστὶ καὶ αὐτὴ κατὰ τὴν ἄρτι φαινομένην Κέρκυραν, πῶς ἂν πιθανῶς ἔχοι νομίσαι τὸν σοφὸν Ὀδυσσέα ὡς ἀδίδακτος ὁ Δημόδοκος καὶ οὐδ' ἐξ ἀκοῆς ποθὲν παρέλαβε τὰ λεγόμενα, εἰκὸς ὂν, ἐκ τῶν πέριξ καὶ ἐγγυτάτω εἰδέναι αὐτά, καὶ ἄλλως οὐδὲ μακρὰν τῶν καθ' ἱστορίαν Φαιάκων τῆς Ἰθάκης οὔσης; τέως γε μὴν, λέγει ἐν τούτοις Ὅμηρος, ὡς οἱ κυρίως ἀοιδοὶ ἐν οἷς καὶ αὐτὸς, οὐδὲν εἰδότες ἐξ ἀνθρώπων ᾄδουσι. διὸ Μοῦσαν ἐπικαλούμενοι ἐνέπουσιν. ὡς ἐντεῦθεν, καὶ μάντεις αὐτόθεν εἶναι, λαλοῦντας ἐξ ἐπιπνοίας Μουσῶν. ὅθεν Μοῦσα μὲν αὐτοὺς διδάσκει, ὡς σοφούς. Ἀπόλλων δὲ ὡς μαντικούς τε καὶ ὡς ᾠδικούς. (ῃερς. 489.) Τὸ δὲ κατὰ κόσμον, τὸ εὔτακτον καὶ εὐμέθοδον τῆς ἱστορίας λέγει. οὐ γὰρ ἄνω κάτω τὰ πράγματα φύρει ἀλλὰ κοσμεῖ τὴν γραφὴν ὁ κατὰ τέχνην ἢ ἀείδων ἢ γράφων ἢ καὶ λέγων. (ῃερς. 490.) Οἶτον δὲ, οὐ θάνατον ἀλλὰ κακοπάθειαν ἐνταῦθα λέγει. διὸ ἑρμηνεύων ἐπάγει. ὅσσ' ἔπαθόν τε καὶ ὅσσ' ἐμόγησαν. ὅ πέρ ἐστιν οἶτος. οὐ γὰρ ἐμνήσθη ἐνταῦθα θανάτου. Τὸ δὲ ἔρξαντ' ἔπαθόν τε πρὸς ἀλήθειαν ἱστορίας ἐγράφη. ἄμφω γὰρ ἐπισυνέβη τοῖς Ἀχαιοῖς. (ῃερς. 492.) Τὸ δὲ καὶ ἵππου κόσμον ἄεισον, παρῳδήσας τῶν τις μεγάλων σοφῶν ἔγραψεν. ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἄλλον κόσμον ἄεισον. ὃ δὴ παροιμιωδῶς λέγεται ἐπὶ τῶν εὖ ἐξαλλασσόντων τὰ διηγήματα. Καὶ ὅρα τὸ, κόσμον, τὸ κόσμιον καὶ πάλιν δηλοῦν καὶ εὔτακτον
τῆς ἀοιδῆς. καὶ ἄλλως δὲ ἵππου κόσμος, ἡ εὔκοσμος ἐπίνοια καὶ μέθοδος καὶ ἡ ἔνδον αὐτοῦ ἡρωϊκὴ διάταξις, καὶ ὡς εἰπεῖν στρατηγιτική. ὁποίαν κοσμήτορες ἂν ἀνδρῶν τεχνάσαιντο εἴγε δι' αὐτῆς Ἴλιον Ἀργεῖοι ἐξαλάπαξαν. (ῃερς. 493.) Δουράτεον δὲ ἵππον τὸν ξύλινον λέγει, τὸν κοινότερον δούρειον. γίνεται δὲ ὁ δούρειος μὲν ἐκ τοῦ δουρός, ἐκ τοῦ δούρατος δὲ ὁ δουράτειος. καὶ ἀπελεύσει τοῦ ¯ι, δουράτεος διὰ μέτρου χρησιμότητα. τοῦτον δὲ, καὶ κοῖλον δόρυ τουτέστι ξύλον, μετ' ὀλίγα φησὶν, ἐπεὶ καὶ δούρειος ἐντεῦθεν καλεῖται καὶ δουράτεος. τὸν δ' αὐτὸν, καὶ δόλον. καὶ κοῖλον λόχον. κρείττω δὲ τἄλλα τοῦ κοῖλον δόρυ. αὐτὸ γὰρ καὶ σκάφην καὶ πλοῖον δηλώσοι ἄν. Ὅτι δὲ τοῦ τοιούτου δόλου τέκτων ὁ Ἐπειὸς ὁ δειλὸς μὲν, ἄριστος δὲ τήν τε πυγμικὴν καὶ τὴν τεκτονικὴν, αἱ ἱστορίαι δηλοῦσιν. ἐν αἷς καὶ ὑδροφόρος τῶν βασιλέων ὁ Ἐπειὸς εἶναι λέγεται. ἐξ οὗ καὶ αἴνιγμα ὁ Σιμωνίδης ἐποίησεν εἰς ὄνον ὑδροφοροῦντα ὃν ἐπειὸν ὠνόμασεν ὡς ὁ Ἀθήναιος ἱστορεῖ. Δῆλον δ' ὅτι δουρὸς μὲν, προϋπάρχει τὸ δόρυ. ὡς γὰρ γόνυ γόνυος καὶ μεταθέσει γουνὸς, οὕτω καὶ δόρυ δόρυος δουρός. τοῦ δὲ δούρατος, εὐθεῖα σεσιγημένη τὸ δοῦρας. ὥσπερ καὶ τοῦ γόνατος, τὸ γοῦνας. τοιαῦτα δὲ πάντως καὶ τὸ, ὕδατος ἐκ τοῦ ὕδας. καὶ τὸ, φρέατος ἐκ τοῦ φρέας. ὃ μέχρι καὶ νῦν παραλαλεῖται τοῖς Ἀττικοῖς. (ῃερς. 495.) Τὸ δὲ ἐμπλήσας, Ὅμηρος μὲν, ἀσφαλῶς καὶ σωφρόνως εἶπε διὰ τὴν πολλὴν ἔνδον τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἵππου κενότητα. ἕτερος δέ τις οὐκ ἂν εἰπεῖν φείσαιτο τὴν λέξιν ὡς ἐπὶ δῆθεν οἷον ἐγκυμονοῦντος τοῦ τοιούτου ἵππου τεθῆναι. κατὰ τὸ, πλήσας δὲ νηδὺν, ὅπερ Εὐριπίδης ἐν Κερκυόνι φησὶν, ἀντὶ τοῦ ἐγκύμονα ποιήσας. (ῃερς. 496.) Τὸ δὲ κατὰ μοῖραν, ταυτόν ἐστι τῷ, κατὰ κόσμον ὅπερ ἀνωτέρω αὐτοῦ εἴρηται. (ῃερς. 497.) Τὸ δὲ 1.312 πᾶσι μυθήσομαι, ὑπερβολικῶς εἴρηται. οὐ γὰρ δήπου δύναται πᾶσι ἀνθρώποις ὁ Ὀδυσσεὺς δηλῶσαι τὰ κατὰ τὸν Δημόδοκον. ὥσπερ οὐδὲ οἱ κατὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως ἐν Τροίᾳ πεσόντες ἑλώρια οἰωνοῖς ἅπασι γένοιντ' ἄν. ἄλλως δὲ μαντικῶς εἴρηται τῷ ποιητῇ τὸ, πᾶσι μυθήσομαι, ὡς τῆς αὐτοῦ ποιήσεως παγκοίνου ἐσομένης διὰ τὴν κατ' αὐτὸν ἔμμουσον ᾠδικήν. πολλαχόθεν δὲ δῆλον, ὡς ἐχρῆν καὶ μαντικοὺς εἶναι τοὺς ποιητάς. (ῃερς. 499.) Τὸ δὲ ὁρμηθεὶς θεοῦ, ἀντὶ τοῦ, κινηθεὶς ὑπὸ Μούσης. κάτοχοι γὰρ Μούσαις ἐδόκουν οἱ ἀοιδοί. καθὰ καὶ οἱ μαχόμενοι Ἄρει κάτοχοι. καὶ οἱ μάντεις, Ἀπόλλωνι. ἀμέλει κἄν τις τὸν μάντιν παυσάμενον τοῦ λέγειν ἤρετο τί ἐλάλει, ὁ δὲ, οὐδέν τι εἶχεν εἰπεῖν. διὸ καὶ οἱ ταχυγραφοῦντες καὶ τὰ μαντικὰ ἔπη μεταλαμβάνοντες, εἴ που ἐνελείφθη τι τοῦ ἔπους εἶτα ἑαυτοῦ γεγονότα τὸν μάντιν ἀνηρώτων ἐθέλοντες ἀποδοῦναι τὸ τοῦ στίχου πλῆρες, οὐκ εἶχεν ἐκεῖνος ἄρτιον ποιῆσαι τὸ ἔπος, οἷα μὴ μεμνημένος τῶν τοῦ θεοῦ. Τὸ δὲ θεοῦ ἄρχεσθαι καὶ ἐφερμηνευτικὸν ἔστι πως τοῦ, θέσπιν ἀοιδήν. ἣν δηλαδὴ ἐκ θεοῦ τις ἔπει ὅ ἐστι λαλεῖ. ἢ, ἣν θεὸς ὀπάζει. κατὰ τὸ, θεὸς ὤπασε θέσπιν ἀοιδήν. ἵνα εἴη καὶ τοῦτο ἐτυμολογικὸς τρόπος. (ῃερς. 499.) Τὸ δὲ φαῖνε δ' ἀοιδὴν, ἀντὶ τοῦ, ἐξ ἐνδιαθέτου καὶ κρυπτοῦ εἰς προφορὰν ἐξέφαινε. σκεψάμενος πρῶτα εἶτα ἐκφήνας. ἢ καὶ ἄλλως, ἔφαινεν ἀοιδὴν, ἀντὶ τοῦ σαφῶς ᾖδεν, ἀπὸ τοῦ φαίνω τὸ λάμπω. φῶς γὰρ λόγου ἡ σαφήνεια. ὅτι δὲ οἱ ὕστερον Ἀττικοὶ οὐκ ἀγαθὴν λέξιν εἶχον τὸ φαίνειν, δηλοῖ καὶ ὁ συκοφάντης. καὶ ὁ παρὰ τῷ κωμικῷ Φανὸς ὑπογραφεὺς δικῶν. ἐν τοῖς τοιούτοις δὲ χωρίοις κεῖται καὶ τὸ ἥρῳ κατὰ δοτικήν. φησὶ γάρ. ἐν χερσὶν ἔθηκεν ἥρῳ Δημοδόκῳ. ὅπερ ἢ ἀποκοπὴν ἔπαθεν ἐκ τοῦ ἥρωϊ, ἢ ἀπὸ κλίσεως ἰσοσυλλάβου ἐστὶν, ὁ ἥρως τοῦ ἥρω. τοιούτου λόγου καὶ τὸ, γέλω ἔθανον. καὶ μετ' ὀλίγα δὲ ἐν τῷ, οἷος δόμος Ἀλκινόοιο ἥρως, δοκεῖ τισὶ τὸ ἥρως μὴ κλητικὴν ἀλλὰ γενικὴν εἶναι, συγκοπεῖσαν ἐκ τοῦ ἥρωος. (ῃερς. 499.) Ὅτι Δημόδοκος θεοῦ ἀρξάμενος ἔφαινεν ὡς ἐῤῥέθη ἀοιδήν. ἔνθεν ἑλὼν, ὡς οἱ μὲν ἐϋσσέλμων ἐπὶ νηῶν βάντες ἀπέπλειον πῦρ ἐν κλισίῃσι βαλόντες Ἀργεῖοι. τοὶ δ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσσῆα εἵατ' ἐνὶ Τρώων ἀγορῇ κεκαλυμμένοι ἵππῳ. αὐτοὶ γάρ μιν Τρῶες ἐς ἀκρόπολιν ἐρύσαντο, ὣς ὁ μὲν εἱστήκει. τοὶ δ' ἄκριτα πόλλ' ἀγόρευον, ἥμενοι ἀμφ' αὐτόν. τρίχα δέ σφισιν ἥνδανε βουλή. ἠὲ διατμῆξαι κοῖλον δόρυ νηλέϊ χαλκῷ. ἢ κατὰ πετράων βαλέειν ἐρύσαντας ἐπ' ἄκρας. ἠὲ ἐᾶν μέγ' ἄγαλμα θεῶν θελκτήριον εἶναι. τῇ περ δὴ καὶ ἔπειτα τελευτήσεσθαι ἔμελλεν. αἶσα γὰρ ἦν, ἀπολέσθαι ἐπὴν πόλις ἀμφικαλύψῃ δουράτεον μέγαν ἵππον ὅθι εἵατο πάντες ἄριστοι Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες. ἤειδεν δ' ὡς ἄστυ διέπραθον υἷες Ἀχαιῶν ἱππόθεν ἐκχύμενοι, κοῖλον λόχον ἐκπρολιπόντες. ἄλλον δ' ἄλλῃ ἄειδε πόλιν κεραϊζέμεν αἰπήν. αὐτὰρ Ὀδυσσῆα ποτὶ δώματα Δηϊφόβοιο βήμεναι ἠΰ τ' Ἄρηα σὺν ἀντιθέῳ Μενελάῳ. κεῖθι δὴ αἰνότατον πόλεμον φάτο (ῃερς. 5.) τολμήσαντα νικῆσαι δι' Ἀθήνην. ἔοικε γὰρ φρονήσει κατορθῶσαι καὶ τὴν τοιαύτην σὺν Μενελάῳ μάχην ὁ Ὀδυσσεύς. Καὶ ὅρα ὡς οὐδὲ ἡ κατὰ δόλον ἅλωσις αὕτη ἔξω ἀγῶνος ἦν τοῖς Ἀχαιοῖς εἰς τὸ παράπαν, εἴγε πόλεμος αἰνότατος (ῃερς. 517.) ἐν τοῖς τοῦ Δηϊφόβου γέγονε δώμασιν, ἀνδρείου τε ὡς εἰκὸς ὄντος, καὶ κινδυνεύοντος διὰ τὴν Ἑλένην. ἣν αὐτῷ φασὶν ἔχεσθαι θανόντος τοῦ Πάριδος. Σημείωσαι δὲ καὶ ὅτι τὸ συνοπτικὸν τῆς γραφῆς εἶδος καὶ τὸ ὡς εἰπεῖν παρεκβολικὸν πρῶτος Ὅμηρος ἐνταῦθα ὑπέδειξε. Δημόδοκος μὲν γὰρ πλατεῖαν ἐκθέσθαι δοκεῖ ἀοιδήν, Ὅμηρος δὲ, ὡς ἐν τύπῳ παρεκβολῆς τὴν μακρὰν ῥῆσιν εἰς βραχυτέραν συνελεῖν, ὡς δῆλον ἐκ τοῦ, (ῃερς. 514.) ἤειδεν ὡς ἄστυ διέπραθον. ἤγουν τὸν τρόπον τῆς Τρωϊκῆς ἁλώσεως ὅπερ ἐνταῦθα οὐκ ἐκπεφώνηται. καὶ ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ, (ῃερς. 516.) ἄλλον ἄλλῃ ἄειδε κεραΐζειν τὴν πόλιν. ὅπερ οὐδ' αὐτὸ ἐνταῦθα κεῖται. οὐ γὰρ λέγει τίνες που ἐκεράϊζον, ἐνέφῃνε γοῦν ὁ ποιητὴς ἔχειν ἐκ τούτων ὕλην πολλὴν ποιήσεως. δι' ἧς καὶ ὅλον ἂν ἀπαρτισθείη βιβλίον, ὁποῖα ἐπραγματεύσαντο οἱ τὴν Τρωϊκὴν ἅλωσιν γράψαι πραγματευσάμενοι. ὧν καὶ ὁ Τρυφιόδωρος. (ῃερς. 521.) ἐπὶ δὲ τοῖς ῥηθεῖσιν ἐπάγει ὁ ποιητὴς ἕνα στίχον συμπληρωτικῷ σχήματι, τοιοῦτον. ταῦτ' ἄρ ἀοιδὸς ἄειδε περικλυτός. ἐτυμολογικὸν τρόπον ποιήσας ἐν τῷ, ἀοιδὸς ἄειδεν. (ῃερς. 501.) Ὅτι δὲ ἀπέπλευσαν Ἕλληνες δόλῳ ἐκ Τροίας καὶ ὡς πῦρ ἐν κλησίῃσιν ἔβαλον, καὶ τὰ κατὰ τὸν δούρειον ἵππον, καὶ ὡς ἐπορθήθη ἡ Τροία ἐλεεινῶς τά τε ἄλλα καὶ διὰ τὸν τηνικαῦτα ἐμπρησμὸν, καὶ ὅσα δὲ ἐπὶ τούτοις γέγονε, δηλοῖ ἐνδιασκεύως καὶ ἡ τοῦ Κοΐντου ποίησις. Σημείωσαι δὲ καὶ (ῃερς. 500.) ὅτι τὸ ἔνθεν ἑλὼν ἄλλο πλάτος γραφῆς εἶναι δηλοῖ πρὸ τῆς ἀοιδῆς τοῦ Δημοδόκου. ὅπερ ὀφείλων αὐτὸς 1.313 δηλῶσαι, ὅμως παραδραμὼν αὐτὸ, ᾄδει ὅπερ ἀπῄτησεν Ὀδυσσεὺς, ἔνθεν ἑλών. τουτέστιν ἐάσας μὲν 1.313 τἆλλα. μνησθεὶς δὲ τῶν κατὰ τὸν δούρειον ἵππον, ἐξ ὅτου μετὰ πολλὰ τὰ φθάσαντα εἰς Τροίαν ἀνειλκύσθη. Καταστατικὴ δὲ ἔννοια τὸ ἔνθεν ἑλὼν, ᾗ χρῶνται καὶ οἱ μεθ' Ὅμηρον ὁπηνίκα λόγου ἀφηγηματικοῦ κατάρχονται. (ῃερς. 501.) Τὸ δὲ πῦρ βαλόντες, ἀντὶ τοῦ, πῦρ θέντες ῥίψαντες. ταῦτα δὲ, ἀντὶ τοῦ ἐμπρήσαντες. (ῃερς. 502.) Τὸ δὲ οἱ ἀμφ' Ὀδυσσῆα, λοχαγὸν ὑποβάλλει νοεῖν τὸν Ὀδυσσέα τοῖς ἐντὸς τοῦ δουρείου. (ῃερς. 503.) Ἀγορὰν δὲ Τρώων λέγει τὴν ἐντὸς τῆς Ἰλίου ἄθροισιν τῶν πολιτῶν, (ῃερς. 504.) Τὸ δὲ ἐς ἀκρόπολιν ἐρύσαντο, ἀντὶ τοῦ διὰ μηχανῆς εἵλκυσαν. ὅθεν καὶ ῥυτοὶ λίθοι οἱ μὴ φορητοὶ ἀλλὰ ἑλκυστοί. τοιοῦτον δὲ καὶ τὸ, ἐρύσαντας ἐπ' ἄκρας. Τὴν δὲ ἀκρόπολιν, ἄκρην πόλιν Ἰωνικώτερον ἐν Ἰλιάδι διαλύσας λέγει ὁ ποιητής. ὁποῖα καὶ ἄλλα αὐτός τε ποιεῖ, καὶ οἱ μιμούμενοι αὐτόν. ὁποῖον καὶ τὸ, ζῷα γραψάμενος ἀντὶ τοῦ ζωγραφήσας. καὶ ἕτερα μυρία. (ῃερς. 505.) Τὸ δὲ ὣς ὁ μὲν εἱστήκει ἢ ἑστήκει, γράφεται γὰρ διχῶς, καταστατικῶς καὶ αὐτὸ κεῖται. οὐ μὴν κατὰ τὸ, ὣς οἱ μὲν, ἀπέπλεον. ἐκεῖνο γὰρ καταρκτικὴ τοῦ διηγήματος ἔννοιά ἐστι. (ῃερς. 507.) Τὸ δὲ ἄκριτα πόλλ' ἀγόρευον, ποσότητα μὲν δηλοῖ διὰ τοῦ πολλά. ποιότητα δὲ, διὰ τοῦ ἄκριτα. οὐ γὰρ ἦν διακρῖναι οἷον ἦν τὸ κρεῖττον ἐκ τῶν πολλῶν. (ῃερς. 508.) τρία δὲ ἦσαν τὰ πολλὰ ταῦτα, τὸ ἢ διατμῆξαι ἢ κατὰ ἄλλην γραφὴν διαπλῆξαι πελέκεσι τὸν ἵππον ἵνα φανείη τί ἔνδον κρύπτει, (ῃερς. 509.) ἢ ῥῖψαι κατὰ πετρῶν ἑλκύσαντας ἐπί τινος ἄκρους τοῦ τείχους, ἢ ἐάσαι εἰς ἱλαστήριόν φασι τοῖς θεοῖς. (ῃερς. 505.) Ἰστέον δὲ ὅτι τὸ ἄκριτα πολλὰ ἀγορεύειν ταυτὸν ὂν τῷ, ἄκριτα πολλὰ μυθεῖσθαι, διασαφητικόν ἐστι τοῦ, Θερσίτ' ἀκριτόμυθε. ἔστι γὰρ ἀκριτόμυθος, ὁ ἄκριτα μυθούμενος ἤτοι ἀγορεύων. (ῃερς. 506.) Τὸ δὲ ἥμενοι ἀμφ' αὐτὸν, ἀντὶ τοῦ, κύκλωθεν τοῦ ἵππου. περὶ Τρώων γὰρ ὁ λόγος. Τὸ δὲ ἥνδανε βουλὴ, δύναται καὶ κατ' εὐθεῖαν καὶ κατὰ δοτικὴν συντάσσεσθαι. καθὰ καὶ ἐν Ἰλιάδι τὸ, Διός δ' ἐτελείετο βουλή. (ῃερς. 509.) Ἄγαλμα δὲ συνήθως τῷ ποιητῇ καὶ νῦν τὸ ἥδυσμα καὶ ἀγαλλίαμα, καὶ ὡς ὁ ποιητὴς ἐπάγει θελκτήριον, ὡς ταυτὸν ὂν ἀγαλλιᾶσθαι εἰπεῖν καὶ θέλγεσθαι. Μνηστέον δ' ἐνταῦθα καὶ τοῦ φαμένου τοὺς ἀστέρας, ἀγάλματα νυκτός. οὕτω δὲ καὶ ὄρνισιν ἄγαλμα ἦεν ἂν τὰ πτερὰ οἷς πέτονται. κατὰ τὸ, ἀγαλλόμεναι πτερύγεσσι. Τὸ δὲ θελκτήριον, ἢ συντακτέον μετὰ τοῦ θεῶν, ἢ καὶ ἁπλῶς ῥητέον θελκτήριον. ἵνα ᾖ ἐκστατικὸν τῶν θεωμένων διὰ τὸ ἐπ' αὐτῷ θαῦμα. οὐ γὰρ ἁπλῶς οὕτω θελκτήριον οὐδ' ἐνταῦθα τὸ εὐφραῖνον, ἀλλὰ τὸ μετά τινος θαύματος καὶ ἐκπλήξεως. (ηερς. 510.) Τὸ δὲ τῇ περ δὴ τελευτήσεσθαι ἔμελλεν, ἀντὶ τοῦ ὅπου δὴ καὶ ἔμελλε στῆναι αὐτοῖς τὰ τῆς βουλῆς, κατὰ θεομηνίαν δηλαδή. ἀγαθαὶ μὲν γὰρ αἱ πρῶται δύο βουλαὶ τὸ διατμῆξαι τὸν ἵππον καὶ τὸ κατὰ πετρῶν βαλεῖν. ἐνίκησε δὲ κἀνταῦθα τὸ χέρειον. (ῃερς. 511.) Ἐν δὲ τῷ, αἶσα γὰρ ἦν ἀπολέσθαι, εἰ δὲ καὶ ἀσαφῶς αὐτὸ ἔχει, οὐ γὰρ δηλοῖ τίνας αἶσα ἦν ἀπολέσθαι, ἀλλὰ τὰ ἐφεξῆς δηλοῦσι, τὸ Τρώεσσι δηλαδὴ κῆρα φέρεσθαι, καὶ τὸ κεραϊσθῆναι τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πόλιν, καὶ τὰ τοιαῦτα. Τὸ δὲ πόλις ἀμφικαλύψει, ἀντὶ τοῦ, ἐντὸς περιέξει. καὶ ἔστιν ὅμοιον τῷ, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε. (ἡερς. 503.) Τοιοῦτόν τι καὶ ἀνωτέρω τὸ, κεκαλυμμένοι ἵππῳ. αὐτὸ μέντοι κρυπτικὴν ἐδήλου περιοχήν. (ἡερς. 512.) Τὸ δὲ μέγαν ἵππον, πιθανὸν ποιεῖ τὸν ἐντὸς αὐτοῦ λόχον ὑπὸ τῶν ἀρίστων. (ἡερς. 513.) Τὸ δὲ φόνον καὶ κῆρα οὐκ ἂν ἔχοι διαφορὰν τῶν ὀνομάτων πρὸς ἄλληλα. Τὸ δὲ ἱππόθεν ἐκχύμενοι, ταυτὸν μέν ἐστι τῷ, κοῖλον λόχον ἐκπρολιπόντες. ἀστείως δὲ πέφρασται ὥσπερ ἂν εἰ καὶ ἐξ ἵππου ζῶντος εἴποι τις χυθῆναι τὰ ἐντός. καὶ οὐκ ἂν φράσοι τις τούτου κρεῖττον τὸ πρᾶγμα. ἔχει δὲ καὶ σπουδῆς πολλῆς ἔνδειξιν τὸ, ἐκχύμενοι, ὡς εἰ καὶ διερῷ ποδὶ ἐκδραμεῖν εἶπεν αὐτούς. καὶ ἔχει ἔμφασιν ἡ λέξις καθὰ καὶ τὸ, εἰς ἵππον κατεβαίνομεν, ὡς ἐν τοῖς μετὰ ταῦτα φανεῖται. (ἡερς. 516.) Τὸ δὲ κεραΐζειν, ὅτι κυρίως μὲν ἐπὶ φθορᾶς τῆς ἐκ τῶν ζῴων κερασφόρων λέγεται καὶ ἄλλως δὲ ἐπὶ πολιορκίας καὶ λείας πολεμικῆς, ἐν Ἰλιάδι δεδήλωται. (ἡερς. 522.) Ὅτι τοῦ ἀοιδοῦ Δημοδόκου τὰ κατὰ τὸν δούρειον ἵππον ᾄδοντος ἐν οἷς καὶ Ὀδυσσέως ἦν μνήμη, ἀκούων Ὀδυσσεὺς τήκετο. εἶτα ἑρμηνεύων τὸ τήκετο, ἐπάγει. δάκρυ δ' ἔδευεν ὑπὸ βλεφάροισι παρειάς. ἐγκρατέστερον δὲ τοῦτο δάκρυον τοῦ ἀπὸ βλεφάρων χαμάδις βαλλομένου ὅτε Τηλέμαχος ἐν Πύλῳ ἔκλαιεν ἐπὶ τῷ πατρί. ἐχρῆν γὰρ ἑαυτοῦ τὸν φιλόσοφον Ὀδυσσέα κρατεῖν, ὡς καὶ μετρίως δακρύειν. (ἡερς. 523.) εἶτα παραβολικῶς ἄλλως δεικνύων τὸ πολὺ τοῦ πένθους, φησίν, ὡς δὲ γυνὴ κλαίῃσι 1.314 φίλον πόσιν ἀμφιπεσοῦσα, ὅστε ἑῆς προπάροιθεν πόλιος λαῶν τε πέσῃσιν, ἄστεΐ τε καὶ τεκέεσσιν ἀμύνων νηλεὲς ἦμαρ. ἡ μὲν τὸν, θνήσκοντα καὶ ἀσπαίροντ' ἐσιδοῦσα, ἀμφ' αὐτῷ χυμένη λίγα κωκύει. οἱ δέ τ' ὄπισθεν κόπτοντες δούρεσσι μετάφρενον ἠδὲ καὶ ὤμους, εἴρερον εἰσανάγουσι πόνον τ' ἐχέμεν καὶ ὀϊζύν. τῆς δ' ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαὶ, ὣς Ὀδυσσεὺς (ἡερς. 531.) ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβεν. οὐ μὴν ἐλεεινότατον μετὰ τὴν κάρτα φίλοικτον γυναῖκα. ἔδει γὰρ ὡς προσεχῶς ἐῤῥέθη, κατ' ἄνδρα κλαίειν τὸν ἥρωα Ὀδυσσέα, καὶ οὐ γυναικώτερον. Ἴσως δὲ καὶ ἶσον ἐστὶ τὸ, ὣς ἐλεεινὸν δάκρυον εἶβε, πρὸς τὸ ἐλεεινότατον. εἰ γὰρ ἡ γυνὴ μὲν ἐλεεινότατον ἐδάκρυεν, Ὀδυσσεὺς δὲ ὣς ἐλεεινὸν δάκρυον εἶβε, δακρύει ἂν καὶ αὐτὸς ἐλεεινότατον. Ὅρα δὲ ὡς ἡ ῥηθεῖσα πλατεῖα παραβολὴ πρὸς αὐτὸ δὴ τοῦτο καὶ μόνον ἐλήφθη τὸ ἐλεεινὰ κλαίειν τὸν Ὀδυσσέα. ἄλλως δὲ ἀνδρὸς ἀριστίαν ὑποδεικνύει φιλοπατρίδος καὶ φιλοικείου, καὶ γυναικὸς φιλανδρίαν, καὶ πολεμίων ὠμότητα. Δῆλον δὲ ὡς αὔξει τοῖς οἰκείοις τὸ πένθος, ἀνὴρ καὶ φιλόπολις καὶ πεσὼν ἐν τῷ ἀμύνειν τοῖς ἑαυτοῦ. (ἡερς. 522.) Τὸ δὲ τήκετο, κυρίως ἐπὶ χιόνος. τίθεται δὲ καὶ ἐπὶ κηροῦ καὶ πίσσης καὶ τοιούτων. καὶ νῦν μὲν οὕτω ψιλῶς ἐῤῥέθη. ἐν δὲ τοῖς ἑξῆς που ἐρεῖ τήκεσθαί τινα δακρύοις ὡς ὅτε χιὼν τὸ τοιοῦτον πάσχει πάθος. (ἡερς. 523.) Τὸ δὲ ἀμφιπεσοῦσα, καιριώτατα ἐῤῥέθη ἐπὶ νεκρῷ. τὸ γὰρ ἀμφιβαλεῖν, ἐπὶ ζῶσι λέγεται. (ἡερς. 525.) Τὸ δὲ ἀμύνων νηλεὲς ἦμαρ, ἐντελῶς νῦν ἔχει ῥηθὲν, ἀντὶ τοῦ ἀποσοβῶν τὴν κακὴν ἡμέραν. ὅτε μέντοι αὐτὸ κεῖται μόνον τὸ ἀμύνειν, ἐλλειπτικῶς ἔχει τότε καὶ κεῖται ἀντὶ τοῦ βοηθεῖν. (ἡερς. 526.) Περὶ δὲ τοῦ ἀσπαίρειν ὃ δηλοῖ τὸ σπᾶσθαι καὶ ὡς ἐξ αὐτοῦ καὶ τὸ σπαρίζειν γίνεται, ἐδηλώθη ἀλλαχοῦ. νῦν δὲ οὐ πάρεργον εἰπεῖν καὶ ὅτι καθὰ σπαίρω καὶ κατὰ πλεονασμὸν ἀσπαίρω, οὕτω καὶ στάχυς ἄσταχυς, καὶ σταφὶς ἀσταφὶς, καὶ σφόδλος ἀσφόδελος ὡς ἐν τοῖς ἑξῆς που ῥηθήσεται. ἐν μέντοι τῷ ἀμέργειν καὶ μέργειν, ἄδηλον εἴτε τὸ ἀμέργειν ἐκ τοῦ μέργειν κατὰ πλεονασμὸν, εἴτε καὶ ἀνάπαλιν ἐκεῖθεν τὸ μέργειν κατὰ ἀφαίρεσιν. ἐξ ὧν καὶ ἀμοιργοί φασι, πόλεως ὄλεθροι. οἱ δ' αὐτοὶ, καὶ μόργοι. οἱ ἀμέλγοντες δηλαδὴ τὸ κοινὸν, καὶ ἐκμυζῶντες οἱονεὶ τὰ ἀλλότρια. ἐν μέντοι τῷ, μαῦρον καὶ ἀμαυρὸν, φανερῶς τὸ μαῦρον ἀφαίρεσιν πέπονθεν ἐκ τοῦ ἀμαυρόν. (ἡερς. 527.) Τὸ δὲ χυμένη, ὑγρότητα ὅ ἐστι τρυφερότητα σώματος δηλοῖ. ἢ καὶ σπουδαῖον δρόμον κατὰ τὸ, ἱππόθεν ἐκχύμενοι. (ἡερς. 528.) Τὸ δὲ κόπτοντες, ἀντὶ τοῦ πλήττοντες. κατὰ τὸ, κόψε δὲ δειρήν. καὶ τίς ὁ κόπτων τὴν θύραν; τὸ μέντοι κατακόπτειν, ἐπὶ σφαγῆς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς σὺν ἄλλοις καὶ ὁ κωμικὸς δηλοῖ ἐν τῷ κατεκόπησαν οὑτοιΐ. δῆλον δὲ ὅτι ἐν τῷ, οἱ δὲ, κόπτοντες, τοὺς πολεμίους δηλοῖ ἐλλειπτικῶς. οὐ γὰρ ἐξεφώνησέ που αὐτούς. Τοῦ δὲ δούρεσσι τὸ κοινὸν δούρασιν. ἐπεὶ καὶ ἡ πληθυντικὴ εὐθεῖα, δούρατα. καὶ ἡ γενικὴ, δοράτων. ἔσχε δὲ τροπὴν, ἵνα συνεξομοιωθῇ τῷ στομάτεσσι καὶ κτεάτεσσιν. (ηερς. 529.) Εἴρερος δὲ κατὰ τοὺς παλαιοὺς, αἰχμαλωσία. δουλεία. παρὰ τὸ ἐρᾶν εἴρειν. οἱ γὰρ ἐν δουλείᾳ, καὶ τοῦ λέγειν στέρονται μὴ παῤῥησιαζόμενοι. Τὸ δὲ ἀνάγουσι, περιττὴν ἔχει τὴν πρόθεσιν. ὡς καὶ τὸ, τὸν δ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγεν. (ηερς. 532.) Ἰστέον δὲ ὅτι δεινῶς τῷ ποιητῇ πέπλασται τά τε κατὰ τὸν δούρειον ἵππον, καὶ ἀκολούθως ὁ τοῦ Ὀδυσσέως πολὺς κλαυθμὸς, ἵνα ἐρωτηθεὶς τί τὸ τοῦ κλαίειν οὕτως αἴτιον καὶ γνωσθεὶς πολυπραγμονηθῇ καὶ ἀναγκαίως ἐξείπῃ τὰ καθ' ἑαυτόν. καὶ οὕτω σχῇ παρείσδυσιν τὰ ἐφεξῆς ἱστορηθησόμενα. διὸ καὶ νῦν πλάττει ὁ ποιητὴς, ὡς τοὺς μὲν ἄλλους πάντας ἐλάνθανεν Ὀδυσσεὺς δάκρυα λείβων, Ἀλκίνοος δὲ μόνος ἐπιφρασάμενος καὶ νοήσας, ἤκουσε γὰρ αὐτοῦ καὶ βαρὺ στενάχοντος, τόν τε Δημόδοκον ἐπέχει τοῦ ᾄδειν, καὶ αὐτὸς μὲν λαλεῖ τὰ ἐφεξῆς ὀλίγα. μετ' αὐτὸν δὲ Ὀδυσσεὺς τὰ πάνυ πολλά. (ηερς. 537.) Ὅτι κατάπαυσις ἀοιδῆς γλυκείας μὲν οὐ πᾶσι δὲ φίλης τὸ, ὁ δεῖνα ἤδη σχεθέτω φόρμιγγα λίγειαν, οὐ γάρ πως πάντεσσι χαριζόμενος τάδ' ἀείδει. (ηερς. 542.) τοιοῦτον δέ τι καὶ τὸ, ἀλλ' ἄγ' ὁ μὲν σχεθέτω ἵν' ὁμῶς τερπώμεθα πάντες ξεινοδόκοι καὶ ξεῖνος, ἐπεὶ πολὺ κάλλιον οὕτως. Ἀλκίνοος δὲ ταῦτα λέγει ὅτε Ὀδυσσεὺς ἔκλαιεν. (ηερς. 544.) εἶτα καὶ αἰτιολογῶν φησίν. εἵνεκα γὰρ ξείνοιο τάδ' αἰδοίοιο τέτυκται πομπὴ καὶ φίλα δῶρα τά οἱ δίδομεν φυσικῶς ῥηθέν. τὸ γὰρ διδόαμεν πλεονασμὸν ἔχει τοῦ ¯α. (ηερς. 539.) Περὶ δέ τινος ἐπὶ δόρπια κλαίοντος ῥηθείη ἂν τὸ, ἐξ οὗ δορπέομέν τε καὶ ὤρορε θεῖος ἀοιδὸς, ἐκ τοῦ δ' οὔπω παύσατ' ὀϊζυροῖο γόοιο ὁ ξεῖνος. μάλα ποί μιν ἄχος (ηερς. 541.) φρένας ἀμφιβέβηκεν. ὅ πέρ ἐστιν ὅμοιον τῷ ἀμφεκάλυψεν, ὡς ἀπὸ νέφους ἢ δικτύου μετενεχθέν. οὐκ ἔστι γὰρ ἐνταῦθα νοῆσαι τὸ ἀμφιβεβηκέναι ἀντὶ τοῦ 1.315 ὑπερμαχεῖν. (ηερς. 539.) Τὸ δὲ ὤρορεν ἀοιδὸς, μετάθεσιν παθὸν κἀνταῦθα τῶν φωνηέντων ἀσαφῶς μὲν ἔχει διὰ τὴν ἔλλειψιν, δηλοῖ δὲ τὸ, ὡρμήθη θεοῦ. ὃ πρὸ ὀλίγων ἐγράφη ἔνθα ἐμπνέεσθαι ὑπὸ Μούσης ὁ ἀοιδὸς ἐλέγετο. οὔτε τὴν ἐρωτικὴν ἐκείνην ᾠδὴν καὶ γελωτοποιὸν, ἄνευ Μούσης ἐπιπνεούσης ἐκθέμενος, οὔτε τὴν στρυφνὴν καὶ ἀνδρικὴν τὴν κατὰ τὸν δούρειον ἵππον. ἐν αἷς καὶ τὴν μουσικὴν ἐνεδείξατο δύναμιν. τέρπουσαν μὲν πανταχοῦ, ἄλλως μέντοι καὶ ἄλλως. καὶ οὐδὲ ἀεὶ γέλωτα ὑποκινοῦσαν. ἀλλ' ἔστιν οὗ καὶ δακρύων ῥοὴν ἀμαρεύουσαν. ἐν μὲν οὖν τοῖς κατὰ τὴν Ἀφροδίτην καὶ τὸν Ἄρην ἅπαντες διεχέοντο, ἐν δὲ τοῖς περὶ τοῦ δουρείου ἵππου οἱ μὲν ἄλλοι τέρπονται τῷ καινῷ τῆς κατὰ τὴν ἀοιδὴν ἱστορίας, Ὀδυσσεὺς δὲ κλαίει ἄμετρα, ὡς εἴρηται. καὶ τοῦτο μὲν τοιοῦτον. ὁ δὲ ὀϊζυρὸς γόος ὁ αὐτός ἐστι τῷ δακρυόεντι γόῳ. (ηερς. 547.) Ὅτι σεμνύνων ὁ ποιητὴς τήν τε ξενίαν τήν τε ἱκετείαν φησὶ γνωμικῶς οὕτως. ἀντὶ κασιγνήτου ξεῖνός θ' ἱκέτης τε τέτυκται ἀνέρι, ὅστ' ὀλίγον περ ἐπιψαύει πραπίδεσσιν ὅ ἐστι φρεσί. τοῦτο δὲ ἀντιπτωτικῶς κεῖται, ἵνα λέγῃ ὅτι ἀνδρὶ ὃς ὀλίγον τι ἐπιψαύει φρενῶν, τίμιον ὁ ἱκέτης καὶ ὁ ξένος. (ηερς. 548.) πολλῷ δὴ πλέον τῷ βαθυγνώμονι ὁ τοιοῦτος ἀνὴρ τίμιος. περιπέφρασται δὲ τὸ, ἀνέρι ὅστ' ὀλίγον καὶ ἑξῆς. ἔστι γὰρ ὁ ὅλος στίχος ἀντὶ τοῦ ἀνέρι φρονίμῳ. (ηερς. 549.) Ὅτι πρόκλησιν ἀληθείας ἀναγκαίας δηλοῖ τὸ, μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισιν, ὅττι κέ σ' εἴρωμαι ὅ ἔστιν ἐρωτήσω. φάσθαι δέ σε κάλλιόν ἐστιν. (ηερς. 550.) εἰ δὲ καὶ ὄνομα οἰκεῖόν τε καὶ πατρίδος ἐρωτᾶταί τις, ἁρμόζει καὶ τὰ ἐφεξῆς. εἰπὲ ὄνομα ὅ σε κεῖθι κάλεον μήτηρ τε πατήρ τε ἄλλοι θ' οἱ κατὰ ἄστυ καὶ οἳ περιναιετάουσιν. οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστιν ἀνθρώπων οὐ κακὸς οὐδὲ μὲν ἐσθλὸς, ἐπὴν τὰ πρῶτα γένηται. ἀλλ' ἐπὶ πᾶσι τίθενται ἐπεί κε τέκωσι τοκῆες. (ηερς. 552.) καὶ ἔστιν ἀστεῖος ὁ τοιοῦτος λόγος. μονονουχὶ γάρ φησιν ὡς εἰ καὶ πάντα τις ἀποφήσει μὴ ἔχειν, ἢ καὶ πίνεσθαι πάντων ἐρεῖ τῶν κατὰ βίον ἀλλ' οὖν οὐκ ἂν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴποι μὴ δὲ ὄνομα κύριον ἔχειν ὃ ἐκ γενετῆς αὐτῷ τίθεται. τοῦτο γὰρ δηλοῖ ἐνταῦθα ὁ ἀνώνυμος, ῥηθεὶς οὕτως, κατὰ ἰδέαν δρυμύτητος, παρὰ τὸ μὴ ἔχειν ὄνομα ὅ ἐστι κλῆσιν. καὶ Ὅμηρος μὲν οὕτω φησὶ, τοῦ κοινοῦ καὶ ὡς ἐπὶ πλεῖστον στοχασάμενος. οἱ δὲ παλαιοὶ ἔθνος Λιβυκὸν ἑσπέριον ἱστοροῦσι τοὺς Ἄτλαντας. ἐν ᾧ οὐδεὶς τῶν ἐκεῖ κυρίου ἐκληρονόμει ὀνόματος. καὶ εἴρηται περὶ τούτου ἐν τοῖς τοῦ περιηγητοῦ. Ἰστέον δὲ ὅτι τὸ, οὐ πάμπαν ἀνώνυμος δύναται καὶ πρὸς ἀκρίβειαν διασταλτικὴν ὁμωνυμίας εἰρῆσθαι. ἄλλως μὲν γὰρ (ῃερς. 550.) εἴη ἄν τις ἀνώνυμος ὡς ἀκλεὴς καὶ μὴ ὀνομαστός. ἀνώνυμος δὲ οὐκ ἂν εἴη ὡς μὴ ἔχειν τι κύριον ὄνομα. (ῃερς. 551.) Τὸ δὲ μήτηρ τε πατήρ τε ἄλλοι τε οἱ κατὰ ἄστυ τουτέστιν οἱ πολίται, καὶ οἳ περιναιετάουσι τουτέστιν οἱ πέριξ οἰκοῦντες ἐγχώριοι, οἱ τοῦ ἔθνους δηλαδὴ, οὐ μάτην ἔχει προσθήκην τοῦ, ἄλλοι τε καὶ τῶν ἑξῆς, ἀλλὰ διότι ἔστιν ὅτε ἄλλο μὲν ὄνομα ἐκάλουν τινὰ οἱ γονεῖς, ἄλλο δὲ οἱ πολίται καὶ οἱ πέριξ, ὡς καὶ ἡ ἐν Ἰλιάδι γυνὴ δηλοῖ, ἣν οἱ τεκόντες μὲν Ἀλκιόνην ἐκάλουν, Κλεοπάτραν δὲ οἱ λοιποί. (ῃερς. 553.) Τὸ δὲ ἐπὴν τὰ πρῶτα γένηται, ἑρμηνεύεται διὰ τοῦ ἐπεί κε τέκωσι τοκῆες. ὃ καὶ τρόπον ἐτυμολογίας ἔχει ἐν τῷ, τέκωσι τοκῆες. (ῃερς. 555.) Ὁ δὲ περὶ τοῦ ὀνόματος ἐρωτήσας ὡς ἐῤῥέθη τὸν Ὀδυσσέα προσεπάγει καὶ τὸ, εἰπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε. (ῃερς. 556.) καὶ ἀναγκάζων ἐνταῦθά γε τὸν ξένον εἰς ἀπόκρισιν ἀληθῆ μὴ καὶ ῥᾳδιουργήσῃ ἐπὶ τῷ λόγῳ ἐκφοβεῖ λέγων, οὐ πρὸς καλῶν αὐτῷ ἔσεσθαι τὸ ψεύσασθαι. φησὶ γάρ. ὄφρα σε τῇ πέμπωσι τιτυσκόμεναι φρεσὶ νῆες. ἤγουν ἵνα εἰπόντος σου τὴν πατρίδα γῆν τε καὶ πόλιν, πέμψωσί σε εἰς αὐτὴν αἱ καθ' ἡμᾶς νῆες καταστοχασάμεναι φρεσὶ τῆς τοιαύτης χώρας. οὕτω πάνυ τολμᾷ ὁ Ὁμηρικὸς Ἀλκίνοος τερατεύεσθαι, ὥστε τὰς Φαιακικὰς νῆας μὴ μόνον ἁπλῶς ἐμψύχους, ἀλλὰ καὶ αὐτομαθῶς ἐλλόγους καὶ ἔμφρονας καὶ πολυΐστορας ποιεῖν, μεταγαγὼν τεραστείως εἰς τὰς νῆας τὴν τῶν πολυπείρων ναυτίλων ἀρετήν. (ῃερς. 557.) καὶ ἔστι μὲν τοιοῦτόν τι καὶ ἡ ἐν τῇ καθ' Ἡσίοδον Θεογονίᾳ κειμένη Αὐτονόη ὡς καὶ ἀλλαχοῦ ὑπελαλήθη. ἀλλ' ὁ ποιητὴς ἐνταῦθα πάνυ τερατωδέστερον ἀγορεύει, λέγων οὕτως. οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασιν. οὐδέ τι πηδάλι' ἐστὶ τά τ' ἄλλαι νῆες ἔχουσιν, ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν. καὶ πάντων ἴσασι πόλιας καὶ πίονας ἀγροὺς ἀνθρώπων. ἐντεῦθεν οἱ μεταγενέστεροι ἐπὶ πλέον ἄλλοθι τερατείας τραπόμενοι φωνήεσσαν τῇ ἀργοῖ τὴν τρόπιν ὡς ἐκ τῆς Δωδωναίας δρυὸς προσπλάττουσιν. ὃ δὴ καὶ μόνον ταῖς Φαιακικαῖς ναυσὶν ἐνέλιπε. καὶ ἔστιν ἡ τοῦ Φαία 1.316 κος βασιλέως πρὸς τὸν ξένον ἐν τούτοις ἐκφόβησις, ὡς ἐπεὶ αἱ κατ' αὐτὸν νῆες τοιαῦται, οὐκ ἂν τύχοι νόστου μὴ ἀληθῶς εἰπὼν ποίας ὥρμηται γῆς, ἀλλ' ἐκεῖ ἀπαχθήσεται ὅποι ψεύσεται. καὶ Ὀδυσσεὺς εὖ εἰδὼς τὴν τερατολογίαν, οἶδε γὰρ οὐ πάνυ μακρὰν ἀλλήλων διῳκισμένας τήν τε τῶν Φαιάκων νῆσον καὶ τὴν Ἰθάκην, ὅμως ἀνέχεται, καὶ δοκεῖ πιστεύειν. τάχα που κἀνταῦθα ὑποφωνῶν ἑαυτῷ τὸ, τέτλαθι κραδίη. (ῃερς. 561.) ὁ δέ γε βασιλεὺς τὰς Φαιακικὰς σεμνύνων νῆας, ἐπιφέρει καὶ ὅτι λαῖτμα τάχισθ' ἁλὸς ἐκπερόωσιν, ἠέρι καὶ νεφέλῃ κεκαλυμμέναι. οὐδέ ποτέ σφιν οὔτε πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι. τούτων δὲ τὸ μὲν τάχιστα ἐκπερᾶν ὡς ὠκυπόρους, πιθανὴν ποιεῖ τὴν διὰ μιᾶς νυκτὸς ἀποκατάστασιν τοῦ Ὀδυσσέως εἰς τὴν Ἰθάκην. Τὸ δὲ ἠέρι καὶ νεφέλῃ κεκαλύφθαι, πιθανολογεῖ τὸ τῆς νήσου τῶν Φαιάκων ἀνεπιβούλευτον. εἰ γὰρ μὴ βλέποιντο αἱ ἐκεῖθεν πλέουσαι νῆες, οὐδ' ἄν τις τοῦ ἐκεῖ σε πλοῦ πάνυ καταστοχάσαιτο. (ῃερς. 563.) Τὸ δὲ οὔτε πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι, ἀπτόητον τηρεῖ τὸν Ὀδυσσέα εἰς τὸ μὴ παθεῖν κίνδυνον ἐν τῷ ἀποπλέειν. ἐπειδὴ δὲ πάνυ τερατώδη τὰ τοιαῦτα, καὶ ἦν εἰκὸς πολυπραγμονεῖσθαι ποῦ ποτ' ἂν τοιαύτη νῆσος οὖσα λάθοι διὰ τέλους ἅπαντας, πλάττει ὁ ποιητὴς τὸν βασιλέα χρησμοῦ τινὸς ἀναμνησθέντα παλαιοῦ. ὃς φόβον ἐνέσειε Φαίαξι, νῆά τε αὐτῶν ἐκ πομπῆς ξένου ἀνιοῦσαν ῥαισθῆναι, μέγα τε αὐτοῖς ὄρος τῇ πόλει ἀμφικαλύψειν τὸν Ποσειδῶνα, ἐκμοχλεύσαντα δηλαδὴ τὸ ἐγχώριον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὄρος καὶ ἐπικατασείσαντα τῇ Φαιακικῇ πόλει εἰς ὄλεθρον κάλλυμμα. καὶ ἔστι λοιπὸν κἀνταῦθα, ὡς καὶ ἐπὶ τοῦ κατὰ Τροίαν Ἑλληνικοῦ τείχους, εἰπεῖν προσφυῶς ὅτι ὁ πλάσας Ὅμηρος τὰ κατὰ τὴν τερατώδη Φαιακίαν ἐκεῖνος καὶ ἠφάνισεν, ἵνα ἔχοι λέγειν ὁ ποιητικὸς ἀνὴρ, ὡς ἦν μέν ποτε τὰ κατὰ τοὺς Φαίακας. Ποσειδῶνος δὲ ἀγασαμένου, ἠφάνισται καθὰ ἔπαθον καὶ ἄλλαι πόλεις πολλαί. (ῃερς. 566.) καὶ οὕτω μένει τὸ ψεῦσμα τοῦ ποιητοῦ ἀνεξέλεγκτον. ἔστι δὲ ἡ κατὰ τὸν Ἀλκίνοον φράσις ἐν τούτοις τοιαύτη. ἀλλὰ τόδε ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι ἡμῖν οὕνεκα πομποὶ (ῃερς. 570.) ἀπήμονες εἰμὲν ἤγουν ἐσμὲν, ἁπάντων. φῆ ποτὲ Φαιήκων ἀνδρῶν εὐεργέα νῆα ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ ῥαισέμεναι. μέγα δ' ἡμῖν ὄρος πόλει ἀμφικαλύψειν. ἐπεὶ δὲ τοῦτο ἐμποδῶν ἐστὶ τῇ τοῦ ξένου πομπῇ οὕτως ἁπλῶς εἰς νοῦν ἐλθεῖν τῷ βασιλεῖ καὶ ἐκφοβῆσαν αὐτὸν, ἐπιφέρει εὐθὺς ὁ ποιητὴς διὰ πιθανότητα τὸ, ὣς ἀγόρευ' ὁ γέρων. τὰ δέ κεν θεὸς ἢ τελέσειεν ἢ ἀτέλεστα εἴη ὥς οἱ φίλον ἔπλετο θυμῷ. ὃ δὴ πᾶς ἂν παραμυθητικῶς εἴποι ἐπὶ φόβῳ κακοῦ τινὸς μέλλοντος. Ἰστέον δὲ ὅτι τὸν τοιοῦτον χρησμὸν ἐρεῖ καὶ ἐν τοῖς ἑξῆς ὁ ποιητὴς περί που τὴν τοῦ ¯ν ῥαψῳδίαν. ἔνθα καὶ νηὸς μὲν ὄλεθρον τῆς τὸν Ὀδυσσέα κομισάσης ἐκτίθεται, οὐ μὴν δὲ καὶ πόλεως τῆς τῶν Φαιάκων ἀφανισμόν. οὐ γὰρ ἀναιδέστερον ἐθέλει τοῖς μυθικοῖς ἐμφιλοχωρεῖν, ἀλλ' ἀρκεῖται μόνον οἷς προεκθετικῶς ἐνέφηνε. Σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθα μὲν τὸ κατὰ τὸν χρησμὸν χωρίον ὀβελίσκους ἔχει μετὰ ἀστέρων. δι' ὧν δηλοῦται, ὡς ἐνταυθοῖ μὲν οὐ καλῶς κεῖνται τὰ ἔπη, ἀλλαχοῦ δὲ ἄριστα ἔχει. δοκεῖ γὰρ οὐ πιθανῶς πλασθῆναι τὸ πεμφθῆναι οἴκαδε ξεῖνον ὑπὸ Φαιάκων ἔχθιστον τῷ Ποσειδῶνι, οὗ τὸν φόβον ἐπέσειεν ὁ χρησμὸς τοῖς Φαίαξιν. οἳ μεμνημένοι μὲν τοῦ χρησμοῦ οὐκ ἂν πιθανῶς ἀποπέμψαι τὸν ξένον τολμήσωσι, μὴ μεμνημένοι δὲ καὶ διατοῦτο πέμψαντες μνησθεῖεν ἂν τοῦ χρησμοῦ ὅτε κακῶς πάθωσιν ἐν τῇ ῥαψῳδίᾳ τῆς ¯ν. τέως γε μὴν, πιθανότης ἐνταῦθα προκαταβέβληται τῆς περὶ τοῦ Κύκλωπος διηγήσεως. εἰ γὰρ εἰδὼς ὁ βασιλεὺς τὰ τοῦ εἰρημένου χρησμοῦ οὐκ ἀντέχεται αὐτοῦ γενναίως, ἀλλ' ἐνδοιάζων λέγει τὰ δέ κεν θεὸς ἢ τελέσειεν ἢ ἀτέλεστα εἴη, οὐκ ἀπιθάνως ἄρα θαῤῥήσει ὁ Ὀδυσσεὺς τὰ κατὰ τὸν Κύκλωπα διηγήσασθαι ἐφ' οἷς ὁ Ποσειδῶν ἐχολώσατο. καὶ τοιάδε μὲν ταῦτα. (ῃερς. 555.) Ἐν δὲ τῷ, γαῖάν τε δῆμόν τε πόλιν τε, γαῖαν μὲν τὴν χώραν λέγει, πόλιν δὲ τὴν πατρίδα, δῆμον δὲ, ὡς εἰκὸς, μέρος τι τῆς πατρίδος εἴτι που ἔχει τμῆμα ὀνομαστὸν, κατὰ τοὺς παρὰ πολλοῖς ῥεγεῶνας. ἢ τὰς Κρητικὰς τόρμας. ἢ καὶ κατὰ τοὺς Ἀττικοὺς δήμους, οὕτω γὰρ Δημοσθένης Ἕλλην ὢν κατὰ γαῖαν Ἀθηναῖος δὲ κατὰ πόλιν Παιανιεὺς ἦν ἐκ τῶν δήμων. ὥσπερ ἕτερός τις Αἰξωνεύς. ἄλλος δὲ Μυῤῥινούσιος. τοιούτῳ δέ τινι λόγῳ καὶ μέρος τι τῆς Ἰθάκης δῆμος ἐλέγετο. εἰκὸς δὲ καὶ ἄλλως ἑτερώνυμα εἶναι τὸν ἐν τῇ πόλει δῆμον καὶ αὐτὴν τὴν πόλιν, ὥς που καὶ ἐν τῇ Ἰλιάδι ἐφάνη. οὕτω γὰρ πόλις μὲν Εὔβοια, δῆμος δὲ αὐτῆς ἑτερωνύμως Ἄβαντες παρ' Ὁμήρῳ οὐ μὴν Εὐβοεῖς. εἰπεῖν δὲ καὶ ἄλλως ἁπλούστερον, δῆμον τοὺς πολίτας λέγοι ἄν. ἐπεὶ καὶ περιέχει γαῖα μὲν πόλιν, πόλις δὲ δῆμον. 1.317 (ῃερς. 556.) Τὸ δὲ τιτύσκεσθαι φρεσὶ πρὸς διαστολὴν ἐῤῥέθη τοῦ, τόξῳ τιτύσκεσθαι, ἢ σφενδόνῃ. λέγεται γὰρ ἐπὶ τοιούτων μάλιστα τὸ τιτύσκεσθαι, λέξις ὂν ποιητικὴ ἀχρεία λόγῳ πεζῷ, εἰ μὴ ἄρα παραπλέκοιτο. (ηερς. 563.) Τὸ δὲ οὔτ' ἀπολέσθαι διαφορὰν ἔχει πρὸς τὸ μὴ πημανθῆναι, τοῦτο μὲν γὰρ οὐ παντελῆ δηλοῖ φθορὰν, τὸ δὲ ἀπολεσθὲν εἰς τὸ μὴ εἶναι ἦλθε. (ῃερς. 566.) Τὸ δὲ οὕνεκα πομποὶ ἀπήμονες ἐσμὲν ἁπάντων διδάσκει καὶ αὐτὸ, μὴ ἀδιάκριτον τὴν ξενίαν εἶναι ἁπλῶς πρὸς τυχόντας. ὃ καὶ ἐν Ἰλιάδι ἐλέχθη ἐν τῷ, πάντας γὰρ φιλέεσκεν ὁδῷ ἔπι οἰκία ναίων. καὶ γὰρ ὁ ἐκεῖσε τοιοῦτος πανδοκεὺς ἔπαθέ τι κακόν. (ῃερς. 567.) Τὸ δὲ εὐεργέα νῆα, πρὸς ἔκπληξιν κεῖται. οὐ γὰρ ἁπλῶς ναῦς ῥαισθήσεται σαθρὰ τυχὸν ἢ εἰκῇ νεναυπηγημένη, ἀλλ' εὐεργής. (ῃερς. 563.) Ἀνιοῦσαν δὲ τὴν ἐπανερχομένην λέγει. (ῃερς. 569.) Ἐν δὲ τῷ, μέγα δ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἦμιν ὄρος πόλει ἀμφικαλύψειν, σημείωσαι ὅτι τὸ ἡμῖν ἐγκλιθὲν συνέστειλεν ἀσυνήθως τὴν λήγουσαν καὶ διατοῦτο προπεριεσπάσθη. Τὸ δὲ ἀμφικαλύψειν εἴρηται μὲν πρὸς ὁμοιότητα τοῦ, κεκαλυμμένοι ἵππῳ. καὶ τῶν ὁμοίων, δηλοῖ δὲ ἀφανισμὸν πόλεως ὑπὸ ὄρους ὡς καὶ πρὸ ὀλίγων ἐῤῥέθη. (ῃερς. 573.) Ὅτι προεκθετικὴ ἀφορμὴ τῆς ἐφεξῆς τοῦ Ὀδυσσέως πολυλογίας γίνεται ἡ ἐνταῦθα τοῦ Ἀλκινόου τοιαύτη ἐρώτησις. ἀλλ' ἄγε μοι εἰπὲ ὅπῃ ἀπεπλάχθης τε καὶ ἅς τινας ἵκεο χώρας ἀνθρώπων, αὐτούς τε, πόλεις τ' εὖ ναιεταώσας. ἠμὲν ὅσοι χαλεποί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι, οἵ τε φιλόξενοι, καί σφι νόος ἐστὶ θεουδής. Φιλομαθὴς δὲ ἐν τούτοις ὑποτίθεται εἶναι ὁ βασιλεὺς, ὃς ἐθέλει μαθεῖν καὶ τὸ αἴτιον τοῦ κατὰ τὸν Ὀδυσσέα λόγου, εἰπών. (ῃερς. 577.) εἰπὲ δ' ὅ, τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῷ Ἀργείων ἤγουν ὑπὲρ τῶν Ἀργείων Δαναῶν ἠδ' Ἰλίου (ῃερς. 578.) οἶτον ἀκούων. περὶ οὗ οἴτου καὶ πρὸ ὀλίγων καὶ ἐν ἄλλοις δὲ εἴρηται. ὅν φησι θεοὶ μὲν τεῦξαν, ἐπεκλώσαντο δ' ὄλεθρον ἀνθρώποις. ἵνα ᾖ καὶ ἐσσομένοισιν ἀοιδή. (ῃερς. 581.) εἶτα προσεπερωτᾷ καὶ εἴπερ τοιόσδε ἢ τοιόσδε αὐτῷ συγγενής τις ὤλετο ὑπὲρ οὗ θρηνεῖν αὐτὸν εἰκὸς ὡς εὐθὺς ῥηθήσεται. (ῃερς. 575.) Ἰστέον δὲ ὅτι τὸ, οὐδὲ δίκαιοι, ἑρμηνεία ἐστὶ τοῦ ἄγριοι. ἄλλως γὰρ οὐκ εἰκὸς ἀγρίους ἀνθρώπους εἶναι κατὰ τὰ ἄλογα. (ῃερς. 577.) Τὸ δὲ ὀδύρεσθαι ἔνδοθι θυμῷ, οὐ στεναγμὸν δηλοῖ μόνον ἀλλὰ καὶ ἁπλῶς λύπην βαθεῖαν ἐνδιάθετον. (ῃερς. 579.) Περὶ δὲ τοῦ ἐπεκλώσαντο, ἐῤῥέθη πολλαχοῦ ἔνθα καὶ περὶ ἀτράκτου μοιρῶν καὶ νήματος καὶ τοῖς κατ' αὐτὸ εἰλήσεως. Ὁ δὲ οἶτος τῶν Δαναῶν καὶ τῶν Ἰλιέων ὅς ἐστι καὶ τοῖς ἐσομένοις ἀοιδὴ τὴν Ὁμηρικὴν Ἰλιάδαἰνίττεται. (ῃερς. 581.) Ὅτι συγγενικά τινα ἐκθέσθαι βουληθεὶς ὁ ποιητὴς ὀνόματα ὃ δὴ πραγματεία τῶν τισὶ μεθ' Ὅμηρον γέγονε, πλάττει τὸν Ἀλκίνοον ἐρωτῶντα οὕτως. ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο Ἰλιόθι πρό. ἐσθλὸς ἐὼν γαμβρὸς ἢ πενθερὸς οἵ τε μάλιστα κήδιστοι τελέθουσι μεθ' αἷμά τε καὶ γένος αὐτῶν. ἤ τίς που καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα εἰδὼς ἐσθλός. (ῃερς. 585.) εἶτα ἐπάγει γνωμικόν. ἐπεὶ, οὐ μέν τι κασιγνήτοιο χερείων γίνεται ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα εἰδῇ. (ῃερς. 581.) Καὶ ὅρα ὅτι ἄγαν ἐπαινεῖ τὴν καθαρὰν φιλίαν εἴγε μὴ χερείονα κασιγνήτου τὸν ἐσθλὸν φίλον φησί. Σημείωσαι δὲ ὅτι περὶ πηοῦ καὶ ἑταίρου ἐρωτήσας ὁ βασιλεὺς οὐκ ἐσίγησεν οὐδὲ τοὺς καθ' αἷμα, εἰπών. μεθ' αἷμά τε καὶ γένος αὐτῶν. οἱονεὶ λέγων ὡς εἴπερ πηοῦ μέμνημαι καὶ ἑταίρου, πολλῷ πρότερον περὶ συγγενοῦς ἐρωτῶ. τούτου δὲ ἐνδεικτικὸν καὶ τὸ, ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο. ὁ γὰρ κα¯ι σύνδεσμος δευτερεύειν δηλοῖ τὸν πηὸν τοῦ ἐξ αἵματος γένους. Τῶν δὲ ῥηθεισῶν οἰκειοτήτων τοιαύτη τις κατὰ τὸν ποιητὴν ἡ διαίρεσις. τῶν δι' οὓς λυπούμεθα, οἱ μὲν πηοί εἰσι τουτέστιν ἀγχισταὶ καὶ κλητοὶ συγγενεῖς παρὰ τὸ πῶ τὸ κτῶμαι. ὧν κήδιστοι γαμβρὸς καὶ πενθερός. οἱ δὲ φύσει συγγενεῖς. καὶ τούτων οἱ μὲν αἷμα ὡς οἱ παῖδες, οἱ δὲ ἁπλῶς γένος ὡς ἀδελφοὶ αὐτανέψιοι. ἀνεψιοί. εἰσὶ δέ τινες καὶ οὐδέτερον τούτοιν, τουτέστιν οὔτε πηοὶ οὔτε συγγενεῖς, ἀλλ' ἑταῖροι. μάλιστα δὲ ἄλλως εἰπεῖν, τοιαύτη ἡ τοῦ ποιητοῦ ἐνταῦθα διαίρεσις. τῶν δι' οὓς λυπούμεθα, οἱ μὲν, γνήσιοι. τουτέστι τοῦ ἡμετέρου γένους. οἱ δὲ, οὔ. τῶν δὲ πρὸς γένους, οἱ μέν, αἷμα. οἱ δὲ, γένος ὀνόματι γενικῷ. τῶν δ' αὖ μὴ τοιούτων οἱ μὲν πηοί, οἱ δὲ ἑταῖροι. Καὶ ὅρα ὅτι φανερῶς ἐνταῦθα πηὸν ἔφη τὸν ἐπίκτητον συγγενῆ ὁποῖος καὶ ὁ πενθερὸς καὶ ὁ γαμβρός. οἳ ἐσθλοὶ ἐόντες κήδιστοι ἂν εἶεν μετὰ τὸ αἷμα καὶ τὸ γένος. ὡς τοῦ αἵματος καὶ τοῦ γένους προτιμητέων μᾶλλον ὄντων. Ἐκ δὲ τοῦ κήδεσθαι οὐ μόνον κήδιστοι, ἀλλὰ καὶ κηδεσταὶ οἱ τοιοῦτοι πηοὶ λέγονται. (ῃερς. 584.) Ἐσθλὸν δὲ ὑπογράφει ἑταῖρον τὸν κεχαρισμένα εἰδότα καὶ ὃς ἂν πεπνυμένα εἰδῇ, ὃν οὐδὲ τίθησι μετὰ κασίγνητον ὥσπερ ὁ ἐσθλὸς πηὸς καθ' αἷμα καὶ γένος κήδιστός 1.318 ἐστιν, ἀλλ' εἰς ἶσον ἄγει κασιγνήτῳ, εἴγε μὴ χερείων αὐτοῦ ἐστίν. (ῃερς. 582.) Ἰστέον δὲ καὶ ὅτι φαίνεται ὁ βασιλεὺς ἀποσεμνύνων ἐν τοῖς ἀγχιστεῦσι καὶ τὸν γαμβρὸν, ἐπεί περ φθάσας εὔξατο γαμβρὸν αὐτοῦ κληθῆναι τὸν Ὀδυσσέα. ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ι. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Ἀρχὴ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὀδυσσέως διηγημάτων. ἐν οἷς φησὶν πεπολεμηκέναι τοῖς Κίκοσιν καὶ πρὸς τοὺς Λωτοφάγους παραγενέσθαι καὶ πρὸς τὸν Κύκλωπα Πολύφημον πορευθῆναι καὶ τοῦτον, φαγόντα ἓξ ἤδη αὐτοῦ ἑταίρους, ἐκτυφλῶσαι. ΟΔΥΣΣΕΙΑΣ Ι. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. Ὅτι γνωριστικὴ τῆς ἰῶτα ῥαψῳδίας ταύτης ἐπιγραφὴ, τό. τὰ περὶ Κίκονας καὶ Λωτοφάγους καὶ Κύκλωπας περὶ ὧν ἐν τῷ παρόντι γράμματι ἀφηγήσεται Ὀδυσσεὺς, ταμιευσόμενος ἐφεξῆς τὰ λοιπὰ τῆς κατ' αὐτὸν πλάνης. (ῃερς. 3.) Ὅτι προκληθεὶς Ὀδυσσεὺς εἰς μακρὰν ἀφήγησιν πρῶτα μὲν κατά τινα προοιμιακὴν ἔννοιαν λέγει τὸ καὶ περὶ Φημίου προγραφέν. ὡς καλόν ἐστιν ἀκούειν ἀοιδοῦ τοιοῦδε, οἷος καὶ ὁ Δημόδοκος θεοῖς ἐναλίγκιος αὐδήν. (ῃερς. 5.) εἶτα αἰτίαν τούτου ἀποδιδοὺς ἐπάγει τὰ ἐφεξῆς γνωμικώτερον. καὶ ἐπεί περ ἡδυπαθοῦσιν οἱ Φαίακες καὶ πρὸς φιληδονίαν ἐπτόηνται καὶ πρὸς τὸ ἀπολαυστικὸν ἀπονεύουσι, συντρέχει αὐτοῖς τῷ λόγῳ. καὶ καλὸν εἶναι κατασκευάζει ἀκούειν τοῦ ἀοιδοῦ Δημοδόκου, οὐ διότι μουσοτραφὴς ὁ ἀνήρ, οὐδ' ὅτι πολυΐστωρ, οὐδ' ὅτι ἡδυμελής, ἀλλὰ διατί; οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι ὅτ' εὐφροσύνη μὲν ἔχει κατὰ δῆμον ἅπαντα. δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζονται ἀοιδοῦ, ἥμενοι ἑξείης. παρὰ δὲ πλήθωσι τράπεζαι σίτου καὶ κρειῶν. μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων οἰνοχόος, φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι. (ῃερς. 11.) τοῦτο τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι. Καὶ ὅρα ὅτι τοῦτο μὲν, κάλλιστον ὑπερθετικῶς ἔφη. (ῃερς. 5.) τὸ μέντοι ἀκούειν ἀοιδοῦ τοιοῦδε καλὸν ἁπλῶς ἔφη. καὶ ὅτι ἐντεῦθεν Ἐπίκουρος καὶ οἱ κατ' αὐτὸν λαβόντες τέλος τῶν πρακτέων εἶπον εἶναι τὴν ἡδονήν. καὶ ὅτι ὁ ποιητὴς οὐχ' ἁπλῶς τέλος οὐδὲ τέλος ἄριστον εἶπεν εἶναι τὰ ῥηθέντα, ἀλλὰ τέλος χαριέστερον συμποσικωτέρᾳ ταύτῃ λέξει χρησάμενος ἀναλόγως οἷς ἐξέθετο. ὧν τέλος τὸ καθ' ἡδονὴν χαρίεν. Ὅρα δὲ ὅτι Ἀλκινόου φθάσαντος εἰπεῖν ὡς ἀεὶ δαῒς ἡμῖν φίλη, Ὀδυσσεὺς κολακεύων καιρίως καὶ προσοχὴν μεθοδεύων, ἐφ' οἷς ἀδολεσχῆσαι μέλλει, τοῖς τε ἄλλοις τοῦ βασιλέως λόγοις παραποιήσας συνέδραμε, καὶ τὴν γενικὴν λέξιν (ῃερς. 9.) τῆς δαιτὸς εἰς σῖτον καὶ κρέα καὶ μέθυ διέλυσε, τάχα που δοκῶν καὶ αὐτὸς ἐπαινεῖν Ἀλκαίου τὸ, οἴνῳ πνεύμονα τέγγε. καὶ Ἀντιφάνους ἀπορίαν, τὸ δὲ ζῆν εἰπέ μοι τί ἐστιν; ἧς λύσις, τὸ πίνειν φῆμ' ἐγώ. καὶ παρῳδίαν ἐκείνην ἐκ τῶν τοῦ Σοφοκλέους. ὁρᾷς παρὰ ῥείθροισι χειμάῤῥοις ὅσα δένδρων ἀεὶ τὴν νύκτα καὶ τὴν ἡμέραν βρέχεται, μέγεθος καὶ κάλλος οἷα γίνεται. τὰ δ' ἀντιτείνονθ' οἱονεὶ δίψαν τινὰ ἢ ξηρασίαν ἔχοντ', αὐτόπρεπον ἀπόλλυται; ὃ δὴ μεθύσῳ ἀνδρὶ ἐπιπρέπει, ἐφιεμένῳ Φαιακικῶς οἴνῳ αἰεὶ ὑποβρέχεσθαι. (ῃερς. 6.) Ἰστέον δὲ ὅτι τὸ, ὅτ' εὐφροσύνη ἔχει κατὰ δῆμον ἅπαντα, μεταγράφων Ἐρατοσθένης οὕτω λέγεται γράψαι. ὅτ' εὐφροσύνη μὲν ἔχει κακότητος ἁπάσης. κακότητα λέγων τὴν ἀφροσύνην, ἧς δοκοῦσι στέρεσθαι Φαίακες. ἀδύνατον γάρ φησι μὴ φρονίμους εἶναι αὐτοὺς, οἳ καθ' Ὅμηρον μάλα φίλοι εἰσὶ θεοῖς. ἔοικε δέ φασιν ἐκ τῆς Φαιακικῆς ἡδυπαθείας Ἐπίκουρος ὁ καὶ προγραφεὶς παρατρυφῆσαι τὸ δοξάσαι τ' ἀγαθὸν τὴν ἡδονήν, καὶ νομίσαι μὴ εἶναι ταύτην ἔχειν ἑτέρωθεν ὅτι μὴ ἐκ τοῦ ζῆν παγκάλως. καὶ μὴν ἐκεῖνος μὲν δοκεῖ πως ἐκθεραπεύειν τὸ ἄτοπον, δοξάζων καὶ ὡς τιμητέον τὸ καλὸν καὶ τὰς ἀρετὰς καὶ τὰ τοιουτότροπα, ἐὰν ἡδονὴν παρασκευάζῃ, εἰ δὲ μή γε, χαίρειν ἐατέον. οἱ δέ γε περὶ ἐκεῖνον ἀχρειοῦσι διασαφοῦντες τὴν δόξαν ἐν τῷ λέγειν ἄλλα τέ τινα καὶ ὡς ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή. καὶ τὰ σοφὰ καὶ τὰ περιττὰ εἰς ταύτην ἔχει τὴν ἀναφοράν. Τὸ δὲ κατὰ 1.319 δῆμον ἅπαντα δυσχέρειαν καὶ τοῦ τοιούτου βίου δηλοῖ, ὡς μὴ δυνατὸν ὂν πάντας εὐφραίνεσθαι. (ῃερς. 7.) Τὸ δὲ ἀκουάζονται ὅμοιον τῷ μιγάζονται. ἄμφω γὰρ παρῆκται τὸ μὲν ἐκ τοῦ ἀκούω, τὸ δὲ ἐκ τοῦ μίγω. (ῃερς. 8.) Τὸ δὲ ἥμενοι ἑξείης εὐταξίαν ὀφείλεσθαι καὶ τοῖς συμποσίοις δηλοῖ. δι' ἣν καὶ οἱ τραπεζονόμοι ἐπενοήθησαν παρὰ τοῖς παλαιοῖς. (ῃερς. 11.) Τὸ δὲ ἐνὶ φρεσὶν εἴδεται εἶναι, ἄριστα καὶ αὐτὸ κεῖται. καθὰ καὶ τὸ, οὐ γὰρ ἔγωγέ τι φημί. μερικεύει γὰρ ὡς ἐν δισταγμῷ τὴν ἀπόφανσιν, ὡς ἂν μὴ δοκοίη


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθηγητὴς εἶναι καθόλου τρυφῆς καὶ τέλος τῶν ἐν βίῳ λέγων τὴν ἡδονήν. ὃ δή τινες ἐπέσκωψαν τῷ ποιητῇ. ἀληθῶς γὰρ συσχηματίζεται τοῖς ἀκροαταῖς Φαίαξιν εἰς καιρὸν ὁ δεινὸς καὶ πολύτλας φιλόσοφος Ὀδυσσεὺς, καὶ τὰ ἐν ποσὶν ἐπαινεῖ κερδαλέως ἑαυτῷ, ὡς ἂν ἐλεεινὸς εἴη καὶ φίλος τοῖς ξεινοδόκοις καὶ μὴ προφέρηται αὐτοῖς ἐναντιότητα, καὶ οὕτως ἑαυτοῦ πάντα κολούῃ καθάπερ αὐτὸς οὐ πρὸ πολλῶν ἔφη. Σημείωσαι δὲ καὶ ὅτι, καθὰ καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐῤῥέθη, εὐδοκιμεῖν φαίνεται καὶ ἐν ἐπιγραμμάτων ποιήσει πρὸς τῶν ἄλλων Ὅμηρος. οὐ μόνον γοῦν ἐκεῖ ἐπίγραμμα ἐξεφώνησεν ἐν τῷ, ἀνδρὸς μὲν τόδε σῆμα κατατεθνειῶτος καὶ ἑξῆς, ἀλλὰ καὶ ἑτέροις ἐνδέδωκε λαβὰς ἐπιγραμμάτων ποιήσεως. Ἀναξήνορος γοῦν τοῦ Μάγνητος γραπτή τίς φασιν ἦν εἰκὼν ἔχουσα εἰς ἀοιδόν τινα ἐπίγραμμα τὰ ἐνταῦθα ἐπιφωνηθέντα τῷ ἀοιδῷ ἔπη. ἤγουν τὸ, ἤτοι μὲν τόδε καλὸν ἀκούεμεν ἐστὶν ἀοιδοῦ τοιοῦδε οἷος ὅδ' ἐστὶ θεοῖς ἐναλίγκιος αὐδήν. ὅ τε φασὶ διὰ τὴν στενοχωρίαν τοῦ ὑποκειμένου πίνακος γράψας ὁ τεχνίτης, θεοῖς ἐναλίγκιος αὐδὴ, γέλων ὤφλησε τοῖς ἀναγινώσκουσιν. (ῃερς. 12.) Ἰστέον δὲ ὅτι οὐ μάτην ὁ ποιητὴς παρέῤῥιψε τὰ τοῦ Ὀδυσσέως ῥήματα, ἀλλ' εἰς προοιμιακήν τινα ἔννοιαν ἐξ ὑπολήψεως οὖσαν τῆς κατὰ τοὺς Φαίακας, ἵνα λέγῃ ὅτι καλὸν μὲν ἥδεσθαι τῇ τε δαιτὶ καὶ οἷς ὁ Δημόδοκος ᾄδει, σὺ δὲ ὦ βασιλεῦ ἐθέλεις παραμίξαι με τοῖς ἡδέσι τὰ λυπηρὰ, διηγούμενον τὰ κατ' ἐμὲ πολλὰ κήδεα, καὶ ὅμως ἐρῶ. Ὅτι τῷ πολλὰ οἰκεῖα λυπηρὰ καταλέξοντι ἐξ ἐρωτήσεως ἁρμόζον ἔστιν εἰπεῖν τὸ, σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο τουτέστιν ἐπέτρεψε στονόεντα εἴρεσθαι ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω. τί πρῶτόν τοι ἔπειτα τί δ' ὑστάτιον καταλέξω, κήδεα ἐπεί μοι πολλὰ δῶκε θεός; (ῃερς. 13.) Ἰστέον δὲ ὅτι εἰ καὶ τὰ λυποῦντα κουφίζει τὴν ψυχὴν ἐκφαινόμενα, ἀλλὰ τοῦτο μὲν ὕστερον γίνεται, ἐν δὲ τῷ λέγεσθαι, μεγάλα λυπεῖ, ὡς δηλοῖ τὸ, ὄφρα μᾶλλον ὀδυρόμενος στεναχίζω. Ὅτι καθὰ Διομήδης ἐν μέσῳ Ἄργει ξένος ἦν τῷ Λυκίῳ Γλαύκῳ, οὕτω καὶ Ὀδυσσεὺςεἴπερ φύγῃ νηλεὲς ἦμαρ, ξεῖνος ἔσται τῷ Ἀλκινόῳ καὶ ἀπόπροθι δώματα ναίων. πλὴν ἐνταῦθα μὲν αὐτοπρόσωπος ἐντυχία τὴν ξενίαν ἤγαγεν. ἐκεῖ δὲ, πατρώϊοι ξένοι ἀλλήλοις, ὁ Διομήδης καὶ ὁ Γλαῦκος. (ῃερς. 18.) Τὸ δὲ ἀπόπροθι δώματα ναίων, εὐφραίνοι ἂν τὸν βασιλέα, ὡς ἤδη πείσαντα τὸν ξένον μακρὰν τῆς τῶν Φαιάκων γῆς εἶναι τὴν Ἰθάκην ὡς καὶ ὑποκαταβὰς πάλιν ἐρεῖ Ὀδυσσεύς. (ῃερς. 19.) Ὅτι Ὀδυσσεὺς διηγούμενος, ὡς ἠρωτήθη τὰ καθ' ἑαυτὸν, φησίν. εἶμ' Ὀδυσσεὺς Λαερτιάδης, ὃς πᾶσιδόλοισιν ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει. ναιετάω δ' Ἰθάκην εὐδείελον. ἐν δ' ὄρος αὐτῇ Νήριτον εἰνοσίφυλλον, ἀριπρεπές. ἀμφὶ δὲ νῆσοι πολλαὶ ναιετάουσι μάλα σχεδὸν ἀλλήλῃσι. Δουλίχιόν τε, Σάμη τε, καὶ ὑλήεσσα Ζάκυνθος. αὐτὴ δὲ χθαμαλὴ πανυπερτάτη εἰν ἁλὶ κεῖται πρὸς ζόφον, αἱ δέ τ' ἄνευθε πρὸς ἠῶ τ' ἠέλιόν τε, τρηχεῖα, ἀλλ' ἀγαθὴ κουροτρόφος. οὔτι ἔγωγε ἧς γαίης δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι. (ῃερς. 29.) εἶτα ἐξάγων τῆς τοῦ βασιλέως ψυχῆς τὴν ἐλπίδα τοῦ γαμβρὸν σχεῖν τὸν Ὀδυσσέα, καὶ εἰπὼν ὡς ἔρυκε μὲν αὐτὸν καὶ ἡ Καλυψὼ αὐτόθι. κατερήτυε δὲ καὶ Κίρκη Αἰαίη, δολόεσσα, λιλαιομένη πόσιν εἶναι, οὔποτε δὲ τὸν αὐτοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον, (ῃερς. 34.) ἐπιφέρει πάλιν γνωμικὸν περὶ πατρίδος τὸ, ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων γίνεται. εἴπερ καί τις ἀπόπροθι πίονα οἶκον γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων. ὥσπερ δηλαδὴ καὶ ἐμοὶ γλυκίων ἡ τραχεῖα Ἰθάκη τοῦ ἐνταῦθα πίονος οἴκου. πρὸ αὐτοῦ δὲ, καὶ τοῦ τῆς Καλυψοῦς καὶ τοῦ τῆς Κίρκης. καὶ οὕτω μέχρι ὧδε προοιμιακῶς ἑαυτὸν συστήσας ὁ Ὀδυσσεὺς εἶτα διηγεῖται ὅσα μετὰ τὸν ἐκ Τροίας ἀπόπλουν ἔπαθε. (ῃερς. 19.) Σημείωσαι δὲ κἀνταῦθα συνήθως τὸ ποιητικὸν διήγημα ἐξ ὑπαρκτικοῦ ἀρξάμενον ῥήματος τοῦ εἰμί. ἔνθα σημείωσαι ὡς εὐθὺς ἥρπασε τοὺς Φαίακας ὁ ξεῖνος εἰς ἑαυτόν. ἔχοντες γὰρ ἤδη ἐκ τοῦ Δημοδόκου τὸ τοῦ Ὀδυσσέως ὄνομα, ὅτε τὰ κατὰ τὸν δούρειον ἵππον ἤειδε, γίνονται ὅλοι τῆς τούτου ξενίας. καὶ νῦν μὲν ἡδέως αὐτοῦ ἀκροάσονται, ὕστερον δὲ καὶ πλείω δῶρα ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεγάλῳ ἥρωϊ προσεπιθήσουσι. καὶ μάλιστα ὅτι θαῤῥήσας εἶπε τὸ, κλέος αὐτῷ οὐράνιον εἶναι. 1.3 Ἰστέον δὲ ὅτι τοῦ εἰμὶ, τουτέστιν ὑπάρχω, ἄλλως παραγομένου κοινότερον, Ἡρακλείδης λέγει περὶ αὐτοῦ ὡς ἔνιοι τῶν Αἰολικῶν μετατιθέντες ἐν πρώτῃ καὶ δευτέρᾳ συζυγίᾳ τῶν περισπωμένων τὸ εἰς ¯η ποιοῦσι ῥήματα εἰς μ¯ι πλεονασμῷ τῆς μ¯ι συλλαβῆς ἐπὶ τέλους. οὕτω φασὶ καὶ ἀπὸ τοῦ φῶ τὸ Αἰολικὸν φημί. διὸ βαρύνων ὁ Τυραννίων φῆμι γράφει βαρυτόνως Αἰολικώτερον. οἷον. φῆμι γὰρ οὖν κατανεῦσαι. οὐκοῦν καὶ ἀπὸ τοῦ ὦ ἤγουν ὑπάρχω εἴη ἂν Αἰολικὸν ἦμι. καὶ Βοιωτικῇ μεταθέσει τοῦ ¯η εἰς τὴν ε¯ι δίφθογγον, εἰμὶ, ἡμαρτημένον ὂν τῷ τόνῳ καθὰ ἑτέρωθι λέγει αὐτός. τὰ γὰρ Αἰολικὰ δῆλον ὅτι βαρύνονται. τοῦ δὲ τοιούτου Βοιωτίου ἦμι, τὸ δεύτερον εἶς. οἷον. τίς πόθεν εἶς ἀνδρῶν. λέγει δὲ ὁ αὐτὸς, καὶ ὅτι Βοιωτοὶ τὸ ἦτα παρατέλευτον ὂν τῆς πρώτης τῶν εἰς μ¯ι μετατιθέντες εἰς τὴν ε¯ι δίφθογγον πολλάκις καὶ ἀναδιπλοῦσιν. οἷον πεφίλειμι. νενόειμι. καὶ ὅτι ὅσα τῶν εἰς μ¯ι τῇ α¯ι διφθόγγῳ παραλήγονται οἷον τὸ γέλαιμι καὶ τὰ λοιπὰ, Αἰολικὰ ὄντα, τῆς Λεσβίων ἔχονται διαλέκτου. εἶτα εἰπὼν ἡμαρτῆσθαι καὶ τὸ ἐστὶν, ὤφειλε γάρ φησι κατὰ τὸ δίδωμι δίδωσι καὶ φημὶ φησὶ λέγεσθαι καὶ εἰμὶ εἰσὶ, καὶ ἐπικρίνας τοῦτο ἐπάγει ὅτι καὶ ἡμεῖς ὅτε εἰσὶν ἐκεῖνοι εἴπωμεν πληθυντικῶς, Βοιωτίως χρώμεθα, ἑνικὸν ῥῆμα κατὰ πλήθους τάσσοντες. εἶτα ἐλέγχων καὶ τοὺς εἰπόντας Δώριον εἶναι τὸ ἐστὶν, ὡς γὰρ δίδωσι δίδωτι τίθησι τίθητι οὕτω καὶ εἰσὶ εἰτὶ καὶ ἀπελεύσει τοῦ ¯ι καὶ ἐνθέσει τοῦ σίγμα ἐστὶ, λέγει δυνατά. ἐν οἷς καὶ ὅτι Αἰολεῖς μὲν τὸ φησὶ, φάτι λέγουσιν. Ἴωνες δὲ ἠσὶ δίχα τοῦ φ¯ι. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Ἐν δὲ τῷ, πᾶσι δόλοισιν, ἄδηλον εἴτε οὕτω συνακτέον, εἴτε καὶ μᾶλλον ἄλλως, (ῃερς. .) πᾶσιν ἀνθρώποισι μέλω ἐν δόλοις, ἤγουν ἐν ἐπιμελείᾳ εἰμὶ ὡς δόλοις ἐμπρέπων στρατηγικοῖς δηλαδὴ καὶ ἄλλως ἀγαθοῖς οἵ περ εἰς ὕλην τῇ φρονήσει καθυποβέβληνται. δι' ὧν καὶ τὴν δολόεσσαν Κίρκην κατειργάσατο. (ῃερς. 21.) Τὸ δὲ καί μευ κλέος οὐρανὸν ἵκει, σεμνότατα εἴρηται πρὸς σύστασιν προσωπικήν. Εὐδείελος δὲ, κατὰ κοινὸν ἐπίθετον, ἡ εὔδηλος δὲ, ἤγουν εὐπεριόριστος καὶ εὐόρατος, ἀπὸ τοῦ δῆλον ἐξ οὗ κατὰ διάλυσιν δέελον. ὡς τὸ, δέελον δ' ἐπὶ σῆμα ἔθηκε. καὶ κατὰ σύνθεσιν, εὐδέελον. καὶ ἐπενθέσει τοῦ ¯ι εὐδείελον τὸ εὐπεριόριστον καὶ εὐκατάληκτον. διὸ καὶ νῆσον Ληκτηρίαν ὁ Λυκόφρων λέγει. ἐπεὶ ὁ μὲν ἄπειρος τόπος, οὐδὲ εὐδείελος. ὁ δὲ Ληκτήριος, πάντως καὶ εὐδείελος διὰ τὸ εὐπέραντον. ὅθεν καὶ λόφος εὐδείελος παρὰ Πινδάρῳ. ἐπεὶ καὶ οἱ λόφοι καθὰ καὶ πᾶσα νῆσος διὰ τὸ λοφῶδες εὔδηλοι καὶ εὐπεράτωτοι. καὶ ἄλλως δὲ ἰδίως ἡ Ἰθάκη εὐδείελος, ὡς εὖ τῆς εἵλης ἔχουσα, ὅ ἐστιν εὔκρατος. καὶ οἱονεὶ εὐήλιος. ἵνα ᾖ ἐκ τοῦ εὔειλος, πλεονασμῷ τοῦ ¯δ. ὃ καὶ ἐν τῷ ἐχθοδοπὸς γίνεται. καὶ οὐτιδανός. καὶ πολυψίδιον Ἄργος. καὶ τοῖς ὁμοίοις. ἢ καὶ ἡ εὖ πρὸς δείλην κειμένη, ὅ ἐστι πρὸς δύσιν καὶ ζόφον. ὡς τῶν ἄλλων τῶν πέριξ αὐτῆς κειμένων πρὸς ἠῶτε ἠέλιόν τε. (ῃερς. 22.) Τὸ δὲ Νήριτον περὶ οὗ καὶ προγέγραπται Κράτης τε ἐν τῷ περὶ λιμένων Νήϊον γράφει, καὶ Φιλόξενος δὲ ὁμοίως. ὃς καὶ τὴν Ἰθάκην ὑπονήϊον ἐντεῦθεν εἰρῆσθαι φησίν. Εἰνοσίφυλλον δὲ κατὰ τοὺς παλαιοὺς τὸ κινησίφυλλον παρὰ τὸ ἐνόθω ἐνόσω. ἀφ' οὗ ἔνοσις. ἐντεῦθεν ἡ κίνησις δέ φασι, τὸ καταπνεόμενον δηλοῦται. καὶ ὡς ἂν εἴποι τις ἠνεμόεν, κατὰ τὸ, παρ' ἠνεμόεντα μίμαντα. καὶ ἄλλως δέ φασιν εἰνοσίφυλλον τὸ σεισόφυλλον. τὸ κατάδενδρον. ὁμοιότης δὲ παραγωγῆς ἐνταῦθά τε καὶ ἐν τῷ ἐνοσίχθων καὶ ἐνοσίγαιος. Τὸ δὲ ἀριπρεπὲς καὶ καλόν τι ὄρος εἶναι δηλοῖ τὸ Νήριτον, εἴτε ἀληθῶς, εἴτε κατὰ τὸν ἐπαινέτην ἐγχώριον ῥήτορα, ὃς καὶ τὴν Ἰθάκην σεμνύνει ὡς δυνατόν. (ῃερς. 23.) Τὸ δὲ πυκνὰς εἶναι τὰς ἀμφὶ τὴν Ἰθάκην νήσους καθ' ἱστορικὴν ἀλήθειαν λέγεται. (ῃερς. 24.) Ἡ δὲ Σάμη αὕτη ὅτι καὶ Σάμος λέγεται προδεδήλωται. εἴρηται δὲ καὶ ἐν Ἰλιάδι περί τε αὐτῆς καὶ περὶ τοῦ Δουλιχίου. Τὸ δὲ ὑλήεσσα Ζάκυνθος, ὡς καὶ τὸ ἠγαθέη Πύλος, θηλυκοῦ γένους εἶναι δηλοῖ τήν τε Ζάκυνθον καὶ τὴν Πύλον, ὥστε καὶ ἐν τῷ, Πύλου ἠμαθόεντος καὶ ἐν τῷ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑλήεντι Ζακύνθῳ, οὐδέν τι κωλύει ταῖς νήσοις ταύταις τὸ θῆλυ γένος φυλάσσεσθαι. Ἐν δὲ τῷ (ηερς. 25.) χθαμαλὴ πανυπερτάτη, ἀπορεῖται μὲν πῶς κατ' ἐναντιότητα ἐπιθέτων ἡ αὐτὴ καὶ χθαμαλὴ καὶ πανυπερτάτη ἐστί. συμβιβάζεται δὲ τὸ ἄπορον, οὕτως. ἄλλως μὲν χθαμαλή ἐστι, πρὸς δὲ τὰς πλησίον, ὑπερτάτη. ἢ τῇ μὲν θέσει χθαμαλή. οὐ τοιαύτη δὲ, διὰ τὴν τῶν ἐνοικούντων λαμπρότητα. (ηερς. 27.) κουροτρόφος γὰρ ἀγαθὴ ὅ ἐστι νέους ἀγαθοὺς φέρουσα. ἧς καὶ ὁ βασιλεὺς Ὀδυσσεὺς πρὸ βραχέων οὐρανόμηκες ἔχειν ἔφη κλέος. οὗ τί ἂν εἴη ὑπέρτατον; ἴσως δὲ καὶ (ηερς. 25.) ἄλλως χθαμαλὴ μὲν τὰ κάτω, διὰ δὲ τὸ Νήριτον ἢ Νήϊον ὄρος ὑπερτάτη. διὸ ἡ τῆς Κίρκης νῆσος χθαμαλὴ μὲν κεῖται οὐ μὴν ὑπερτάτη. ὁ δὲ γεωγράφος φησὶν 1.321 ὅτι χθαμαλὴ μὲν, ὡς τῇ ἀντικρὺ Ἠπείρῳ πρόχωρος, πανυπερτάτη δὲ, ὡς πρὸς τὰς ἐκεῖ πάσας ἐσχάτη τετραμμένη πρὸς Ἄρκτον. τοῦτο γὰρ σημαίνει φησὶ τὸ, πρὸς ζόφον. οὔτε γοῦν ἁπλῶς ταπεινὴ ἀλλὰ πρόσχωρος τῇ Ἠπείρῳ ἐγγυτάτω οὔσῃ ἀντιπέραν, οὔθ' ἁπλῶς ὑψηλοτάτη, ἀλλὰ πανυπερτάτη πρὸς ζόφον, ἤγουν ἐσχάτη πρὸς ἄρκτον ὑπὲρ πάσας. (ηερς. 27.) Τὸ δὲ τρηχεῖα, ἱστορικῶς εἴρηται καθὰ καὶ πρὸ τούτων τὸ αἰγίβοτος, ἵνα λέγῃ ὥσπερ ἐκεῖ ὅτι αἰγίβοτός ἐστιν ἡ Ἰθάκη, οὕτω καὶ νῦν ὅτι τρηχεῖα ἐστίν. οὗ ἀντίθετον εὐθὺς τὸ, ἀλλ' ἀγαθὴ κουροτρόφος ὡς προεγράφη. καὶ ἔστι τὸ νόημα μίγμα ψόγου τε καὶ ἐπαίνου. ἐν ᾧ καὶ τὸ φιλόπατρι τοῦ Ὀδυσσέως δηλοῦται καὶ τὸ φιλάληθες, εἰ μὴ ἀποκρύπτει τὰ τῆς πατρίδος ἐλαττώματα, καὶ τὸ μὴ ἐμποδὼν εἶναι χώρας λυπρότητα πρὸς γένεσιν ἀνδρὸς ἀγαθοῦ. (ηερς. 28.) Σημείωσαι δὲ καὶ ὅτι τεχνικωτέρα ἐγκωμιαστικὴ μέθοδος ἡ τοῦ Ὀδυσσέως ἐπὶ Ἰθάκῃ παρὰ τὴν τοῦ Τηλεμάχου. οἷα τοῦ ποιητοῦ, κάλλιον ἐπίτηδες χαρισαμένου τῷ γέροντι ῥήτορι. Τὸ δὲ οὔτι ἔγωγε δύναμαι, ἀποφαντικῶς ἔφη λόγῳ σεμνότητος. (ηερς. 31.) Τὸ δὲ ἧς γαίης, ἧς πατρίδος εἶπεν ὑποκατιών. Κίρκη δὲ νῦν μὲν συνήθως κύριον ὄνομα, ἐξ ἧς που καὶ Κιρκαῖον πεδίον. ὅτι δὲ καὶ ὄρνιθος ὄνομα ἡ κίρκη δηλοῦσιν οἱ παλαιοί. ὧν καὶ ὁ Αἰλιανός. ἄλλο δέ τι ἡ τοιαύτη παρὰ τὸν κίρκον. (ηερς. 32.) Τὸ δὲ Αἰαίη, ἀντὶ τοῦ Κολχικὴ κατὰ ἐπωνυμίαν τοπικήν. Αἶα γὰρ πόλις Κολχίδος παρά τε ἄλλοις καὶ παρὰ Λυκόφρονι. ἧς ὁ πολίτης Αἰαῖος. καὶ ἡ πολίτις Αἰαία. καὶ ἡ νῆσος δὲ τῆς Κίρκης Αἰαία, διὰ τὴν τοιαύτην Κίρκην. ἄλλως γὰρ εἴπερ πρωτοτυπίαν ἔχει ἡ Αἰαῖα νῆσος διὰ τῶν δύο α¯ι, ὤφειλεν ἡ ἀπ' αὐτῆς Κίρκη ἔχειν καὶ τρίτον α¯ι, ἵνα ἦν Αἰαιαίη, ὅ περ οὐκ ἔστι διά τε τὸ κακόφωνον καὶ διὰ τὴν ῥηθεῖσαν ὁμωνυμίαν. Ὁ δὲ γεωγράφος Αἶαν εἰπὼν πόλιν περὶ τὸν Φάσιν λέγει καὶ ὅτι περὶ τὴν τοιαύτην Κολχικὴν Αἶαν καὶ Αἰαίη νῆσος ἡ τῆς Κίρκης. ὅτι δὲ καὶ Αἰήτης ὁ ἥρως ἀπὸ τῆς τοιαύτης Αἴας ἐκλήθη, δηλοῦσιν οἱ παλαιοί. (ηερς. 34.) Τὸ δὲ δεύτερον περὶ πατρίδος γνωμικὸν πλατύτερόν ἐστι τοῦ πρώτου, παραφραστικῶς τε παραποιηθὲν καὶ προσθήκην ἔχον τὴν τῶν γονέων, καὶ διαφορὰν τοπικήν. (ηερς. 36.) Τὸ δὲ γαίη καὶ τὸ ναίη, ἔχει τι κάλλους διὰ παρίσωσιν. (ηερς. 37.) Ὅτι ἀρξάμενος Ὀδυσσεὺς διηγεῖσθαι παρὰ Φαίαξι τὴν κατ' αὐτὸν πλάνην, ἀφ' ἧς φανεῖται πολλῶν ἀνθρώπων ἰδὼν ἄστεα καὶ νόον γνοὺς, κατὰ φύσιν τάττει τὰ πράγματα. καὶ εὐτάκτως προϊὼν φησὶν ὅτι κατὰ τὸν πολυκηδέα νόστον, ὅν μοι Ζεὺς ἐφέηκε Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν. Ἰσμάρῳ. (ηερς. 40.) ἔνθα δ' ἐγὼ πόλιν ἔπραθον. ὤλεσα δ' αὐτούς. ὡς τῶν Τρώων δηλαδὴ συμμάχους καθὰ καὶ ἡ Βοιωτία δηλοῖ. ἐκ πόλιος δ' ἀλόχους καὶ κτήματα πολλὰ λαβόντες δασσάμεθα. (ηερς. 42.) ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης. ἧς καθόλου ἐπεμελοῦντο οἱ παλαιοὶ ἔν τε τραπέζῃ καὶ ἄγρας μερισμῷ καὶ λείας δασμῷ. Ἀχιλλεὺς οὖν διαλοιδορεῖταί που τῷ βασιλεῖ, ὅτι ὀλίγα διδοὺς πολλὰ ἐκεῖνος εἶχε. Δῆλον δὲ ὅτι ἐν τῷ, ἴσης, λείπει τὸ, μοίρας. διὸ καὶ λαμβάνεται ἡ λέξις ἀντὶ ἰσομοιρίας. (ηερς. 40.) Ἔστι δὲ ἁλώσεως πόλεως ἔκφρασις τὸ, πόλιν ἔπραθον. ὤλεσα δ' αὐτούς. καὶ τὸ ἑξῆς. εἶτα διηγεῖται καὶ ὡς ἐγὼ μὲν διερῷ ποδὶ φευγέμεν ἡμέας ἠνώγεα. τοὶ δὲ μέγα νήπιοι οὐκ ἐπίθοντο, πολλὰ δὲ μῆλα ἔσφαζον παρὰ θῖνα καὶ εἰλίποδας ἕλικας βοῦς. τόφρα δ' ἂρ οἰχόμενοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κίκονες οἱ περὶ Ἴσμαρον τοῖς λοιποῖς Κικόνεσσι γεγώνευν οἵ σφισιν γείτονες ἦσαν ἅμα πλέονες καὶ ἀρείους, Ἤπειρον ναίοντες. (ηερς. 49.) οὓς καὶ δεικνύων πῶς ἦσαν ἀρείους, φησὶν ἐπαινετικῶς. ἐπιστάμενοι μὲν ἀφ' ἵππων ἀνδράσι μάρνασθαι, καὶ ὅθι χρὴ πεζὸν ἐόντα. (ηερς. 51.) ὧν καὶ τὸ πλῆθος ἐμφαίνων δηλῶν δὲ καὶ τὴν τῆς πολεμικῆς ἐπικουρίας ὥραν, ἐπιφέρει. ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ἦρος ἢ ὥρῃ τῇ τοῦ ἔαρος δηλαδὴ ὡς πολλαχοῦ κεῖται, (ηερς. 52.) ἠέριοι τουτέστιν ὀρθρινοὶ, ὡς καὶ ἡ Ἰλιὰς δηλοῖ. ἐν ᾗ καὶ ἡ τῶν φύλλων καὶ ἀνθέων ἐῤῥέθη παραβολή. καὶ τότε δή φησι κακὴ Διὸς αἶσα παρέστη ἡμῖν αἰνομόροισιν ἵν' ἄλγεα πολλὰ πάθωμεν. στησάμενοι δ' ἐμάχοντο μάχην παρὰ νηυσί. βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσι. (ηερς. 56.) καὶ ἕως μὲν καὶ εἰς μεσημβρίαν ἀλεξόμενοι μένομεν πλέονάς περ ἐόντας. ἦμος δ' Ἠέλιος μετενίσσετο βουλυτόνδε, καὶ τότε δὴ Κίκονες (ηερς. 59.) κλῖναν δαμάσαντες Ἀχαιοὺς, ὅ ἐστιν εἰς φυγὴν ἐτρέψαντο. ἓξ δ' ἀφ' ἑκάστης νηὸς (ηερς. 60.) ἑταῖροι ὤλοντο, οἱ δ' ἄλλοι φύγομεν θάνατόν τε μόρον τε. ἐνταῦθα δ' ἐπιφύεται Ζωΐλος ὁ ὁμηρομάστιξ, λέγων, ἀπιθάνως ἴσους ἀφ' ἑκάστης ἀπολέσθαι νηὸς καθάπερ ἐξ ἐπιτάγματος. οἱ δὲ λύοντες ἀντιλέγουσιν αὐτῷ πιθανῶς ἐκ τοῦ ἀποτελέσματος, ὡς ἐλλογηθέντων τῶν ἀπολω 1.322 λότων ταῖς ὅλαις ναυσί. καὶ ἀπὸ τοῦ πρῴην ἀριθμοῦ ἐπιλειπόντων μιᾷ ἑκάστῃ ἀνὰ ἓξ ἀνδρῶν. εἶτα εἰπὼν Ὀδυσσεὺς ὡς ἔνθεν δὲ προτέρω πλέομεν, προστίθησι καὶ ὅτι οὐδ' ἄρα μοι αἱ νῆες ἀπέπλεον πρίν τινα τῶν (ηερς. 65.) δειλῶν ἑτάρων τρὶς ἕκαστον ἀΰσαι, οἳ θάνον ἐν Κικόνων πεδίῳ. ἔθος δὲ ἦν, φασὶ, τὰς τῶν ἐπὶ ξένης ἀπολλυμένων ψυχὰς ἀνακαλεῖν τρεῖς τοὺς ἔτι περιλειπομένους καὶ οὕτως ἀπιέναι. ὃ ψυχαγωγία τις ἦν, ὡς τῶν ἀνακαλούντων δοκούντων κατάγειν ἐκείνους ἢ μετάγειν εἰς τὴν πατρίδα. καὶ Πίνδαρος οὖν τὸν Ἰάσονος πλοῦν ἐπὶ ἀνακλήσει τῆς τοῦ Φρίξου ψυχῆς ἐκ τῆς Κολχίδος γῆς γενέσθαι μυθολογεῖ. καὶ Ἀθηναῖοι δὲ κενοτάφιον ποιοῦντες τῶν ἐν θαλάσσῃ ἀπολλυμένων κατῄεσαν φασὶ περὶ τὸν αἰγιαλόν, καὶ φωνοῦντες τρίτον αὐτῶν τὰ ὀνόματα, οὕτως ἀνεχώρουν. καὶ ἄλλως δὲ, φασὶ, τρὶς ἕκαστον ἀνεκαλοῦντο τῶν τεθνεώτων ἐν μάχῃ, ἀφοσιούμενοι τὴν ἐκείνων μνήμην, ὡς ἂν μὴ δοκῶσιν ἐπιλελῆσθαι αὐτῶν. ἤδη δὲ καὶ ἵνα μή τις ζῶν καὶ ἐπικρυπτόμενος διὰ τοὺς πολεμίους καταλειφθείη ἐκεῖ. καὶ τοῦτο μὲν Ὁμηρικόν. Ἀῤῥιανὸς δὲ λέγει καὶ ὅτε παρὰ Βιθυνοῖς τελοῦνται τὰ νεκύσια, καλεῖν ὀνομαστὶ τὰς τῶν κατοιχομένων ψυχὰς ὅσοι τελευτᾶν ἔτυχον ὑπερόριοι καὶ κατακαλεῖν αὐτοὺς ἐς τρὶς, καὶ δέεσθαι ἀνελθεῖν ὡς μετάσχοιεν τῆς δαιτός. Ὅτι δὲ ἐπανάκλησιν ψυχῶν ἐδόξαζόν τινες, οὐ μόνον αἱ νεκυομαντικαὶ δηλοῦσι ψυχαγωγίαι, ἀλλὰ καὶ λοιπαὶ ἱστορίαι. φασὶ γοῦν καὶ ὅτι Ζαμόλξιδος διδάξαντος, ὃς δοκεῖ πρότερον Πυθαγόρας γενέσθαι, ἔθυον οἱ Γέται καὶ εὐωχοῦντο ἐπὶ τοῖς τεθνεῶσιν ὡς αὖθις ἥξοντος τοῦ ἀποθανόντος. καὶ οὕτω μὲν τὰ κατὰ τὴν ῥηθεῖσαν νεκρικὴν ἀνάκλησιν. (ηερς. 38.) Τὸ δὲ ἐφέηκε Ζεὺς, ὅμοιόν ἐστι τῷ, ἐπετείλατο Παλλὰς Ἀθήνη, τουτέστιν ἐνετείλατο. ἐπεὶ καὶ ταυτὰ τὸ ἐφεῖναι καὶ ἐπιτείλασθαι. καὶ ἄλλως δὲ ὡς ἐκ μεταφορᾶς βέλους ἡ τοιαύτη λέξις ἐφράσθη. ἐφίεται γάρ ποτε καὶ βέλος τινί. (ηερς. 30.) Ἡ δὲ ῥηθεῖσαι Ἴσμαρος ἡ καὶ Ἰσμάρα ὕστερον Κικόνων φασὶπόλις ἐγγὺς Μαρωνείας. ἔνθα καὶ λίμνη, ἧς τὸ ῥεῖθρον Ὀδύσσειον καλεῖται. ἐκεῖ δὲ καὶ Μάρωνος ἡρῷον, ὡς ὁ γεωγράφος ἱστορεῖ. Ἡρόδοτος δὲ καὶ Μάρωνα τινὰ ἱστορεῖ ἀριστέα Λάκωνα. (ηερς. 39.) Ἰστέον δὲ ὅτι τε Θρᾳκικὸν ἔθνος οἱ Κίκονες, καὶ ὅτι οὐ κανονικῶς γράφεται διὰ τοῦ ¯ο μικροῦ οἱ Κίκονες. λέγει γὰρ Ἡρῳδιανὸς, διὰ τοῦ ¯ω κλίνονται, Λάκωνος, Καύκωνος. τὸ μέντοι Κικόνεσσι πέλασσε, διὰ μέτρον φησὶν οὕτω κλιθῆναι. καὶ ὅτι τὸ Κικόνεσσι πέλασσεν Ἰσμάρῳ, ὅμοιον τῷ, ἐς Κύπρον ἐς Πάφον, περὶ οὗ προεῤῥέθη. (ηερς. 42.) Τὸ δὲ ἀτεμβόμενος ὅτι στέρησίν τινα καὶ βλάβην δηλοῖ, καὶ ὡς οὐκ ἂν φιληθείη ἐν λόγῳ πεζῷ γραφῆναι, καὶ ἡ Ἰλιὰς ἐδήλωσε. (ηερς. 43.) Διερὸν δὲ πόδα, τὸ πλοῖον λέγει κατά τινας, ὡς καὶ προείρηται. ὃ φθάσας καὶ ἁλὸς ἵππον ἐκάλεσε. καὶ ἔστι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διθυραμβώδης τροπὴ διερὸν εἰπεῖν πόδα τὴν ναῦν διὰ τὸ καθάπερ ποδὶ τῇ νηῒ ἐν θαλάσσῃ προϊέναι ἡμᾶς. ὡς εἴ τις καὶ χεῖρα ξηρὰν ἀνθρώπου καλοίη τὸ λικμητήριον. ἀρέσκει γοῦν μᾶλλον τοῖς παλαιοῖς, πόδα νῦν διερὸν λέγειν, ἢ τὸν τῇ θαλάσσῃ διαινόμενον ὅ ἐστιν ὑγραινόμενον ἢ τὸν σπουδαῖον καὶ μὴ ξηραινόμενον τῆς ἐξ ἱδρώτων νοτίδος, ἵνα ᾖ διερῷ ποδὶ φεύγειν, τὸ παραχρῆμα σπουδαίως διὰ θαλάσσης φυγεῖν. ὅπερ Ὀδυσσέως κελεύοντος οὐκ ἐπείθοντο οἱ ἑταῖροι, γαῦροι πάντως ὄντες τῇ τύχῃ τῆς νίκης. οὕτω καὶ τῷ Ἀγαμέμνονι ἔστιν οὗ ἠναντιοῦντο οἱ Ἀχαιοί. καὶ Ἀλεξάνδρου δὲ οἱ στρατιῶται δεύτερον ἀπέστησαν. Ὅραοὖν περιπέτειαν ὡς ἐν Ἰλιάδι τύπτων καὶ πείθων τοὺς μηδὲν αὐτῷ προσήκοντας ἀπρακτεῖ νῦν εἰς τοὺς ἰδίους. καὶ περιφρονεῖται ὡς μήτε λόγῳ δεινὸς εἶναι. ἔπεισε γὰρ ἂν, μήτε τῇ δόξῃ μέγας, ἐδεδίεσαν γὰρ ἂν αὐτὸν, μήτε χρηστὸς, ᾐροῦντο γὰρ ἂν τὰ αὐτοῦ. Ἰστέον δὲ ὅτι διερὸν πόδα καὶ τὴν κώπην τινὲς ἐνόησαν ὡς καὶ περὶ αὐτοῦ ἐῤῥέθη, ἕτεροι δὲ τὸν ὀξὺν καὶ ταχὺν, διὰ τὸ ὑγιὲς ὃ ἐκ τοῦ ὑγροῦ δοκεῖ παρῆκται ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, ἄλλοι δὲ τὸν ζῶντα, κατὰ τὸ, διερὸς βροτός. ὅπερ ἐν τῇ ¯ζ ῥαψῳδίᾳ προγέγραπται. προσεκτέον δὲ καὶ Θεοκρίτῳ εἰπόντι γόνυ χλωρὸν, τὸ νεάζον καὶ θαλερόν. ἵνα καὶ διερὸς ποὺς κατὰ τοιοῦτόν τινα λέγοιτο νοῦν. (ῃερς. 47.) Τοῦ δὲ γεγώνευν ῥήματος περισπωμένου φίλου ποιηταῖς τοιάδε ἡ διάθεσις. γνώω. γνώσω. γέγνωκα. μέσος γέγνωα. καὶ καθ' ὑπέρθεσιν, γέγωνα. ὅθεν κατὰ ἀναδρομὴν τὴν εἰς ἐνεστῶτα συνήθη τοῖς παλαιοῖς, γεγωνέω γεγωνῶ. ἐξ οὗ τὸ ἐγεγώνεον. (ῃερς. 48.) Γείτονος δέ, φασιν, ἐν Ἰλιάδι μὲν οὐκ ἔστιν, ἐνταῦθα δὲ κεῖται. καὶ ἐν τῷ ¯γ ἐν τῷ, γείτονες ἠδὲ ἔται Μενελάου. (ῃερς. 49.) Τὸ ἀφ' ἵππων μάρνασθαι καὶ ὅθι χρὴ πεζὸν ἐόντα, παραποίησίς ἐστι παραφραστικὴ τοῦ, ἱππόται καὶ πεζοί. Δῆλον δὲ ὡς ὁ ἀφ' ἵππων μαρνάμενος ἱππιοχάρμης λέγεται, ὡς ἐφ' ἵππων μαχόμενος, ἢ καὶ ὡς ἵπποις χαίρων. καὶ ὅτι τὸ, καὶ (ῃερς. 50.) ὅθι χρὴ πεζὸν ἐόντα τινὰ 1.323 δηλαδὴ, σχήματός ἐστιν ἐξαλλαγὴ περιφραστική. τὸ γὰρ κοινὸν οὕτως. ἐπιστάμενοι ἀφ' ἵππων μάχεσθαι καὶ πεζοί. (ῃερς. 52.) Ἠέριοι δὲ Ἰλιάδι καὶ τὸ νῦν μὲν, οἱ περὶ ὄρθρον. ἐν δὲ ἐξ ἀέρος ἡ λέξις δηλοῖ. ἔνθα Γέρανοι Πυγμαίοις ἐπιτίθεσθαι ἠέριαι λέγονται. (ῃερς. 54.) Τὸ δὲ μάχοντο μάχην, ἄλλως τε Ἀττικόν ἐστι, καὶ ἐτυμολογικῶς δὲ προάγεται. (ῃερς. 58.) Τὸ δὲ μετενείσετο ἀντὶ τοῦ ἐπορεύθη, μετῆλθε, διὰ διφθόγγου γράφουσιν οἱ παλαιοί. ὡς ἀπὸ τοῦ νέω νείω νείσω. ὥσπερ κείω κείσω καὶ χείω χείσω τὸ χωρῶ. ἐξ οὗ καὶ χειά. ὡς τὸ, οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται ὅ ἐστι χωρήσει. οἱ δὲ ὕστερον ἐν τῷ ¯ι γράφουσιν ὡς ἀπὸ τοῦ νῶ νίσσω μετὰ τῶν δύο ¯ς¯σ. ὡς γὰρ ἤθεον αὐτοὶ, οὐχ' ἑπόμενοι τοῖς παλαιοῖς. Τὸ δὲ μετενείσσετο βουλυτόνδε, οὐχ' ὡς ἐπὶ τόπου νοητέον τοῦ βουλυτοῦ, ἀλλ' ὅτι μετεπορεύετο μετὰ τὴν τῆς ἡμέρας αὔξησιν ὁ Ἥλιος κατὰ ὥραν βουλυτοῦ. ὃς ἢ μεσημβρία ἐστὶν, ἢ ὀλίγον τι μετὰ μεσημβρίαν, ὅτε βόες λύονται τοῦ κάμνειν ὡς καὶ ἐν Ἰλιάδι δεδήλωται. (ῃερς. 62.) Ἐν δὲ τῷ προτέρῳ πλέομεν, σημείωσαι ὅτι ὁ ποιητὴς ἐπικρύπτων τοὺς τόπους τῆς κατὰ τὸν Ὀδυσσέα πλάνης καὶ ἐκ τῆς ἱστορίας εἰς μύθους ἀσφαλῶς καὶ ἀνεξελέγκτως ἐξοκελεῖν ἐθέλων κατὰ ποιητικὸν ἐπιτήδευμα καὶ οὕτως ἀφανίζων τὰ τῆς ἀληθοῦς γεωγραφίας ἴχνη καὶ οὐδὲν ἀρίδηλον σημεῖον τοπογραφίας τῇ ποιήσει ἐγκατατιθεὶς ἄλλα τέ τινα μεθοδεύει ὡς αὐτῷ ἀρέσκει, καὶ τὸν Ὀδυσσέα δὲ μεθιστῶν ἐκ τόπου εἰς τόπον ἐπιλέγει. ἔνθεν δὲ προτέρω πλέομεν. ἀντὶ τοῦ, ἐπὶ τὰ ἐκεῖθεν καὶ πορῥωτέρω, μὴ προστιθεὶς εἴτε ἐπὶ δεξιὰ εἴτε ἐπ' ἀριστερὰ, ἢ πρὸς τόδε τὸ κλίμα ἢ ἐκεῖνο, ἀλλ' ἐν ἀσαφεῖ ἐῶν τοῦτο κεῖσθαι, ὡς ἂν μὴ αὐτόθεν τὸ πλάσμα ἐλέγχηται. τὸ γοῦν ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ, οὐ μόνον ἐνταῦθα κεῖται, ἀλλὰ καὶ ὅτε ἐκ τῆς τῶν Λωτοφάγων εἰς Κύκλωπας ὁ πλοῦς. κἀκεῖθεν εἰς τὴν Αἰόλου νῆσον, καὶ εἰς Λαιστρυγόνας ἐντεῦθεν. καὶ ἐξ αὐτῶν εἰς τὴν Κίρκην, περιηγουμένου τοῦ ποιητοῦ ἀξυμφανῶς καὶ μετροῦντος τόπους ἐπίτηδες ἀσαφῶς. Τὸ δὲ δειλῶν ἑταίρων, ἀντὶ τοῦ δειλαίων ὃ καὶ ἀλλαχοῦ προδεδήλωται. (ῃερς. 65.) Ἰστέον δὲ καὶ ὅτι ὁ περὶ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνακεκλημένων λόγος νεκύων πρωθυστέρως κεῖται παρὰ τῇ ποιητῇ ὡς οἷον κατὰ ἐπανάληψιν, δι' ἧς ἀναπληροῦνται τὰ τῶν διηγήσεων ἐλλείμματα. δῆλον γὰρ, ὅτι πρῶτον ἕκαστος τῶν κειμένων ἀνεκαλέσθη, εἶτα αἱ νῆες ἀπέπλευσαν. ὃ καὶ ὁ ποιητὴς δηλῶν ἔφη ἀποφατικῷ σχήματι, ὅτι οὐδ' ἄρα προτέρω ἔπλευσαν αἱ νῆες πρὶν τόδε γενέσθαι. (ηερς. 62.) Ἔστι δ' ἐν τούτοις καὶ ἀντιθετικὸν ῥητορικὸν σχῆμα τὸ, ἀκαχήμενοι ἦτορ ἄσμενοι ἐκ θανάτοιο. ταυτὸν τῷ, λυπούμενοι καὶ χαίροντες. τὸ μὲν, διὰ τοὺς ὀλωλότας, τὸ δὲ, ὅτι μὴ καὶ αὐτοὶ ἀπολώλαμεν. (ηερς. 67.) Ὅτι θαλασσίαν ζάλην ἐκφράζων καὶ πλοῦν κινδυνώδη ὁποῖον οἱ ἐξῶσται ἄνεμοι ποιοῦσι, φησί. νηυσὶ δ' ἐπ' ὦρσεν ἄνεμον Βορέην θεὸς, λαίλαπι θεσπεσίῃ. σὺν δὲ νεφέεσσι κάλυψε γαῖαν ὁμοῦ καὶ πόντον. ὀρώρει δ' οὐρανόθεν νύξ. αἱ μὲν ἔπειτ' ἐφέροντ' ἐπικάρσιαι. ἱστία δέ σφιν τριχθά τε καὶ τετραχθὰ διέσχισεν ἶς ἀνέμοιο. εἶτα θεραπείαν φράζων τοῦ τοιούτου κακοῦ φησί. (ηερς. 72.) καὶ τὰ μὲν ἐς νῆας κάτθεμεν δείσαντες ὄλεθρον. αὐτὰς δ' ἐσσυμένως (ηερς. 73.) προερύσαμεν ἢ κατὰ Ἀρίσταρχον προερέσαμεν ἠπειρόνδε. ἔνθα δύω νύκτας δύω δ' ἤματα (ηερς. 74.) συνεχὲς αἰεὶ κείμεθ' ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες. Καὶ ὅρα ἐν τούτοις τὸ συνεχὲς ἐκτεῖνον τὴν κατάρχουσαν πρόθεσιν ἀσυνήθως. διὸ καὶ ἐτόλμησάν τινες ὥσπερ ἐπὶ τοῦ ἐννέπω, οὕτω καὶ ἐνταῦθα διπλῶσαι τὸ ἀμετάβολον διὰ δάκτυλον. (ηερς. 69.) Νύκτα δὲ συνήθως κἀνταῦθα, τὴν ἐκ τῶν νεφῶν ἔφη σκότωσιν. διὸ καὶ εἶπεν οὐρανόθεν αὐτὴν γενέσθαι ὅ ἐστιν ἐξ ἀέρος. ἡ γάρ τοι κυρίως νὺξ γῆς ἐστὶ σκιὰ, οὐ μὴν σκότος νεφῶν ἐν ἀέρι. (ηερς. 70.) Ἐπικάρσιαι δὲ, οὐ πλάγιαι νῦν ὁμοίως τῷ ἐγκάρσιοι, ἀλλ' ἐπὶ κεφαλὴν, διὰ τὴν ἐκ τοῦ σφοδροῦ πνεύματος τῶν ἱστίων πολλὴν ἔντασιν. καὶ ἔστιν ὅμοιον τῷ, ἐπὶ κάρ. ὡς τὸ, ἐξ ὀρέων ἐπὶ κάρ. (ηερς. 71.) Τὸ δὲ τριχθὰ καὶ τετραχθὰ, καθὰ καὶ ἐν Ἰλιάδι τραχυφωνίαν ἤχου ῥήξεως δηλοῖ. Ὅτι καὶ ἐνταῦθα (ηερς. 76.) ἐν τῷ, ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσεν Ἠὼς, Ἠῶ μὲν, τὴν σωματοειδῆ λέγει τὴν φωσφόρον, δι' ἧς ἀποτελεῖται ἡμέρα. ἦμαρ δὲ, τὴν κοινῶς λεγομένην ἡμέραν, τὴν ὑπὸ τῆς μυθικῆς εὐπλοκάμου ἀποτελουμένης Ἠοῦς. (ηερς. 77.) Ὅτι εὔπλοιαν φράζει τὸ, ἱστοὺς στησάμενοι ἀνά θ' ἱστία λεύκ' ἐρύσαντες ἤγουν ἀνελκύσαντες ἥμεθα, τὰς δ' ἄνεμός τε κυβερνῆταί τ' ἴθυνον. (ηερς. 80.) Ὅτι καὶ τὸν Ὀδυσσέα ἔβλαψεν ἡ Μάλεια καθὰ καὶ ἑτέρους τινάς. φησὶ γοῦν ὡς ἀσκηθὴς ἂν ἱκόμην ἐς πατρίδα γαῖαν, εἰ μὴ κῦμα ῥόος τε περὶ γνάπτοντα Μάλειαν καὶ Βορέης ἀπέωσε, παρέπλαγξε δὲ Κυθήρων. αἳ νῆσοι, ὡς καὶ ἀλλαχοῦ ἐφάνη, περὶ τὴν Λακωνικήν εἰσιν. 1.324 Ὅρα δὲ ὡς Βοῤῥᾶς μὲν ἀπωθεῖ ἐκ Μαλείας, Νότος δὲ οὐκ ἂν, ἀλλὰ μᾶλλον προσαράσσει τοὺς ἐκεῖ τοὺς δι' αὐτοῦ πλέοντας. Τὸ δὲ ῥόος, ἐνδείκνυται ῥοώδη τὴν ἐκεῖ θάλασσαν εἶναι. Τὸ δὲ ἀπέωσε, λέξις μέν ἐστιν Ἀττική. καὶ τὸ ἐξέωσε καὶ συνέωσεν. Ἔστι δὲ ταυτὸν τῷ ἐξῶσεν. ἐξ οὗ καὶ ἄνεμοι ἐξῶσται καὶ ὦσται λέγονται. (ηερς. 82.) Ὅτι ἐννῆμαρ ἐκ Μαλείας φερόμενος ὀλοοῖς ἀνέμοις Ὀδυσσεὺς τῇ δεκάτῃ ἐπέβη γαίης Λωτοφάγων, οἵ φησιν ἄνθινον εἶδαρ ἔδουσιν. ἔνθα ἐπ' Ἠπείρου βάντες ἀφυσσάμεθα ὕδωρ. αἶψα δὲ δεῖπνον εἵλοντο ἑταῖροι. ἐπεὶ δὲ σίτοιό τ' ἐπασσάμεθ' ἠδὲ ποτῆτος, δὴ τότ' ἐγὼν ἑτάρους προΐην πεύθεσθαι ἰόντας ἄνδρε δύω κρίνας, τρίτατον κήρυκα (ηερς. 89.) ὀπάσας ἤτοι δοὺς ἕπεσθαι, οἵ τινες ἀνέρες εἶεν οἱ ἐκεῖ. οἱ δὲ, μιγέντες (ηερς. 91.) ἀνδράσι Λωτοφάγοισιν, οὐκ ἔτι ἐπανῄεσαν. οὐ βίᾳ κατασχεθέντες ἀλλ' ἡδονῆς δελέατι. φησὶ γάρ. οὐδ' ἄρα Λωτοφάγοι μήδονθ' ἑτάροισιν ὄλεθρον ἡμετέροις ὁποῖά τινα ἐν τοῖς ἑξῆς γενήσεται, ἀλλά σφιν δόσαν λωτοῖο πάσασθαι. τῶν δ' ὅς. τις λωτοῖο φάγοι μελιηδέα καρπὸν, οὐκ ἔτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν οὐδὲ νέεσθαι. ἀλλ' αὐτοῦ βούλοντο μετ' ἀνδράσι Λωτοφάγοισι λωτὸν ἐρεπτόμενοι μενέμεν, νόστου τε λαθέσθαι. τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον κλαίοντας ἀνάγκῃ, νηυσὶ δ' ἐνὶ γλαφυρῇσιν ὑπὸ ζυγὰ δῆσα ἐρύσας. τοὺς δ' ἄλλους κελόμην σπερχομένους νηῶν ἐπιβαίνειν, μή πώς τις λωτοῖο φαγὼν νόστοιο λάθηται. (ηερς. 93.) Τίς δὲ ὁ λωτὸς καὶ οἷος καὶ ὅτι καρπὸς δένδρου ἐστὶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐοικότος μεσπίλῃ καὶ ὡς οἶνος αὐτοῦ ἐκθλίβεται καθὰ καὶ τῶν φοινίκων, ἱστοροῦσιν εἰς πλάτος οἱ παλαιοὶ, φυτοκομοῦντες ἐπιμελῶς, καὶ τοῦ τῆς ἱστορίας λωτοῦ κατατρυφᾶν τοῖς φιλολόγοις διδόντες. (ῥερς. 84.) Ἰστέον δὲ καὶ ὡς οἱ μὲν τῇ Μήνιγγι νήσῳ τοὺς Λωτοφάγους ἐνπεριγράφουσι, λωτοφαγίτιν εἶναι λέγοντες τὴν νῆσον ταύτην. οἱ δὲ φασὶν, ὅτι λωτὸς, πόα καὶ ῥίζα ἀφ' ἧς σιτούμενοι οἱ τὴν ἄνυδρον νεμόμενοι οὐ δέονται ποτοῦ. ὅπερ οὐδὲ ἔχουσι διὰ τὴν ἀνυδρίαν. καὶ δοκεῖ καὶ ὁ ποιητὴς οὐκ ἀπὸ δένδρου εἰδέναι εἶναι τὸν λωτὸν, οἷς ἄνθινον αὐτὸν εἶδαρ φησί, καὶ ἐρέπτεσθαι αὐτὸν λέγει. ἀλόγοις γὰρ ζῴοις οἰκεῖον τὸ ἐρέπτεσθαι, ἃ ἐκ τῆς ἔρας ἐσθίουσι. τινὲς δὲ ἱστοροῦσι καὶ ὅτι παρήκουσιν οἱ Λωτοφάγοι μέχρι τῶν ὑπὲρ Κυρήνην τόπων, ἀρχόμενοι ἀπὸ τῶν ὑπὲρ τῆς μαυρουσίας ἑσπερίων Αἰθιόπων. τὰ δέ γε τῆς Ὀδυσσείας ὑπομνήματα βοτάνην φασὶ τὸν λωτόν. ἣν Αἰγύπτιοι ξηραίνοντες ἀλοῦσι, καὶ πέττοντες ἐσθίουσιν ἄλλην δηλονότι οὖσαν παρὰ τὴν ἐν τῇ Ἰλιάδι τε λειμωνίαν βοτάνην, ὁποῖος καὶ ὁ ἑρσήεις λωτὸς, καὶ παρὰ τὴν ἐν τοῖς Τηλεμάχου λόγοις, ὃς λωτόν φησι καὶ θρυὸν καὶ κύπειρον. Ἡρόδοτος δέ φησιν ὅτι ἐν Αἰγύπτῳ ἐπὰν ὁ ποταμὸς πλήρης γένηται καὶ τὰ πεδία πελαγίσῃ, φύεται ἐν τῷ ὕδατι κρίνεα πολλὰ, ἃ Αἰγύπτιοι καλοῦσι λωτόν. ταῦτα δρέψαντες Αἰγύπτιοι αὐαίνουσι πρὸς ἥλιον. εἶτα τὸ ἐκ μέσου τοῦ λωτοῦ πτίσαντες ἐμφερὲς ὂν τῇ μήκωνι ποιοῦνται ἐξ αὐτοῦ ἄρτους ὀπτοὺς πυρί. ἔστι δέ φησι καὶ ἡ ῥίζα τοῦ λωτοῦ τούτου ἐδωδίμη. ὁ δ' αὐτὸς λέγει καὶ ὅτι ὁ καρπὸς τοῦ λωτοῦ μέγεθος ὅσον σχίνου, γλυκύτατος, τῷ καρπῷ τοῦ φοίνικος ὁμοίως. ποιοῦνται δ' ἐκ τοῦ καρποῦ τούτου καὶ οἶνον. ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φέρεται περὶ λωτοῦ καὶ ταῦτα. ὁ τοῦ Αἰγυπτίου κυάμου, περὶ οὗ ἀλλαχοῦ ἐγράφη, καυλὸς, μῆκος μὲν ὁ μακρότατος εἰς τέσσαρας πήχεις, πάχος δὲ δακτυλιαῖος, ὅμοιος καλάμῳ μακρῷ ἀγονάτῳ. ἐπὶ τούτῳ δ' ἡ κωδύα. καὶ τὸ ἄνθος διπλάσιον ἢ μήκωνος. τὸ δὲ τοιοῦτον ἄνθος στεφανωτικὸν ὂν Αἰγύπτιοι μὲν καλοῦσι λωτὸν, Ναυκρατῖται δὲ μελίλωτον. ἀφ' οὗ καὶ στέφανοι μελιλώτινοι, πάνυ εὐώδεις. καὶ καύσωνος ὥρᾳ ψυκτικώτατοι. Ὅρα δ' ἐν τούτοις τὸ κωδύα διὰ τοῦ ¯υ ψιλοῦ γραφόμενον ἐν τοῖς ἀντιγράφοις, ἄλλως παρὰ τὴν Ὁμηρικὴν κώδειαν. Πολύβιος δὲ αὐτόπτης φησὶ τοῦ λωτοῦ γενέσθαι. καὶ εἶναι δένδρον οὐ μέγα, τραχύ, ἀκανθῶδες, φύλλα ἔχον χλωρὰ ὅμοια ῥάμνῳ, καρπὸς δὲ αὐτοῦ τὴν μὲν ἀρχὴν ὅμοιος λευκαῖς μυρτίσιν, αὐξόμενος δὲ γίνεται τῷ μὲν χρώματι φοινικοῦς, τῷ δὲ μεγέθει γογγύλαις ἐλαίαις ὅμοιος. πυρῆνα δὲ ἔχει τελέως μικρόν. γίνεται δέ φησι καὶ οἶνος ἐξ αὐτοῦ ἡδὺς καὶ ἀπολαυστικός, ᾧ χρῶνται χωρὶς ὕδατος. οὐ μένει δὲ πλέον δέκα ἡμερῶν. διὸ καὶ ποιοῦσιν αὐτὸν κατὰ βραχὺ πρὸς τὴν χρείαν. ποιοῦσι δὲ καὶ ὄξος ἐξ αὐτοῦ. Ὡς δὲ καὶ ἡ τοῦ φοίνικος ὀπώρα συντελεῖ εἰς οἶνον, καθωμίληται. ὡς δὲ καὶ ῥοδίζων ἦν τις λωτὸς, ὁ Ἀθήναιος δηλοῖ ἐν οἷς ἱστορεῖ καὶ ὅτι Παγκράτης ποιητὴς Ἀλεξανδρεὺς Ἀδριανῷ τῷ αὐτοκράτορι ἐπιδημήσαντι ἐν Ἀλεξανδρείᾳ, μετὰ τερατείαςμυθικῆς αὐτὸν ἐπέδειξε. φάσκων ἀναπεμφθῆναι γῆθεν τὸν τοιουτόχροον λωτὸν, ὅτε τὸ αἷμα ἡ γῆ ἐδέξατο τοῦ μαυροσίου λέοντος ὃν ἐκεῖ που ἐν κυνηγεσίῳ καταβεβλήκει ὁ Ἀδριανὸς, μέγα χρῆμα ὄντα, καὶ 1.325 πολλῷ χρόνῳ κατανεμηθέντα πᾶσαν Λιβύην, καὶ πολλὰ ἐκείνης ἀοίκητα πεποιηκότα. ἡσθεὶς οὖν ὁ βασιλεὺς ἐπὶ τῇ τῆς ἐννοίας ταύτης εὑρέσει καὶ καινότητι, τὴν ἐν Μουσῶν αὐτῷ σίτισιν ἔχειν ἐχαρίσατο. καὶ ὅρα τὸ ἐν Μουσῶν, ἐσχηματισμένον κατ' ἔλλειψιν Ἀττικῶς, ὡς εἴπερ ἦν ἐν πρυτανείῳ Μουσῶν. δοκεῖ γὰρ τοιοῦτόν τι καὶ ἐν Ἀλεξανδρείᾳ εἶναι ὁποῖον καὶ ἐν Ἀθήναις. (ῥερς. 92.) δίκαιοι δὲ μαρτυροῦνται οἱ Λωτοφάγοι καὶ φιλόξενοι. ὅθεν οὐδὲ μήδονται ὄλεθρον. ἀλλὰ φιλοξένως διδόασι λωτοῦ πάσασθαι. διὸ καὶ ἡ τῆς κατ' αὐτοὺς ἱστορίας ἀναγωγὴ χώραν ἡδονῆς τῆς περὶ γεῦσιν τὴν τῶν Λωτοφάγων εἶναι βούλεται γῆν. καὶ τὴν τοῦ λωτοῦ προσφορὰν εἰς τὴν ἐν γευστοῖς ἀρτύει ἀπόλαυσιν, ἣ κατέχει ὡς εἰπεῖν τῆς γλώττης τοὺς αὐτόθι γενομένους, οὐκέτι παλινδρομῆσαι εἰς τὸ ἄλλως βιοῦν ἀφίησι. καὶ οὕτω μὲν οἱ πολλοὶ ὅσοι πρὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φιλοσοφίαν ἔτι ἔχουσιν ἀτελῶς οὐκ ἂν τὴν Λωτοφαγίτιν παραπλεύσωσιν. Ὀδυσσεὺς δὲ ὁ σοφὸς καὶ τοῦ τοιούτου γλυκυπίκρου κακοῦ περιγενήσεται, καὶ τοὺς μὴ πειθομένους ἑταίρους ἀνάγκῃ πειθοῦς ἢ καὶ βίας ὑπαγαγόμενος παραπλεύσει καὶ συναπαγάγῃ ἑαυτῷ ἔνθα χρή. Ἰστέον δὲ ὡς εἴτε γευσάμενος τοῦ λωτοῦ καὶ Ὀδυσσεὺς ὅμως ἀπέστη, ἐγκράτειαν αἰτιατέον αὐτοῦ, εἴτε καὶ μὴ γευσάμενος οὐκ ἐκινήθη δι' ἐπιθυμίας, ἐπαινετέον τῆς φιλοσοφίας αὐτὸν, δι' ἣν ἀπαθὴς ἦν. (ῃερς. 82.) Ὅρα δὲ καὶ τὸν ῥηθέντα ἐνναήμερον πλοῦν εἴτε ἱστορικῶς λεχθέντα εἴτε καὶ ἄλλως πλασθέντα, ὅτι πάνυ μακρὰν δι' αὐτοῦ ἐξῶσε τὸν Ὀδυσσέα ὁ ποιητὴς τῶν τοῖς Ἕλλησι γνωρίμων τόπων. (ῃερς. 89.) Ἔτι ἰστέον καὶ ὅτι οὐκ ἐνταῦθα μόνον ἀλλά που καὶ ἐν τοῖς ἑξῆς ἑταῖροι δύο στέλλονται καὶ τρίτατος κῆρυξ εἰς ἔμφασίν τε τοῦ βασιλικὴν οὐ μὴν ἰδιωτικὴν εἶναι τὴν τῆς ὁδοῦ πρόφασιν. βασιλέων γὰρ ὑποδρηστῆνες οἱ κήρυκες διογενῶν ἀνδρῶν θεῖον γένος αὐτοί. ἔτι δὲ καὶ ὡς ἂν οἱ στελλόμενοι ἄσυλοι ἀπεκβαίνωσιν. ἱεροὶ γὰρ οἱ κήρυκες ὡς ἐξ Ἑρμοῦ καὶ αἰδέσιμοι, μετὰ κηρυκίου προϊόντες. ὅπερ αὐτοῖς τοῦ κήρυκας εἶναι σύμβολον ἦν. Λαιστρυγόνες μέντοι ἄδηλον εἴτε ἐφείσαντο τοῦ κήρυκος εἴτε ἐθοινήσαντο. Ὅμηρος γὰρ ἐκεῖ τὴν σπουδὴν τῆς τῶν σταλέντων φυγῆς μιμούμενος οὐκ εἶπε τίς ἦν ὁ εἷς ἐκεῖνος ὃν ὁ Ἀντιφάτης Λαιστρυγὼν ἀπώλεσεν, ἀλλὰ μόνον ἐρεῖ ὅτι ἕνα μάρψας ὡπλίσσατο δόρπον, οἱ δὲ δύο ἀναΐξαντες ἔφυγον. Κύκλωψ δὲ εἴπερ ἂν φείσαιτο κήρυκος, ἀπόσχοιτο ἂν καὶ λέων πεινῶν ζῴου παρεμπεσόντος αὐτῷ. (ῃερς. 94.) Τὸ δὲ λωτοῖο φαγεῖν, τὸ αἴτιόν ἐστι τῆς τῶν Λωτοφάγων κλήσεως. ποιητικώτερον δὲ τὸ, λωτοῖο πάσασθαι. καὶ ἔτι πλέον τὸ, λωτὸν ἐρέπτεσθαι. (ῃερς. 99.) Τὸ δὲ δῆσα ἐρύσας, ἑρμηνευτικόν ἐστι τοῦ, ἄγον ἀνάγκῃ. ὁ γάρ τινα ἐρύων ἀναγκαστικῶς ἄγει. (ῃερς. 101.) Τὸ δὲ σπερχομένους, συντονίαν δηλοῖ φυγῆς μὴ καὶ προσμείναντες πάντες δυσαπόσπαστοι τῆς ἡδυπαθείας γένωνται. Ὅτι εἰ καὶ ἐν ἄλλοις (ῃερς. 87.) τὸ πίνειν πρῶτον φράζει τῆς ἐδητύος διὰ τὸ κατὰ δίψαν βίαιον ὡς ἐν τῷ, πόσιος καὶ ἐδητύος, ἀλλ' ἐν τοῖς προσεχῶς ῥηθεῖσι καὶ ἑξῆς δέ που ἀνάπαλιν πεποίηκεν. εἰπών. αὐτὰρ ἐπεὶ σίτοιό τε πασσάμεθα ἠδὲ ποτῆτος. οὕτω δὲ καὶ πρὸ τούτων ἐν τῷ, ἐδητύος ἠδὲ ποτῆτος. (ῃερς. 103.) Ὅτι σύντομος ἔκφρασις κωπηλασίας τὸ, οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι κάθιζον. ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς, ὅπερ ὅμοιόν ἐστι τῷ, ἀνεῤῥίπτουν ἅλα πηδῷ. Ὅρα δὲ κάλλος ἐν παρίσοις τὸ, εἴσβαινον. κάθιζον. ἔτυπτον. (ῃερς. 106.) Ὅτι τοῦ περὶ Κυκλώπων λόγου ἀρξάμενος Ὀδυσσεὺς, ἀπὸ γὰρ τῶν φιλοξένων Λωτοφάγων εἰς τοὺς ἀξένους τούτους ἡ τοῦ ποιητοῦ μεταβαίνει πλάσις, φησί. Κυκλώπων δ' ἐς γαῖαν ὑπερφιάλων ἀθεμίστων ἱκόμεθα. οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισιν οὔτε φυτεύονται χερσὶ φυτὸν, οὔτ' ἀρόωσιν. ἀλλὰ τάγ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, πυροὶ καὶ κριθαὶ ἠδ' ἄμπελοι, αἵτε φέρουσιν οἶνον ἐριστάφυλον. καί σφιν Διὸς ὄμβρος ἀέξει. (ῃερς. 109.) ἃ δὴ ἐπιτεμὼν ὁ γεωγράφος φησί. Κύκλωπες, αὐτοφυεῖς νέμονται καρπούς. καὶ οὕτω τὴν ἰδιότητα φράσας τῆς γῆς ὁ ποιητὴς, ὡς εἰ καὶ νῆσος μακάρων ἦν τις καὶ αὕτη, περιᾴδεται γὰρ ἐν παροιμίαις ἐπ' εὐδαιμονίᾳ καὶ ἡ τῶν Κυκλώπων ὡς καὶ ἡ τῆς Αἰγύπτου γῆ καὶ ἡ τῶν Ἀράβων, (ῃερς. 112.) ἐκτίθεται καὶ εἰσέτι τοὺς νησιώτας Κύκλωπας ὁποῖοι τινές εἰσιν, εἰπών. τοῖσι δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες. ἀλλ' οἵ γ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα ἐν σπέσσι γλαφυροῖσι. θεμιστεύει δὲ ἕκαστος (ῃερς. 115.) παίδων ἠδ' ἀλόχων οὐδ' ἀλλήλων ἀλέγουσι. (ῃερς. 106.) καὶ τοῦτό ἐστιν αὐτοῖς τὸ ἀθεμίστοις εἶναι, τὸ μὴ κοινωνικῶς ἔχειν, μηδὲ πολιτικῶς θεμιστεύειν κατὰ τοὺς ἐν κοινῷ βουληφόρους καὶ ἀγορητὰς, ἀλλὰ κατ' οἴκους ἐν τοῖς ἑαυτῶν. ὥστε οὐχ' ἁπλῶς ἀθέμιστοι οἱ καὶ θεοῖς πεποιθότες καὶ παροιμίαν παραγαγόντες ἐκ θεοφιλείας τὴν ἄσπαρτα καὶ ἀνήροτα φύεσθαι πάντα τοῖς 1.326 εὐδαιμονοῦσι λέγουσαν, ἀλλὰ πῇ μὲν ἀθέμιστοι, πῇ δὲ θεμιστεύοντες. ὃ γενικῇ συντάσσει ὁ ποιητὴς, οὐκ ἀπολύτως φράσας κατὰ τοὺς ὕστερον, καὶ ἄλλως δὲ ἀθέμιστοι γοργῶς εἰπεῖν, διὰ τὸ μὴ νόμους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχειν κοινούς. εἰ δὲ δίκαιοι ὄντες ἐλύπουν τοὺς Φαίακας ἦν ὅτε γειτιῶντας ὡς προγέγραπται, ἀλλὰ τοῦτο διὰ τὸ τῆς πολιτείας φασὶν ἀνόμιον ἐγίνετο. Φαίακες μὲν γὰρ ἐκοινώνουν ἀλλήλοις εἴτε ἀριστοκρατίας νόμῳ εἴτε καὶ δημοκρατικῶς. οἱ δὲ Κύκλωπες οὐ τοιοῦτοι. εἰ δὲ καὶ πεποιθέναι μὲν θεοῖς ἐνταῦθα Κύκλωπες λέγονται, ὁ δὲ Πολύφημος ἐν τοῖς ἑξῆς ἐρεῖ (ῃερς. 275.) ὡς οὐκ ἀλέγουσι Διὸς οἱ Κύκλωπες ὡς φέρτεροι, ψευδῶς ἐκεῖνο φησίν. ὃ δὴ ποιοῦσιν οἱ κακοὶ συνδιαβάλλοντες ἑαυτοῖς τοὺς ἀγαθοὺς ἢ καὶ συνεξεικάζοντες. θεοσεβεῖς γὰρ οἱ λοιποὶ Κύκλωπες πλάττονται. οἳ καὶ τὴν Διὸς νόσον ὑποβλέπονται καὶ εὔχεσθαι οἴδασιν. Ὅτι δὲ τοὺς Κύκλωπας Λεοντίνους οἱ ὕστερον ἐκάλεσαν, καὶ ὅτι λησταὶ ἦσαν καὶ ἄγριοι, καὶ ὅτι πίων ἡ παρ' αὐτοῖς γῆ ὡς καὶ ἡ πλείων τῆς Σικελίας, δῆλόν ἐστι. φασὶ δὲ οἱ παλαιοὶ καὶ ὅτι ὥσπερ Αἴολος ἐδυνάστευσε τῶν περὶ Λιπάραν νήσων, οὕτω καὶ Κύκλωπες καὶ Λαιστρυγόνες τῶν περὶ Λεοντίνην καὶ Αἴτνην, ἄξενοί τινες ὄντες. διὸ καὶ τὰ περὶ τὸν πορθμὸν ἀπροσπέλαστα εἶναι τότε τοῖς πολλοῖς. ὁ μέντοι ποιητὴς οὐ πάντα φασὶ πλάττων οὐδ' ἐκ τοῦ μηδενὸς ἀεὶ μακρὰν τερατολογίαν ἀνάπτων προσμυθεύει τι καὶ ἐνταῦθα τοῖς ἀληθέσι. Τὸ δὲ ὑπερφιάλων δίσημον ὂν, ὡς καὶ προγέγραπται, οὐ δοκεῖ ἐπὶ ψόγῳ ἐνταῦθα κεῖσθαι, ἀλλὰ τὸ κατὰ σῶμα δηλοῦν μεγαλοφυὲς τῶν Κυκλώπων, ὥς που καὶ οἱ μνηστῆρες ὑπερφιάλους καλοῦσιν ἑαυτούς. οὕτω δὲ καὶ τὸ ἀθεμίστων οὐκ ἐφ' ὕβρει κεῖται νῦν, ἀλλ' ἐν ἱστορίας εἴδει, ὡς τῶν Κυκλώπων μήτε νόμους μήτε ἔθη κοινὰ ἐχόντων, ὡς ἐῤῥέθη, μηδὲ στοχαζομένων τοῦ κοινῇ συμφέροντος διὰ τὸ μηδὲ κοινῇ πολιτεύεσθαι ἀλλ', ὡς εἰπεῖν, οἰκοκρατεῖσθαι. Καὶ σημείωσαι ὅτι τε διττὸν τὸ ἀθέμιστον τό, τε εἰδότα θέμιν μὴ χρᾶσθαι αὐτῇ ὅτε ὁ ἀθέμιστος εἴη ἂν ὁ αὐτὸς τῷ ἀδίκῳ, καὶ τὸ μὴ πεῖραν ἔχειν θέμιδος ὅλως, ὁποῖοι οἱ Ὁμηρικοὶ Κύκλωπες. (ῃερς. 112.) καὶ ὅτι, ἔνθα μὴ θέμις, καλῶς ἐκεῖ οὐδ' ἀγοραὶ βουληφόροι, εἴπερ θέμις ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει. δῆλον δὲ ὅτι τε ἄλλο τι σημαίνει ὁ ὕστερον ῥηθεὶς ἀθέμιτος παρὰ τὸν ἐνταῦθα Ὁμηρικὸν ἀθέμιστον. καὶ ὅτι ὥσπερ χάρις χάριδος καὶ Δωρικῶς χάριτος, κατὰ δὲ τὴν παρὰ Ἡρωδιανῷ ἀλκμανικὴν χρῆσιν, καὶ Ἀρτέμιδος Ἀρτέμιτος, οἷον Ἀρτέμιτος θεράποντοῦτω καὶ θέμις θέμιτος. καὶ πλεονασμῷ τοῦ σίγμα θέμιστος οἷον. θέμιστι δὲ καλλιπαρῄῳ. καὶ ἐξ αὐτοῦ, ἀθέμιστος. (ῃερς. 107.) Τὸ δὲ οἳ θεῷ πεποιθότες ἀθανάτῳ οὔτε φυτεύουσι καὶ ἑξῆς ἕως τοῦ, ναίουσιν ἐν σπέσι γλαφυροῖσι, πρέπει τοῖς καθ' ἡμᾶς ἀναχωρηταῖς. οἳ καὶ αὐτοὶ πόλεις μὲν φυγόντες, ὀρέων δὲ ναίοντες κάρηνα ἐν σπηλαίοις, οὔτε φυτεύουσιν, οὔτ' ἄλλο τι τῶν ἐφεξῆς ποιοῦσιν, ἀλλὰ καὶ αὐτοὶ ἄσπαρτα καὶ ἀνήροτα ἔχουσιν ἄνωθεν τὰ καλὰ, αὐτοκράτορες ὄντες ἑαυτῶν, καὶ τρόπον ἄλλον θεμιστεύοντες οὐ μὴν ἀθεμίστως ἔχοντες. Ἰστέον δὲ ὅτι ἄλλως μὲν δόξοι ἂν ὁ ἀθέμιστος ἐκ τοῦ θεμίσσω γίνεσθαι, ὃ καὶ αὐτὸ ἐν φανερᾷ χρήσει κεῖται, ἀφ' οὗ καὶ ἡ θέμις. κοινότερον δὲ, ἐκ τοῦ θέμις θέμιδος, καὶ Δωρικῶς ὡς ἐῤῥέθη θέμιτος, λέγεται θεμιτὸς καὶ ἀθέμιτος, καὶ πλεονασμῷ τοῦ σίγμα, θεμιστεύειν καὶ ἀθέμιστος, ἡ δὲ τοῦ ¯δ καὶ τοῦ ¯τ ὡς οἷον εἰπεῖν φιλία καὶ ἀντιμεταχώρησις εἰς ἄλληλα, ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐφάνη, δηλοῦται μὲν καὶ ἐν τῷ, θέμιτος καὶ χάριτος ὡς ἐκ τοῦ θέμιδος καὶ χάριδος. διασημαίνεται δὲ καὶ ἐν τῷ, τηϋσίην ὁδὸν ἀντὶ τοῦ δευσίην. ὑγράν. ἁλίην, καθὰ ἐγράφη ἔνθα ὁ ποιητὴς αὐτὸ εἶπεν. ἔτι δὲ καὶ ἐν τῷ, τῆτες καὶ τῆδες. ὡς γὰρ οἱ τεχνικοί φασιν, οὐ μόνον τῆτες οἱ Δωριεῖς λέγουσιν, ἀλλὰ καὶ τῆδες. θετέον δ' ἐν τούτοις καὶ τὸ, Κίδαρις ἐθνικόν. αὐτὴ γάρ φασι καὶ Κίταρις λέγεται. Ἔτι ἰστέον καὶ ὅτι τὸ ¯δ οὐ μόνον εἰς τὸ ¯τ ἔστιν ὅτε οἶδε μεταχωρεῖν, ἀλλὰ καὶ εἰς τὸ αὐτοῦ ἀντίστοιχον θῆτα. ὡς δῆλον ἐκ τοῦ, μήδω Προμηθεὺς καὶ τῶν ἄλλων ἅπερ ἑτέρωθι κεῖνται. καὶ μέσου δὲ τοῦ βῆτα μεταβολὴ φανερὰ εὕρηταί ποτε εἰς δασέα καὶ εἰς ψιλά. ὡς καὶ αὐτὸ ἐν τοῖς εἰς τὴν Ἰλιάδα παρεσημάνθη. νῦν δὲ ἀρκεῖ πρὸς δεῖξιν τὸ, Φίλιππος Βίλιππος, καὶ τὸ, Παλληνικὸν βλέπειν ἤγουν Βαλληνικὸν ἀπὸ Παλλήνης τῆς κατὰ Θρᾴκην τῆς καὶ Βαλλήνης. ὅπερ αἴνιγμά ἐστι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ χρεὼν εἶναι καὶ λίθοις βάλλειν τὸν ἐχθρόν. λέγεται δὲ ὅτι τε ἧς γλώττης ἔστιν ὁ Βίλιππος ἀντὶ τοῦ Φίλιππος, τῆς αὐτῆς καὶ τὸ Βαλλήνη ἀντὶ τοῦ Παλλήνη, καὶ ὅτι ἀγρίως ἐβίουν οἱ Παλλήνιοι. διὸ καὶ ἡ τῶν Γιγάντων μάχη ἐν τῇ κατ' αὐτοὺς γῇ μεμυθολόγηται, ὅ που καὶ ἡ Φλέγρα. Θεοῖς δὲ πεποιθέναι Κύκλωπας ὁ μῦθος λέγει, δι' ὧν αὔξονται καρποί. οἷον. Διῒ ἀέρι. Δήμητρι γῇ. 1.327 Νύμφαις καρποτρόφοις. Ἀπόλλωνι ἡλίῳ. καὶ τοῖς τοιούτοις. οἷς θαῤῥοῦντες διὰ τὸ τῆς ἐκεῖ γῆς πῖον οὐκ ἔκαμνον. Τὸ δὲ πεποιθότες, Αἰολικόν ἐστι καθ' Ἡρακλείδην, ὃς λέγει ὅτι τὸ οἶδα πέποιθα λέλοιπα δέδοικα Αἰολικοί εἰσι παρακείμενοι. χαίρουσι γὰρ Αἰολεῖς τοιαύταις παρατελεύτοις. τὰ δὲ κοινὰ αὐτῶν, εἶδα. πέπειθα. λέλειπα. δέδεικα. (ῃερς. 108.) Τὸ δὲ οὐ φυτεύουσι φυτὸν, ἐτυμολογίας ἔχει τρόπον. Τὸ δὲ ἀρόωσιν, ἔοικε δευτέρας εἶναι συζυγίας τῶν περισπωμένων. ἦν δ' ἂν καθαρῶς τρίτης, εἴπερ ἐγράφετο ἀρόουσι. Τὸ δὲ ἄσπαρτα, ἐκτείνει τὴν λήγουσαν. (ῃερς. 109.) Τὸ δὲ πάντα φύονται, ἐφερμηνεύων ἵνα μήτις ἐπὶ ἀγρίων ἐκφύσεων τὸ πρᾶγμα νοήσῃ, φησί. πυροὶ καὶ κριθαὶ, καὶ τὰ ἑξῆς. ὃ καὶ καινόν. φύονται μὲν γάρ που καὶ ἀλλαχοῦ κατὰ τὸν γεωγράφον ἄσπαρτά ποτε καὶ ἀνήροτα. πλὴν, ἐκπροϋπάρξαντος ἀρότου τε καὶ σπόρου καὶ πεπάνσεως καρποῦ καὶ πτώσεως ἐκεῖθεν εἰς γῆν, καὶ ἐπ' ὀλίγους τινὰς τοῦτο ἐνιαυτούς. τὸ δὲ καὶ ἀεὶ τὸ τοιοῦτον γίνεσθαι, ὑπερβολὴν ἔχει εὐδαιμονίας. οὕτω δὲ καὶ οἶνος γίνεται μὲν καὶ ἐξ ἀγριάδων ἀνεργάστων. (ῃερς. 111.) τὸ δὲ καὶ ἐρισταφύλους τὰς τοιαύτας εἶναι, καινόν ἐστι καὶ θεῖον ὄντως δῶρον. Ἐνταῦθα δὲ ὅρα καὶ ὡς οὐ μόνον ἄμπελος κοινότερον ἐριστάφυλος, ἀλλ' ἰδοὺ καὶ οἶνος τοιοῦτος, ὁ ἀπὸ σταφυλῶν μεγάλων γινόμενος. Ὄμβρος δὲ Διὸς, τουτέστιν ἀέρος, δηλοῖ μὴ αὐχμηρὰν τὴν τῶν Κυκλώπων εἶναι. (ῃερς. 112.) Τὸ δὲ οὐκ ἀγοραὶ βουληφόροι, συντόμως δύο ἀποφάσκει ταῦτα, τὸ μήτε ἀγορὰς μήτε βουλὰς εἶναι κοινῇ παρὰ τοῖς Κύκλωψιν, ἀλλὰ νόμον ἕκαστον εἶναι τοῖς ἑαυτοῦ. (ῃερς. 115.) Τὸ δὲ οὐδ' ἀλλήλων ἀλέγουσιν, ἀντὶ τοῦ οὐχ' ὑποτάσσονται ἀλλήλοις. Καὶ ὅρα ἐν τῷ, ἀλλήλων, ὅτι καὶ πρὸ ὀλίγων τὸ, Κίκονες Κικόνεσσιν ἐβόων, ταυτὸν ἦν τῷ, ἀλλήλοις. καθάπερ αὖ πάλιν καὶ ἐνταῦθα τὸ, ἀλλήλων, ταυτόν ἐστι τῷ, Κύκλωπες Κυκλώπων. Ἰστέον δὲ ὅτι μετὰ τοὺς Λωτοφάγους περὶ Κυκλώπων ὁ ποιητὴς λέγει, οὐχ' ὡς ἐφεξῆς αὐτοῖς κειμένων ἐκεῖ που τῇ κατὰ τόπον θέσει, ἀλλ' ὅτι μετ' ἐκείνους ἡ γῆ τῶν Κυκλώπων ἔσχε τὸν Ὀδυσσέα, εἴτε ἀνόπιν πλεύσαντα ἐκ Λιβύης περὶ τὰ κατὰ Σικελίαν, εἴτε καὶ ἀλλαχοῦ πλαγχθέντα κατὰ τὴν Ὁμηρικὴν πρόθεσιν. Σημείωσαι δὲ καὶ ὅτι τὰ περὶ Κυκλώπων ἐνταῦθα τὰ ῥηθέντα προκατασκευαστικά εἰσι καὶ χρήσιμα εἰς τὸ πιθανῶς ὕστερον τυφλωθῆναι τὸν Πολύφημον. εἰ γὰρ μήτε θεμιστεύονται, μήτε πόλεις ἔχουσι, μήτε οἰκίας, μήτε γεωδαιτοῦνται, καὶ ἐν σπηλαίοις δὲ διεσπαρμένοι οἰκοῦσι καὶ οὐδ' ἀλλήλων ἀλέγουσι, ῥᾷον οὕτω κατεργασθήσεται ὁ Πολύφημος ἐρημάζων κατὰ σπέος ἐν ἐσχατιῇ, καὶ μᾶλλον ὅτι οὐδὲ παίδων γοῦν ἢ γυναικῶν θεμιστεύει, ἀλλὰ πάντῃ μονάζει εὐεπιβούλευτος ὢν καὶ πάντοθεν ἀβοήθητος. (ῃερς. 116.) Ὅτι πιθανῶς περισώζων καὶ εὐπλάστως ὁ ποιητὴς ἐκ τῶν ἀξένων Κυκλώπων τὰς τοῦ Ὀδυσσέως νῆας πλάττει νῆσόν τινα ἐρήμην, μικρὰν μὲν, ἀγαθὴν δὲ θεραπεῦσαι καταίροντάς τινας, εὐδαίμονα καὶ αὐτὴν καὶ πολύθηρον. ἔνθα στήσας Ὀδυσσεὺς τὰς λοιπὰς νῆας μετὰ μόνης ἔπλευσε μιᾶς εἰς τὴν μεγάλην, τὴν τῶν Κυκλώπων. καὶ ἔπαθε καὶ ἐποίησε τὰ θρυλούμενα. ἔχει δὲ πιθανῶς ἡ τῆς μικρονήσου ταύτης παντελὴς ἐρημία, ἐκ τοῦ μὴ διοικεῖσθαι ὅλως ναυσὶ τοὺς Κύκλωπας. διό περ οὐδὲ εἶχον φόβον οἱ ἐκεῖ καταπλεύσαντες. ἀφ' ἧς Ὀδυσσεὺς ὡς ἐξ ὁρμητηρίου τινὸς ἀσφαλοῦς ἢ καὶ ἐπιτειχίσματος εἰς τὴν τῶν Κυκλώπων ἐλθὼν καὶ πειραθείς, ὧν ἐπειράθη, ἐπανῆλθεν εἰς τὰς λοιπὰς νῆας. καὶ εὗρεν ἐκείνας κακῶν ἀπαθεῖς. ὡς εἴγε κατὰ πρῶτον πλοῦν τῇ τῶν Κυκλώπων γῇ προσωρμίσθη, οὐκ ἂν εὐτυχῶς εἶχεν ἀπαλλάξαι. νῦν δὲ κατά τι θεῖον νησιδίῳ προσοκείλας εὐτύχησε. διὸ καί τις θεὸς ἡγεμονεῦσαι αὐτῷ λέγεται εἰς τὸν τοιοῦτον κατάπλουν, γενόμενον ἔν τε λειοκύμονι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γαλήνῃ, καὶ ἐν σκοτομήνῃ βαθείᾳ. ὃ καὶ αὐτὸ πρὸς ἀγαθοῦ γέγονεν. εἰ γὰρ ἦν ἡμέρα, τῇ τῶν Κυκλώπων ἂν προσέσχον γῇ οὐκ ἐπὶ καλῷ. ἔστι δὲ ἡ περὶ τῆς τοιαύτης νήσου Ὁμηρικὴ φράσις τοιαύτη. (ῃερς. 116.) νῆσος ἔπειτα λάχεια παρὲκ λιμένος τετάνυσται γαίης Κυκλώπων. οὔτε σχεδὸν οὔτ' ἀποτηλοῦ. ὑλήεσσα. ἐν δ' αἶγες ἀπειρέσιαι γεγάασιν ἄγριαι. οὐ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει. οὐδέ μιν εἰσοιχνεῦσι κυνηγέται. (ῃερς. 1.) οἵ τε κατ' ὕλην ἄλγεα πάσχουσι, κορυφὰς ὀρέων ἐφέποντες. ὃ δὴ πρὸς ψόγον τῆς κυνηγετικῆς τέχνης παρέῤῥιπται. (ῃερς. 122.) οὔτ' ἄρα ποίμνῃσι καταΐσχεται κατὰ τοὺς ἡμέρους τόπους, οὔτ' ἀρότοισιν. ἀλλ' ἥγ' ἄσπαρτος καὶ ἀνήροτος ἤματα πάντα ἀνδρῶν χηρεύει. βόσκει δέ τε μηκάδας αἶγας. (ῃερς. 125.) εἶτα αἰτίαν ἐντιθέμενος δι' ἣν εὐδαίμων οὖσα ἡ νῆσος ἀοίκητός ἐστι, φησίν. οὐ γὰρ Κυκλώπεσσι νέες πάρα μιλτοπάρῃοι. οὐδ' ἄνδρες νηῶν ἔνι τέκτονες οἳ κάμοιεν νῆας αἳ τελέοιεν ἕκαστα, ἄστε' ἐπ' ἀνθρώπων ἱκνεύμεναι, οἷά τε πολλὰ ἄνδρες 1.328 ἐπ' ἀλλήλους νηυσὶ περόωσι θάλασσαν. (ῃερς. 130.) οἵ κέ σφιν καὶ νῆσον ἐϋκτημένην ἐκάμοντο. καὶ ἔστι τοῦτο ναυτιλίας ἔπαινος. τῷ ὄντι γὰρ ἀοίκητοι ἂν ἦσαν αἱ νῆσοι μὴ ταύτης οἰκιζούσης αὐτάς. (ῃερς. 131.) εἶτα μετὰ τὴν τοιαύτην αἰτίαν ἐπεμβληθεῖσαν ἐκ περικοπῆς ἐπάγει καὶ τὸ λοιπὸν ἐγκώμιον τῆς χώρας, εἰπών. οὐ μὲν γάρ τι κακή γε. φέροι δέ κεν ὥρια πάντα. ἐν μὲν γὰρ λειμῶνες ἁλὸς πολιοῖο παρ' ὄχθας, ὑδρηλοὶ, μαλακοί. μάλα ἂν ἄφθιτοι ἄμπελοι εἶεν. ἐν δ' ἄροσις λείη. μάλα κεν ἢ τάχα κεν βαθὺ λήϊον αἰεὶ εἰς ὥρας ἀμῷεν. (ῃερς. 135.) ἐπεὶ μάλα πῖαρ ὑπ' οὖδας. οὕτω καὶ τοὺς εἰς γεωργίαν δεξιοὺς τόπους τεχνιέντως ὁ ποιητὴς φιλοκρινεῖ. (ῃερς. 136.) ἐν δὲ λιμήν φησιν εὔορμος, ἵν' οὐ χρεὼ πεισματός ἐστιν. οὔτ' εὐνὰς βαλέειν οὔτε πρυμνήσι' ἀνάψαι. ἀλλ' ἐπικέλσαντας, μεῖναι χρόνον, εἰσόκε ναυτέων θυμὸς ἐποτρύνῃ καὶ ἐπιπνεύσωσιν ἀῆται. αὐτὰρ ἐπὶ κρατὸς λιμένος ῥέει ἀγλαὸν ὕδωρ, (ῃερς. 141.) κρήνη ὑπὸ σπείους. περὶ δ' αἴγειροι πεφύκασιν. ὑδροχαρὲς καὶ ὑδατοτρεφὲς τοῦτό γε φυτόν. καὶ τοιαύτη μὲν ἡ τῆς νήσου ἔκφρασις τῆς θαυμαστῆς. ὡς δηλοῖ καὶ τὸ, νῆσον θαυμάζοντες ἐδινεόμεθα κατ' αὐτήν. ἧσπερ ὄνομα οὐκ εἰκὸς εἰδέναι τὸν Ὀδυσσέα διὰ τὴν αὐτῆς ἐρημίαν. (ῃερς. 116.) τινὲς μέντοι τὸ λάχεια ὄνομα τῆς νήσου ὑπώπτευσαν, ὡς γνωσθὲν διὰ Κίρκης τῷ Ὀδυσσεῖ ἐξ ἐρωτήσεως. ἕτεροι δὲ, λάχειαν, τὴν εὔγεων φασὶ καὶ ἐπιτηδείαν λαχαίνεσθαι ἤτοι σκάπτεσθαι, ὅθεν καὶ τὸ λάχανον. κεῖται δὲ καὶ μετὰ ταῦτα ἡ λέξις ἐν τῷ, ἀκτή τε λάχεια. εἰ δὲ γράφεται τετρασυλλάβως ἐλάχεια, εἴη ἂν, ὥσπερ λιγὺς λίγεια, οὕτω καὶ ἐλαχὺς ἐλάχεια ἡ ἐλαχίστη. (ῃερς. 116.) Τὸ δὲ παρὲκ λιμένος γαίης Κυκλώπων ἐγγὺς ἐόντων καὶ ὧν ὁ χῶρος ἐγγὺς κατὰ τὸν ποιητὴν, ἑρμηνεύει εὐθὺς ἐν τῷ, οὔτε σχεδὸν οὔτ' ἀποτηλοῦ. Τὸ μὲν γὰρ οὐ σχεδὸν, εἴρηται διὰ τὴν ¯εκ πρόθεσιν. τὸ δὲ οὐδ' ἀποτηλοῦ, διὰ τὴν π¯αρα. τὸ μὲν γὰρ οὐ σχεδὸν, ἔξω καὶ μακράν που ἐστί. τὸ δὲ οὐ τηλοῦ, ἐγγύς ἐστι, καὶ ὡς εἰπεῖν, πάρεστι. τοιαύτη δὲ ἡ σημασία τοῦ τε παρὲκ καὶ τοῦ παρέξ. (ῃερς. 116.) Σημείωσαι δ' ὡς ἐν τοῖς τοιούτοις ποτὲ μὲν ἡ ¯εξ πρόθεσις ἐπικρατοῦσα, νικᾷ. οἷον. παρὲκ νόον ἤγουν μακρὰν νοὸς ἤγαγε. ποτὲ δὲ, ἡ π¯αρα, ὡς ἐνταῦθα, ἔνθα ἐγγὺς τῆς λαχείας εἰσὶν οἱ Κύκλωπες. (ῃερς. 118.) Τὸ δὲ ὑλήεσσα, πιθανολογεῖ τὸν ἐν τῇ νήσῳ πληθυσμὸν τῶν αἰγῶν. ὥσπερ καὶ τὸ τετάνυσται δηλοτικόν ἐστι τοῦ παραμήκη τὴν νῆσον εἶναι. (ῃερς. 118.) Τὸ δὲ ἀπειρεσίας αὐτόθι αἶγας εἶναι, ἡ ἐφεξῆς ἄγρα δηλώσει. (ῃερς. 119.) Ἄγριαι δὲ πάντως, αἱ περὶ τόπον ἀοίκητον, ταυτὸν δ' εἰπεῖν ἔρημον. διὸ ἐπάγει. οὐ γὰρ πάτος ἀνθρώπων ἀπερύκει καὶ τὰ ἑξῆς. Πάτος δέ φασιν, ἡ ἀναστροφὴ, ἤτοι ὁδός. ὅθεν ἀπόπατος, ἡ ἄφοδος ἤτοι κόπρος. καὶ ἀποπατεῖν, τὸ ἀφοδεύειν. καὶ παροιμία τὸ, ἐκ πάτου. ἀντὶ τοῦ ἐκ ποδῶν. ὀνοματοποιεῖται δὲ καὶ αὐτὸ, καθὰ καὶ ὁ κτύπος καὶ ὁ δοῦπος καὶ τὰ τοιαῦτα. (ῃερς. 122.) Τὸ δὲ οὔτε ποίμναις καταΐσχεται, ἀντὶ τοῦ κατέχεται. οὐ γὰρ ἀξιοῖ εἰπεῖν κατοικεῖται, τοῦτο γὰρ ἐπὶ ἀνθρώπων λέγεται. (ῃερς. 124.) Τὸ δὲ ἀνδρῶν χηρεύει, διαφορά ἐστι τῆς τοιαύτης νήσου πρὸς τὴν τῶν Κυκλώπων. ἄσπαρτοι μὲν ἄμφω καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνήροτοι καὶ εὔκαρποι. χηρεύουσα δὲ αὕτη ἀνδρῶν βόσκει αἶγας ἀντ' αὐτῶν. Τὸ δὲ μηκᾶσθαι ὅτι αἰγῶν μιμεῖται φωνὴν ὅθεν καὶ μηκάδες αἶγες, δῆλον. καθὰ καὶ ὅτι προβάτων τὸ βληχᾶσθαι. καὶ ἄλλων δὲ ἄλλαι μιμήσεις τῆς φωνῆς. (ῃερς. 126.) Ὅρα δὲ καὶ ὅτι τὸ, νέες πάρα καὶ ἔνι τέκτονες, καθ' ὁμοιότητα παράκεινται. τὸ εἶναι γὰρ δηλοῦσι καὶ ἄμφω. ἔστι γὰρ πάρα μὲν, ἀντὶ τοῦ πάρεισιν. ἔνι δὲ, ἀντὶ τοῦ ἔνεισι. (ῃερς. 125.) Μιλτοπάρηοι δὲ ἁπλῶς οὕτω κεῖνται καὶ οὐ πρὸς διαστολήν. Κύκλωψι γὰρ οὔτε τοιαῦται νῆες εἰσὶν οὔτε κυανοπρώρειοι. (ῃερς. 126.) Τὸ δὲ κάμοιεν νῆας ἐνεργητικῶς καὶ νῆσον ἐϋκτημένην ἐκάμοντο παθητικῶς τὴν αὐτὴν ἔχουσιν ἔννοιαν. ἐπειδὴ καὶ κάματός ἐστιν ἐν ἀμφοῖν. λαμβάνεται γὰρ ἡ τοῦ καμεῖν λέξις νῦν κοινότερον ἀντὶ τοῦ ποιεῖν, μετὰ πόνου μέντοι. ἢ ἀντὶ τοῦ τελεῖν, ὡς δηλοῖ τὸ, αἴ κεν τελέοιεν ἕκαστα. (ῃερς. 128.) Τὸ δὲ οἷά τε πολλὰ, ἔλλειψιν ἔχει προθέσεως, ἵνα λέγῃ δι' οἷα πολλὰ αἴτια καὶ πράγματα ἐπ' ἀλλήλους περῶσιν ἄνθρωποι. (ῃερς. 131.) Τὸ δὲ φέροι δέ κεν ὥρια πάντα, οὐχ' ὅτι νῦν φέρει, ἀλλ' ὅτι ἀγάγοι ἂν ἐν καιρῷ, εἰ μὴ κατεβόσκετο ὑπὸ αἰγῶν. δηλοῖ δὲ ἂν τὸ, φέρειν ὥρια πάντα, γῆν εὔφορον εἰ καὶ ἄλλως αἰγίβοτος. (ῃερς. 132.) Ὄχθας δὲ ἁλὸς, τοὺς αἰγιαλοὺς λέγει. (ῃερς. 133.) Ὅτι δὲ καὶ ὑδρηλὸς ὁ κυρίως λειμὼν καὶ ποιήεις δὲ, ἤδη δὲ καὶ λεχεποίης καὶ διατοῦτο μαλακὸς, δῆλόν ἐστι. καὶ ὡς οἱ τοιοῦτοι τόποι δεξιοὶ εἰς ἀμπέλων φυτείαν, ὧν ἡ νῆσος αὕτη στέρεται ὡς ἔρημος, οὐ γὰρ ἂν, εἴπερ ἦσαν, ἐσίγησεν αὐτὸ Ὅμηρος. ποιεῖ δὲ τοῦτο ἡ φύσις διὰ τὸ μὴ εἶναι τοὺς χρῄζοντας ἐπείπερ 1.329 ἡ νῆσος ἀοίκητος, ἴσως δὲ καὶ οὖσαι οὐκ ἐποίουν οἶνον ἐριστάφυλον, ἀλλὰ συνετέλουν ἁπλῶς καὶ αὐταὶ τῇ νήσῳ εἰς τὸ εἶναι ὑλήεσσαν. (ῃερς. 133.) Ὅρα δὲ καὶ ὡς μνησθεὶς τόπου δεξιοῦ εἰς ἀμπελοποιΐαν καὶ εἰς λῄου κατασπορὰν ἐπήγαγεν ἀποστατικῶς κατά τι κάλλος δι' ἐπαναφορᾶς τὸ, μάλα ἂν ἄφθιτοι ἄμπελοι εἶεν. καὶ τὸ, μάλα ἂν βαθὺ λήϊον ἀμῷτο, καλῶς ἀπονείμας ἀμπέλοις μὲν τὸ ἄφθιτον διὰ τὸ μακρόβιον, λῄῳ δὲ ἐπετεσίῳ μόνον τὸ βαθύ. Ὅτι δὲ σχῆμα ἐπαναφορᾶς τὸ, μάλα ἄφθιτοι καὶ μάλα βαθὺ διὰ τὸ εἰς τὴν αὐτὴν λέξιν ἐπαναφέρειν, δῆλόν ἐστι. (ῃερς. 135.) Τὸ δὲ εἰς ὥρας, ἐξ Ὁμήρου λαβόντες οἱ Ἀττικοὶ φασὶν ἐπὶ ἀρᾶς τὸ, μὴ ἐς ὥρας ὁ δεῖνα ἵκοιτο, ἀλλὰ δηλαδὴ πρὸ ὥρας ἐκθερισθείη. Ἐν δὲ τῷ, οὔτ' εὐνὰς βαλέειν, τουτέστι κατὰ βυθοῦ ἀγκύρας ῥίψαι, (ῃερς. 137.) οὔτε πρυμνήσι' ἀνάψαι ὅ ἐστιν ἐκδῆσαι, περιτταὶ αἱ ἀρνήσεις. ὀρθὸν γὰρ εἰπεῖν ὅτι οὐ χρεία πείσματος ἤτοι ἀπογείου σχοινίου ὡς ἢ εὐνὰς βαλεῖν δι' αὐτοῦ ἢ πρυμνήσια ἀνάψαι. Ἐκ δὲ τοῦ, εὐνὰς βαλέειν, τὸ ἀγκυρηβόλιον παρὰ τοῖς μεθ' Ὅμηρον συντέθειται ἐπείπερ εὐναὶ ποιητικῶς πολλαχοῦ αἱ ἄγκυραι. (ῃερς. 138.) Τὸ δὲ κέλλειν, πρωτότυπόν ἐστι καὶ ἐξ αὐτοῦ κατὰ πλεονασμὸν τὸ ὀκέλλειν. τρὶς γοῦν ἐνταῦθα χρᾶται τῇ λέξει δίχα τοῦ ¯ο ἐν τῷ, ἐπικέλσαντας μεῖναι. καὶ, νῆας ἐπικέλσαι. καὶ, κελσάσῃσι δὲ νηυσί. καὶ ἔοικεν ἐκ τοῦ τοιούτου κέλλειν καὶ κόλπος λέγεσθαι, ὅπου δηλαδὴ νῆες κέλλουσιν. Ἐν δὲ τῷ, εἰσόκε ναυτέων θυμὸς ἠδύνατο μὲν γράψαι ναυτῶν θυμός. προείλετο δὲ τὸ διὰ χασμῳδίαν σεμνότερον. (ῃερς. 139.) Τὸ δὲ ἐπιπνεύσωσιν ἀῆται, κατὰ τὸ ἐπὶ πλεῖστον εἴρηται. ὡς ἐπὶ πολὺ γὰρ ἀνέμου πνεύσαντος ἐκ λιμένων ἀναγόμεθα εἴγε θυμὸς ἐποτρύνῃ. (ῃερς. 140.) Κρᾶτα δὲ λιμένος λέγει, ὡς καὶ κορυφὴν ὄρους καὶ εἴ τι που τοιοῦτον. Ἐν δὲ τῷ, (ῃερς. 141.) κρήνη ὑπὸ σπείους, ἀγαθόν τι προσμαρτυρεῖται τῇ νήσῳ καὶ ἡ σπηλαιώδης κατάδυσις. ὅλως δὲ εἰπεῖν, τῆς τῶν Κυκλώπων γῆς ὑποκόρισμα ἡ ῥηθεῖσα νῆσος ἐστὶν, ὡς τῷ ἐγγὺς εἶναι μετέχουσά πως αὐτῆς. Πρὸς σαφήνειαν δὲ τοῦ, ἀγλαὸν ὕδωρ ἐπῆκται τὸ, κρήνη. ἵνα μὴ τέλμα τυχὸν ἢ ἑτεροία τις ὑγρότης τοιαύτη νοηθείη ἀπόῤῥοιαν ἔχουσα. (ῃερς. 142.) Ὅτι εὐτυχοῦς νυκτερινοῦ κατάπλου δήλωσις τὸ, ἔνθα κατεπλέομεν μήτε ἰδόντες μήτε ἀκούσαντες. ἀλλὰ πῶς; θεὸς ἡγεμόνευε νύκτα δι' ὀρφαίην. οὐδὲ προὐφαίνετ' ἰδέσθαι, ἀὴρ γὰρ περὶ νηυσὶ βαθεῖα ἦν, οὐδὲ σελήνη οὐρανόθεν προὔφαινε, κατείχετο δὲ νεφέεσσι. (ῃερς. 145.) Καὶ ὅρα τὸ, κατείχετο νεφέεσσιν. ὅπερ ὅμοιον ἐστί πως τῷ, ποίμνῃσι καταίσχεται ὃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστὶ κατέχεται. εἰ δὲ καὶ νῆσος ἐστὶ περὶ ἣν ὁ κατάπλους, προσφυῆ καὶ τὰ ἐφεξῆς. (ῃερς. 146.) ἤγουν τὸ, ἔνθ' οὔτις τὴν νῆσον ἐσέδρακεν ὀφθαλμοῖσιν. οὔτ' οὖν κύματα μακρὰ κυλινδόμενα ποτὶ χέρσον εἰσίδομεν, πρὶν νῆας ἐϋσσέλμους ἐπικέλσαι. (ῃερς. 149.) Κελσάσῃσι δὲ νηυσὶν ὅ ἐστι κατ' ἀντίπτωσιν προσοκειλασῶν δὲ τῶν νηῶν, καθείλομεν ἱστία πάντα, ἐκ δὲ καὶ αὐτοὶ βῆμεν. (ῃερς. 144.) Σημείωσαι δὲ καὶ ὅτι τὸ ἀὴρ ἐνταῦθα ἐκτείνει τὴν ἄρχουσαν. ὥστε ἐν τῷ, ἠέρος καὶ ἠέρι καὶ ἠέρα, οὐ διὰ βραχύτητα τοῦ ἄλφα ἐξετάθη τὸ δίχρονον, ἀλλὰ κατὰ διαλέκτου ἰδίωμα. ἐπεί τοί γε εἶχον καὶ αὐτὰ δι' ἐκτεταμένου τοῦ ¯α προφέρεσθαι ὁμοίως τῷ, ἀκάματος καὶ ἀθάνατος. ὥσπερ αὖ πάλιν καὶ ἡ ἀὴρ, ἔτρεψεν ἂν τὸ ¯α εἰς ¯η εἰ μὴ κακοφωνία οὕτω τραχεῖα ἐγίνετο. θηλυκῶς δὲ καὶ νῦν ἡ ἀὴρ, ὡς δηλοῖ τὸ, ἀὴρ βαθεῖα ἦν. Τὸ δὲ μὴ σελήνην οὐρανόθεν προφαίνειν τὴν ἀσελὴν νύκτα συνέθετο παρὰ τοῖς μεθ' Ὅμηρον. (ῃερς. 142.) Δῆλον δὲ καὶ ὅτι καταπλεῦσαι καὶ κέλσαι καὶ ἐπικέλσαι τὸ ἐλλιμενισθῆναι ἐστί. (ῃερς. 149.) Καθελεῖν δὲ ἱστία, τὸ καταγαγεῖν καὶ συστεῖλαι. (ῃερς. 150.) Ὅτι ἐν Ἰλιάδι μὲν τὸ βρίζειν ἐπὶ ἀμελείας ἔθετο, ὡς εἴ τις εἴποι ἀπονυστάζειν. ἐνταῦθα δὲ φανερῶς ἐπὶ ὕπνου τὴν λέξιν τίθησιν, ἐπεὶ καὶ κυρίως βρίζειν ἐστὶ, τὸ βαρὺ ἵζειν. ἢ μετὰ βορὰν ἵζειν. φησὶ γοῦν. ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν ἠῶ δῖαν. (ῃερς. 154.) Ὅτι νύμφαι καὶ ὧδε κοῦραι Διὸς ἀλληγορικῶς αἱ τῶν φυτῶν αὐξητικαὶ δυνάμεις, ἃς ὁ Ζεὺς ποιεῖ. τουτέστι τὸ ἐν τῷ περιέχοντι εὔκρατον ὑφ' οὗ τὰ ζωοτρόφα τέθηλε φυτά. φησὶ γοῦν. ὦρσαν δὲ νύμφαι κοῦραι Διὸς αἶγας ὀρεσκῴους, ἵνα δειπνήσειαν ἑταῖροι. (ῃερς. 156.) κυνηγετικῆς δὲ ἀκολουθίας τοῦτο. διὸ ἐπάγει αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχαύλους εἱλόμεθα, ἤγουν ἐπελεξάμεθα. (ῃερς. 157.) διὰ δὲ τρίχα κοσμηθέντες ἤγουν τριχῇ διαταχθέντες, βάλλομεν. αἶψα δὲ δῶκε θεὸς μενοεικέα θήρην. (ῃερς. 159.) ἣν καὶ ἐφερμηνεύων φησὶν ὁ Ὁμηρικὸς Ὀδυσσεύς. νῆες μέν μοι ἕποντο δυώδεκα. ἐς δὲ ἑκάστην ἐννέα λάγχανον ἤτοι ἐκληροῦντο αἶγες. (ῃερς. 160.) ἐμοὶ δὲ, δέκα ἔξελον οἴῳ, οὕτω γὰρ βραχὺ τοῖς πάλαι στρατηγοῖς ἦν τὸ ὑπέρτιμον. καὶ ἐν τοῖς ἑξῆς δὲ τὰ Κύκλωπος μῆλα δασάμενοι ἀρνειὸν οἱ 1.330 ἑταῖροι τῷ Ὀδυσσεῖ ἔδωκαν ἔξοχα. ὃν καὶ ἐπὶ τῷ αἰγιαλῷ ἔθυσαν. καὶ ἔστιν ἐν τούτοις σημειώσασθαι ὡς εἰ καὶ ἄπονα τῇ τῶν Κυκλώπων γῇ τὰ καλὰ, ὅμως οἱ οἰκοῦντες ἄνδρες τῶν πλειόνων αἴτιοι. διὸ Κύκλωπες μὲν καὶ πρόβατα εἶχον, ἡ δὲ ἀντικρὺ νῆσος αἶγας καὶ μόνας, καὶ ἡ μὲν ἀμπέλους ἀρισταφύλους, ἐκείνη δὲ οὔ, καὶ τῇ μὲν πυροὶ καὶ κριθαὶ φύονται, οὐ μὴν καὶ ἐν τῇ ἑτέρᾳ νήσῳ τῇ ἀπανθρώπῳ. (ῃερς. 155.) Σημείωσαι δὲ καὶ ὅτι οὐ μόνον Κένταυροι ὀρεσκῷοι ἐν Ἰλιάδι, ἀλλὰ καὶ αἶγες ἐνταῦθα. ἔστι γὰρ τὸ ἐπίθετον ἁρμόζον πᾶσι τοῖς ὀρεινόμοις τῶν ζῴων. (ῃερς. 156.) Αἰγανέαι δὲ, εἴπερ κατὰ αἰγῶν ἵενται, ἰδοὺ ἐνταῦθα ἐπαληθεύει αὐταῖς τοὔνομα. βάλλονται γὰρ αἶγες δι' αὐτῶν. Δολιχαύλους δὲ τὰς μακροσιδήρους λέγει. αὐλὸς γάρ φασι νῦν ἡ ὀπὴ τῆς αἰχμῆς ᾗ τὸ ξύλον ἐμβάλλεται. (ῃερς. 160.) Ὅρα δὲ καὶ ὡς εὐεπίφορος Ὅμηρος εἰς τὸν ἐννέα ὢν ἀριθμὸν πάσχει τοῦτο καὶ νῦν, ἐννέα διανέμων αἶγας ἑκάστῃ τῶν νηῶν. ἐφ' αἷς καὶ λαγχάνοντες οἱ σύμπλοι τὸ ἀστασίαστον ἐπραγματεύοντο. (ῃερς. 161.) Ὅτι μακρῷ συμποσίῳ ἐπιλεχθείη ἂν τὸ, ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα ἥμεθα δαινύμενοι κρέατ' ἄσπετα καὶ μέθυ ἡδύ. (ῃερς. 163.) εἰ δὲ καὶ περιουσίαν οἴνου δηλώσειν αἱρεῖτό τις, ἐρεῖ καὶ τὰ ἐφεξῆς. οὐ γάρ πω ἐξέφθιτο οἶνος ἐρυθρὸς, ἀλλ' ἐνέην. (ῃερς. 165.) πολλὸν γὰρ ἐν ἀμφιφορεῦσιν ἕκαστοι ἠφύσαμεν. Ὀδυσσεὺς δὲ περὶ τοῦ ἐκ Κικόνων οἴνου τοῦτο φησί. πολύοινος γὰρ ἡ κατ' ἐκείνους Θρᾴκη. (ῃερς. 162) Ὅρα δὲ καὶ ἐν τῷ καὶ μέθυ ἡδὺ, λεῖπον συνεκδοχικῶς τὸ ἐπίνομεν. ἐλλέλειπται δὲ διὰ τὸ πάντῃ γνώριμον. οὕτω καὶ ὑποκαταβὰς ἐρεῖ τὸ, Κυκλώπων δ' ἐς γαῖαν ἐλεύσσομεν ἐγγὺς ἐόντων. καπνόν τ' αὐτῶν τε φθογγὴν οἰῶν τε καὶ αἰγῶν. κἀνταῦθα γὰρ ἐν τῷ, (ῃερς. 167.) φθογγὴν αὐτῶν καὶ οἰῶν καὶ αἰγῶν ἐξαναλόγου ληπτέον τὸ ἠκούομεν. ἴσως δὲ εἴποι τις ἂν τὸ, δαινύμενοι κρέα καὶ μέθυ, μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνεκδοχὴν εἶναι. οὐ γὰρ ἔφη ἔδοντες κρέα καὶ μέθυ, ἀλλὰ δαινύμενοι, τουτέστιν ἐν δαιτὶ δαπανῶντες. (ῃερς. 163.) Ὅρα δὲ καὶ τὸ, ἐξέφθιτο οἶνος ῥηθὲν ἀντὶ τοῦ, ἐδαπανήθη. καὶ τὸ, (ῃερς. 167.) φθογγὴν, ῥηθὲν ἐπί τε ἀνθρώπων καὶ ἐπὶ ζῴων ἀλόγων. (ῃερς. 174) Ὅτι πορισάμενος ἤδη ἐννοίας φράσιν Ὀδυσσεὺς ἐξ ὧν ἠρωτήθη παρὰ τοῦ βασιλέως Ἀλκινόου λέγει πειράσασθαι πλεύσας εἰς τὴν ἀντιπέραν γῆν τῶν Κυκλώπων δηλαδὴ, οἵ τινές εἰσιν (ῃερς. 175.) ἢ ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι. ἠὲ φιλόξενοι καί σφιν νόος ἐστὶ θεουδής. τοὺς γὰρ δύο στίχους τούτους οὐ μόνον ἐν τῇ ζῆτα ῥαψῳδίᾳ ἔφη ὁ ποιητὴς ἀπαραλλάκτως, ἀλλὰ πρὸ ὀλίγων καὶ Ἀλκίνοος αὐτοῦ φράσας ἔφη πρὸς Ὀδυσσέα, ὑπηλλαγμένου ἐκεῖ τοῦ χαλεποὶ ἀντὶ τοῦ ὑβρισταὶ, ὅπερ ἐνταῦθα κεῖται. (ῃερς. 174.) Σημείωσαι δ' ἐνταῦθα ὅτι πειράσασθαι τῶν ἐν τῇ περαίᾳ ὁ ἥρως ἐθέλει αὐτὸς ἐκεῖνος μετὰ καὶ τῶν αὐτοῦ, ἐπεὶ μηκέτι τοῖς ἑταίροις πιστεύει διά τε τὸ κατὰ τοὺς Λωτοφάγους σύμβαμα καὶ τὴν ἐν τῇ γῇ τῶν Κικόνων ἀπείθειαν. καὶ τοῦτο μὲν κατὰ τὸ φαινόμενον. ἄλλως δὲ ἀληθῶς, διότι οὕτως εὔοδος ἡ τῆς τυφλώσεως τοῦ Κύκλωπος ἱστορία γίνεται, αὐτοῦ τοῦ Ὀδυσσέως πλεύσαντος εἰς αὐτὸν οὐ μὴν στείλαντος. (ῃερς. 176.) Ὅρα δὲ τὸ, καί σφιν νόος ἐστὶ θεοειδής. ὑπαλλάσσει γὰρ τοῦτο τὴν κοινὴν φράσιν, ἧς τὸ ὀρθὸν τοιοῦτον. ἠὲ φιλόξενοι καὶ θεοειδεῖς. Ὅμηρος δὲ περιφράσας ἐξαλλαγὴν ἐποίησε σχήματος. (ῃερς. 177.) Ὅτι τὸ ἀνὰ νηὸς βῆναι, πρόθεσιν ἔχει ἀντὶ προθέσεως ὡς εἴπερ ἐπὶ νηὸς βῆναι. ἴσως δὲ καὶ καθ' ὑπέρβασιν καὶ ἔλλειψιν ἑτέρας προθέσεως πέφρασται, ἵνα ᾖ, ἀναβῆναι ἐπὶ νηός. ἄλλως γὰρ ἡ ἀν¯α πρόθεσις γενικῇ οὐ συντάσσεται. λέγει οὖν. ὡς εἰπὼν ἀνὰ νηὸς ἔβην. (ῃερς. 178.) ἐκέλευσα δ' ἑταίρους αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι, καὶ τὰ ἑξῆς ὡς καὶ πρὸ ὀλίγων ἐγράφη. Καὶ ὅρα τὸ, ἀνά τε πρυμνήσια λῦσαι. δῆλον γὰρ ὡς ταυτὸν, λῦσαι καὶ ἀναλῦσαι εἰπεῖν. (ῃερς. 182.) Ὅτι καὶ τὸ τοῦ Κύκλωπος ἐκφράζων σπήλαιον καὶ τὰ περὶ αὐτὸ φησίν. ἔνθα δ' ἐπ' ἐσχατιῇ σπέος εἴδομεν ἄγχι θαλάσσης ὑψηλὸν, δάφνῃσι κατηρεφές. (ῃερς. 184.) ἔνθα δὲ πολλὰ μῆλ' ὀΐές τε καὶ αἶγες ἰαύεσκον. ὧν τὸ χρήσιμον ἐκφράσει μετ' ὀλίγα. (ῃερς. 185.) περὶ δ' αὐλὴ ὑψηλὴ δέδμητο κατωρυχέεσσι λίθοισι. (ῃερς. 186.) μακρῇσι τε πίτυσσιν. ἰδὲ δρυσὶν ὑψικόμοισιν. ὃ καθυπερβατὸν τοῖς ἄνω συντάσσεται. ἵνα ᾖ, δάφνῃσι κατηρεφὲς καὶ πίτυσι καὶ δρυσί. Καὶ ὅρα τὰ συχνὰ πάρισα καλλύνοντα τὴν ἔκφρασιν. τὸ, ὄϊες καὶ αἶγες. καὶ τὸ, αὐλὴ ὑψηλή. καὶ τὸ, κατωρυχέεσσι λίθοισι. μακρῇσι πίτυσι. δρυσὶν ὑψικόμοισι. Σημείωσαι δὲ καὶ ὅτι ἐπίτηδες ἔοικε μὴ ἐμπλατύνασθαι τῇ τοιαύτῃ ἐκφράσει ἀλλ' ἐπιδραμεῖν αὐτὴν, ἵνα μὴ λογογραφικῷ καλλύνῃ μειδιάματι τὰ κατὰ τὸν ἄγριον Κύκλωπα. (ῃερς. 183.) Κατηρεφὲς δὲ, νῦν μὲν σπή 1.331 λαιον τὸ ἐσκιασμένον οἱονεὶ ὀρόφῳ ταῖς δάφναις. πρὸ δὲ τούτων κῦμα ἔφη κατηρεφὲς τὸ καλύψαν τήν τε σχεδίαν καὶ τὸν Ὀδυσσέα. ἐν δὲ ῥητορικῷ λεξικῷ καὶ κατηρεφὲς οἴκημα λέγεται τὸ ταπεινόν. (ῃερς. 184.) Τὸ δὲ ὄϊες καὶ αἶγες, ἐφερμηνευτικόν ἐστι τοῦ μῆλα. ἐκεῖνο μέντοι γενικῶς αὐτῶν ὡς εἰδῶν προτέτακται. (ῃερς. 185.) Κατωρυχέες δὲ λίθοι, οἱ μεγάλοι. ὧν μέρος τι κατορώρυκται εἰς γῆν. (ῃερς. 186.) Τὸ δὲ μακραὶ πίτυες καὶ δρύες ὑψίκομοι ἐν διαφόροις λέξεσι τὸ ἐν ἀμφοῖν πολὺ μῆκος δηλοῦσιν. (ῃερς. 187.) Ὅτι μέλλων ἐν τοῖς ἑξῆς εἰπεῖν ὁ ποιητὴς πάνυ τολμηρῶς ὡς ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο ἀφῆκε κατὰ τῆς Ὀδυσσέως νηὸς ὁ Κύκλωψ, καὶ προθεραπεύων μὲν τὸ τοῦ λόγου ἀπίθανον, θηρώμενος δὲ τὸ ἀξιόπιστον ἑαυτῷ, πολλοὺς θεμελίους πιθανότητος προκαταβάλλεται. καὶ τέως ἐν πρώτοις πελώριον αὐτὸν ὑποτίθεται. καὶ οὐχ' ἁπλῶς τοιοῦτον, ἀλλὰ ῥίῳ ἐοικότα. φησὶ γάρ. ἔνθα δ' ἀνὴρ ἐνίαυε πελώριος. ὅς ῥα τὰ μῆλα οἶος ποιμαίνεσκεν (ῃερς. 188.) ἀπόπροθεν. ὅπερ ἐφερμηνεύων ἐπάγει. οὐδὲ μετ' ἄλλους πωλεῖτο, ἀλλ' ἀπάνευθεν ἦν. (ῃερς. 189.) εἶτα δηλῶν ἐφεξῆς τὰ κατὰ τὸν Κύκλωπα ἐπάγει. ὅτι τε ἀθεμίστια ᾔδη, καὶ ὅτι θαῦμ' ἐτέτυκτο πελώριον οὐδὲ ἐῴκει ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι ὑψηλῶν ὀρέων, ὅτε φαίνεται οἶον ἀπ' ἄλλων. καὶ ταῦτα μὲν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνταῦθα. προϊὼν δὲ ἐρεῖ καὶ ὅτι ἐκ νομῆς ἐλθὼν ἔφερεν ὄβριμον ἄχθος ὕλης τὸ ἐν τοῖς ἑξῆς ῥηθησόμενον. καὶ ὅτι λίθον προσετίθει τῇ θύρᾳ τοῦ σπηλαίου, ὃν οὐκ ἂν πολλαὶ ἅμαξαι ἀνοχλίσωσιν. (ηερς. 243.) ὃν καὶ πέτρην ἠλίβατον λέγει. ὅπερ ἐγγύς ἐστιν ἤδη τοῦ καὶ ὄρος καὶ κορυφὴν τὸν τοιοῦτον θυρεὸν εἰπεῖν ὄρεος. καὶ τὴν τροφὴν δὲ αὐτοῦ λέοντος εἰκάζει βορότητι. καὶ οὐχ' ἁπλῶς, ἀλλὰ καὶ εἰς πολλαπλάσιον, δύο γὰρ ἄνδρας ἐθοινᾶτο ὁμοῦ. καὶ ῥόπαλον δὲ εἶχε φησὶν ἐοικὸς ἱστῷ ἐεικοσόρου νηός. ὁ τοίνυν τοιοῦτος ὃς καὶ τὴν ῥηθεῖσαν ἠλίβατον πέτραν ἐπετίθει τῷ σπηλαίῳ οὕτω ἀπόνως καθὰ καὶ εἴ τις φαρέτρᾳ πῶμα ἐπιθείη, οὐκ ἂν λίαν ἀπιθάνως ῥηθείη κορυφὴν ὄρεος ἀφεῖναι κατὰ Ὀδυσσέως. Ὅτι δὲ οὐδὲ συριγμῷ ἐχρῆτο νέμων ὁ Κύκλωψ ἀλλὰ ῥοίζῳ πολλῷ, καὶ ὡς οὐδὲ κύνας ἐπήγετο, ἐν τοῖς ἑξῆς φανεῖται. καὶ ὡς ἐκ μόνης φθογγῆς τὸ αὐτοῦ προὐφαίνετο ἄγριον, ὥσπερ καὶ ἐκ τοῦ καταμόνας ποιμαίνειν. ὃ καὶ μάλιστα τοὺς ἀμφὶ τὸν Ὀδυσσέα περιεσώσατο. εἰ γὰρ μὴ ἐρημάζων ἦν ὁ Κύκλωψ ἀλλὰ τοῖς ἄλλοις συνανεστρέφετο, ἀπέλαυσεν ἄν τι ἐκείνων εἰς ἐπικουρίαν ὅτε κακῶς ἔπασχε. καὶ μάλιστα, εἰ καὶ γυναῖκα εἶχε καὶ παῖδας. ὅπερ οὐκ ἦν. διόπερ ὁ μῦθος Γαλατείας αὐτὸν ἐραστὴν τῆς Νηρηΐδος εἶναι πλάττει πιθανῶς διὰ τὴν ῥηθησομένην ἐν γάλατι περιουσίαν. (ηερς. 189.) οὐκοῦν ὡς μηδὲ παίδων θεμιστεύων κατὰ τοὺς ἄλλους Κύκλωπας μηδὲ γυναικὸς, εἰκότως καὶ ἀθέμιστα καὶ ἄδικα εἰδὼς λεχθήσεται. καὶ εἴη ἂν, ἀθεμίστων ἀθεμιστότερος. εἰ τοίνυν μὴ μόνου ἑαυτοῦ ἐθεμίστευε πάντη ἔρημος ὢν ὡς εἴρηται, γέγονεν ἂν ἴσως τοῦτο αὐτῷ, καθὰ εἴρηται, πρὸς καλοῦ. νῦν δὲ εὖ πέπλασται καὶ τὸ αὐτοῦ μονῆρες ὥσπερ καὶ τὸ πάνυ ἄγριον, οὗ ἕνεκα καὶ ἐμισεῖτο, ὅτε γοῦν σύριγγι χρᾶσθαι πλάττεται, ἡμέρου γὰρ τοῦτό γε καὶ ἱλαροῦ ποιμένος, ἀλλ' οὐδὲ κύνας ἐπάγεσθαι. τοῦτο δὲ, καὶ διὰ τὸ τοῦ τόπου ἄθηρον, καὶ διὰ τὸ φείδεσθαι δὲ σίτου ὅπερ οὐκ ἐχρῆν καθ' Ἡσίοδον εἰ καὶ μάλιστα δὲ (ηερς. 183.) πρὸς ἱστορίας πιθανότητα. οὐ γὰρ ἦν σωθῆναι τὸν Ὀδυσσέα κυνῶν ὄντων καὶ ὑλακτούντων, ὥσπερ οὐδὲ γειτόνων τινῶν ὄντων αὐτῷ. διὸ πενταχῶς ἐνταῦθα ὁ ποιητὴς τὴν αὐτοῦ παρεσημήνατο μόνωσιν. διὰ τοῦ, ἐνθάδ' ἐπ' ἐσχατιῇ σπέος. καὶ, οἷος ποιμαίνεσκε. καὶ, ἀπόπροθεν. καὶ, οὐδὲ μετ' ἄλλους πωλεῖτο. καὶ, ἀπάνευθεν ἐών. Σημείωσαι δὲ καὶ ὅτι τῶν τοιούτων ἀνδρῶν, διὰ τὸ θηριῶδες καὶ ἀλόγιστον οὐδὲ ὀρθὰ φρονεῖν εἰδότων, εἰκότως καὶ Ὅμηρος ἀγροικότερον καὶ ἀνόητον ὑποβάλλει νοεῖν καὶ τὸν Κύκλωπα. ὃς δέον ὂν ἀφελέσθαι τὸν θυρεὸν ὁπηνίκα ἐτυφλώθη, καὶ τοὺς Κύκλωπας ἔωθεν συγκαλέσασθαι, καὶ συλλαβέσθαι τοῦ σπηλαίου ἐντὸς τοὺς τυφλώσαντας, τοῦτο μὲν οὐκ ἐποίησε. καθεζόμενος δὲ ἐν ταῖς θύραις ἐψηλάφε εἴ που λάβοι τινὰ στείχοντα θύραθεν, νήπιός γε κἀνταῦθα ὢν ὥσπερ καὶ ὅτε οὐκ ἀπεγύμνωσεν αὐτοὺς τῶν ξιφῶν ἐντὸς τοῦ σπηλαίου. καὶ ὅτε δὲ τῷ οἴνῳ ἑαυτὸν ἀσκέπτως ἐκδίδωσι, καὶ ὑπνώττει ἀδεῶς, καὶ οὐδὲ τῷ σοφίσματι ἐφιστᾷ τῷ, οὗ τις ἔμοιγ' ὄνομα. τοιοῦτος ὁ Κύκλωψ ὁ πελώριος ἢ καὶ ὄρειος τὸ μέγεθος. πολὺς τὴν ἀλκήν. φάραγξ τὰ εἰς τροφήν. βαρὺς τὴν φωνήν. καὶ ὅλως τέρας ποιήσεως. ὃς ὅτι μὴ φρονεῖν εἶχε, πάρεργον τοῦ πολυμηχάνου γέγονεν, εὐεπιβούλευτος μὲν ὢν διὰ τὸ μόνος ὡς ἐῤῥέθη ἀπόπροθεν ποιμαίνειν ἐν ταῖς ἐσχατιαῖς, νυκτὸς δὲ πρὸς τοῦ συνετοῦ Ὀδυσσέως ἐπιβουλευθεὶς ὅτε οὐκ ἦν βοηθείας τυχεῖν. οὗ καὶ τὸ μονόφθαλμον λίαν ἔχει 1.332 πιθανῶς. εἰ γὰρ δύο εἶχεν ὁ πελώριος οὗτος θὴρ ὀφθαλμοὺς, ἀμήχανον ἦν ἐκτυφλῶσαι αὐτόν. ἓξ γὰρ τῷ Ὀδυσσεῖ περιλειπομένων ἐν τῷ σπηλαίῳ, μόλις οἱ τέσσαρες ἴσχυσαν σὺν αὐτῷ τὸν ἐπὶ τῷ ἑνὶ ὀφθαλμῷ ἆθλον ἀνῦσαι. Ἰστέον δὲ καὶ ὅτι ἀστείως ἐκ Ποσειδῶνος τοῦ εἰς θάλασσαν ἀλληγορουμένου τὸν ἄγριον καὶ τερατώδη ὁ ποιητικὸς μῦθος γεγονέναι λέγει τὸν Κύκλωπα διὰ τὸ κατὰ θάλασσαν ἄγριον, οὕτω καὶ ὁ τὸν Ἀχιλλέα ἐν Ἰλιάδι ὀνειδίζων ἐπὶ ἀγριότητι, γλαυκή σε φησὶν ἔτικτε θάλασσα. καὶ ὁ σκώπτων δέ τινα δυσπειθῆ πρὸς κύματα λαλεῖν φησὶ παροιμιακῶς. ἐν δὲ λέξεσι ῥητορικαῖς εὕρηται καὶ Ἱλάων Ποσειδῶνος υἱὸς ὑπερφυὴς οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐπρόσιτος. ἦν δὲ ἄλλως καὶ Τιτυὸς ὑπερμεγέθης καθ' Ὅμηρον, οὐκ ἀπεοίκασι δὲ τούτων οὐδὲ Ὦτος καὶ Ἐφιάλτης οἱ τοῦ Ἀλωέως. Ὠρίων δὲ πρὸς τωεὐμεγέθει καὶ κάλλιστος ἦν. δοκεῖ δὲ ὁ ῥηθεὶς Κύκλωψ φύσει μὲν δύο ἔχειν ὀφθαλμοὺς, εἴγε καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ Ὅμηρος βλέφαρα καὶ ὀφρύας εἶναι αὐτῷ. κατὰ δέ τινα αἰτίαν εἰκὸς προαπολωλέναι αὐτῷ τὸν ἕτερον ὀφθαλμόν. εἰ δέ γε κυκλοτερὴς ὀφθαλμὸς εἷς κατὰ τὸν Ἡσιόδου μῦθον καὶ τῷ τοῦ Κύκλωπος τούτου μετώπῳ ἐνέκειτο, οὐκ ἂν ἐσίγησε τὴν ἰδιότητα ὁ ποιητής. ἄλλως δέ γε οὐδὲ Ἡσίοδος περὶ τοῦ Κύκλωπος τούτου ἢ τῶν λοιπῶν συγκυκλώπων τὸν λῆρον λόγον ἐκεῖνον ἐξεφύσησεν, ἀλλὰ περί τινων τριῶν οἳ καὶ τὸν κεραυνὸν ἐχάλκευον τῷ Διΐ. οἷς ὀνόματα, Βρόντης. Στερόπης. καὶ Ἄργης. Θεόκριτος μέντοι καὶ περὶ τούτου, οὕτω δοξάζει λέγων, μίαν ὀφρῦν τετᾶσθαι αὐτῷ ἀπὸ τοῦ ἑνὸς ὠτὸς ἐπὶ θάτερον. ὅτι δὲ ὅπως ἂν ἔχοι τὰ τοῦ πράγματος καὶ ἕνα ὀφθαλμὸν εἶχεν ὁ ῥηθεὶς πελώριος Κύκλωψ, δῆλον καὶ ἐκ τοῦ, ὃν ὀφθαλμοῦ ἀλάωσε. καὶ ὡς οὐκ ὀφθαλμὸν ἰάσεται οὐδ' ἐνοσίχθων. ὁ δὲ γεωγράφος καὶ ἑτέρων Κυκλώπων μέμνηται οἳ ἐκ Λυκίας ἦσαν μετάπεμπτοι, ἑπτὰ ὄντες, οἱ παρ' αὐτῷ μὲν γαστερόχειρες καλούμενοι, παρὰ δὲ ἑτέροις ἐγχειρογάστορες, ὡς ἐκ τῆς τέχνης τρεφόμενοι. ἀφ' ὧν ἐν ναυπλίᾳ σπήλαια καὶ λαβύρινθοι οἰκοδομητοὶ Κυκλώπεια καλούμενα. καὶ οὕτω μὲν ἁπλῶς τὰ κατὰ τὸν Κύκλωπα. ἡ δὲ ἀλληγορία εἰς θυμὸν αὐτὸν μεταλαμβάνει θηριώδη ὡς καὶ προσεδηλώθη. καὶ μικροῦ καὶ σαρκοβόρον ὅτε πολὺς ἐκβράσει. οὗπερ εἷς ὀφθαλμὸς, ἐπεὶ ὁ θυμούμενος οὐ μερμηρίζει οὐδὲ διάφορα βουλεύεται, ἀλλ' εἰς ἕν τι καὶ μόνον ἀφορᾷ, τὴν τοῦ οἰκείου θελήματος ἄνυσιν. Ὀδυσσεὺς δὲ τὸν τοιοῦτον θυμὸν οὐκ ἀναιρεῖ μὲν εἰς τὸ πᾶν. οὐ γάρ ἐστι τὸ τριμερὲς ἀπολέσθαί ποτε τῆς ψυχῆς οὗ μέρος καὶ ὁ θυμός. ἐκτυφλοῖ δὲ, οἷς τὰς θηριώδεις ὁρμὰς καὶ φονικὰς ἀπρακτεῖν ποιεῖ τῷ Κύκλωπι. πῶς δὲ αὐτὸν ἐκτυφλοῖ; οὐκ ἄλλως πάντως ἀλλ' ἢ ἀποῤῥαθυμήσας αὐτὸς καὶ οἷον ἐπιμύσας τοῖς αἰσθητοῖς πράγμασιν ἅπερ εἰς θηριωδίαν προκαλοῦνται αὐτὸν καὶ οὕτω δόξας ἐκτυφλῶσαι τὸν ἐν ἑαυτῷ Κύκλωπα. τὸ μὲν γὰρ ἀσκόπως ἡμᾶς ἐπεντρανίζειν τοῖς κατ' αἴσθησιν ὀξυωπέστατον ποιεῖ τὸν ἐν ἡμῖν τοιοῦτον Κύκλωπα. ὁ δὲ συστέλλων ἐλλόγως τὴν τοιαύτην θέαν, ἐκ τοῦ ἐναντίου ἐκτυφλοῦν ἂν ἐκεῖνον λέγοιτο. οὕτω δὲ καὶ τὴν ἐπιθυμίαν. παρουσία μὲν ἡ τῶν αἰσθητῶν προκαλεῖται, ἀπουσία δὲ ἀπωθεῖται. διὸ καὶ ὁ φιλόσοφος Ὀδυσσεὺς τοὺς ἡττηθέντας ἑταίρους τῆς παρὰ Λωτοφάγοις ἡδονῆς δεσμεῖ. κολούων αὐτοῖς οὕτω τὴν τῶν αἰσθητῶν ἐντυχίαν ἀφ' ὧν ἐρεθίζεταί τις εἰς ἡδονάς. καὶ τοιόνδε μὲν καὶ τοῦτο. ἐν δὲ τοῖς προῤῥηθεῖσιν (ηερς. 187.) ὅρα τὸ ἐνιαύειν ἐπὶ Κύκλωπος λεχθὲν ὡς πρὸ αὐτοῦ τὸ ἰαύειν ἐπὶ οἰῶν καὶ αἰγῶν. Τὸ δὲ πελώριος δὶς ἐνταῦθα καὶ αὐτὸ λεχθὲν διὰ τὸ καίριον ἔοικεν, ὡς καὶ ἀλλαχοῦ ὑπεδηλώθη, παρὰ τὸ πέλας καὶ τὸ ὄρος γενέσθαι. εἰκὸς γὰρ οὕτω νοηθῆναι πελώριον ὃς ὄρει ἔοικεν. Ὅτι δὲ καὶ πέλωρ λέγεται τὸ πελώριον καὶ ὅτι παρὰ τὸ πέλας καὶ τὴν ὥραν ὅ ἐστι φροντίδα κατά τινας γίνεται, δῆλον καὶ αὐτό. ἀναλογία δὲ τοῦ, πέλωρ πελώριον, κατὰ τὸ, ἕλωρ ἑλώριον. δῆλον δὲ ὅτι ἐκ τοῦ πέλωρ καὶ πελωρίδες ὄστρακόν τι μεῖζον χήμης, καὶ Πελωρὶς δὲ ἀκρωτήριον Σικελικὸν, κληθεῖσα οὕτω, καθὰ εἰκὸς, διὰ τὸ κατ' αὐτὴν μέγεθος. ὡς δὲ καὶ ὁ εἰπὼν πέλωρον κακὸν ταυτὸν ἔφη τῷ φαμένῳ κακὸν ἠλίβατον, δῆλόν ἐστι καὶ αὐτό. χρῆσις δὲ αὐτοῦ γνωμικὴ ἐν τῷ, αἱ μεταβολαὶ γὰρ αἵ τε κινήσεις κακὸν ἠλίβατον. ἔντ' ἀνθρώποις ἀλλοιώματα ἐν ταῖς τροπαῖς ποιοῦσιν. Ἰστέον δὲ ὡς εἰ καὶ μιᾷ ὑπάγονται ἀναλογίᾳ τὸ, πέλωρ πέλωρος πελώριον, καὶ ἕλωρ ἕλωρος ἑλώριον, ἀλλὰ πέλωρ μὲν κοινόν ἐστι τῷ γένει, ἕλωρ δὲ μόνως οὐδέτερον. οἷον. Πατρόκλοιο δ' ἕλωρα μενοιτιάδαο. δύο γάρ φασι μόνα οὐδέτερα εἰς ¯ωρ, ὕδωρ καὶ ἕλωρ, ὧν τὸ μὲν διὰ τοῦ ¯ρ κλίνεται, τὸ δὲ διὰ τοῦ ¯τ. (ηερς. 189.) Ὅρα δὲ καὶ τὸ, ἀθεμίστια ἤδη, τουτέστιν ἄδικα ἠπίστατο. καὶ σημείωσαι ὡς ἄλλως μὲν ἀθέμιστοι συνθέτως οἱ λοιποὶ εὐσεβεῖς Κύκλωπες, ἄλλως δὲ ἀθεμίστια εἰδὼς ὁ Πολύφημος. ἄδικος 1.333 γάρ. μετ' ὀλίγα δὲ τοῦτο σαφέστερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φράζων φησίν. ἄνδρα ἄγριον οὔτε δίκας εὖ εἰδότα οὔτε θέμιστας. ἐκ δὲ τοῦ, (ηερς. 190.) θαῦμ' ἐτέτυκτο πελώριον, εἰλήφασιν οἱ μεθ' Ὅμηρον θαύματά τινα ἐν κόσμῳ λέγειν τὰ παράδοξα θεάματα, ὁποῖος ὁ τοῦ Μαυσώλου τάφος, ὁ ἐν Ἐφέσῳ ναὸς τῆς Ἀρτέμιδος, ὁ Βαβυλώνιος κῆπος, αἱ ἐν Αἰγύπτῳ πυραμίδες καὶ ἕτερα. (ηερς. 191.) Τὸ δὲ ῥίῳ ὑψηλῶν ὀρέων, διαφορὰν δηλοῖ ῥίου καὶ ὄρους. ἵνα ᾖ τὸ ῥίον ὄρους κορυφὴ ὑπερφαινομένη, διὸ καὶ ἐπάγει τὸ, (ηερς. 192.) ὃ φαίνεται μόνον ἀπ' ἄλλων, ὡς τῶν ἄλλων ὑψηλότερον. καθὰ καὶ ὁ Πολύφημος ὑπὲρ τοὺς λοιποὺς Κύκλωπας ἦν πελώριος. (ηερς. 195.) Ὅτι ἑταίρους δυοκαίδεκα ἀρίστους κρίνας Ὀδυσσεὺς ἄνεισιν εἰς τὸ τοῦ Κύκλωπος σπήλαιον, ἀρίστους μὲν καὶ ἐκκρίτους, ἵνα μετὰ θάῤῥους καὶ ῥωμαλεότητος ἡ τοῦ Πολυφήμου πλασθείη τύφλωσις. δώδεκα δὲ μόνους, διότι τε προμηθὲς ἦν παραμεῖναί τινας κάτω τῇ νηῒ, καὶ ἵνα βρωθέντων τινῶν ὑπὸ Κύκλωπος περιλειφθῶσι τινὲς καὶ οὕτω τι σὺν αὐτοῖς ἀνύσῃ Ὀδυσσεὺς, καὶ ἵνα δὲ πιθανολογηθείη πρὸς τὸν Πολύφημον τὸ ῥηθησόμενον τοῦ ναυαγοῦ πλάσμα, ὡς τοσούτων καὶ μόνων δῆθεν περιλειφθέντων τῷ Ὀδυσσεῖ μετὰ τὸν κίνδυνον. (ηερς. 196.) Ὅτι τὴν κατὰ τοῦ Πολυφήμου μηχανὴν πιθανευόμενος Ὀδυσσεὺς φησὶ ὡς αἴγεον ἀσκὸν ἔχον μέλανος οἴνοιο ἡδέος. ὅν μοι ἔδωκε Μάρων Εὐάνθεος υἱὸς ἱερεὺς Ἀπόλλωνος, ὃς Ἴσμαρον ἀμφιβεβήκει, οὕνεκά μιν σὺν παισὶ περισχόμεθα ἠδὲ γυναικὶ ἁζόμενοι. ᾤκει γὰρ ἐν ἄλσεϊ δενδρήεντι Ἀπόλλωνος. ὃ δέ μοι πόρεν ἀγλαὰ δῶρα. χρυσοῦ μέν μοι δῶκεν εὐεργέος ἑπτὰ τάλαντα. δῶκε δέ μοι κρητῆρα πανάργυρον. αὐτὰρ ἔπειτα οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσας. (ηερς. 5.) εἶτα ἐπαινῶν τὸν τοιοῦτον οἶνον ἐπάγει. ἡδύν. ἀκηράσιον. θεῖον ποτόν. οὐδέ τις αὐτὸν ᾐείδει δμώων οὐδ' ἀμφιπόλων ἐνὶ οἴκῳ, ἀλλ' αὐτὸς ἄλοχός τε φίλη ταμίη τε μί' οἴη. τὸν δ' ὅτε πίνοιεν μελιηδέα οἶνον ἐρυθρὸν, ἓν δέπας ἐμπλήσας (ηερς. 9.) ὕδατος ἀνὰ εἴκοσι μέτρα χεῦεν. ἀναλογία δηλαδὴ τῷ τοῦ οἴνου δέπαϊ. ὀδμή δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει. θεσπεσίη. τότ' ἂν οὔτοι ἀποσχέσθαι φίλον ἦεν. τοῦ τοιούτου δή φησιν οἴνου ἔφερον ἐμπλήσας ἀσκὸν μέγαν, (ηερς. 212.) καὶ ἤϊα ἐν κωρύκῳ, περὶ οὗ καὶ προεγράφη. προστιθεὶς δὲ καὶ αἰτίαν τοῦ καὶ τοιοῦτον φέρειν καὶ τοσοῦτον οἶνον ἐπιφέρει (ηερς. 213.) αὐτίκα γάρ μοι ὀΐσσατο θυμὸς ἀγήνωρ, ἄνδρα ἐπελεύσεσθαι μεγάλην ἐπιειμένον ἀλκήν. ἄγριον. οὔτε δίκας εὖ εἰδότα οὔτε θέμιστας. Καὶ ὅρα τὸ θεῖόν τε τῆς ψυχῆς ὅπως τὸ μέλλον ὑπιείδετο, καὶ ὡς πολλάκις ἄνθρωποι προορώμενοι τὸ ἀποβησόμενον, ὅμως οὐδὲν ἀπώναντο τοῦ εἰδέναι, οἷα ἑτέροις ἐκκρουόμενοι θελήμασι. καὶ οὕτω μήδ' αὐτοὶ τὸ δοκηθὲν τελέσαντες. (ηερς. 196.) Αἴγειον δὲ ἀσκὸν ἐν ἄλλοις εἰπὼν αἴγεον ἐνταῦθα λέγει πρὸς ὁμοιότητα τοῦ, χρύσεον ἀργύρεον καὶ τῶν τοιούτων. πρὸς διαστολὴν δὲ ἑτέρων ἀσκῶν ἔφη τὸ αἴγειον. εἰσὶ γὰρ καὶ ἑτεροῖοι ὡς δηλοῖ καὶ ὁ παρὰ τῷ Αἰόλῳ ἀσκὸς βοός, ὡς τοῦ τοιούτου συνηθεστέρου ὄντος. (ηερς. 197.) Τὸν δὲ μέλανα ἡδὺν οἶνον, μελιηδέα οἶνον ἐρυθρὸν μετ' ὀλίγα ἔφη, πολυωνύμως φράσας. δῆλον δὲ ὅτι μέλας οἶνος πρὸς διαστολὴν ἑτεροίου λέγεται. τῶν γὰρ οἴνων ὁ μέν φασι λευκὸς, ὁ δὲ κιῤῥός, ὁ δὲ μέλας. περὶ ὧν λαλεῖ πολλὰ ὁ Ἀθήναιος. ὧν δὴ οἴνων ἄριστον μὲν τὸ μέτριον, ἀνάπαλιν δὲ, ἡ ἀσυμμετρία. καὶ εἴπερ ἐκμετροῦμεν ἑαυτοὺς οἱ ἄνθρωποι σωφρόνως πίνοντες, οὐκ ἂν αἱ ἀμέθυσοι περιενοηθήσαν κατασκευαὶ τοῖς παλαιοῖς. ἐν αἷς καὶ σπέρμα κράμβης προσελαμβάνετο. δοκεῖ γάρ φασιν ἀπελαύνειν μέθην, ῥάφανος, αὐτόν δ' εἰπεῖν κράμβη κατὰ τοὺς παλαιούς. τί γὰρ καὶ ἔδει περιέργου ταύτης θεραπείας, ἔνθα τὸ καλὸν αὐτόματον τοῖς οὐκ ἀμέτρως πίνουσιν; οἷς κατὰ τὸν ποιήσαντα τὰ Κυπριακὰ οἶνος θεόθεν πεποίηται ἄριστος ἀνθρώποις ἀποσκεδάσαι μελεδῶνας. ὃ καὶ ἐπὶ ὕπνου ἔφη Ὅμηρος ἐν τῷ, λύων μελεδήματα θυμοῦ. ὅθεν κατά τινας καὶ ὕπνος λέγεται ὡς οἷον λύπονος. Τὸν δὲ Μάρωνα οὗ καὶ δοκεῖ παρώνυμος εἶναι ἡ κατὰ Θρᾴκην Μαρώνεια καὶ ἱερῷ ἐτίμησαν οἱ ἐγχώριοι. οὗ τὸν πατέρα Εὐάνθην Ἡσίοδος Οἰνοπίωνός φασιν ἱερὸν ἱστορεῖ υἱοῦ Διονύσου. ὅθεν δοκεῖ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐοινεῖν οἷα δῶρον ἔχων αὐτὸ ἐκ τοῦ προγόνου Διονύσου. δοκεῖ δὲ ἀμπέλων ἐπιμελητὴς ὁ Μάρων γενέσθαι μάλιστα ὧν γλυκὺς ὁ οἶνος, διὸ Κλέαρχός τις ἐπισημαινόμενος ἔφη τὸ, οἶνος Λέσβιος, ὃν ἐποίησεν ὁ Μάρων μοι δοκῶ. ἐν δὲ τοῖς τοῦ δειπνοσοφιστοῦ φέρεται καὶ ὅτι Μάρων εἷς τῶν μετὰ Διονύσου στρατευομένων. ἀφ' οὗ καὶ Μάρεα κρήνη Ἀλεξανδρεωτική. καὶ παρ' αὐτὴν πόλις ὁμώνυμος, μεγίστη ποτὲ εἰ καὶ ὕστερον κώμη περιελείφθη. ἐκεῖθεν δὲ καὶ ὁ Μαρεώτης οἶνος. ἄδηλον δὲ εἴπερ ὁ προσεχῶς ῥηθεὶς Μάρων ὁ αὐτός ἐστι τῷ Ὁμηρικῷ. Ἔτι ὁ αὐτὸς περὶ τοῦ Θρᾳ
1.334 κίου Μάρωνος εἰπὼν ὅτι Ἄλεξις σκώπτων τινὰ ὡς μέθυσον καὶ ἐξώλη φησὶν Οἰνοπίων τις ἢ καὶ Μάρων ἢ Τιμοκλῆς, μεθύει γὰρ, οὐδὲν ἕτερον ἐμφαίνει ἢ ὡς ὁ Μάρων περὶ οἶνον ἠσχολεῖτο οὐ μόνον κτώμενος ἀλλὰ καὶ πίνων. ἐσκώπτοντο δὲ εἰς οἰνοφλυγίαν καὶ οἱ τῆς αὐτῷ παρωνύμου Μαρωνείας πολῖται. διὸ σοφός τις παρατυχὼν ἐκεῖ καὶ εἰπὼν ὡς εἰ κατακαλυφθῇ, γνώσεται κατὰ τίνα τόπον ἐστὶ τῆς πόλεως, ὡς ἤγετο κατακεκαλυμμένος καὶ ἠρωτήθη ποῦ ἐστὶ τῆς πόλεως, κατὰ τὸ καπηλεῖον ἔφη. καπηλεῖα γὰρ ἐδόκει εἶναι ἡ Μαρώνεια. τάχα που καὶ τῶν ἐκεῖ ἐπὶ οἴνου ἀποδοχῇ λεγόντων τὸ περιᾳδόμενον, ὡς οὐκ ἀπόβλητον Διονύσειον οὐδὲ γίγαρτον. οὐ μὴν προσλογιζομένων καὶ τὰ ἐξ οἴνου κακά. οὐδ' ἐπενθυμουμένων παροιμίαν τὴν λέγουσαν ὡς οἶνος οὐκ ἔχει πηδάλιον. ὁ δὲ τὸ εἰρημένον σκῶμμα εἰπὼν Στρατόνικος εἰπεῖν λέγεται καὶ ὡς ἐν Μαρωνείᾳ οὐ γίνεται ἔαρ ἀλλὰ ἀλέα. καὶ οὕτω μὲν ταῦτα. Εὐάνθης δὲ νῦν βαρυτόνως τὸ κύριον, πρὸς διαστολὴν τοῦ ἐπιθέτου. ὡς τὸ εὐανθὴς λειμών. οὕτω καὶ Εὐπείθης ὁ τοῦ Ἀντινόου πατὴρ, εἰς διαφορὰν τοῦ, ἀνὴρ εὐπειθής. ὁμοίως δὲ καὶ Εὐμάθης ὡς οἱ παλαιοί φασι διεσταλμένος τῇ βαρυτονήσει τοῦ ἐπιθετικῶς εὐμαθοῦς. ὅμοιον καὶ Πολυπείθης περὶ οὗ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. (ῃερς. 198.) Τὸ δὲ ἱρεὺς, ψιλοῦται κατά τινας Ἰωνικῶς καθὰ καὶ τὸ ἴρηξ ὁ ἱέραξ. Τὸ δὲ Ἴσμαρον ἀμφιβεβήκει, πρὸς ὁμοιότητα λαλεῖται τοῦ, ὃς Χρύσην ἀμφιβέβηκας. Ἔνθα ὅρα καὶὅτι καθάπερ ὁ Χρύσης περιουσίαν εἶχε διὰ τὸν Ἀπόλλωνα, οὗ περ ἦν ἱερεὺς, οὕτω καὶ ὁ ῥηθεὶς Μάρων. ὃς καὶ οὕτω καὶ μετὰ πολιορκίαν περιουσιάζεται, ὡς πολλὰ δῶρα εὐγνωμόνως δοῦναι πρὸς χάριν τῷ Ὀδυσσεῖ. ἅπερ ἐπίτηδες ἀριθμήσας Ὀδυσσεὺς καὶ καταιδέσας οὕτω τοὺς Φαίακας ἐφελκήσεται δίχα τῶν φθασάντων δοθῆναι καὶ τρίποδας ἐν τοῖς ἑξῆς ἐκ τῶν Φαιάκων καὶ λέβητας δοθέντας, ὡς ῥηθήσεται, ἀνδρακάς. (ῃερς. 199.) Τὸ δὲ σὺν παισὶ περισχόμεθα Ἀρίσταρχος σὺν παιδὶ γράφει ἑνικῶς. Περισχέσθαι δὲ, τὸ βοηθῆσαι καὶ περιποιήσασθαι. καιριώτερον δὲ εἰπεῖν, τὸ οἱονεὶ περιλαβεῖν. καὶ ἄλλως δὲ τὸ περισχεῖν ἐνταῦθα ὅμοιόν ἐστι τῷ ὑπερσχεῖν. ἐξ οὗ καὶ τὸ, ὑπερέσχε τοῦ δεῖνος χεῖρα θεός. ὅπερ Ὅμηρος φησὶν, ὑπερέσχεθε. δῆλον γὰρ ὅτι ἐν πολλοῖς, καθάπερ ἡ πρὸ, οὕτω καὶ ἡ περ¯ι πρόθεσις λαμβάνεται ἀντὶ τῆς ὑπ¯ερ κατὰ λόγον ὑπερθέσεως καὶ περιττότητος ὡς καὶ ἡ περίφρων δηλοῖ. καὶ τὸ, περίσχεο παιδὸς ἑῆος. (ῃερς. 0.) Τὸ δὲ ἁζόμενοι, ἐντελέστερον ἡ Ἰλιὰς φράζει ἐν τῷ, ἁζόμενοι Διὸς υἱόν. Ἄλσος δὲ δενδρῆεν, ὁποῖος ὁ ἐν ἄλλοις πολυδένδρεος κῆπος. θεῖον μέντοι τὸ ἄλσος. παράγεται δὲ Αἰολικῶς ἀπὸ τοῦ ἄλλω ἄλσω, ἐν ᾧ ἄλλονται φυτά. διὸ καὶ ψιλοῦται ὡς Αἰολικόν. ὅτι δὲ οὐ ταυτά εἰσιν ἄλσος καὶ ἕλος ἀλλὰ διάφορα, δηλοῖ καὶ ὁ γράψας τὸ, ἔπινε καὶ εὐπάθει οὔτε ἡμέρας οὔτε νυκτὸς ἀνιείς. καὶ εἰς τὰ ἕλεα δὲ καὶ τὰ ἄλση νεμόμενος. ὑγρὸς δὲ πάντως τόπος τὸ ἕλος καὶ πολυβότανος καὶ οἷος φύειν καὶ τρέφειν καὶ σέλεα τὰ καὶ ἐτυμολογούμενα ἐξ αὐτοῦ, καὶ δι' αὐτὸ ἐπικαλούμενα ἐλεόθρεπτα. (ῃερς. 2.) Εὐεργὴς δὲ δίδοται χρυσὸς, ἐπεὶ οὐκ ἦν τίμιον τοῖς τότε ἀργὸν χρυσίον. (ῃερς. 3.) Τὸ δὲ πανάργυρον, πρὸς διαστολὴν ἑτέρου ἴσως κεῖται ᾧ καὶ χρυσὸς συνεκέκρατο, ὁποῖος καὶ ᾧ τὰ χείλη ἐπὶ χρυσῷ κεκράανται. (ῃερς. 5.) Ἀκηράσιος δὲ, ὁ ἀκέραιος καὶ μὴ διεφθορὼς, ἀλλὰ θεῖος καὶ θεσπέσιος. οὕτω καὶ ἐν Ἰλιάδι ἀκήρατον ὕδωρ φησὶ τὸ καθαρόν. παραγωγὴ δὲ ἀμφοῖν εἶναι δοκεῖ, τοῦ μὲν ἡ κὴρ καὶ ἡ ἄση, τοῦ δὲ ἡ αὐτὴ κὴρ καὶ ἡ ἄτη. ὧν δηλαδὴ οὐκ ἔστι τις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κὴρ ἢ ἄση καὶ ἄτη διὰ τὸ θεῖον. τὸ μέντοι ἀκήριον ἄλλο τι δηλοῖ. τὸ ἄψυχον γάρ. Τὸ δὲ θεῖον ποτὸν καθὰ καὶ τὸ ἀκηράσιον ἐπιτείνουσι μὲν τὸ ἡδὺ τοῦ οἴνου, εὐοδοῦσι δὲ καὶ τὸ, νέκταρος ἀποῤῥῶγα τὸν αὐτὸν εἶναι θείου καὶ ἐκείνου πόματος. καὶ ταῦτα μὲν σεμνὰ εἰς οἴνου ἔπαινον. ὁ δὲ Ἀφροδίτης γάλα τὸν οἶνον εἰπὼν ἐκωμικεύσατο. καὶ οὐδὲ ἐσέμνυνε τὸ ποτὸν, ὅτι μηδὲ θεῖον τὸ ἀφροδίσιον. (ηερς. 6.) Τὸ δὲ ἠείδει γραφόμενον ἐξ ἀρχῆς διὰ τοῦ ¯η εἶτα ἐφεξῆς διὰ δύο διφθόγγων ἐν τοῖς παλαιοῖς ἀντιγράφοις, δηλοῖ μὲν τὸ ἠπίστατο. γίνεται δὲ ἢ ἐκ τοῦ εἰδῶ εἰδήσω. οὗ ὑπερσυντέλικος εἰδήκειν εἰδήκεις εἰδήκει καὶ συγκοπῇ τοῦ ἦτα καὶ κάππα εἴδει ὁμοίως τῷ εἰδηκὼς εἰδὼς, καὶ προσελεύσει τοῦ ἦτα κατ' ἀρχὴν, ὡς καὶ ἐπὶ ἄλλων γίνεται, ἠείδει. ἢ ἀπὸ τοῦ ᾔδει Ἀττικοῦ ὑπερσυντελίκου ἐπενθέσει τῆς διφθόγγου, πολλαχοῦ τοῦτο ποιούσης. οὐκ ἂν δὲ φιλοίη τὴν τοιαύτην λέξιν ἀνὴρ μὴ ἡρωΐζων. Ὅρα δὲ καὶ ὅτι ἐν τούτοις διαφορὰ φανερὰ κεῖται δμώων καὶ ἀμφιπόλων. δμῶες μὲν γὰρ οἱ ἄῤῥενες δοῦλοι, θατέρου δὲ γένους αἱ ἀμφίπολοι. καὶ ὅτι τοῦ, Σαμία μία ναῦς, προεῤῥέθη τὸ Ὁμηρικὸν, τὸ, ταμία μία. Ἔνθα καὶ σημείωσαι τὴν τοῦ οἴνου ἐπίκρυψιν, ὡς δέον ὂν τοὺς σπουδαίους τὰ παρ' αὐτοῖς τίμια 1.335 μὴ πᾶσιν ἔκπυστα τίθεσθαι. (ηερς. 8.) Τὸ δὲ ὅτε πίνοιεν, ἔλλειψιν ἔπαθε τοῦ, τίνες οἱ πίνοντες. ἦν δὲ ὀρθότερον εἰπεῖν, τόνδ' ὅτε πίνοι τις. οὕτω γὰρ εὐοδοῦται καὶ τὸ, ἓν δέπας ἐμπλήσας ὕδωρ τόσον χεῦεν. ἴσως δὲ καὶ οὕτω φησὶ ὁ Ὅμηρος τὸ πίνοιεν διὰ τὴν φύσιν τοῦ τίς. ὅπερ τῇ ἀοριστίᾳ πλῆθος δηλοῖ, τὸ γὰρ ὅτε πίνοι τις, ταυτὸν τῷ, ὅτε οὗτος ἢ ἐκεῖνος ἢ ἄλλος πίνει. διὸ καὶ ταυτόν πως εἶναι δοκεῖ τὸ, ὅτε πίνει τις, καὶ τὸ, ὅτε πίνοιέν τινες, ἤδη δὲ καὶ τὸ, ὅτε πίνοιεν. (ηερς. 9.) Τὸ δὲ δέπας, οἱ μὲν οὕτω ῥηθῆναι φασὶν, ὅτι δίδοται πᾶσι σπένδειν εἴτε καὶ πίνειν, οἱ δὲ, ὅτι δύο ὦπας ἢ ὀπὰς εἶχεν ὡς ἄμφωτον. οὗ δὴ ἀμφώτου παρώνυμον, ἡ ἄμφωτις. ξύλινόν φασιν αὕτη ποτήριον, ᾧ χρῆσθαι τοὺς ἀμέλγοντας εἰς αὐτὸ καὶ οὕτω πίνοντας. ἀνάπαλιν δὲ τῷ ἀμφώτῳ ἔχει τὸ ἄωτον ποτήριον, ὁποῖον καὶ τὸ ἀμφικύπελον κατὰ τὸν Σιληνὸν ὡς ἱστορεῖ Ἀθήναιος ἐν οἷς περὶ τῶν τοιούτων γράφει. Κράσεις δὲ οἴνου πολλαὶ παραδέδονται. ὁ μὲν γὰρ κωμικὸς ἶσον ἴσῳ κεκρᾶσθαι λέγει ἐπὶ Ἑρμῇ, Ἡσίοδος δὲ τρὶς ὕδατος προχέειν ὑποτίθεται. τὸ δὲ τέταρτον, ἐνιέναι τοῦ βιβλίνου. καὶ ἄλλοι ἄλλας κράσεις φασίν, αἳ κεῖνται παρὰ τῷ Ναυκρατίτῃ δειπνοσοφιστῇ. ἐν αἷς λέγει ἐκεῖνος καὶ ὅτι ἐὰν ὑπερβάλῃς τὸν ἐν τῷ κράματι δηλαδὴ οἶνον, εἰς ὕβριν φέρει. ἐὰν δὲ ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ. ἂν δ' ἄκρατον, παράλυσιν σωμάτων. διὸ στοχαστέον τοῦ συμμέτρου. οὕτω γὰρ ἂν μὴ βλαπτομένου τοῦ πίνοντος καλῶς ἂν ὁ Διόνυσος καλοῖτο ἰατρὸς, ἔτι δὲ καὶ ὑγείας αἴτιος. καθότι καὶ ἡ Πυθία εἴρηκέ τισι, Διόνυσον ὑγιάτην καλεῖν. ὅ πέρ ἐστιν αἴνιγμα τοῦ τὸν οἶνον ὑγιαστικὸν εἶναι. ἡ δὲ ῥηθεῖσα νῦν κράσις παραδοξοτάτη ἐστίν. εἰκοσαπλάσιον γὰρ τοῦ οἴνου φησὶν Ὀδυσσεὺς τὸ ἐγκατακεραννύμενον ὕδωρ. καινολογεῖ δὲ Ὅμηρος τοῦτο πιθανολογῶν, ἵνα μή τις ζητοίη πῶς ἡ τοῦ Κύκλωπος μεγάλη γαστὴρ κισσυβίοις ἐπλήσθη μετρητοῖς. τρία γὰρ ἐξέπιε κισσύβια οἴνου δυναμένου μὲν κατακερασθῆναι εἰς ἑξήκοντα, καταποθέντος δὲ ὅμως ἀκράτου καὶ διατοῦτο κατακρατήσαντος ὡς ἐν παραλύσει καὶ εἰς ὕπνον βαθὺν κατενεγκόντος τὸν ἄγριον, οὐ τῇ κατὰ ποσότητα πλησμονῇ ἀλλὰ τῇ κατὰ ποιότητα πημονῇ. ὃ δὴ καὶ ποριστέον εἰς ἀκρατοποσίας ψόγον. ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται περὶ κραμάτων οἰνηρῶν καὶ ταῦτα. τρία καὶ δύο. Ἀριστοφάνης. ἔχε πιεῖν κεκραμένον τρία καὶ δύο. Ἡσίοδος δὲ, τρὶς ὕδατος φησὶ καὶ τὰ ἑξῆς. Εὔπολις δὲ, Διόνυσε χαῖρε μήτοι πέντε καὶ δύο. τοιοῦτον καὶ τὸ παροιμιῶδες. πέντε πίνειν ἢ τρία ἢ μὴ τέτταρα. τὸ μὲν γὰρ πέντ' ἐστὶ, τρία καὶ δύο. τὸ δὲ τρία, ἥμισυ καὶ διπλάσιον. ἤγουν ἓν καὶ δύο. τὸ δὲ τέτταρα, ἶσον ἴσῳ. δῆλον δὲ καὶ ὅτι μέχρι καὶ νῦν περὶ τὰ βαθύτερα τῆς Ἀσίας ὡς καὶ περί που τὴν Ἀρμενιακὴν Μελιτήνην οἶνος φέρεται παχὺς μέλας κράμα φέρων ὕδατος οὐ μακρὰν τοῦ κατὰ τὸν Ὁμηρικὸν Μάρωνα. ᾧ εἰκὸς παλαί ποτε καὶ τὸν μαρωνήτην ἐοικέναι. Ἄλεξις δὲ εἰπὼν ἐγχέωμεν ἕνα καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τέτταρας, ἀκούει ὡς ὑδαρὴν ἢ ὑδαρῆ λέγεις κύλικα δηλαδή. τὸ δὲ κατὰ Διοκλῆν πίνειν οἶνον κεκραμένον τέτταρα καὶ δύο, παροιμία κωλύει λέγουσα τὸ, ἢ πέντε πίνειν ἢ τρί' ἢ μὴ τέσσαρα. ἢ γὰρ δύο πρὸς πέντε φασὶ πίνειν δεῖ, ἢ ἕνα πρὸς τρεῖς. κρατῆρας δηλονότι. Φερεκράτης δέ φασι πλάσας τινὰ εἰπόντα ὡς παντάπασιν ὕδωρ εἰργάσω. καὶ ἐρωτηθέντα, πῶς ὦ κατάρατε; ποιεῖ ἀποκρινάμενον τὸ, ἐνέχεας δύο ὕδατος ὦ μάμμη. πρὸς δὲ τὸ ὕδατος τέτταρα κατὰ δέ τινας οἴνου τέτταρα, ἐῤῥέθη τὸ, ἔῤῥ' ἐς κόρακας, βατράχοις οἰνοχοεῖν σε δεῖ. κατὰ δὲ ἄλλου ὑδαροῦς κράματος ἐλέχθη τὸ, μῶν Ἀχελῷος ἦν κεκραμένος πολὺς; ἤγουν, ἆρα ποταμὸς ἐνεκράθη τῷ οἴνῳ; περιφέρεται δὲ ὥσπερ τὸ παρὰ τῷ κωμικῷ ἴσον ἴσῳ κεκραμένον πίνειν, οὕτω καὶ τὸ, δύο ὕδατος πρὸς τρεῖς ἀκράτου. Φιλέταιρος. πεπωκέναι δεῖ τὸν κατὰ δύο καὶ τρεῖς ἀκράτου. τοιαῦτα δὴ καὶ ταῦτα. (ῃερς. 211.) Τὸ δὲ οὔτοι ἀποσχέσθαι φίλον ἦεν, ἢ ἀφελῶς ἐῤῥέθη ὡς πρὸς Ἀλκίνοον, ἵνα λέγῃ ὡς οὐκ ἂν ἤθελες ἀποσχέσθαι γευσάμενος, ἢ κατ' ἔλλειψιν, ἀντὶ τοῦ, οὐκ ἤθελεν ὁ πίνων δηλαδὴ ὃς ἂν καὶ ἦν (ῃερς. 113.) Ἀγήνωρ δὲ θυμὸς ἐνταῦθα, ὁ ἄτρεστος καὶ ἄγαν ἀνδρεῖος ὡς καὶ ἐν ἄλλοις. (ῃερς. 215.) Τὸ δὲ οὔτε δίκας εὖ εἰδότα οὔτε θέμιστας, ἄλλον τρόπον ἀθέμιστον εἶναι δηλοῖ τὸν Πολύφημον ἤπερ τοὺς λοιποὺς Κύκλωπας ὡς καὶ προδεδήλωται. Ἐν τούτῳ δὲ σημείωσαι καὶ τὸ, οὐ δίκας εὖ εἰδότα οὐδὲ θέμιστας. δῆλον γὰρ ἐντεῦθεν, ὡς οὐκ ἀεὶ τὸ εὖ εἰδέναι γενικῇ συντάσσει ὁ ποιητής. (ῃερς. 216.) Ὅτι τὴν ἐξ ὀΐων καὶ αἰγῶν ζωὴν τοῦ Κύκλωπος ἐκφράζων ὁ Ὀδυσσεὺς ἰδίᾳ, οὐ γὰρ ἐχρῆν παραῤῥίψαι τῇ τοῦ σπηλαίου ἐκφράσει καὶ ταύτην, φησὶ τοιαῦτα. οὐδέ μιν ἤγουν τὸν Κύκλωπα ἔνδον τοῦ ἄντρου εὕρομεν. ὃ καὶ συνήνεγκε μάλιστα τῷ Ὀδυσσεῖ καὶ τοῖς περὶ αὐτόν. εἰ γὰρ ἔνδον εὑρέθη ὁ Κύκλωψ, δυσχερὴς ἦν πλα 1.336 σθῆναι ἡ ἐφεξῆς τῆς ποιήσεως περιπέτεια. οὔκουν φησὶν αὐτὸν ἔνδον εὕρομεν, ἀλλ' ἐνόμευε νομὸν κατὰ πίονα μῆλα. ἐλθόντες δ' εἰς ἄντρον ἐθηεύμεθα ἕκαστα. ταρσοὶ μὲν τυρῶν βρῖθον στείνοντο δὲ σηκοὶ ἀρνῶν ἠδ' ἐρίφων διακεκριμέναι δ' ἕκασται ἕρχατο, χωρὶς μὲν, πρόγονοι. χωρὶς δὲ, μέτασσαι. χωρίς δ' αὖθ' ἕρσαι. νᾶον δ' ὀρῷ ἄγγεα πάντα. (ῃερς. 223.) γαυλοί τε σκαφίδες τε τετυγμένα. τοῖς, ἐνάμελγεν. ὃ δὴ ἑρμηνεία ἐστὶ τοῦ καὶ τὰς σκαφίδας χρησίμους εἰς τὸ ἀμέλγειν εἶναι καθὰ καὶ τοὺς γαυλούς. οἳ καὶ παρὰ τὸ γάλα γίνονται πλεονασμῷ τοῦ ¯υ, ὀξυτόνως προφερόμενοι. γαῦλος γὰρ βαρυτόνως εἶδος φασὶ πλοίου στρογγύλου, οὗ χρῆσις καὶ παρὰ τῷ κωμικῷ. ἔτι δὲ καὶ ἡ ἀντλία. δῆλον δὲ ὅτι σκάφης εἶδος καὶ ὁ ποιμενικὸς γαῦλος ἢ κρατῆρος ἢ κάδδου, ὁποῖος ἴσως καὶ ὁ παρὰ τῷ Θεοκρίτῳ ἀμολγεύς, ὡς τὸ, ὑπὲρ κεφαλῆς τὸν ἀμολγέα πληροῖ, ἤγουν ἐπιστέφει. κατὰ τὸ, κρητῆρας ἐπεστέψαντο ποτοῖο. τεύχεα δὲ καὶ ὁ γαῦλος καὶ ἡ σκαφὶς γενικῶς, ὡς δηλοῖ καὶ τὸ τετυγμένα, οὗ θέμα τὸ τεύχω ὅθεν τὰ τεύχεα. (ῃερς. 217.) Τὸ δὲ ἐνόμευε κατὰ νομὸν ἐτυμολογικῶς ἐῤῥέθη. πρωτότυπον δὲ τοῦ νομεύειν τὸ νέμειν. φησὶ γοῦν μετ' ὀλίγα. ἕως ἐπῆλθε νέμων. Νομὸς δὲ παρ' Ὁμήρῳ καὶ τοῖς μετ' αὐτὸν ὁ τῆς νομῆς κυρίως τόπος. λέγεται δὲ καὶ τροπικῶς ἐπὶ πλήθους. ὡς τὸ, πολύς δ' ἐπέων νομός. οὕτω δὲ ἴσως καὶ παρὰ τοῖς Λίβυσιν αἱ ἐνορίαι, νομοὶ ἐλέγοντο. οἷον ὁ Θηβαϊκὸς νομός. ὁ Διοσπολίτης νομός. καὶ τοιοῦτοι τινές. Τὸ δὲ ἐθηεύμεθα, θηητὰ εἶναι δηλοῖ καὶ τὰ νῦν ἐκφραζόμενα. (ῃερς. 219.) Ταρσοὶ δὲ καλαθίσκοι, ἐν οἷς τυροκομοῦσι, κληθέντες οὕτω παρὰ τὸ τέρσαι τὸ ξηράναι ἐν οἷς τερσαίνονται οἱ τυροί. οὓς καὶ πλεκτοὺς ταλάρους ἐρεῖ. οἱ δὲ παλαιοὶ τὸν τοιοῦτον ταρσὸν καὶ ταῤῥὸν λέγουσιν, οἱ μεθ' Ὅμηρον δηλαδή. ἐν οἷς καὶ ὁ κωμικός. οἳ καὶ φασὶν ὅτι ταῤῥὸς, τὸ τυροκομεῖον. καὶ ὅτι ἄῤῥιχοι μὲν, κόφινοι σταφυλοφόροι, ταῤῥὸς δὲ, ἀγγεῖον πλεκτὸν ὡς ψίαθος ἐκ καλάμων, ἐν ᾧ τυρεύουσι. καὶ κρεμαστὴρ δέ φασιν ἐλέγετο ταῤῥὸς, ἐφ' οὗ τυροὺς ἔτερσον. ὅθεν καὶ τρασιὰ, οὗ σύκα ψύγεται. ἐλέγετο δέ φασι ταρσὸς καὶ τὸ ἄνω τοῦ ποδὸς ἢ καὶ τὸ ἄκρον τῆς χειρός. Αἴλιος δὲ Διονύσιος φησὶν ὅτι ταῤῥοὶ καὶ ταρσοὶ, τάλαροι, καὶ τὰ πλατύσματα τῶν κωπῶν. ἕτεροι δὲ ὅτι ταῤῥοὶ κρεμάστρα καλαμίνη,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τὰ τῶν τυρῶν ἀγγεῖα, καὶ τὰ τῶν λαχάνων. καὶ τάρωμα, ἡ κωπηλασία. ταῤῥὸς γάρ φασιν ὁ στοῖχος τῶν κωπῶν, ἐπεὶ πτεροῖς ἐοίκασι. Καὶ σημείωσαι ὅτι κατὰ τοιαύτην τινὰ ὁμοιότητα καὶ ἐπὶ ὀρνέων πτέρυγος ὁ ταρσὸς λέγεται. Τὸ δὲ τυρῶν βρῖθον, ἀντὶ τοῦ ἔγεμον ἢ βάρος εἶχον ὑπὸ τῶν τυρῶν. ἡ δὲ κοινὴ διάλεκτος τυροῖς βρίθειν λέγει, ὁμοίως τῷ, ἄνθεσι βρύειν. ὅτι δὲ οὐ μόνος ὁ Κύκλωψ πολύτυρος ἦν ἀλλὰ καὶ ἡ ὅλη Σικελία, δηλοῖ ὁ ἐν τοῖς τοῦ Ἀθηναίου τὸν Σικελικὸν παρασημειωσάμενος τυρόν. σηκοὶ δὲ, περὶ οὓς ἡ τῶν ἀρνῶν καὶ τῶν ἐρίφων στάσις, ἀπὸ τοῦ ἵστασθαι, ἵνα εἶεν οἱονεὶ στηκοί τινες. ὅθεν καὶ σηκίται ἄρνες. καὶ οὕτω μὲν παρὰ τῷ ποιητῇ. οἱ δὲ μεθ' Ὅμηρον καὶ ἐπὶ ναοῦ τὴν λέξιν ἔθεντο. σηκὸς γοῦν φασὶν ἡρῷον, οἷον. ὃς τόνδ' ἔχεις τὸν σηκὸν, ἵλεως γενοῦ. ἐλέγοντο δέ φασι καὶ σηκίδες οἰκογενῆ παιδισκάρια. κατὰ δὲ Αἴλιον Διονύσιον σηκύλη καὶ σηκὶς κυρίως ἡ ἐν ἀγρῷ ταμιεῖον φυλάττουσα. οἷον φησὶν ἡ τοῦ Λαέρτου γραῦς. δοκεῖ δὲ σταθμόν τινα δηλοῦν ὁ σηκὸς, ὡς ἡ ἀντισήκωσις δηλοῖ, ἀντιστάθμησίς τις οὖσα. ἐπεὶ καὶ τὸ στῶ στήσω, ἐπὶ σταθμήσεως λέγεται. καθ' ὃν λόγον ὁ Μενέλαος μεταστήσειν ἔφη τὰ τοῦ Τηλεμάχου δῶρα. Ὥσπερ δὲ οἱ ταρσοὶ τυρῶν βρῖθον κατὰ γενικὴν σύνταξιν, οὕτω καὶ οἱ σηκοὶ στείνοντο ἀρνῶν καὶ ἐρίφων. αἳ θηλυκῶς ἐνταῦθα λέγονται ὡς δηλοῖ τὰ ἐφεξῆς. (ῃερς. 2.) Τὸ δὲ διακεκριμέναι ἑρμηνεύων ἐπήγαγε τὸ, χωρὶς μὲν, (ῃερς. 221.) αἱ πρόγονοι. τουτέστι τὰ πρωτογεννήματα; χωρὶς δὲ, αἱ μετάσσαι. ὅ ἐστιν αἱ μέσαι κατὰ πλεονασμὸν τῆς μέσης συλλαβῆς. ἤγουν αἱ μεταγεγεννημέναι. αἱ μεσήλικες. (ῃερς. 222.) χωρὶς δ' αὖ αἱ ἕρσαι, ἃς ἴσως ἔστι καὶ ψάκαλα εἰπεῖν τὰ μετ' ὀλίγον δηλωθησόμενα, ὡς παρὰ τὴν ψακάδα ὅπέρ ἐστι δρόσος καθὰ καὶ ἡ ψεκάς. ἵνα σημαίνοιντο δι' ἀμφοῖν αἱ νεώταται καὶ οἷον δροσεραὶ διὰ τὸ ἁπαλόν. Ἰστέον δὲ ὅτι ἐν τῷ περὶ ὀνομασίας ἡλικιῶν γράφει ὁ γραμματικὸς Ἀριστοφάνης, τοιαῦτα χρήσιμα εἰς τὰ προκείμενα. τῶν αἰγῶν οἱ μὲν τέλειοι, τράγοι καὶ ἴξαλοι. ἡ δὲ ἐχομένη ἡλικία, χίμαροι. τὰ δὲ νεώτατα, ἔριφοι. ὁ δὲ ποιητὴς ἐν Ὀδυσσείᾳ τὰ τέλεια μὲν προγόνους καλεῖ, τὰ δὲ μετὰ ταῦτα μετάσας. τὰ δὲ ἔτι νεώτερα, ἕρσας καὶ ἐσσῆνες δὲ καλοῦνται, ἡλικία τις. καὶ πρητῆνες. καὶ ἐπιπρητῆνες. ὅθεν καὶ παροιμία αἰγὸς ἐπιπρητῆνος ἐρυθροῦ πήρη ἀρίστη. Ἰωνικοὶ δέ τινες καὶ ἀττήγους καλοῦσιν ἡλικίαν τινὰ τῶν ἀῤῥένων. εἶτα εἰπὼν περὶ ἰονθάδος Ὁμηρικοῦ τοῦ ἐν τοῖς ἑξῆς ὅτι ἐφ' ἡλικίας τινὸς καὶ μεγέθους 1.337 αὐτό φησιν ὁ ποιητὴς, ἐπάγει ὅτι τῶν δὲ προβάτων τὰ μὲν τέλεια, ὄϊες καὶ κριοὶ καὶ ἀρνειοί. τὰ δὲ νέα, ἄρνες καὶ ἀμνοί. ἔνιοι δέ φασι, καὶ φανυλοὺς καλοῦσιν. ἐπὶ δὲ τούτοις σποράδην παραδίδωσιν ὅτι τε τὸ ἐξ ἵππου πατρὸς καὶ ὄνου μητρὸς γεννηθὲν γίννος ἐκαλεῖτο ἀγεννὴς ὢν τὸ μέγεθος. καὶ ὅτι πολλάκις τοὺς ὄνους κάνθωνας καὶ κανθηλίους καλοῦσιν. ἀστράβαι δέ φησιν, οἱ καταμόνας σωματηγοῦντες ἡμίονοι. καὶ ἀστραβηλάται, οἱ αὐτοὺς ἐλαύνοντες. ὑποζυγίαι δὲ, οἱ ὑφ' ἁμάξαις ζευγνύμενοι. βοῶν δέ φησι, ταῦροι μὲν οἱ τέλειοι καὶ ἐνόρχαι. ὧν οἱ χαλεπώτατοι καὶ δι' ἀκμὴν μονάζοντες ἀτιμαγέλαι καλοῦνται, αἱ δὲ θήλειαι βόες μόνον, τὰ δὲ νέα, δάμαλαι. καὶ δαμάλιες. καὶ μόσχοι. καὶ πόριες. καὶ πόρτιες. καὶ πόρτακες. λέγει δὲ καὶ ὅτι κατὰ τὴν δάμαλιν Σοφοκλῆς ἔφη γηγενῆ βούβαλιν. καὶ Αἰσχύλος, λεοντοχόρταν βούβαλιν νεαίτερον. καὶ ὅτι αἶγες καὶ ὄϊες θήλειαι κέρατα πολλάκις ἔχουσαι κεράδες καλοῦνται. σὺν δὲ ἄλλοις διαφόροις παραδίδωσι καὶ ὅτι λεόντων μὲν τὰ νεογνὰ σκύμνοι καὶ λεοντιδεῖς καλοῦνται. παρδάλεων δὲ, σκύμνοι καὶ πορδαλιδεῖς. ἄρκτων δὲ, σκύμνοι καὶ ἄρκιλοι. βουβάλων δὲ, πῶλοι. κυνῶν δὲ καὶ λύκων, σκύλακες. ὑστρίχων δὲ καὶ τῶν τοιούτων, ὄβρια καὶ ὀβρίκαλα. ὧν χρῆσις καὶ παρ' Αἰσχύλῳ ἐν Ἀγαμέμνονι. ἔμβρυα δέ τινα καὶ ἀρτιγενῆ δὲ, ψάκαλα λέγει καλεῖσθαι, καὶ ὀρταλίχους. ὅθεν καὶ φησὶ παρὰ Σοφοκλεῖ ψακαλοῦχοι αἶγες μητέρες τ' ἐπιμαστίδιον γόνον ὀρταλίχων ἀναφαίνοιεν. καὶ οὕτω μὲν ἔχει τὰ τοιαῦτα. ἐν δὲ τοῖς ὡς προείρηται κατ' Ὅμηρον σημείωσαι ὡς εἰ καὶ ἀπὸ τοῦ ἄρδω ἄρσω ἡ ἔρση γίνεται, ἀλλὰ δασύνεται παρὰ Ἀττικοῖς. ὡς δηλοῖ καὶ τὸ, λωθόνθ' ἑρσήεντα. (ῃερς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

2.) Δῆλον δὲ ὅτι τὸ διακρίνειν καὶ κρίνειν λέγεταί ποτε ὡς τὸ, κρῖν' ἄνδρας κατὰ φῦλα. (ῃερς. 221.) Τὸ δὲ ἔρχατο Ἰωνικὸν καὶ αὐτὸ, ἐκ τοῦ εἶρκτο τρίτου προσώπου Ἰωνικοῦ. καθὰ καὶ τὸ εἰλίχατο, ἐκ τοῦ εἵλικτο. οἷον. εἰλίχατο μίτραις τὰς κεφαλάς. (ῃερς. 222.) Τὸ δὲ χωρὶς, διὰ τῆς ἐπαναφορᾶς κάλλος ποιεῖ. τρὶς γὰρ ἐν δυσὶ στίχοις κεῖται. Νάειν δὲ ὀρῷ, τὸ πεπληρῶσθαι ὡς καὶ ἔξω ῥέειν. ὅθεν καὶ τὸ νᾶμα γίνεται, καὶ τὸ ναρόν. ἐξ οὗ ὁ Νηρεύς. καὶ τὸ ἀέναον, ὅπερ ὅμοιόν ἐστι τῷ, ἀεὶ νῶν παρὰ τῷ κωμικῷ. Ἰστέον δὲ ὅτι τὸ νάω ἤγουν ῥέω καθ' Ἡρακλείδην συστέλλει τὸ ¯α κανόνι τοιούτῳ. τὰ εἰς ¯ω καθαρὸν λήγοντα δισύλλαβα καὶ ἔχοντα φωνῆεν βραχὺ παρατέλευτον δίχα τοῦ ¯ο βαρύνονται, εἰ μή που περισπασθέντα ἑτέραν ἔννοιαν ποιήσει, ὡς τὸ μυῶ. τὰ δ' ἄλλα βαρύνονται δίχα ὡς εἴρηται τῶν παραληγομένων τῷ ¯ο. οἷον. μύω. κλύω. πλέω. νάω. τίω δέ μιν ἐν καρὸς αἴσῃ. ὅθεν φησὶ καὶ τὸ ἄω ἤγουν πνέω τῶν βαρυτόνων ἐστὶ καὶ οὐ περισπώμενον. τὸ ἐῶ οὐ συγκρίνεταί φησι τούτοις δευτέρας ὂν συζυγίας τῶν περισπωμένων. οὕτω δ' ἐνταῦθα γράψας ὁ Ἡρακλείδης ἑτέρωθι, ἔνθα ἔφη ὅτι τὰ εἰς ¯ω καθαρὸν λήγοντα καὶ τῷ ¯α βραχὺ παραληγόμενα περισπωμενά τε καὶ βαρύτονα Αἰολικά εἰσι, μόνον περιλείπεσθαι λέγει τὸ ἄω ἀμφισβητούμενον κατὰ τὸν τόνον. καὶ οὕτω μὲν καὶ τοῦτο. Ὅρα δὲ ὅτι τε οὐδὲ τὸν οὐρὸν ὁ Κύκλωψ ἐκχέει ποιμενικῶς καὶ τοῦτο ποιῶν ἵνα εἰς πόσιν αὐτῷ χρῷτο, καὶ ὅτι δι' ἑνὸς ¯ρ ἐξήνεκται ὡς καὶ μετὰ ταῦτα ἐν τῷ, καί κεν ὀρὸν πίνων, μεγάλην ἐπιγουνίδα θεῖτο. ὀρὸς δέ φασιν ἡ ὑδατώδης τοῦ γάλατος ὑπόστασις. τινὲς δὲ καὶ οὕτως. ὀρὸς, τὸ διεφθορὸς γάλα. ἢ ἡ τοῦ γάλατος ὑποστάθμη. Γίνεται δὲ παρὰ τὸ ῥέω. καὶ δηλοῖ τὸ τοῦ γάλατος ῥοῶδες τὸ μὴ πηγνύμενον εἰς τυρὸν ἀλλ' ἀποῤῥυϊσκόμενον. ἵνα ᾖ ἐκ τοῦ ῥέω, ῥόος. καὶ κατὰ μετάθεσιν πρὸς ἀποφυγὴν συνεμπτώσεως τῆς πρὸς τὸν ῥόον, ὅρος. καὶ αὖ πάλιν ὀξυτόνως ὀρὸς πρὸς διαστολὴν τοῦ βαρυτόνου ὅρους. καὶ οὕτω μὲν ὁ τοῦ γάλατος ὀρὸς τῇ ὀξυτονήσει ἑτεροφωνεῖται πρὸς τὸ ὑλαῖον ὄρος. ὁ μέντοι ἐπὶ ζῴων ὄῤῥος, ἐξ οὗ τὸ ὀῤῥωδεῖν, διπλασιάσας τὸ ¯ρ ἐκπέφευγε τὴν κατὰ τὸ ὄρος φωνήν. Σημείωσαι δὲ ὅτι ὁ λεγόμενος παρὰ τοῖς παλαιοῖς πυὸς ἀρσενικῶς καὶ τῇ προσῳδίᾳ φασὶν ὡς τυρὸς ἀνάπαλιν ἔχει πρὸς τὸν ὀρόν. ἔστι δέ φασι πυὸς τὸ πρωτόῤῥυτον γάλα καὶ νοστιμώτατον κατὰ Αἴλιον Διονύσιον. ὅ τινες πύαρ φασίν. ἡ χρῆσις παρὰ Ἀριστοφάνει ἐν Εἰρήνῃ, ὅθεν φασὶ καὶ πυαρίτης, τὸ πύρεφθον. ὃ γίνεται ἐκ τοῦ πρώτου γάλατος. λέγεται δὲ καὶ ἐπὶ τῶν ἄγαν ἡδέων ἡ λέξις. Ἄγγεα δὲ πάντα, λέγει τὰ εἰς ὑποδοχὴν ὀροῦ τετυγμένα. εἰ καὶ νῦν μετὰ τὴν τυροποιΐαν, καὶ οἱ γαυλοὶ, καὶ αἱ σκάφαι ἔναον ὀρῷ. (ῃερς. 223.) Οἱ δὲ γαυλοὶ, ὀξύνονται πρὸς διαστολὴν ἑτεροίας τονώσεως. κατὰ γὰρ τὴν παλαιὰν παράδοσιν γαυλὸς μὲν ὀξυτόνως ἀγγεῖον ποιμενικὸν, γαῦλος δὲ βαρυτόνως εἶδος ἑτεροίου σκάφους τοῦ κατὰ πλοῖον ὡς δηλοῖ καὶ ὁ κωμικός. Τὸ δὲ οἷς ἐνάμελγεν, ἐτυμολογεῖ μέν πως τὸν γαυλὸν περὶ ὃν ἀμέλγεται γάλα ἐξ οὗ ὁ γαυλός. δηλοῖ δὲ καὶ ὡς αἱ σκαφίδες οὐ μόνον εἰς ὑποδοχὴν ὀροῦ εἰσὶ χρήσιμοι, 1.338 ἀλλὰ καὶ εἰς ἄμελξιν. Περὶ δὲ τοῦ ἀμέλγειν, πολλαχοῦ δεδήλωται τά τε ἄλλα, καὶ ὅτι καὶ ἀμέργειν λέγεται. ὧν ἐκ μὲν τοῦ ἀμέλγειν ὁ προσεχῶς ῥηθεὶς ἀμολγεὺς, καὶ ἀμολγὸς δὲ ὁ πολλαχοῦ γραφείς. ἐκ δὲ τοῦ ἀμέργειν, τὸ ὀμόργνυσθαι κατά τινα μεταφοράν. (ῃερς. 224.) Ὅτι εὕρηνται ἐνταῦθα οἱ ἑταῖροι κρεῖττόν τι συμβουλευόμενοι τῷ Ὀδυσσεῖ οὗπερ αὐτὸς ἐνόησε. καὶ Ὀδυσσεὺς φιλαλήθως ὁμολογεῖν οὐκ αἰδεῖται αὐτὸ, θηρώμενος οὕτω καὶ τὴν ἐπὶ τοῖς ἄλλοις οἷς λέγει πίστιν παρὰ τοῖς Φαίαξιν. οἱ μὲν γάρ φησιν ἐλίσσοντο τυρῶν αἰνυμένους ἐρίφους τε καὶ ἄρνας σηκῶν ἐξελάσαντας (ῃερς. 225.) ἰέναι πάλιν, ἤγουν ἐπανιέναι πλέοντας. ἀλλ' ἐγώ φησιν οὐ πιθόμην. ἦτ' ἂν πολὺ κέρδιον ἦεν. διατί δὲ οὐ πιθόμην; ὄφρα φησὶν αὐτόν τε ἴδοιμι, (ῃερς. 229.) καὶ εἴ μοι ξείνια δοίη. ἤγουν εἴπως με ξενίσει. ὃ ταυτόν ἐστι τῷ ὅπως κατὰ μετάληψιν συνδέσμου εἰς σύνδεσμον ὡς καὶ ἑτέρωθι δεδήλωται. (ῃερς. 230.) εἶτα ἐπάγει προεκθετικῶς ὅτι οὐδ' ἄρ ἔμελλεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑτάροισι φανεὶς ἐρατεινὸς ἔσεσθαι. Καὶ ὅρα οἷα τὰ τυχηρά. πρινή τε γὰρ εἰσελθεῖν εἰς τὸ ἄντρον, ὀϊσσάμενος Ὀδυσσεὺς τὸ κακὸν ὅμως οὐκ ἀπέστη. καὶ νῦν δὲ οὐ μόνον οὐ νοεῖ αὐτὸς τὸ δέον, ἀλλὰ καὶ συμβουλευόντων τῶν φίλων δυστυχεῖ μὴ πεισθείς. καὶ οὕτως ἀνταποδοὺς τοῖς φίλοις τὸ μηδ' αὐτὸς πεισθῆνα αὐτοῖς. οἳ οὐδ' αὐτοὶ τῷ Ὀδυσσεῖ ἐν τῇ τῶν Κικόνων γῇ ἐπείσθησαν φεύγειν κελεύοντι. ὧν ἔχει τις ἐνταῦθα εἰπεῖν τῷ Ὀδυσσεῖ καὶ αὐτὸς, ὡς ἐγὼ μὲν διερῷ ποδὶ φεύγειν ἤνωγον. ὁ δὲ νήπιος οὐκ ἐπείθετο. καὶ τοῦτο μὲν τοιοῦτον. Ὁ δὲ περὶ τῶν ξενίων λόγος παραλαλεῖ ἐθέλειν καὶ παρὰ τῶν Φαιάκων πλείω τῶν δοθέντων δῶρα λαβεῖν. ὃ καὶ ἐν τοῖς ἐφεξῆς ἐκφαίνων σαφέστερον βούλεσθαι λέγει πλειοτέρῃ σὺν χειρὶ ἐς πατρίδα ἱκέσθαι. ὅπου καὶ ὁ βασιλεὺς καθικνεῖταί πως αὐτοῦ ὡς ἐκεῖ φανεῖται. (ῃερς. 225.) Τὸ δὲ τυρῶν αἰνυμένους, Ἀττικῶς ἐῤῥέθη ἀντὶ τοῦ ἐκ τῶν τυρῶν ἄραντας, οὐ γὰρ πάντας ἤθελον ἄρασθαι τοὺς τυρούς. οὕτω καὶ λέων βοὸς βεβρωκέναι που λέγεται. καὶ μάντις ἀποφοιβάζει φύλλων δάφνης φαγών. Ἴσως δὲ παρὰ τὸ τέρσειν ἤγουν ξηραίνειν γίνεται καὶ ὁ τυρός. ὡς ἀπὸ ῥυτοῦ γάλατος αὐτὸς μὴ τοιοῦτος ὢν, ἀλλὰ πρῶτα μὲν χλωρὸς κατὰ τὸν ποιητὴν, εἶτα καὶ ξηρὸς γεγονώς. ἀπὸ δέ γε τοῦ τυροῦ τυρεύειν τε τὸ ἀνακυκᾶν πράγματα, καὶ τυρβάζειν δὲ τὸ ὑπὲρ τοιούτων μεριμνᾶν. εἰ δέ γε ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ, ἡ κοινῶς λεγομένη σύρβη τύρβη λέγεται Ἀττικῶς, ζητητέον ἑτέραν τινὰ ἐτυμολογίαν ταύτης τε καὶ τοῦ τυρβάζειν, ὥσπερ καὶ τοῦ τυροῦ. ὃν καὶ παρὰ τὸ τηρεῖν φασί τινες γίνεσθαι. ὡς γὰρ ἅλμη ἁλμηρὸς, οὕτω τυρῷ τυρὸς, ὃ εἰς τήρησιν συμπηγνύμενος. Ἰστέον δὲ καὶ ὅτι τοὺς λεπτοὺς τῶν τυρῶν καὶ πλατεῖς Κρῆτες θηλίας καλοῦσιν, οὓς καὶ ἐν θυσίαις τισὶν ἦσαν ἐναγίζοντες ὥς φησιν Ἀθήναιος. ἔνθα τῶν ἀντιγράφων διὰ μόνου τοῦ ἰῶτα ἐχόντων τὴν παραλήγουσαν τῆς θηλίας δοκεῖ ἑνικὴ αὐτῶν εὐθεῖα εἶναι ὁ θηλίας. ὡς δὲ τηροῦ σύνθετον ὁ κατάτυρος, δηλοῖ ὁ γράψας τὸ, γλοιῶν καταχύσματα κατάτυρα παρὰ τῷ αὐτῷ ῥήτορι. Τοῦ δὲ αἰνύμενοι ἡ σκευωρία, τοιαύτη τις εἶναι δοκεῖ. ἔστι ῥῆμα μονοσύλλαβον δασυνόμενον, ὧ τὸ πληρῶ. ἐξ οὗ, ἕω καὶ ἕημι. ἀφ' ὧν καὶ ὁ ὅλος. καὶ τὸ, ἐξ ἔρον ἕντο ὡς ἐν Ἰλιάδι ἐῤῥέθη. τούτου τοῦ ὧ παράγωγον, αἵω. ὡς κλῶ κλαίω. κῶ καίω. καὶ προσλήψει τοῦ ¯ν, αἵνω. ὅθεν αἰνύω αἴνυμι. εἰ δὲ τοῦ πρωτοτύπου θέματος δασυνομένου ψιλοῦται τὸ αἴνυσθαι, ὁ κοινὸς κανὼν τῆς α¯ι διφθόγγου αἴτιος. ἥτις ὑπὲρ μίαν συλλαβὴν οὖσα καὶ προκαθημένη λέξεως ψιλοῦται. Ἰστέον δὲ ὅτι τὸ τυρῶν αἰνυμένους γράφεται καὶ ἀχθομένους, ἵνα δηλοῖ τοὺς φόρτιον τυρῶν αἴροντας. εἰ δὲ καὶ ἀπὸ τοῦ αἴρω γίνεται αἱρύω αἵρυμι ὅθεν κατὰ τροπὴν ἀμεταβόλου εἰς ἀμετάβολον τὸ αἴνυσθαι, οὐκ ἂν εἴη ἔχον ἀντιλογίαν. ποιητικὴ δὲ πάντως λέξις καὶ τὸ αἴνυσθαι καὶ εἰς μέτρον χρησίμη μόνον ἢ καὶ εἰς μετρικήν τινα παραπλοκήν. διόπερ Ὅμηρος διὰ τὸ ἐν ποιήσει καίριον δὶς φράζει εἰπών. (ῃερς. 232.) τυρῶν αἰνυμένους. καὶ, τυρῶν αἰνύμενοι φάγομεν. λέγει δὲ καὶ προϊών. ὄφρα οἱ εἴη πίνειν αἰνυμένῳ. (ῃερς. 231.) Ὅτι δαπανήσας Ὀδυσσεὺς οὐ πολλὰ τῶν τοῦ Κύκλωπος οὐ τὴν ἴσην ἔτισεν. ἔθυσαν μὲν γὰρ οἱ αὐτοῦ πῦρ κείαντες καὶ τῶν τυρῶν ἔφαγον. ἐζημιώθησαν δὲ φίλοις ἓξ ὡς ἐν τοῖς ἐφεξῆς φανεῖται. Τὸ δὲ κείαντες, διὰ διφθόγγου γράφουσι τὰ πολλὰ καὶ κρείττω τῶν ἀντιγράφων, ὡς ἀπὸ τοῦ κέω κείω. Ἰστέον δὲ ὅτι ὥσπερ θέω θῶ, οὕτω καὶ κέω κῶ. ἐξ αὐτοῦ δὲ παράγωγον καίω ὡς λῶ λαίω. ῥῶ ῥαίω τὸ φθείρω. καὶ ἀπὸ μὲν τοῦ ψιλοῦ κέω δοκεῖ καὶ ὁ θυοσκόος γίνεσθαι. καὶ τὸ, πῦρ κείαντες ἐθύσαμεν. ἐκ δὲ τοῦ γραφομένου διὰ διφθόγγου τὸ καῦσαί τε γίνεται καὶ τὸ κάειν καὶ τὸ ἔκηε καὶ ὅσα τοιαῦτα. (ῃερς. 233.) Ὅτι ὅτε νέμων ἐπῆλθεν ὁ Κύκλωψ ἔφερεν ὄβριμον ἄχθος ὕλης ἀζαλέης ἵνα οἱ ποτιδόρ 1.339 πιον εἴη. (ῃερς. 235.) ἔντοσθε δ' ἄντροιο βαλὼν τουτέστι ῥίψας ὀρυμαγδὸν ἔθηκεν, ὃς καὶ ἐξεφόβησε τοὺς περὶ τὸν Ὀδυσσέα. φησὶ γοῦν. (ῃερς. 236.) ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ' ἐς μυχὸν ἄντρου. οὐ γὰρ δοῦπος ἢ ψόφος ἢ κτύπος, ἀλλ' ὀρυμαγδὸς ἦν. (ῃερς. 234.) Ἀζαλέα δὲ ὕλη, ἐπεί περ ἡ τοιαύτη πρὸς λυχνοκαΐαν ἐπιδόρπιον χρήσιμος.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ποτιδόρπιον δὲ νῦν μὲν τὸ τῆς ὕλης ἄχθος μετ' ὀλίγα δὲ καὶ γάλα ἐρεῖ ποτιδόρπιον. (ῃερς. 243.) Ὅτι τὴν τοῦ σπηλαίου εἴσοδον ἤτοι τὸ περὶ αὐτὴν διάστημα (ῃερς. 238.) θύραν ὁ ποιητὴς ἐνταῦθα λέγει, καθά που καὶ ἐν Ἰλιάδι, πύλας τὸν τόπον περὶ ὃν αἱ πύλαι. ὅθεν καὶ τὸ ἔξω τοῦ σπηλαίου θύραζε λέγει. (ῃερς. 240.) οἷον πέμπε θύραζε. ἔτι δὲ καὶ θύρῃφι. καὶ τὸν κλείοντα δὲ λίθον τὴν τοιαύτην ὁδὸν θυρεὸν λέγει ἀσυνήθως τοῖς ὕστερον. οἳ ἀσπίδος εἶδος φασὶ τὸν θυρεὸν, παρωνυμούμενον θύρᾳ διὰ τὸ μέγεθος. καὶ λέγοιτο μὲν ἂν ὁ τοιοῦτος θυρεὸς κλείειν τὸ τοῦ Κύκλωπος ἄντρον, λέγοιτο δὲ ἂν καὶ πωμάζειν, ἐπειδὴ οὕτω ῥᾷον ἀφελὼν ἐπετίθει αὖθις αὐτὸν καθά τις φαρέτρῃ πῶμ' ἐπιθείη. φράζει δ' (ῃερς. 237.) ἐνταῦθα ὁ ποιητὴς οὕτως. αὐτὰρ ὃ εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα πάντα μάλ' ὅσσ' ἤμελγε. τὰ δ' ἄρσενα λεῖπε θύρῃφι, ἀρνειούς τε τράγους τε, βαθείης ἔκτοσθεν αὐλῆς. αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας, ὄβριμον. οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ' ἅμαξαι ἐσθλαὶ τετράκυκλοι ἀπ' οὔδεος ὀχλίσειεν. (ῃερς. 243.) τόσσην ἠλίβατον πέτρην ἐπέθηκε θύρῃσι. Καὶ ὅρα τὴν εὔτακτον τοῦ λίθου παρίψωσιν. εἰπὼν γὰρ αὐτὸν μέγαν ἡρμήνευσε διὰ τοῦ, μὴ ἂν ὑπὸ δύο καὶ (ῃερς. 242.) εἴκοσι ζευγῶν μετοχλισθῆναι, τουτέστι μοχλοῖς μετακινηθῆναι. ἢ καὶ ἄλλως, ἁμάξαις βασταχθῆναι. εἶτα (ῃερς. 243.) καὶ πέτρᾳ ἠλιβάτῳ αὐτὸν εἴκασεν. εἰ δὲ τὴν τοιαύτην ἠλίβατον ὑψόσε ἀείρων ἔφερεν, οὐκ ἂν ἀπιστηθείη, κορυφὴν ὄρεος μεγάλοιο κατὰ Ὀδυσσέως βαλεῖν ἀποπλέοντος καθὰ καὶ προγέγραπται. (ῃερς. 240.) Ἰστέον δὲ ὅτι Ὁμήρουἐνταῦθα συνωνυμίας λόγῳ (ῃερς. 243.) ταυτὰ δηλοῦντος εἶναι θύραν καὶ θυρεὸν, ὅμως ὑπεμφαίνεταί τις αὐτῶν πρὸς ἄλληλα διαφορὰ ὡς ἔστιν ἐκ τῶν μεθ' Ὅμηρον στοχάσασθαι. οὐ γὰρ ἐξανάγκης ταυτὸν θυρεὸς καὶ θύρα, εἴπερ ἀσπίδος παρὰ τοῖς ὕστερον ὁ θυρεὸς, μεγάλης δηλαδὴ, ἐοικυίας θύρᾳ. ἐξ ἧς καὶ γέγονεν ἐπενθέσει τοῦ ¯ε. ὅτι δὲ θύρα ὥσπερ ἐνταῦθα καταχρηστικῶς τροπικώτερον, οὕτω καὶ ἐπί τινων ἄλλων, δῆλον ἐκ τῶν χρήσεων. λέγονται γοῦν θύραι καὶ αἱ αἰσθήσεις δι' ὧν βαίνουσιν ἐς ψυχὴν τὰ αἰσθητά. ἔστι δὲ οὕτω καὶ θύρα γλώσσης, ἣν ὁ μὴ ἔχων οἷα στόμαργος ἀθυρόγλωσσος λέγεται παρὰ τὸ θύραν μὴ ἐπικεῖσθαί φασι γλώσσῃ. ἢ παρὰ τὸ ἀθύρειν ἤγουν ἀδιακρίτως ὁμιλεῖν. ὃ καὶ αὐτὸ ἤγουν τὸ ἀθύρειν στέρησιν θύρας τῆς κατὰ νοῦν σημαίνει. καὶ ὁ ἀθύρας δὲ τὸ τῶν βυζάντων ὥς φασιν ἐπίνειον, θύρας ἑτεροίας μέντοι, ἐστέρηται. (ῃερς. 238.) Ἔτι ἰστέον καὶ ὡς Ὁμήρου ἄρσενα λέγοντος καὶ κόρσην οἱ Ἀττικοὶ ἄλλως ὕστερον φράζουσιν, ἄῤῥενα γὰρ ἐκεῖνοι καὶ κόῤῥην φασὶ, καθὰ καὶ ταῤῥὸν τὸν ταρσόν, καὶ τὴν μυρσίνην μυῤῥίνην, καὶ θαῤῥεῖν τὸ θαρσεῖν. τὸ γὰρ ¯σ ὡς καὶ ἐν Ἰλιάδι ἐῤῥέθη ὑποτεταγμένον τῷ ¯ρ οἱ Ἀττικοὶ ῥῶ ποιοῦσι. (ῃερς. 239.) Σημείωσαι δὲ καὶ ὅτι ὥσπερ ὁ τράγος ὄνομά ἐστιν ἄῤῥενος αἰγὸς, οὕτω καὶ ὁ ἀρνειὸς προβάτου ἄῤῥενος. τέλειος οὖν ὁ ἀρνειὸς καὶ οὐκ ἀτελὴς κατὰ ἄρνα καὶ τὸ ἀρνειόν. διὸ καὶ Ὀδυσσεὺς ἀρνειῷ σώζεται. τρίτη δὲ ἡλικία εἶναι δοκεῖ ὁ ἀρνειός. τέταρτος δὲ μετ' αὐτὸν, ὁ λειπογνώμων ὄϊς. φασὶ γοῦν οἱ παλαιοὶ, ὅτι οὐ μόνον τρεῖς ἡλικίαι, ἀρήν. ἀμνός. ἀρνειός. καὶ ὅτι τοῦ ἀμνοῦ καὶ θηλυκὸν ἡ ἀμνὴ πρόβατον αὐτὸ μέσον τῇ ἡλικίᾳ. καὶ ὅτι ἀμνὴ ἐνιαύσιον ἄρνα δηλοῖ. καὶ ὅτι παροιμία ἀμνεῖν τὸ θερίζειν ἐπὶ τῶν ἐκδιαλείματος τιμωρουμένων, τὰ γὰρ ἄρνια ἐν τῷ ἔαρι ἄκαρπα ἐᾶται, ἀλλὰ καὶ ὅτι Ἴστρος ἐν Ἀττικαῖς λέξεσιν ἄρνα φησίν. εἶτα ἀμνόν. εἶτα ἀρνειόν. εἶτα λειπογνώμονα. ἐλέγετο δὲ καὶ μοσχίας ὁ τριέτης κριός. Ἰστέον δὲ καὶ ὅτι οὐ μόνον ἐπὶ προβάτου λειπογνώμων, ἀλλὰ κυρίως ἵπποι ἐλέγοντο λειπογνώμονες οἱ μηκέτι διὰ τῶν ὀδόντων γνωσθῆναι δυνάμενοι. γνώμων γὰρ ὀδοὺς ἀφ' οὗ ἡλικία γνωρίζεται πώλων τε καὶ μόσχων. ἐν οἷς ἄβολος ὁ μηδέπω ἐκβεβληκὼς τοὺς ὀδόντας. τριάκοντα γάρ φασι μηνῶν γενόμενοι ἐκβάλλουσι τοὺς πρώτους ὀδόντας. εἶτα ἐνιαυτοῦ παρελθόντος τοὺς ἑτέρους καὶ τὰ ἑξῆς. ἐν οἷς καὶ ὅτι λειπογνώμων ἵππος ὁ μήπω ἔχων βόλον. καὶ ὁ προήκων. καὶ ὁ μὴ ἔχων ὅθεν γνωσθήσεται. Τὸ δὲ βαθείης ἔκτοσθεν αὐλῆς ἑρμηνεία ἐστὶ τοῦ θύρῃφι καὶ θύραζε.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τετράκυκλοι δὲ, οὐ πᾶσαι ἅμαξαι ἀλλὰ κατὰ χώρας. (ηερς. 242.) Ὅτι ἀμέλξεως καὶ τυροποιΐας ἔκφρασις ταῦτα. (ηερς. 244.) ἑζόμενος δ' ἤμελγεν ὄϊς καὶ μηκάδας αἶγας, πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκεν ἑκάστη. αὐτίκα δ' ἥμισυ μὲν 1.340 θρέψας λευκοῖο γάλακτος πλεκτοῖς ἐν ταλάροισιν ἀμησάμενος κατέθηκεν. ἥμισυ δ' αὖτ' ἔστησεν ἐν ἄγγεσιν ὄφρα οἱ εἴη πίνειν. (ηερς. 245.) πάντα δὲ λέγει τὰς ὄϊς καὶ τὰς αἶγας, ἀποδοὺς πρὸς τὸ μῆλα γενικῶς. μῆλα γὰρ αἵ τε αἶγες καὶ αἱ ὄϊς. προϊὼν γοῦν ἐρεῖ. ἤμελγε κλυτὰ μῆλα πάντα κατὰ μοῖραν, καὶ ἑξῆς, τρὶς τὴν αὐτὴν φράσας ἔννοιαν ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ταῖς αὐταῖς λέξεσιν, οὐ μόνον διὰ τὸ σχεδιάζειν ἀλλὰ καὶ διὰ τὸ τῆς φράσεως κατευστοχῆσαι, καὶ μήδ' ἐνταῦθα ἐθέλειν φιλοτιμεῖσθαι εἰκῇ. Ἔμβρυον δὲ τὸ νεογνὸν τέκνον λέγει, ἀπεναντίας τῇ συνηθείᾳ. ἡ μὲν γὰρ ἔμβρυον λέγει τὸ ἐντὸς τῆς γαστρὸς βρύον, ὅ ἐστι ζῶν καὶ θάλλον, βρέφος δὲ τὸ ἐκκύψαν τῆς γαστρός. Ὅμηρος δὲ τὸ νεογιλὸν ἐνταῦθα γαλαθηνὸν ἔμβρυον εἰπὼν βρέφος ἐν Ἰλιάδι λέγει οὐ τὸ εἰς φῶς ἤδη προαχθὲν ἀλλὰ τὸ κατὰ γαστρὸς ἔτι φερόμενον, ἐν τῷ, ἡμίονον βρέφος κυέουσαν. Τὸ δὲ ὑπ' ἔμβρυον ἧκεν ἑκάστη, ἀντὶ τοῦ ὑφῆκε καὶ ὑπέβαλε ταῖς ἀμελχθείσαις τὰ γαλαθηνά. ὅθεν λαβὼν Θεόκριτος ἔφη τὸ, μούσχους βουσὶν ὑφέντες. Τὸ δὲ θρέψας, ἀντὶ τοῦ, πήξας. ὅθεν καὶ τροφαλὶς τυροῦ. καὶ τρόφι κῦμα. καὶ τροφέον ἢ τροφέεν, τὸ καὶ πηγόν. ὃ ἄνεμος δηλαδὴ ἀναστήσας οἱονεὶ ἔπηξε. τριχῶς δέ φασι τὸ θρέψαι. δηλοῖ γὰρ, τὸ τροφὴν δοῦναι, καὶ τὸ αὐξῆσαι. καὶ τρίτον, τὸ πῆξαι ὅθεν καὶ ὁ θρόμβος. (ηερς. 246.) Τὸ δὲ γάλακτος, πλεονασμὸν ἔχει τοῦ ¯κ. οὐ γάρ ἐστιν εὐθεῖαν εἰπεῖν αὐτοῦ τὸ, γάλαξ. ἐπεὶ μηδὲ ἔστι τὸ ¯ξ τελικὸν οὐδετέρον ὀνομάτων, εἰ καὶ ἔμφασιν εὐθείας τοιαύτης ὁ κατ' οὐρανὸν γαλαξίας κύκλος δίδωσι, καὶ τὸ εὑρίσκεσθαι δοτικὴν πληθυντικὴν τοῖς γάλαξιν. ἐφ' οἷς δῆλον ὅτι τοῦ ¯κ ¯τ κειμένων ἐν τῷ γάλακτι ἡ δοτικὴ τῶν παλαιῶν τρέψασα μὲν συνήθως τὸ ¯τ εἰς ¯σ, κεράσασα δὲ τὸ ¯κ ¯σ εἰς ¯ξ πεποίηκε τὸ γάλαξιν. ἐξ οὗ καὶ ὁ γαλαξίας γενέσθαι δοκεῖ. τέως γε μὴν οἱ τὸ γάλαξ λέγοντες διὰ τοῦ ¯κ κλίνοντες αὐτὸ πλεονάζειν δοκοῦσι τὸ ταῦ. ὡς γὰρ ἄναξ ἄνακος ὅθεν καὶ Διόσκουροι ἀνακοὶ καὶ ἀνακῶς ἐπίῤῥημα ὅ ἐστιν ἐπιμελῶς, καὶ πλεονασμῷ τοῦ ¯τ ἄνακτος, οὕτω καὶ γάλαξ μονήρης εὐθεῖα γάλακος γάλακτος. οὗ χρῆσις καὶ ἐν τῷ, γάλακτι δ' ἴκελον ἄνθος. οἱ δὲ τοιοῦτοι φαίνονται λέγειν ὥσπερ τὴν μὲν γύναιξ εὐθεῖαν σεσιγημένην εἶναι, κεῖσθαι δὲ τὰς πλαγίας πτώσεις ἐν χρήσει οὕτω καὶ ἐπὶ τοῦ γάλακτος γίνεσθαι. σιγᾶσθαι μὲν γὰρ τὴν ὀρθὴν, λαλεῖσθαι δὲ τὰς μετ' αὐτήν. γάλαξ μὲν γὰρ οὐκ ἐκφωνεῖται, τὰ δὲ ἐφεξῆς αὐτῇ χρηστά εἰσιν. Ὅτι δὲ καὶ ἰσοσυλλάβως ἐκλίθη τὸ γάλα τοῦ γάλα, ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους κεῖται, ὅπου φησὶν ἐκεῖνος καὶ ὅτι τὴν δόκησιν καὶ ὑπόληψιν δοκὸν ὁ Καλλίμαχος ἔφη, γράψας, τῷ γ' ἐμῷ δοκῷ, ἤγουν τῇ ἐμῇ δοκήσει. καί τις ἕτερος, βάδον τὴν βάδισιν. καὶ ὅτι εὕρηται καὶ ὁ πρόσωπος ἀντὶ τοῦ, πρόσωπον. καὶ οὐδέν τι τούτων φησὶ πεπαιγμένον ἐστιν, ἀλλὰ πάντα ἐσπούδασται. ὅτι δὲ τὸ γάλα εἰς ¯ξ δοκεῖ λήγειν, ἐπιστώσατο Ἡρῳδιανὸς καὶ ἀπὸ συνθέτου τοῦ ἀρτιγάλαξ καὶ ἀπὸ πληθυντικῆς δοτικῆς τοῖς γάλαξι. (ηερς. 247.) Ταλάρους δὲ λέγει, οὓς φθάσας ἔφη ταρσοὺς, ἀλλοίους δηλαδὴ ὄντας παρὰ τὸν τῆς Ἑλένης, περὶ οὗ προδεδήλωται. ὃς καὶ κάλαθος ἴσως ἂν ῥηθείη. οὗ ἐτυμολογία, παρὰ τὸ κάλον ὅ ἐστι ξύλον καὶ τὸ θέειν, ὅ ἐστι γυροῦσθαι. ἀφ' οὗ καὶ ὁ ἐν τοῖς ἑξῆς που, θόλος. κάλα γὰρ θέοντα κυκλοειδῶς ἀποτελεῖ καλάθους ὁποῖοι καὶ οἱ τῆς Δήμητρος, οὓς ὀρχεῖσθαι μῦθος ἔν τινι τελετῇ Δημητρειακῇ. Τὸ δὲ ἀμησάμενος, ἀντὶ τοῦ συνελὼν χερσὶ καὶ συναγαγὼν, ὡς καὶ Ὀδυσσεὺς φύλλα ἐπαμησάμενος ἐκαλύψατο. καὶ Πρίαμος ἐπαμησάμενος κόνιν κατεπάσατο. ἐντεῦθεν καὶ ὁ τῶν σπορίμων ἄμητος συναγωγή τις διὰ χειρῶν καὶ αὐτὸς ὤν. (ηερς. 248.) Κεῖται δ' ἐν τούτοις καὶ τὸ εἴη κατὰ λόγον κάλλους ἐν τέλει στίχων, φησὶ γάρ. ὄφρα οἱ εἴη πίνειν καί οἱ ποτιδόρπιον εἴη. (ηερς. 250.) Ὅτι σπουδὴν φράζει τὸ, αὐτὰρ ἐπειδὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα, καὶ τότε δὴ ἐποίησε τόδε τι. (ηερς. 252.) Ὅτι καθάπερ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Νέστωρ ἠρώτησε τοὺς ξένους, οὕτω κἀνταῦθα ὁ Κύκλωψ τοὺς ἀμφὶ τὸν Ὀδυσσέα. καὶ κεῖνται φασὶν οἱ παλαιοὶ κάλλιον ἐνταῦθα οἱ στίχοι ἐκεῖνοι. διὸ καὶ ἀστερίσκοι ὧδε πρόκεινται αὐτῶν, δι' ὧν τὰ ἔπη ἐκκρίνονται. δηλοῖ γὰρ τὸ σημεῖον ὁ ἀστερίσκος, ὡς ἄριστα ἐν τῷ τόπῳ κεῖται τὸ ἔπος καὶ οἷον ἐκλάμπει. ἔστι δὲ τὸ σημεῖον τοῦ ἀστερίσκου ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη διὰ τοῦ ¯χ στοιχείου, τετραχῆ στιζομένου κατὰ τὴν τῶν γραμμάτων ἐπίζευξιν, οὕτω #13 ἔστι δὲ ἡ τοῦ Κύκλωπος ἐρώτησις αὕτη. ὦ ξεῖνοι τίνες ἐστέ. πόθεν πλεῖτε. καὶ ἑξῆς ὡς ἐν τῇ ¯γ ῥαψῳδία γέγραπται. βαρύφθογγος δὲ ὡς εἰκὸς ἦν ὁ Κύκλωψ, διὸ κἂν (ηερς. 250.) ἱλαρὰ προσεφώνει, ὅμως δεινὸς ἦν ὡς δηλοῖ καὶ Ὀδυσσεὺς, εἰπών. ὣς ἔφατο, ἡμῖν αὖ τε κατεκλάσθη φίλον ἦτορ, δεισάντων φθόγγον τε βαρὺν αὐτόν τε (ηερς. 257.) πέλωρον. ὃ πρωτότυπόν ἐστι τοῦ 1.341 πελώριος ὡς καὶ οἱ αἰτωλὸς καὶ ὁ κάπρος, τοῦ αἰτώλιος καὶ κάπριος. (ηερς. 256.) Ὅρα δὲ τὸ, ἡμῖν δὲ κατεκλάσθη ἦτορ δεισάντων. ὅπερ εἰ καὶ σολοικοφανὲς δοκεῖ, ἀλλ' ὅμως πέφρασται καὶ αὐτὸ καταλλήλως τῷ καιρῷ καὶ τῇ δειλίᾳ, ἐπεὶ μὴ δύνανται τῆς φράσεως κρατεῖν οἱ δεδιότες. καὶ νῦν μὲν ἡ ἐναλλαγὴ ἀπὸ δοτικῆς γέγονεν εἰς γενικὴν, ἀλλαχοῦ δὲ ἀνάπαλιν ἀπὸ γενικῆς εἰς δοτικὴν, ὡς ἐν τῷ, ὣς τῶν ὕπνος ἀπὸ βλεφάροιϊν ὄλωλε νύκτα φυλασσομένοισι. καὶ, Ἀχιλλῆος ὀλοὸν κῆρ γηθεῖ φόνον Ἀχαιῶν δερκομένῳ. ὤφειλε γὰρ δερκομένου εἰπεῖν. καὶ, τῆς δ' αὖ τοῦ λύτο γούνατα καὶ φίλον ἦτορ, σήματ' ἀναγνούσῃ. τὸ τοίνυν δεισάντων οὐκ ἂν εἴη ὡς ἐῤῥέθη σόλοικον, οὐ μόνον διὰ τὸ καὶ μιμητικῶς φρασθῆναι καὶ ἀντιπτωτικῶς, ἀλλὰ καὶ διότι ἀσφαλεῖς οἱ πλαγιασμοὶ πρὸς σύνταξιν καὶ ἀσόλοικοι. (ηερς. 253.) Σημείωσαι δ' ἐν τῇ ἐρωτήσει τοῦ Κύκλωπος, ὅτι οἶδεν ὁ θηριώδης, τίνες τε οἱ κατὰ πρᾶξιν τινὰ ναυτιλλόμενοι καὶ οἱ ὡς λησταὶ πλανώμενοι. καὶ ὅτι ἀληθῶς οὔτε δίκας οἶδεν οὔτε θέμιστας, εἴγε ξένους προσειπὼν καὶ δηλονότι καὶ εἰδὼς τί ποτέ ἐστιν ἡ ξενία, εἶτα τοὺς ξένους δεινὰ διατίθεται. Ἔοικε δ' ἐνταῦθα Ὅμηρος καὶ τῆς τραγικῆς ὑποκρίσεως κατάρξασθαι, παραγγέλλων κατὰ βαρὺν φθόγγον ἀναγινώσκειν τὸ χωρίον τῆς τοῦ Κύκλωπος πεύσεως. ὃ δὴ καὶ ἔστι διαφορὰ τῶν παρὰ τῷ Νέστορι τοιούτων στίχων καὶ τῶν παρὰ τῷ Κύκλωπι, ἡ καθ' ὑπόκρισιν δηλαδὴ ἀνάγνωσις. Νέστωρ μὲν γὰρ εἴποι ἂν αὐτὰ, ὡς ἐκεῖνον φράσαι εἰκός. οὗ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. Κύκλωψ δὲ λέγων βρυχήσεται. ὁ δὲ φθόγγος τῇ φθογγῇ σύστοιχος. ὡς καὶ ὦνος τῇ ὠνῇ. καὶ χόλος τῇ χολῇ. ἐῤῥέθη δὲ καὶ πρὸ ὀλίγων ἡ φθογγὴ ἐν τῷ, αὐτῶν τε φθογγὴν οἰῶν τε καὶ αἰγῶν. (ηερς. 259.) Ὅτι Ὀδυσσεὺς τήν τε ἐκ Τροίας πλάνην αὐτοῦ ἐπιτέμνων κεφαλαιωδῶς καὶ τὸν Κύκλωπα δὲ πειρώμενος οὐ μόνον εἰς οἶκτον κινεῖν ἀλλὰ καὶ ἐκφοβεῖν φησίν. ἡμεῖς τοι Τροίηθεν ἀποπλαγχθέντες Ἀχαιοὶ, παντοίοις ἀνέμοισι ὑπὲρ μέγα λαῖτμα θαλάσσης οἴκαδ' ἱέμενοι, ἄλλην ὁδὸν ἄλλα κέλευθα ἤλθομεν. οὕτω που Ζεὺς ἤθελε μητιάασθαι. λαοὶ δ' Ἀτρείδεω Ἀγαμέμνονος εὐχόμεθ' εἶναι. τοῦ δὴ νῦν τε μέγιστον ὑπουράνιον κλέος ἐστί. τόσσην γὰρ διέπερσε πόλιν καὶ ἀπόλεσε λαοὺς πολλούς. (ηερς. 266.) εἶτα ἱκετικώτερον λέγων φησίν. ἡμεῖς δὲ κιχανόμενοι τὰ σὰ γοῦνα ἱκόμεθα τουτέστιν ἱκετεύομεν, εἴ τι πόροις ξεινήϊον ἢ καὶ ἄλλως δῴης δωτίνην, ἥτε ξείνων θέμις ἐστίν. ὁποίους δηλαδὴ καὶ σὺ ὠνομάσας ἡμᾶς. (ηερς. 268.) καὶ ἐπαύξων τὴν ἱκετείαν, ἐπιφέρει. ἀλλ' αἰδοῖο φέριστε θεούς, ἱκέται δέ τοι εἰμέν. Ζεὺς δ' ἐπιτιμήτωρ ἱκετάων τε ξένων τε, ξείνιος. ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. καὶ οὕτω μὲν Ὀδυσσεὺς οἴκτῳ καὶ φόβῳ κεράσας τοὺς λόγους, οἴκτῳ μὲν, οἷς τὴν πλάνην εἰπὼν ἱκέτευσε, φόβῳ δὲ, δι' ὧν πτοῆσαι τὸν Κύκλωπα διὰ βασιλικῆς μεγαλειότητος ἐπεχείρησε. (ηερς. 273.) Κύκλωψ δὲ εἰς οὐδὲν ἐπιστραφεὶς ὧν ἤκουσεν, αὐτίκ' ἀμείβετο νηλέϊ θυμῷ. νήπιος εἶς, ὦ ξεῖνε, ἢ τηλόθεν εἰλήλουθας, ὅς μοι θεοὺς ἐπισείεις. (ηερς. 275.) εἶτα καὶ διαβάλλων τοὺς ὁμοφύλους, ὡς καὶ προδεδήλωται, καὶ αὐτὸς μάλιστα οὕτω τὸν Ὀδυσσέα ἐκφοβῶν φησίν. οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν οὐδὲ θεῶν μακάρων, ἐπειὴ πολὺ φέρτεροι εἰμέν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδ' ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην οὔτε σεῦ οὔθ' ἑτέρων (ῃερς. 278.) εἰ μὴ θυμός με κελεύει. τοῦτο δὲ πανούργως εἶπεν ὁ μωρὸς, φιλανθρωπίας ἐντεῦθεν ὑποβάλλων ἐλπίδα, ὡς δῆθεν εἰ θυμὸς κελεύσει φεισόμενος. (ῃερς. 279.) διὸ καὶ ζητεῖ εὐθὺς μαθεῖν τὰ κατὰ τὸν Ὀδυσσέα εἰπών. ἀλλά μοι εἶφ' ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα, ἤπου ἐπεσχατιῆς ἢ καὶ σχεδόν. (ῃερς. 281.) καὶ ὁ μὲν οὕτως ἔφη πειράζων, ἐμὲ δ' οὐ λάθε φησὶν εἰδότα πολλά. ἀλλά μιν ἄψοῤῥον προσέφην δολίοις ἐπέεσσι. νέα μέν μοι κατέαξε Ποσειδῶν πρὸς πέτρῃσι βαλὼν, ὑμῆς ἤγουν ὑμετέρας ἐπὶ πείρασι γαίης, ἄκρῃ προσπελάσας. ἄνεμος δ' ἐκ πόντου ἔνεικεν. αὐτὰρ ἐγὼ σὺν τοῖσδε ὑπέκφυγον ὄλεθρον. Καὶ ὅρα κἀνταῦθα τὴν τοῦ Πολυφήμου ἀφροσύνην. πρὸ βραχέων μὲν γὰρ Ὀδυσσεὺς τὴν ἑαυτοῦ συνελὼν πλάνην ἐν στίχοις τέσσαρσιν οὐκ ἐμνήσθη ναυαγίου, ἐνταῦθα δὲ στίχοις αὖθις τέτρασι ναυαγὸς γενέσθαι εἰπὼν (ῃερς. 282.) καὶ ἄψοῤῥον προσφωνήσας τουτέστιν ἔμπαλιν ὧν φθάσας ἐλάλησεν, οὐκ ἐλέγχεται. αἴτιον δὲ ἡ δεξιὰ τοῦ Ὀδυσσέως φράσις. μέσως γὰρ ἐλαλήθη ἐκεῖνα. καὶ εἰ μὴ κίνδυνον φανερὸν ἔφραζεν ἔνθα παντοίοις ἀνέμοις ἔφη πλανηθῆναι ἄλλην ὁδὸν, ὅμως ἐνέφαινέ πως καὶ ἐκεῖ τὸ κακὸν ὡς δυνηθῆναι ἄνδρα λαθεῖν ἀνόητον. (ῃερς. 259.) Ἰστέον δὲ ὅτι ἀνδρὶ κατὰ θάλασσαν πλάνητι εἰπεῖν ἁρμόττει τὸ, ἡμεῖς τοι ἀποπλαγχθέντες παντοίοις ἀνέμοισι καὶ ἑξῆς ἕως τοῦ, οὕτω που θεὸς ἤθελε μητίσασθαι. (ῃερς. 264.) Ἀριστέως δὲ ἔπαινος τὸ, τοῦ δὴ νῦν γε μέγιστον ὑπουρά 1.342 νιον κλέος καὶ ἑξῆς ἕως τοῦ, ἀπώλεσε λαοὺς πολλούς. τὰ δὲ αὐτοῦ ἐφεξῆς, ἱκετικά εἰσιν ἐπὶ ξενίᾳ. (ῃερς. 273.) Τὸ δὲ νήπιος εἶς, ὦ ξεῖνε, ἢ τηλόθεν εἰλήλουθας, πρός τινα ῥηθήσεται ὃς κοινόν τι περὶ προσώπου λαλῶν ἢ ὡς ἄφρων λαλεῖ ἢ ὡς φρονῶν μὲν μὴ πεῖραν δὲ τοῦ προσώπου σχὼν ὡς εἰ καὶ ἀπὸ ξένης ἦλθε. (ῃερς. 275.) Τὸ δὲ, οὐ γὰρ Κύκλωπες ἀλέγουσιν οὐδὲ θεοῦ ἐπειὴ πολὺ φέρτεροί εἰσι, καὶ τὸ, οὐδ' ἂν ἐγὼ θεοῦ ἔχθος ἀλευάμενος πεφιδοίμην εἰ μὴ θυμός με κελεύει, ἀσεβὲς καὶ κακόφρον ἦθος ὑπογράφουσι. (ῃερς. 280.) φρονίμου δὲ λόγος κατὰ νηπίου πειραστοῦ τὸ. ὣς φάτο πειράζων, ἐμέ δ' οὐ λάθεν εἰδότα πολλά. ἐν οἷς, καὶ οἱ ἐπαινετοὶ δόλοι. ὧν ἄρτι προβολὴ τὸ προσεχῶς περὶ ναυαγίας ῥηθὲν δόλιον ἔπος. (ῃερς. 283.) Τὸ δὲ νέα μέν μοι κατέαξε Ποσειδῶν πρὸς πέτρῃς βαλὼν ἄκρῃ προσπελάσας, ἄνεμος δ' ἐκ πόντου ἤνεγκεν, ἐγὼ δὲ σὺν τοῖσδε ὑπέκφυγον ὄλεθρον, ναυαγίου ἐστὶν ἐκφραστικόν. Ἔνθα τὸ, νέα μέν μοι, ἀνάπαιστον ἔχει πόδα ἐν καταρχῇ στίχου, καταλογιζόμενον ἀντὶ σπονδείου. (ῃερς. 260.) Τὸ δὲ ὑπὲρ μέγα λαῖτμα, ἢ ἀντὶ τῆς κατ¯α προθέσεως κεῖται, ἢ ἀντιπτωτικῶς ἐῤῥέθη ἀντὶ τοῦ, ὑπὲρ ἄνω μεγάλου κύματος. (ῃερς. 266.) Ξεινήϊον δὲ δωτίνης διαφέρειν δοκεῖ κατὰ τὸ κειμηλιοῦσθαι καὶ μή. ποῖον δὲ ἂν εἴη κειμήλιον τῷ λαβόντι, εἴτε τὸ ξεινήϊον εἴτε ἡ δωτίνη τουτέστι τὸ δῶρον, ἐρευνάτω τις. οὐκ ἔστι γὰρ βεβαίως εἰπεῖν. ἴσως δὲ τὸ δῶρον ἐκειμηλιοῦτο οἷα τιμιώτερον. ξείνιον μὲν γὰρ δίδοται καὶ τῷ τυχόντι. δῶρον δὲ, τῷ ἀξίῳ λόγου πλείονος. δύναται δέ τις ἐρίζων ἐπαγωνίζασθαι καὶ εἰς τὸ ἀνάπαλιν. (ῃερς. 269.) Τὸ δὲ φέριστε, κολακικῶς οὕτω λεχθὲν, παρήνεγκε τὸν οὐκ ἔμφρονα Κύκλωπα εἰπεῖν τὸ, ἐπεὶ πολὺ φέρτεροι ἐσμέν. ταυτὸν δὲ φέριστον εἰπεῖν καὶ φέρτερον. (ῃερς. 270.) Ἐπιτιμήτωρ δὲ κατὰ τοὺς παλαιοὺς ὁ ἐπόπτης καὶ βοηθός. εἴη δ' ἂν καιριώτερον εἰπεῖν τιμωρός. ἐκδικητής. παρὰ τὴν τιμὴν ἣ δηλοῖ τὴν ποινήν. ἢ τιμητικὸς ἤγουν τιμῶν. καθ' ὃ σημαινόμενον ἐῤῥέθη καὶ τὸ, ἐπετιμήθη ὁ σῖτος, ἤγουν τιμιώτατος γέγονεν. ἔστι δὲ ἶσον τῷ Ὁμηρικῷ ἐπιτιμήτορι καὶ τὸ εἰπεῖν ἐπιτιμητήν. Αἰσχύλος. ὡς ὁὐπιτιμητής γε τῶν ἔργων βαρὺς, ἵνα ᾖ ὡς θηρατὴς θηρήτωρ, οὕτω καὶ ἐπιτιμητὴς ἐπιτιμήτωρ. Ἱκέται δὲ ξένων διαφέρουσι, καθότι ἅπας μὲν ἱκέτης καὶ ξεῖνος. οὐ πᾶς δὲ ξεῖνος καὶ ἱκετεύει. καὶ ἔστι τὸ ξεῖνος καθολικώτερον. (ῃερς. 271.) Τὸ δὲ ὃς ξείνοις ὀπηδεῖ, ἑρμηνευτικόν ἐστι τοῦ ξείνιος. Ἐν δὲ τῷ, οὐ Κύκλωπες Διὸς ἀλέγουσι καὶ ἑξῆς ὅτι ὁ Πολύφημος ἀφ' ἑαυτοῦ καὶ τοὺς λοιποὺς ἐγχωρίους διαζωγραφεῖ, οὐ γὰρ κατ' αὐτὸν ἀσεβεῖς ἐκεῖνοι, προδεδήλωται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἴσως δὲ καὶ ἑαυτὸν εἶναι κρίνει τοὺς ἄλλους Κύκλωπας. διὸ ἐπάγει (ῥαψ. 277.) οὐδ' ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην. μονονουχὶ λέγων ὡς ἐπεί περ ἐγὼ τοιοῦτος, οὐκ ἂν οὐδὲ οἱ λοιποὶ Κύκλωπες ἑτεροῖοι εἶεν. Τὸ δὲ πεφιδοίμην Ἰωνικός ἐστι μέσος δεύτερος ἀόριστος. (ῥαψ. 279.) Τὸ δὲ ὅπῃ ἔσχες νῆα, ἀντὶ τοῦ, ἐπίσχες τοῦ πλέειν. ἐνελιμένισας. τοῦτο δὲ οἱ μεθ' Ὅμηρον κατασχεῖν λέγουσι καὶ προσχεῖν. προσίσχει γάρ τις λιμένι καὶ κατέσχεν εἰς ὅρμον. Ὅρα δὲ τὸ πειράζων κοινῶς ῥηθὲν ἀντὶ τοῦ δοκιμάζων. πρωτότυπον δὲ αὐτοῦ τὸ πειρῶ, ὡς δηλοῖ τὸ, πειρᾷ ἐμεῖο γεραιέ. Τὸ δὲ ὑμῆς γαίης σύστοιχόν ἐστι τοῦ, εὖ ναιομένην πόλιν ἐμήν. καὶ τοῦ, ὑμὰ κτήματα. Ἄκρην δὲ, ἀκρωτήριον λέγει ἔφαλον, ᾧ πέρ ἐστι προσκροῦσαι τὸ παραπλέον. (ῥαψ. 287.) Ὅτι βαρύφρονος ἤθους τὸ, ὣς ἐφάμην. ὁ δέ μ' οὐδὲν ἀμείβετο νηλέϊ θυμῷ. ἀλλ' ὅ γ' ἀναΐξας ἐποίει τάδε, (ῥαψ. 288.) Ὅτι διηγούμενος Ὀδυσσεὺς ὅπως ἐπέβαλε βίαν τοῖς αὐτοῦ φίλοις ὁ Πολύφημος φησίν. ἀλλ' ὅ γ' ἀναΐξας ἑτάροις ἐπὶ χεῖρ' ἴαλλε, σὺν δὲ δύω μάρψας ὥστε σκύλακας ποτὶ γαίῃ (ῥαψ. 290.) κόπτεν. ἤγουν ἔτυπτεν. ἐκ δ' ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν. τοὺς δὲ ἁδρομερέστερον διαμελεϊστὶ ταμὼν ὡπλίσσατο δόρπον. καὶ νῦν μὲν οὕτως ἥπλωσε τὸ διήγημα. μετ' ὀλίγα δὲ συντεμὼν οὕτω φράζει. σὺν δ' ὅγε δ' αὖ τε δύω μάρψας ὡπλίσσατο δεῖπνον. καὶ πάλιν μετ' οὐ πολλὰ τὸν αὐτὸν στίχον. (ῥαψ. 292.) εἶτα ἐπάγει καὶ ὅτι ἤσθιε ὥστε λέων ὀρεσίτροφος οὐδ' ἀπέλιπεν ἔγκατά τε καὶ ὀστέα μυελόεντα, παρατετηρημένως καὶ τοῦτο ἐπὶ λεόντων εἰπὼν, οἳ τὸ μέρος οὗ ἂν δράξωνται παραμόνως ἐσθίουσι, καὶ οὐ κατὰ τοὺς κύνας, οἳ ἀπ' ἄλλων ἐπ' ἄλλα μεταπηδῶσιν. ὡς οἷα παίζοντες καὶ ἀλύοντες ἢ ἀλύσσοντες ὡς ἡ Ἰλιὰς λέγει. ὅθεν εἴρηται καὶ τὸ, κυνῶν μέλπηθρα, ὡς εἰ μὴ τοῦτ' ἦν καὶ κατὰ λέοντα ἐξέτρωγεν ὁ Κύκλωψ καὶ αὐτὰ τὰ ὀστᾶ, θῖνες ἂν ὀστέων πρὸ τοῦ σπηλαίου ἦσαν σεσωρευμένοι, οὐδὲν ἥττονες τῶν ἐπὶ τῶν Σειρήνων, καὶ ἦν ἂν Ὀδυσσεὺς πάντῃ νήπιος κολωνὸν ὀστέων ἰδὼν καὶ τολμήσας τῷ σπηλαίῳ ἐγγίσαι. πάνυ γοῦν πιθανῶς καὶ ταῦτα πέπλασται τῷ ποιητῇ. ἐν οἷς σημείωσαι καὶ 1.343 ὅτι ἔδει μὲν τὸν Ὅμηρον ἐνταῦθα ἐκφράσαι ὅπως ἤσθιεν ὁ Κύκλωψ. οἷον. ἡ μὲν φάρυγξ αὐτῷ ἐρόχθει, οἱ δὲ ὀδόντες τραχὺ ἔτριζον, αἱ δὲ γνάθοι ἐφυσῶντο εἰς ὄγκον, οὔατα δὲ ἐκινοῦντο, ὁποῖά τις ἐπὶ Ἡρακλέους ἔγραφεν. ὁ δὲ κωμικωτέρας διασκευῆς ταῦτα κρίνων νῦν μὲν ἔφη τὰ εἰρημένα. (ῥαψ. 310.) ἐφεξῆς δὲ στίχον ἕνα λαβὼν ἐκ τῶν προγεγραμμένων τὸ, αὐτὰρ ἐπειδὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα, προσθεὶς δὲ καὶ ἕτερον τὸν προσεχῶς ῥηθέντα τὸ, σὺν δύω μάρψας ὡπλίσσατο δεῖπνον, καὶ τοὺς τοιούτους δύο στίχους δευτερώσας ἐν τοῖς καθεξῆς, οὐκ ἐθέλει περιεργάζεσθαι εἰς πλέον καὶ τὸν τρόπον τῆς θηριώδους βρώσεως τοῦ Κύκλωπος. παραθετέον δὲ τῇ λεοντώδει βρώσει καὶ ἱστορίαν Κελτικὴν ἀπευθυνομένην πρὸς Κυκλώπειον σκάριφον. λέγεται γὰρ ὅτι Κελτοὶ κρέα πολλὰ ἐν ὕδασι σκευάσαντες καὶ ὀπτὰ ἐπ' ἀνθράκων ἢ ὀβελίσκων προσφέρονται αὐτὰ καθαρείως μὲν, λεοντωδῶς δὲ, ταῖς χερσὶν ἀμφοτέραις αἴροντες ὅλα μέλη καὶ ἀποδάκνοντες, ἐὰν δέ τι ᾖ δυσαπόσπαστον, μαχαιρίῳ μικρῷ παρατέμνοντες ὃ τοῖς κολεοῖς ἐν ἰδίᾳ θήκῃ παράκειται. τοῦτο δὲ δῆλον ὡς οἱ μὲν παραξιφίδα καλοῦσιν, οἱ δὲ ἐγχειρίδιον. ἔτι μνηστέον καὶ ὡς οὐ μόνον Κύκλωψ καὶ Λαιστρυγόνες ἀνθρωποφαγεῖν ἐμελέτων, ἀλλὰ καὶ ἕτεροι πολλοί. ἐν γοῦν τοῖς ὕστερον κατ' ἄνδρα τοιοῦτοι διαβέβληνται καί τις Χαρίλας κατὰ Ἀρχίλοχον καὶ κωμῳδοὶ Κλεώνυμος καὶ Πείσανδρος. ἀλλ' αὐτοὶ μὲν ἴσως ἀστεϊσμοῦ χάριν ἀνθρωποφαγεῖν ἐσκώφθησαν ὡς πολυφάγοι. καθά τις καὶ ἰχθύας, οἳ πολλοῦ ἐτιμῶντο, ἀνθρωποφάγους εἶπε πρός τινα ὁμοιότητα τῶν τοῦ Θρᾳκὸς Διομήδους ἀνθρωποφάγων ἵππων, ὡς τὰς περιουσίας τῶν τρυφώντων κατασπῶντας οἷα ἐκείνους αὐτούς. Καμβύσις δὲ, βασιλεὺς Λυδῶν, φάγος καὶ πολυπότης ὢν νυκτός ποτε τὴν ἑαυτοῦ γυναῖκα κατακρεουργήσας ἔφαγεν. ἔπειτα πρωῒ εὑρὼν τὴν χεῖρα τῆς γυναικὸς ἐνοῦσαν ἐν τῷ στόματι ἑαυτὸν ἀπέσφαξε, περιβοήτου τῆς πράξεως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γινομένης. συντάττοιτο δ' ἂν τοιούτοις καὶ ὁ βορώτατος Κρόνος εἴτε μυθικὸς εἴτε ἄνθρωπος. (ῃερς. 288.) Τὸ δὲ ἑτάροις ἐπὶ χεῖρας ἴαλλεν, ἐγράφη μὲν καθ' ὁμοιότητα τοῦ, ἐπ' ὀνείατα προκείμενα χεῖρας ἴαλλον. ἑτεροίαν δὲ ἔχει σύνταξιν κατὰ δοτικήν. δέδωκε δὲ ἀφορμὴν τοῖς ὕστερον λέγειν ἐπὶ βίας τὸ, χεῖρας ἐπέβαλε. (ῃερς. 289.) Τὸ δὲ ὥστε σκύλακας, τὸ ῥωμαλέον δηλοῖ τοῦ Πολυφήμου, ὃς οὕτω κούφως ἐκ ποδῶν αἴρων τοὺς ἡρωϊκοὺς ἄνδρας τῇ γῇ προσήρασσεν εἰς ὄλεθρον. (ῃερς. 294.) Ὅτι ἀμηχανούντων ἴδιον τὸ, ἡμεῖς κλαίοντες ἀνεσχέθομεν θεῷ χεῖρας, σχέτλια ἔργ' ὁρόωντες. ἀμηχανίη δ' ἔχε θυμόν. (ῃερς. 296.) Ὅτι τὸ, αὐτὰρ ἐπεὶ Κύκλωψ μεγάλην ἐμπλήσατο νηδὺν ἀνδρόμεα κρέα ἔδων καὶ ἐπ' ἄκρητον γάλα πίνων, κεῖτ' ἔντοσθ' ἄντροιο τανυσάμενος διὰ μήλων, ἔστι παρῳδηθῆναι (ῃερς. 298.) οὕτω πως εἰς μεθύοντα. αὐτὰρ ἐπεὶ μεγάλην ἐμπλήσατο νηδὺν ἔδων καὶ ἐπ' ἄκρητον μέθυ πίνων κεῖτ' ἔντοσθ' οἴκοιο τανυσάμενος. δύναται δὲ τὸ, ἀνδρόμεα κρέα ἔδων, καὶ εἰς διαβολέα ἢ συκοφάντην λεχθῆναι, οἳ καὶ αὐτοὶ ἀνθρωποφαγεῖν ἂν λέγοιντο. (ῃερς. 269.) Τοῦ δὲ μεγάλην ἐμπλήσατο νηδὺν, ἔχει φράσαι καιρώτερον. εἴρηται δὲ (ῃερς. 297.) ὡς ἐπὶ πολυχανδοῦς ἀγγείου τινὸς τὸ, μεγάλην νηδύν. Ἄκρητον δὲ γάλα λέγει, ἐν ᾧ ἐστιν ἔτι τὸ τυρῶδες καὶ τὸ ἐλαιῶδες καὶ τὸ ὀρῶδες. Τὸ δὲ τανυσάμενος διὰ μήλων, ταυτόν ἐστι κατὰ τὸν Ἀθήναιον τῷ διὰ πάντων τῶν μήλων. ἵνα δηλοῖ ἐμφαντικοῖς εἴτουν συλλογιστικῶς, τὸ τοῦ Κύκλωπος μέγεθος. οὕτω δέ φησι καὶ τὸ διὰ νυκτὸς ταυτόν ἐστι τῷ, δι' ὅλης νυκτὸς. πάντως δὲ τὸ τανυσάμενος διὰ μήλων, ἄλλον τρόπον ταναΰποδα εἶναι τὸν Κύκλωπα βούλεται ἤπερ τὸ, μῆλα ταναΰποδα. ἔνθα Αἰολικῶς τετραμμένου τοῦ ¯ο εἰς ¯υ, σκοπητέον εἰ καὶ ἐρυσίβη τροπὴν ὁμοίαν ἔχει ὡς ἐξ ἀέρος βαίνουσα. πάχνη γάρ τις ἐστί φασι γινομένη ἐν δυσαερίᾳ, φθείρουσα καρπούς. ὡς εἶναι κατὰ τὸ ἐντελὲς ἀεροσίβην αὐτήν. (ῃερς. 299.) Ὅτι τανυσαμένου τοῦ Κύκλωπος μετὰ πλησμονὴν ἐβούλευσεν ὡς εἰκὸς Ὀδυσσεὺς ἀνελεῖν αὐτόν. καὶ ἦν μὲν εὐχερέστερον τοῦτο τοῦ ἐκτυφλῶσαι. ὅτι δὲ οὐκ ἦν ἐλπὶς ἔτι σωθῆναι διὰ τὸν πωμάζοντα ἠλίβατον λίθον τοῦ θυρεοῦ, δευτέρας γίνεται σοφωτέρας φροντίδος τῆς κατὰ τὴν τύφλωσιν καὶ οὕτω περισώζεται. φησὶ γοῦν. τὸν μὲν ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμὸν, ἆσσον ἰὼν ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ, οὐτάμεναι πρὸς στῆθος, ὅθι φρένες ἧπαρ ἔχουσι, χεῖρ' ἐπιμασσάμενος. ἕτερος δέ με θυμὸς ἔρυκεν. αὐτοῦ γὰρ ἄν φησι καὶ ἄμμες ἀπωλόμεθ' αἰπὺν ὄλεθρον. οὐ γάρ κεν δυνάμεθα θυράων ὑψηλάων χερσὶν ἀπώσασθαι λίθον ὄβριμον ὃν προσέθηκε. (ῃερς. 299.) Καὶ ὅρα ὡς ἐπαινεῖ καὶ νῦν ἀφθονήτως παρὰ τοῖς ξένοις ἑαυτὸν Ὀδυσσεὺς ἐπὶ οἰκεία συστάσει μεγαλήτορα θυμὸν εἰπὼν ἔχειν. Τὸ δὲ βούλευσα, ἐνεργητικῶς καὶ νῦν ἐῤῥέθη, ὅπερ οὐκ 1.344 ἂν γράψῃ ἀττικίζων ἀνήρ. Περὶ δὲ φρενῶν ἱκανῶς ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐῤῥέθη. (ῃερς. 302.) Τὸ δὲ χειρὶ ἐπιμασσάμενος, ἀντὶ τοῦ αὐτόχειρ' ἁψάμενος. ἢ ἐγκρατῶς. καὶ σημείωσαι ὡς ἐντεῦθεν καὶ τὸ χερμάδιον ὃ δηλαδὴ ἔστι τῇ χειρὶ μάσασθαι. ἐκ δὲ τοῦ τοιαύτου μάσασθαι καὶ τὸ περισπώμενον μασᾶσθαι. ὅπερ οὐδέν ἐστιν ἀλλ' ἢ στόματι μάσασθαι. ἀφ' οὗ καὶ ὁ μαστὸς τοῖς βρέφεσι μαστός. Τὸ δὲ ἕτερος δέ με θυμὸς ἔρυκεν, ἐναντίον ἐστὶ πρὸς τὸ, ἕτερος δέ με θυμὸς ἀνῆκεν. ἐκεῖνο γὰρ προτροπὴν εἰς ἔργον δηλοῖ. (ῃερς. 304.) Αἱ δὲ ὑψηλαὶ θύραι, οἰκεῖαι πρὸς τὸν ῥηθέντα ἠλίβατον θυρέον. (ῃερς. 306.) Ὅτι νύκτερον λύπην δηλοῖ τὸ, ὧς τότε μὲν στενάχοντες ἐμείναμεν ἠῶ δῖαν. ἐν τούτοις δὲ (ῃερς. 308.) καὶ κλυτὰ μῆλα τὰ τοῦ Κύκλωπος λέγει, διὰ τὸ πλῆθος. ἢ διὰ τὸ καλλίτριχον. ἢ διὰ τὴν πιότητα. ἐπάγει οὖν ἐν τρισὶ τόποις δειπνήσας δ' ἄντρου ἐξήλασε πίονα μῆλα. καὶ, ἑσπέριος δ' ἦλθε καλλίτριχα μῆλα νομεύων. (ῃερς. 313.) Ὅτι καὶ ἄλλως τὸ ῥωμαλέον τοῦ Κύκλωπος ἐκφαίνων φησὶν ὡς ἐξῆλθεν εἰς νομὴν, ῥηϊδίως ἀφελὼν θυρεὸν μέγαν ὃν λίθον ὄβριμον προσεχῶς ἔφη. αὐτὰρ ἔπειτα ἂψ ἐπέθηκεν, ὡς εἴ τε φαρέτρῃ πῶμ' ἐπιθείη. (ῃερς. 314.) Καὶ ὅρα τὸ σύντομον τῆς παραβολῆς καὶ τὸ ἐντεῦθεν καίριον. οὐ γὰρ πρᾶγμα παρέβαλε πράγματι, τὴν φαρέτραν δηλαδὴ τῷ μεγάλῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σπηλαίῳ, ἦν γὰρ ἂν ψυχρὸς ὁ λόγος διὰ τὸ ἐν σμικροπρεπίᾳ κακόζηλον, ἀλλ' ἐνέργειαν ἐνεργείᾳ, τὸ ῥᾷον δηλαδὴ τοῦ ἐπιπωμασμοῦ τῆς φαρέτρας τῷ ἀπόνῳ τοῦ σπηλαίου συγκλεισμῷ. καὶ οὐκ ἦν εἰς πλέον διασκευάσαι τὴν παραβολήν. ὡς οὐδὲ τὸ, ὥστε σκύλακας ποτὶ γαίῃ κόπτε. (ηερς. 315.) Τὸ δὲ ἐπέθηκε, πρὸ βραχέων καὶ προσέθηκεν εἶπεν. ἐνταῦθα δὲ ὥσπερ τὸν φθόγγον, οὕτω καὶ τὸν συριγμὸν ἀγριαίνων τοῦ Κύκλωπος ῥοῖζον αὐτόν φησι κατὰ γένος θηλυκὸν Ἰωνικῶς. φησὶ γάρ. πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα. ὥσπερ δὲ ἡ ῥοῖζος, οὕτω παρά τισι καὶ ἡ λιμός. Ἰστέον δὲ ὅτι κατὰ τὸν ποιητὴν ῥοιζεῖν λέγεται ποιμὴν τουτέστι συρίττειν ἐν τῷ ἐξάγειν ποίμνιον ἢ ὅλως νέμειν. οἱ δὲ παλαιοὶ καὶ ἄλλας ἔχουσι λέξεις ἰσοδυνάμους ποιμενικάς. Παυσανίας δὲ καὶ ψιττάζειν λέγει τὸ ποιμενικῶς φθέγγεσθαι. (ηερς. 316.) Ὅτι ἀμύνης λόγος τὸ, αὐτὰρ ἐγὼ λιπόμην κακὰ βυσσοδομεύων εἴπως τισαίμην, δοίη δέ μοι εὖχος Ἀθήνη. τουτέστι φρόνησις. διὸ ἐπάγει. ἥ δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή. τὸ γὰρ κατὰ ῥωμαλεότητα περιγενέσθαι τοῦ Κύκλωπος ἤδη ἀποδεδοκίμασται. Περὶ δὲ τοῦ βυσσοδομεύειν καὶ τοῦ εἴπως ἀντὶ τοῦ ὅπως προδεδήλωται. (ηερς. 319.) Ὅτι Κύκλωπος ἔκειτο μέγα ῥόπαλον κατὰ Ὀδυσσέως λόγον παρὰ σηκῷ χλωρὸν ἐλαΐνεον. τὸ μὲν, ἔκταμεν ὄφρα φοροίη αὐανθέν. ὅ φησιν ἡμεῖς εἰσορῶντες εἰκάζομεν ὅσσον θ' ἱστὸν νηὸς ἐεικοσόροιο μελαίνης, φορτίδος, εὐρείης. ἥτ' ἐπεράᾳ μέγα λαῖτμα. τόσσον ἔην μῆκος, τόσσον πάχος εἰσοράασθαι. τοῦ μὲν ὅσσον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα παραστὰς καὶ παρέθηκ' ἑταίροισιν, ἀποξῦναι δ' ἐκέλευσα. οἵδ' ὁμαλὸν ποίησαν. ἐγὼ δ' ἐθόωσα παραστὰς ἄκρον. ἄφαρ δὲ λαβὼν ἐπυράκτεον ἐν πυρὶ κλέῳ. καὶ τὸ μὲν εὖ κατέθηκα κατακρύψας ὑπὸ κόπρῳ. ἣ κατὰ σπείους κέχυτο μεγάλ' ἤλιθα πολλή. αὐτὰρ τοὺς ἄλλους κλήρῳ πεπαλάχθαι ἄνωγον ἢ πεπάλασθαι κατὰ Ἀρίσταρχον, ὅς τις τολμήσειεν ἐμοὶ σὺν μοχλὸν ἀείρας τρίψαι ἐπ' ὀφθαλμῷ ἢ ἐν ὀφθαλμῷ, ὅτε τὸν γλυκὺς ὕπνος ἱκάνει. οἱ δ' ἔλαχον οὓς ἂν καὶ ἤθελον αὐτὸς ἑλέσθαι. αὐτὰρ ἐγὼ πέμπτος μετὰ τοῖσιν ἐλέχθην. δίχα δηλαδὴ τοῦ λαχεῖν ἐπιδοὺς ἐμαυτὸν τῷ κινδύνῳ. τῶν γὰρ ἄλλων οὐκ ἐχρῆν ἐπιλογὴν γενέσθαι ἄλλως, (ηερς. 331.) ἢ διὰ τοῦ κληρώσασθαι. ἵνα μήτε οἱ λειφθέντες φθονήσωσι, μήτε οἱ προκριθέντες μέμψωνται, ὡς ἐπιλεγέντες εἰς κίνδυνον. καὶ εἰσὶ ταῦτα ἡ πρὸ ὀλίγων ἀρίστη τῷ Ὀδυσσεῖ φανεῖσα βουλή. ἀνελεῖν γὰρ ἔσω τοῦ σπηλαίου τὸν Κύκλωπα οὐκ ἦν ἀρίστης ὡς ἐῤῥέθη βουλῆς. (ηερς. 334.) Ὅρα δὲ ὡς ἐν ἀγαθῷ ἔργῳ εὐτυχῶς ὁ κλῆρος ἔπεσε τῷ Ὀδυσσεῖ, ὃ μυριαχοῦ ἱστορεῖται γίνεσθαι. καὶ οὐ μόνον κατὰ τὴν ἐπιλογὴν εὐτυχεῖ ὁ παρὼν κλῆρος, ἀλλὰ καὶ κατὰ τὴν ὕστερον σωτηρίαν. δύο γὰρ δορπήσας ὁ Κύκλωψ οὐδενὸς τῶν λαχόντων ἥψατο. (ηερς. 3.) Χλωρὸν δὲ ὑποτίθεται τὸ καὶ προσημειωθὲν ῥόπαλον, ἵνα μὴ ξηρανθὲν ἄλλως ἔχῃ τι ὑπόσαθρον καὶ ἀσυντελὲς εἰς τὴν τοῦ πελωρίου τύφλωσιν. ἀπὸ τῆς χλόης δὲ τὸ χλωρὸν ὡς ἀπὸ τῆς πράσου τὸ πράσινον. Τὸ δὲ ἐλαΐνεον, πλεονασμὸν ἔχει τοῦ ¯ε τῆς παραληγούσης. Τὸ γὰρ ἐντελὲς, ἐλάϊνον. ὡς ἐν τῇ ¯ε ῥαψῳδίᾳ προγέγραπται. ἴσως δὲ καὶ Ἰωνικῶς ἐκ τοῦ ἐλαΐνειον γίνεται ἀπελεύσει τοῦ ἰῶτα. ἵνα ἐκ τοῦ ἐλάα, ὃ τὴν ἐλαίαν δηλοῖ, γένηται εἷς μὲν τύπος μετουσιαστικὸς τὸ ἐλάϊνον, δεύτερος δὲ τὸ ἐλαΐνειον. Τὸ δὲ ἔκταμεν, οἱ ἀκριβέστεροι ἔκσπασε γράφουσιν. ἐχρῆν γάρ φασι τὸν τηλικοῦτον Κύκλωπα καὶ αὐτόπρεμνον ἐκσπάσαι τὸ φυτὸν. (ηερς. 322.) Εἰς δὲ τὸ, 1.345 ἐεικόσορος, γράφουσιν οἱ παλαιοὶ ὅτι εἰκόσορος μὲν διὰ τοῦ ¯ο. πεντηκόντερος δὲ διὰ τοῦ ¯ε. ἑρμηνεία δὲ τοῦ ἐεικόσορος τὸ, ἐείκοσιν ἑταίρους ἔχειν ἐρέσσοντας δηλαδή. (ηερς. 323.) Τὸ δὲ ἐκπεράα μέγα λαῖτμα, πρὸς διαστολὴν εἴρηται τῶν σχεδιῶν, αἳ οὐκ ἂν τοιοῦτον κῦμα διαπεράσαιεν. (ηερς. 324.) Ὅρα δὲ τὸ πάχος κοινότερον λεχθέν. οὕτω δὲ καὶ μᾶκος, προπερισπωμένως μέντοι, τὸ μῆκος φασὶν οἱ Δωριεῖς. (ηερς. 325.) Ὄργυιαν δὲ προπαροξυτόνως ἡ παλαιὰ λέγει Ἀτθὶς, ὥσπερ καὶ ἄγυιαν. οἱδὲ ὕστερον τὸν τόνον κατάγουσι. (ηερς. 327.) Τὸ δὲ ὁμαλὸν ἐποίησαν, ἀντὶ τοῦ ἀπώξυναν, κατὰ τὸ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποξῦναι δ' ἐκέλευσα. καὶ ἔστι μὲν καὶ τὸ ἐθόωσα ταυτὸν τῷ ἀπώξυνα. διαφέρει δὲ καθὸ οἱ μὲν ἑταῖροι τὸ λοιπὸν τοῦ ῥοπάλου παρώξυναν. Ὀδυσσεὺς δὲ ἐπὶ πλέον αὐτὸ τὸ ἄκρον, (ηερς. 328.) ὃ καὶ ἐπυράκτου ἵνα τὸ ξύλον ἐξικμασθείσης τῆς ὑγρότητος πυκνωθῇ καὶ οἷά τις σίδηρος βαφῇ καθὰ καὶ οἱ ναυμαχικοὶ καὶ ἄλλως δὲ πολεμικοὶ σκῶλοι. Ὁ δὲ τρόπος φασὶ τοῦ ἐθόωσα μεταληπτικὸς κατὰ συνωνυμίαν καὶ ὁμωνυμίαν. (ηερς. 327.) θοὸν μὲν γὰρ καὶ ὀξὺ συνώνυμά εἰσι. θοὸν δὲ τὸ μὴ ἁπλῶς ταχὺ ἀλλὰ τὸ τμητικὸν ἐν τῷ ἄκρῳ ὁμωνύμως ἔχει. (ηερς. 328.) Τὸ δὲ πυράκτεον ἐν πυρὶ, ἐτυμολογικῶς πέφρασται. (ηερς. 329.) Τὸ δὲ κατακρύψας ὑπὸ κόπρῳ, ὑπὸ κόπρου τινὲς γράφουσιν Ἀττικώτερον, ὁποῖον καὶ τὸ φέρειν τι ὑπὸ κόλπου ἢ ὑπὸ μάλης. (ηερς. 330.) Ἐν δὲ τῷ, μεγάλ' ἤλιθα πολλὴ, ἢ ἐκ παραλλήλου ταυτὸν τῷ μεγάλα καὶ ἤλιθα, ἢ κατὰ συναλιφὴν ἔστι νοῆσαι, κατὰ σπείους κέχυτο μεγάλου. εὐρὺ γὰρ καὶ μέγα τὸ σπήλαιον καὶ πολλὴν κεχυμένην ἔχον κόπρον. (ηερς. 331.) Τὸ δὲ κλήρῳ πεπαλάχθαι, ἀντὶ τοῦ, κλήρῳ λαχεῖν ἢ κληρώσασθαι. παλάσσειν γὰρ οὐ μόνον τὸ μολύνειν, ἀλλὰ καὶ τὸ κληροῦσθαι, παρὰ τὸν πάλον ὃ τὸν κλῆρον δηλοῖ. ἐξ οὗ καὶ ὁ ἀντίπαλος. (ηερς. 333.) Τοῦ δὲ τρίψαι τὸν μοχλὸν ἐν ὀφθαλμῷ οὐκ ἔστι καιριωτέραν λέξιν εὑρεῖν, ὥσπερ οὐδὲ τοῦ κόπτειν ἐν τῷ, ὥστε σκύλακας ποτὶ γαίῃ κόπτεν, ἤγουν ἔπληττεν, ἔκρουε, προσήρασσεν. ἐκ τοῦ τρῶ δὲ τὸ τρίβω παράγεται. τὸ γὰρ ἐνταῦθα τρίμμα τοῦ ὀφθαλμοῦ τρυπάνου ἔοικε τρήματι. ἐκ δὲ τοῦ τοιούτου τρῶ καὶ τὸ τρίβω γίνεται καθ' ἑτέραν παραγωγὴν καθάπερ καὶ ἐκ τοῦ ψῶ τὸ ψίζω. ἐξ οὗπερ οὐ μόνον ἡ ψὶξ, ἀλλὰ καὶ τὸ ψίσαι, ἤτοι ψωμίσαι, σιτίσαι ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. Γλυκὺς δὲ ὕπνος καὶ ἄλλως μὲν ὁ ἐκ τοῦ μεγάλην ἐμπλήσασθαι νηδύν. μάλιστα δὲ ὁ ἐκ τοῦ ποθησομένου ἡδέος οἴνου. αὐτοῦ γὰρ μὴ ποθέντος οὔτε γλυκὺς οὕτως ἦν ἂν οὔτε βαθύς. καὶ ἄλλως δὲ γλυκὺς ὕπνος ἢ κατά τι κοινὸν παντὸς ὕπνου ἐπίθετον, ἢ τῷ Ὀδυσσεῖ τοιοῦτος, τῷ δι' ὕπνου ἐκτυφλώσαντι τὸν ἐχθρόν. (ηερς. 319.) Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ περὶ τοῦ ῥοπάλου διηγήματι χρᾶται ὁ ποιητὴς ἐν κατάρχῃ τοῦ λόγου συνήθως τὸ γ¯αρ συνδέσμῳ εἰπών. Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον. πολλαχοῦ δὲ τοῦτο γίνεται. καὶ ἡ αἰτία δεδήλωται ἀλλαχοῦ. (ηερς. 338.) Ὅτι ὥσπερ ὁ ἐπὶ φίλοις κλῆρος εὐτυχῶς ἐξέβη τῷ Ὀδυσσεῖ, οὕτω καὶ ἡ τῶν μήλων τοῦ Πολυφήμου συνέλασις. πάντα γὰρ εἰς εὐρὺ σπέος ἤλασεν. οὐδέ τι λεῖπε βαθείης ἔκτοσθεν αὐλῆς, ὃ χθὲς οὐκ ἐποίησε. πάντα γὰρ εἰσελάσας τὰ ἄρσενα λεῖπε θύραζε. διὸ καὶ θαυμάσας τὸ τῆς τύχης Ὀδυσσεὺς φησὶν ὡς ἐποίησεν ὁ Κύκλωψ τοῦτο, (ηερς. 339.) ἤ τι ὀϊσσάμενος, ἢ καὶ θεὸς ὣς ἐκέλευσεν. εὐτύχισε γοῦν θεσπέσιον οἷον ἐντεῦθεν ὁ Ὀδυσσεὺς, συνέργων τοὺς ἄρσενας λύγοις καὶ οὕτως σὺν τοῖς ἑταίροις περισωθεὶς κατά τι θεῖον. (ηερς. 346.) Ὅτι κισσύβιον μετὰ χερσὶν ἔχων μέλανος οἴνοιο Ὀδυσσεὺς προσεῖπε τὸν Κύκλωπα. Κύκλωψ, τῆ, τουτέστι λάβε, πίε οἶνον ἐπεὶ φάγες ἀνδρόμεα κρέα, ὄφρ' εἰδῇς οἷόν τι ποτὸν τόδε νηῦς ἐκεκεύθει ἡμετέρη. σοὶ δ' αὖ λοιβὴν φέρον εἴ μ' ἐλεήσας οἴκαδε πέμψειας. σὺ δὲ μαίνεαι οὐκέτ' ἀνεκτῶς. σχέτλιε. πῶς ἄν τίς σε καὶ ὕστερον ἄλλος ἵκοιτο ἀνθρώπων πολέων, ἐπεὶ οὐ κατὰ μοῖραν ἔρεξας. φαγὼν δηλαδὴ τοὺς ξένους. Καὶ ὅρα καὶ (ηερς. 347.) τὸν λόγον τοῦτον τῷ Ὀδυσσεῖ δικαιολογίᾳ τε κεκραμένον καὶ οἴκτῳ, ἔτι δὲ καὶ κολακευτικὸν, εἴγε οὐχ' ὡς ξείνῳ
δῶρον ἀλλ' ὡς θεῷ λοιβὴν φησὶ τὸν οἶνον προσφέρειν. λαλεῖ δὲ ἄρα ὁ ῥήτωρ πρὸς λέοντα, φαγεῖν μόνον εἰδότα, ἤδη δὲ καὶ πιεῖν, μᾶλλον δ' ἐκπιεῖν κατὰ τὸ, ἔδεκτο καὶ ἔκπιεν ἥσατο δ' αἰνῶς. (ηερς. 361.) καὶ τρίς δ' ἔκπιε. τουτέστι τὸ πᾶν ἐξέπιε, καθ' ὁμοιότητά τινα τοῦ φαγεῖν ἁπλῶς καὶ τοῦ καταφαγεῖν ὅ ἐστι πάντα φαγεῖν. Ἔστι δὲ κισσύβιον, ποιμενικὸν ποτήριον ἐκ κισσίνου φασὶ ξύλου. ὁποῖον καὶ τῷ συβώτῃ ἐν τοῖς ἑξῆς Εὐμαίῳ ἐστίν, ὡς δηλοῖ φασὶ καὶ Τιμόθεος ἐν τῷ κατ' αὐτὸν Κύκλωπι, παραφράσας οὕτως. ἓν μὲν δέπας κίσσινον μελαίνας σταγόνος ἀμβρότας ἀφρῷ βρυάζον, εἴκοσι δ' ὕδατος μέτρ' ἔχευεν. Ἔνθα ὅρα τὸ βρυάζον ἐκ τοῦ βρύω, καθ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁμοιότητα τοῦ πετάζω 1.346 πετάσω. ἀφ' οὗ καὶ φόρημά τι πέτασος. ὡς δῆλον ἐκ τοῦ, παιδία χιτῶνας ἔχοντα ἡνιοχικοὺς καὶ πετάσους. ὡς δὲ ξυλίνοις ἔχαιρον σκεύεσιν οἱ παλαιοὶ ὁποῖα καὶ οἱ πίνακες καὶ τὰ κισσύβια, οὐκ ἄδηλόν ἐστι. δῆλον δὲ καὶ ὡς μέχρι καὶ νῦν τίμιά εἰσι πολλαχοῦ. εἰς δὲ τὸ, τὰ κεραμεᾶ μὴ ἐπιχωριάζειν τοῖς πάλαι, χρήσιμον Κτησίου τὸ παρὰ Πέρσαις ὃν ἂν βασιλεὺς ἀτιμάσῃ, κεραμεοῖς ποτηρίοις χρᾶται. ὡς δὲ τοῖς ὕστερον ἑτέρως διατεθειμένοις ἥδιστα νενόμισται τὰ τοιαῦτα, δηλοῖ Ἀθήναιος ἐν λόγῳ αὐτοῦ ἑνδεκάτῳ, λέγων καὶ ὅτι μετὰ ἀρωμάτων φυραθείσης τῆς γῆς ὠπτᾶτο τινὰ ἐξ αὐτῶν. καὶ ὅτι Ῥοδιακαί τινες ἰτρίδες χρησταὶ ἦσαν εἰς εὐφροσύνην διὰ τὰ συνεψηθέντα εὐώδη. δοκεῖ δὲ Αἰολικῶς τὸ κισσύβιον τρέψαι τὸ ¯ο εἰς ¯υ, εἴπερ ἀπὸ τοῦ κισσοῦ γίνεται. γίνεται δὲ πάντως ὡς τῷ ἡρημένῳ Τιμοθέῳ καὶ ἄλλοι συγγράφουσιν. καθὰ δηλοῖ ὁ εἰπὼν ὅτι κισσύβιον μόνωτον ποτήριον. ὅπερ εἰκάσειεν ἄν τις ὑπὸ ποιμένων πρῶτον ἐργασθῆναι ἐκ κισσύνου ξύλου. εἰς ὃ χρήσιμον Ἀσκληπιάδου μὲν τὸ, τῷ κισσυβίῳ τῶν μὲν ἐν ἄστει καὶ μετρίων οὐδεὶς ἐχρῆτο. Πολύφημος δὲ καὶ Εὔμαιος καὶ ὅλως, οἱ ἐν ἀγρῷ. Νικάνδρου δὲ τὸ, Δινδυμαίῳ Διῒ κισσοῦ σπενδοποιέονται πετάλοισιν, ὅθεν τ' ἀρχαῖ' ἐκπώματα κισσύβια φωνέεται. Εὐριπίδου δὲ τὸ, πᾶς δὲ ποιμένων ἔῤῥοι λαός. ὁ μὲν γάλακτος κίσσινον φέρων σκύφος πίνων ἀνὰ ψυκτῆρα ὁ δ' ἀμπελέων γάνος. Ἔνθα σημείωσαι ὅτι ψυκτῆρες μὲν κατὰ Νίκανδρον ἀλσώδεις καὶ σύσκιοι τόποι ἐν οἷς ἔστιν ἀναψύξαι. ψυκτὴρ δὲ ἑνικῶς ποτηριόν τι. Πλάτων ἐν συμποσίῳ φέρε τὸν ψυκτῆρα ἐκεῖνον πλέον ἢ ὀκτὼ κοτύλας χωροῦντα. ψυγεὺς δὲ ποτηρίου εἶδος καὶ αὐτός. Ἄλεξις. τρικότυλον ψυγέα. οὕτω δὲ ποιά τινα ποτήρια καὶ τὸ ψυκτήριον παρὰ τῷ δειπνοσοφιστῇ. καὶ τὸ ψυκτηρίδιον. καὶ ὁ ψυκτηρίας ὡς κοχλίας. καὶ οὕτω μὲν καὶ ταῦτα. ὡς δὲ καὶ μέγα ἦν τὸ τοῦ Κύκλωπος εἴτε κισσύβιον εἴτε σκύφος εἴτε δέπας, φανερὸν ἐξ ὧν ἐκεῖνος ἔπαθεν. οὐ μόνον γὰρ τὸ τῆς πόσεως τοῦ τοιούτου οἴνου ἄηθες ἔσφηλεν ἐκεῖνον τὰ πολλὰ γαλακτοποτοῦντα καὶ δυνάμεως οἰνηρᾶς τοιᾶσδε μὴ πεπειραμένον, ἀλλ' ὡς εἰκὸς καὶ τὸ τοῦ ποτηρίου μέγεθος. οὐ γὰρ ἂν ἄλλως τρὶς πιὼν κατηνέχθη οὕτως ὑπὸ μέθης ὁ τηλικοῦτος. ὅτι δὲ τὸ μνημονευθὲν σκύφος διφορεῖται κατὰ τὸ, ἄφενος καὶ ὄνειδος καὶ ἔλεος, δηλοῖ ὁ γράψας τὸ, σκύφον μαστεύων κυλικηγορήσων ἔρχομαι ἤγουν ἀγορεύσων περὶ κυλίκων, ἵνα εἴη τραπεζορήτωρ καὶ αὐτὸς ἀσκούμενος λογοδιάῤῥοιαν. καὶ εἴρηται τὸ κυλικηγορεῖν ἀστείως πρὸς ὁμοιότητα τοῦ δημηγορεῖν. ἵνα καὶ κυλικηγόρος ᾖ ὡς δημηγόρος, ὁ πρὸς κύλικα λαλῶν ἤτοι ὁ ἐν τῷ συμπίνειν λάλος ὤν. Ὅτι δὲ τοῖς μεγαλείοις συντακτέα καὶ ἡ ἐν Ἰλιάδι Νεστορέη κύλιξ καὶ τὸ τοῦ Ἀχιλλέως δὲ ἀπόθετον ποτήριον, ἐκ τῶν Ὁμήρου δῆλον. ὁ δὲ μῦθος κατὰ τὴν τοῦ δειπνοσοφιστοῦ ἔκθεσιν ὁ παρὰ τῷ Στησιχόρῳ, ποτηρίῳ τὸν ἥλιον διαπλέειν λέγει τὸν Ὠκεανόν. ᾧ καὶ τὸν Ἡρακλέα διαπεραιωθῆναι ἐπὶ τὰς Γηρυόνου βοῦς ὁρμῶντα, διὸ καὶ δέπας Ἡράκλειον λέγεσθαι, τὸ καὶ Ἡλίου. καὶ ἔστιν ἐντεῦθεν ὁρμημένον τινὰ τὰ χρύσεα μεγάλα ποτήρια ἡλίου πλοῖα ὀνομάζειν. ἐν δὲ τοῖς τοῦ εἰρημένου σοφιστοῦ ἐπάγεται τὸ, μή ποτε δὲ ἐπεὶ μεγάλοις ἔχαιρε ποτηρίοις ὁ Ἡρακλῆς παίζοντες πρὸς τὸ μέγεθος πλεῖν αὐτὸν ἐν ποτηρίῳ ἐμυθολόγησαν. εἰ δὲ Ἡλίου ἐκεῖνο ποτήριον, εἴη ἂν οἰκεῖον καὶ τῷ Ἡρακλεῖ, ὅτε αὐτὸς παρὰ τοῖς παλαιοῖς ἀνάγεται μεταλειπτικῶς εἰς Ἥλιον. εἰς δὲ τὸ εἰρημένον δεπάστρεον κατὰ Λυκόφρονα εἰπεῖν ἡλιακὸν πλοῖον, τακτέον καὶ τὴν ἄκατον. ποτήριον φασὶν ἐοικὸς πλοίῳ. Μίμνερμος δέ φασι τὸ τοῦ ἡλίου καλούμενον ποτήριον εὐνὴν κύλην εἶπεν, Ἡφαίστου χερσὶν ἐληλαμένην, τῶν δὲ τοιαῦτα εἰπόντων ἐπὶ μεγάλοις ποτηρίοις ἀστειότερον ἔφρασεν ὁ γράψας οὕτω. νὴ τὸν οὐρανὸν ὑπερήφανοι κρατῆρες, ἀργυροῖ κάδοι καὶ μείζονες ἐμοῦ. ἔτι δὲ καὶ Φερεκράτης τοιαῦτα γράψας. ταῖς δὲ γυναιξὶ, βαθείας κύλικας ὥσπερ ὁλκάδας οἰναγώγους. περιφερεῖς. λεπτάς. μεστάς. ὅπως ἀνεκλογίστως πλεῖστος οἶνος ἐκποθῇ. εἶθ' ὅταν αἰτιώμεθα τὸν οἶνον αὐτὰς ἐκπιεῖν, λοιδοροῦνται κώμνύουσι, μὴ πιεῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' ἢ μίαν. ἡ δὲ κρείττων ἡ μί' ἐστι χιλίων ποτηρίων. (ῃερς. 348.) Τὸ δὲ ναῦς ἐκεκεύθει, οὐκ ἀνομοίως ἔχει πρὸς τὸ, δῶμ' ἐκάλυψε. περιοχὴν γὰρ τῶν ἐντὸς καὶ ἄμφω δηλοῦσιν. (ῃερς. 351.) Ὁ δὲ σχέτλιος, τὴν συνήθη τῷ ποιητῇ κἀνταῦθα σημασίαν ἔχει. Σημείωσαι δ' ἐν τῇ τοιαύτῃ λέξει καὶ ὡς ἐκ τῶν αὐτῶν ῥημάτων συγκείμενα ἡ ἐχέτλη τε καὶ ὁ σχέτλιος ὅμως διάφορά εἰσιν. ἐχέτλη μὲν γὰρ, ἧς ἔχεταί τις τλημόνως. σχέτλιος δὲ, ὃν ἐχρῆν σχέσθαι καὶ τλῆναι. (ῃερς. 352.) Τὸ δὲ πολέων, ἀστείως ἐῤῥέθη. κἂν γὰρ οὐκ ἐνθάδ' ὁ πλοῦς τοῖσι σώφροσι βροτῶν καὶ μάλιστα τοῖς ἴδμοσιν, ἀλλ' ἐν τοῖς οὕτω πολλοῖς εἰκός ἐστι καὶ ἄλλον τινὰ τῷ μακρῷ χρόνῳ εἰς τὴν τῶν Κυκλώπων 1.347 κατᾶραι. Ἐν δὲ τῷ, οὐ κατὰ μοῖραν ἔρεξας, δι' ἑνὸς ¯ρ κατὰ φύσιν τὸ ἔρεξας. (ῃερς. 353.) Ὅτι δελεασθεὶς ὁ ἀσύνετος Κύκλωψ οἷς ἐκολακεύθη πρὸς Ὀδυσσέως, καὶ ὡς οἷα λοιβήν τινα δεξάμενος τὸ τοῦ οἴνου κισσύβιον, ἔκπιεν ὡς προσεχῶς ἐῤῥέθη, ἡδὺ ποτὸν πίνων. καί με φησὶν ᾔτεε δεύτερον αὖτις. δός μοι ἔτι πρόφρων, καί μοι τεὸν οὔνομα εἰπὲ αὐτίκα νῦν, (ῃερς. 356.) ἵνα τοι δῶ ξείνιον, ᾧ κε σὺ χαίροις. εἰρωνικῶς μὲν τοῦτο λέγων. ἄλλως δὲ, φήμην λαλῶν φίλην τῷ Ὀδυσσεῖ. ἀληθῶς γὰρ πιὼν καὶ μεθυσθεὶς δέδωκε τῷ Ὀδυσσεῖ ἕτοιμον ἑαυτὸν εἰς τύφλωσιν. ὅπερ ἐχάρη ποιήσας ὁ Ὀδυσσεύς. (ῃερς. 357.) εἶτα καὶ σύγκρισιν οἴνου ποιῶν οὗ τε ἐξέπιε καὶ τοῦ κατὰ Κύκλωπας, φησί. καὶ γὰρ Κυκλώπεσσι φέρει ζείδωρος ἄρουρα οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἄξει, ἀλλὰ τόδ' ἀμβροσίης καὶ νέκταρος ἐστὶν ἀποῤῥώξ. καὶ σκοπητέον εἰ πρέπει τοιοῦτον νόημα δεξιὸν, τῷ θηριώδει καὶ βοσκηματώδει Κύκλωπι. (ῃερς. 359.) Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ ἀποῤῥὼξ ἐμφαίνει ὁ ποιητὴς ὡς οὐκ ἀπᾷδον ἐστὶ νοῆσαι καὶ τὴν ἀμβροσίαν ὑγρόν τι ὥσπερ καὶ τὸ νέκταρ. τὸ γὰρ ἀποῤῥὼξ, τοῖς ὑγροῖς προσαρμόζει. δηλοῖ γὰρ ἀπόῤῥοιαν. οὕτω γοῦν καὶ ἐποίησαν τῶν τινες νεωτέρων, τὴν ἀμβροσίαν λαβόντες εἰς ὑγρὰν θείαν τροφήν. ἴσως δὲ καὶ συνεκδοχικῶς πρὸς μόνον τὸ νέκταρ κεῖται ἡ ἀποῤῥώξ, ὡς χρῆναι ἄλλο τι ὄνομα ἐπὶ τῆς ἀμβροσίας νοεῖν. παρὰ δέ τισι τῶν παλαιῶν τὸ νέκταρ ξηρὰ ἦν θεία τροφή. προφέρεται γοῦν Ἀναξανδρίδης μὲν γράφων οὕτω. τὸ νέκταρ πάνυ μάττων ἐσθίω. διαπίνω τ' ἀμβροσίαν καὶ τῷ Διῒ διακονῶ. Ἀλκμὰν δὲ λέγων τοὺς θεοὺς νέκταρ ἔδμεναι. Σαπφὼ δὲ εἰποῦσα ὡς ἀμβροσίας κρατὴρ ἐκέκρατο, εἰς πόσιν δηλαδή. διὸ καὶ ταυτίζουσα τῷ οἴνῳ αὐτὴν ἐπάγει. Ἑρμῆς δ' ἑλὼν ἔρπιν θεοῖς ᾠνοχόησεν. ἔστι δὲ ἔρπις Αἰγυπτιστὶ ὁ οἶνος. καθὰ καὶ ὁ Λυκόφρων οἶδεν. ἱστοροῦνται δὲ καὶ σκευάζειν τὸ καλούμενον νέκταρ οἱ περὶ τὴν Λύδιον Ὄλυμπον, οἶνον καὶ κηρία συγκιρνάντες, μέλιτος δηλαδή. ἔστι δὲ καὶ ἄνθη εὐώδη. ὡς εἶναι τῷ λόγῳ τούτῳ γλυκὺ ἐκεῖνο, ὡς ἐκ μέλιτος. τινὲς δέ φασιν ὡς ὁ μελοποιὸς Ἴβυκος τὴν ἀμβροσίαν κατ' ἐπίτασιν ἐνναπλασίονα γλυκύτητα ἔχειν οἶδε πρὸς τὸ μέλι, λέγων αὐτὸ ἔνατον εἶναι μέρος τῆς ἀμβροσίας κατὰ τὴν ἡδονήν. Σημείωσαι δ' ἐνταῦθα ἐκ τῶν τοῦ Ἀθηναίου καὶ τὸ, ἠδ' ἀμβροσία, ὕδωρ ἀκραιφνές. ἔλαιον. παγκαρπία. ἅπερ ἔμβαλλε. τέως γε μὴν Ὀδυσσεὺς καὶ δεύτερον καὶ τρίτον κισσύβιον τῷ Κύκλωπι δίδωσι. φησὶ γοῦν. τρὶς μὲν ἔδωκα φέρων. τρίς δ' ἔκπιεν ἀφραδίῃσιν. αὐτὰρ ἐπεὶ (ῃερς. 362.) Κύκλωπα περὶ φρένας ἤλυθεν οἶνος, τηνικαῦτα πάσχει τὰ δηλωθησόμενα. Ἔστι δὲ τὸ, Κύκλωπος φρένας περιῆλθεν οἶνος, περίφρασις τοῦ ἐμεθύσθη. ἔπαθε δὲ ὁ Κύκλωψ τοῦτο, οἷα πιὼν οὕτω πολύ. ἑξήκοντα δηλαδὴ κισσυβίων κράμα ὡς προδεδήλωται. τοσοῦτον γὰρ ἂν ἐποίησαν τὰ τρία κισσύβια, ὧν ἕκαστον ἀνὰ εἴκοσι μέτρα ἐδέχετο ὕδατος. ἐν οἷς πάντως οὐ τὸ ὕδωρ περιελθὸν τὸν Πολύφημον ἀλλ' ὁ τῶν τριῶν κισσυβίων οἶνος εἰς μέθην κατέφερε. (ῃερς. 353.) λογιστέον δὲ καὶ τὸ κισσύβιον ἡλίκον ἦν εἴγε εἰς πόσιν ἐπεποίητο Κύκλωπι τῷ τοσούτῳ. Ἐν τούτοις δὲ, τὸ μὲν ἥσατο δ' αἰνῶς ἡδὺ ποτὸν πίνων, ἐτυμολογικῶς ἐφράσθη. παρὰ τὸ ἧσαι γὰρ, τὸ ἡδύ. (ῃερς. 355.) Τὸ δὲ καί μοι τεὸν οὔνομα εἰπὲ, προεκθετικόν ἐστι καὶ προκλητικὸν τῶν εὐθὺς ἐφεξῆς. αὐτίκα γὰρ ἐπεὶ μέθῃ κατασχεθεὶς ὁ Πολύφημος οὐκ εἶχεν ἐμβαθύνειν σοφίσμασιν, ὁ καὶ ἄλλως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νήπιος κατάρχεται τοῦ κατὰ τὸν οὖτιν δόλου Ὀδυσσεύς. καὶ κατασοφισάμενος ποιεῖ τὰ ἐφεξῆς. (ηερς. 358.) Τὸ δὲ οἶνον ἐριστάφυλον καὶ ἑξῆς τὸν ὅλον στίχον ἔφη φθάσας καὶ ὁ Ὀδυσσεύς. διὸ καὶ μεμνημένος προσπλάττει αὐτὸν καὶ τῷ Κύκλωπι. (ῃερς. 359.) Τὸ δὲ ἀποῤῥὼξ, καὶ ἐπὶ πετρῶν τίθεταί ποτε. φέρονται γὰρ καὶ ἀποῤῥῶγες πέτραι αἱ ἀλλήλων ἀπεῤῥηγμέναι. Ἰστέον δὲ ὅτι τὸ ἁπλοῦν τοῦ ἀποῤῥὼν ἤγουν τὸ ῥὼξ, οὐ χεῦμά τι δηλοῖ καὶ ἀπόῤῥοιαν, ἀλλὰ φαλαγγίου εἶδός ἐστι. καὶ ὅτι ἐπὶ βότρυος ῥῶγας εἰπεῖν βάρβαρόν ἐστι. ῥῶγες γὰρ μεγάρου μέρος καθ' Ὅμηρον. ἐπὶ δὲ σταφυλῆς ῥάγας φαμέν. πάντων δὲ τῶν τοιούτων προηγεῖται θέμα τὸ ῥήσσω, πῆ μὲν συστέλλον τὸ ¯η εἰς ¯α, πῆ δὲ τρέπον τὸ ¯η εἰς ¯ω. καὶ ὅτι Ὁμήρου πρώτου εἰπόντος τὸν προσεχῶς ῥηθέντα οἴνου ἔπαινον, ἐκεῖθεν λαβόντες ὕστερόν τινες ὁμοίως ἔφρασαν. Ἀρχίλοχος γοῦν φασὶ τὸν Νάξιον οἶνον τῷ νέκταρι παραβάλλει. Λέγεται δὲ καί τις Βαβυλώνιος οἶνος νέκταρ καλεῖσθαι. παραποιήσας δέ τις τὸ, νέκταρος ἀποῤῥὼξ παρὰ τῷ δειπνοσοφιστῇ ἐπὶ κάπρου θαλαττίου, ἔφη. τὸ γὰρ νέκταρος ἄνθος. ἕτερος δέ τις περὶ εὐώδους οἴνου ἔγραψεν ὅτι κατὰ πᾶν ἔχει ὑψερεφὲς δῶ ἀμβροσία καὶ νέκταρ, ἐκ τῆς ἀνθηρᾶς δηλαδὴ ὀσμῆς τοῦ οἴνου. ὃν Ἀλκμὰν ἄνθεος ὄσδοντα φησίν. ἄλλος δέ τις ἔφη τὸ, κεῖνος δὲ δοκήσει 1.348 οὔ τι οἴνῳ σοι ἔχειν ὅμοιον γέρας ἀμβροσία δέ. τοῦ τοιούτου τόπου καὶ τύπου καὶ τὸ, κρατὴρ ἕστηκε μεστὸς ἐμφροσύνης. ἄλλος δὲ οἶνος ἔτυμος ὃς οὔποτε προδώσει, μείλιχος, ἐν κεράμοις. ἄνθεος ὀσδόμενος. ἤγουν ἀνθοσμίας. ἐν δὲ μέσοις, ἁγνὴν ὀσμὴν λιβανωτὸς ἵησιν. εἰ δὲ ὁ μαρωνείτης οἶνος καὶ εἰς ὕπνον βαθὺν κατήνεγκε τὸν Κύκλωπα, εἴη ἂν ὅμοιος Θασίῳ. περὶ οὗ καὶ αὐτοῦ γράφων ὁ Ἀθήναιος ἱστορεῖ, ὅτι Θάσιος μέν τις ὑπνωτικοὺς, ἕτερος δέ τις ἀγρυπνεῖν ποιεῖ τοὺς πίνοντας. Θασίου δὲ οἴνου ἔπαινος καὶ τὸ, τῷ δὴ μήλων ἐπιδέδρομεν ὀδμή. ὃ δὴ σεμνύνει τὸ μῆλον ἐπὶ εὐοδμίᾳ. ὥσπερ ἐπὶ κάλλει τὸ, ὡρικωτάτη τὰ τιτθία ὥσπερ μῆλον ἢ μιμαίκυλον. (ῃερς. 355.) ὅτε δηλαδὴ πορφύρεον ἐρεύθονται πρὸς ἀγλαΐαν ἧς παρώνυμοι αἱ ἀγλαόκαρποι μηλέαι. Ὅτι ἀκούσας Ὀδυσσεὺς ἐκ τοῦ Κύκλωπος τὸ, καί μοι τεὸν οὔνομα εἰπὲ ἵνα τοι δῶ ξένιον ᾧ σὺ χαίροις ἂν, ὡς καὶ προεῤῥέθη, φησίν. Κύκλωψ, εἰρωτᾷς μ' οὔνομα κλυτὸν, αὐτὰρ ἐγώ τοι ἐξερέω, σὺ δέ μοι (ῃερς. 365.) δὸς ξείνιον ὥσπερ ὑπέστης. ὅ ἐστιν ὑπέσχου. ὃ δὴ πολλαχοῦ τῆς ποιήσεως κεῖται. εἶτα (ηερς. 366.) ψευδόμενος ἐν καιρῷ συμφερόντως ἑαυτῷ καὶ τοῖς ἑταίροις ἐπάγει. οὖτις ἔμοι γ' οὔνομα, καὶ ἵνα μὴ ἐπιστήσας τυχὸν ὁ Πολύφημος τῷ παραλογισμῷ γνῶ οὔτις τὸν σύνθετον ἐκ δύο λέξεων τοῦ ο¯υ καὶ τοῦ τ¯ις ὅπερ οὐ βούλεται Ὀδυσσεὺς, ἐπάγει αἰτιατικὴν ἐν ἁπλότητι ἤγουν ἀσύνθετον, λέγων. οὖτιν δέ με κικλήσκουσι μήτηρ ἠδὲ πατὴρ ἠδ' ἄλλοι πάντες ἑταῖροι. ὡς ἀπὸ εὐθείας τῆς, οὖτις οὔτιδος. οὗ αἰτιατικὴ τὸν Οὖτιν, ὁμοίως τῷ, ὁ Πάρις τὸν Πάριν. τῆς γὰρ ἄλλης εὐθείας τῆς συνθέτου, ἡ αἰτιατικὴ πάντως οὔ τινά ἐστι. διὸ οὐδὲ ἐπάγει μετὰ τοῦ Οὖτιν φωνῆεν, ἵνα μὴ ὑποπτευθῇ ἔκθλιψις ἤγουν κουφισμὸς τοῦ ¯α ἐν τῷ Οὖτιν. ὅπερ ἐπὶ τοῦ λόγου τοῦ Κύκλωπος γίνεται, ἀμειψαμένου νηλέϊ θυμῷ, Οὖτιν ἐγὼ πύματον ἔδομαι. ἔνθα ὁ ἀστείως ἀκροατὴς ὑποκινηθεὶς εἰς μειδίαμα, εἰπεῖν δὲ μᾶλλον κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα, γελάσας, συναλείψει τὴν ἀρχὴν τοῦ λόγου, καὶ κατ' ἔκθλιψιν τοῦ ¯α ἐρεῖ ὅτι ἀληθῶς οὔ τινα φάγοις ἂν ἄλλον ἄνθρωπον. ἡ δὲ τοιαύτη Ὁμηρικὴ δεξιότης ὑποκινήσασά τινας τῶν νεωτέρων εἰς ὅμοιον ζῆλον ἀπήγαγεν εἰς ἀστεϊσμούς. Ἐπίχαρμος γοῦν εἰπὼν τὸ, ὁ Ζεύς μ' ἐκάλεσε Πέλοπι γ' ἔρανον ἑστιῶν. ὃ δὴ ἀπαλλαγὲν τῆς συναλιφῆς ἐράνου ἑστίασιν δηλοῖ. καὶ ἀκούσας δῆθεν ἔκ τινος τὸ, ἦ παμπόνηρον ὄψον ὦ 'τὰν ὁ γέρανος διασαφεῖ ἐπαγαγὼν τὸ, ἀλλ' οὔτι γέρανον ἀλλ' ἔρανόν τοι λέγω. καὶ τοῦτο μὲν εἰλῆφθαι δοκεῖ ἐκ τοῦ, Οὖτιν ἐγὼ πύματον ἔδομαι. ὡς κἀνταῦθα τοῦ ἀστείου ἀκροατοῦ, νοοῦντος συναλιλῆφθαι τὸ Ὁμηρικὸν ῥητὸν ἐκ τοῦ, οὔ τινα ἐγὼ πύματον ἔδομαι. Ὁμήρου δὲ, εἰπόντος ἐν Ἰλιάδι μὲν τὸ, δῖ' Ἀφροδίτη, ἐν Ὀδυσσείᾳ δὲ τὸ, ἀλλ' ἄγ' δῖ' Εὔμαιε, περὶ οὗ ἐν τοῖς μετὰ ταῦτάπου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥηθήσεται. παλαιὸς μέν τις ἐπίγραμμα τωθαστικὸν εἴς τινα ἰατρὸν Ἄκρωνα ἔγραψεν οὕτως. Ἄκρων' ἰατρὸν ἄκρον Ἀκραγαντίνων. ἐπίτηδες οὕτω γράψας ἐκεῖνος, καὶ οὐκ ἐκ τοῦ παρατυχόντος. οἱ δὲ νεώτεροι ταῦτα καὶ ὅσα τοιαῦτα ζηλώσαντες, πολλὰ δ' ἐν τοῖς παλαιοῖς εὕρηται ὅμοια ὡς πολλαχοῦ δεδήλωται, γρίφους ἐμελέτησαν πλέκειν οὓς ὠνόμασαν σχέδη. τὴν ἀρχὴν μὲν λεπτούς τινας καὶ οἵους ῥᾷον ἐκδιαδράσκεσθαι, τέλος δὲ ἁδροὺς καὶ δυσδιαφύκτους. καὶ οἱ μὲν παλαιοὶ τὸ ῥηθὲν τοῦ Ἐπιχάρμου νόημα, ἔτι δὲ καὶ τὸ τοῦ ἐπιγράμματος, καὶ ὅσα δὲ ἀρχαῖα τοιαῦτα, θαυμασίως ἐκάλουν ὡς ἐνομοθέτησεν ὁ Ἐπίχαρμος, λόγον ἐν λόγῳ αὐτὰ εἰπὼν, διὰ τὸ, ὡς ἐν αἰνίγματι ἄλλον μὲν εἶναι τὸν λαλούμενον λόγον, ἕτερον δὲ τὸν νοούμενον. οἱ δὲ τὰ σχεδικὰ λαλοῦντες ἀκολούθως καὶ αὐτοὶ νοήματα καλοῦσιν ἅπερ γριφεύονται, διὰ τὸ καὶ τὸν γραμματέα παῖδα μὴ τοῦ λεγομένου ἀλλὰ τοῦ νοουμένου γίνεσθαι. παρεσημάνθη δὲ ἀναγκαίως περί τινων τοιούτων καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. ὧν ἓν καὶ τὸ, βῆ ῥ' Ἶσόν τε καὶ Ἄντιφον ἐξεναρίζων. ἔνθα οὐ Ῥῆσον λέγει τὸν περιᾳδόμενον Θρᾷκα Ὅμηρος, ἀλλατινα, Ἶσον καλούμενον. Ἐμφανῶς δὲ λόγος ἐπὶ λόγῳ καὶ λαβύρινθος ἐμφαίνεται ὅν οἱ ὕστερον σχεδικοὶ ἐπετηδεύσαντο ἐν τῷ, Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος. ὃ γραφὲν περὶ τοῦ ἥρωος Αἰγέως ἐν δυσὶ διφθόγγοις, ἡ σοφὴ ἑταίρα Θαῒς, διὰ τῆς α¯ι διφθόγγου καὶ τοῦ ἰῶτα ἐξέδοτο. ὡς ἀπὸ τοῦ αἲξ αἰγὸς αἰγί. Γράσωνος γάρ τινος παρωνομάσθαι δοκοῦντος ἀπὸ γράσου ὃς δηλοῖ τὴν τῶν αἰγῶν ὀδμὴν, ἐπεὶ πρὸς αὐτὸν πορευομένη ἤρετό τις ποῦ ἄπεισιν, ἔφη. αἰγὶ συνοικήσουσα τῷ Πανδίονος. ἤγουν τῷ οἱονεὶ αἰγιδίῳ Γράσωνι διὰ τὸν γράσον οὗ πέρ ἐστι παρώνυμος. καὶ τοῦτο μὲν προφανῶς νενοημάτισται κατὰ ὁμοφωνίαν παρηχητικὴν δύο πτώσεων δοτικῶν, ἤτοι τοῦ, Αἰγεῖ ἡρωϊκῶς, καὶ τοῦ, αἰγὶ ζωϊκῶς. λέγεται δὲ καὶ Φρύνη τῷ αὐτῷ Γράσωνι συνδειπνοῦσα φορίνην ἆραι. ἔστι δὲ κλαδῶδές τι φασὶν ἡ φορίνη. 1.349 καὶ εἰπεῖν. λάβε καὶ κατάτραγε. παίξασα ὥσπερ ἡ Θαῒς παρὰ τὸν αἴγειον γράσον, οὕτω καὶ αὐτὴ παρὰ τὸν τράγον ὃν ὑπελάλησεν ἐν τῷ κατάτραγε. Ἔτι ἰστέον καὶ ὅτι ὁ κιθαρῳδὸς Στρατόνικος πρός τινα ἔμφασιν Ὁμηρικῆς διαιρέσεως τῆς ἐν τῷ, οὗ τίς με δαμᾷ δόλῳ οὐδὲ βίῃφι φιλοτιμησάμενος καὶ αὐτὸς διελεῖν ἐν τῷ ἐρωτηθῆναι περί τινος μεγάλου μὲν μεγέθει κιθαρῳδοῦ δὲ φαύλου, ποῖος τίς ἐστιν, ἔφη. οὐδεὶς κακὸς μέγας ἰχθύς. αἰνιττόμενος, ὅτι τε οὐδείς ἐστιν ἐκεῖνος ὁ περὶ οὗ ἠρωτήθη, καὶ ὅτι κακός. καὶ μέγας μὲν, ἰχθὺς δὲ δι' ἀφωνίαν. ἔπαιξε δὲ ὁ Στρατόνικος τοῦτο, παρὰ τὴν λέγουσαν παροιμίαν, μέγας οὐδεὶς σαπρὸς ἰχθύς. παραθεὶς αὐτὴν καὶ διελὼν ὡς ἤθελε. καὶ ταῦτα μὲν τοιαῦτα. (ῃερς. 369.) ὁ δὲ ὅλος τοῦ Κύκλωπος λόγος δι' οὗ δηλοῖ τὸ ὑπὲρ τοῦ οἴνου ξένιον τὴν ἄχαριν χάριν, τοιοῦτός ἐστιν. Οὖτιν ἐγὼ πύματον ἔδομαι μετὰ οἷς ἑτάροισι. τοὺς δ' ἄλλους, πρόσθεν. τὸ δέ τοι ξεινήϊον ἔσται. ὃ καὶ παροιμιώδης γέγονε λόγος τῶν τινι μεγάλων καὶ θείων σοφῶν, ἐπὶ τῶν καιρικῶς μὲν ἀφιέντων ὕστερον δὲ ἀπολλύντων τινάς. Κυκλώπειον γὰρ ἐκεῖνος τὴν τοιαύτην ἔφη δωρεάν. Καὶ ὅρα ὅπως νηλέα κατὰ τὸν ποιητὴν ἀεὶ ὁ Κύκλωψ ἔχει θυμὸν καὶ πρὸ τοῦ πότου καὶ μετὰ τὸ κισσύβιον, εἰς τοσοῦτον καὶ μόνον φειδόμενος, ὡς ἀναβαλέσθαι εἰς νέωτα τὸν τοῦ Ὀδυσσέως θάνατον, ἵνα τῷ φόβῳ κατεργασθεὶς μηδὲ ἔχοι θνήσκων αἰσθάνεσθαι. καὶ ἔστιν εἰπεῖν, ὅτι καθὰ τὸν ἐν τοῖς ἑξῆς αὐτῷ πέπονα κριὸν φάγοι μὲν ἄν ποτε φάγοι δὲ ὕστατον, οὕτω καὶ τὸν Ὀδυσσέα φιλῶν ὑστάτῃ θοίνῃ δεξιώσεται. ἔοικεν οὖν οὐ μόνον κατὰ τὸ μέγεθος ῥίῳ, ἀλλὰ καὶ κατὰ τὸ ἄτεγκον εἰς ἔλεον. διὸ καὶ παρὰ πέτραν ἀνήκοον δοκεῖ λαλεῖν ὁ Ὀδυσσεύς. καὶ ταῦτα καιρὸν τῇ ἱκετείᾳ φυλαξάμενος καθ' ὃν ἄνθρωποι πρὸς ἔλεον εὔθετοι. Οὕτω δὲ θαυμαστή τις τοῦ Οὖτις ὀνόματος, ὥστε καὶ ἐν τοῖς ἑξῆς τριβὴν τῷ λόγῳ χαρίεσσαν δίδωσιν. ὅτε οἱ μὲν Κύκλωπες βοῆς ἀΐοντες, ἐφοίτων ἄλλοθεν ἄλλος περὶ τὸ σπήλαιον, καὶ ἠρώτων τί τὸ βλάπτον τὸν Κύκλωπα, καὶ μήτις αὐτὸν κτείνῃ δόλῳ ἢ βίᾳ. ὁ δὲ λέγει αὐτὸ ἐκεῖνο ξηρὸν ὅπερ ἐνόει μαθὼν ἐν παραλογισμῷ τεχνικῷ. ὡς Οὖτίς με κτείνει δόλῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐδὲ βίᾳ. τουτέστιν ὁ Οὖτίς με κτείνει μετὰ δόλου, οὐ μὴν ἐν ἰσχύϊ. οἱ δὲ, ἀμαθεῖς ὄντες τοῦ οὖτις κυρίου ὀνόματος διὰ τὸ καινόφωνον, καὶ νομίσαντες ὅτι πρὸς τὸ ἐρώτημα τὸ, μή τις αὐτοῦ μῆλα ἐλαύνῃ ἢ μή τις αὐτὸν κτείνῃ δόλῳ ἢ βίᾳ, ἀπελογήσατο αὐτὸς ὡς οὐδείς με κτείνει δόλῳ ἀλλ' οὐδὲ βίᾳ, ἐπάγουσιν. εἰ μὲν δὴ μή τίς σε βιάζεται οἶον ἐόντα, ἐμόναζε γὰρ ὡς δεδήλωται, νοῦσον γ' οὔπως ἐστὶ Διὸς μεγάλου ἀλέασθαι καὶ τὰ ἑξῆς. ἔστι δὲ τὸ σόφισμα οὐ παρὰ τὴν ὁμωνυμίαν κατά τινας, ἀλλὰ παρὰ σύνθεσιν μᾶλλον καὶ διαίρεσιν, τοῦ μὲν Κύκλωπος κύριον νοήσαντος καὶ σύνθετον καὶ ἁπλοῦν τὸ Οὖτις ὡς κλινόμενον Οὔτιδος. ὅθεν καὶ παραπαίζων πρὸς τοὔνομα μετ' ὀλίγα κατὰ παρήχησιν λέγει. ἅ μοι οὐτιδανὸς πόρεν Οὖτις. (ῃερς. 413.) τῶν δὲ Κυκλώπων εἰς δύο μέρη κατατεμόντων τὴν λέξιν, καλῶς ὁ φιλόσοφος φησὶν, ἐμὸν δ' ἐγέλασε φίλον κῆρ ὡς ὄνομ' ἐξηπάτησεν ἐμὸν καὶ μῆτις ἀμύμων. ἔνθα εἰ μῆτις κίνδυνον εἶχε ψυχρεύσασθαι, εἶπεν ἂν ὅτι τὸ, μῆτις ἀμύμων, πρὸς τὸ Οὖτις πέπαικται. ἢ καὶ πρὸς, τὸ, μήτις σε κτείνῃ. ἐπεὶ δὲ αὐτὸ παρακεκινδυνευμένον ἐστὶ, ῥητέον ὅτι κεῖται καὶ ἄλλη παραλογιστικὴ σύνθεσις ἐν τοῖς ῥηθεῖσι καὶ διαίρεσις. τοῦ μὲν Κύκλωπος, διελόντος. Οὖτις με κτείνει. καὶ στίξαντος τελείαν. εἶτα ἐπαγαγόντος. δόλῳ οὐδὲ βίῃ, τουτέστι δόλῳ μέντοι κτείνει με καὶ οὐ βίᾳ. τῶν δὲ Κυκλώπων συγκειμένως νοησάντων, Οὖτις με ἐν δόλῳ κτείνει, ἀλλ' οὐδὲ ἐν βίᾳ. ἐκ δὲ τοῦ τοιούτου Ὁμηρικοῦ σοφίσματος οἱ φιλόσοφοι τοὺς παρ' αὐτοῖς οὔτιδας πλέκουσι παραλογισμούς. (ῃερς. 364.) Ὄνομα δὲ κλυτὸν τὸ ἑαυτοῦ Ὀδυσσεὺς ἔφη, ὃ δηλαδὴ πρὸς πάντων ἀκούει. ἤγουν ὃ καλοῦσιν αὐτὸν οἱ τεκόντες τε καὶ οἱ λοιποί. ἴσως δὲ καὶ μαντικῶς ὁ ποιητὴς τοῦτο φησὶν, ὡς τοῦ κατὰ τὸν Οὖτιν ὀνόματος κλυτοῦ ἐσομένου τοῖς ὕστερον. Ἰστέον δὲ ὡς ἐκ τοῦ, ὄνομα κλυτὸν, κεῖται σύνθετον Ὁμηρικῶς κύριον ἄλλοθι τὸ, ὀνομάκλυτος ἥρως. (ῃερς. 367.) Ὅτι δὲ οὐκ ἀεὶ ταυτὸν ὄνομα κεῖταί τινι παρά τε τοῖς τεκοῦσι καὶ παρὰ τοῖς ἔξω, προδεδήλωται. Σημείωσαι δὲ ὅτι ἐστενολέσχησε μὲν ἐνταῦθα καὶ ὁ ῥήτωρ Ὀδυσσεὺς ἐφ' οἷς ἠρωτήθη. καὶ πρὸ αὐτοῦ ὁ ἄγριος Κύκλωψ ἐπὶ τῷ δυσδώρῳ δώρῳ. πλὴν οὗτος μὲν διά τε ἀγροικίαν, ἴσως δὲ καὶ ὡς μεθύων, καὶ μικροῦ καὶ κατὰ στόμα ἔχον ἤδη τὰ ἐμεθησόμενα. Ὀδυσσεὺς δὲ διὰ τὸ φύσει ἀναγκαῖον τοῦ σοφίσματος. χρὴ γὰρ τὰ τοιαῦτα μὴ διαπεπτάσθαι, ἀλλ' ἐστρεβλῶσθαι τῇ φράσει διὰ τὸ ἀσαφέστερον. Πάνυ δὲ προορατικὸς τοῦ μέλλοντος ὁ Ὀδυσσεὺς, ὃς προγνοὺς ὡς ἐρωτηθήσεται ὑπὸ τῶν Κυκλώπων ὁ Πολύφημος, τίς αὐτὸν βλάπτει, προεβουλεύσατο περὶ τοῦ 1.350 οὖτις. τοῦτο δὲ καὶ εὐτυχίαν ἔχει ἀμύθητον. εἰ γὰρ ἐθάῤῥησεν εἰπεῖν τῷ Πολυφήμῳ ὅτι Ὀδυσσεύς ἐστιν, ἀπώλετο ἂν πρὸ τῶν ἄλλων, οἷα εἰδότος τοῦ Πολυφήμου ἀπὸ χρησμοῦ, ὡς ὑπὸ Ὀδυσσέως ἐκπεσεῖται τοῦ βλέπειν, καθὰ μετ' ὀλίγα ῥηθήσεται. οὕτω καλὸν τῷ συνετῷ ἐπικρύπτειν ἑαυτὸν ἐν καιρῷ καὶ μὴ τοῖς τυχοῦσιν ἐκφαίνειν τὰ καθ' ἑαυτὸν, εὐλαβούμενον ἀεὶ τὸ μέλλον. (ῃερς. 371.) Ὅτι πιὼν ὁ Κύκλωψ καὶ βραχέα εἰπὼν ἀνακλινθεὶς πέσεν ὕπτιος. αὐτὰρ ἔπειτα κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα. κὰδ δέ μιν ὕπνος ᾕρει πανδαμάτωρ. φάρυγγος δ' ἐξέσσυτο οἶνος, ψωμοί τ' ἀνδρόμεοι. ὅ δ' ἐρεύγετο οἰνοβαρείων. οἵα μὲν οὖν ἡ φράσις ἐνταῦθα τῷ ποιητῇ ἐπὶ ἀνδρὶ πολυφάγῳ μεθύοντι καὶ ἐμοῦντι, ἔτι δὲ καὶ καθῃρημένῳ ὑπὸ ὕπνου κατὰ τὸν ποιητὴν, ἔστι σκέπτεσθαι, καί που εἰπεῖν ἐπὶ οὕτω μεθυσθέντι τῷ Κύκλωπι, ὅπερ ἐπί τινος ἑτέρου ὁ Βυζάντιος Παρμένων ἔφη εἰδότος μεθύειν. ὃς εἰπὼν ἐκεῖνον ἄνδρα ἕλκοντα οἶνον ὡς ὕδωρ ἵππος ἐπάγει. κεῖται δ' ἄναυδος ἐν πίθῳ κολυμβήσας, κάθυπνος ὡς μήκωνα φαρμάκων πίνων. μήκων δὲ αὕτη ἡ καὶ κωδύα ἢ κώδεια τὸ φυτὸν, ἧς τὸ σπέρμα εἰς ὕπνον εὐοδοῖ. οὐ μὴν ἡ κατὰ τὴν σηπίαν. Σημειωτέον δὲ καὶ ὅτι τὴν μὲν εἰσαγωγὴν τῶν βρωμάτων, καθὰ καὶ προείρηται, οὐκ ἔφρασεν ὁ ποιητὴς ὅπως ὡς εἰκὸς ἐγίνετο, ἀχθόμενος οἷον ἐπὶ τῷ θηριωδῶς γινομένῳ, ἐπὶ δὲ τῇ ἐξεράσει λαλεῖ τι χάριεν, ἐμπαίζων τε τῷ βορωτάτῳ Κύκλωπι καὶ παιδεύων οἷον τὸ μεθύειν κακόν. εἰ μὴ μόνον τὸν τηλικοῦτον καθεῖλεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὃς ῥίῳ ἐῴκει, ἀλλὰ καὶ ἀσχημονεῖν οὕτω ποιεῖ. καλῶς δὲ ὕπτιον καὶ δοχμὸν ἀνακλίνει τὸν τοιοῦτον θῆρα, ὡς ἂν οὕτω ῥᾷον ἐκτυφλωθείη. ἀκρατὴς γὰρ εἰς τὸ παντελὲς ἑαυτοῦ καὶ ἕτοιμος παθεῖν κακῶς ὁ οὕτω διακείμενος. εὐτυχεῖ δὲ κἀνταῦθα ὁ Ὀδυσσεὺς, ὑπτιάζοντος τοῦ θηρὸς εἰς ἀποτύφλωσιν ῥᾴονα. εἰ καὶ ἄλλως οἱ οὕτω μεθύοντες πρηνεῖς ὡς ἐπιπολὺ κεῖνται. καθὰ παραδίδωσι καὶ ὁ Ἀθήναιος ἔνθα ἱστορεῖ, φιλοίνους καὶ φιλοπότας γενέσθαι τοὺς Αἰγυπτίους, καὶ ἄμπελον εὑρεθῆναι πρῶτον ἐν τῇ πλινθύνῃ πόλει Αἰγύπτου. λέγει γὰρ ἐν τούτοις καὶ ὅτι οἱ μὲν ἀπ' οἴνου μεθυσθέντες ἐπὶ πρόσωπον φέρονται, οἱ δὲ τὸν κρίθινον πεπωκότες ἐξυπτιάζονται τὴν κεφαλήν. ὁ μὲν γὰρ οἶνος καρηβαρικός, ὁ δὲ κρίθινος καρωτικός. (ῃερς. 372.) Περὶ δὲ δοχμῆς ἢ βαρυτόνως δόχμης, καὶ δοχμοῦ, ὅθεν καὶ ἀποδοχμῶσαι νῦν τὸ πλαγιάσαι, ἡ Ἰλιὰς δηλοῖ. (ῃερς. 373.) Τὸ δὲ φάρυγγος ἐξέσσυτο οἶνος ψωμοί τ' ἀνδρόμεοι, περίφρασίς ἐστι μιᾶς λέξεως τοῦ ἤμεε. συνεπινοητέον δὲ καὶ τὸ στόμα τῇ φάρυγγι. ἧς κοινῶς μὲν εὐθεῖα φάρυγξ, καὶ γενικὴ φάρυγγος ὡς ἴϋγγος. ἄλλως δὲ φάρυξ φάρυγος, ὡς ἄντυγος. ἰάπυγος. τὰ γοῦν ἀκριβέστερα τῶν ἀντιγράφων διὰ τὸ εὐμετρητότερον φάρυγος δ' ἐξέσσυτο οἶνος φησί. καὶ ἔχει αὐτὸ συνηγορίαν καὶ ἐκ τῶν Ἡρῳδιανοῦ. ὃς ἐν τῷ περὶ τοῦ, στὺξ στυγὸς, μονοσυλλάβου οὔσης εὐθείας κατὰ τὸ, τρὺξ τρυγὸς, ἐπαγαγὼν καὶ ὑπὲρ μίαν συλλαβὴν τὸ, ἄντυξ ἄντυγος, ἐπιφέρει. οὕτω καὶ ἡ πομφόλυξ. ἐξ οὗ δῆλον, ὅτι ἐν τῷ φάρυγξ καὶ πομφόλυγξ ἴσως δὲ καὶ τοῖς ὁμοίοις ἐκ πλεονασμοῦ ἔγκειται τὸ ¯ν. μαρτυρεῖ δὲ τῇ δι' ἑνὸς ¯γ γραφῇ τῆς φάρυγος καὶ τὸ φαρύγεθρον. (ῃερς. 374.) ἔτι δὲ καὶ αἱ Φαρύγαι τόπου ὄνομα. Ψωμοὶ δὲ, τὰ λεπτὰ κόμματα τῶν ἀνδρομέων κρεῶν. ὅθεν καὶ ψωμὸς ἄρτου, ὁ παρ' Ἡσιόδῳ βλωμός. χρήσιμος δὲ ἡ λέξις καὶ εἰς τὸ, νέκταρ ἐῳνοχόει. ὡς γὰρ ἀσύνηθες τὸ οἰνοχοεῖν ἐπὶ νέκταρος, οὕτω καὶ ἐπὶ κρεάτων ὁ ψωμός. εἴληπται ὅμως καὶ ἄμφω ἐκ τῆς κοινῆς καὶ γνωριμωτάτης χρήσεως. Ἰστέον δὲ ὅτι τε ὡς ἐκ τοῦ ψῶ καὶ βλῶ ψωμὸς καὶ βλωμὸς, οὕτω καὶ ἐκ τοῦ ὦ τὸ ὑπάρχω ὠμὸς καὶ ὦμος. καὶ ὅτι ἐκ τοῦ ψῶ γίνεται καὶ τὸ ψώχω. ἀφ' οὗ αὖθις τὸ ψήχω ὁμοίως ἐκ τοῦ ψῶ, καί τινες πλακοῦντες, ψώθια, ἤγουν ψαθύρια κατὰ τοὺς παλαιούς. Ἀπολλόδωρος δὲ τοῦ ἄρτου τὰ ἀποψαυόμενα ὥς φησιν Ἀθήναιος, ἅ τινες ἐκάλουν ἀτταράγους. Τὸ δὲ ἐρεύγεσθαι ἐνταῦθα κυριολεκτεῖται, ὡς μάλιστα κυρίως ὠνοματοπεποιημένον. Τὸ δὲ οἰνοβαρείων ἐκ τοῦ οἰνοβαρεῖν γίνεται, παραχθὲν ὡς τὸ θείω κιχείω καὶ τὰ τοιαῦτα. καὶ ἔστι σεσημειωμένον ὡς βαρύνεται μὲν τὸ οἰνοβαρείω, περισπᾶται δὲ παρὰ τοῖς ὕστερον τὸ καρηβαρειῶ. (ῃερς. 373.) Εἰ δὲ πανδαμάτωρ ἐνταῦθα ὡς καὶ ἀλλαχοῦ ὁ ὕπνος καθὰ παρ' ἄλλοις ὁ μακρὸς χρόνος, ἀλλ' ὁ Κύκλωψ ἐπιμηθευσάμενος μετ' ὀλίγα, δαμάτορα ἑαυτοῦ τὸν οἶνον ἐρεῖ, εἰπὼν ὡς ἀνὴρ κακὸς ἐξετύφλωσεν αὐτὸν, δαμασσάμενος φρένας οἴνῳ. ἔνθα καὶ ἔστι ταυτὸν τὸ, ἐδαμάσσατο φρένας οἴνῳ καὶ τὸ, περὶ φρένας ἤλυθεν οἶνος. (ῃερς. 375.) Ὅτι τὸ, μοχλὸν ὑπὸ σποδοῦ ἤλασα πολλῆς (ῃερς. 376) εἵως θερμαίνοιτο, ἀντὶ τοῦ ὑπὸ κάτω τῆς σποδοῦ ἔτεινα, καὶ, ὡς εἰπεῖν, ὑπὸ σποδῷ ἔῤῥιψα εἴπως θερμανθείη τὸ δεύτερον. τοῦτο γὰρ δηλοῖ τὸ, εἵως θερμαίνοιτο, καθά που καὶ 1.351 πρὸ τούτων ἐλέχθη περὶ τῆς τοιαύτης λέξεως. (ῃερς. 375.) λέγει δὲ νῦν σποδὸν οὐ τὴν ψυχρὰν, ἀλλὰ τὴν μετὰ ἀνθράκων, ἣ καὶ σποδειὰ λέγεται καὶ ἀθρακιά. διὸ καὶ ἐπάγει. ἀλλ' ὅτε τάχα μοχλὸς ἐλάϊνος ἐν πυρὶ μέλλεν ἅψασθαι χλωρός περ ἐὼν, (ῃερς. 379.) διεφαίνετο δ' αἰνῶς, τουτέστι διαφάνειαν εἶχε τὴν ὡς ἐξανθρακώσεως, καὶ τότ' ἐγὼν ἆσσον φέρον ἐκ πυρός. χρὴ δ' ἐνταῦθα σημειώσασθαι, ὡς ἐκ τοῦ ὑποήλασα ὃ κεῖται ἐν τῷ ὑπὸ σποδοῦ ἤλασα, τὸ ἰατρικῶς κληθὲν ὑπήλατον λέγεται. (ῃερς. 380.) Εἶτα καὶ ἐκφράζων τὴν τοῦ κακοξένου τύφλωσιν, φησίν. ἀμφὶ δ' ἑταῖροι ἵσταντο. θάρσος δ' ἐνέπνευσε θεός. οἱ μὲν, μοχλὸν ἑλόντες ἐλάϊνον ὀξὺν ἐπ' ἄκρῳ, ὀφθαλμῷ ἐνέρεισαν, ἐγὼ δ' ἐφύπερθεν ἀερθεὶς δίνεον ὡς ὅτε τις τρυπῷ δόρυ νήϊον ἀνὴρ τρυπάνῳ. οἱ δέ τ' ἔνερθεν ὑποσσείουσιν ἱμάντι ἁψάμενοι ἑκάτερθε. τὸ δὲ, τρέχει ἐμμενὲς αἰεὶ. ὣς τοῦ, ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀφθαλμῷ πυριηκέα μοχλὸν (ῃερς. 387.) ἑλόντες ἢ ἔχοντες κατὰ Ἀρίσταρχον δινέομεν. τόν δ' αἷμα περιέῤῥεε θερμὸν ἐόντα. πάντα δέ οἱ βλέφαρ' ἀμφὶ καὶ ὀφρύας εὗσεν ἀϋτμὴ γλήνης καιομένης. σφαραγεῦντο δέ οἱ πυρὶ ῥίζαι. (ῃερς. 391.) εἶτα καὶ τὸν ἐκ τοῦ πυρώδους ξύλου σιγμὸν διὰ παραβολῆς παριστῶν φησίν. ὡς δ' ὅταν ἀνὴρ χαλκεὺς πέλεκυν μέγαν ἠὲ σκέπαρνον εἰν ὕδατι οὐ θερμῷ ἀλλὰ ψυχρῷ βάπτῃ μεγάλα ἰάχοντα, φαρμάσσων, τὸ γὰρ αὖτε σιδήρου τε κράτος ἐστὶν, ὣς τοῦ σίζ' ὀφθαλμὸς ἐλαϊνέῳ περὶ μοχλῷ. οἷς ἐπάγων, ὡς εἰκὸς, καὶ τί ἐπὶ τούτοις ἐποίησεν ὁ Πολύφημος, φησί. (ῃερς. 395.) σμερδαλέον δὲ μέγ' ᾤμωξε, περὶ δ' ἴαχε πέτρη, ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθα. αὐτὰρ ὁ μοχλὸν ἐξέρυσ' ὀφθαλμοῖο πεφυρμένον αἵματι πολλῷ. τὸν μὲν ἔπειτ' ἔῤῥιψεν ἀπὸ ἕο χερσὶν, ἀλύων. εἶτα ἐπεβοᾶτο τοὺς Κύκλωπας, ὡς ῥηθήσεται. (ῃερς. 394.) Καὶ ὅρα ὅτι τὸ ὀργυιαῖον τμῆμα τοῦ προῤῥηθέντος ἐλαϊνέου ῥοπάλου ἠρέσθη μοχλὸν ἐνταῦθα εἰπεῖν ἐλαΐνεον ὁ ποιητὴς, ὁποίῳ δηλαδὴ τὰ βάρη ἀνοχλίζονται, ἐπιμείνας τῇ τοῦ μοχλοῦ λέξει διὰ τὸ καίριον. (ῃερς. 384.) Τὸ δὲ ῥηθὲν τοῦ νηΐου ξύλου τρύπημα, ἀρχαῖον ἦν. ἐν ᾧ εἷς μὲν ἄνω ἐπέκειτο βαρύνων τὸ τρύπανον, ἄλλοι δὲ ἱμάντι ἔστρεφον αὐτὸ ἵνα εὐσθενέστερον οὕτω τρυπῷτο τὸ ξύλον. (ῃερς. 386.) Τοῦ δὲ ἅπτεσθαι ἡ ὁμωνυμία φανερῶς καὶ ἐν τοῖς νῦν ῥηθεῖσι φαίνεται. ἤγουν ἐν τῷ, ἔμελλεν ὁ μοχλὸς ἅψεσθαι πυρί. καὶ ἐν τῷ, ἁψάμενοι ἑκάτερθεν. ἐκεῖνο μὲν γὰρ φλόγωσιν δηλοῖ, τὸ δὲ ἁψάμενοι τὴν διὰ χειρῶν ἐπαφήν. (ῃερς. 382.) Τὸ δὲ ἐπ' ἄκρῳ, οὐ τῷ ὀφθαλμῷ κολλητέον ἵνα ᾖ ἐπ' ἄκρῳ ὀφθαλμῷ, ἀλλὰ μᾶλλον τῷ μοχλῷ, ἵνα λέγῃ αὐτὸν ὀξὺν ἐπ' ἄκρῳ, κατὰ τὸ, ἐγὼ δ' ἐθόωσα παραστὰς ἄκρον. Πρὸς δὲ ὁμοιότητα τοῦ, ὀξὺν ἐπ' ἄκρῳ, κεῖται παρὰ τῷ κωμικῷ τὸ ἐξ ἄκρου παχύ. (ῃερς. 384.) Τὸ δὲ δίνεον ἐκτείνει τὴν ἄρχουσαν καθὰ καὶ ὁ δῖνος ἤτοι ὁ τόρνος. δὶς δὲ διὰ τὸ καίριον ἡ λέξις ἐνταῦθα κεῖται τοῦ δινεῖν. ὅτι δέ ποτε ταυτὸν δῖνος καὶ ῥόμβος καὶ κῶνος, δηλοῖ ὁ γράψας. ῥόμβος, ἐστὶ κῶνος. δῖνος. ὡς δὲ καὶ κατὰ τρίτην συζυγίαν ἐστὶ δινῶ δινώσω, ἡ δινωτὴ δηλοῖ ἀσπίς. Τὸ δὲ τρυπῷ, ἐκ τοῦ τρυπῶμι τρυπῷς γίνεται εὐκτικῶς. διὸ καὶ προσγεγραμμένον ἔχει τὸ ¯ι. Ἐτυμολογικοῦ δὲ τρόπου τὸ, τρυπῷ δόρυ τρυπάνῳ. (ῃερς. 386.) Τὸ δὲ τρέχειν ἐπὶ δινήσεως ἐνταῦθα κεῖται, κατὰ ὀνοματοποιΐαν ἴσως τὴν ἀπὸ τοῦ τρῶ, ἐξ οὗ τὸ τρέχω. ὡς βρῶ βρέχω. (ῃερς. 387.) Πυριηκὴς δὲ μοχλὸς, ὁ οἷον ἠκονημένος πυρί. εἰ δὲ καὶ βαρυτόνως γράφεται πυριήκης, συνηγορεῖται ὑπὸ τοῦ τανύηκες ξίφος καὶ τῶν ὁμοίων. δύναται δὲ πυριήκης εἶναι καὶ ὁ πυρίνην ἔχων ἀκὴν, ἀφ' ἧς ἡ ἀκωκή. (ῃερς. 388.) Περιέῤῥεε δὲ τὸν μοχλὸν αἷμα διὰ τὸ ἀνευρυνθῆναι τῇ βίᾳ τὰ ἀγγεῖα. ἢ καὶ ἐπεὶ οὔπω ἔφθασαν τὰ ἐν βάθει ἀποφρυγῆναι. ἄλλως γὰρ οἱ φυσικοὶ φασὶ τοὺς καιομένους αἷμα μὴ ἀποβάλλειν ὡς φρυττομένων τῶν σαρκῶν. οὗ ἕνεκα καὶ δοκεῖ μετὰ τὴν πρώτην πυράκτωσιν θερμᾶναι πάλιν ὁ Ὀδυσσεὺς τὸν μοχλὸν, ἵνα μὴ ἄλλως πολλοῦ αἵματος ἐκρυέντος καὶ φλεγμονῆς δὲ ἐπιγνομένης αὐτίκα πολλῆς καὶ τοῦ Κύκλωπος ἐντεῦθεν οἰχομένου κινδυνεύσωσιν οἱ περὶ αὐτὸν οὕτως ἐντὸς κατὰ τὸ σπήλαιον μείναντες. καὶ ἦν καὶ τοῦτο τῆς τοῦ Ὀδυσσέως σοφίας βαθὺ μηχάνημα. (ῃερς. 390.) Τῇ δὲ γλήνῃ συνεννοητέον τὸ ὅλον σῶμα τοῦ ὀφθαλμοῦ. οὗ τὸ κατωτάτω ῥίζαι λέγονται. Τὸ δὲ σφαραγεῦντο, ἀντὶ τοῦ, ἐτείνοντο κατὰ τοὺς παλαιοὺς, ἢ κατεπονοῦντα, ἢ ἐσπαράττοντο, νοεῖται δὲ κατά τινα ἦχον. ὅθεν καὶ Πίνδαρός που ἐπὶ πολυήχου τὸ ἐρισφάραγον τίθησιν. δηλοῖ δὲ τοῦτο καὶ ἡ τοῦ χαλκέως ἐνταῦθα παραβολὴ, εἰς ταυτὸν ἄγουσα τὸ σίζειν καὶ τὸ ἴσχειν καὶ τὸ σφαραγεῖν, πλὴν ὅσον τραχύτερον τὸ σφαραγεῖν ὡς δηλοῦν καί τινα βρασμόν. Ὅτι δὲ καὶ ἁπλῶς διάτασίν τινα σημαίνει ἡ λέξις, δηλοῦται ἐκ τῶν ἑξῆς, ἔνθα φησὶν ὅτι τὰ οὔθατα σφαρα 1.352 γεῦντο τοῖς μήλοις διὰ τὸ ἀνήμελκτα μένειν αὐτά. (ῃερς. 391.) Τὸν δὲ πέλεκυν καὶ πέλυκα φασὶν οἱ μεθ' Ὅμηρον ἀπὸ εὐθείας τῆς, ὁ πέλυξ τοῦ πέλυκος. (ῃερς. 393.) Φαρμάσσειν δὲ οὐχ' ἁπλῶς ἐνταῦθα τὸ βάπτειν ὅθεν καὶ φαρμακῶνες τὰ βαφεῖα ὡς καὶ προεδηλώθη, ἀλλὰ τὸ στομοῦν καὶ στεῤῥοποιεῖν.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησὶ γοῦν. ὕδατι ψυχρῷ βάπτει φαρμάσσων. στομοῦται γὰρ σίδηρος τοιαύτῃ βαφῇ. καὶ κράτος ἔχει ὅ ἐστι καρτερὸς γίνεται πυμνούμενος εἰς πλέον. (ηερς. 394.) Τὸ δὲ σίζειν, ὀνοματοποιεῖται πρὸς ἦχον στοιχείου τοῦ σίγμα, ὥσπερ τὸ ζέειν, κατὰ τὸ ζῆτα. καὶ τὸ ξέειν, κατὰ τὸ ¯ξ. καὶ ὁ ῥοῖζος, κατὰ τὸ ῥῶ στοιχεῖον. οἱ δὲ παλαιοί φασι καὶ ὅτι ὠνοματοπεποίηται τὸ σίζειν ἀπὸ τοῦ κατὰ τὸ λίπος γινομένου σισιλισμοῦ. Τὸ δὲ περὶ μοχλῷ ἀντίπτωσιν ἔπαθεν. ἀντὶ γὰρ τοῦ, ἐπὶ μοχλῷ ἐῤῥέθη. (ηερς. 395.) Τοῦ δὲ μέγ' ᾤμωξεν ἐπίτασις τὸ σμερδαλέον. αὐτοῦ δὲ σαφήνεια τὸ, ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθα. σμερδαλέον γὰρ τὸ ποιοῦν τινὰς κρύπτεσθαι διὰ τὸ δέος. οὐκ ἀπίθανον δὲ, οὕτω σμερδαλέον καὶ μέγα οἰμῶξαι τὸν Κύκλωπα. οὗ καὶ ἄλλως ὁ φθόγγος βαρὺς προδεδήλωται. (ηερς. 397.) Τὸ δὲ πεφυρμένον, ἀντὶ τοῦ μεμιασμένον. μεμιγμένον. ἐκ τοῦ φύρω καὶ φυρῶ ἐξ οὗ καὶ τὸ φύραμα. (ηερς. 398.) Ἀλύειν δὲ νῦν μὲν τὸ ἀδημονεῖν. ἐν δὲ τοῖς μετὰ ταῦτα τὸ χαίρειν, ὡς τὸ, ἢ ἀλύεις ὅτι Ἶρον ἐνίκησας; μέση γὰρ ἡ λέξις. ὡς καὶ ἡ συμφορά. καὶ ἡ τύχη. καὶ ὁ δαίμων. καὶ τὰ ὅμοια. προσγράφουσι δέ τινες τῶν παλαιῶν τὸ ἰῶτα ἐν τῷ ἀλυίειν καθὰ καὶ ἐν τῷ ὀπυίειν. οὐ μὴν ἀναντήῤῥητόν ἐστιν. Ἰστέον δὲ ὡς παρὰ τοῖς παλαιοῖς γράφεται καὶ ταῦτα. ἀλύει, ἀντὶ τοῦ μαίνεται. ἀπορεῖ κατὰ διάνοιαν. φαύλως διατίθεται. ἀμηχανεῖ. ἐξ οὗ ἐν Ἰλιάδι τὸ ἀλύσσειν. καὶ ὅτι ἄλυς, ἄλη. ῥιπασμός. καὶ ἀλύειν, τὸ μηδὲν πράττειν. ἔνιοι δὲ φασὶν καὶ οὕτω. ἁλύειν τὸ μὲν ἐπαίρεσθαι, δασύνεται. οἷον. ἢ ἁλύεις ὅτι Ἶρον ἐνίκησας, τὸ δὲ λυπεῖσθαι ψιλοῦται. τὸ μὲν γὰρ ἀπὸ τοῦ ἁλεαίνεσθαι, τὸ δ' ἀπὸ τῆς ἄλης. Ἀττικώτερον δέ φασι τὸ καὶ ἄμφω δασύνειν, καὶ γὰρ καὶ τὸ ἁλεαίνειν δασύνουσιν Ἀττικοί. ὡς καὶ τὸ, ἁμὶς, καὶ ἅμαξα. καὶ ἁμνός. ἀπὸ δὲ τοῦ ἁλύειν καὶ ἁλυσκάζειν τὸ περιΐστασθαι καὶ ἐκκλίνειν. καὶ ἁλυσθαίνειν τὸ ἀδυνατεῖν καὶ ἁλυκτεῖν τὸ δυσφορεῖν. Παυσανίας δὲ ἀλύειν λέγει τὸ ἐν ἄλῃ καὶ παρέσει τὴν ψυχὴν ἔχειν. Ὅρα δὲ ὅπως ὁ τοσοῦτος Κύκλωψ κακὸν μέγα μεθυσθεὶς ἔπαθε. καὶ πρόσθες καὶ αὐτὸν τοῖς ἐκ μέθης πάσχουσιν. ὃ καὶ οἱ παλαιοὶ ποιοῦντες ἐν τῷ κατατρέχειν τῆς μέθης φασὶν ὅτι δι' αὐτὴν καὶ ὁ τηλικοῦτος Κύκλωψ ἀπὸ μικροῦ σώματος ἀπολλύμενος πεποίηται. καὶ Εὐρυτίων ὁ κένταυρος. αὕτη τοὺς παρὰ Κίρκῃ λέοντας καὶ λύκους ποιεῖ ἐπακολουθοῦντας ἡδοναῖς, Ὀδυσσέα μέντοι σώζει ἀπαθῆ Ἑρμῆς λόγῳ πεπεισμένον. μέθη καὶ Ἐλπήνορα πάροινον ὄντα καὶ τρυφηλὸν κατακρημονίζει. Ἀντίνοος δὲ πρὸς Ὀδυσσέα εἰπὼν, οἶνός σε τρώει μελιηδὴς, αὐτὸς οὐκ ἀνέχεται τοῦ πόματος, ἀλλ' ἀπόλλυται κρατῶν ἔτι τὸ ποτήριον. ποιεῖ δὲ καὶ τοὺς Ἕλληνας Ὅμηρος ἐν τῷ ἀπόπλῳ μεθύοντας. διὸ καὶ στασιάζοντας. ὅθεν καὶ ἀπόλλυνται. μνηστέον δ' ἐν τούτοις καὶ τοῦ Ἀτρείδου σκωπτωμένου ὅτι ὡς οἰνοβαρὴς καὶ ἔμφορτος οἴνου σκώπτεται. οὕτω δὲ καὶ οἱ Ἀχαιοὶ, ὡς διὰ πλησμονὴν οἴνου κενεαυχέες ἐν Λήμνῳ φανέντες. (ηερς. 400.) Ὅτι ὁ Πολύφημος ὀδυνηθεὶς ἐν τῷ τυφλωθῆναι Κύκλωπας μεγάλ' ἤπυεν, οἳ ἀμφ' αὐτὸν ᾤκεον ἐν σπήεσσι δι' ἄκριας ἠνεμοέσσας. οἱ δὲ βοῆς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος. ἱστάμενοι δ' εἴροντο περὶ σπέος (ηερς. 402.) ὅ,ττι ἑ κήδοι. ἤγουν τί ἂν αὐτὸν βλάπτοι τουτέστι βιάζεται ὡς μετ' ὀλίγα ἐρεῖ. εἶτα ἐπάγει. τίπτε τόσον Πολύφημ' (ηερς. 403.) ἀρημένος ὅ ἐστι βεβλαμμένος, ὧδ' ἐβόησας νύκτα δι' ἀμβροσίην καὶ ἀΰπνους ἄμμε τίθησθα; ἢ μή τις σεῦ μῆλα βροτῶν (ηερς. 405.) ἀέκοντος ἐλαύνει ὅ ἐστιν ἀπελαύνει κατὰ βίαν ὅπερ ἴσως ὀϊσάμενος κατὰ τὸν τοῦ Ὀδυσσέως λόγον, (ηερς. 406.) συνέκλεισε τὰ ὅλα, ἢ μή τις σὲ αὐτὸν κτείνῃ δόλῳ, ἠὲ βίῃφι; Ὁ δὲ ἐξ ἄντρου προσεῖπεν. ὦ φίλοι. (ηερς. 408.) Οὗτίς με κτείνει δόλῳ οὐδὲ βίῃφι, καθὰ πρὸ ὀλίγων γέγραπται. οἱ δὲ (ηερς. 410.) τὸ ῥηθὲν ἐπιπολαίως νοήσαντες ὡς προδεδήλωται διὰ τὸ δεξιὸν τοῦ σοφίσματος εἶπον. εἰ μὲν δὴ μή τίς σε βιάζεται οἶον ἐόντα, νοῦσόν γ' οὔπως ἐστὶ Διὸς μεγάλου ἀλέασθαι, τουτέστι λῃστεύοντος μέν τινος, ἀμυνούμεθα. νοσοῦντι δέ σοι ἐκ Διὸς οὐκ ἔστι τις ἀποφυγὴ, ἀλλ' ἢ πάντως θεόθεν. διὸ ἐπάγουσιν. (ηερς. 412.) ἀλλὰ σύ γε εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι. ἐξ οὗ δῆλον μὴ ἀσεβεῖς εἶναι κατὰ τὸν Πολύφημον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τοὺς λοιποὺς Κύκλωπας. οὓς φίλους ἑαυτῷ ἔφη, κολακεύων ἀμεθόδως ὁ ἄφιλος καὶ ἄγριος καὶ κακόξενος. (ῃερς. 400.) Ἄκριες δὲ κατὰ τοὺς παλαιοὺς ἄκρα ὀρῶν. λόφοι. ἐσχατιαί. γωνίαι. καὶ ἀκρίζειν, τὸ τὰ ἄκρα ἐπιπορευέσθαι. ὃ καὶ 1.353 ἐξακρίζειν Εὐριπίδης φησίν. ἕτερος δέ τις ἐπήκρισε φησὶν ἀντὶ τοῦ ἐπάκρον ἤγαγε καὶ τέλος ἐπέθηκεν. 1.353 οἱ δὲ παλαιοὶ φασὶ καὶ οὕτως. ἄκριες, λόφοι ὀρῶν οἱ καὶ ἄμβωνες, ὧν πολλὴ ἡ χρῆσις. φησὶ γοῦν Αἴλιος Διονύσιος. ἄμβωνες, λόφοι ὀρῶν, καὶ ἴτυς πᾶσα καὶ οἷον ὀφρὺς καὶ ὑπεροχή. καὶ χείλη δὲ λοπάδων. οἷον. πολλῶν ἤδη λοπάδων τοὺς ἄμβωνας περιλείξας. ἐῤῥέθη δὲ καὶ ἐπὶ μορίου γυναικείου ὁ ἄμβων. φέρεται δὲ καὶ ὅτι ἄμβων, λοπάς. καὶ ἡ τῆς λοπάδος ἐνδοτάτω ὀφρύς. καὶ τὰ χείλη. καὶ ὀρῶν λόφοι. προσαναβάσεις. ὑπεροχαί. καὶ αἱ τοῖς κοιλώμασι περικείμεναι ὀφρῦς. Ἡρόδοτος δὲ τὰς ἄκριας ἄκρια οὐδετέρως φησὶν ἐν τῷ, οἱ μὲν εἶχον τὰ περὶ τὴν πόλιν καὶ τὸ πεδίον. τὰ δ' ὑπεράκρια ἔδοσαν Καρσί. δοκεῖ δὲ ὥσπερ κιθάρα κίθαρις, οὕτως εἶναι καὶ ἄκρη ἄκρις Ἰωνικῶς. (ῃερς. 404.) Τὸ δὲ ἀΰπνους ἄμμε τίθησθα, φανερῶς τὸ ἄμμε δυϊκὸν ἀντὶ πολλοῦ πλήθους λαμβάνει κατὰ διαφορίαν Ἰωνικὴν. (ῃερς. 413.) Ὅτι ἐπεί περ οἱ Κύκλωπες ἀπατηθέντες πρὸς τὸ Οὖτις ὄνομα, εἶπον. εἰ μὲν δὴ μή τίς σε βιάζεται, οὐκ ἔστιν ἡμᾶς ἀμύνασθαι, πάνυ Ὀδυσσεὺς ἐχάρη. φησὶ γοῦν. ὡς ἂρ ἔφαν ἀπιόντες, ἐμὸν δ' ἐγέλασε φίλον κῆρ, ὡς ὄνομ' ἐξηπάτησεν ἐμὸν καὶ μῆτις ἀμύμων. Ἔστι δὲ τὸ ἐγέλασε φίλον κῆρ ἀνάπαλιν πρὸς τὸ, ἐκ δ' ἐγέλασεν. ἐκεῖνο μὲν γὰρ ἀντὶ τοῦ ἔξω καὶ κατὰ μόνα χείλη; ἢ καὶ ἐμφανῶς. τοῦτο δὲ ἀντὶ τοῦ, κρυφῇ ἔνδον, κατὰ τὸ ἀνέκφερον. Τὸ δὲ ἀπιόντες, πρὸς ἀσφάλειαν πλείω κεῖται, δῆλον γὰρ ὡς εἴπερ μὴ ἀπιόντες ἔλεγον ἀλλ' ἱστάμενοι, ἐπέστησεν ἂν ὁ Κύκλωψ, καὶ διευκρινήσας, ὅπερ εἶπεν, ἔβλαψεν ἂν οὕτω τοὺς ἐχθρούς. δόξοι δ' ἂν τὸ, ἐμὸν δ' ἐγέλασε φίλον κῆρ καὶ ἑξῆς, καὶ Ὁμηρικὸς ἐμφαίνειν χαρὰν ἐπὶ τῇ δεξίᾳ πλάσει τοῦ τοιούτου σοφίσματος. (ῃερς. 415.) Ὅτι τὸ, Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνῃσι, παρήχησίν τινα παραλαλεῖ καινοτέραν, οὐ σπουδασθεῖσαν ἴσως ἀλλὰ εἰκῇ καὶ οὐκ ἐκ περιέργου παραπεσοῦσαν, διὰ τὸ τῶν ὁμοιοφώνων λέξεων καίριον. ὥς που καὶ παρὰ Ἱμερίῳ ἔχει τὸ, κοιμίζει μὲν δῆμον κυμαίνοντα. ὅπερ ὁμοίως ἔχει τῷ, κοίμησε δὲ κύματα δαίμων. καὶ, Φυλέα φίλον μακάρεσσι θεοῖσι. καὶ, ἔκειτο ἐν φύλλοις φίλον τετιημένος ἦτορ. τὸ μέντοι, εἰ μὲν δὴ μή τίς σε βιάζεται καὶ τὸ μῆτις ἀμύμων, οὐ κατὰ ταῦτα μὲν, παρηχεῖ δ' ὅμως καὶ αὐτὸ κατά τινα παρήχησιν ἀλλόφυλον. ὁποῖόν τι καὶ τὸ, τῷ δ' ἄρα πέμπῳ πέμπε νέεσθαι. καὶ, ἐπὶ Ἴρῳ ἦρα φέρων. καὶ, νῆα παρὲξ ἐλάαν ἐπεὶ φέρτερον ἓξ ἑτάρους ποθεῖν. ἐφ' οἷς πολλάκις τῷ λόγῳ παραπίπτουσιν, οὐδένα χρὴ προστρίβεσθαι ψόγον τοῖς ῥήτορσι. Τὸ δὲ ὠδίνειν κυρίως ἐπὶ γυναικῶν τεθειμένον σφοδρὰν ἐνταῦθα ὀδύνην δηλοῖ. ἡ δὲ ἐπιφορὰ τοῦ ὀδύνῃσι πρὸς διαστολὴν τοῦ ἐπὶ τόκῳ ὠδίνειν. Τοῦ δὲ ᾠκειῶσθαι τῇ ὠδῖνι τὰς ὀδύνας δηλωτικὸν καὶ ἡ ἐν Ἰλιάδι παραβολὴ, τὸ, ὡς δ' ὅτ' ἂν ὠδίνουσαν ἔχῃ βέλος καὶ ἑξῆς. (ῃερς. 416.) Ὅτι ὁ Κύκλωψ μετὰ τὴν τύφλωσιν χερσὶ ψηλαφόων ἀπὸ μὲν λίθον εἷλε θυράων. αὐτός δ' εἰνὶ θύραις καθέζετο χεῖρε (ῃερς. 417.) πετάσας ὅ ἐστιν ἁπλώσας. ὃ καὶ ἐπὶ Ὀδυσσέως ἐλέχθη, ὁπηνίκα ἐνήχετο. ἐκάθετο δὲ οὕτως, εἴ τινά που μετ' ὄεσσι λάβοι στείχοντα θύραζε. οὕτω γάρ πού με ἤλπετο ἐνὶ φρεσὶ νήπιον εἶναι. αὐτὰρ ἐγώ φησι βούλευον, ὅπως ὄχ' ἄριστα γένοιτο. ἤγουν εἴ τινα ἑτάροισι θανάτου λύσιν καὶ ἐμοὶ αὐτῷ (ῃερς. 422.) εὐροίμην. Καὶ ὅρα τὸ εὑροίμην μέσου ἀορίστου δευτέρου τοῦ εὑρόμην. ὡς τὸ, τάδε σοῦ θανόντος εὑρόμην. ἐξ οὗ καὶ τὸ εὑρέσθαι ἀπαρέμφατον. τοῦ γὰρ εὑράμην καὶ τοῦ εὕρασθαι οὐκ ἔστι χρῆσιν εὑρεῖν. (ῃερς. 416.) Καὶ ὅτι τὸ τῶν θυρῶν ὄνομα ἐπὶ τοῦ ἀθυρώτου σπηλαίου πλεονάζει παρὰ τῷ ποιητῇ. (ῃερς. 4.) καὶ ὅτι τὸ βουλεύειν ἐνεργητικῶς κἀνταῦθα κεῖται. (ῃερς. 416.) Καὶ ὅτι τὸ χερσὶ ψηλαφᾶν πρὸς διαστολὴν ἑτέρων εἴρηται ψηλαφήσεων. ἐπὶ δὲ τούτοις φησὶν Ὀδυσσεὺς καὶ ὡς πάντας δόλους καὶ μῆτιν ὕφαινον ὥστε περὶ ψυχῆς. μέγα γὰρ κακὸν ἐγγύθεν ἦεν. (ῃερς. 422.) ἔνθα τὸ μὲν πάντας δόλους ἀντὶ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλοὺς κεῖται. ἢ καὶ ἄλλως, πάντας τοὺς περὶ τοῦ προκειμένου πράγματος. Τὸ δὲ ὡς περὶ ψυχῆς εἰς παροιμίαν ἐτέθη. κείμενον καὶ ἐν Ἰλιάδι ἔνθα τὸν περὶ ψυχῆς δρόμον θέειν ὁ Ἕκτωρ λέγεται. (ῃερς. 423.) ταῦτα δὲ ῥηθείη ἂν καὶ ἐπὶ παντὸς ἀνδρὸς κινδύνῳ περιπεσόντος. (ῃερς. 419.) Ἐν δὲ τῷ, ἐνὶ φρεσὶ νήπιον εἶναι, ἀναγκαία ἡ τῆς διαστολῆς θέσις, ἵνα τὸ ἐπαγόμενον νοοῖτο, νήπιον εἶναι. καὶ μὴ ἄλλως ἤπιον. (ῃερς. 442.) Ἐν τούτῳ δὲ Ὀδυσσεὺς νήπιον τὸν Κύκλωπα εἶναι εἰπὼν εἰ οὕτω νήπιον τοῦτον ἐκεῖνος οἴεται, προϊὼν καὶ ἄλλως νήπιον φανερῶς ἐκεῖνον σκώψει, ἐν οἷς οὐκ ἐνόησε τὴν τοῦ Ὀδυσσέως μηχανήν. ὁ δὲ καὶ ἄλλως ἐκ πολλῶν ἐφάνη τοιοῦτος εἶναι καθὰ καὶ προείρηται. ὅς γε καὶ νῦν τοὺς Κύκλωπας δυνάμενος συγκαλέσασθαι καὶ ὑπὸ φωτὶ λαμπρῷ 1.354 ἡμέρας ἰχνηλατήσειν τοὺς βλάψαντας, οὐδ' αὐτὸ ἐνόησεν. εἰς λύσιν οὖν (ῃερς. 424.) πολλῶν τοιούτων ἀποριῶν ἐπιφωνεῖται τῷ Κύκλωπι τὸ, νήπιος. τοιοῦτος γὰρ φαίνεται εἶναι ὁ ἀνὴρ εὐηθικὸς κατὰ τὸν φίλον αὐτῷ κριὸν, ὃν καὶ ὁμοφρονεῖν ἐθέλει αὐτῷ. (ῃερς. 426.) Ὅτι πολλὰ βουλευσάμενος Ὀδυσσεὺς φησίν. ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή. ἄρσενες ὄϊες ἦσαν ἐΰτρεφέες δασύμαλλοι καλοί τε μεγάλοι τε (ῃερς. 427.) ἰοδνεφὲς εἶρος ἔχοντες, ὅ ἐστι μέλαν ὡς καὶ ἐν ἄλλοις κεῖται. οὓς ἀκέων συνέεργον ὅ ἐστι συνεῖργον, συνεδέσμουν, ἐϋστρεφέεσσι λύγοισι. τῇς ἔπι Κύκλωψ εὗδε πέλωρ, ἀθεμίστια εἰδώς. σύντρεις αἰνύμενος. ὁ μὲν ἐν μέσῳ ἄνδρα φέρεσκε, τὼ δ' ἑτέρω ἑκάτερθεν ἴτην σώοντες ἑταίρους. (ῃερς. 431.) τρεῖς δ' ἕκαστον φῶτ' ὄϊες φέρον. ἤτοι ἐβάσταζον. φοράδην ἦγον. κυριολεκτεῖται γὰρ νῦν τὸ φέρειν. αὐτὰρ ἔγωγε ἀρνειὸς γὰρ ἔην μήλων ὄχ' ἄριστος ἁπάντων, τοῦ, κατὰ νῶτα λαβὼν, λασίην (ῃερς. 433.) ὑπὸ γαστέρα ἐλυσθεὶς ὅ ἐστι κρυβεὶς, εἰληθεὶς, (ῃερς. 434.) κείμην ἤτοι ἐκρεμάμην. γενικῶς καὶ νῦν εἰπεῖν. αὐτὰρ χερσὶν ἀώτου ἤγουν ἐρίου ὡς ἀλλαχοῦ ἐγράφη (ῃερς. 435.) θεσπεσίοιο διὰ τὸ καὶ δασὺ καὶ ἁπαλὸν, νωλεμέως στρεφθεὶς ἐχόμην τετληότι θυμῷ. ἦν γὰρ ἀληθῶς ἀνδρὸς τλήμονος, οὕτως εἰληθέντα καὶ τοῦ μαλλοῦ ἀπαιωρηθέντα μένειν ἐχόμενον. ἀναγκαίως δὲ γίνεται τοῦτο, ἵνα τε εἴη ὁ λύσων τοὺς ἑταίρους ἐκ τῶν δεσμῶν αὐτὸς ἄδετος ὢν, καὶ ὅτι οὐδὲ εἶχεν αὐτὸς ἕτερον τὸν συνδήσοντα. ἀλλὰ τοῦτο μὲν ἐσαύριον πρωΐ. τότε δέ φησι, στενάχοντες ἐμείναμεν ἠῶ δῖαν. (ῃερς. 425.) Εὐτρεφέες δὲ ὄϊες ἐνταῦθα καὶ καλοὶ καὶ μεγάλοι πλάττονται, ἐπεὶ καὶ τοιούτων χρεία τῷ Ὀδυσσεῖ, ἵνα σύντρεις λαμβάνων τοιούτους καὶ συνείργων λύγοις, σώζῃ τῷ μέσῳ ἕκαστον τῶν περισεσωσμένων ἑταίρων. (ῃερς. 432.) Τὸν μέντοι δεδηλωμένον ἀρνειὸν μήλων ἁπάντων ὄχα ἄριστον λέγει, πιθανευόμενος τὸ δι' ἑνὸς καὶ μόνου αὐτοῦ σωθῆναι τὸν Ὀδυσσέα. τοῦτον δὲ τὸν ἀρνειὸν καὶ λαχμῷ στείνεσθαι μετ' ὀλίγα ἐρεῖ. καὶ μακρὰ βιβάντα διὰ τὸ μέγεθος. ὁποῖον δή τί που καὶ ἐν Ἰλιάδι περὶ τοῦ Αἴαντος ἔφη. (ῃερς. 435.) Ὅρα δὲ καὶ ὅτι ὄϊες ἐνταῦθα οὐ θηλυκῶς κατὰ Ἴωνας, ἀλλὰ πρὸς γένος ἀρσενικὸν ἐγράφη. ὡς δηλοῖ τὸ, καλοί τε μεγάλοι τε. καὶ τὸ, τοὺς ἀκέων συνέεργον. τοὺς μέντοι λύγους θηλυκῶς προήγαγεν. ὡς δῆλον ἐκ τοῦ, ἐφ' αἷς Κύκλωψ εὗδε. (ῃερς. 427.) Λύγος δὲ, ὡς καὶ ἐν Ἰλιάδι, φυτὸν εὔστροφον. καὶ ὡς ἀπ' αὐτοῦ ἐκείνου εἰπεῖν, εὐλύγιστον. ὃ δὴ καὶ ἄγνος λέγεται παρ' Ἀττικοῖς. φησὶ γοῦν Αἴλιος Διονύσιος. ἄγνον ἀρσενικῶς, οὐ λύγον καλοῦσιν Ἀττικοί. φέρει δὲ καὶ χρῆσιν Πλάτωνος ταύτην. ἥ, τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφὴς καὶ ὑψηλὴ καὶ τοῦ ἄγνου τό τε ὕψος καὶ τὸ σύσκιον πάγκαλον. δοκεῖ δὲ καὶ τὸ λυγρὸν ἀπὸ τοῦ τοιούτου γίνεσθαι λύγου, ὡς μετ' ὀλίγα ῥηθήσεται. λύγου δὲ πάντως παράγωγον καὶ τὸ λυγίζειν καὶ ὁ ἐξ αὐτοῦ λυγισμός. ἐξ οὗ τέτραπται καὶ ὁ κατὰ τὰς ὀρχήσεις. οὗ χρῆσις παρὰ τῷ κωμικῷ. (ῃερς. 425.) Οὐ ζατρεφέας δὲ ὄϊας λέγει ἀλλ' εὐτρεφέας, φώκαις γὰρ ἀπενεμήθη τὸ ζατρεφές. ἴσως δὲ καὶ ἐπίτηδες ὁ ποιητὴς ἀντέφρασε παρηχητικῶς διὰ γλυκύτητα τοῖς εὐστρεφέσι λύγοις τὰς εὐτρεφέας ὄϊς. (ῃερς. 427.) Ὅτι δὲ κλώσματος εἶδος τὸ στρέφειν ἐνταῦθα, δηλοῖ καὶ ὁ εἰπὼν στρεψίμαλλον ὄϊν τὴν ὡς εἰπεῖν κλωστόμαλλον. ὅθεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στρεψιμάλλους ἐκάλουν οἱ παλαιοὶ τοὺς περιλαλοῦντας καὶ κακοσχόλως φράζοντας, λαβόντες τὸ σκῶμμα ἀπὸ ἐρίων συνεστραμμένους μαλλοὺς ἐχόντων καὶ οὕτω δυσλύτων. Τὸ δὲ δασύμαλλον καὶ εὐτραφὲς καὶ τὸ μακρὰ βιβάντα μεταλαμβάνων ὁ ποιητὴς καὶ ταναΰποδα καὶ πίονα δημῷ καὶ καλλίτριχα τὰ τοῦ Κύκλωπος μῆλα φησίν. (ῃερς. 429.) Ὅτι δὲ ὁ πέλωρ καὶ πέλωρος λέγεται καὶ πελώριος φαίνεται μυριαχοῦ. (ῃερς. 428.) Τὸ δὲ σύντρεις, Ἀττικὸν, καθὰ καὶ τὸ σύνδυο. σὺν τρεῖς δὲ εἰπεῖν τῆς κοινῆς ἔστι φράσεως. οὕτω δὲ μετὰ τῆς σ¯υν προθέσεως λαλεῖται καὶ τὸ οὐδὲ ξυνεείκοσι φωτῶν. (ῃερς. 430.) Τὸ δὲ ἕτερος ἑκάτερθεν ἴτην δηλοῖ φανερῶς ὡς ἐπὶ δύο μὲν λέγεται τὸ ἑκάτερος, ἐν δὲ τῷ ἕτερος ἐκ τῶν δύο δηλοῦται τὸ ἕν. ἔστι δὲ ταυτὸν εἰπεῖν ἕτερος ἑκατέρωθεν καὶ δύο ἑκατέρωθεν. (ῃερς. 431.) ἤγουν εἷς ἔνθεν καὶ εἷς καὶ ἐκεῖθεν. τοῦτο δὲ ὅμοιον ὡς εἰ καὶ εἶπεν ὅτι οἱ δὲ δύο ἑκατέρωθεν ἢ ἑκάτερος ἑκατέρωθεν ἐπορεύοντο. τὸ γὰρ ἕτερος ἑκατέρωθεν δύο πάντως δηλοῖ. ἔστι δὲ πάντων τούτων σαφεστέρα ἡ Ὁμηρικὴ φράσις καὶ κρείττων τριχῇ ἐστραμμένη. ἁπλούστερον μὲν γὰρ τὸ, σύντρεις αἰνύμενος. διασαφητικὸν δὲ τούτου τὸ, ἕτερος ἑκάτερθεν τοῦ μέσου ἴτην. αὐτοῦ δὲ πάλιν ἐφερμηνευτικὸν τὸ, τρεῖς δὲ ἕκαστον ἔφερον. ἵνα εἷς μὲν εἴη ὁ μέσος, δύο δὲ ὁ ἕτερος ἑκάτερθεν. (ῃερς. 439.) Ὅτι ἐν τῷ, θήλειαι δὲ μέμηκον ἀνήμελκτοι περὶ σηκοὺς, συλληπτικῶς τὸ μηκᾶσθαι καὶ 1.355 τὰς ὄϊς δηλοῖ, ἐφ' ὧν τὸ βληχᾶσθαι κυριολεκτεῖται. τὸ γάρ τοι μηκᾶσθαι κυρίως ἐπὶ αἰγῶν λέγεται. Τὸ δὲ ἀνήμελκτοι, ἐκ τοῦ ἀνάμελκτοι ἐμηκύνθη κατὰ τροπήν. ὡς καὶ ἐκ τοῦ ἀλέγω τὸ ἀπηλεγέως γίνεται. (ῃερς. 440.) Ἰστέον δὲ ὡς λυπεῖ τὰ ὡς ἐῤῥέθη ἀνήμελκτα ζῷα ὁ τοῦ γάλακτος πλεονασμὸς διατείνων τοὺς μαστούς. ὡς δηλοῖ καὶ τὸ, οὔθατα γὰρ σφαραγεῦντο. περὶ οὗ πρὸ βραχέων εἴρηται. (ῃερς. 441.) Ὅτι Κύκλωψ ὀδύναις κακαῖς τειρόμενος πάντων ὀΐων ἐπεμαίετο νῶτα, ὅ ἐστιν ἐζήτει χερσὶ δηλαδὴ ψηλαφῶν ὡς προεῤῥέθη, ὀρθῶν ἑσταότων. τὸ δὲ, (ῃερς. 442.) νήπιος οὐκ ἐνόησεν, ὡς ὑπ' εἰροπόκων ὀΐων στέρνοισι δέδεντο, ἐξιόντων δηλαδὴ τοῦ σπηλαίου πρὸ τοῦ Ὀδυσσέως (ῃερς. 444.) ὃς οὕτω φιλεταῖρος ἦν, ὡς ἐν ὑστέρῳ τῶν φίλων τὸ αὐτοῦ τίθεσθαι ἀσφαλές. διὸ καὶ πρώτους ἐκείνους ὑπεξαγαγὼν τοῦ σπηλαίου εἶτα ὕστερος ἐξῆλθε. φησὶ γοῦν. (ῃερς. 445.) ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε λαχμῷ στεινόμενος καὶ ἐμοὶ πυκινὰ φρονέοντι. ᾧ ἀντίκειται κατὰ τοὺς παλαιοὺς ὁ χαῦνος, ὃς δι' αὐτὸ καὶ ἀραιὰς φρένας ἔχοιτ' ἄν. εἰ δὲ τὸ ἀρεὸν πλείονα δοκεῖ τόπον κατέχειν τοῦ τὴν αὐτὴν ὁλκὴν ἔχοντος πυκνοῦ, καὶ διατοῦτο καὶ πεπληθύνθαι δοκεῖ, τάχ' ἂν ἐντεῦθεν δόξοι ληφθῆναι παρ' Ἡσιόδῳ τὸ φρένας ἀφνειὸν εἰπεῖν τὸν μωρὸν ἀντιφραστικῶς, οἷα μὴ πυκινὸν ἀλλὰ χαῦνον καὶ ἀραιὸν καὶ οὕτω δοκοῦντα πληθύνεσθαι πλατικώτερον. Λέγει δὲ νῦν λαχμὸν τὴν ἐκ τῆς λάχνης λασιότητα. λαμβάνεται δέ ποτε ἡ λέξις καὶ ἐπὶ τοῦ λαχάνειν. οἱ δὲ παλαιοὶ φασὶ κάλλιον ἐνταῦθα γράφειν λάχνῳ κατὰ Ἡρῳδιανὸν ἀπὸ παρωνυμίας τοῦ λάχνη, ὃ δηλοῖ τὴν τρίχωσιν καὶ δασύτητα. (ῃερς. 446.) Εἶτα δεικνὺς ὁ ποιητὴς ὡς πρώτῳ αὐτῷ κατώρθωται διαλέγεσθαι τοῖς ἀλόγοις ζῴοις ὡς φρονοῦσι ποιεῖ τὸν Κύκλωπα προσλαλοῦντα κατὰ ἠθοποιΐαν τῷ μεγάλῳ ἀρνειῷ, εἰπών. τὸν δ' ἐπιμασσάμενος προσεφώνει κρατερὸς Πολύφημος. κριὲ πέπον, τί μοι ὧδε διὰ σπέος ἔσσυο μήλων ὕστατος; οὔτι πάρος γε λελειμμένος ἔρχεαι οἰῶν, ἀλλὰ πολὺ πρῶτος νέμεαι τέρενα ἄνθεα ποίης μακρὰ βιβάς. πρῶτος δὲ ῥοὰς ποταμῶν ἀφικάνεις. πρῶτος δὲ σταθμόνδε λιλαίεαι ἀπονοαίεσθαι ἑσπέριος. νῦν αὖτε πανύστατος, ἦ σύ γ' ἄνακτος ὀφθαλμὸν ποθέεις, τὸν ἀνὴρ κακὸς ἐξελάωσε σὺν λυγροῖς ἑτάροισι δαμασσάμενος φρένας οἴνῳ, Οὖτις; ὃν οὔπω φημὶ πεφυγμένον εἶναι ὄλεθρον εἰ δὴ ὁμοφρονέοις ποτιφωνήεις τε γένοιο, εἰπεῖν ὅππῃ κεῖνος ἐμὸν μένος (ῃερς. 457.) ἠλασκάζει. ὅ ἐστιν ἀλᾶται. ἀλυσκάζει. ἐκφύγει. τῷ καί οἱ ἐγκέφαλός γε ποτὶ σπέος ἄλλυδις ἄλλῃ θεινομένου ῥαίοιτο πρὸς οὔδει. κὰδ δ' ἐμὸν κῆρ λωφήσειε κακῶν, (ῃερς. 460.) τά μοι οὐτιδανὸς πόρεν Οὖτις. ὅπερ ἔοικε σκωπτικῇ παρηχήσει. ὡς τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατὰ τὸν Ὀδυσσέα Οὔτιδος, παρονομαζομένου τῇ οὐτιδανότητι. ὁποῖόν τι καὶ τὸ, Οὗτις ὃν οὔπω φημὶ πεφυγμένον εἶναι ὄλεθρον. ἐχρῆν γὰρ εἰπεῖν πεφυγμένον εἶναι ὀλέθρου. κατὰ τὸ, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων. (ῃερς. 442.) Τὸ δὲ νήπιος οὐκ ἐνόησε, σημειοῦται καὶ αὐτὸ σὺν τοῖς προλεχθεῖσι τὴν τοῦ Πολυφήμου ἀφροσύνην. ὃς δέον ὂν ἀκριβῶς ψηλαφᾶν τὰ μῆλα, ὁ δὲ, μόνα τὰ νῶτα ἠρεύνα ἐπιμαιόμενος ὡς ἐῤῥέθη. ὅπερ ὅμοιόν ἐστι τῷ ἐπιμασσάμενος. (ῃερς. 444.) Τοῦ δὲ ὕστατος ἐπίτασις τὸ πανύστατος. (ῃερς. 445.) τὸ δὲ λαχμῷ στεινόμενος πάλιν πολλὴν εἶναι καὶ τὴν τοῦ ἀρνειοῦ δηλοῖ τρίχωσιν ὡς καὶ στενοχωρεῖν ἐκεῖνον. διὸ καὶ μόνος αὐτὸς εἶχε πιθανῶς φέρειν τὸν Ὀδυσσέα στρεφθέντα περὶ αὐτόν. Τὸ δὲ καὶ ἐμοὶ πυκινὰ φρονέοντι, ἔχει τι ἀστεϊσμοῦ. ὡς τοῦ κριοῦ, τῷ πυκινῷ τε λαχμῷ στεινομένου, καὶ τῷ πυκινῷ Ὀδυσσεῖ. οὗ περίφρασίς ἐστι τὸ, πυκινὰ φρονέοντι. ὅπερ ἁπλοϊκῶς κεῖται εἰς ἔπους ἀναπλήρωσιν καὶ προσωπικὴν σύστασιν. (ῃερς. 446.) Τὸ δὲ ἐπιμασσάμενος, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ μῶ μάσω. ἐξ οὗ παράγωγον τὸ, ἐπεμαίετο νῶτα. (ῃερς. 447.) Πέπονα δὲ τὸν κριὸν εἰπεῖν, ἁπλοῦ καὶ αὐτὸ ἤθους καὶ ἀφελοῦς καὶ ὑπό τι νηπίου. τοιοῦτος γὰρ ὁ ξείνους μὲν μὴ φιλῶν κριῷ δὲ πέπονι χρώμενος. (ῃερς. 449.) Τὸ δὲ πολὺ πρῶτος νέμεαι, καὶ πρῶτος ῥοὰς ποταμῶν ἀφικάνεις, καὶ πρῶτος εἰς σταθμὸν ἀπέρχῃ, κτίλον τε εἶναι τὸν κριὸν ἐμφαίνει, καὶ κάλλος δὲ ἔχει κατὰ ἐπαναφορὰν, διὰ τὴν τοῦ πρῶτος ἐπανακύκλησιν. (ῃερς. 450.) Τὸ δὲ ῥοὰς ποταμῶν, πολλοὺς εἶναι ποταμοὺς δηλοῖ τῇ γῇ τῶν Κυκλώπων. (ῃερς. 451.) Σταθμὸν δὲ καὶ νῦν τὴν ἀγροτικὴν οἴκησιν λέγει. (ῃερς. 452.) Ἀπονέεσθαι δὲ, τὸ ἐπανελθεῖν. (ῃερς. 452.) Τὸ δὲ ἐξαλάωσε, περιττὴν ἔχει τὴν πρόθεσιν. ἀλλαχοῦ γὰρ ὃν ὀφθαλμοῦ ἀλάωσεν ἔφη. (ῃερς. 453.) Λυγροὺς δὲ ἑταίρους, τοὺς κακοὺς, ὅ ἐστι δειλούς. κυρίως δὲ τὸ λυγρὸν χαλεπόν ἐστι. καὶ, ὡς εἰπεῖν, ψυχρὸν καὶ θανάσιμον. ὡς καὶ σίδηρος ψυχρὸς ὁ θανατοποιός. καὶ γίνεται ἡ λέξις παρὰ τὸν πρὸ ὀλίγων ῥηθέντα λύγον, ἵνα ᾖ λυγηρὸν. 1.356 λύγος δὲ ὡς ἐῤῥέθη ὁ ἄγνος, φυτὸν ψυχρὸν καὶ ἐκ τῆς ἀγονίας ἄγνος λεγόμενον κατὰ συγκοπήν. διὸ καὶ οἱ ἁγνεύειν ἐν θεσμοφορίοις ἐθέλοντες ὑπεστρώνυον ἑαυτοῖς τῶν τοῦ ἄγνου κλάδων ἵνα μένοιεν ἄφυσοι. ὥσπερ δὲ κατὰ τὴν ποίησιν ᾠκείωται τοῖς κάτω ἡ ἰτέα διὰ ὠλεσίκαρπον, οὕτω καὶ ἄγνος ἤγουν ὁ λύγος διὰ τὸ ψυχρὸν καὶ ἐντεῦθεν ἄγονον. ἴσως δ' ἐκ τοῦ τοιούτου λύγου καὶ λυγαλέον καὶ πλεονασμῷ, λευγαλέον τὸ ὀλέθριον. (ῃερς. 455.) Τὸ δὲ ποτιφωνήεις γένοιο ἀντὶ τοῦ αὐδήεις εἴρηκε, γενικῶς εἰπών. πᾶσα μὲν γὰρ αὐδὴ καὶ φωνή ἐστιν. οὐ μὴν καὶ πᾶσα φωνὴ αὐδὴ λεχθείη ἄν. ἡ γοῦν τοῦ κριοῦ αὐδὴ μὲν οὐκ ἂν εἴη, φωνὴ δέ ἐστι. διὸ καὶ πρὸς ἑρμηνείαν τοῦ ποτιφωνήεις ἐπάγει τὸ, εἰπεῖν ὅππῃ κεῖνος ἠλασκάσκει, δηλῶν οὕτως ὅτι φωνήεντα νῦν ἔφη τὸν αὐδήεντα καὶ λόγῳ χρησάμενον προφορικῷ. καθ' ἣν ἔννοιαν καὶ προσφωνεῖν τις λέγεταί τινα. καὶ τέχνη δὲ παραδέδοται λογογραφίας προσφωνητικῆς. χρῆσις δὲ σημασίας τοιαύτης καὶ παρ' Ὁμήρῳ ἐν τῷ, ἀμείβετο φώνησέν τε. τουτέστιν, εἶπεν. ἐλάλησεν. αὐδῇ ἐχρήσατο. ἐφθέγξατο γὰρ εἰπεῖν, οὐ πάνυ προσφυὲς, εἴγε φθόγγον καὶ φθέγγεσθαι καὶ ἐπὶ ἀλόγων τίθησί που ὁ ποιητής. ἔτι χρῆσις ὁμοία καὶ ἐν τῷ, οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο. οὕτω καὶ Πίνδαρος βέλη φωνεῦντα, ὅ πέρ ἐστι φωνέοντα, τοὺς ἑαυτοῦ λόγους εἶπε, λαβὼν καὶ αὐτὸς τὸ φωνῆσαι ἀντὶ τοῦ εἰπεῖν ὁμοίως Ὁμήρῳ. (ῃερς. 458.) Τὸν δὲ ἐγκέφαλον καὶ ἔγκαρον λέγεσθαι, ὁ Λυκόφρων δηλοῖ. (ῃερς. 460.) Τὸ δὲ λωφᾶν ὅτι κατ' ἔκτασιν γίνεται ἀπὸ τοῦ κατὰ τὸν τράχηλον λόφου, ἀλλαχοῦ δηλοῦται. (ῃερς. 447.) Σημείωσαι δὲ καὶ ὅτι ὥσπερ ἐνταῦθα ὁ Κύκλωψ τῷ κριῷ, οὕτω καὶ ἐν Ἰλιάδι Ἕκτωρ καὶ Ἀχιλλεὺς τοῖς κατ' αὐτοὺς ἵπποις προσδιαλέγονται. Καὶ ὅτι ὁμοφρονῆσαι θέλειαὐτῷ τὸν κριὸν ὁ βοσκηματώδης Κύκλωψ, ὅμοιος ὁμοίῳ φασί. Καὶ ὅτι οὐκ ἠξίωσεν ἐνταῦθα τὸν κριὸν αὐδήεντα γενέσθαι ὁ ποιητὴς ὡς ἐν Ἰλιάδι αὐδήεντα ἵππον ἡ Ἥρα ἔθετο, οὐδὲ γὰρ ἐχρῆν, τά τε ἄλλα καὶ ὅτι οὐδὲ ἔχοι ἂν ἀλληγορίαν ἡ τοιαύτη αὐδή. καὶ οὐδὲ φυκτὰ ἦν ἔτι τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὀδυσσεῖ. (ῃερς. 441.) Ὅρα δὲ καὶ ὡς νῦν μὲν οὐτιδανὸν ὁ Κύκλωψ τὸν Ὀδυσσέα ἔφη. προϊὼν δὲ ὀλίγον ἐρεῖ καὶ οὐτιδανὸν καὶ ἄκικυν ἢ ἄναλκιν. (ῃερς. 462.) Ὅτι σολοικοειδὲς τὸ, ἐλθόντες δ' ἠβαιὸν ἀπὸ σπείους τε καὶ αὐλῆς, πρῶτος ὑπ' ἀρνειοῦ λυόμην, ὑπέλυσα δ' ἑταίρους. δῆλον γὰρ ὅτι σολοικοφανὲς τὸ, ἐλθόντες ἐποίησα τόδε. αἴτιον δὲ, ὅτι οὐδ' ἐνταῦθα σχεδιάζων εἶχεν ἀποδοῦναί τι ἓν ῥῆμα περὶ ἑαυτοῦ τε καὶ τῶν ἑταίρων, ἐν τῷ, ἐλθόντες. οὐδὲ γὰρ μία διάθεσις ἀμφοτέρων, εἴγε ὁ μὲν ὑπέλυεν, οἱ δὲ ὑπελύοντο. εἰκὸς δὲ καὶ διὰ ψυχῆς ἀγωνίαν γενέσθαι τὸ καινοπρεπὲς τοῦ σχήματος καὶ τὸ τῆς συντάξεως ἀκατάλληλον, οἷα καὶ τὰ τοιαῦτα μιμουμένου τοῦ ποιητοῦ. ὅθεν καὶ πρὸ ὀλίγου ἔγραψε τὸ, ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ δεισάντων φθόγγον βαρύν. (ῃερς. 463.) Τὸ δὲ ὑπέλυσα, διαφορὰν ἔχει πρὸς τὸ ἁπλῶς λύειν. δηλοῖ γὰρ τὸ, ὑποκάτωθεν ἐκ τῶν στέρνων λύειν. ἐν τούτοις δὲ καὶ περιτροπέειν φησὶ τὸ περιτρέπειν ἤτοι περιάγειν. οὐχ' ἁπλῶς μέντοι ἀλλὰ πειρατικώτερον. εἰπών. μῆλα ταναΰποδα πίονα δημῷ, πολλὰ περιτροπέοντες ἐλαύνομεν. καὶ ἔχει ὁμοιότητα ἡ λέξις τινὰ πρὸς τὸ, περιτροπέων ἐνιαυτός. τὸ δέ γε περιτροπέων, ἄλλο τι δηλοῖ. Σημείωσαι δὲ ὡς τὸ μὲν θαμὰ τρωπῶσα ἐκτείνει τὴν ἄρχουσαν, ῥῆμα ὂν συζυγίας δευτέρας τῶν περισπωμένων. τὸ δὲ περιτροπέων, συστέλλει τὴν τρ¯ο συλλαβὴν, τῇ πρώτῃ τε συζυγίᾳ τῶν περισπωμένων ὑποπίπτον, καὶ οὐδὲ ἁπλοῦν ὂν ἀλλὰ σύνθετον. διὸ καὶ ἐν Ἰλιάδι τὸ παλιντροπάασθαι, εἰ καὶ δευτέρας συζυγίας ῥῆμα ἐστὶν, ἀλλὰ διὰ μικροῦ ¯ο γράφεται οἷα σύνθετον. φέρεται δὲ εἰς ἑρμηνείαν τῆς ῥηθείσης λέξεως καὶ ταῦτα. περιτροπέειν, τὸ περιτρέπειν καὶ παρακινεῖν τῆς εὐθείας ὡς καὶ βολὴ περιτρέπεταί τινι κατὰ τὴν τοῦ Λιβανίου χρῆσιν. οἱ δὲ παλαιοὶ καὶ ἀντὶ τοῦ περικλείοντες τὴν λέξιν λαμβάνουσιν. (ῃερς. 464.) Ταναΰποδα δὲ λέγει, οὐ τὰ μακρόποδα μόνον, ἀλλὰ καὶ τὰ τεταμένως τοῖς ποσὶ βαδίζοντα. ταυτὸν δ' εἰπεῖν, μακρὰ βιβάντα. (ῃερς. 466.) Ὅτι φυγὴν ἐκ κινδύνου φράζει τὸ, ἀσπάσιοι δὲ φίλοις ἑτάροισι φάνημεν οἳ φύγομεν θάνατον. τοὺς δὲ, στενάχοντο γοῶντες. εἰ δὲ καὶ ἐν γῇ πολεμίᾳ ὁ γόος γίνεται, ἁρμόττει καὶ ἐφεξῆς τὸ (ῃερς. 468.) ἀλλ' ἐγὼ οὐκ εἴων. ἀνὰ δ' ὀφρύσι νεῦον ἑκάστῳ κλαίειν. (ῃερς. 469.) ἤγουν ἀνένευον ταῖς ὀφρύσι διὰ τὸ μὴ τολμᾶν λαλεῖν. καὶ νῦν μὲν ὁ ταῦτα λέγων Ὀδυσσεὺς ἀνανεύει ταῖς ὀφρύσι κλαίειν. προϊὼν δὲ κρατὶ κατανεύει, προπεσόντας ἐρέσσειν τοὺς ἑταίρους, οὐδὲ τότε τολμῶν φθέγγεσθαι, ἀλλὰ τῇ κατανεύσει κελεύων ἐμβαλέειν κώπῃσι. λέγει δὲ προπεσεῖν, τὸ ἐπικύψαι κατὰ σπουδὴν τῇ κωπηλασίᾳ. (ῃερς. 473.) Ὅτι ἀποπλεύσας ἐκ τῆς τῶν Κυκλώπων γῆς Ὀδυσσεὺς οὐκ ἠνέσχετο μὴ κέρτομα πρὸς τὸν Κύκλωπα φθέγξασθαι, αἱρετισαμένου τοῦ ποιητοῦ τριβήν τινα τῷ λόγῳ 1.357 κἀντεῦθεν χαρίσασθαι. φησὶ γοῦν, ἀλλ' ὅτε τόσσον ἀπῆν ὅσσον τε γέγωνε βοήσας, καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων κερτομίοισι, Κύκλωψ, οὐκ ἂρ ἔμελλες ἀνάλκιδος ἀνδρὸς ἑταίρους ἔδμεναι ἐν σπῆϊ γλαφυρῷ κρατερῆφι βίῃφι. καὶ λίην σέ γ' ἔμελλε κιχήσεσθαι κακὰ ἔργα. σχέτλι'. ἐπεὶ ξείνους οὐχ' ἅζεο σῷ ἐνὶ οἴκῳ ἐσθέμεναι. τῷ σε Ζεὺς τίσατο καὶ θεοὶ ἄλλοι. τούτων δὲ τὰ πλοίῳ παρῳδηθέντα παραπλακήσονται εἰς ψόγον κακοξένου ἀνδρός. Ὅτι δὲ τὸ γέγωνε βοήσας, ἀντὶ τοῦ ἠκούσθη ἐστὶ καὶ ἐγνώσθη προείρηται. δῆλον δὲ καὶ ὅτι ἐν τῷ γέγωνε βοήσας λείπει ὄνομα ἢ ἄρθρον, ἵνα λέγῃ, ὅσον γέγωνέ τις βοήσας ἢ ὅσον γέγωνεν ὁ βοήσας. ὁ δὲ καλὸς παραφραστὴς Δημοσθένης οὕτω μετέβαλεν. ὡς δὲ ἀφειστήκει τοσοῦτον ἡ ναῦς ὅσον ἐξακοῦσαι φθεγξαμένου ἐδύνατο ὁ Κύκλωψ. ἑρμηνεύσας μὲν ἐκεῖνος καλῶς, οὐκ ἀκολούθως δὲ τῇ εἰρημένῃ Ὁμηρικῇ συντάξει. (ῃερς. 475.) Τὸ δὲ ἀνάλκιδος ἀνδρὸς, πρὸς τὰ τοῦ Κύκλωπος ἀποτείνεται. ὃς φθάσας οὐτιδανὸν ἔφη τὸν Ὀδυσσέα. (ῃερς. 477.) Τὸ δὲ ἔμελλέ σε κιχήσεσθαι κακὰ ἔργα, καινότερον πέφρασται διὰ σχεδιασμόν. οὐ γὰρ τὰ κακὰ ἔργα ἐκιχήσατο, ἀλλ' ἡ τῶν κακῶν ἔργων τίσις ἤγουν ποινὴ τὸν Κύκλωπα. (ῃερς. 478.) Τὸ δὲ σῷ ἐνὶ οἴκῳ τουτέστι σῷ ἐν σπηλαίῳ, εὔλογον ποιεῖ τὸ εἰπεῖν ὡς ἀπέπεμπεν ὁ Κύκλωψ τὸν κριὸν θύραζε. οἴκου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ καὶ αἱ θύραι, καὶ τὸ θύραζε γενέσθαι. (ῃερς. 499.) Τὸ δὲ ἐσθέμεναι, ἡ σφοδρότης ἐστὶ τοῦ κακοῦ. οὐ γὰρ ἐλύπει τοὺς ξένους. οὐκ ἀπεστέρει. οὐκ ἄλλως ἀδικῶν ἦν. ἀλλ' οὐδὲ ληστρικῶς γοῦν ἔκτεινε μόνον, ἀλλὰ καὶ κατήσθιεν. (ῃερς. 480.) Ὅτι Ὀδυσσέως φωνήσαντος καθὰ προσεχῶς ἐῤῥέθη, χολωσάμενος κηρόθι μᾶλλον ὁ Κύκλωψ ἧκεν ἀποῤῥήξας, ὡς καὶ προεδηλώθη, κορυφὴν ὄρεος μεγάλοιο. κὰδ δ' ἔβαλε προπάροιθε νεὼς κυανοπρώροιο. τυτθὸν ἐδεύησε δ' οἰήϊον ἄκρον ἱκέσθαι. ἐκλύσθη δὲ θάλασσα (ῃερς. 484.) κατερχομένης ὑπὸ πέτρης ἤγουν κατελθούσης. χρόνος γὰρ καὶ νῦν εἴληπται ἀντὶ χρόνου. τὴν δὲ, ἐς ἤπειρον παλιῤῥόθιον φέρε κῦμα, πλημυρὶς ἐκ πόντοιο. (ῃερς. 486.) θέμωσε δὲ χέρσον ἱκέσθαι. τουτέστιν ἠνάγκασεν ἔπεισεν ἐγγίσαι εἰς γῆν. γίνεται δὲ ἡ λέξις ἐκ τοῦ θέμις. ὅθεν θεσμὸς ὁ νόμος, ᾧ ἐξ ἀνάγκης πειθόμεθα, ἵνα ᾖ θεσμῶσαι τὸ ὡς εἰπεῖν δικαιῶσαι. κεῖται δὲ καὶ μετ' ὀλίγα ἡ λέξις ἔνθα ὁ Κύκλωψ μετὰ δευτέραν λαλιὰν τοῦ Ὀδυσσέως πολὺ μείζονα λᾶαν ἀείρας, (ῃερς. 538.) ἧκεν ἐπιδινήσας ἤγουν συστρέψας. ἐπέρεισε δὲ ἶνα ἀπέλεθρον, ἤγουν ἐπεστήριξε τῷ λίθῳ διὰ ἐπιδινήσεως δύναμιν πολυπέλεθρον, ὃ καὶ ἐν Ἰλιάδι κεῖται. (ῃερς. 539.) κὰδ δ' ἔβαλεν, οὐκέτι προπάροιθε τῆς νηὸς ἵνα εἰς τὴν τῶν Κυκλώπων γῆν ἐπανέλθῃ ἡ ναῦς, ἀλλὰ μετόπισθεν αὐτῆς τυτθόν. καὶ τὰ ἑξῆς ὡς ἐνταῦθα κεῖται δίχα τοῦ, πρόσω δὲ φέρε κῦμα. ἡ μὲν γὰρ πρώτη βολὴ πρόσθεν τῆς νηὸς πεσοῦσα ἔστρεψεν ἐκείνην παλίμπλουν, ἡ δὲ δευτέρα κατόπιν γενομένη εἰς τὴν τοῦ πέραν νησιδίου χέρσον θέμωσεν ἱκέσθαι τὴν ναῦν. ὥσπερ ἐκ προστάγματος κἀκεῖνο καὶ τοῦτο ποιήσασα, ὁποῖα τὰ τερατώδη τῆς ποιήσεως. (ῃερς. 483.) διὸ ἐν μὲν τῇ πρώτῃ βολῇ οὐκ εὐνόητόν ἐστι πῶς ὁ λίθος ὁ πεσὼν ἔμπροσθεν ἔνθα ὁ πλοῦς ἦν τῆς πρώρας καὶ κλύσας οὕτω τὴν θάλασσαν ὀλίγον ἐδέησεν ἱκέσθαι εἰς ἄκρον οἰήϊον, ἤγουν καθικέσθαι τοῦ οἰακίου τοῦ περὶ τὴν πρύμναν. ἐν δὲ τῇ δευτέρα βολῇ πάνυ καλῶς κεῖται. ὀπίσω γὰρ πεσὼν ὁ λίθος βραχὺ ἐδέησεν ἱκέσθαι κατὰ τοῦ πηδαλίου. διὸ ἐν μὲν τοῖς πρώτοις στίχοις, τὸ τυτθὸν ἐδεύησεν οἰήϊον ἄκρον ἱκέσθαι, ἀστέρα ἔχει μετὰ ὀβελοῦ. ὡς ἄριστον μὲν ἔπος ὂν ἐκεῖθεν δὲ ὀβελιζόμενον. ἐν δὲ τοῖς δευτέροις στίχοις ἀστέρα μόνον ἔχει ὡς ἐκεῖ ἄριστα κείμενον. οἱ δὲ παλαιοὶ ἐνταῦθα φασὶ ὅτι νοητέον ὡς στρέψας Ὀδυσσεὺς τὴν νῆα καὶ ἀνακωχεύσας ἐβόησεν. ἔχων πρὸς μὲν τῇ γῇ τῶν Κυκλώπων τὴν πρώραν. πρὸς δὲ τῇ ἀντικρὺ νήσῳ τῇ λαχείᾳ, τοὺς οἴακας. διὸ καὶ ὁ λίθος ὑπερβληθεὶς βραχύ τι ἐδέησε καθικέσθαι τοῦ ἀναστραφέντος οἴακος. καὶ ἡ ναῦς ἐξώσθη αὖθις πρὸς τῇ γῇ τῶν Κυκλώπων παλιῤῥόθιος. ἵνα καὶ ἐν τῇ πρώτῃ βολῇ καὶ ἐν τῇ δευτέρᾳ δὲ ἄλλως μέντοι καὶ ἄλλως κινδυνεύσῃ βληθῆναι ὁ οἴαξ τῆς νηὸς, τὸ πρῶτον μὲν ἐν τῷ στραφῆναι, τὸ δεύτερον δὲ, ἐν τῷ κατευθὺ πλέειν. (ῃερς. 537.) Ἐν τούτοις δὲ σημείωσαι καὶ ὡς ἐπέτεινε τὴν ἰσχὺν ὁ Κύκλωψ, πολὺ μείζονα λᾶαν βαλών. καὶ αὐτὸν, ἐκ διαστήματος διπλασίονος. ἡ γὰρ δευτέρα τοῦ Ὀδυσσέως βοὴ οὐκ ἐκ τοῦ αὐτοῦ γέγωνε τόπου, ἀλλ' ὅτε δὶς τόσον ἅλα πρήσσοντες ἀπῆσαν οἱ περὶ αὐτόν. καὶ ἔστι νοεῖν, ὅτι καὶ Ὀδυσσεὺς ἐπέτεινε καὶ αὐτὸς τὴν φωνήν. καὶ τὴν μὲν ἀρχὴν ἐβόησεν εἰς ὅσον ἀκουσθῆναι. καὶ δὶς δὲ τόσον ἀπελθὼν πάλιν βοήσας ἠκούσθη. οὐ γὰρ ποσότητα δηλοῖ φωνῆς ἐν τούτοις ὡς τοσοῦτον καὶ μόνον τοῦ Ὀδυσσέως βοᾶν δυναμένου, ἀλλὰ μέτρον ἁπλῶς ἀκοῆς λαμβάνει. καὶ τοῦτο, 1.358 οὐκ ἐστενοχωρημένης ἀλλὰ δυναμένης ἀκοῦσαι εἰ καὶ τριπλάσιόν τις κεκράξεται τὴν φωνὴν ἐκτείνας. καὶ καινὸν οὐδὲν εἴπερ καὶ ἐν τῇ λαχείᾳ ὄντες οἱ περὶ τὸν Ὀδυσσέα ἤκουον τὴν τῶν Κυκλώπων φθογγήν. εὐρύφωνος δὲ ὡς εἰκὸς ὁ Ὀδυσσεὺς, ὃς καὶ ἐν Ἰλιάδι ὄπα λέγεται μεγάλην ἀπὸ στήθεος ἱέναι. (ηερς. 486.) Ἰστέον δὲ ὅτι τὸ θέμωσεν οὐ μόνον ἀντὶ τοῦ ἠνάγκασεν, ὡς ἐῤῥέθη, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐποίησε κατὰ τοὺς παλαιοὺς, παρὰ τὸ θεῖναι τουτέστι ποιῆσαι. (ῃερς. 483.) Οἰήϊον δὲ ποιητικώτερον, τὸ οἰάκιον, ὅ ἐστι πηδάλιον, περὶ ὧν προγέγραπται. (ῃερς. 484.) Τὸ δὲ ἐκλύσθη, ἀρίστη λέξις. ἀφ' ἧς καὶ ὁ κλύδων. (ῃερς. 485.) Παλιῤῥόθιον δὲ, τὸ παλίῤῥουν. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προείρηται τί δηλοῖ Ὁμηρικῶς τὸ ῥόθιον. ἑρμηνεύει δὲ τὸ παλιῤῥόθιον ὁ ποιητὴς μετ' ὀλίγα ἐν τῷ, πόντονδε βαλὼν βέλος ἤγαγε νῆα αὖτις ἐς ἤπειρον. ἔστι γὰρ τὸ αὖτις ἐς ἤπειρον ἤγαγε ταυτὸν τῷ, παλιῤῥόθιον φέρεν. (ῃερς. 495.) Ἔστι δ' ἐνταῦθα ἰδεῖν καὶ ὡς βέλος ἔφη τὴν τοῦ ὄρους κορυφὴν, ὅπερ ὁ Κύκλωψ κουφίσας ἀφῆκε. δῆλον δὲ ὡς βέλος λέγεται ἅπαν τὸ μήκοθεν ἀφιέμενον. (ῃερς. 486.) Τὸ δὲ πλημυρὶς τινὲς τῶν παλαιῶν προπαροξύνουσι καὶ δι' ἑνὸς δὲ ¯μ γράφουσιν ὡς ἀπὸ τῆς πλήμης. πλῆμαι δέ εἰσι πάθη θαλάσσης κυρίως ἐναντία ταῖς ἀμπώτεσι, γινόμενα μάλιστα περὶ τὸν Ὠκεανόν. ἀφ' ὧν ἡ πλημύρα παρωνόμασται. ἡ δὲ χρῆσις τῆς πλήμης καὶ παρὰ Στράβωνι. κῦμα δὲ ὅ ἐστι θαλάσσης κύκημα καὶ πλημυρίς. διὸ κῦμα ἐνταῦθα εἰπὼν ἐπήγαγε τὸ, πλημυρίς, δηλῶν καὶ ὅτι οὐκ ἐξ ἀνέμου τὸ τοιοῦτον ἦν κῦμα, ἀλλ' ἐκ πλημυρίδος ἣν ὁ λίθος ἐκύκησεν. Ὅτι δὲ ταυτὸν πλημυρίδα εἰπεῖν καὶ ῥόθιον καὶ κῦμα παλιῤῥόθιον, δῆλον ἐκ τῶν παλαιῶν. παρ' οἷς εὕρηταί που κῦμα καὶ τὸ κύημα. ὡς δηλοῖ καὶ Εὐριπίδης ἐν Κερκυόνι, οὗ τὴν θυγατέρα γέμειν ἔφη κύματος θεοσπόρου, τοῦ ἐκ Ποσειδῶνος δηλαδή. Ἐν δὲ τοῖς ῥηθεῖσιν, ὅρα καὶ τὸ (ῃερς. 481.) ἀποῤῥήξας κορυφὴν ὄρεος. οὐ γὰρ κειμένην ἁπλῶς ἀνείλετο, ἀλλὰ συνεχῆ οὖσαν διασείας ἀπέῤῥηξεν. ὁ δὲ πλάσας καὶ μῆλα συναφεθῆναι οἷα ἐπὶ τῆς τοιαύτης τυχόντα νέμεσθαι κορυφῆς, τὴν Ὁμηρικὴν τερατείαν ψυχρῶς ὑπερήλασεν. (ῃερς. 487.) Ὅτι κοντὸν ὅπλον οἶδε ναυτικὸν ὁ ποιητὴς, οὐ μὴν πολεμικὸν, καί τοι τῆς λέξεως ἐτυμολογουμένης ἀπὸ τοῦ κεντεῖν. ἀλλὰ τὸ μὲν τοῦ πολέμου δόρυ λέγει. καὶ ξυστόν. καὶ μελίην. καὶ ἐγχείην. καὶ ἔγχος. κοντὸν δὲ, τὸ τοῖς ναύταις χρηστόν. φησὶ γοῦν ὁ Ὁμηρικὸς Ὀδυσσεὺς οὕτως. αὐτὰρ ἐγὼ χείρεσσι λαβὼν περιμήκεα κοντὸν ὅτε δηλαδὴ ἡ ναῦς ἠναγκάσθη πρὸς τῇ γῇ γενέσθαι, ὦσα παρέξ. τουτέστι παρεκτὸς τῆς χέρσου. (ῃερς. 488.) ἑτάροισι δ' ἐποτρύνων ἐκέλευσα ἐμβαλέειν κώπαις ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν, κρατὶ κατανεύων. λαλεῖν γὰρ οὐκ ἦν διὰ φόβον. (ῃερς. 490.) οἱ δὲ προπεσόντες ἤτοι κατὰ σπουδὴν ἐπικύπτοντες, ὡς καὶ προεῤῥέθη, ἔρεσσον. Ὅτι δὲ προπεσεῖν ἐνταῦθα τὸ προνεύειν εἴρηται, δηλοῖ Ξενοφῶν ἐν τῷ, διατί ἄλυτοι ἀλλήλοις εἰσὶν οἱ ἐρέται, ἢ, ὅτι ἐν τάξει μὲν κάθηνται ἐν τάξει δὲ προνεύουσιν ἐν τάξει δὲ ἀναπίπτουσιν. Ἔνθα ὅρα τὸ ἀναπίπτουσιν, οὐ ληφθὲν ἐπὶ ψυχικῆς ἀθυμίας ὡς παρὰ Θουκυδίδῃ ἐν τῷ, νικώμενοι ἀναπίπτουσιν, ἀλλ' ἀντὶ τοῦ ἀνακλῶνται καθὰ νοεῖ καὶ Κρατῖνος εἰπὼν, ῥοθιάζει καὶ ἀναπίπτει. (ῃερς. 487.) Δῆλον δὲ ὅτι τὸν ῥηθέντα Ὁμηρικὸν κοντὸν τὸ παρ' ἡμῖν κοντάριον ὑπεκόρισε. καὶ ὅτι (ῃερς. 489.) τὸ ἐμβαλεῖν κώπαις περίφρασίς ἐστι τοῦ ἐρέσσειν, ῥηθὲν ἀντὶ τοῦ χεῖρας ἐπιθεῖναι ἢ ἐπιῤῥίψαι σπουδαίως ταῖς κώπαις. (ῃερς. 492.) Ὅτι παυστικὸν ὑβριστικοῦ ἐρεθισμοῦ τοῦ πρὸς κακόν τινα, τὸ, ἀμφὶ δ' ἑταῖροι μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος. σχέτλιε. τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα ὃς καὶ νῦν ἐποίησε τό δέ τι; ἴσως δὲ χρησιμεύσει ἐκ τῶν ἐφεξῆς καὶ τὸ, καὶ δὴ φάμεν αὐτόθ' ὀλέσθαι. (ῃερς. 497.) εἰ δὲ φθεγξαμένου τεῦ ἢ αὐδήσαντος ἄκουσε, σύν κεν ἄραξ' ἡμέων κεφαλάς. (ῃερς. 500.) ὁ δέ γε μὴ πειθόμενος τοῖς οὕτω παραινοῦσιν εἴποι ἂν, ὣς φάσαν. ἀλλ' οὐ πεῖθον ἐμὸν μεγαλήτορα θυμόν. ἀλλά μιν ἄψοῤῥον προσέφην κεκοτηότι θυμῷ. (ῃερς. 497.) Ὅρα δ' ἐν τούτοις διαφορὰν ὑπεμφαινομένης φθογγῆς καὶ αὐδῆς. οὐ γὰρ ἔφη φθεγξαμένου ἠδ' αὐδήσαντος, ἀλλὰ φθεγξαμένου ἢ αὐδήσαντος. καὶ ἴσως μέν τις κἀνταῦθα λήψεται ἀντὶ τοῦ κα¯ι τὸν ¯η σύνδεσμον ἵνα ἐκ παραλλήλου ταυτὰ εἴη τὸ φθεγξαμένου καὶ τὸ αὐδήσαντος. μάλιστα δὲ αὐδὴν μὲν νοήσει τὴν ἀνθρωπίνην, φθογγὴν δὲ τὴν καὶ ἄλλως ἁπλῶς φωνήν. κατὰ τὸ, αὐτῶν τε φθογγὴν οἰῶν τε καὶ αἰγῶν. (ῃερς. 500.) Τὸ δὲ μεγαλήτορα θυμὸν, οὐ πάνυ ἀπέοικε τοῦ, βόας βουκολεῖν. καὶ οἶνον οἰνοχοεῖν. καὶ τῶν ὁμοίων. δοκεῖ γὰρ ποιητικήν τινα ἔχειν ἀδολεσχίαν καὶ τὸ λέγειν, μεγαλήτορα θυμόν. ὅμοιον ὂν τῷ, ψυχὴν μεγαλόψυχον. 1.359 (ῃερς. 501.) Τὸ δὲ κεκοτηότι θυμῷ, λύσις ἀπορίας ἐστίν. ὡς γάρ τινος εἰπόντος διατί μὴ ἐπείσθη τοῖς φίλοις εὖ παραινοῦσι; φησὶν ὅτι διὰ κεκοτηότι θυμῷ. ἀγαθὸς δὲ ὁ θυμὸς κατὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνδρὸς κακοξένου. (ῃερς. 499.) Ἐν τούτοις δὲ καὶ μάρμαρον λίθον ὁ Ὅμηρος πλάττει ἀφεθέντα κατὰ τῆς νηὸς, ἵνα τὸ διὰ πολλὴν πυκνότητα βάρος ἐνδείξηται. τοιοῦτοι γὰρ οἱ μάρμαροι λίθοι, διὸ καὶ στίλβουσιν ὡς πυκνοὶ καὶ λεῖοι. ταυτὸν δ' εἰπεῖν μαρμαίρουσιν, ὅθεν καὶ μάρμαροι λέγονται. ἄλλως δὲ εἴπερ κισσηρώδης τις ἦν ὁ λίθος ἐκεῖνος, οὐκ ἂν ἦν τοσοῦτον αὐτῷ βάρος. φησὶ γοῦν. μαρμάρῳ ὀκριόεντι βαλών. ὁποῖός τις καὶ ἐν τῇ Ἰλιάδι δηλοῦται. Οὗτος δὲ ὁ λίθος δεδίττει τοὺς περὶ Ὀδυσσέα (ῃερς. 498.) μὴ καὶ ἀφεθεὶς ἀράξῃ τὰς αὐτῶν κεφαλὰς καὶ τὴν νῆα, τουτέστι συντρίψῃ ὡς διὰ Ἄρεος ἤτοι σιδήρου. (ῃερς. 499.) τόσσον γάρ φασιν ἵησι τουτέστιν ἀφίησιν ὅθεν καὶ ἥμων γίνεται ὁ ἀκοντιστής. καὶ ἰὸς τὸ βέλος. (ῃερς. 503.) Ὅτι ἐπίγραμμα οἷον τῇ ἐξορύξει τοῦ Κύκλωπος ὀφθαλμοῦ Ὀδυσσεὺς ἐπιγράφει τὸ, Κύκλωψ αἴ κέν τίς σε κατὰ θνητῶν ἀνθρώπων ὀφθαλμοῦ εἴρηται ὅ ἐστιν ἐρωτήσει ἀεικελίην ἀλαωτὴν, φάσθαι Ὀδυσσῆα πτολιπόρθιον ἐξαλαῶσαι, υἱὸν Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκί' ἔχοντα. τοῦτο δὲ Σωκράτης ὕστερον μιμησάμενος ὁπηνίκα πρός τινος ὑπώπια ἔπαθεν, ἐπέγραψε τῷ μετώπῳ, ὁ δεῖνα ἐποίησε. Λέγει δὲ ἀεικελίην ἀλαωτὴν ἢ τὴν αἰκιστικὴν ἢ τὴν ἀεικῶς γενομένην, ὡς μὴ δέον ὂν τὸν τηλικοῦτον τοιαῦτα ποιεῖν κακὰ ὡς καὶ οὕτω κακῶς ἀντιπαθεῖν. (ῃερς. 502.) Τὸ δὲ κατὰ θνητῶν ἀνθρώπων περιττὴν κἀνταῦθα ἔχει τὴν πρόθεσιν. Τὸ δὲ φάσθαι, φάθι φησὶν ἡ κοινὴ χρῆσις. οὗ τὸ ἀνάπαλιν ἀπόφαθι. κατὰ τὸν εἰπόντα ἢ φάθι ἢ ἀπόφαθι. ἀρέσκει δὲ τοῖς πλείοσιν ἀπὸ τοῦ ἐφάμην μέσου ἀορίστου δευτέρου γενέσθαι. διὸ καὶ παροξυτονεῖσθαι ὡς φύσει βραχέος ὄντος τοῦ παρατελεύτου ¯α. καθὰ δῆλον καὶ ἐκ τοῦ ἔφατο. καὶ φάτο. καὶ φάο. οἷον. ἔπος φαόμενον δ' ἐπίκευθε. ὧν ἀρχὴ, ὁ ἔφην δεύτερος ἐνεργητικὸς ἀόριστος. οὗ μετοχὴ, φὰς φάντος. καὶ φάντες ἐν Ἰλιάδι, ταὐτὸν ὂν τῷ, φάμενοι. καὶ οὕτω μὲν οἱ πλείους. ὁ δὲ βαθὺς Ἡρακλείδης φαίνεται θέλων φύσει τε μακρὰν εἶναι τὴν παραλήγουσαν τοῦ φᾶσθαι καὶ προπερισπᾶσθαι αὐτήν. εἰπὼν γὰρ χρῆναι ἐν τῷ φημὶ τὸ παθητικὸν εἶναι φαμαὶ διὰ τοῦ ἄλφα καὶ ὅμως ἐκλελοιπέναι διὰ τὸ δισυλλαβεῖν. ἐπεὶ οὐδὲν εἰς μα¯ι λῆγον παθητικὸν καὶ τῷ ἄλφα παραληγόμενον δισυλλαβεῖ, πάντα γὰρ ὑπὲρ δύο συλλαβάς εἰσιν, ὑποκαταβὰς, λέγει ὅτι καθὰ ἐκ τοῦ τιθῶ πεποίηται τὸ τίθημι καὶ ἱστῶ ἵστημι, οὕτω καὶ τοῦ φῶ φῶμαι δευτέρας συζυγίας, φημί. οὗ παθητικὸν φαμαί. ἄῤῥητον δηλαδή. αὐτοῦ δὲ τὸ ἀπαρέμφατον φᾶσθαι. μετ' ὀλίγα δὲ λέγει καὶ περὶ τοῦ ὡς ἐῤῥέθη Ὁμηρικοῦ φάο τοιαῦτα. τὰ ἐπὶ δευτέρου προσώπου κατὰ παρατατικὸν χρόνον εἰς ¯ο λήγοντα ῥήματα παρέσει τῆς παρατατικῆς αὐξήσεως προστακτικὸν ποιεῖ. οἷον. ἐδείκνυσο. δείκνυσο. καὶ τὰ ὅμοια. οὐκοῦν καὶ ἀπὸ τοῦ ἐφάμην εἰ ἔστι τὸ δεύτερον ἔφασο τὸ προστακτικὸν γενήσεται φάσο, ἐνδείᾳ χρόνου ἑνὸς τοῦ κατ' ἀρχήν. εἶτα, φάο κατ' ἔνδειαν τοῦ σίγμα. ἐν τούτοις δὲ γράψας καὶ ὅτι ἀπὸ τοῦ εἰμὶ ἐμαὶ γίνεται τὸ ἥμην οὐ προσλήψει τοῦ ἰῶτα, προκριτέον γάρ φησι τὴν διὰ τοῦ ἦτα γραφὴν, καὶ ἐπαγαγὼν ὅτι τὰ ἐκ δασυνομένου τοῦ ¯ε θέματα προσλαμβάνει τὸ ¯ι ἐν τῇ κινήσει. οἷον, ἕρπω εἷρπον. ἕλκω εἷλκον. ἕπομαι εἱπόμην, ἐπιφέρει καὶ τὸ, ἔχομαι εἰχόμην. καὶ γάρ φησιν ἐν τῷ ἔχω δασὺ ἦν τὸ ¯ε. ἐψιλώθη δὲ διὰ τὴν ἐπιφορὰν τοῦ ¯χ. διὸ ἐδασύνθη ὁ ἕξω μέλλων. διδάσκων, ἀπὸ τῶν αὐτῶν τοῖς ἐνεστῶσι πνευμάτων ἄρχεσθαι τοὺς μέλλοντας. (ῃερς. 507.) Ὅτι οὐ πάντες οἱ Κύκλωπες ἄγριοι, εἰ δὴ καί τις ἦν παρ' αὐτοῖς τῶν πάνυ λόγου ἀξίων, μάντις δηλαδὴ ἀγαθός. φησὶ γοῦν ἐνταῦθα πρὸς Ὀδυσσέα ὁ Κύκλωψ οἰμώξας. (ῃερς. 509.) ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει. ἔσκέ τις ἐνθάδε μάντις ἀνὴρ ἠΰς τε μέγας τε Τήλεμος Εὐρυμίδης, ὅ ἐστιν Εὐρύμου παῖς. ὃς μαντοσύνῃ ἐκέκαστο. καὶ μαντευόμενος κατεγήρα Κυκλώπεσσιν. ὅς μοι ἔφη τάδε (ῃερς. 511.) πάντα τελευτήσεσθαι ὀπίσσω, ἤγουν εἰς τέλος ἐλθεῖν. ποῖα ταῦτα πάντα; χειρῶν ἐξ Ὀδυσσῆος (ῃερς. 512.) ἁμαρτήσεσθαι ὀπωπῆς. Καὶ ὅρα τὸ τυφλωθῆναι περιφραστικῶς ῥηθὲν ἁμαρτήσεσθαι ὀπωπῆς ὡς καὶ εἴπερ ἔφη, ἀστοχῆσαι ὄψεως. ἢ διεκπεσεῖν. ἢ ἀποπλαγχθῆναι. ἢ καὶ ἄλλως, ὀφθαλμοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλαωθῆναι. ἐρεῖ γοῦν εὐθὺς μετ' ὀλίγα, ὀφθαλμοῦ ἀλάωσας. (ῃερς. 507.) Τὸ δὲ παλαίφατα θέσφατα, θαυμασία ἐστὶ παρίσωσις καὶ οὐκ ἀξία τοῦ ἀγρίου Κύκλωπος. (ῃερς. 508.) Ὅρα δὲ καὶ ὅτι ἐξ ὑπαρκτικοῦ συνήθως ῥήματος καὶ νῦν Ὅμηρος ἦρκται διηγούμενος. εἰπών. ἔσκέ τις ἐνθάδε μάντις. Ἔνθα ἰστέον ὅτι τὸ ἔσκε δοκοῦν κοινότερον ἀπὸ τοῦ ἔω ἔσω ἔσκω γίνεσθαι Ἡρακλείδης ἄλλως σκευωρεῖ, εἰπὼν οὕτως. ὥσπερ φιλῶ ἐφίλουν 1.360 ἐφίλεις ἐφίλει, καὶ ἐπὶ ἄλλων ὁμοίως, οὕτω καὶ ὦ οὖν εἶς εἶ, τὰ ὑπαρκτικά. τοῦτο δέ φησι πεποίηκε φανερὸν Ὅμηρος διὰ τοῦ ἔσκω Δωρικοῦ ῥήματος. Δωριέων γὰρ, τὰ εἰς ε¯ι δίφθογγον περαιούμενα ἐν παρατατικῷ χρόνῳ ἐπὶ τρίτου προσώπου κατὰ ἀφαίρεσιν τοῦ ¯ι ἐκφερόντων μετὰ προσθέσεως τριῶν στοιχείων. οἷον ἐφίλει ἐφίλεσκεν. ἐνόει ἐνόεσκεν. οὕτω καὶ αὐτὸς ἀπὸ τοῦ προειρημένου εἶ, ἔσκε φησὶν, ἀφελὼν τὸ ἰῶτα καὶ τρία στοιχεῖα προσθεὶς ἤγουν τὸ ¯σ τὸ ¯κ τὸ ¯ε. καὶ οὕτω μὲν ὁ Ἡρακλείδης. Τὸ δὲ ἠΰς τε μέγας τε, Κυκλωπικὸν ἴδιον, ὑπερφίαλοι γὰρ ἅπαντες κατὰ τὸ εὐμέγεθες. (ῃερς. 513.) Ἰστέον δ' ἐν τούτοις καὶ ὅτι ὁ μεγάλῳ μὲν ἀντιπάλῳ ἐντυχεῖν ἐλπίσας εὑρὼν δὲ μὴ τοιοῦτον ἐρεῖ ἂν τὸ, ἀλλ' αἰεί τινα φῶτα μέγαν καὶ καλὸν ἐδέγμην ἐνθάδ' ἐλεύσεσθαι, μεγάλην ἐπιειμένον ἀλκήν. εἰ δὲ καὶ βλαβείη τις ὑπὸ τοιούτου, ἁρμόττει καὶ τὸ ἐφεξῆς. (ῃερς. 515.) νῦν δέ μ' ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ ἄκικυς, διέθου τόδε τι κακόν. Κύκλωψ δὲ πρὸς Ὀδυσσέα ταῦτα φησὶν, ἀποκλαιόμενος ὅτι ὀφθαλμοῦ ἀλάωσεν αὐτὸν Ὀδυσσεὺς, ἐπεὶ ἐδαμάσατο οἴνῳ. Καὶ ὅρα ὅπως ὁ παρὰ τοῖς Φαίαξι καὶ μέγας καὶ καλὸς Ὀδυσσεὺς τὸ μηδὲν ἐδόκει τῷ Κύκλωπι, μεγίστῳ δηλαδὴ ὄντι. καὶ ὅτι τὸ ὀλίγος οὐ μόνον ἐπὶ πλήθους, ἀλλ' ἰδοὺ ἐνταῦθα ἐπὶ μεγέθους ληφθὲν τὸν μικρὸν ἐσήμανεν. ὃ φαίνεται καὶ ἐν τῷ, κῦμα οὔτε μέγα οὔτε ὀλίγον. καὶ ἐν τῷ, ὀλίγην τε τράπεζαν. τοιοῦτον δὲ καὶ Ἡσιόδου τὸ, νῆ' ὀλίγην αἰνεῖν ἤγουν μικράν. εὑρεθήσεται δὲ καὶ ἐν τοῖς ἑξῆς, ἰχθὺς ὀλίγος, ὁ μικρός. ὁ καὶ ἄπιχθυς, ὡς ἐν τοῖς ἐκεῖσε κείσεται. πάντως δὲ ταυτὸν ὀλίγον εἰπεῖν καὶ τυτθὸν καὶ μικρόν. καὶ δῆλον αὐτὸ καὶ ἐκ τοῦ Τυδεύς. ὃς ἐκ τοῦ τυτθοῦ ἐτυμολογούμενος μικρὸς ἔην δέμας. εἰ δὲ τὸν τυτθὸν εἴτουν μικρὸν ὑψοῖ ἐπηγμένον τὸ, ἀλλὰ μαχητὴς, ἔστι καὶ ἐνταῦθα φάναι, ὡς Ὀδυσσεὺς ὀλίγος μὲν ἦν τὸ μέγεθος, πολὺς δὲ τὴν ἔμπρακτον σοφίαν, καὶ γοργότερον εἰπεῖν, πολυμήχανος. διὸ καὶ κατεσοφίσατο βλάψας μέγα θηρίον τὸν Κύκλωπα. εἶχε δέ που ὁ Κύκλωψ ἀκοῦσαι λόγον ἐξ Ὀδυσσέως ἐφ' οἷς ἔσκωπται, ὁποῖον καί τίς Αἰγύπτιος βασιλεὺς, ἐξ Ἀγησιλάου τοῦ Λακώνων βασιλεύσαντος. οἷον ὅτι ὁ οὐτιδανὸς ἐγὼ καὶ ὀλίγος καὶ ἄναλκις πολὺς καὶ βριαρὸς ὡς οἷα καί τι θεῖον τέρας ἐπεθέμην σοι. λέγεται γὰρ ὅτι Τάχως μὲν Αἰγύπτιος βασιλεὺς Ἀγησίλαον ἐλθόντα συμμαχῆσαι αὐτῷ βραχὺν τὸ σῶμα ἰδὼν ἔσκωψεν, εἰπὼν τὸ περιᾳδόμενον. ὤδινεν ὄρος, Ζεὺς δ' ἐφοβεῖτο, τὸ δ' ἔτεκε μῦν. Ἀγησίλαος δὲ ἀκούσας ἀντελακώνισε, φάμενος ὡς φανήσομαί σοι ποτὲ καὶ λέων. ὕστερον οὖν φασὶν ἀφισταμένων Αἰγυπτίων μηδὲν τῷ Τάχῳ συμπράξας ἐποίησε φυγεῖν ἐκεῖνον εἰς Πέρσας ἐκπεσόντα τῆς ἀρχῆς. Ὅρα δὲ καὶ ὅτι ὁ Κύκλωψ λίαν πάνυ τεθυμωμένος τῷ Ὀδυσσεῖ ὅμως ἠρκέσθη σκώψας τὸν ἐχθρὸν ἠρέμα, ἴσως μὲν διὰ τὸ ἄγροικον, ἴσως δὲ ὅτι μηδὲ εἶχεν εὐκαιρίαν. παρὰ δέ γε τοῖς ὕστερον ἐπετηδεύθησαν εἰκασίαι σμικροποιοὶ σκωπτικαὶ πολλαί. φησὶ γοῦν τις πρὸς Ἀθηναίους, ὡς ὑμεῖς ἀλλήλους ἀεὶ χλευάζετε. ἂν μὲν γὰρ ᾖ τι σμικρὸν παντελῶς ἀνθρώπιον, καλεῖτε αὐτὸν σταλαγμόν. λιπαρὸς περιπατεῖ; ζωμὸς κατωνόμασται. χαίρει τις αὐχμῶν ἢ ῥυπῶν; κονιορτὸς ἀναπέφηνεν. ὄπισθεν ἀκολουθεῖ κόλαξ τῷ; λέμβος ἐπικέκληται. τὰ πόλλ' ἄδειπνος περιπατεῖ; κεστρῖνος ἐστὶ νῆστις. ὑφείλετ' ἄρνα ποιμένος παίζων; Ἀτρεὺς ἐκλήθη. ἐὰν δὲ κριὸν, Φρίξος. ἐὰν δὲ κωδάριον, Ἰάσων. ἐν τούτοις δὲ, ὅρα ὅτι τε λέμβος φαίνεται εἶναι τὸ μεγάλῃ νηῒ ἐφελκόμενον ἀκάτιον, καὶ ὅτι κεστρῖνος ὁ κεστρεὺς ἐῤῥέθη. ἐπὶ τούτοις ἰστέον καὶ ὅτι ὁ ὡς ἐῤῥέθη ὀλίγος ἄνθρωπος τῷ πολλῷ ἀντίκειται. οὗ χρῆσις ἐν τῷ, πολλὸς γάρ τις ἔκειτο καὶ ἑξῆς ὡς ἡ Ἰλιὰς δηλοῖ. Ἔτι ἰστέον καὶ ὅτι τὸ ὀλίγον ὀλίζον καθ' Ἡρακλείδην Ἴωνες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φασὶν οἱ νεώτεροι. τῷ ζῆτα ἀντὶ τοῦ ¯γ χρώμενοι. καὶ τὸ μὲν φύγω, φύζω λέγοντες. τὸ δὲ πέφυγα καὶ πεφυγὼς, πέφυζα καὶ πεφυζώς. ἐρεῖ δέ τις φησὶν οὕτω καὶ ἐκ τοῦ φυγῶ φυγήσω πεφυγηκότες, γενέσθαι τὸ πεφυζότες, ἐξαιρεθείσης τῆς μέσης συλλαβῆς καὶ τοῦ ¯γ τραπέντος εἰς ¯ζ. ὃ γίνεται καὶ ἐν τῷ φυγὴ φύζα. ὅθεν φυζινός φασιν ὁ δειλός. εἶτα, φυζακινός. ὡς λεπτὸς λεπτινὸς λεπτακινός. Τούτων δὲ οὕτως ἐχόντων ἰστέον καὶ ὅτι ἐπαναπαύεται ὁ Κύκλωψ οὐτιδανὸν λέγειν τὸν πλαστὸν Οὖτιν Ὀδυσσέα. καὶ ὅτι τὸ ἄκικυς ἐκτείνει τὴν παραλήγουσαν. γράφεται δ' ἔν τισι καὶ ἀεικής. (ἡερς. 517.) Ὅρα δὲ καὶ ὅπως ἄφρων ὁ Κύκλωψ εἰπείσείν ἀπὸ τῆς ἄρτι τὸν Ὀδυσσέα ἐλπίζει ἐλθεῖν εἰς αὐτόν. καὶ ὡς πάνυ τεχνίτης μαντικῆς ὁ Τήλεμος πρὸς ὄνομα κατευστοχήσας τοῦ τὸν Πολύφημον τυφλώσαντος. καὶ ὡς οὐ μόνον σοφῶς ἀλλὰ καὶ εὐτυχῶς Ὀδυσσεὺς τὸ Οὖτις ἑαυτῷ πλάττεται ὄνομα. οἷον γὰρ ἂν ἔπαθε κακὸν, μὴ ἐπικρύψας ἑαυτὸν τῷ χρησμὸν ἔχοντι ἀπολωλέναι ὑπὸ τοῦ Ὀδυσσέως. (ἡερς. 519.) Ὅτι ὁ θαῤῥῶν ἐπὶ πατρὶ καὶ ξενίζων τινὰ, δύναται 1.361 εἰπεῖν τὸ, ἀλλ' ἄγε δεῦρο ἵνα τοι παρὰ ξείνια θείω, πομπὴν δ' ὀτρύνω δόμεναι τὸν δεῖνα. τοῦ γὰρ ἐγὼ παῖς εἰμὶ, πατὴρ δ' ἐμὸς εὔχεται εἶναι. οὐκ ἠρκέσθη δὲ παῖς εἰπὼν, ἀλλ' ἐπήγαγε καὶ τὸ, πατὴρ δ' ἐμός ἐστι, διὰ τὴν ὁμωνυμίαν τοῦ παῖς. οὐ μόνον γὰρ δουλική ποτε λέξις ἐστὶν ὡς καὶ αἱ παιδίσκαι δηλοῦσιν, ἀλλὰ καὶ τὸν ἁπλῶς νέον δηλοῖ, καὶ τὸν θέσει δὲ υἱόν. εἰ δὲ καὶ δυνατός ἐστιν εἰς βοήθειαν ὁ τοιοῦτος πατὴρ, πρέποι ἂν καὶ τὸ ἐφεξῆς. (ἡερς. 5.) αὐτὸς δ' αἴ κ' ἐθέλῃσιν ἰήσεται, οὐδέ τις ἄλλος θνητῶν ἀνθρώπων. ἀπαγόρευσις δὲ ἀνθρωπίνης ἐπικουρίας τὸ, (ἡερς. 523.) αἲ γὰρ δὴ ψυχῆς τε καὶ αἰῶνος τουτέστι ζωῆς σὲ δυναίμην εὖνιν ποιήσας πέμψαι δόμον Ἄϊδος εἴσω, ὡς οὐχὶ ὁ δεῖνα ἰήσεταί σε. (ἡερς. 524.) λέγει δὲ εὖνιν ὡς ἀπὸ τοῦ εἷς ἑνὸς τὸν μεμονωμένον ἤτοι ἐστερημένον. ὅθεν καὶ εὐνοῦχος ὁ ἐστερημένος ὀχείας. ψιλοῦται δὲ τὸ εὖ, ὡς ἔχον ἀναδραμεῖν εἰς ὁμοιότητα τοῦ ἔκηλος εὔκηλος καὶ τῶν ὁμοίων. (ἡερς. 529.) Οἰκειότητος δὲ λόγος τὸ, εἰ ἐτεόν γε σός εἰμι πατὴρ δ' ἐμὸς ἢ ἑταῖρος ἢ ἀδελφὸς εὔχεαι εἶναι, δὸς μὴ τόδε τι γενέσθαι. (ἡερς. 532.) εἰ δὲ καὶ πρὸς κάκωσιν ἡ ἀξίωσις, οἰκεῖον ἐπαγαγεῖν ποτὲ τὸ, δὸς μὴ τὸν δεῖνα οἴκαδ' ἱκέσθαι. ἀλλ' εἴ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν καὶ ἱκέσθαι οἶκον ἐϋκτίμενον καὶ ἑὴν ἐς πατρίδα γαῖαν, ὀψὲ κακῶς ἔλθοι. Ὅτι οἶδε μὲν Ὀδυσσεὺς ἀπογόνους Ποσειδῶνος τοὺς Κύκλωπας. οὗπερ υἱὸς ὢν ὁ Κύκλωψ πρὸς αἵματος ἦν τοῖς Φαίαξιν. οἶδε δὲ ὅμως καὶ κακῶς διατεθεῖσθαι αὐτοὺς τοῖς Κύκλωψιν. οἵ ποτε σφέας σινέσκοντο. διὸ οὐδὲ ὑποπτεύει βλαβήσεσθαι διηγούμενος παρὰ τοῖς φιλοξένοις μισοκύκλωψι τὴν τοῦ κακοξένου Κύκλωπος τύφλωσιν, τοῦ καὶ κακοῦ καὶ μετὰ κακῶν. εἰ δὲ καὶ φιλίως οὗτοι διέκειντο οἷα πρὸς συγγενῆ ὡς ἐῤῥέθη, ἀλλὰ τὴν ἐκείνου ἀρὰν τελειουμένην ἄρτι προβάλλεται εἰς πειθώ. ὡς ἐκεῖνα πάσχων, ἅπερ ὁ Κύκλωψ εὔξατο. ποῖα ἐκεῖνα; εἰ καὶ μοῖρα ἐστὶν Ὀδυσσῆα πτολιπόρθιον οἴκαδε ἱκέσθαι, ὀψὲ κακῶς ἔλθοι ὀλέσας ἀπὸ πάντας ἑταίρους, νηὸς ἐπ' ἀλλοτρίας, ὁποία νῦν ἡ τῶν Φαιάκων, εὕροι δ' ἐν πήματα οἴκῳ. ὥστε τὰ ἐκεῖνα κατεύγματα γίνονται εἴπερ οἱ Φαίακες αὐτὸν εἰς Ἰθάκην νηῒ πέμψουσι. Προεκθετικὴ δὲ ἀναφώνησις τῶν ἐφεξῆς τοῦ Ὀδυσσέως παθῶν καὶ ταῦτα εἰσί. (ἡερς. 530.) Τὸ δὲ πτολιπόρθιον οὐ πρωτότυπον ὁ πτολίπορθος ὡς τοῦ κάπρος τὸ κάπριος, εἰκῇ παρεῤῥιπται. τί γὰρ ἔδει τὸν Κύκλωπα ἔπαινον Ὀδυσσέως εἰπεῖν; ἴσως δὲ καὶ εἰρωνικῶς αὐτὸ εἶπεν ὁ Κύκλωψ, ὡς τοῦ Ὀδυσσέως πρὸ βραχέων οὕτως ἑαυτὸν καλέσαντος. μονονουχὶ μυκτηρίζων εἴπερ ὁ ὀλίγος καὶ οὐτιδανὸς καὶ ἄναλκις πτολιπόρθιον ἑαυτὸν ἀποκαλεῖ. Ἰστέον δὲ ὅτι τε ἀνάλογα τὸ, πτολιπόρθιος. καὶ τὸ, αἰδοῖος αἰδοΐϊος. ὁμοῖος ὁμοΐϊος. ὀρθὸς ὄρθιος. λοῖσθος λοίσθιος. καὶ ὅτι πρὸς τοιαύτην ἀκολουθίαν καὶ οἱ Δωριεῖς τὸ ἆσσον ἄσσιον φασὶν, ὡς παραδέδοται, καὶ τὸ αἶψα αἴψιον, καὶ τὸ μᾶλλον μάλλιον. οὕτω δὲ καὶ τὸ ἐγγὺς ἔγγιον. (ἡερς. 543.) Ὅτι ναύσταθμον φράζει τὸ, ἔνθα περ ἄλλαι νῆες ἐΰσσελμοι μένον ἀθρόαι, ἐλλιμενισμὸν δὲ τὸ, νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν. ἐκ δ' αὐτοὶ βῆμεν ἐπὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ῥηγμῖνι θαλάσσης. τί δὲ τὸ κέλσαι καὶ τίς ὁ ῥηγμὶν, ἀλλαχοῦ δηλοῦται. (ῃερς. 549.) Ὅτι τὰ τοῦ Κύκλωπος μῆλα ἐπίσης ἐδάσαντο κατὰ νῆας οἱ ἀμφὶ τὸν Ὀδυσσέα. ἀρνειὸν δὲ αὐτῷ ἔδοσαν ἔξοχα. ἴσως, τὸν περισωσάμενον αὐτὸν, ὃν καὶ ἔθυσεν ἐπὶ θινὶ Διῒ φυξίῳ ἴσως ἢ καὶ σωτῆρι κατὰ τοὺς ὕστερον Ἀττικούς. (ῃερς. 553.) ὁ δέ φησιν οὐκ ἐμπάζετο ἱρῶν. τουτέστιν οὐκ ἐπεστρέφετο τῆς θυσίας. ὥστε οὐδὲ ἐκαλλιέρει τηνικαῦτα Ὀδυσσεύς. ἀλλ' ὅγε φησὶ μερμήριξεν ὅπως ἀπολοίατο πᾶσαι νῆες καὶ ἐμοὶ ἑταῖροι. (ῃερς. 554.) καὶ τοῦτο δὲ προαναφώνησις τῶν ἐφεξῆς ποιηθησομένων ἐστίν. εἶτα διαφόρων στίχων ῥηθέντων ὡς ἐν τύπῳ κέντρωνος περὶ δαιτὸς καὶ ὕπνου καὶ ἀπόπλου, πολλαχοῦ γὰρ καὶ ἀλλαχοῦ κεῖνται, πληροῦται ἡ ῥαψῳδία. ΥΠΟΘΕΣΙΣ ΤΗΣ Κ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Τὰ περὶ τὸν Αἴολον ἀπαγγέλλει τὸν τῶν ἀνέμων φύλακα, ὡς ἔδωκεν Ὀδυσσεῖ οὔριον ἄνεμον τὸν Ζέφυρον, τοὺς ἄλλους ἀνέμους ἐγκαθείρξας ἀσκῷ. ὃν οἱ ἑταῖροι λύσαντες κοιμωμένου Ὀδυσσῆος, ἅτε ἐν αὐτῷ χρυσὸν εἶναι νομίζοντες, ὑπονοστοῦσι πρὸς Αἴολον. οὐ προσιεμένου δὲ τοῦ Αἰόλου τὸν Ὀδυσ 1.362 σέα ἐκεῖθεν ἀποπλέων εἰς Λαιστρυγόνας ἀφικνεῖται. παρ' οἷς ἕνδεκα τῶν νεῶν ἀπολέσας μιᾷ εἰς Αἰαίαν τὴν νῆσον παραγίνεται. καὶ σὺν Εὐρυλόχῳ τοὺς ἡμίσεας τῶν ἑταίρων κλήρῳ λαχόντας ἐκπέμπει πευσομένους τίνες οἱ κατοικοῦντες. μεταμορφωθέντων δὲ ἐκείνων εἰς σύας ὑπὸ τῆς Κίρκης πλὴν Εὐρυλόχου, αὐτὸς ἐπὶ ζήτησιν ἐλθὼν, λαβὼν παρὰ τοῦ Ἑρμοῦ φάρμακον τὸ μῶλυ, οὐδὲν βλάπτεται. ἀλλὰ καὶ ἑταίρων τὴν ἀρχαίαν φύσιν λαβόντων ἐνιαυτὸν παραμείνας παρὰ τῇ Κίρκῃ εἰς Ἅιδου κατέρχεται. ΟΔΥΣΣΕΙΑΣ Κ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. Ὅτι τὰ περὶ Αἰόλου καὶ Λαιστρυγόνων καὶ Κίρκης διαλαμβάνουσα ἡ ¯κ ῥαψῳδία οὕτω καὶ ἐπιγράφεται ὑπὸ τῶν παλαιῶν. ἀρχομένη ἐντεῦθεν. (ῃερς. 1.) Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθα. ὃ ἑρμηνεύων ἐπάγει. ἔνθα δ' ἔναιεν Αἴολος Ἱπποτάδης φίλος ἀθανάτοισι θεοῖσι, πλωτῇ ἐνὶ νήσῳ. εἶτα ἐκφράζων τὸ κατ' αὐτὴν στεῤῥὸν φησί. (ῃερς. 3.) πᾶσαν δέ τέ μιν πέρι τεῖχος χάλκεον ἄῤῥηκτον. (ῃερς. 4.) λισσὴ δ' ἀναδέδρομε πέτρη. καὶ ἴσως τοῦτό ἐστι τὸ χάλκεον τεῖχος, πέτρα δηλαδὴ λεία καὶ δυσανάβατος, περιβόλου δίκην τὴν νῆσον περιθέουσα. ἄλλως γὰρ ἀπίθανόν ἐστι νοῆσαι τεῖχος ὅλον χάλκεον. (ῃερς. 2.) Αἴολοι δέ φασι τρεῖς ἐν ταῖς ἱστορίαις ὀνομαστοὶ, εἷς ὁ Κρηθέως καὶ Ἀθάμαντος καὶ Σισύφου πατὴρ, Ἕλληνος παῖς, ὃν Ἕλληνα γόνῳ μέν φασι Διὸς εἶναι, λόγῳ δὲ Δευκαλίωνος, ἕτερος δὲ Αἴολος, ὁ ἐκ Μελανίππης καὶ Ἱππότου ὁ διατοῦτο νῦν Ἱππωτάδης, τρίτος δὲ ὁ ἐκ Ποσειδῶνος καὶ Ἄρνης. Ἀσκληπιάδης δὲ, ἐπὶ τὸν τρίτον τοῦτον φησὶ τὸν Ὀδυσσέα ἐλθεῖν. Ὅτι δὲ ὁμώνυμολέξις ὁ Αἰόλος οὐκ ἔστιν ἀμφιβαλεῖν. κύριόν τε γάρ ἐστι, σημαίνει δὲ καὶ τὸν ποικίλον καὶ τὸν ταχύν. καὶ ὄνομα δὲ ἰχθύος. ὡς δῆλον ἐκ τοῦ, δύο γένη σκάρων. ὧν ὁ μὲν, ὀνίσκος. ὁ δὲ, αἰόλος. Ὅτι δὲ τοῦ πρώτου Αἰόλου ἤγουν τοῦ Ἑλληνίδου παρώνυμον τὸ τῶν Αἰολέων ἔθνος αἱ ἱστορίαι δηλοῦσιν. ὥσπερ καὶ Δωριεῖς εἴρηνται ἀπὸ Δώρου υἱοῦ Ξούθου, οἳ καὶ Πελοπόννησον ὕστερον ᾤκησαν, συγκατάγοντες τοὺς Ἡρακλείδας, ἡγουμένου αὐτῶν Δύμαντος καὶ Παμφύλου τῶν Αἰγιμιοῦ παίδων. τινὲς δὲ καὶ ἐν Συρακούσαις ᾠκίσθησαν. καὶ οὕτως ἐπλατύνθη τὸ τῶν Δωριέων ἔθνος ἄχρι καὶ ἐς αὐτὴν Βοιωτίαν. ἔσχε δὲ πλάτος καὶ τὸ Δωρικὸν, Αἰόλου φασὶ καταδραμόντος τὴν Θετταλίαν καὶ πάντας ποιήσαντος Αἰολεῖς κληθῆναι. οὗ τῆς θυγατρὸς παῖς, Βοιωτός. ἀφ' οὗ οἱ Βοιωτοί. κἀντεῦθεν ἔσχεν Αἰολεῖς καὶ ἡ Βοιωτία. καὶ ἰδιάζουσα τῇ κατ' αὐτὴν γλώττῃ ὅμως ἐκέκρατο καὶ Δώριδι, ὡς ἐῤῥέθη, διαλέκτῳ, ἔτι δὲ καὶ Αἰολικῇ. εἰ δὲ ἐκ τῶν εἰρημένων Αἰολέων ἢ τοῦ δεδηλωμένου Αἰόλου τοῦ σημαίνοντος τὸν ποικίλον παραιολίξαι εἶπέ τις τὸ ἀπατῆσαι, ζητητέον ἄλλοθεν. (ῃερς. 1.) Ὅρα δὲ τὸ, Αἰολία νῆσος. ὀφεῖλον μὲν κτητικῷ λόγῳ διὰ διφθόγγου ἔχειν τὴν παραλήγουσαν ὡς ἀπὸ τοῦ Αἰόλου ᾧ παρωνυμεῖται. διὰ δὲ τὸ κακομέτρητον, γραφὲν διὰ τοῦ ἰῶτα ὡς ἂν ἀπαρτισθείη μετρικὸς δάκτυλος. Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν μιᾶς μέμνηται νήσου Αἰολίας. οἱ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παλαιοὶ νήσους Αἰόλου ἑπτὰ ἱστοροῦσι πρὸς τῇ Σικελίᾳ. εἰσὶ δὲ αὗται. Αἰολὶς ἢ μᾶλλον Αἰολία. ἔνθα ἴσως ἦν τὸ τοῦ Αἰόλου βασίλειον. στρογγύλη. Διδύμη. ἱερά. λιπάρα. ἐξ ἧς καὶ σέλας λέγεται παρὰ Θεοκρίτῳ λιπαραῖον διὰ τὰ ἐκεῖ ἀναφυσώμενα πυρά. ἐρεικώδης. καὶ φοινικώδης. καλεῖται δὲ μία τούτων κατά τινας καὶ Ἱκέσιον. λέγονται δὲ καὶ νῆσοι Λιπαραίων ἢ πᾶσαι ἢ τούτων τινὲς διὰ τὸ τῆς Λιπάρας ἐπίσημον. φησὶ γοῦν καὶ ὁ γεωγράφος οὕτω. Λιπαραίων νῆσοι ἑπτά. μεγίστη δὲ Λιπάρα. Κνιδίων ἄποικος. ἐγγυτάτω Σικελίας. μία δέ φησιν αὐτῶν καὶ ἡ Εὐώνυμος καλουμένη οὕτω διὰ τὸ εὐώνυμος κεῖσθαι τοῖς ἐκ Λιπάρας εἰς Σικελίαν πλέουσιν. Ὅμηρος δὲ μιᾶς μέμνηται νήσου. ἥν τινες ἐκτετοπισμένην φασὶν πλάττεσθαι τῷ ποιητῇ, καθὰ καὶ τὴν τῶν Φαιάκων καὶ τὴν τῆς Καλυψοῦς καὶ τοὺς Λωτοφάγους δὲ καὶ τοὺς Κύκλωπας. ἄλλοι δέ γε ἀπεναντίας τούτοις ἰόντες καὶ περὶ Σικελίαν καὶ Ἰταλίαν πεπλανῆσθαι τὸν Ὀδυσσέα εἰπόντες, οὐ μόνον τοὺς Κύκλωπας οἴδασι Λεοντίνους καλουμένους, ἀλλὰ καὶ Λωτοφάγους παρὰ τῷ ποιητῇ φασὶν εἶναι τοὺς νῦν Ἀκραγαντίνους. οἱ δὲ, τοὺς Καμαριναίους. Ἰστέον δὲ καὶ ὅτι Αἰόλειοι μὲν νῆσοι διὰ διφθόγγου παρὰ τοῖς παλαιοῖς αἱ τοῦ Αἰόλου, ἃς ἐν τῷ Τυρηνικῷ πελάγει κεῖσθαι φασί τινες. Αἰολίδες δὲ, αἱ τῶν Αἰολέων περὶ Ἀσίαν. καὶ ἄλλως δὲ αὗται μὲν Αἰόλου νῆσοι. ἐκεῖναι δὲ νῆσοι Αἰολέων. 1.363 (ῃερς. 2.) Τὸ δὲ Ἱπποτάδης ὅμοιόν ἐστι τῷ Βουτάδης. ὡς γὰρ Βούτης Βούτου Βουτάδης, οὕτως Ἱππότης Ἱππότου Ἱπποτάδης. τοιοῦτος γὰρ ὁ πατρωνυμικὸς τύπος τῶν εἰς ¯η¯ς ληγόντων κυρίων ὀνομάτων ὧν εἰς ο¯υ ἡ γενική. ὥσπερ καὶ τῶν εἰς ¯ας. οἷον Ἀλεύας Ἀλευάδης. καὶ τῶν διὰ τοῦ ¯ιος καθαρῶν. οἷον Ἥλιος Ἡλιάδης. τοῦ δὲ Βουτάδου σύνθετον οἱ Ἐτεοβουτάδαι, γένος πολὺ καὶ λαμπρὸν, ἀπό τινος Βούτου. ἀφ' οὗ γένους οἱ ἱερεῖς καθίσταντό φασιν Ἀθήνησι. καὶ εἰσὶν Ἐτεοβουτάδαι οἱ ἀληθῶς ἐκτοῦ Βούτου. καθ' ὁμοιότητα τοῦ Ἐτεόκρητες οἱ Ἰθαγενεῖς Κρῆτες. (ῃερς. 3.) Πλωτὴ ἢ κατά τι κύριον ὄνομα ἢ ἡ κειμένη ἐν πλεομένοις τόποις καὶ διὰ τοῦτο γνωριζομένοις. κατ' ἄλλους δὲ φράσαι, ἡ προσπλεομένη ὑπ' ἀνθρώπων. ἢ ἄλλως, ἡ περιπλεομένη κύκλῳ καὶ μὴ κατὰ τὰς ἄλλας οὖσα πλήρης ὑφάλων πετρῶν. Ἀρίσταρχος δέ φασι πλωτὴν λέγει φορητὴν καὶ οἷον παραφερομένην ἢ συνεχείᾳ σεισμῶν ἢ ἄλλως ὁπωσοῦν, ὡς ποτὲ μὲν ἐν δεξιοῖς ὁρᾶσθαι μέρεσι, ποτὲ δὲ ἐν ἀριστεροῖς. ὁποῖον δή τι καὶ περὶ Δήλου ἱστόρηται. ἧς καὶ χωρίον τι ὁ τρέμων παρὰ Λυκόφρονι ἔκ τινος τοιαύτης αἰτίας κληθείς. παρατιθέασι δὲ περὶ τῆς Δήλου οἱ παλαιοὶ ἔπος τοῦτο. ἦν γὰρ τὸ πάροιθε φορητὰ κυμάτεσσι δᾶλος παντοδαπῶν ἀνέμων ῥιπαῖς. καὶ οἱ μὲν περὶ Ἀρίσταρχον φασὶν οἰκειότερον εἶναι οὕτω νοεῖν, ὡς μὴ ἐῤῥιζῶσθαι τὴν τῶν ἀνέμων νῆσον ὧν Αἴολος δεσπόζει. ἕτεροι δέ φασιν, ὡς εἴπερ ἐπέπλει τῇ θαλάσσῃ, οὐκ ἂν εἰς δεύτερον εὗρεν αὐτὴν ὁ Ὀδυσσεὺς, παλίμπλους εἰς αὐτὴν ἐπανελθών. λέγουσι δὲ οὗτοι οὐ πάνυ εὐφυῶς. εἰ γὰρ καὶ πλωτὴ ἦν ἡ νῆσος, ἀλλ' οἱ ἄνεμοι, ὡς εἰς πατρίδα ἐπανιόντες αὐτὴν κατὰ μῦθον, συναπήγαγον πιθανῶς καὶ τὸν Ὀδυσσέα ὅπου περ ἂν καὶ ἦν παρεκπλεύσασα. καινὸν δὲ οὐδὲν τοιοῦτόν τι καὶ τὸν ποιητὴν εἰπεῖν, εἴγε περὶ τὴν Λιβύην ἕτεροι τερατεύονται Διονύσου πόλιν εἶναι, ἣν οὐκ ἐνδέχεται δὶς τὸν αὐτὸν ἐξευρεῖν ὡς μεθισταμένην. καὶ Ἡρόδοτος δὲ ἱστορεῖ ὡς νῆσος πλωτὴ λέγεται περὶ Αἴγυπτον ἐν λίμνῃ βαθείᾳ καὶ πλατείᾳ. ἐκαλεῖτο δὲ ἡ τοιαύτη Ἔχεμις. (ῃερς. 2.) Ὅτι τὸν ῥηθέντα Αἴολον ὁ τῆς ἀλληγορίας λόγος εἰς ἐνιαυτὸν ἀνάγει. διὸ καὶ δίδωσιν αὐτῷ δώδεκα παῖδας τὴν τῶν μηνῶν δωδεκάδα. καὶ τούτων τὰς μὲν θηλείας λέγει, τοὺς καρποφόρους δηλαδὴ μῆνας καὶ κατὰ τὰ θήλεα γεννητικούς. τοὺς δὲ ἄῤῥενας ὅσοι δηλονότι οὐ τοιοῦτοι μὲν συμβάλλονται δὲ ἄλλως τῇ γῇ πρὸς γονημότητα τὴν ἐφεξῆς. ὁποῖοί τινες οἱ πρὸ τοῦ ἔαρος. οὓς δὴ παῖδας τοῦ ἐνιαυτοῦ καὶ συνηρμόσθαι ἀλλήλοις λέγει διὰ τὸ κατὰ τὰς ὥρας οὐ μόνον ἐναμόρνιον, ἀλλὰ καὶ ἀλληλουχούμενον. τὸν δὲ τοιοῦτον Αἴολον Ἱππότου τε υἱὸν εἶναι φησὶ διὰ τὸ ταχὺ τῆς χρονικῆς παραῤῥοῆς, καὶ ταμίαν δὲ ἀνέμων ἐπεὶ καὶ ἄνεμοι καθ' ὥρας τινὰς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνέουσι καὶ κατὰ καιρὸν ὡς τὰ πολλά, οἷον οἱ ἐτησίαι μὲν θέρους, φθινοπώρου δὲ οἱ νῶτοι, καὶ ἔαρος, οἱ λευκόνοτοι. ὁ δὲ ὡς εἰκὸς ἱστορικὸς λόγος ἄνθρωπον συνετὸν καὶ εὔπορον τὰ εἰς βουλὴν καὶ εἰς λοιποὺς λόγους τὸν Αἴολον παραδίδωσι διὰ περιουσίαν φρονήσεως. διὸ καὶ ἡ παροιμία Αἰόλον τὸν ποικίλον καὶ πανοῦργον φησίν. ἀφ' οὗ σύνθετον αἰολοχαίτης ὁ ποικίλας ἔχων τρίχας ἄνθρωπος δηλαδὴ ἢ ἵππος ἢ ἄλλο τι ζῷον. ὅπερ εἰ καὶ πέκεται, λέγοιτ' ἂν καὶ ποικίλον κυρίως. δοκεῖ γὰρ παρὰ τὸν πόκον εἰρεῖσθαι ὁ ποικίλος. δῆλον δὲ ὡς ἡ σύνθεσις τοῦ αἰολοχαίτης κατὰ τὸ κυανοχαίτης. δρομιχαίτης. γλαυκοχαίτης. μελαγχαίτης. ἡ δὲ περὶ τούτων Ὁμηρικὴ φράσις τοιαύτη. τοῦ καὶ δώδεκα παῖδες ἐνὶ μεγάροις γεγάασιν, ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώωντες. ἔνθ' ὅγε θυγατέρας (ηερς. 7.) πόρεν υἱάσιν εἶναι ἀκοίτις κατὰ ἔθος ἀρχαῖον. καθ' ὃ καὶ ὁ Ζεὺς συνῴκει τῇ Ἥρᾳ. ἐδόκει γὰρ τοῖς παλαιοῖς μέγα τι καὶ τὴν ἐκ φύσεως φιλοστοργίαν εἰς ὁμοφροσύνην συμβάλλεσθαι. Ἀλκιβιάδην μέντοι παρεξηυλημένον ἐν τῷ ἄλλως βιοῦν ἐξωλέστερον, ἔσκωψέ φησιν Ἀντισθένης παράνομον εἶναι καὶ εἰς γυναῖκας καὶ εἰς τὴν ἄλλην δίαιταν, συνεῖναι γὰρ καὶ μητρὶ καὶ θυγατρὶ καὶ ἀδελφῇ ὡς τοὺς Πέρσας. (ηερς. 8.) εἶτα καὶ τὰ ἑξῆς περὶ τῶν παίδων ἐπάγων φησίν. οἵδ' αἰεὶ παρὰ πατρὶ φίλῳ καὶ μητέρι κεδνῇ δαίνυνται. παρὰ δέ σφιν ὀνείατα μυρία κεῖται. κνισσῆεν δέ τε δῶμα περιστεναχίζεται αὐλῇ ἤματα. νύκτας δ' αὖτε παρ' αἰδοίῃς ἀλόχοισιν εὕδουσιν ἔν τε τάπῃσι. (ηερς. 12.) καὶ ἐν τρητοῖσι λεχέεσσι, καὶ οὕτω διασκευάσας τὰ κατὰ τούτους καὶ τρυφῶντας παραστήσας καὶ ὑπὲρ τὸ δέον ἀναπεπτωκότας ὁποῖοι δή τινες καὶ οἱ Φαίακες οὓς καὶ θεραπεύει τῇ τῶν ὁμοιοπαθῶν ἱστορίᾳ καὶ τὸ τέλος δὲ τῆς διασκευῆς καλλύνας παρίσοις τῷ, ἀλόχοισι, τάπῃσι, τρητοῖσι λεχέεσσιν, οὐδέν τι περὶ τῶν τοῦ Αἰόλου δωμάτων ἐνδιάσκευον εἰπεῖν ἠθέλησεν ἢ περὶ τῆς πόλεως, ἀλλ' ἠρκέσθη μόνον εἰπὼν ὡς καὶ τούτων ἱκόμεθα πόλιν καὶ δώματα καλά. ὀκνεῖ γὰρ χρᾶσθαι κατακόρως ἐκφράσεσι διὸ καὶ μυρία 1.364 ὀνείατα εἰπὼν οὐδέν τι πλέον οὐδὲ περὶ αὐτῶν προσέθετο. (ηερς. 10.) καὶ δῶμα δὲ κνισσῆεν φάμενος τὸ κηῶεν καὶ εὔοσμον ἢ τὸ κνίσσης μετέχον ἠρκέσθη ἐς τοσοῦτον εἰπὼν, καὶ μηδέν τι μηδὲ περὶ τῆς ἐνταῦθα κνίσσης παρασημηνάμενος. Ἰστέον δὲ ὅτι ὁ παραφράσας τὴν Ὀδυσσείαν ῥήτωρ οὕτω γοργῶς μετέβαλε τὰ κατὰ τοὺς παῖδας τοῦ Αἰόλου, πάντες κοινῇ παρ' αὐτῷ δίαιταν εἶχον, πλήν γε δὴ ὅσα νύκτωρ ἀναγκαίως ἐγίνετο. Τὸ δὲ περιστεναχίζεται, ἀντὶ τοῦ περιηχεῖται, ὡς καὶ τοῦ τοιούτου δώματος ἠχήεντος ὄντος. ἢ ἀντὶ τοῦ, στενοχορεῖ τοῖς δαινυμένοις. (ηερς. 12.) Περὶ δὲ ταπήτων ἀρκεῖ εἰπεῖν ἄρτι, ὅτι ἐοίκασι ταυτόν ποτε εἶναι τάπητες καὶ δάπιδες, ὡς δηλοῖ Παυσανίας ἐν οἷς φησὶ ψιλοδάπιδας, ψιλὰς καὶ μὴ μαλλωτάς, ὡς δηλαδὴ καὶ μαλλωτῶν οὐσῶν δαπίδων ὁποῖοι καὶ οἱ τάτηπες ὡς ἐπιπολύ. (ηερς. 5.) Τῶν δὲ παίδων Αἰόλου καὶ ὀνόματα ἐκτίθενται οἱ παλαιοί. περὶ ὧν οὐκ ἀναγκαῖον ἐκθέσθαι ἢ μόνον ἐς τοσοῦτον. Αἴολος Τηλεπάτραν τὴν Λαιστρυγόνος ἐγέννησε τοὺς δεῖνα καὶ τὰς δεῖνα. (ηερς. 14.) Ὅρα δὲ καὶ ὡς οὐκ ἠξίωσεν ὁ ποιητὴς ἱστορῆσαι καθὰ περὶ τῶν Φαιάκων πολλά τινα, οὕτω καὶ περὶ τῶν ἐν τῇ τοῦ Αἰόλου νήσῳ, ἀλλ' ἠρκέσθη τὰ κατὰ τὸν βασιλέα διὰ τοῦ Ὀδυσσέως εἰπεῖν, ἵνα μὴ τὰ τῆς ποιήσεως πάρεργα πλείω τοῦ ἔργου γένηται εἰ περὶ τῶν καθέκαστα ἐμπλατύνεται. διὸ καὶ ἐνδεικνύμενος τὴν τοιαύτην μέθοδον ὁ Ὁμηρικὸς Ὀδυσσεὺς ἐπάγει. μῆνα δὲ πάντα φίλει με καὶ ἐξερέεινεν ἕκαστα, Ἴλιον Ἀργείων τε νέας καὶ νόστον Ἀχαιῶν. ἐξ οὗ φιλομαθῆ καὶ τὸν Αἴολονδηλοῖ. καὶ ἐμφαίνει δύνασθαι μὲν κἀνταῦθα πολλὰ λέγειν μὴ ἐθέλειν δὲ πολυλογεῖν. (ηερς. 16.) Ὅτι σαφοῦς ἀπαγγελίας τὸ, καὶ μὲν ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα. (ηερς. 17.) Ὅτι τὸ ἐν ἄλλοις λόγῳ διδαχθὲν ὡς χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν, πραγματικῶς ἐνταῦθα παραδίδοται ἐν τῷ, ἀλλ' ὅτε δὴ καὶ ἐγὼ ὁδὸν ᾔτεον καὶ ἐκέλευον πέμπειν, οὐδέ τι κεῖνος ἀνήνατο. τεῦχε δὲ πομπήν. Ὀδυσσεὺς δὲ τοῦτο λέγει ἐρεθίζων τὸν Ἀλκίνοον εἰς ἔργον ὅμοιον. (ηερς. 19.) Ὅτι Αἴολος ἐκδείρας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσκὸν βοὸς ἐννεώροιο διὰ τὸ στεῤῥόν τε καὶ ἀῤῥαγὲς ἔδωκε τῷ Ὀδυσσεῖ. ἔνθα βυκτάων ἀνέμων κατέδησε κέλευθα. κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε θεός. νηΐ δ' ἐνὶ γλαφυρῇ κατέδει μέρμιθι φαεινῇ, ἀργυρέῃ, ἵνα μή τι παραπνεύσῃ ὀλίγον περ. αὐτὰρ ἐμοὶ πνοὴν Ζεφύρου προσέηκεν ἀῆναι. ὄφρα φέροι νῆάς τε καὶ αὐτοὺς, τουτέστιν ἡμᾶς. (ῃερς. 26.) ἀφίεται δὲ πνέειν Ζέφυρος, οἷα ἐπιτήδειος πρὸς τὸν ἐς Ἰθάκην πλοῦν. (ῃερς. 22.) Τὸ δὲ ταμίαν ἀνέμων ἑρμηνεύων ὁ ποιητὴς ἐπάγει. ἠμὲν παυέμεναι ἠδ' ὀρνύμεν ὅν κ' ἐθέλῃσι, τουτέστι, τὸν μὲν οἷον ἀποκρύπτειν, τὸν δὲ προβάλλεσθαι. ὁποῖόν τι καὶ οἱ ταμίαι ποιοῦσι, τὰ μὲν προτιθέντες, τὰ δ' ἀποτιθέμενοι. χρήσιμον δὲ εἰς τὸ, ἀνέμους παυέμεναι, καὶ τὸ ἀνεμοκοῖται, γένος ἐν Κορίνθῳ ἀνέμους κοιμίζοντες. εἰς ὅπερ δεξιῶς λέγεται διακεῖσθαι καὶ Ἐμπεδοκλῆς. οὗ καὶ ἡ εἰς αὐτὸ τέχνη ἱστόρηται. (ῃερς. 24.) Πιθανὴ δὲ καὶ ἀστεία καὶ ἡ δι' ἀργύρου δέσις τοῦ ἀσκοῦ, ὡς ἂν ἀπατηθέντες οἱ ἑταῖροι λύσωσι τὸν ἀσκὸν, οἷα χρημάτων πλῆθος εἶναι εἰκάσαντες ἐκ τῆς πολυτελείας τοῦ δεσμοῦ. πρὸς μέντοι τὸ φαινόμενον, ἵνα μή τι παραπνεύσῃ τουτέστιν ἐκπνεύσῃ ἀνέμου. (ῃερς. 23.) ὡς τοῦ ἀργυρέου μίτου, ὃ σύρμα φασὶν οἱ ἰδιωτίζοντες, σφιγκτότερον πιέζοντος ἤπερ ὁ σχοῖνος, καὶ βαθύτερον. ἔστι δὲ καὶ ἄλλως ἀργύρεόν τι σφήκωμα εἰπεῖν τὴν τοιαύτην ἀργυρέαν μέρμιθα. κατὰ τὸ, χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο, ὅπερ ἐν Ἰλιάδι κεῖται. (ῃερς. 21.) Ταμίας δὲ ἀνέμων ὁ Αἴολος, οὐ μόνον ἀλληγορικῶς ὡς προείρηται, ἀλλὰ καὶ κατὰ ἱστορίας ἀλήθειαν. σοφὸς δὲ ἀνὴρ παραδίδοται καὶ τιμώμενος οἷα προγνωστικὸς ἀνέμων πνοῆς. ὡς ἐντεῦθεν, πολλοῖς προλέγων ἢ εὔπλοιαν ἢ δυσχέρειαν περὶ τὸν πλοῦν καὶ εὐστοχῶν, φήμην διαδοῦναι ὡς ἄρα καὶ ταμίας ἦν ἀνέμων καὶ δεσμεῖν εἶχεν αὐτοίς. ὥς που καὶ τὸν Ἄτλαντα κατευστοχοῦντα τῶν οὐρανίων κινήσεων ἀνέχειν εἶπεν ὁ μῦθος τὸν οὐρανόν. ἕτεροι δέ φασι καὶ ὅτι ἐκ τῆς διαφορᾶς τῶν βρόμων τῶν ἐν ταῖς νήσοις Αἰόλου οὓς οἱ ἐκεῖ τοῦ πυρὸς κρατῆρες ποιοῦσι καὶ ἐκ τῶν ἀναφυσημάτων καὶ φλογῶν καὶ λιγνύων προσημαίνεται καὶ ὁ εἰς τρεῖς ἡμέρας πνεύσων ἄνεμος. καί τις κατὰ τὸν γεωγράφον ἐν Λιπάρᾳ γενομένης ἀπλοίας προεῖπε τὸν ἐσόμενον πλοῦν καὶ οὐ διεψεύσατο. διὸ καὶ Αἴολος ταμίας ἀνέμων ἐλέχθη, ὡς ἐκ τοιούτων τινῶν τὸν πλοῦν τεκμαιρόμενος καὶ προσημαίνων τοὺς ἔκπλους φησὶν ἐν τοῖς κατὰ τὸν Σικελικὸν πορθμὸν τόποις ἀμφιδρόμοις οὖσι καὶ δυσέκπλοις διὰ τὰς παλιῤῥοίας. Ὅτι δὲ οὐ μόνος Αἴολος ἐτιμήθη διὰ σοφίαν καὶ εὕρεσιν τοῦ χρησίμου ἀλλὰ σὺν ἄλλοις μυρίοις καὶ Δαναὸς ὡς παραδείξας τὰ ἐν Ἄργει ὑδρεῖα, καὶ Ἀτρεὺς τὸν τοῦ Ἡλίου δρόμον ὑπεναντίον τῷ οὐρανῷ, 1.365 ὁ γεωγράφος λέγει καθὰ καὶ ἕτεροι. (ῃερς. 19.) Τὸν δὲ ἀσκὸν ὅθεν ὑποκοριστικὸν οὐ μόνον ἀσκίον ἀλλὰ καὶ ἀσκίδιον ὡς τὸ, εἰσιᾶσι τινὲς μύρων Βαβυλωνίων ἔχοντες ἀσκίδια, οἱ μὲν οὕτως ἐξεδέξαντο κατὰ τὸ λεγόμενον, γοητείαν τινὰ ὑπονοήσαντες εἶναι. παρ' οἷς καὶ ᾄδεται ὁ ῥηθεὶς τοῦ Αἰόλου ἀσκὸς δελφῖνος εἶναι δέρμα. οἱ δέ τινες ὥσπερ τὸν παρ' Ἡσιόδῳ πίθον οὕτω καὶ νῦν τὸν Ὁμηρικὸν ἀσκὸν εἰς ἀνθρώπειον ἐξελάβοντο σῶμα. ὅπερ οὐ μόνον ἐπὶ νεκροῦ κεῖται κατὰ τὸν εἰπόντα ὡς πολλοὶ ἀπεδάρησαν εἰς ἀσκὸν, ἀλλὰ καὶ ἐπὶ ζῶντος καὶ ὑγιοῦς κατὰ τὸ, ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα. τῷ δὴ τοιούτῳ ἀσκῷ λέγοιντο ἂν ἐνδεδέσθαι ἄνεμοι διὰ τὸ τὸν σοφὸν Ὀδυσσέα τοιοῦτον περικείμενον σῶμα πρόνοιαν ἔχειν ἐκείνων καὶ δεσμεῖν αὐτοὺς, ἐξ Αἰόλου ὡς εἰκὸς μαθόντα. Ἐρατοσθένης μέντοι φασὶ παίζων πρός τε τὸν μῦθον καὶ τὸ ἀπίθανον τῆς Ὀδυσσέως πλάνης τότε ἂν εὑρεῖν τινὰ λέγει ποῦ πεπλάνηται Ὀδυσσεὺς, ὅτ' ἂν εὕρηται τὸν σκυτέα τὸν συῤῥάψαντα τὸν τῶν ἀνέμων ἀσκόν. ἔστι δ' ἐνταῦθα εἰπεῖν οὐκ ἔξω ἀστειότητος καὶ ὅτι καθάπερ πίθος ἐλπίδων παρ' Ἡσιόδῳ, οὕτω καὶ νῦν παρ' Ὁμήρῳ ἀσκὸς ἐλπίδων οὗτος τῷ Ὀδυσσεῖ εὐέλπιδι ἐπὶ τοῖς ἀνέμοις ὄντι. ἀλλ' Ἡσίοδος μὲν ἐγκλειομένην ἐᾷ τῷ πίθῳ τὴν ἐλπίδα ἥ τίς ποτε ἐκείνη ἐστίν. ἐνταῦθα δὲ ἐξορμᾷ τοῦ ἀσκοῦ καὶ ἀνέμοις φέρεται. (ῃερς. 47.) οὐκ ἂν δὲ εὐτραπελίας εἴη μακρὰν, καὶ ἀσκῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ κατὰ τὸν Ὀδυσσέα εἰκάσαι τὸν ἐλπίδας κενάς τισιν ὑποτείνοντα, καὶ ἐπὶ ψευδέσιν ὄντα φυσίγναθον. ἐφ' οὗ οἰκεῖον εἰπεῖν τοὺς ἠπατημένους καὶ τὸ, ἀσκὸν μὲν ἔλυσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν. αὐτὸ δὲ καλὸν εἰπεῖν καὶ περί τινος ἢ ἄλλως ἀπαίδευτα πνέοντος, ἢ πρὸς ἀπεραντολόγον καὶ οἷον ἐρυγγάνοντα τὸ παραπεσὸν ἀλαζονικῶς ἢ ἑτεροίως ὁπωσοῦν. Ὅτι δὲ ἀσκοὶ οὐ μόνον οἱ συνήθως ἐξ αἰγῶν καὶ βοῶν ἀλλὰ καὶ ἐξ ἑτέρων, δῆλόν ἐστι. δελφῖνός τε γὰρ ὁ ῥηθεὶς ἀσκὸς τετελεσμένος εἴτουν γεγοητευμένος καὶ ἀνθρώπου δέ. οὗ τὸ δέρμα εἴπου καινῶς ἀποδαρείη, ἀνθρωπείη τε λέγεται καθ' Ἡρόδοτον καὶ ἀσκὸς δὲ, ὡς ἔστι γνῶναι ἐκ τοῦ ἱστοροῦντος ἀποδαρῆναι τὸν Μαρσύαν εἰς ἀσκόν. καὶ κυνὸς δὲ καὶ λύκου ἀσκοὶ παραδέδονται. πεπείραται δὲ καὶ καμήλου ἀσκὸς διὰ συῤῥαφῆς, καὶ μὴν καὶ παρδάλεων. ἐν γοῦν τοῖς τοῦ Ἀθηναίου πομπή τις λαμπροτάτη κατ' Ἀλεξάνδρειαν ἱστόρηται, τετράκυκλον ἔχουσα πολυμήκη ἅμαξαν. ἐφ' ἧς ἦν ἀσκὸς τρισχιλίους ἔχων μετρητὰς ἐκ τῶν παρδάλεων δερμάτων ἐῤῥαμμένος, γέμων οἴνου, καὶ ῥέων κατὰ μικρὸν ἐν τῷ ἀνίεσθαι κατὰ πᾶσαν τὴν ὁδόν. ὅτι δὲ καὶ πάχους τοῦ κατὰ σῶμα γίνεται σκῶμμα ὁ ἀσκὸς, δηλοῖ Ἀθήναιος, εἰπὼν ὅτι παχύν τινα ἐξ οἰνοφλυγίας γενόμενον ἀσκὸν ἐκάλουν οἱ ἐπιχώριοι. ὁ δ' αὐτὸς καὶ περί τινος ἰσχνοῦ κατὰ σῶμα ἱστορῶν λέγει ὅτι Φιλιππίδης ἰσχνότατος ἐκωμῳδεῖτο καὶ εἶναι ὡς οἷα καὶ νεκρὸς ἐλέγετο. διό τινος εἰπόντος ὡς ἐν ἡμέραις τρισὶ τὸν δεῖνα ἰσχνότερον Φιλιππίδου ἀποφανῶ, ἔφη τις οὕτως. ἐν ἡμέραις ὀλίγαις νεκροὺς ποιεῖς. ὅθεν Ἄλεξις τὸν Φιλιππίδην συγκόψας ἤγουν συγκοπὴν ποιήσας τοῦ τοιούτου ὀνόματος πεφιλιππῶσθαι εἶπε τὸ λελεπτύνθαι, οὐ κατά τινα Φίλιππον δηλαδὴ ἀλλὰ κατὰ τὸν συγκοπέντα Φιλιππίδην. ἐνταῦθα δὲ μνηστέον καὶ παροιμίας εἰπούσης τὸ, ἀεί ποτε εὖ μὲν ἀσκὸς εὖ δὲ θύλακος ἀνθρώποις ἐστί. δι' ἧς ἔοικε δηλοῦσθαι τὸ τοῦ βίου ἐπαμφοτερίζον. ἀσκοῦ δὲ παράγωγα σὺν ἄλλοις καὶ ὁ ἀσκίτης ὕδερος. ἴσως δὲ καὶ τὸ ἐθνικὸν οἱ Ἀσκίται. καὶ τὸ ἄσκωμα οὗ μέμνηται ὁ κωμικὸς ἐν τῷ, ἀσκώματα καὶ λίνα καὶ πίτταν. καὶ τὸ ἀσκωλιάζειν. ὅ πέρ ἐστι κατὰ κυριολεξίαν μὲν ἐν ἀσκῷ λιάζειν. ᾧ πεφυσημένῳ ἐμπηδῶντες οἱ βουλόμενοι ἔν τινι ἑορτῇ οὐκ ἀμφοῖν ποδοῖν ἀλλὰ ἑνὶ καὶ ὡς εἰκὸς οὐκ εὐστοχοῦντες ἀλλά που καὶ καταπίπτοντες, ὑπεκίνουν γέλωτα τοῖς θεωμένοις. ἄλλως μέντοι παρὰ τοῖς ὕστερον ἀσκωλιάζειν ἑρμηνεύεται, τὸ ἑνὶ ποδὶ ἅλλεσθαι. ὅτι δέ τινες πειρῶνται καὶ τὸ ἀσκεῖν ἀθλητικῶς ἐκ τοῦ ἀσκοῦ παράγειν ἐς τοσοῦτον μόνον εἰρήσθω. (ῃερς. .) Βύκται δὲ ἄνεμοι, ἢ κατὰ ὀνοματοποιΐαν οἱ ἠχητικοί. ἢ οἱ σφοδροὶ καὶ κατὰ βυθοῦ ἀΐκτοί. ἢ καὶ ὡς ἀπὸ ἀῤῥήτου ῥήματος τοῦ βύσσω ἤγουν εἰς βυθὸν κατάγω. Τὸ δὲ κατέδησε κέλευθα, καιριώτερον ἐνταῦθα ἐγράφη ἤπερ πρὸ τούτων ἐν τῷ, ἀνέμων κατέδησε κελεύθους. νῦν γὰρ καὶ αἰσθητὸς δεσμὸς τῶν ἀνέμων μυθεύεται καταδεσμουμένων μέρμιθι φαεινῇ, ὅ ἐστι μίτῳ λαμπρᾷ διὰ τὸ ἀργύρεον. ἢ λεπτῇ. ἔτι δὲ μέρμις μέρμιθος ὡς ὄρνις ὄρνιθος, μήρινθος ἢ μίτος λεπτή, γινομένη παρὰ τῷ εἴρω ἕρμις καὶ μέρμις ἡ δυναμένη διείρεσθαι διὰ λεπτότητα. τῶν ἅπαξ δὲ εἰρημένων παρὰ τῷ ποιητῇ καὶ ἡ λέξις αὕτη ἐστίν. (ῃερς. 28.) Ὅτι ἐννῆμαρ πλέουσιν ἐξ Αἰόλου τοῖς περὶ τὸν Ὀδυσσέα νύκτας καὶ ἦμαρ ὃ καὶ ἀλλαχοῦ κεῖται τῇ δεκάτῃ ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα. καὶ δή φησι πυρπολέοντας ἐλεύσσομεν ἐγγὺς ἐόντας. ἔνθα ἐμὲ μὲν γλυκὺς ὕπνος ὑπήλυθε 1.366 κεκμηῶτα. (ῃερς. 32.) αἰεὶ γὰρ πόδα νηὸς ἐνώμων. ὡς δηλαδὴ τεχνικώτερος καὶ φερεπονώτερος. οὐδέ τῳ ἄλλῳ δῶκα ἑτάρων, ἵνα θᾶσσον ἱκοίμεθα πατρίδα γαῖαν. οἱ δ' ἕταροι ἔφασαν χρυσόν με καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι δῶρα παρ' Αἰόλου. ὧδε δέ τις ἂν εἶπεν. ὢ πόποι. ὡς ὅδε πᾶσι φίλος καὶ (ῃερς. 38.) τίμιός ἐστιν ἀνθρώποις, ὅτεών τε πόλιν καὶ γαῖαν ἵκηται, ὃ δὴ περιοδευτοῦ δηλοῖ τιμιότητα. εἶτα εἰπόντες καὶ ὡς πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλὰ ληΐδος, ἡμεῖς δὲ ὁμὴν ὁδὸν ἐκτελέσαντες οἴκαδε ἄπιμεν κενεὰς σὺν χεῖρας ἔχοντες. καὶ νῦν οἱ τάγε δῶκε χαριζόμενος φιλότητι Αἴολος, (ῃερς. 44.) βουλεύονται τὸ ἐπικίνδυνον. εἰπόντες.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' ἄγε θᾶσσον ἰδώμεθα ὅττι τάδ' ἐστίν. ὅπερ ἐφερμηνεύων, φησίν. ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστιν, (ηερς. 47.) οὕτως ὁ πολυτελὴς δεσμὸς αὐτοὺς, ὡς ἐῤῥέθη, ἐξηπάτησεν. εἰ δὲ καὶ ἐκ τῆς κουφότητος τοῦ ἀσκοῦ ἦν γνῶναι ὡς οὐκ εἶχε τοιαῦτα ἐντὸς, ἀλλὰ τὸ προσδεδέσθαι ἐκώλυεν τὴν πεῖραν. ἔοικε γὰρ καταδεδεσμῆσθαι ὁ ἀσκὸς ἐν τῇ νηΐ. ὡς καὶ τοῦτο ὑποδηλοῖ τὸ, νηῒ δ' ἐνὶ γλαφυρῇ κατέδει. ὣς ἔφασαν. βουλὴ δέ φησι κακὴ νίκησεν ἑταίρων. ἀσκὸν μὲν λῦσαν. ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν. (ηερς. 48.) τοὺς δὲ, ὅ ἐστι τοὺς ἀμφὶ τὸν Ὀδυσσέα, ἁρπάξασα φέρεν πόντονδε θύελλα κλαίοντας, (ηερς. 49.) γαίης ἄπο πατρίδος, ἧς ἐγγὺς ἦσαν. Καὶ ὅρα οἷον ὁ φθόνος. ὃς πολυπραγμοσύνην ἐνθεὶς τοῖς τοῦ Ὀδυσσέως διὰ φιλοχρηματίαν περιεργάσασθαι δέδωκε τὸν ἀσκὸν, ὅθεν αὐτοῖς τὸ κακόν. ἔτι δὲ καὶ οἷα φαῦλα ποιεῖ βραχεῖα οὐκ ἐν καιρῷ ἀνάπτωσις. δι' ἣν Ὀδυσσεὺς ὑπνώσας γλυκὺ πικρὰ ἔπαθε. (ηερς. 30.) Πυρπολεῖν δὲ ἢ τὸ πυρσεύειν ὅ ἐστι νυκτὸς πῦρ καίειν διὰ τοὺς πελαγίζοντας ἢ καὶ τὸ μεθ' ἡμέραν τεκμηριοῦσθαι τόπον τῷ τοῦ πυρὸς σημείῳ καπνῷ, ὃν ἀποθρώσκοντα ἐκεῖθεν ἰδεῖν ἐπηύξατο πρὸ τούτων Ὀδυσσεύς. (ηερς. 31.) Τὸ δὲ ἐπήλυθε, μετὰ δοτικῆς φασὶν οἱ ὕστερον καὶ οὐχ' ὡς νῦν μετὰ αἰτιατικῆς ἐν τῷ, ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε. (ηερς. 35.) Τὸ δὲ ἄγεσθαι καὶ τὸ ἄγεται, ἐπὶ κειμηλίων οὐ μὴν συνήθως ἐπὶ ἐμψύχων λέγει. (ηερς. 39.) Τὸ δὲ ὅτεων, δύο ἔχει πλεονασμούς. τὸ γὰρ κοινὸν τῶν, ἀντὶ τοῦ ὧν τινων. τοιοῦτον καὶ τὸ ὁτέοισι καὶ τὸ ὅτεῳ καὶ τοιαῦτα. (ηερς. 42.) Τὸ δὲ κενεὰς χεῖρας ἔχειν καὶ τὸ, βουλὴ δὲ κακὴ νίκησε, παροιμιώδη εἰσίν. (ηερς. 50.) Ὅτι κινδυνώδη φράζει πλοῦν τὰ τοιαῦτα. αὐτὰρ ἐγὼ κατὰ θυμὸν ἀμύμονα μερμήριξα ἠὲ πεσὼν ἐκ νηὸς ἀποφθίμην ἐνὶ πόντῳ ἢ ἀκέων τλαίην καὶ ἔτι ζωοῖσι μετείην, ἀλλ' ἔτλην καὶ ἔμεινα. καλυψάμενος δ' ἐνὶ νηῒ κείμην. αἱ δ' ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ. στενάχοντο δ' ἑταῖροι. (ηερς. 51.) Γίνεται δ' ἐν τούτοις τὸ ἀποφθίμην ἀπὸ τοῦ φθίω ῥήματος, ἐξ οὗ καὶ ἡ φθίσις καὶ ὁ φθισίνωρ. (ηερς. 52.) Τὸ δὲ τλαίην καὶ τὸ ἔτλην τλήμονα εἶναι τὸν Ὀδυσσέα παριστᾷ τὸν ταῦτα λέγοντα. (ηερς. 59.) Ὅτι τὸ, κήρυκα ὀπασάμενος, ἀντὶ τοῦ ὀπαδὸν ἑλόμενος, ἐξ οὗ καὶ γίνεται ὁ ὀπαδός. οὐκ ἄρα ἐπὶ μόνου τοῦ παρέχειν τὸ ὀπάζειν λέγεται. (ηερς. 60.) Ὅτι ἐν τῷ, βῆν εἰς Αἰόλου κλυτὰ δώματα, λαγαρότης ἐστὶν, ὡς τοῦ Αἰόλου ἀντὶ μακρᾶς ἔχοντος τὴν παραλήγουσαν καὶ σφιγγομένου ἀπὸ δακτύλου εἰς τροχαϊσμὸν ἀπεναντίας τῷ προκοιλίῳ. ἐπεὶ καὶ ἀντίκειται τὸ προκοίλοιον καὶ τὸ λαγαρόν. θεραπεία δὲ τοῦ τοιούτου μετρικοῦ πάθους ἴσως μὲν καὶ τὸ εἶναι κύριον ὄνομα τὸν Αἴολον καὶ διὰ τοῦτο ὑποπίπτειν ἐξανάγκης ἔστιν ὅτε ἀδιαφορίᾳ. μάλιστα δὲ ἡ ὀξεῖα, δυναμένη ἐκτείνειν, ὡς ἀλλαχοῦ ἐῤῥέθη, οὐ μόνον βραχὺ φωνῆεν ᾧ ἐπίκειται ὡς ἐν τῷ, Αἰόλον ὄφιν, ἀλλὰ καὶ τὸ πρὸ αὐτῆς καὶ μετ' αὐτήν. Ὅτι δὲ ὁ οὕτω παθὼν στίχος οὐ μόνον λαγαρὸς, ἀλλὰ καὶ πρόκλαστος, ὡς δὲ ἐν ἄλλοις ἐῤῥέθη, καὶ σφηκώδης. καὶ ὅτι καθὰ τῇ ὀξείᾳ οὕτω καὶ ἄλλοις τόποις τὰ μετρικὰ ἐκτείνονται, καὶ αὐτὸ ἑτέρωθι ἐδηλώθη. Ἰστέον δὲ ὅτι τὸ βῆν ἡ μονοσυλλαβία περιέσπασεν, ἄλλως γὰρ τὸ πλῆρες αὐτοῦ, ἤγουν τὸ ἔβην, βαρύνεται. ἀμήχανον γὰρ κατὰ Ἡρακλείδην ὁριστικὸν εὑρέσθαι εἰς ¯ην λῆγον, μὴ πάντως βαρυνόμενον ἐν πρώτῳ προσώπῳ, εἰ μὴ μονοσύλλαβον εἴη. μονοσυλλαβοῦν μέντοι περισπᾶται. οἷον. βῆν ἔβην. στῆν ἔστην. οὐκοῦν ὡς εἰκὸς καὶ τὸ χρῆν προσλήψει τοῦ ¯ε ἦν ἂν ἔχρην, εἴ περ ἦν ὁριστικὸν ῥῆμα. ἔστι δὲ οὐ τοιοῦτον κατ' αὐτὸν, ἀλλὰ Δωρικὸν ἀπαρέμφατον, κατὰ τὸ ζῆν καὶ τὰ ὅμοια. πᾶν γάρ φησι ῥῆμα εἰς ¯ην λῆγον καὶ περισπώμενον οὐκ ἄλλο τί ἐστιν ἢ ἀπαρέμφατον. καὶ τοῦτο παρὰ Δωριεῦσιν, οἳ φιλῆν καὶ νοῆν διὰ τοῦ ¯η φασίν. οὐκοῦν φησὶ καὶ ἐχρῆν. σκοπητέον δὲ εἰ παραδεκτέον τοῦτο ἁπλῶς. χρῆν μὲν γὰρ ἀπαρέμφατον εὕρηται παρ' Εὐριπίδῃ ἐν τῷ, πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποσφαγεῖν. ὃ ταυτόν ἐστι τῷ χρῆναι. τοῦ μέντοι ἐχρῆν παρατατικὴν σημασίαν ἡ κοινὴ ἔχει χρῆσις. εἰ μὴ ἄρα ὥσπερ χθὲς ἐχθὲς οὕτω καὶ τὸ Εὐριπίδειον χρῆν ἐχρῆν γέγονεν. (ηερς. 69.) Ὅτι οὐδὲν 1.367 ὤνησε τὸν Ὀδυσσέα εἰς ἱκετευτικὴν πειθὼ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὑρεῖν δαινυμένους τοὺς περὶ τὸν Αἴολον, οἵπερ, εἰ καὶ ἔδει αὐτοὺς ἱλαρῶς διατεθῆναι τῷ Ὀδυσσεῖ διὰ τὸ καὶ ἄλλως φιλοξένους εἶναι, ἀλλ' ὡς οἷα θεομισῆ αὐτὸν ἀποπέμπονται. ὡς δὲ καὶ ἡ πρὸς τὸν Κύκλωπα ἐπιδόρπιος ἱκετεία εἰς μάτην τῷ Ὀδυσσεῖ ἐκπέπτωκε, δῆλόν ἐστιν. ὥσπερ καὶ ὅτι παρὰ τοῖς Φαίαξιν ἀνάπαλιν ὁ τοιοῦτος καιρὸς ἀγαθὸς ἀπέβη. Ἰστέον δὲ ὅτι οὐκ ἔστι δέος τῷ Ὀδυσσεῖ μή ποτε ὑποκινήσῃ καὶ τοὺς Φαίακας μιμήσασθαι τὸν Αἴολον καὶ μὴ δ' αὐτοὺς ἀποπέμψαι τοῦτον ὡς οἷα θεομισῆ. οὐκέτι γὰρ τοιοῦτός ἐστιν, ὡς ἤδη περατωθείσης τῆς κατ' αὐτοῦ μήνιδος ἣν ὁ Κύκλωψ κατηύξατο. Ὅτι τὸ παρὰ τοῖς δώματος σταθμοῖς ἐπ' οὐδοῦ ἕζεσθαι πτωχικὸν ἦν καὶ δυσωπικόν, ὃ καὶ νῦν ἐν τοῖς τοῦ Αἰόλου δώμασιν Ὀδυσσεὺς ποιεῖ παλιμπλαγχθεὶς ἐκεῖ τὸ δευτέρον, καὶ ὅτε δὲ εἰς τὴν Ἰθάκην ἀπέλθῃ. οὕτω δὲ καὶ Πηνελόπη ἐπ' οὐδοῦ ἷζε πολυκλείτου θαλάμου ὅτε τὸν κατὰ τοῦ υἱοῦ λόχον ἔμαθεν. (ηερς. 63.) Ὅτι ἐπὶ δυστυχοῦς ὑποστροφῆς οἰκεῖον τὸ, οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον ἔκ τ' ἐρέοντο. πῶς ἦλθες; τίς τοι κακὸς ἔχραε δαίμων; ὅ ἐστιν ἐπεβάρησεν ὡς καὶ ἀλλαχοῦ δηλοῦται. (ηερς. 70.) Ὅτι Ὀδυσσεὺς μὲν μαλακοῖσι καθαπτόμενος ἐπέεσσιν ἤγουν ἱκετεύων λέγει τοῖς περὶ τὸν Αἴολον ὑποστραφεὶς, ὅτι ἄασσάν μ' ἕταροί τε κακοὶ πρὸς τοῖσί τε ὕπνος σχέτλιος. εἶτα καὶ ἱκετεύει. (ηερς. 69.) ἀλλ' ἀκέσασθε φίλοι. δύναμις γὰρ ἐν ὑμῖν. ὅ πέρ ἐστι περίφρασις τοῦ, δύνασθε γάρ. καὶ οὕτω μὲν ὁ Ὀδυσσεύς. (ηερς. 72.) ἀκούει δὲ πρὸς τοῦ Αἰόλου, ὅ περ ἄν τις ἀκούσοι δυσωπῶν μὲν διὰ πομπὴν μετ' ὀργῆς δὲ ἀποπεμπόμενος. ἔῤῥε θᾶσσον ἐλέγχιστε ζωόντων. οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ' ἀποπέμπειν ἄνδρα ὃς ἂν θεῷ ἀπέχθηται. (ηερς. 73.) ἔῤῥε. ἐπεὶ ἄρα θεῷ ἀπεχθόμενος τόδ' ἱκάνεις. ἤγουν ἐνταῦθα, κατὰ τόδε τὸ δῶμα ἐλλειπτικῶς, ὅ περ κοινότερον τῇδε λέγεται ὅ ἐστιν ἐνταῦθα ἐλλειπτικῶς καὶ αὐτὸ πάντως. τὸ γὰρ τῇδε ἱκάνεις, ὅμοιον ὡς εἴπερ λέγοι τις ἐν τῇδε τῇ οἰκείᾳ ἢ τῇ ὁδῷ, ἢ τοιοῦτόν τι. (ηερς. 67.) Τοῦ δὲ ἄασα ὃ λέξις μέν ἐστι ποιητικὴ, γεννᾷ δὲ τὴν ἀάτην, ἐκτείνεται καὶ νῦν ἡ ἄρχουσα. (ηερς. 69.) Τὸ δὲ ἀκέσασθε ἀφ' οὗ καὶ τὸ, ἀκεσταί τοι φρένες ἐσθλῶν, καὶ τὸ, νῆας ἀκειόμενον, δηλοῖ μὲν ἄρτι τὸ ἰάσασθαι. σημαίνει δέ ποτε καὶ τὸ ῥάψαι. λαβεῖν μέντοι τὴν λέξιν ἀντὶ τοῦ ἠπήσασθαι ὅθεν κατά τινας καὶ ἀκέστρια ἡ ἠτρία καὶ ἀκέστριον τὸ ἠπητήριον, οὐκ ὀρθῶς ἔχει. φησὶ γοῦν Αἴλιος Διονύσιος ἀκέστριαν οὐκ ἠπήτριαν. Μένανδρος. ἐξακεῖσθαί μοι δοκῶ τὸ δίκτυον. καὶ ἱμάτιον ἀκούμεθα. τὸ δὲ ἠπήσασθαι παντελῶς φησὶ βάρβαρον. συμφθέγγεται δὲ τῷ Διονυσίῳ καὶ ἡ συνήθεια, παρ' ᾗ τὸ, σουβλίῳ τρυπᾶν ἠπᾶν λέγεται. καὶ τὸ τῆς ἠπήσεως ὄργανον ἠπητήριον. (ηερς. 70.) Καθάπτεσθαι δὲ ἔπεσι καὶ νῦν τὸ ἀποτείνεσθαι καὶ καθικνεῖσθαι. (ηερς. 79.) Τὸ δὲ ἔῤῥε καίριον ὂν, δὶς ἐλέχθη κατὰ θυμικὴν διάθεσιν. ἑρμηνεύουσι δὲ αὐτὸ οἱ Ἀριστάρχιοι, μετὰ φθορᾶς ἄπιθι, ἐξηγούμενοι ἐκεῖνοι οὕτω καθ' Ἡρακλείδην, ἐπειδὴ ἐκ τοῦ φθείρω γίνεται τὸ ἔῤῥω, καθὰ καὶ ἀλλαχοῦ ἐδηλώθη, παρέσει τοῦ ¯φ καὶ ¯θ. ἴδιον γὰρ Ἰώνων καὶ Αἰολέων, τὰ τῶν λέξεων πρῶτα σύμφωνα αἵρειν εἴτε ἓν τύχοι ὂν οἷον λαιψηρὸς αἰψηρὸς, εἴτε δύο, πλευρὰξ εὐρὰξ ἐπίῤῥημα ποιότητος, τὸ παρὰ πλευρὰν ἤτοι πλάγιον. οὕτω γοῦν, καὶ φθείρω εἴρω, ἐξ οὗ Αἰολικῶς, ἔῤῥω. ὡς κείρω κέῤῥω. δείρω δέῤῥω. Αἰολεῖς γάρ φασι τῶν τοιούτων θεμάτων τὴν παρατέλευτον δίφθογγον ἀλλοιώσαντες καὶ μεταθέντες τὸ ἰῶτα εἰς ¯ρ ἴδια ποιοῦσι ῥήματα. παραγὼν δὲ Ἡρακλείδης πρὸς ὁμοιότητα τοῦ φθείρω εἴρω καὶ τὸ πλάνη ἄνη καὶ ἀντιθέσει τοῦ ¯ν εἰς ¯λ ἄλη, καὶ εἰπὼν ἀντιστοιχεῖν τὸ ¯λ καὶ ¯ν Δωρικῶς ὡς ἐν τῷ ἄνη ἄλη οὕτω καὶ ἐν τῷ φίντατος φίλτατος. ἦνθεν ἦλθεν, ὃ δὴ καὶ ἐν τῷ Φίντης γίνεται παρὰ Πινδάρῳ, καὶ παρ' Ἀττικοῖς δὲ καὶ ἐν τῷ νίτρον λίτρον καὶ πνεύμων πλεύμων, λέγει καὶ ὡς ἐκ τοῦ φθείρω, γίνεται κατὰ Δωριεῖς φθαίρω, ἀφ' οὗ τὸ ἔφθαρκα. καὶ ἐκ τοῦ κτείνω, κταίνω Δωρικώτερον παρὰ Ἀλκαίῳ. ὅμοια δὲ καὶ τὸ μεσόγειον μεσόγαιον. καὶ κύπειρον κύπαιρον παρὰ Ἀλκμᾶνι. καὶ εἴθε αἴθε. καὶ δεινὸς αἰνὸς παρέσει τοῦ ¯δ Ἰωνικῇ διαλέκτῳ. καὶ οὕτω μὲν φθείρω φθαίρω


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Δωρικῶς. ἐξαιρέσει δὲ τῶν πρώτων συμφώνων, αἴρω. καὶ ὑπερβιβασμῷ κατὰ Ἴωνας, ῥαίω. ἐξ οὗ αἱ σφύραι ὁ τε μὲν ῥαιστῆρες κοινότερον, ὁ τε δὲ, αἶραι ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη. οὗ χρήσεις ἐν τῷ, αἰράων ἔργα διδασκόμενοι. ἔργον δὲ πάντως αἰραίων τὸ σφυροκοπεῖν. εἰκὸς δὲ καὶ τὸ σπέρμα τὴν αἶραν ἐκ τοῦ τοιούτου φθαίρω αἴρω καὶ ῥαίω γενέσθαι, φθορὰ γάρ τις ἡ αἶρα σίτου. καὶ τοιάδε μὲν ταῦτα. Ἐλέγχιστος δὲ, ὁ ἐφάρματος. τοιούτων γὰρ ἀνδρῶν τὸ ἐλέγχεσθαι. (ῃερς. 73.) Τὸ δὲ οὔ μοι θέμις κομίζειν οὐδ' ἀποπέμπειν ἀστείως ἔχει. ξένον μὲν γὰρ θεοφιλῆ χρὴ παρέοντα μὲν φιλεῖν, 1.368 ἐθέλοντα δὲ πέμπειν. τὸν μέντοι θεομισῆ οὔτε τὴν ἀρχὴν κομιδῆς ἀξιοῦν ἐχρῆν, οὔτε πομπῆς ὕστερον. ἔστι δὲ τὸ ἀποπέμπειν ταυτὸν τῷ πέμπειν. καιρία δὲ καὶ αὕτη λέξις, διὸ καὶ ἐπιμένει ὁ ποιητὴς αὐτῇ τε καὶ ταῖς ἐξ αὐτῆς κινήσεσιν. οἷον ἠδὲ κέλευον πεμπέμεν. καὶ, τεῦχε δὲ πομπήν. καὶ, ἐνδυκέως ἀπεπέμπομεν. καὶ, οὐ κομιζέμεν οὐδ' ἀποπέμπειν. καὶ, οὐκέτι φαίνετο πομπή. (ῃερς. 76.) καὶ, ὣς εἰπὼν, ἀπέπεμπε δόμων βαρέα στενάχοντα. ὅπερ οἰκεῖον εἰπεῖν ἐπὶ τοῦ ἐν ἱκεσίᾳ μὴ ἐλεηθέντος. (ῃερς. 78.) Ὅτι ἐπίμονον κωπηλασίαν δηλοῖ τὸ, τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς. (ῃερς. 79.) Ὅτι ὥσπερ ἁμαρτῶ ἁμαρτία, οὕτω ματῶ ματία ἡ ματαιότης. φησὶ γάρ. τείρετο δ' ἀνδρῶν θυμὸς ἡμετέρῃ ματίῃ. Τοῦ δὲ ματῶ ματήσω ἡ χρῆσις ἐν Ἰλιάδι, τεθεῖσα ἐπὶ ἵππων μὴ ἐθελόντων θέειν. ὅτι δὲ καὶ μάτιόν ἐστιν οὐδέτερον ὄνομα ἐξ οὗ καὶ ὁ ματιολοιχὸς, ἐῤῥέθη ἐκεῖ. (ῃερς. 80.) Ὅτι ἐκ τῆς κατὰ τὸν Αἴολον νήσου μακράν που ἀπῳκισμένης οἱ περὶ τὸν Ὀδυσσέα ἑξῆμαρ ὁμῶς πλέοντες νύκτας τε καὶ ἦμαρ, ἑβδομάτῃ ἵκοντο (ῃερς. 81.) Λάμου αἰπὺ πτολίεθρον. ὃ ἐφερμηνεύων φησί. τηλέπυλον Λαιστρυγονίην. εἶτα ἱστορικῶς ἐκτιθεὶς τὴν ἐκεῖ τοπικὴν ἰδιότητα φησίν. (ῃερς. 83.) ἔνθα ποιμένα ποιμὴν ἠπύει ὅ ἐστι προσφωνεῖ. καὶ ἐφερμηνεύων, τί ποιῶν ποιμὴν τί ποιοῦντα ποιμένα ἠπύει φησίν. εἰσελάων. ὁ δ' ἐξελάων ὑπακούει. τουτέστι ποιμὴν εἰσελαύνων ἐκ νομῆς προσφωνεῖ τὸν ἐξελαύνοντα εἰς νομὴν καὶ αὐτὸς ὑπακούει. (ῃερς. 82.) λαμβάνει δὲ νῦν ἢ τὸ ποιμένα ἢ τὸ ποιμὴν ἀντὶ βουκόλου καταχρηστικώτερον. Ἐφ' οἷς τὴν εὐχρηστίαν τοῦ τόπου ἱστορῶν λέγει. (ῃερς. 84.) ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθοὺς, τὸν μὲν βουκολέων, τὸν δ' ἄργυφα μῆλα νομεύων. ἐν ᾧ δηλοῦται ὅτι ποιμὴν καὶ ὁ βουκόλος ἀνωτέρω ἐῤῥέθη. δείκνυσι δὲ διὰ τούτων ὁ ποιητὴς καθ' ἱστορίαν, ἀγαθὰς εἶναι νομὰς ἐν τῇ τῶν Λαιστρυγόνων γῇ, τὰς μὲν βουκόλοις, τὰς δὲ ποιμέσι. καὶ τοὺς μὲν βουκόλους νύκτωρ νέμειν διὰ τὸν ἐπιπολάζοντα τοῖς βουσὶν ἐκεῖ πολέμιον οἶστρον τὸν καὶ μύωπα, ὃς δὴ ζωΰφιόν ἐστιν ἐχθρὸν βουσὶ, τοὺς δὲ ποιμένας βόσκειν ἡμέρας οὔσης. διὸ τὸν ἄϋπνον ὄντα ἤτοι ὀλιγόϋπνον νυκτὸς διὰ τὸ ἐν ἡμέρᾳ τυχὸν πλείονι τῷ ὕπνῳ καταχρήσασθαι διπλοῦς φησὶν ἐξαίρειν μισθοὺς, ἐν νυκτὶ μὲν βουκολοῦντα, μεθ' ἡμέραν δὲ ποιμαίνοντα. ἱστορεῖ δὲ καὶ ἐγγὺς τῆς πόλεως εἶναι τὰς τοιαύτας νυκτερινάς τε καὶ ἡμερινὰς νομὰς καὶ τὰς εἰς αὐτὰς ὁδούς. διὸ καὶ ποιμένα ποιμὴν ἐξελαύνοντα εἰσελάων προσφωνεῖ. Ἰστέον δὲ ὅτι τε καθὰ οἱ νέμοντες τὰς αἶγας αἰπόλοι λέγονται καὶ οἱ τοὺς βόας βουκόλοι καὶ βοῦται, καὶ οἱ τοὺς ἵππους ἱπποινόμοι καὶ ἱπποπόλοι, οὕτω καὶ οἱ τὰ πρόβατα νέμοντες ποιμένες καλοῦνται καὶ προβατεῖς καὶ μηλάται. τὸ δὲ ποιμαινόμενον πλῆθος ποίμνιον, Ὁμηρικῶς δὲ, πῶϋ. καθὰ καὶ ὁ μὲν περὶ σύας συβώτης, τὸ δὲ ὑπ' αὐτὸν συβόσιον. ὡς καὶ αἰπόλιον, τὸ κατὰ τὸν αἰπόλον. καὶ ὅτι μῆλα εἰ καὶ ὡς ἐπὶ πολὺ τὰ πρόβατα, ὅμως καὶ τὰ πλείω τῶν τετραπόδων, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, μῆλά τε καλοῦνται καὶ πρόβατα. Σοφοκλῆς γοῦν φασὶ τὸν Ἀχιλλέα τραφῆναι εἰπὼν ἐν τῷ πηλίῳ πᾶν μῆλον θηρῶντα δόξοι ἂν τὰ θηρία πάντα μῆλα καλεῖν. καὶ ὁ εἰπὼν δὲ μῆλα βόας κεραοὺς καὶ ὄϊς καὶ πίονας αἶγας καὶ τοὺς βοῦς ἐν τοῖς μήλοις τίθησι. Σιμωνίδης δέ φασι τὸν ταῦρον ὁτὲ μῆλον ὁτὲ δὲ πρόβατον ὀνομάζει. Πίνδαρος δὲ τὰς τοῦ Διομήδους ἵππους πρόβατα καλεῖ. ἐθέλει δὲ τοῦτο καὶ Ἡρόδοτος ἐν τῷ, θύουσι δὲ καὶ τὰ ἄλλα πρόβατα, ἵππους δὲ μάλιστα. Ὅμηρος δὲ ἐν τῷ, κειμήλιά τε πρόβασίν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε, δοκεῖ φησὶ τὴν τῶν ὅλων βοσκημάτων κτῆσιν πρόβασιν καλεῖν. (ῃερς. 81.) Ἔτι ἰστέον καὶ ὅτι Λάμος ἢ Λαιστρυγόνος ἐπιφανοῦς ὄνομα, ἢ βασιλέως τῶν ἐκεῖ, υἱοῦ Ποσειδῶνος. Αἰπὺ δὲ τὸ ῥηθὲν πτολίεθρον ἴσως μὲν ὡς ὑψηλὸν, ἴσως δὲ καὶ διὰ χαλεπότητα τῶν ἐκεῖσε, οἳ οὐ μόνον ἄξενοι κατὰ τὴν ἱστορίαν, ἀλλὰ καὶ ἀνθρωποφάγοι φαίνονται, κατεσχηκότες τὴν περὶ Σικελίαν χώραν τῶν Λεοντίνων, ἐν ᾗ πολὺς ὁ μύωψ. ὥστε τὰ μὲν λάσια ἡμέρας φασὶ νέμεσθαι ὡς καὶ Ὅμηρος οἶδε, τὰ δὲ ψιλὰ νυκτός. διὸ τὸν δυνάμενον ἀγρυπνεῖν δύο ἀποφέρειν μισθούς. (ῃερς. 82.) Τηλέπυλος δὲ ἢ ἡ μεγάλη, τῶν γὰρ τοιούτων φασὶ πολὺ διεστᾶσιν αἱ πύλαι, ἢ ἡ ᾠκισμένη τῆλέ που. τινὲς δὲ τηλέπυλον φασὶ, τὴν μακρόπυλον οὐ τῷ διαστήματι ἀλλὰ τῷ πλάτει τῶν πυλῶν ἢ τῷ μήκει. ἄλλοι δὲ ὡς ἀνωτέρω ὑπελαλήθη, τὴν διασταδὸν πύλας διαφόρους ἔχουσαν οὐ πάνυ μέντοι ἀφεστηκυίας, ἀλλ' ὥστε τὴν φωνὴν ἐξακούεσθαι τῶν εἰσελαυνόντων καὶ ἐξελαυνόντων καθ' ὁμοιότητα τοῦ, ὅσσον τε γέγωνε βοήσας. εἰσὶ δὲ οἳ κύριον ὄνομα πόλεως τὴν τηλέπυλον ἐδέξαντο. Ὅρα δὲ 1.369 ὡς οὐδὲν ὤνησε τὴν τῶν Λαιστρυγόνων τὸ πολιτικῶς ᾠκίσθαι ὅ ἐστι πόλιν ἔχειν. καὶ οὕτω γὰρ ἀθέμιστοι καὶ ἄγριοι καὶ αὐτοί. (ῃερς. 85.) Τὸ δὲ ἐξήρατο μισθοὺς, ἔχει συγκρότησιν ἑρμηνευτικὴν καὶ ἐκ τοῦ, ὅσσ' Ὀδυσσεὺς ἐμόγησε καὶ ἤρατο. Ἄργυφα δὲ, μήλων ἐπίθετον διὰ τὴν τοῦ ἐρίου λευκότητα. τὸ μέντοι ἀργύφεον ἐπὶ ἱματίου τίθεται. Ὁ δὲ μῆλα νομεύων καὶ ὁ βουκολέων εἴδη ποιμένος ὡς καὶ ἀνωτέρω δεδήλωται. (ῃερς. 86.) Τὸ δὲ ἐγγὺς νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι, οὐ μόνον τοπικῶς φασί τινες ἀντὶ τοῦ ἐγγὺς τῆς πόλεως κεῖνται, ὡς ἐῤῥέθη, αἱ νυκτεριναὶ καὶ ἡμεριναὶ νομαὶ διὸ καὶ οἱ νομεῖς ἀλλήλους ὡς ἐῤῥέθη προσφθέγγονται, ἀλλὰ καὶ χρονικῶς ἐκλαμβάνονται, ὡς καιροῦ τινὸς πάνυ βραχείας ἐκεῖ τὰς νύκτας ποιοῦντος. διὸ μηδὲ ῥᾷον δύνασθαι μέρος μέν τι τῆς νυκτὸς ἀναπαύσασθαί τινα ἱκανῶς, μέρος δὲ βουκολῆσαι, διὰ τὸ, ἐγγὺς ἀρξαμένῃ, δηλαδὴ τῇ νυκτὶ, καὶ τὴν τοῦ ἡλίου συντρέχειν ἀνατολὴν ὀλίγον χρόνον διατρίψαντος ὑπὸ γῆν. ὅθεν τὸν τηνικαῦτα δυνάμενον ὀλιγοϋπνεῖν κερδαίνειν διπλᾶ. κατῆρξε δέ φασι τῆς τοιαύτης μαθηματικῆς ἐπινοίας Κράτης, βραχείας ὑποθέμενος τὰς ἐκεῖ νύκτας καὶ εἰπὼν εἶναι τοὺς Λαιστρυγόνας ὑπὸ τὴν κεφαλὴν τοῦ δράκοντος κατηστερισμένην περὶ αὐτοὺς, ἣν καὶ Ἄρατος λέγει ἵσσεσθαι ᾗχιπερ ἄκραι μίσγονται δύσιές τε καὶ ἀνατολαὶ ἀλλήλῃσιν. ὥστε φασὶ καὶ πλείω μὲν εἶναι τὴν ἡμέραν, ὀλίγην δὲ τὴν νύκτα. οὗ τὸ ἀνάπαλιν παρὰ τοῖς Κιμμερίοις. παρ' οἷς ὁ μῦθος πολυημέρους νύκτας πλάττεται, ὅθεν σύνεγγυς οὐσῶν ἐν Λαιστρυγονίᾳ τῶν ἀνατολῶν ταῖς δύσεσι καὶ τῆς νυκτὸς βραχυτάτης οὔσης διὰ τὸ ἐγγὺς τετάχθαι τῆς ἡμέρας εἰκότως φάναι τὸν ποιητὴν πλησιάζειν τὰς τῆς νυκτὸς κελεύθους ταῖς τοῦ ἤματος. καθάπερ ἂν γένοιτό τις καιρὸς καὶ τοῦ ἀνάπαλιν, μηκυνθείσης μὲν τῆς νυκτὸς, συσταλείσης δὲ τῆς ἡμέρας. ὅτε καὶ αἱ τῆς ἡμέρας κέλευθοι πλησιάζειν ἂν λέγοιντο τῇ νυκτί. ὅπερ ὁ ποιητὴς ἀφῆκεν ἐξ ἀναλόγου νοεῖν μνησθεὶς θατέρου διὰ τὸ θαυμασιώτερον, ἐν ᾧ ἔστι κερδαίνειν τὸν ὕπνον. διὸ οὐδὲ εἶπεν ὡς ἐγγὺς ἤματος καὶ νυκτός εἰσι κέλευθοι, ἀλλὰ νυκτός τε καὶ ἤματος, ὡς ταχὺ μετὰ νύκτα τῆς ἡμέρας διαφαινούσης. ὃ παραφράζων Ἄρατος ἔφη τό· μίσγονται δύσιες καὶ ἀνατολαί. ταυτὸν γὰρ ἐγγὺς εἶναι νυκτὸς καὶ ἤματος ὁδοὺς, καὶ μίσγεσθαι δύσεις καὶ ἀνατολάς. (ῃερς. 84.) Ἰστέον δὲ ὅτι τὸ, ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθοὺς τὸν μὲν δηλαδὴ νυκτὸς τὸν δὲ ἡμέρας ἁρμόζει καὶ ἐπὶ τεχνιτῶν οἳ καί τι τῆς νυκτὸς τοῖς ἔργοις ἀπομερίζονται. (ῃερς. 87.) Ὅτι ἐκφράζων δι' ὀλίγων τὸν ἐν τῇ Λαιστρυγονίᾳ λιμένα φησίν· ἐς λιμένα κλυτὸν ἤλθομεν, ὃν περὶ πέτρη ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν, ἀκταὶ δὲ προβλῆτες ἐναντίαι ἀλλήλῃσιν ἐν στόματι προὔχουσιν, (ῃερς. 90.) ἀραιὴ δ' εἴσοδός ἐστιν. ὅ ἐστι λεπτή. στενή. ὃ καὶ δασύνουσι οἱ παλαιοὶ πρὸς διαστολὴν τοῦ ἁπλῶς ἀραιοῦ. τοῦτο δὲ παρεφράσθη, ἐκ τοῦ, λεπτὴ δ' εἰσίθμη. ὃ ἐπὶ τοῦ Φαιακικοῦ ἐῤῥέθη λιμένος. Ἐν οἷς σημείωσαι καὶ ὅτι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ ἐνταῦθα σαφὲς ἤγουν τὸ εἴσοδος ἐκεῖ ποιητικώτερον κεῖται. εἰσίθμη γάρ. καὶ αὖ πάλιν τὸ ἐκεῖ κοινῶς λεχθὲν ἤγουν τὸ λεπτὴ, ἐνταῦθα οὐχ' οὕτως ἐφράσθη. ἀραιὴ γὰρ ποιητικώτερον. εἶτα κοῖλον τὸν τοιοῦτον λιμένα εἰπὼν ὥσπερ δὴ ἐν τοῖς ἑξῆς καὶ πολυβενθέα, ἐπάγει ὡς οὔποτε ἀέξετο κῦμά γ' ἐν αὐτῷ (ῃερς. 92.) οὔτε μέγ' οὔτ' ὀλίγον λευκὴ δ' ἦν ἀμφιγαλήνη. δηλοῖ δ' ἐν τούτοις Ὅμηρος ἀγαθόν τε λιμένα τὸν ῥηθέντα εἶναι καὶ φυσικῶς ὠχυρῶσθαι. ὃ δὴ καὶ πρὸς κακοῦ γέγονε τοῖς περὶ Ὀδυσσέα. ἐγκλεισθέντες γὰρ ὥσπερ ἕρκει τῷ τοιούτῳ λιμένι, ἀπώλοντο. (ῃερς. 87.) Κλυτὸν δὲ λιμένα συνήθως λέγει τὸν ἄξιον περιᾴδεσθαι καὶ ἀκούεσθαι. οὕτω καὶ κλυτὰ μῆλα πρὸ ὀλίγων ἔφη. κλυτὸν μέντοι ὄνομα Ὀδυσσέως τὸ ἐξάκουστον. Τὸ δὲ τετύχηκεν, ἀντὶ τοῦ κατὰ τὴν τύχην ἐστὶ καὶ οὐκ ἐξ ἐπιτεχνήσεως. (ῃερς. 88.) Τὸ δὲ ἀμφοτέρωθεν, ἑρμηνεία ἐστὶν ἐνταῦθα τοῦ διαμπερὲς, ὥσπερ καὶ τὸ (ῃερς. 90.) προὔχουσι σαφήνειά ἐστι τοῦ, ἀκταὶ προβλῆτες. (ῃερς. 89.) ἤτοι αἱ τοῦ λιμένος προβεβλημέναι καὶ προέχουσαι αὐτοῦ. (ῃερς. 131.) ἃς δὴ καὶ ἐπηρεφέας ἐρεῖ, ὡς ἐπικεκλιμένας δίκην ὀρόφου. Τὸ δὲ ἐναντίαι ἀλλήλαις, ἀντὶ τοῦ αἱ μὲν δεξιαὶ αἱ δ' ἐξ ἀριστερῶν. Στόμα δὲ ὅτι καὶ ἐπὶ λιμένων λέγεται καθὰ καὶ ἐπὶ ποταμῶν ἔτι δὲ καὶ λιμνῶν, ὡς δηλοῖ καὶ τὸ παρὰ Θεοκρίτῳ στομάλιμνον, δῆλόν ἐστι. (ῃερς. 90.) Τὸ δὲ στενὸν τῆς κατὰ τὸν λιμένα εἰσόδου τὸν πολὺν ὄλεθρον τῶν τοῦ Ὀδυσσέως νηῶν πιθανολογεῖ, οὐκ εἶχον γὰρ διεκδῦναι τῆς στενότητος. οὕτω δὲ καὶ τὸ τῶν (ῃερς. 131.) πετρῶν ἐπηρεφὲς πιθανῶς ἀπολλυμένους τοὺς προσορμισθέντας ποιεῖ, βαλλομένους ἐκ μετεώρων, καὶ διατοῦτο ἐκπίπτοντας μὲν τῶν πλοίων εἶτα θνήσκοντας οἴκτιστα. Ἐν δὲ τῷ, κῦμα ἄξετο, ἀστείως ἔθετο τὴν αὔξησιν ἐπὶ ἐγέρσεως κύματος, ὡς 1.370 εἶναι λοιπὸν μείωσιν τὸ ἀνάπαλιν. (ῃερς. 93.) Τὸ δὲ ὀλίγον, καὶ νῦν ὡς καὶ πρὸ τούτων, ἀντὶ τοῦ μικρὸν κεῖται. (ῃερς. 94.) Τὸ δὲ λευκὴ γαλήνη, ἄριστα ἐῤῥέθη. ἐπεὶ παρὰ τὸ γάλα ἡ γαλήνη. λευκὸν δὲ τὸ γάλα φησὶ κατεξαίρετον Ὅμηρος. εἴη δὲ ἂν καὶ μαρμαρέη θάλασσα ἡ τοιαύτην γαλήνην ἔχουσα. (ῃερς. 91.) Ὅτι ἐλλιμενισμὸν φράζει τὸ, ἔνθα ἔχον νέας ἀμφιελίσσας. αἱ μὲν ἄρ' ἔντοσθεν λιμένος κοίλοιο δέδεντο πλησίαι. διὰ τὸ ὡς ἐῤῥέθη ἀκύμαντον τοῦ λιμένος. (ῃερς. 93.) Τοῦ δὲ πλησίαι, δῆλον ὡς εὐθεῖα ἐστὶν ἡ πλησία, ἧς ἡ γενικὴ παρὰ Σοφοκλεῖ ἐν τῷ, παρούσης τῆσδε πλησίας ἐμοί. (ῃερς. 95.) Ὅτι εὐτυχῶς ὁ Ὀδυσσεὺς ἔξω τοῦ ῥηθέντος λιμένος ἔσχε τὴν ἑαυτοῦ νῆα, ἐπ' ἐσχατιᾶς δηλαδή. μὴ κατασχὼν εἴς τι κοῖλον ἀλλὰ πέτρης ἐκ πείσματα δήσας. ὡς εἰ μὴ τοῦτο ἐποίησεν, οὐκ ἂν οὐδ' αὐτὸς διέδρα τὸν κίνδυνον. (ῃερς. 96.) Ὅρα δὲ καὶ νῦν ὡς οὐ μόνον ἐπ' ἀγροῦ ἡ ἐσχατιὰ ἢ ἐπ' ἐρημίας. ἰδοὺ γὰρ νῦν ἐσχατιὰ τὸ τοῦ λιμένος ἔσχατον. Ὅτι ἀνελθόντι τῷ Ὀδυσσεῖ καὶ στάντι σκοπιὴν ἐς παιπαλόεσσαν οὔτε βοῶν οὔτ' ἀνδρῶν φαίνετο ἔργα, (ῃερς. 99.) καπνὸς δὲ μόνος ὁρᾶτο ἀπὸ χθονὸς ἀΐσσων, δηλῶν εἶναι τὸν τόπον οἰκούμενον. (ῃερς. 98.) Ἔργα δὲ βοῶν, τὰ κατὰ γεωργίαν λέγει, καθὰ καὶ Ἡσίοδος, ἔργα βοῶν δ' ἀπόλοιτο. εἰ καὶ ἄλλως ὑπούργουν βόες τοῖς ἐκεῖ. (ῃερς. 104.) ἅμαξαι γὰρ ἄστυ δ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην. Ἔστι δὲ ἀγινεῖν κυρίως μὲν τὸ ἄγειν, ἐκ τῆς τοῦ ἄγω παραγωγῆς. νῦν δὲ τὸ καταφέρειν. οὐ μακρὰν δὲ τῆς περὶ τὴν γῆν τῶν Κυκλώπων διαγωγῆς καὶ τὰ τῶν Λαιστρυγόνων, εἴγε καὶ τούτοις ἀπραγμάτευτος ἡ ζωή, πλὴν ὅσον οὐ προσμαρτύρεται καὶ αὐτοῖς τὸ καὶ ἀρότου δίχα καὶ σπορᾶς εὔφορον εἶναι τὴν κατ' αὐτοὺς γῆν. Ὅτι δὲ καὶ ἀγριώτεροι Κυκλώπων οἱ Λαιστρυγόνες, ἔστι ἐνταῦθα ἐκ τῶν τοῦ ποιητοῦ συναγαγεῖν. βασιλεύονται μὲν γὰρ, ἀλλ' οὐ θεμιστεύονται, οὔτε κοινῶς κατὰ τοὺς ἡμετέρους ἀνθρώπους, ἀνθρωποφαγοῦσι γάρ· οὔτε μὴν ἰδίᾳ κατὰ τοὺς Κύκλωπας. οὐ γὰρ ἱστόρησεν ὡς ἐκεῖ, οὕτω καὶ ἐπὶ τούτων ὁ ποιητὴς, ὡς ἕκαστος θεμιστεύει παίδων ἠδὲ γυναικῶν. ἔτι Λαιστρυγόνες μὲν ἐνταῦθα τοὺς περὶ τὸν Ὀδυσσέα ὀλλύντες δαῖτα πένοντο. περὶ δὲ Κυκλώπων ὡς ἀνθρωποφαγούντων οὐδὲν ἐξέφηνεν ὁ ποιητὴς, μόνον δὲ τὸν Πολύφημον τοιοῦτον ἱστόρησε. πολύθηρος δὲ καὶ ἄλλως πολύζωος καὶ ἡ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Λαιστρυγόνων, εἴγε μὴ γεωργοῦντες ἐκ τοιούτων ἔζων ὡς εἰκὸς καὶ αὐτοὶ σκυθικώτερον. καὶ μᾶλλον ἤπερ οἱ Κύκλωπες. ἐκείνοις γὰρ αὐτοφυῆ τὰ ἐκ γῆς ἥμερα κάρπιμα. Ἡ δὲ θηριώδης ἀγριότης τῶν Λαιστρυγόνων ἔπεισε τοὺς ἀλληγοροῦντας, εἰς ἤθη μεταλαβεῖν αὐτοὺς θηριώδη μικρόν τι ἀπεοικότα τοῦ θυμοῦ Κύκλωπος. ὑφ' ὧν Λαιστρυγόνων ἄλλοι μὲν ἂν παραπόλοιντο ἐν αὐτῷ τῷ λιμένι παθόντες ναυάγιον οἴκτιστον, ὥσπερ καὶ ὑπὸ Κύκλωπος τοῦ θυμοῦ οἱ αὐτῷ περιπεπτωκότες. Ὀδυσσεὺς μέντοι ἀπαθὴς ἂν διεκφύγῃ καὶ τὰ τοιαῦτα κακά. (ῃερς. 102.) Ὅτι καὶ ἐνταῦθα ὡς καὶ ἐπὶ τῶν Λωτοφάγων προΐησιν Ὀδυσσεὺς τοὺς πευσομένους ποῖ γῆς εἰσὶν ἄνδρε δύο κρίνας, τρίτατον κήρυκα ἅμα ὀπάσας ἤτοι δοὺς ἕπεσθαι, ἵνα δηλαδὴ μὴ ὦσιν εὐεπιχείρητοι διὰ τὸν κήρυκα, ὡς προγέγραπται. οἱ δὲ, ᾔεσαν λείην ὁδὸν ᾗπερ ἅμαξαι εἰς ἄστυ ἀφ' ὑψηλῶν ὀρέων (ῃερς. 104.) καταγίνεον ἤγουν κατῆγον τὴν ὕλην. (ῃερς. 105.) κούρῃ δὲ ξύμβληντο τουτέστι συνήντησαν πρὸς ἄστεος ὑδρευούσῃ, θυγατρὶ ἰφθίμῃ Λαιστρυγόνος Ἀντιφάταο. ἡ μὲν ἂρ ἐς κρήνην κατεβήσετο καλλιρέεθρον, Ἀρτακίην. ἔνθεν γὰρ ὕδωρ προτὶ ἄστυ φέρεσκον. καὶ οἱ μὲν προσφωνοῦντες ἠρώτων ὅστις τῶνδ' εἴη βασιλεὺς καὶ τοῖσιν ἀνάσσει. ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ. οἱ δὲ εἰσελθόντες τὴν γυναῖκα εὗρον ὅσην ὄρεος κορυφὴν, κατὰ δ' ἔστυγον αὐτήν. ἡ δὲ ἐξ ἀγορῆς ἐκάλει κλυτὸν Ἀντιφατῆα, ὃν πόσιν. ὃς δὴ αὐτοῖς βουλευσάμενος ὄλεθρον αὐτίκα ἕνα μάρψας ἑτάρων ὡπλίσσατο δόρπον. οἱ δὲ δύο ἀΐξαντες ἔφυγον. Ἀντιφάτης δὲ βοὴν ἔθετο δι' ἄστεος. οἱ δ' ἀΐοντες φοίτων ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλος, μυρίοι, οὐκ ἄνδρεσσιν ἐοικότες, ἀλλὰ Γίγασι τοῖς τοῦ μύθου. (ῃερς. 121.) οἱ δ' ἀπὸ πετράων τῶν ἐν τῷ λιμένι δηλαδὴ, ἀνδραχθέσι χερμαδίοισι βάλλον. ἄφαρ δὲ κακὸς κόναβος κατὰ νῆας ὀρώρει, ἀνδρῶν τ' ὀλλυμένων νηῶν θ' ἅμα ἀγνυμενάων· ἰχθῦς δ' (ῃερς. 124.) ὣς πείροντες ἀτερπέα δαῖτα πένοντο. τερπνὴν μέντοι ἄλλως σφίσιν αὐτοῖς. Καὶ ὅρα ὅπως τὰ σκυθρωπὰ καὶ οὐ γλυκέα πρὸς ἀκοὴν συντομώτατα ἔφρασε, τὴν τῶν νηῶν τε θραῦσιν, καὶ ὡς οἱ ἄνδρες ἐβρώθησαν. ἔστι δ' ἐν τούτοις εἰπεῖν καὶ ὅτι οὐ λίαν πάνυ ἀπέοικε τῆς κατὰ τὸν Κύκλωπα βριαρόχειρος ῥωμαλεότητος, ἡ τῶν Λαιστρυγόνων. οἷς ἀνδραχθῆ τὰ χερμάδια, ὡς καὶ τῷ Πολυφήμῳ ἐλαφρὸν ἡ τοῦ ὄρους κορυφή. καὶ ὅτι ὑπερφίαλοι καὶ οὗτοι κατὰ τοὺς Κύκλωπας εἴγε 1.371 καὶ Γίγασιν ἐοίκασι. (ῃερς. 113.) καὶ ὅτι ἐγγύς που Κυκλωπείας φύσεως ἡ τοῦ Ἀντιφάτου ὑπογράφεται γυνὴ, οἷα οὖσα ὅση ὄρεος κορυφὴ, καθὰ καὶ ὁ Πολύφημος ἐῴκει ὄρει ὑλήεντι. καὶ ὁ Ἀντιφάτης ὡς οἷον ἥμισυ Κύκλωπός ἐστι τὴν βορότητα. ἕνα γὰρ ἑτάρων μάρψας ἐδείπνησε, τοῦ Κύκλωπος σὺν δύο αὐτοὺς θοινομένου. εἰ δὲ τὸν κήρυκα ὁ Ἀντιφάτης ἔμαρψεν, οὐκ ἔστι σαφῶς εἰπεῖν. (ῃερς. 102.) Ὅρα δὲ ὅτι ἐν τῷ, ἄνδρε δύω κρίνας, τρίτον δὲ κήρυκα δοὺς, ἁπλούστερον ὁ ποιητὴς γράφει. τοὺς μὲν γὰρ δύο τῷ φυσικῷ καλέσας ὀνόματι, ἄνδρε γάρ. τὸν δὲ τρίτον, τῷ ἐκ τοῦ ἀξιώματος. ἄλλως γὰρ, ἀνὴρ πάντως ἦν καὶ ὁ κῆρυξ. καὶ οὐκ ἔστιν ἐνταῦθα διαστολὴ ὁποία μετ' αὐτὸ ἐν τῷ, οὐκ ἄνδρεσιν ἐοικότες ἀλλὰ Γίγασι. (ῃερς. 103.) Λείαν δὲ ὁδὸν, τὴν ἁμαξιτὸν λέγει. διὸ καὶ ἐπάγει ἑρμηνεύων περιφραστικῶς, ᾗπερ ἅμαξαι καὶ τὰ ἑξῆς. (ῃερς. 104.) Ἄστυ δὲ ὅτι πάλαι μὲν ἅπαν πόλισμα, ὕστερον δὲ ἰδίως τὸ Ἀττικὸν, καθὰ καὶ πόλις ἰδιαζόντως ἦν ὅτε ἡ Ἀλεξάνδρεια κατ' ἐξοχὴν, δεδήλωται ἐν ἄλλοις, ὁμοίως καὶ ὅτι τῷ ἀστεϊ παρωνόμασται ὁ κατὰ παίδευσιν ἀστεῖος πρὸς διαστολὴν ἀγροίκου τοῦ καὶ ἀγρότου καὶ ἀγροιώτου καὶ ἀγρείου δὲ διὰ παραληγούσης διφθόγγου. Τὸ δὲ ἀγινεῖν παράγωγον ὂν τοῦ ἄγειν σεσημείωται τοῖς παλαιοῖς ὡς ἀεὶ ἐκτείνει τὴν γ¯ι συλλαβήν. οἷον. ἕκαστος μῆλον ἀγινεῖ. καὶ, πάροιθεν ἀγίνεσκον. καὶ, ἠγίνεον ἀνὰ ἄστυ. ἔνθα ἡ γ¯ι συλλαβὴ μετὰ τῆς ὄπισθεν αὐτῆς ἀπαρτίζουσα σπονδεῖον, τὰς ἐφεξῆς τέσσαρας προκοιλίου στίχου λόγῳ, δακτυλικῶς ποδίζει. Τὸ δὲ πρὸ ἄστεος ἀρχή ἐστι τοῦ παρὰ τοῖς ὕστερον προαστείου. (ῃερς. 105.) Τὸ δὲ ὑδρευούσῃ παθητικῶς οἱ μεθ' Ὅμηρον φασὶν Ἀττικοί. παράφρασις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ ἢ περίφρασις τοῦ ὑδρεύειν εἴτουν ὑδρεύεσθαι τὸ, ὕδωρ προτὶ ἄστυ φέρεσκον. (ῃερς. 106.) Ὁ δὲ Ἀντιφάτης καὶ Ἀντιφατεὺς ἐνταῦθα κεῖται ὁμοίως τῷ Γηρυόνης καὶ Γηρυονεύς.οὕτω δὲ καὶ Τυφῶν καὶ Τυφῶς καὶ Τυφωεύς. τοῦτο δὲ καὶ πλείους ἔχει κλίσεις. ἔστι γὰρ καὶ Τυφῶν Τυφῶνος, ἔτι δὲ καὶ Τυφάων Τυφάονος, ὡς δηλοῖ καὶ πραὰ Ὀππιανῷ τὸ Τυφαονίων ἀλαλητῶν. (ῃερς. 107.) Τὸ δὲ κατεβήσετο γράφεται μὲν παρά τισι καὶ κατεβήσατο. κλίνεται δὲ ὡς παθητικὸς παρατατικός. οἷα τοῦ καταβήσω μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα. (ῃερς. 108.) Ἀρτακία δὲ παρ' Ὁμήρῳ μὲν πηγὴ περὶ Λαιστρυγόνας, ἴσως μὲν ἱστορικῶς περιφερομένη, τυχὸν δὲ καὶ πεπλασμένη διὰ τὸ ἀένναον, παρὰ τὸ ἄρτι κίειν ὅ ἐστιν ἀναδίδοσθαι καὶ προιέναι ἢ ἀνακηκίειν, πρὸς ὁμοιότητα τοῦ, αἰεὶ νέον ἐρχομενάων. Ἡρόδοτος δὲ καὶ πόλιν οἶδεν Ἀσιανὴν Ἀρτακίαν, ὡς δηλοῖ ἐν τῷ,ἄνδρα Κυζικηνὸν ἐξ Ἀρτακίης πόλεως. (ῃερς. 110.) Τὸ δὲ ὅστις τῶνδε βασιλεὺς καὶ τοῖσιν ἀνάσσει, ἐκ παραλλήλου κατὰ μίαν ἔννοιαν κεῖται. εἴη δὲ ἂν ὁ ἐνταῦθα βασιλεὺς τυραννικὸς διὰ τὸ ἄγριον, εἰ καὶ μὴ οἶδε τὴν τοῦ τυράννου λέξιν ὁ ποιητής. (ῃερς. 111.) Ὅρα δὲ καὶ τὸ ὑψερεφὲς ἐνταῦθα ὡς καὶ ἀλλαχοῦ συστέλλον τὴν προπαραλήγουσαν. (ῃερς. 112.) Τὸ δὲ γυναῖκα ὅτι οὐ τὴν κατὰ φύσιν λέγει ἀλλὰ τὴν ὕπανδρον, δηλοῖ τὸ, ἡ δὲ ἐκάλει ὃν πόσιν. (ῃερς. 113.) Τὸ δὲ ἔστυγον αὐτὴν ἀντὶ τοῦ, ἔφριξαν, κατὰ τὸ, στυγέει δὲ καὶ ἄλλος, ἤγουν φρίξει. ὅθεν καὶ στὺξ φρικτὴ πηγὴ ἡ ἐν Ἅιδου. ἀφ' ἧς οἷα φρικτῆς οὐ μόνον ὁ στυγητὸς παρῆκται καὶ ὁ στυγερὸς τὰ κοινὰ, ἀλλὰ καὶ ὁ στύγαξ. Εὐκράτης γοῦν φασὶ στρατηγὸς Ἀθηναίων στύγαξ ἐπεκαλεῖτο διὰ τὸ στυγεῖσθαι ὡς δωροδόκος καὶ προδότης, διὸ καὶ κακῶς ὤλετο ἢ ἀναιρεθεὶς ἢ πιὼν κώνειον. Ἰστέον δὲ ὅτι πάλαι μὲν φρίκην ῥιγεδανὴν ἐδήλου τὸ στυγεῖν, οἱ δὲ ὕστερον καὶ ἀντὶ τοῦ μισεῖν αὐτὸ λαμβάνουσι διὰ τὸ ἐπακολουθοῦν μῖσος τοῖς στυγουμένοις. αὐτὸ δέ γε τὸ μισεῖν κοινότερον ἐπὶ τοῦ ἐχθραίνειν τεθὲν ἡ κωμικὴ σεμνότης ἐπὶ μίξεων ἔθετο ἀσέμνων. Ἀριστοφάνης γοῦν μισητέαν ἐπὶ κατωφερείας ἔφη ἤγουν ῥοπῆς ἀσχέτου τῆς περὶ μίξεις. ἄλλοι δὲ μισήτην βαρυτόνως πρὸς διαστολὴν τῆς ὀξυτονουμένης τὴν κοινὴν καὶ ῥᾳδίαν, λέγοντες καὶ χρῆσιν αὐτῆς εἶναι παρὰ Κρατίνῳ καὶ Σώφρονι. χρᾶται δὲ αὐτῇ καὶ παροιμία ἐν τῷ, περὶ σφυρὸν παχεῖα μισήτη γυνή. καὶ ταῦτα μὲν τοιαῦτα. (ῃερς. 114.) ἐν δὲ τῷ, ἐξ ἀγορῆς ἐκάλει, σημείωσαι ψεκτὴν ἀγορὰν τὴν τῶν ἀνθρωποφάγων Λαιστρυγόνων, οὐ μὴν ἐπαινετὴν κατὰ τὴν παρὰ τοῖς Φαίαξιν. (ῃερς. 108.) Ὅτι δὲ Ἀρτακίη ἐκαλεῖτο ἡ ῥηθεῖσα πηγὴ καὶ ὅτι Ἀντιφατεὺς εἴτε καὶ Ἀντιφάτηὁ ἐνταῦθα βασιλεὺς, ἐκ τῆς Κίρκης εἴτε καὶ ὕστερον ἐκ τῆς Καλυψοῦς, ἔοικε μαθὼν εἰδέναι ὁ Ὀδυσσεύς. οἴδασι γὰρ ἐκεῖναι τὰ κατὰ τὸν Ὀδυσσέα. διὸ Καλυψὼ μὲν ἔφη τῷ Ὀδυσσεῖ τὰ κατὰ τὸν Ἥλιονὅτε διὰ τὰς βοῦς ἐχολοῦτο καθὰ ἐν τοῖς ἑξῆς ῥηθήσεται. ἡ δὲ Κίρκη ἐρεῖ τῷ Ὀδυσσεῖ ὅτι οἶδε καὶ αὐτὴ ὅσα ἐν πόντῳ ἐκεῖνος ἔπαθεν ἄλγεα. ἄλλως μέντοι οὐκ εἰκὸς γνωστὰ εἶναι ταῦτα τῷ Ὀδυσσεῖ. ὃς οὐ 1.372 μόνον οὐκ οἶδε τὰ κατὰ τοὺς Κύκλωπας, ἀλλὰ καὶ μόλις ἔφυγεν ἐξ αὐτῶν. (ῃερς. 118.) Τὸ δὲ βοὴν γενέσθαι καὶ ἄλλους ἄλλοθεν φοιτᾶν ἀΐοντας καὶ τὰ ἑξῆς εἰκὸς προσαρμόσαι ποτὲ ἀνδρῶν ἐφόδῳ λῃστρικῇ. (ῃερς. 121.) Λίθοι δὲ ἀνδραχθεῖς οἱ ἀνδροβαρεῖς, οἳ τοῖς ἄλλοις ἀνδράσιν ἐπαχθῆ ἂν γένοιντο φορήματα. (ῃερς. 124.) Τὸ δὲ πείροντες ἢ ἀντὶ τοῦ νηχόμενοι καὶ οὕτω περῶντες τὸν λιμένα ἐκ τοῦ πείρω τὸ περῶ ὡς τὸ, παννυχίη πεῖρε κέλευθον, ἢ ἀντὶ τοῦ, διαπείροντες τριαίναις ἤ τισὶν ἑτέροις ἀπωξυμμένοις ὀργάνοις. διὸ Λυκόφρων κεστρέων δίκην αὐτούς φησιν ἀγρευθῆναι. τινὲς δὲ γράφουσιν εἴροντες ὅ ἐστι συνείροντες κατὰ ἰχθύδια καὶ ὁρμαθὸν ποιοῦντες ὃ καὶ αὐτὸ ῥωμαλεότητα τῶν Λαιστρυγόνων δηλοῖ. ἄλλοι δὲ γράφουσιν, ἰχθῦς δ' ἀσπαίροντες, ἵνα λέγῃ ὅτι ὡς ἰχθῦς ἀσπαίροντας αὐτοὺς ἐδαίνυντο. Ὅτι ἕως οἱ Λαιστρυγόνες τοὺς ἀμφὶ τὸν Ὀδυσσέα ὄλεσκον λιμένου πολυβενθέος ἐντὸς τόφρα ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ ἀπὸ πείσματα ἔκοψε νηός. καὶ ἐποτρύνας ἐκέλευσεν ἐμβαλεῖν κώπαις, ὡς καὶ προεῤῥέθη, ἵνα φησὶν ὑπ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκκακότητα φύγωμεν. οἱ δ' ἅμα πάντες ἀνέῤῥιψαν δείσαντες ὄλεθρον. (ῃερς. 130.) Καὶ ὅρα τὸ ἀνέῤῥιψαν ἐλλιπῶς λεχθὲν ἀναλόγως τῇ πραγματικῇ σπουδῇ, ἀλλαχοῦ δὲ ἐντελῶς ἐγράφη οἱ δ' ἀνεῤῥίπτουν ἅλα πηδῷ. λέγει δ' ἐνταῦθα Ὀδυσσεὺς καὶ ὅτι ἀσπασίως ἐς πόντον ἐπηρεφέας φύγε πέτρας νῆυς ἐμή. (ῃερς. 132.) αὐτὰρ αἱ ἄλλαι ἀολλέες αὐτόθ' ὄλοντο, αἱ ἕνδεκα δηλαδὴ, μιᾶς μόνης περιλειφθείσης τῆς κατὰ τὸν Ὀδυσσέα ἣν καὶ πάνυ περιεποιεῖτο. Ὅρα δὲ καὶ τὸ, αἱ ἄλλαι ἀολλέες. ἐν ᾧ παρήχησίς τις ἐμφαίνεται. (ῃερς. 131.) Ἀσπασίως δὲ εἰπεῖν καὶ ἀσμένως, ταυτόν ἐστι. διὸ εἰπὼν ὡς ἀσπασίως ἐς πόντον ἐπηρεφέας ἔφυγε πέτρας ἡ ναῦς, ἐπάγει ὅτι ἐνθένδε προτέρω πλέομεν ἄσμενοι ἐκ θανάτοιο. (ῃερς. 133.) ἀκαχήμενοι μὲν ἄλλως ἐπὶ τῷ τῶν φίλων ὀλέθρῳ, χαίροντες δὲ οἷς ἐσώθημεν. (ῃερς. 131.) Τίνες δὲ αἱ ἐπηρεφέες πέτραι, πρὸ ὀλίγου εἴρηται. νῦν δὲ ἔστιν εἰπεῖν καὶ ὅτι ἐπηρεφέες πέτραι νοηθεῖεν ἂν καὶ αἱ παρὰ τῶν Λαιστρυγόνων ἀφιέμεναι χερμάδες, οὕτω συχναὶ οὖσαι ὡς καὶ οἷον ἐρέφειν τοὺς βαλλομένους. (ῃερς. 135.) Ὅτι κἀνταῦθα τὴν νῆσον τῆς Κίρκης Αἰαίην καλεῖ παρὰ τὴν Αἶαν, πόλιν ὡς προεγράφη Κολχικήν. ἀφ' ἧς καὶ Κίρκη Αἰαία ὡς Θήβη Θηβαία, καὶ ἡ κατ' αὐτὴν νῆσος ὁμωνύμως Αἰαία, καὶ ὁ ἀδελφὸς Αἰήτης. φησὶ γοῦν Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθα, ἔνθα δ' ἔναιε Κίρκη ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα, αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο. (ῃερς. 138.) ἄμφω δ' ἐκγεγάτην ἤτοι ἐξεγένοντο φαεσιμβρότου Ἠελίοιο, μητρός τ' ἐκ Πέρσης. τὴν Ὠκεανὸς τέκε παῖδα. (ῃερς. 136.) λέγονται δὲ παῖδες Ἡλίου Κίρκη καὶ Αἰήτης ἢ ὡς βασιλεῖς καὶ διατοῦτο καὶ διογενεῖς, Ζεὺς γὰρ ὁ Ἥλιος, ἢ καὶ ὡς λαμπροὶ ἄλλως ἐν τοῖς τότε καὶ ἐκφανεῖς, ἢ καὶ διὰ τὸ ἐν αὐτοῖς ἡλιῶδες τοῦ κάλλους, εἰκὸς δὲ καὶ κατὰ κυριωνυμίαν Ἥλιον λέγεσθαι τὸν τοιοῦτον πατέρα. οὗ προσφυῶς καὶ ἡ Πασιφάη θυγάτηρ λέγεται ἡ τοῦ Μίνωος γυνή. ἐπεὶ καὶ Ἡλίῳ οἰκεῖον τὸ, πᾶσι φάειν, ἐξ οὗ τὸ φαέθειν. εἰ δὲ καὶ ἠθικῆς τινὸς ἡ Κίρκη ἀλληγορίας προσάπτεται, τὰ ἑξῆς δηλώσουσι. Δῆλον δὲ ὅτι τῆς τοιαύτης Κίρκης (ῃερς. 136.) παρώνυμον τὸ ἐν τῇ Ἰταλίᾳ Κιρκαῖον πεδίον, ὃ τινὲς καὶ τόπῳ τινὶ ἀνατολικῷ ἐπιλέγουσιν. (ῃερς. 137.) Αὐδήεσσα δὲ καὶ νῦν, ἡ περιβόητος, ἢ διαλέκτῳ ἀνθρωπίνῃ χρωμένη. γράφεται δὲ καὶ οὐδήεσσα, τουτέστιν ἐπίγειος κατὰ τὴν Καλυψὼ καὶ τὰς λοιπὰς νύμφας. (ῃερς. 138.) Ὀλοόφρων δὲ ὁ Αἰήτης διὰ τὸ τοῦ ἤθους οὐχ' ἱλαρὸν ὡς δηλοῖ τὰ κατὰ τὸν Ἰάσονα καὶ τὴν Μήδειαν. κατὰ δέ τινας, ὁ συνετὸς καὶ φρονῶν ὁλόκληρα. Τὸ δὲ ἐκγεγάτην πρωτότυπόν ἐστι τοῦ ἔκγονος. Φαεσίμβροτος δὲ ὁ Φαέθων βροτοῖς. οὗ ἡ παραγωγὴ ὡς τὸ τερψίμβροτος. (ῃερς. 130.) Τὴν δὲ Πέρσην οἰκείως ὁ μῦθος γυναῖκα πλάττει τῷ Ἡλίῳ διὰ τὴν ἀεικίνητον αὐτοῦ περαίωσιν, ἤγουν ἐκ περάτης εἰς περάτην ποιητικῶς εἰπεῖν, κίνησιν. διὸ καὶ Ὠκεανοῦ θυγάτηρ αὕτη λέγεται, διὰ τὸ τὸν Ἥλιον ὠκὺ ἀνύειν τὸν δρόμον ὃν περᾷ φυσικῶς. εἰ δὲ καὶ τὴν Ἑκάτην Ἡσίοδος Περσηΐδα καλεῖ, οὐ μακρὰν οὐδ' ἐκεῖνο τοιαύτης ἀλληγορίας ἐστί. καὶ ἄλλως δὲ Ὠκεανοῦ θυγάτηρ ἡ Πέρση, διὰ τὴν τοῦ Ἡλίου ἀνατολὴν καὶ δύσιν ἐξ Ὠκεανοῦ καὶ εἰς Ὠκεανόν. (ῃερς. 140.)Ὅτι κατάπλουν εὐτυχῆ φράζει τὸ, ἔνθα δ' ἐπ' ἀκτῆς νηῒ κατηγαγόμεσθα σιωπῇ, ναύλοχον ἐς λιμένα. (ῃερς. 141.) θεὸς δὴ ἡγεμόνευεν. ὃ δηλοῖ θεῖόν τι χρῆμα τὴν εὐτυχίαν εἶναι, καθά φασι καὶ οἱ μεθ' Ὅμηρον σοφοί. (ῃερς. 140.) Ἔστι δὲ καὶ νῦν καταγάγεσθαι, τὸ καταπλέειν. οὗπερ ἀνάπαλιν τὸ ἀνάγεσθαι. (ῃερς. 141.) Ναύλοχος δὲ καὶ νῦν λιμὴν ὁ ναῦς κοιμίζων ὡς ἐπὶ λέχους, ἢ κρύπτων παρὰ τὸν λόχον. Οἱ τοῦ Ὀδυσσέως δὲ φίλοι (ῃερς. 140.) νῦν σιωπῇ κατάγονται, οἷα ἤδη πεφοβημένοι διὰ 1.373 τὸ τῶν Κυκλώπων καὶ τὸ τῶν Λαιστρυγόνων κακόξενον. οὓς πτοηθέντες ὑποπτεύουσι καὶ τὴν τῆς Κίρκης νῆσον ὡς ἀνθρωπόλεθρον. ἡ δὲ καὶ αὐτὴ οὐκ ἀπῆγε μὲν ἀνθρώπους τοῦ βίου, μετεποίει δὲ ἄλλως τὸν βίον αὐτοῖς ἐξ ἀνθρώπων εἰς θῆρας μετάγουσα. (ῃερς. 142.) Ὅτι πολλοῦ καμάτου δηλωτικὸν τὸ, ἔνθα τότε δύο τ' ἤματα καὶ δύο νύκτας κείμεθα ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες. ὅ πέρ ἐστιν ἐναντίον τῷ, θυμὸν ἥδοντες ἤτοι εὐφραίνοντες. ἐξ οὗ ἡ θυμηδία. ὅτι δὲ ἡ λύπη θυμὸν ἔδει, καὶ ὁ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Βελλεροφόντης δηλοῖ ἐν Ἰλιάδι ὃν θυμὸν κατέδων. (ῃερς. 144.) Ὅτι καὶ ἐνταῦθα ἐν τῷ, τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' Ἠὼς, Ἠὼς μὲν ἡ σωματοειδὴς δαίμων. ἦμαρ δὲ ἡ κοινῶς λεγομένη ἡμέρα, ὁ πεφωτισμένος ὑπὸ Ἡλίου ἀήρ. (ῃερς. 145.) Ὅτι εὐλαβηθεὶς Ὀδυσσεὺς μή πως ἀποστέλλων ἑταίρουςἐπὶ κατασκοπῇ τῆς Αἰαίης νήσου εὑρήσει ἐκείνους μὴ πειθομένους διὰ τὰ φθάσαντα γενέσθαι κακὰ αὐτοδιάκονος κἀνταῦθα γίνεται κατ' ἔθος ἡρωϊκὸν, καὶ ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ ἀνῆλθεν ἐς περιωπὴν εἴ πως φησὶν ἔργα ἴδοιμι βροτῶν ἐνοπήν τε πυθοίμην. ἔστη δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν, καὶ ἰδὼν καπνὸν διὰ δρυμὰ πυκνὰ καὶ ὕλην μερμήριξεν ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν ἐλθεῖν ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδεν αἴθοπα καπνόν. ὧδε αὐτῷ φρονέοντι δοάσσατο κέρδιον εἶναι πρῶτα ἐλθεῖν ἐπὶ νῆα καὶ δεῖπνον τοῖς περὶ αὐτὸν δοῦναι, (ῃερς. 155.) προέμεν τε πυθέσθαι ἤγουν προεῖναι, προπέμψαι. τοῦτο δὲ διὰ τὸ εὔπλαστον οἰκονομεῖται καὶ πιθανόν. πεμφθέντων μὲν γὰρ φίλων ἕξει χώραν ὁ κυκεὼν καὶ ἡ λοιπὴ μαγγανεία τῆς Κίρκης καὶ τὸ τοῦ Ἑρμοῦ πλάσμα καὶ τὸ κατ' ἐκεῖνον μῶλυ καὶ ἡ τοῦ Ὀδυσσέως ἀρετή. αὐτοῦ δὲ πρώτου ἀπελθόντος εἰς Κίρκην οὐκ ἦν ἀποβῆναι τὰ τοιαῦτα, πλασθέντα δεξιῶς καὶ πιθανῶς. ὃ γοῦν Ὅμηρος περὶ Ὀδυσσέως λέγει, περὶ ἑαυτοῦ λέγει. αὐτὸς γὰρ σκοπήσας εὐμεθόδως ἐπικρίνει κρεῖττον εἶναι πεμφθῆναί τινας καὶ μὴ αὐτὸν τὸν Ὀδυσσέα ἀπελθεῖν. (ῃερς. 146.) Ὅρα δὲ τὸ, περιωπὴν καὶ ἐνοπὴν, ἐν οἷς ἔχει τι παρηχήσεως ἡ ὁμοιοφωνία τῶν λέξεων. εἰ δέ που πλησίον παρέκειτο καὶ ἡ ἀνωτέρω ῥηθεῖσα σιωπὴ, ἐγίνετο ἂν καὶ δι' αὐτῆς τὸ ὅμοιον. Περιωπὴν δὲ καὶ σκοπιὰν εἰπεῖν, τὸ αὐτόν ἐστιν. (ῃερς. 149.) Ὁ δὲ καπνὸς οὐ μόνον πυρὸς ἀλλὰ καὶ ἀνθρώπων οἰκήσεως τεκμήριόν ἐστιν, ὡς τὰ πολλὰ καὶ ἡ τῶν Λαιστρυγόνων ἐδήλωσε γῆ. (ῃερς. 150.) Δρυμὰ δὲ καὶ ὕλη ταυτὰ ἐκ παραλλήλου. ἔστι δὲ δρυμὰ ἡ συνδενδρία ὡς ἀπὸ δρυός. ὅθεν καὶ δρυοκολάπτης, ὁ πᾶν ξύλον κολάπτων. καὶ δρύκαρπα οὐ τὰ ἐκ δρυὸς μόνον, ἀλλὰ καὶ ἐξ ἑτέρων δένδρων. εἰκὸς δὲ καὶ ἀρσενικὸν εἶναι μὴ μόνον ὁ δρυμὼν, ἀλλὰ καὶ ὁ δρυμός. οὗπερ οὐδέτερον τὸ δρυμὸν ὡς τὸ ἐρετμόν. (ῃερς. 152.) Αἶθοψ δὲ καπνὸς ὁ ἐκ τοῦ αἴθεσθαί τινα ὕλην ἀναδιδόμενος. (ῃερς. 153.) Δοάσατο δὲ καὶ νῦν κατὰ τοὺς παλαιοὺς οὐ μόνον τὸ ἔδοξεν ὡς ἀπὸ τοῦ δοκῶ δοξάζω κατὰ ἔλλειψιν τοῦ κάππα, ἀλλὰ καὶ ἀντὶ τοῦ ἡρέθη, προεκρίθη. ἔστι δέ φασι δοάσασθαι τὸ, δύο τινῶν προκειμένων ἑλέσθαι θάτερον, ὡς ἐκ τοῦ δοιὼ δοιάσατο καὶ δοάσατο. Ὅτι κατιόντι τῷ Ὀδυσσεῖ ἐκ τῆς σκοπιᾶς θεός τις, ὃς αὐτὸν ὀλοφύρατο μοῦνον ἐόντα, ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν ἧκεν, ὁ μὲν ποταμόνδε κατήϊεν ἐκ νομοῦ ὕλης πιόμενος. δὴ γάρ μιν ἔχεν μένος Ἠελίοιο. τὸν δ' ἐγὼ φησιν (ῃερς. 161 σθθ.) ἐκβαίνοντα ἐκ τῆς ὕλης δηλαδὴ, κατ' ἄκνηστιν νῶτα πλῆξα. τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε. κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών. ἀπὸ δ' ἔπτατο θυμός. τῷ δ' ἐγὼ ἐμβαίνων, δόρυ χάλκεον ἐξ ὠτειλῆς εἰρυσάμην. καὶ τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ εἴασα. αὐτὰρ ἐγὼ σπασάμην ῥῶπάς τε λύγους τε. πεῖσμα δ' ὅσον τ' ὄργυιαν εὐστρεφὲς ἀμφοτέρωθεν πλεξάμενος, συνέδησα πόδας δεινοῖο πελώρου. βῆν δὲ καταλοφάδια φέρων ἐπὶ νῆα μέλαιναν, ἔγχει ἐρειδόμενος, ἐπεὶ οὔ πως ἦν ἐπὶ ὤμου χειρὶ φέρειν ἑτέρῃ, μάλα γὰρ μέγα θηρίον ἦεν. (ῃερς. 172.) κὰδ δ' ἔβαλον ἤτοι κατέῤῥιψα προπάροιθε νεώς. ἀνέγειρα δ' ἑταίρους μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον. καὶ ἑξῆς. (ῃερς. 156.) Καὶ ὅρα ὅτι πρὸ μὲν τῶν Κυκλώπων κοινὰ ἦν τοῖς ἀμφὶ τὸν Ὀδυσσέα τὰ τῆς θήρας. νῦν δὲ τῶν ἄλλων κειμένων οἷς πολλὰ ἔκαμον, μόνος ὁ πολύτλας Ὀδυσσεὺς πορίζει τοῖς φίλοις τροφὴν, ἀγρεύσας ἀπραγματεύτως καὶ εὐτυχῶς ὡς οἷα κατά τι θεῖον. ταῦτα γὰρ δηλοῦται ἔν τε τῷ, καὶ τότε τίς με (ῃερς. 157.) θεῶν ὀλοφύρατο τουτέστι κατελεήσατο, καὶ ἐν τῷ, εἰς ὁδὸν αὐτήν. μεγεθύνων δὲ τὸν ἔλαφον ὑψίκερών τε λέγει καὶ μέγαν. (ῃερς. 168.) τὸν δ' αὐτὸν προσεπαύξων καὶ δεινὸν πέλωρον ἔφη, καὶ μάλα μέγα θηρίον. τοιοῦτος γὰρ ὢν ἀρκέσει τε τοῖς ἐν τῇ νηῒ τοῦ Ὀδυσσέως ὁ ἔλαφος καὶ ἀξία θήρα ἔσται τοῦ ἥρωος καὶ θεοῦ δόσις. Ὅρα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ καὶ ἐνταῦθα Ὁμηρικὴν ποικιλίαν. ἐν μὲν γὰρ τῇ λαχείᾳ νήσῳ ἄγρα πολλῶν ἀγρίων 1.374 αἰγῶν, ἐν δὲ τῇ τῶν Κυκλώπων ἀπαγωγὴ θρεμμάτων ἡμέρων. ἐνταῦθα δὲ θήρα ἐλάφου αὐτόματος. οὕτω δὲ καὶ τὰ κατὰ τοὺς ἑταίρους ποικίλα τῷ Ὀδυσσεῖ. ἡ μὲν γὰρ λάχεια οὐδένα ἔβλαψεν, ὁ δὲ Κύκλωψ ἓξ κατέσπασεν. οἱ δὲ Λαιστρυγόνες μικροῦ δεῖν πάντας ἀπήγαγον. ἡ δὲ τῆς Κίρκης νῆσος ἕνα μέν τινα ἐξολέσει, ἄλλους δὲ ἐξανθρωπίσει. Ποικίλλεται δὲ καὶ ἄλλως τὰ κατὰ τὸν Ὀδυσσέα καὶ ἐν τοῖς ἡδέσι καὶ τοῖς λυπηροῖς. εὔφρανε μὲν γὰρ αὐτὸν ἡ λάχεια. ἐξεπτόησε δὲ καὶ φίλοις ὀλίγοις ἐζημίωσεν ἡ τῶν Κυκλώπων. μεγάλα δὲ ἐλύπησεν ἡ τῶν Λαιστρυγόνων. ἡ δὲ τῆς Κίρκης εὐφρανεῖ ὡς ἐν τοῖς ἑξῆς φανήσεται, ἄλλης ἡδονῆς οὖσα πρόξενος ἤπερ ἡ τῶν Λωτοφάγων. ἐκείνη γὰρ ἀπρόσιτος ἦν τῷ Ὀδυσσεῖ ὡς ἐκλανθάνουσα τῆς πατρίδος διὰ τὴν ἰδιότητα τοῦ λωτοῦ. (ῃερς. 157.) Ἰστέον δὲ καὶ ὅτι Ὁμήρου συμπαθείας καὶ ἐλέου θεμένου ἐνταῦθα τὸν ὀλοφυρμὸν ἐπὶ κλαυθμοῦ τὴν λέξιν οἱ μεθ' Ὅμηρον ἔθεντο. (ῃερς. 158.) Ὅρα δὲ ὡς καὶ εἰ καὶ Ἰωνικῶς τὰ πολλὰ κατὰ θῆλυ γένος ἡ ἔλαφος προφέρεται, ἀλλ' ἐνταῦθα ἀρσενικῶς προήνεκται διὰ τὸ μὴ κατ' εἶδος λελέχθαι. ὅτι δὲ καί τις πλακοῦς ἀνεπλάσσετο ἐν ἐλαφηβολίοις διὰ σταιτὸς καὶ μέλιτος καὶ σησάμου ἔλαφος καλούμενος ὁ δειπνοσοφιστὴς ἱστορεῖ. ἑορτῆς δὲ ὄνομα τὰ ἐλαφηβόλια. (ῃερς. 160.) Τὸ δὲ πιόμενος ἐκτείνει τὴν ἄρχουσαν οὐχ' ὡς μέσος δεύτερος ἀόριστος, ἀλλ' ὡς ἐνεστὼς, καθὰ καὶ τὸ πιόμεν' ἐκ βοτάνης. (ῃερς. 161.) Τὸ δὲ εἶχεν αὐτὸν μένος Ἡλίου, περιφρασίς ἐστι τοῦ ἐδίψα, ἢ καὶ ἄλλως συμβολικᾶς ἐῤῥέθη καὶ ὡς αἴνιγμα, ὡς τοῦ κατόχου Ἡλίῳ διψῶντος διὰ τὴν ἐκεῖθεν ζέσιν. Ἄκνηστις δὲ, τὰ μέσα νῶτα ἐπὶ τετραπόδων ὡς ὁ ποιητὴς ἐξηγεῖται, ἣν δηλαδὴ οὐκ ἔστι κνήσασθαι, ὡς καὶ πρὸ τούτων ἐῤῥέθη ἔνθα περὶ ἰξύος ἐγράφη. (ῃερς. 163.) Μακὼν δὲ κἀνταῦθα ἢ ἀντὶ τοῦ ἄσημον ἦχον ἀποτελέσας, ἵνα ᾖ ὀνοματοποιΐα ὁ τρόπος, ἢ ἀντὶ τοῦ εἰς μῆκος ἐκταθείς. (ῃερς. 164.) Τὸ δὲ ἀπὸ δ' ἔπτατο θυμὸς, περίφρασίς ἐστι τοῦ θανεῖν. Ἐμβαίνειν δὲ, τὸ στερεῶς ἐρείδειν τῷ κειμένῳ τὸν πόδα. καὶ ἔστιν ὅμοιον τῷ ἐνάλλεσθαι. (ῃερς. 166.) Ῥῶπες δὲ καὶ λύγοι, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, φυτὰ ἱμαντώδη καὶ οὕτως εὐλύγιστα, ὡς καὶ πεῖσμα ὅ ἐστι σχοινίον ἐξ αὐτῶν στρέφεσθαι ἤγουν κλώθεσθαι. Ἔνθα ὅρα καὶ ὡς οὐκ ἐπὶ μόνων (ῃερς. 167.) σχοινίων νεὼς τὸ πεῖσμα λέγεται. Δῆλον δὲ ὅτι καὶ ἐπιμήκεις κατὰ τοὺς παλαιοὺς καὶ εὔκαμπτοι αἱ τῶν λύγων ῥάβδοι. (ῃερς. 169.) Ἡ δὲ ὄργυια καὶ ἐνταῦθα συνήθως προπαροξύνεται ὁμοίως τῷ ἄρπυια εἰλείθυια καὶ τοῖς τοιούτοις. Καταλοφάδια δὲ ἀντὶ τοῦ κατὰ λόφου, κατὰ αὐχένος, κατὰ τραχήλου. λόφος δὲ κυρίως ἐπὶ ἀλόγων ζῴων τὸ μετὰ τὴν κεφαλὴν, ἔνθα τοῖς ζευγνυμένοις ἐπιτίθεται ὁ ζυγός. ὅθεν ὁ τραγικὸς Οἰδίπους φησὶ τῶν τινὰς πολιτῶν μὴ ἐθέλειν ὑπὸ ζυγῷ νῶτον εὐλόφως φέρειν, ἤγουν εὐπειθῶς. ἀπὸ δὲ τοῦ τοιούτου λόφου καὶ ἡ τοῦ κάπρου εἴρηται λοφιά. εἰ δὲ καὶ ὥσπερ ἐκ τῆς ζωϊκῆς κορυφῆς ὀρεινὴ λέγεται κορυφὴ, οὕτω καὶ ἐκ τοῦ τοιούτου λόφου οἱ τοῦ ὄρους λόφοι, ὅθεν καὶ λοφνίδες αἱ ἐκ τῶν ἐκεῖθεν τόπων λαμπάδες, οὐκ ἔστι βεβαιώσασθαι. ἴσως γὰρ μᾶλλον ἐκ τοῦ ὀρεινοῦ λόφου ὁμωνύμως καλεῖται καὶ ὁ ζωϊκὸς λόφος. τὸ δὲ εἰπεῖν ὡς ταυτόν ἐστι καταλοφάδια καὶ κατωμαδὸν, ἀσφαλῶς ἔχει. εἰ γὰρ καθ' Ὅμηρον οὐκ ἦν ἐπ' ὤμου ἑνὸς φέρειν τὸ τοιοῦτον ζῷον χειρὶ ἑτέρῃ ἤγουν μιᾷ, ἀλλὰ δηλαδὴ ἀμφοτέραις καὶ ἐπ' ἀμφοτέρων ὤμων, ἑρμηνεία γάρ ἐστι τοῦτο τοῦ καταλοφάδια, πάντως καὶ ὁ οὕτω φέρων κατ' ἀμφοτέρους φέρει ὤμους. καὶ ἔστι λοιπὸν καταλοφάδια φέρειν τὸ κατωμαδὸν βαστάζειν. τὸ δὲ καταλοφάδια κοινότερον μὲν διὰ τοῦ ἰῶτα ὀφείλει ἔχειν τὴν παραλήγουσαν. τὰ δὲ πλείω τῶν παλαιῶν ἀντιγράφων διὰ διφθόγγου ἔχει αὐτήν. Ἰστέον δὲ ὅτι πρὸς ἀκρίβειαν προϋπάρχει ὥσπερ τοῦ κατὰ τὴν περικεφαλαίαν λόφου οὕτω καὶ τοῦ ὀρεινοῦ ὁ ζωϊκός. καὶ γένοιτ' ἂν ἐκ τοῦ λέπω λέψω λέλεφα ὁ τοιοῦτος λόφος. σπουδῆς γὰρ ἄξιον ἀποδαρὲν ἤγουν ἐκλεπισθὲν τὸ τοιοῦτον μέρος τοῦ ζῴου. Ἔτι ἰστέον καὶ ὅτι τῶν εἰρημένων ὑποκοριστικῶς ἢ ἄλλως κατὰ παραγωγὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λοφνίδων, ὧν χρῆσις καὶ παρὰ Λυκόφρονι, πρωτότυπον ἡ λοφνία ὡς δηλοῖ Ἀθήναιος εἰπὼν ὅτι λοφνία ἡ ἐκ φλοιοῦ λαμπάς. (ηερς. 171.) Θηρία δὲ κοινῶς πάντα τὰ ἄλογα. διὸ καὶ τὸν ἀράχνην θηρίον φησὶν ὁ Αἰλιανός. σημειοῦνται δὲ οἱ παλαιοὶ μὴ εἶναι παρὰ τῷ ποιητῇ μηδὲ τὸ θηρίον τύπου ὑποκοριστικοῦ, παρωνυμεῖσθαι δὲ τῷ θηρί. μηδὲ γὰρ κεῖσθαι τὸ τοῦ ὑποκορισμοῦ ταπεινὸν παρ' Ὁμήρῳ διὰ τὸ ὑψηλόφωνον καὶ ἡρωϊκὸν τῆς αὐτοῦ ποιήσεως. εἰ δέ τις φασὶ καὶ θείη μὴ παρώνυμον εἶναι τοῦ θηρὸς τὸ θηρίον ὡς τοῦ ἴχνους τὸ ἴχνιον ἀλλ' ὑποκοριστικὸν, ἐξεγήγερταί φασιν ἄλλως τῆς ταπεινότητος, διά τε τοῦ, μέγαν ἔλαφον, καὶ τοῦ, δεινοῦ πελώρου, καὶ τοῦ, μάλα μέγα. διὸ καὶ 1.375 μετὰ στίχους ὀκτὼ, πάλιν ἐρεῖ τὸ, μάλα μέγα θηρίον εἶναι τὸ πεσόν. οὕτω καὶ ἀλλαχοῦ τειχίον εἰπὼν ὑποκοριστικώτερον ὕψωσεν εἰπὼν ἐκεῖνο μέγα. οἷον. παρὲκ μέγα τειχίον αὐλῆς. καὶ τὸ οἰκίον δὲ, οὐδ' αὐτὸ σμικρόν τι δηλοῖ ἐν τῷ, οἰκία δ' αὖτε μητέρι δοῖμεν. πῶς γὰρ ἂν σμικρὰ εἴη τὰ μέγαρα τοῦ Ὀδυσσέως ἅπερ ἐξ ἑτέρων ἕτερα ἐστίν; οὐ μὴν οὐδὲ ὅτε οἰκία λέγει Ἅιδου ἐν Ἰλιάδι, ὑποκοριστικῶς ἂνἐκεῖνα οὕτω λέγοι, ἀλλὰ μάλιστα παρωνύμως. ἵνα μὴ καὶ αὐτὸ σκῶμμα εὕροι καθὰ καὶ τὸ, αἰθέρα Διὸς δωμάτιον, καθ' οὗ Ἀριστοφάνης ἔπαιξε, συγκαταπαίξας ἅμα καὶ τὸ, χρόνου πόδα, ὅπερ δοκεῖ παραξεσθῆναι ἀπὸ τοῦ, περιπλομένων ἐνιαυτῶν. Ἰστέον δὲ καὶ ὅτι ἐξ Ὁμήρου λαβὼν Εὐριπίδης μέθοδον τὴν βασιλικὴν παῖδα Πολυξένην μόσχον μὲν εἰπὼν εὐτελῶς ἔφρασε. σκύμνον δὲ προσειπὼν ἐπηύξησεν. ἐπὶ λεόντων γὰρ κυρίως τὸ σκύμνος. εἰ καὶ οἱ παλαιοὶ ἐξαιροῦσι τῆς Ὁμηρικῆς ποιήσεως οἷα σμικροπρεπὲς τὸ ὑποκορίζεσθαι, ἀλλ' ὅμως ἔστιν οὗ κεῖσθαι καὶ τοιαῦταί τινες λέξεις δοκοῦσι προσφυῶς τοῖς ὑποκειμένοις πράγμασιν. ἐν αἷς καὶ ἀγκαλὶς ἡ ἀγκάλη ἐν Ἰλιάδι. οἷον. ἐν ἀγκαλίδεσσι τιθήνης. καὶ, παῖδες ἐν ἀγκαλίδεσσι φέρον. ὅτι δὲ ὑποκοριστικῶν τύποι διάφοροι, δῆλον ἐκ τῶν παλαιῶν. παρ' οἷς κεῖται καὶ ἀρσενικῶν τύπος ὁ μὲν κατὰ τὸ πλεονάζον. οἷον. Ἡφαιστίων Ἡφαιστίωνος ὁ Ἥφαιστος. ὁ δὲ, κατὰ τὸ ἐλλεῖπον. οἷον. Βάκχων Βάκχωνος καὶ Σίμων Σίμωνος, ὁ Βακχυλίδης δηλαδὴ καὶ ὁ Σιμωνίδης. ὧν καὶ φυλάσσεται τὸ ¯ω τῆς εὐθείας ἐν τῇ γενικῇ. (ηερς. 172.) Τὸ δὲ ἀνέγειρα μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον ἀνθρώπου ἦθος δηλοῖ πρᾴως ὀτρύνοντος. (ηερς. 174.) Ὅτι παρηγόρημα τῶν ὡς ἐπὶ κινδύνῳ λυπουμένων τὸ, ὦ φίλοι, οὐ γάρ που καταδυσόμεθ' ἀχνύμενοί περ εἰς Ἀΐδαο δόμους πρὶν (ηερς. 175.) μόρσιμον, ἢ καὶ ἄλλως εἰπεῖν, θεόθεν ἦμαρ ἐπελθεῖν. ἀλλ' ἄγετε μνησόμεθα βρώμης, (ηερς. 177.) μηδὲ τρυχώμεθα λιμῷ. ἃ δὴ περίφρασίς ἐστι τοῦ φάγωμεν. ἢ καὶ ἄλλως δηλωτικὰ τοῦ φαγεῖν, ἐκ τῶν πρὸ αὐτοῦ καὶ μετ' αὐτό. πρῶτον γάρ τις μνησάμενος βρώμης, εἶτα φαγὼν οὐκέτι τρύχεται λιμῷ. καὶ ἔστι τοιαύτη μέθοδος καὶ ἀλλαχοῦ παρ' Ὁμήρῳ, ἣν καὶ ὁ Ἑρμογένης ἐπισημαίνεται, διδάσκων εἶναί ποτε καὶ μάλιστα ἐπὶ τῶν μὴ σεμνῶν σιγᾶσθαι μὲν τὸ πρᾶγμα, δηλοῦσθαι δὲ ὅμως ἐκ τῶν πρὸ αὐτοῦ καὶ τῶν μετ' αὐτό. (ηερς. 174.) Τὸ δὲ καταδυσόμεθα, σεμνοτάτη λέξις ἐπὶ ἀνθρώπου, ὡς δύνοντος καὶ αὐτοῦ ἡλίου δίκην ὅτε ὑπὸ γῆν γένηται. (ηερς. 176.) Ἐκ δὲ τοῦ βέβρωμαι ἡ βρώμη, ὡς ἐκ τοῦ τέτρωμαι ἡ τρώμη Ἰωνικῶς ἤγουν ἡ τρῶσις, καὶ ἐκ τοῦ ἔῤῥωμαι, ἡ ῥώμη. τὸ δὲ ὅλον εἰπεῖν τριῶν τούτων τοῦ, βέβρωμαι βέβρωσαι βέβρωται, ἐκ τοῦ πρώτου μὲν ἡ βρώμη καὶ τὸ βρῶμα, ἐκ τοῦ δευτέρου δὲ ἡ βρῶσις. οἷον. δότ' ἀμφίπολοι βρῶσίν τε πόσιν τε. καὶ ἐνταῦθα δὲ, ὄφρα ἐν νηὶ βρῶσίς τε πόσις τε. ἔκ τε τοῦ τρίτου τὸ βρωτὸν καὶ ἡ βρωτύς. (ηερς. 174.) Σημείωσαι δὲ τὸ, ὦ φίλοι, οὐ γάρ που καταδυσόμεθα εἰς Ἅιδην, ἀλλὰ μνησόμεθα βρώμης, ἐν πολλοῖς γὰρ ὁ ποιητὴς ἀρχόμενος ἀπὸ τοῦ γ¯αρ, εἶτα ἐπάγει τὸν ἀλλ¯α σύνδεσμον ταυτοδυναμοῦντα τῷ δὴ, οὕτω γοῦν καὶ μετ' ὀλίγα φησίν· (ηερς. 190.) ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ Ἠὼς, οὐδ' ὅπῃ Ἠέλιος φαεσίμβροτος εἶσιν ὑπὸ γῆν, οὐδ' ὅπῃ ἀννεῖται, ἀλλὰ φραζώμεθα θᾶσσον. ἔνθα ζόφον μὲν τὴν δύσιν εἰπὼν Ἠῶ δὲ τὴν ἀνατολὴν ἡρμήνευσε τὰς λέξεις εὐθὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλατύτερον. πρῶτα μὲν τὸν ζόφον διὰ τοῦ, ὅπῃ Ἥλιος ὑπὸ γῆν εἶσιν. εἶτα τὴν Ἠῶ διὰ τοῦ, ὅπῃ ἀνίσχει. τοῦτο γάρ ἐστι τὸ ἀννεῖται, ἀντὶ τοῦ ἀναστείχει, ἀνανέεται, ἀνέρχεται, ἀνατέλλει. ἐν οἷς Ὀδυσσεὺς λέγει μὴ εἰδέναι ὅπῃ κοσμικοῦ κλίματός εἰσιν. οὐ γὰρ ἔχομέν φησι συγκρῖναι εἴπερ ἀνατολικοὶ πρὸς ἑτέραν χώραν ἐσμὲν, ἢ δυτικοί. καὶ τοῦτο μὲν τοιοῦτον. κεῖται δὲ καὶ μετὰ βραχέα ἐν τοῖς περὶ Κίρκης σχῆμα ὅμοιον. οἷον, ὦ φίλοι, ἔνδον γάρ τις καλὸν ἀοιδιάει, ἀλλὰ φθεγγώμεθα θᾶσσον. Σημείωσαι δὲ ὅτι ὁ γεωγράφος εἰς τὸ, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος καὶ ἑξῆς ὡς προγέγραπται, λέγει ὅτι ἐν τόπῳ τινὶ Ὀδυσσεὺς ἐγένετο, ἔνθα ἐνήλλακτο τὰ τοῖς πολλοῖς φαινόμενα ἐν οὐρανῷ, διὸ καὶ ταράσσεται. τῶν τινὲς δὲ παλαιῶν οὐκ ἀποροῦντα δεινοπαθοῦντα δὲ τὸν Ὀδυσσέα ταῦτα λέγειν φασί. Περὶ δὲ τοῦ φράζεσθαι εἰ καὶ προγέγραπται, ὅμως οὐ πάρεργον καὶ ἐκ τῶν Ἡρακλείδου παρασημειώσασθαι ταῦτα. ἀνέκαθέν φησιν ἤγουν ἐξ ἀρχῆς θεματικῆς, ἔστι φῶ τὸ λέγω, οὗ μετοχὴ ἀόριστος, φάσας. ὡς κλῶ κλάσας. καὶ συγκοπῇ, φάς. οἷον. φὰς ἔμεν ἀπτόλεμον. ὥσπερ καὶ κλάς φησι παρὰ Ἀνακρέοντι. τὸ δὲ φῶ παραχθὲν εἰς τὸ φάζω ἐξ οὗ ἡ φάσις, προσλήψει τοῦ ¯ρ γίνεται φράζω ὅθεν ἡ φράσις. ἄλλως δὲ μεταληφθὲν Μακεδόνων φησὶ διαλέκτῳ καὶ ἐξενεχθὲν διὰ τοῦ ¯β, ποιεῖ τὸ βῶ βάζω Σικελικῶς κατὰ 1.376 τὸ σιγῶ σιγάζω. ἀνιῶ ἀνιάζω. ἀτιμάζω. πελάζω. ἐκ δὲ τοῦ βάζω, καὶ ἡ βάξις Δωρικώτερον. καὶ οὕτω μὲν ἐκ τοῦ φῶ Μακεδονικῶς γέγονε τὸ βῶ. οὐδέ ποτε γάρ φησι κατ' ἀρχὰς λέξεων ἐκεῖνοι τῷ ¯φ χρῶνται, ἀλλ' ἀντ' αὐτοῦ δηλαδὴ τῷ ¯β. ὡς καὶ ὁ Βίλιππος δηλοῖ καὶ ἄλλα εἰρημένα ἑτέρωθι. ἐν δὲ ἑτέρῳ τόπῳ λέγει ὁ αὐτὸς Ἡρακλείδης τοὺς Παμφυλίους ἄλλως χαίρειν τῷ ¯β, προτιθέντας αὐτὸ παντὸς φωνήεντος. τὸ γοῦν φάος φάβος φασί. καὶ τὸ ἀέλιος βαβέλιος. οὕτω δέ φησι καὶ τὸ ὀρούω ὀρούβω λέγουσι, καὶ περισπωμένως δὲ ὀρουβῶ. ὡς δὲ οἱ Αἰολεῖς ἄλλως τῷ ¯β χαίρουσι προτιθέντες τοῦ ¯ρ ἐν τῷ ῥάκος βράκος ῥοτὸς βροτὸς ῥυτὴρ βρυτὴρ, ἐν ἄλλοις δηλοῦται. λέγει δὲ Ἡρακλείδης καὶ ὅτι Ταραντίνων τὰ εἰς ζ¯ω λήγοντα βαρύτονα ῥήματα, ὧν ὁ παρακείμενος καὶ ὑπερσυντέλικος διὰ τοῦ κάππα ἐκφέρονται, φραζόντων ἐν δυσὶ σίγμα. οἷον. σαλπίζω σαλπίσσω. λακτίζω λακτίσσω. οὕτω δὲ καὶ φράζω φράσσω τὸ λέγω. ἐκεῖθεν Κόριννα ἡ μελοποιὸς φράττω ἔφη ἐν δυσὶ ¯τ Βοιωτικῶς. ἔτι λέγει ὁ αὐτὸς, καὶ ὡς οἱ εἰρημένοι Ταραντῖνοι τὰ παρ' ἡμῖν διὰ δύο σίγμα ἔμπαλιν διὰ τοῦ ¯ζ προφέρουσι. τὸ γὰρ πλάσσω, πλάζω φασὶ, καὶ τὸ ἀνάσσω, ἀνάζω. ἔτι λέγει καὶ ὅτι Αἰολεῖς τῷ ¯α προστιθέντες τὸ ¯υ ὥς φησιν Ἀρίσταρχος παρατιθεὶς τὸ, ἀτὰρ αὐτὰρ δαλὸς δαυλὸς ἴαχεν ἴαυχεν, λέγουσιν οὕτω καὶ φάσκω φαύσκω, καὶ μετὰ τοῦ ¯ρ, φραύσκω. δῆλον δ' ὅτι ἐκ τοῦ εἰρημένου φαύσκω καὶ τὸ πιφάσκω γίνεται κατὰ ἀναδιπλασμὸν συνήθη τοῖς Ἴωσιν. οἳ τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα διπλάζοντες τὸ πρῶτον σύμφωνον ἐκφέρουσι μιᾷ πλεονάζον συλλαβῇ. οἷον δέξεται δεδέξεται. λάβῃ λελάβῃσι. κάμωσι κεκάμωσι. δάπτω δαδάπτω καὶ πλεονασμῷ τοῦ ¯ρ δαρδάπτω. μύρω μορμύρω. οὕτω καὶ ἀπὸ τοῦ δάσκω διδάσκω. καὶ τιτρώσκω ἀπὸ τοῦ τρῶσαι. καὶ ἀπὸ τοῦ πρήσω καὶ πλήσω, τὸ πίμπρησι καὶ πίμπλησι. καὶ ἐκ τοῦ φόνος τὸ, ὦ πέπονες μεταπεσόντος τοῦ ¯φ εἰς ¯π. Δωριεῖς γάρ φασι τοὺς ἐπονειδίστους φόνους λέγουσιν ὡς οἱονεὶ ἄξια φόνου δεδρακότες, καὶ μετὰ προθέσεως, καταφόνους ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα γέγραπται. (ῃερς. 179.) Ὅτι διὰ τὸ πολὺ τοῦ πένθους καὶ πρηνεῖς ἢ ἄλλως ἐγκεκαλυμμένοι ἔκειντο οἱ τοῦ Ὀδυσσέως, ὡς δηλοῖ τὸ, ἐκ δὲ καλυψάμενοι θηήσαντο ἔλαφον. (ῃερς. 181.) Ὅτι δηλωτικὸν θαυμασμοῦ τὸ, αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσι. (ῃερς. 211.) δυσελπίστων δέ τις εἴποι ἂν, ἀλλὰ φραζώμεθα θᾶσσον εἴτις ἔτι ἔσται μῆτις, ἐγὼ δ' οὐκ οἴομαι εἶναι. (ῃερς. 193.) Ὅτι τὴν τῶν Φαιάκων νῆσον πλείονος ἀξιώσας λόγου (ῃερς. 211.) καὶ τὴν πρὸ τῶν Κυκλώπων, καὶ αὐτὴν δὲ τὴν τῶν Κυκλώπων, καὶ περὶ τῆς τῶν Λαιστρυγόνων δὲ εἰπὼν θαυμαστήν τινα ἰδιότητα ἐλάττου λόγου ἀξίαν τὴν τῆς Κίρκης νῆσον κρίνει,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοσοῦτον μόνον εἰπὼν, ὡς τὰ μὲν αὐτῆς δώματα ξεστοῖς λίθοις τετυγμένα ἦν ἐφ' ὑψηλοῦ. τὴν δὲ κατ' αὐτὴν νῆσον περὶ πόντος (ῃερς. 195.) ἀπείριτος ἐστεφάνωται, ἤγουν κύκλῳ περιέχει ὡς ἀμφίαλον. (ῃερς. 196.) αὐτὴ δὲ χθαμαλὴ κεῖται οὐ μὴν καὶ πανυπερτάτη ὡς ἡ Ἰθάκη ἀλλαχοῦ. καλὸν δὲ τοῖς δώμασι τῆς Κίρκης, καὶ τὸ κεῖσθαι αὐτὰ κατὰ (ῃερς. 197.) δρυμὰ πυκνὰ καὶ ὕλην τουτέστιν ἐν βήσσαις ὡς μετ' ὀλίγα φησίν. ἔτι δὲ καὶ τὸ περισκέπτῳ ἐνὶ χώρῳ εἶναι αὐτά. ὃ ταυτόν ἐστι τῷ, ἐν σκοπιᾷ καὶ περιωπῇ. (ῃερς. 198.) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ, κατεκλάσθη φίλον ἦτορ, ἀντὶ τοῦ κατεκάμφθη καὶ κατεάγη τῇ λύπῃ ἐκ μεταφορᾶς τῶν κλωμένων ξύλων. οἷον. πτόρτον κλάσε χειρὶ παχείῃ. λέγει δ' ἐνταῦθα καὶ (ῃερς. 0.) τὸν Κύκλωπα, μεγαλήτορα καὶ ἀνδροφόνον ἢ ἀνδροφάγον. (ῃερς. 1.) Ὅτι ἐπὶ τῶν ἀπράκτως κλαιόντων ῥηθήσεται τὸ, κλαῖον δὲ λιγέως, θαλερὸν κατὰ δάκρυ χέοντες. ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν ὅ ἐστι κλαίουσι, περὶ οὗ πολλαχοῦ δεδήλωται. (ῃερς. 3.) Ὅτι ποικίλος ὢν ὁ ποιητὴς, καὶ ὅτε δι' Ὀδυσσέως ἀποπειρᾶσθαι τῶν τόπων ἐθέλει, ποιεῖ ὡς ἐν μὲν τῇ γῇ τῶν Κικόνων, σὺν ἅπασι τοῖς φίλοις πολεμήσας ἐκεῖνος, ἀνδραγαθεῖ. ἐν δὲ τῇ τῶν Λωτοφάγων ἄνδρας δύο κρίνας καὶ τρίτατον κήρυκα προΐησι πυθέσθαι. τὸ δὲ τοῦ Κύκλωπος σπήλαιον ἐκεῖνον αὐτὸν ἔσχεν ἔνδον καὶ δυώδεκα ἑταίρους. ὁ μέντοι Αἴολος οὐχ' ἕνα τινὰ, ἐκεῖνον δὲ καὶ τοὺς ἅπαντας ἑταίρους ἰδὼν ἐφιλοξένησε. παρὰ δὲ τοῖς Λαιστρυγόσι βραχύ τι ἐνέλιπε τοῦ πάντας ἀπολωλέναι δύο καὶ ἐκεῖ ἀνδρῶν σταλέντων καὶ τρίτου κήρυκος. εἰς δὲ τὴν Κίρκην οἱ λαχόντες στέλλονται, ἄλλος τρόπος οὗτος τοῦ γνῶναι τὴν νῆσον. φησὶ γοῦν ὁ Ὁμηρικὸς Ὀδυσσεύς· αὐτὰρ ἐγὼ δίχα πάντας ἑταίρους ἠρίθμεον, (ῃερς. 4.) ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν ὄπασσα, τουτέστιν ἀμφοῖν τοῖν μεροῖν δέδωκα. τῶν μὲν ἐγὼν ἦρχον, τῶν δ' Εὐρύλοχος θεοειδής. γαμβρὸς δὲ Ὀδυσσέως οὗτος ἐπὶ ἀδελφῇ. (ῃερς. 6.) κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ 1.377 πάλλομεν ὦκα. ὅπερ καὶ ἐν Ἰλιάδι ἐπί τινι γίνεται. (ῃερς. 7.) ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο, καθά που καὶ ἐν Ἰλιάδι ὁ τοῦ Αἴαντος (ῃερς. 8.) βῆ δ' ἰέναι Εὐρύλοχος δηλαδὴ, τοῦ κλήρου ἀναγκάζοντος. ἅμα τῷ γε δύο καὶ εἴκοσ' ἑταῖροι κλαίοντες διὰ τὸ τῆς τύχης ἄδηλον καὶ τοὺς ἐν τοῖς φθάσασι κινδύνους. (ῃερς. 9.) κατὰ δ' ἄμμε λίπον γοόωντας ὄπισθεν, διὰ τὸ φιλάλληλον. εὗρον δὲ ἐν βήσσαις, ὡς πρὸ ὀλίγων ἐῤῥέθη, δώματα Κίρκης, τετυγμένα ξεστοῖσι λάεσσιν. ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι ἠδὲ λέοντες. (ῃερς. 213.) τοὺς αὐτὴ κατέθελξεν ἐπεὶ κακὰ φάρμακ' ἔδωκεν. ἐχρῆν γὰρ τῇ Κίρκῃ, ἥτις εἰς τρυφὴν ἀλληγορικῶς ἐκλαμβάνεται, καὶ τοιαύτας ἀλόγους τινὰς φύσεις προσεῖναι θυμικὰς καὶ ἁρπακτικὰς καὶ, τὸ ὅλον εἰπεῖν, θηριώδεις, οὐ μὴν καὶ γενναῖόν τι ἐχούσας, ἀλλὰ τῇ ἄγαν κατασαρκώσει πάνυ ἀπαμβλυνθείσας ὡς μετ' ὀλίγα φανεῖται ὅπου οἱ τοιοῦτοι σαίνουσι τοὺς παραβαλόντας. ἔνθα τις καθικνούμενος τῶν ἀγριαινόντων ἀνθρώπων ὡς ἐν ἀστεϊσμῷ συγκρινεῖ τοὺς τοιούτους τοῖς παρὰ τῇ Κίρκῃ θηρίοις. καὶ θαυμάσεται εἴπερ αὐτὰ μὲν φαρμάκοις ἐτιθασεύοντο, ἄνθρωπος δὲ τὸ φύσει ἐν ζῴοις ἡμερώτατον ἀγριώτατον τῇ προαιρέσει γίνεται. Σημείωσαι δὲ καὶ ὅτι Εὐρύλοχος μὲν ἐν τοῖς ἑξῆς ὑπονοεῖ ὡς ἐξ ἀνθρώπου ἡ Κίρκη ἐκθηριώσασα λύκους ἑαυτῇ καὶ λέοντας ἐποίησεν. ἕτεροι δὲ νοοῦσιν, ὡς ἐξ ἀγρίων καὶ καθά φησιν ὁ ποιητὴς ὀρεστέρων ἐτιθάσευε. καὶ φαρμάκοις (ῃερς. 213.) ἠλλοίωσε θέλξασα, ὅ ἐστι νωθρωτέρους πρὸς τὰς κατὰ φύσιν θυριώδεις ἐνεργείας ἐποίησεν, ὥς που καὶ ὁ τῶν Ἀχαιῶν θέλγεται νόος, ἀντὶ τοῦ, νωθρότερος ἐνεργεῖν γίνεται. εἴτε δὲ ἐγχώριοι λέοντες οἱ ῥηθέντες καὶ λύκοι εἴτε καὶ ἄλλοθέν ποθεν μετενηνεγμένοι, σιωπᾷ ὁ ποιητὴς ὡς μὴ ἀναγκαῖον ὂν παρασημανθῆναι. Κακὰ δὲ φάρμακα πρὸς διαστολὴν ἐῤῥέθη τῶν ἀγαθῶν. Ἑρμῆς οὖν ἐν τοῖς ἐφεξῆς φάρμακον ἐσθλὸν ἔχειν δίδωσι τῷ Ὀδυσσεῖ. (ῃερς. 8.) Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ, δύω καὶ εἴκοσιν ἑταῖροι, πεντήκοντα εἶναι φασὶν οἱ παλαιοὶ τοὺς ἐξ ἀρχῆς τῷ Ὀδυσσεῖ συμπλέοντας ἐν τῇ κατ' αὐτὸν νηΐ, στοχαζόμενοι οὕτως. ἓξ ἀφ' ἑκάστης νηὸς ἀπώλοντο παρὰ τοῖς Κίκοσιν. ἔπαθε δὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτο καὶ ἡ τοῦ Ὀδυσσέως ναῦς. λοιποὶ τοίνυν ἐν ἑκάστῃ νηῒ ἀνὰ μ¯δ. ὧν ἄρτι μερισθέντων εἰς δύο οἱ μὲν ἡμίσεες εἰκοσιδύο ἀκολουθοῦσιν Εὐρυλόχῳ. οἱ δὲ ἄλλοι μένουσι παρὰ τῷ Ὀδυσσεῖ. γέγραπται δὲ καὶ ἐν τῇ ¯γ ῥαψῳδίᾳ ὡς καὶ αἱ τοῦ Νέστορος νῆες ἀνὰ πεντήκοντα εἶχον ἐπικώπους. (ῃερς. 4.) Ἰστέον δὲ ὅτι ἐν τῷ, ἠρίθμεον, ἀρχὸν δὲ καὶ ἑξῆς, τινὲς μὲν δακτυλικῶς τὴν ἀρχὴν ἐπόδισαν λαβόντες τὴν ρ¯ι συλλαβὴν βραχεῖαν διὰ τὸ ἐπιγμένον ἄφωνον θῆτα. οἷον, ¯ηρῖθμον. τὸ δὲ ¯ον μακρὸν ἐδέξαντο κατὰ πολλὰς αἰτίας. καὶ οὕτω δι' αὐτοῦ καὶ τῆς ¯αρ συλλαβῆς ἀπετέλεσαν πόδα σπονδεῖον. καὶ οὕτω μέν τινες. ἕτεροι δὲ τὸ ¯η καὶ τὸ ρ¯ι καταλογισάμενοι εἰς σπονδεῖον τὰς ἐφεξῆς τρεῖς συλλαβὰς τρόπῳ συνεκφωνήσεως ἤγουν συνιζήσεως σπονδειακῶς ἐξ ἀναπαίστου ἐῤῥύθμησαν. (ῃερς. 212.) Ὅτι οἱ παρὰ τῇ Κίρκῃ λύκοι καὶ λέοντες οὓς (ῃερς. 219.) καὶ αἰνὰ πέλωρα λέγει καθ' ὁμοιότητα τοῦ πρὸ ὀλίγων ῥηθέντος δεινοῖο πελώρου οὐχ' ὡρμήθησαν ἐπ' ἀνδράσι τοῖς περὶ τὸν Ὀδυσσέα ὅτε εἰς τὰ τῆς Κίρκης δώματα ἦλθον, ἤδη γὰρ ἐθέλχθησαν ὑπὸ Κίρκης φαρμάκοις κακοῖς, ἀλλ' ἄρα οὗτοι οὐρῇσι μακρῇσι περισαίνοντες, ἀνέσταν. (ῃερς. 216.) εἶτα παραβολὴν πορισάμενος ἐκ τοῦ σαίνειν ὅπερ ἐπὶ κυνὸς κυριολεκτεῖται, ὡς εὐθὺς φανεῖται, φησίν, ὡς δ' ὅταν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα σαίνωσιν, αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ, ὣς τοὺς ἀμφὶ λύκοι κρατερώνυχες ἠδὲ λέοντες σαῖνον. οἱ δὲ ὅμως ἔδεισαν διὰ τὸ προφαινόμενον, ἐπεί φησιν ἴδον αἰνὰ πέλωρα. Καιριοτάτη (ῃερς. 213.) δὲ λέξις τὸ σαίνειν ἐπὶ ζῴων ἀλόγων. ὅ ἐστι σείειν τὴν οὐράν. διὸ καὶ ἐνέμεινε τρὶς αὐτὴν εἰπών. γίνεται δὲ ἀπὸ τοῦ σέω σῶ τὸ σείω, σαίνω. ὡς βῶ βαίνω. ξῶ ξαίνω. κῶ καίνω. χῶ χαίνω, καὶ τὰ ὅμοια. λέγεται δὲ ἡ λέξις παρὰ τοῖς μεθ' Ὅμηρον μεταφορικῶς καὶ ἐπὶ τοῦ κολακεύειν διὰ τὸ ἐν τοῖς σαίνουσι ζῴοις κολακευτικόν. (ῃερς. 214.) Τὸ δὲ ὡρμήθησαν ἐπ' ἀνδράσιν, ἀντὶ τοῦ, κατ' ἀνδρῶν. ὡς καὶ τὸ, δαιμονίη τί μοι ἐπέχεις, ἀντὶ τοῦ, κατ' ἐμοῦ ἔχεις. οὕτω καὶ ἐν Ἰλιάδι ἐπαλλήλοισιν ὄρουσαν, ἀντὶ τοῦ, κατὰ ἀλλήλων. (ῃερς. 217.) Μειλίγματα δὲ θυμοῦ, κρέα τινά. ἢ μαγδαλιὰ μειλίσσουσα κύνας. ἣν αὐτοὶ ὡς εἰκὸς προσδεχόμενοι ἐγρηγόρασι. τίς δὲ ἡ μαγδαλιὰ, ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. (ῃερς. 218.) Ὅρα δὲ καὶ ὅτι οὐ μόνον ἵπποι κρατερώνυχες, ὡς καὶ προδεδήλωται, ἀλλ' ἰδοὺ καὶ λύκοι ἐνταῦθα. Ἰστέον δὲ ὅτι ὁ κατὰ τοὺς ῥηθέντας λύκους καὶ λέοντας λόγος, (ῃερς. 213.) οἱ θελχθέντες φαρμάκοις οὐχ' ὁρμῶνται κατ' ἀνδρῶν ἀλλὰ περισαίνουσιν, αἰνίττεται μὲν, ὡς καὶ προεδηλώθη, τὴν 1.378 τρυφὴν παντὸς ἤθους ἀγρίου μαλθατικὴν εἶναι. ἔστι δὲ προσφυὴς καὶ ἐπὶ ἀνδρῶν οἳ φύσει ἄγριοι ὄντες ὅμως διὰ κέρδος προσποιοῦνται ἡμέρως ἔχειν καὶ σαίνειν τοὺς παρατυχόντας. (ῃερς. 2.) Ὅτι στάντες οἱ περὶ τὸν ῥηθέντα Εὐρύλοχον ἐν προθύροις Κίρκης ἔνδον ἄκουον ἀειδούσης ὀπὶ καλῇ, ἱστὸν ἐποιχομένης μέγαν ἄμβροτον, (ῃερς. 223.) οἷα θεάων λεπτά τε καὶ χαρίεντα καὶ ἀγλαὰ ἔργα πέλονται. ἔπαινος δὲ ταῦτα πέπλου καλοῦ. εὐγενὴς δὲ ἡ ἱστουργία ὡς καὶ ἡ Πηνελόπη δηλοῖ, καὶ ἡ Ἑλένη, καὶ ἡ Χρυσηῒς, καὶ ἡ Ἀνδρομάχη. γυναικεῖον δὲ καὶ τὸ ἐν τοῖς ἔργοις φιλῳδὸν, ὑποκλεπτομένου τοῦ πόνου τῇ ἀοιδῇ. ἡ μέντοι Ναυσικάα καὶ αἱ περὶ αὐτὴν οὐ πονοῦσαι ἀλλὰ μετὰ τὸ ἔργον ἔμελπον ἀνακαλούμεναι τὸ τῆς ψυχῆς ἡδόμενον. ὑποκατιὼν δὲ καὶ οὕτω φησὶν ὁ ποιητής· ἔνδον τις ἐποιχομένη μέγαν ἱστὸν καλὸν ἀοιδιάει. (ῃερς. 227.) δάπεδον δ' ἅπαν ἀμφιμέμυκε, τουτέστιν ἠχεῖ. καὶ ὡς ἀπὸ φωνῆς δὲ βοῶν ἡ λέξις τέτραπται. ἀλλαχοῦ δὲ, καὶ θύραι ἔμυκον. ἑτέρωθι δὲ, θύρατ' ἔβραχεν ὡς ὅτε ταῦρος. καὶ βροντὴν δέ τις μεμυκέναι φησὶ κατὰ ὁμοίαν μεταφορὰν ἢ καὶ ὀνοματοποιητικῶς. Περὶ δὲ τοῦ, ἱστὸν ἐποιχομένη, καὶ ἐν ἄλλοις δεδήλωται. (ῃερς. 227.) Τὸ δὲ καλὸν ἀοιδάειν λίγ' ἀείδειν μετ' ὀλίγα φησίν. ἀσύνηθες δὲ τὸ ἀοιδάειν. ἀείδειν γὰρ τὸ κοινόν. Ὅτι δὲ τὸ ᾄδειν ἐν τῷ ἐργάζεσθαι δεῖγμά ἐστι τοῦ ῥᾳδίως τὸ ἔργον ποιεῖν, ἔτι δὲ καὶ σὺν ἡδονῇ, κατὰ γὰρ Πλάτωνα τὸν φιλόσοφον οὐδὲν ζῷον λυπούμενον ᾄδει, ἐδήλωσε καὶ ὁ περὶ Παῤῥασίου τοῦ Ἐφεσίου ζωγράφου ἱστορήσας,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς οὐκ ἀηδῶς αὐτῷ τὰ κατὰ τέχνην ἐποιεῖτο ἀλλὰ ῥᾳδίως ὡς καὶ ᾄδειν γράφοντα. Δάπεδον δὲ οὐ γῆν ὕπαιθρον ἐνταῦθα δηλοῦν ἔοικεν, ἀλλὰ τὸ τοῦ δώματος ἐμβαδόν. ἐξ αὐτοῦ δὲ τὸ πᾶν δῶμα δηλοῦται, ἠχῆεν δηλαδὴ ὄν. (ηερς. 224.) Ὅτι Πολίτης κύριον ἀρχικὸς ἀνὴρ κήδιστος ἑτάρων ἦν κεδνότατός τε τῷ Ὀδυσσεῖ. (ηερς. 225.) ἔστι δὲ κήδιστος μὲν ὁ φίλτατος, οὗ μάλιστα κήδεταί τις. Κεδνότατος δὲ κατὰ τοὺς παλαιοὺς, ὁ φροντιστικώτατος, ὅ ἐστι σοφώτατος ἢ συνετώτατος. ἔστι δὲ καὶ ἐν Ἰλιάδι Πολίτης κύριον. (ηερς. 230.) Ὅτι φθεγξαμένων τῶν περὶ Ὀδυσσέα ἔξωθεν καὶ καλεσάντων ταχὺ ἐξελθοῦσα ἡ Κίρκη θύρας ὤϊξε φαεινὰς, καὶ κάλει. οἳ δ' ἅμα (ηερς. 231.) πάντες ἀϊδρείῃσιν ἕποντο. οὕτω γὰρ ἡ ἡδονὴ ἐφολκὸν εἰς ἣν ἀλληγορεῖται ἡ Κίρκη, ἅμα καλουμένη καὶ ὑπακούσασα καὶ εἰσδεχομένη τοὺς μὴ ἴδμονας. (ηερς. 232.) Εὐρύλοχος δέ φησιν ὑπέμεινε, τουτέστιν ἔμεινεν, οὐκ ἠκολούθησεν, ὀϊσσάμενος δόλον εἶναι, ὁποῖά τις ἴδρυς, ὠΐσσατο δὲ δόλον, διά τε τὸ αἶψα ἐξελθεῖν τὴν Κίρκην, καὶ τὸ καλέσαι δίχα ἐρωτήσεως, ἢ διὰ τὸ μόνην ὀφθῆναι, καὶ διὰ τὴν ἡμερότητα δέ φασι τῶν θηρίων. (ηερς. 230.) Τὸ δὲ ἐξελθοῦσα θύρας ὤϊξε, πρωθύστερόν ἐστιν. ὤφειλε γὰρ εἰπεῖν ὡς θύρας οἴξασα ἐξῆλθεν. (ηερς. 231.) Ἡ δὲ παραλήγουσα τῆς ἀϊδρείας διὰ διφθόγγου ἀεὶ γράφεται, διὰ τὴν κλίσιν τοῦ, ἴδρις ἴδρεως, ὡς ὄφεως. (ηερς. 233.) εἶτα διασκευάζων καὶ οἷος ἦν ὁ τῆς Κίρκης δόλος, ἐπάγει· εἷσεν δ' εἰσαγαγοῦσα κατὰ κλισμούς τε θρόνους τε. ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι χλωρὸν οἴνῳ Πραμνείῳ ἐκύκα. ἀνέμισγε δὲ σίτῳ (ηερς. 236.) φάρμακα λυγρά. ὃ ταυτόν ἐστι τῷ, κακὰ φάρμακα. ὧν ἐνταῦθα τέλος ἡ τῆς πατρίδος λήθη. φησὶ γοῦν· ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης. τοιοῦτον γὰρ ἡ ἡδονὴ, ἑαυτῆς μόνης ποιουμένη τὸν τρυφῶντα, τῶν δὲ σπουδαιοτέρων ἀπάγουσα. αὐτὰρ ἐπεί φησι δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα ῥάβδῳ πεπληγυῖα κατὰ συφεοῖσιν ἐέργνυ. ἤγουν καθείργνυεν ἐν μάνδραις χοίρων. (ηερς. 239.) εἶτα ὡς αὐτόχρημα τοιούτων γινομένων οἳ τὸν κυκεῶνα ἐκπίωσιν ἐπιφέρει· οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε καὶ δέμας, αὐτὰρ νοῦς ἦν ἔμπεδος ὡς τὸ πάρος περ. (ηερς. 241.) διὸ καὶ κλαίοντες ἐέρχατο οἷα νοοῦντες ὃ ἔπαθον. ἐπεὶ δὲ οὐ παράμονος ἡ ἡδονὴ, ἀλλ' ἐπὶ βραχὺ κολακευτικῶς δελεάσασα καὶ θέλξασα κατὰ φαντασίαν ἀγαθοῦ τινὸς, εἶτα ἐνάγει τοῖς χείροισι, καὶ οὐκέτι μετὰ τὸν κυκεῶνα καὶ τὴν ἀποχοίρωσιν (ηερς. 242.) ἡδέως εὐωχεῖ τοὺς μεταβληθέντας ἀλλὰ πρεπόντως ἀλόγοις φησί. τοῖσι δὲ Κίρκη παρ' ἄκυλον βάλανόν τ' ἔβαλε κρανείης ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν. εἰ μὲν οὖν καὶ τοὺς παρὰ τῇ Κίρκῃ λύκους καὶ τοὺς λέοντας ὁ κυκεὼν ὁ ῥηθεὶς μετεποίει, οὐκ ἔστιν ἐκ τοῦ ποιητοῦ γνῶναι. τοὺς δὲ ὡς (ηερς. 241.) ἐῤῥέθη χοίρους τὸ τοῦ κυκεῶνος πόμα ἐξ ἀνθρώπων ἐποίει. περὶ ὧν ἡ ἀλληγορία τοιαῦτα φησί. Κίρκη ἡ κατὰ τὰ γευστὰ ἡδονὴ, καὶ ἡ ἐκ τρυφῆς κατασάρκωσις. ἧπερ οἱ ἐμπελάσαντες ἐκθηριοῦνται μὲν οἷον τῇ ἀλογίᾳ. καὶ οὐ μόνον ἄλλως ἀλογίζονται πολυτρόπως, ἀλλὰ καὶ εἰς χοίρους μεταποιοῦνται χαμαιευνάδας, κάτω βρίθοντες καὶ ἀνακύπτειν οὐκ ἔχοντες. ὁ νοῦς μέντοι 1.379 αὐτοῖς οὐκ ἀπόλλυται, ἀλλὰ ζωπυρεῖται ὑποσμυχόμενος. διὸ μικρὸν ὅσον ὁ φιλόσοφος Ὀδυσσεὺς ἐλθὼν ἐπαναλήψεται τοὺς φίλους εἰς ἀνθρωπότητα, εἰ καὶ ἄλλως ἀϊστωθῆναι τῷ Εὐρυλόχῳ δοκοῦσι καὶ μὴ ἂν ἐκφανήσεσθαι. ὃς δὴ Ὀδυσσεὺς οὐδὲ τὴν ἀρχὴν εἰ παρῆν, εἴασεν ἂν μεταβολὴν ἐκείνους παθεῖν. καὶ εὑρήσει μὲν αὐτοὺς σιάλοις ἐοικότας ἐννεώροις, ἀποκαταστήσει δὲ εἰς τὸ πρὶν εἶδος, κατεξαναστὰς ἐμβριθῶς τῆς τρυφῆς Κίρκης ὡς ἐν τοῖς ἑξῆς φανήσεται. Ὅτι δὲ εἰς ἀλογίαν τινὰ ἡ Κίρκη ἀλληγορεῖται, δηλοῖ φανερῶς καὶ ὁ γράψας ὅτι οὓς οὐ προσορῶσιν αἱ Μοῦσαι, τούτους ποτῷ δηλήσατο Κίρκη, ὡς τῶν ἀμούσων ἀλογίστων ὄντων. (ηερς. 235.) Ἰστέον δὲ ὅτι καὶ βρωτὸν καθ' Ὅμηρον ὁ ῥηθεὶς κυκέων ἦν, ὡς δηλοῖ τὸ, βαλέει δ' ἐν φάρμακα σίτῳ. καὶ τὸ, ἀνέμισγε δὲ σίτῳ φάρμακα. καὶ ποτὸν δὲ ἦν ὁ αὐτὸς, ὡς δῆλον ἐκ τοῦ, ἐπεὶ δῶκέν τε καὶ ἔκπιον. (ηερς. 237.) ἤγουν ὅλον ἐξέπιον. καὶ, ὄφρα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πίοιμι. καὶ, ἔκπιον οὐδέ μ' ἔθελξε. καὶ, οὔτι πιὼν ἐθέλχθης. Τὸ δὲ κύκα, πρωτότυπόν ἐστιν ἐξ οὗ ὁ κυκεών. περὶ οὗ ἡ Ἰλιὰς δηλοῖ που ἐν τοῖς κατὰ τὸν Νέστορα, ἔνθα καὶ περὶ τυροῦ καὶ ἀλφίτων καὶ μέλιτος χλωροῦ (ῃερς. 235.) γέγραπται καὶ οἴνου Πραμνείου. ὃς οὐ μόνον παρὰ τὸ πραΰνειν μένος καὶ εἰς πρᾳότητα τὴν ψυχὴν ἄγειν οὕτω καλεῖται καὶ παρὰ τὸ εἰς παλαίωσιν παραμεῖναι καὶ μὴ μεταβαλεῖν, ἀλλὰ καὶ ἀπὸ Πραμνείου ἀμπέλου. ἔστι δέ φασι καὶ τοιαύτη ὡς καὶ Θασία καὶ μελίκηρις. καὶ διότι δὲ καὶ ἡδύς ἐστι. τῶν γὰρ οἴνων φησὶν οἱ μὲν καυστικοὶ, οἱ δὲ ἡδεῖς. (ῃερς. 234.) Ὁ δὲ τυρὸς κἀνταῦθα, ὡς καὶ ἐν τοῖς πρὸ τούτων, ἐκτείνει τὴν ἄρχουσαν. (ῃερς. 238.) Πεπληγέναι δὲ, οὐ μόνον τὸ πληγῆναι παθητικῶς, ἀλλὰ καὶ τὸ πλῆξαι, μέσου γὰρ παρακειμένου τὸ ῥῆμα. ῥάβδῳ γοῦν ἡ Κίρκη πεπληγυῖα ὅ ἐστι πλήξασα ἐποίησε τὰ ἑαυτῆς, χρωμένη ταύτῃ πρός τινα γοητείαν δι' ἐπαφῆς. Ὅλως δὲ αἱ θεῖαι ῥάβδοι ἐνεργοί φασι παρ' Ὁμήρῳ. Ποσειδῶν τε γὰρ σκοπανίῳ πλήξας τινὰ ἐνίησι μένος, καὶ Ἀθηνᾶ πλήττουσα ῥάβδῳ ἀλλοιοῖ τὸν Ὀδυσσέα, καὶ Ἑρμῆς χρώμενος αὐτῇ τοὺς μὲν θέλγει, τοὺς δὲκαὶ ὑπνώοντας ἐγείρει. Συφεὸς δὲ, ὁ σύας φέρων ἢ σύας πιαίνων. δῆλον δὲ ὅτι σῦς μὲν ἐκτείνει τὸ ¯υ καὶ περισπᾷ ὥσπερ καὶ δρῦς καὶ μῦς. συὸς δὲ καὶ τὰ ἐφεξῆς, συστέλλει τὴν ἄρχουσαν ὡς καὶ τὸ, δρυὸς καὶ μυός. (ῃερς. 239.) Τοῦ δὲ ἐέργνυσθαι ἡ παραγωγὴ ὁμοία τῇ τοῦ ζεύγνυσθαι καὶ τῶν ὁμοίων. ἔστι δὲ ποιητικὸν μὲν τὸ ἐέργνυσθαι, Ἀττικὸν δὲ τὸ εἴργνυσθαι καὶ καθείργνυσθαι. Ἡ δὲ τῶν συῶν φωνὴ κλαγγὴ ἐν τοῖς μετὰ ταῦτά που ῥηθήσεται, (ῃερς. 240.) χοίρειος δὲ φωνὴ καὶ ὁ γρυλλισμός. ὅθεν καὶ ὁ Πλούταρχος Γρύλλον ἔπλασέ τινα τῶν τοῦ Ὀδυσσέως ἑταίρων διαλεγόμενον τῷ Ὀδυσσεῖ. Τρίχες δὲ διαφέρουσιν ἐρίων. πρόβατον μὲν οὖν ἐρίῳ σκέπεται, καθὰ καί τινες τῶν αἰγῶν, σῦς δὲ καὶ τὰ τοιαῦτα τριχοφορεῖ. Τὸ δὲ νοῦς ἔμπεδος, κατηγορεῖ τῶν χοιροβίων εἴπερ τὸν νοῦν περισώζοντες, εἶτα τῇ κατὰ Κίρκην τρυφῇ γίνονται ἄλογοι. φασὶ δὲ οἱ παλαιοὶ καὶ ὡς οὐχ' ὁ σύμπας νοῦς τοῖς τοιούτοις περισώσεται, ἀλλ' ὁ κατὰ μόνον τὸ φιλάνθρωπον, διὸ καὶ σαίνουσιν. ὥσπερ καὶ οἱ δελφῖνες ἐξ ἀνθρώπων γενόμενοι φιλάνορα οὐκ ἔλιπον βιοτὰν κατὰ Πίνδαρον. (ῃερς. 242.) Ἄκυλον δὲ τὸν τῆς πρίνου φασὶ λέγει καρπὸν, ὡς δηλοῖ καὶ ὁ Ἀθήναιος ἐν τῷ, ὁ συκάμινος, συκαμίνους, ὁρᾷς, φέρει. ὁ πρίνος, ἀκύλους. ὁ κόμαρος, μιμαίκυλα. Τὸ δὲ βάλανον ἔβαλεν, ἔχει τι εὐγενοῦς παρηχήσεως. καὶ ἄλλως δὲ εἰπεῖν τὸ, βάλανον παρέβαλε ταυτόν ἐστι τῷ, παρέθηκεν. ὅθεν, ὡς πολλαχοῦ φαίνεται, καὶ τὸ ἰδιωτικῶς λεγόμενον παράβλημα λέγεται. Βάλανοι δὲ οὐ δρυῶν μόνον, ἀλλὰ καὶ φοινίκων καθ' ὁμοιότητα. οὕτω δὲ καὶ τὸ τοῦ αἰδοίου παρά τισιν ἄκρον. καὶ τοῖς Ἀσκληπιάδαις δὲ φαρμάκου τινὸς τοιοῦτόν ἐστιν ὄνομα. καὶ βάλανοι δὲ Διὸς τὰ κάστανα κατά τινας τῶν παλαιῶν. Κράνεια δὲ προπαροξυτόνως τὸ φυτόν. ὁ δὲ καρπὸς αὐτῆς σεσίγηται μὲν Ὁμήρῳ διὰ τὸ δυσεκφώνητον, καλεῖται δέ φασι πίτταξις. οἱ δὲ βάρβιλον φασίν. οἱ δὲ, μάραον. (ῃερς. 243.) Τὸ δὲ χαμαιευνάδες συστέλλει τὴν μα¯ι συλλαβὴν ὡς καὶ ἐν Ἰλιάδι τὸ, ἀνιπτόποδες χαμαιεῦναι. καὶ τὴν αἰτίαν λέγουσιν οἱ τῆς γραμματικῆς ἐξηγηταί. εἰσὶ δὲ χαμαιευνάδες αἱ κατά τι ἴδιον, ἐπὶ βόθρου ὀρύσσουσαι καὶ κοιμώμεναι. ἴσως δὲ καὶ αἱ κατὰ λάκκων ἐπίτηδες ἐγκλειόμεναι. Τὸ δὲ αἰὲν ἔδουσι, σιάλων ἐστὶν ἴδιον. καὶ τὸ τῶν συῶν δὲ δηλοῖ μοχθηρὸν καὶ βορόν. (ῃερς. 245.) Ὅτι λυπηρὰν ἀγγελίαν δηλοῖ τὸ, ὁ δεῖνα αἶψα ἦλθεν ἀγγελίην ἑτάρων ἐρέων καὶ ἀδευκέα πότμον, ἤγουν τύχην, δυστυχίαν. οὐ γὰρ ἀεὶ πότμος ἢ μόρος ὁ θάνατος. ὥσπερ οὐδὲ ἐνταῦθα. περὶ ζώντων γὰρ ἡ λέξις ἐῤῥέθη. γράφουσι δὲ οἱ ἐξηγηταὶ νῦν πότμον ἀδευκέα τὸν ἀνιστόρητον, ἤγουν ἀνήκουστον, ἢ ὃν οὐκ ἄν 1.380 τις ἐξ ἱστορίας δέξηται. κοινότερον μέντοι ἀδευκὴς ὁ ἀπροσδόκητος ἀπὸ τοῦ δέκω, ὃν οὐκ ἄν τις προσεδόκησεν. (ῃερς. 246.) Ὅτι μεγάλην ἐνδείκνυται λύπην τὸ, οὐδέ τι ἐκφάσθαι δύνατο ἔπος ἱέμενος περ κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος. ἐν δέ οἱ ὄσσε δακρυόφιν πίμπλαντο, γόον δ' ᾠΐετο θυμός. (ῃερς. 247.) λέγει δὲ ἐκφάσθαι τὸ ἐξειπεῖν λόγῳ προφορικῷ. (ῃερς. 249.) Τοῦ δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βεβολῆσθαι ἤγουν βεβλῆσθαι ἡ χρῆσις καὶ ἐν Ἰλιάδι. κεῖται δ' ἐν τούτοις καὶ ἀγάσασθαι, οὐ τὸ ζηλοτυπῆσαι, ὡς πρὸ τούτων, ἀλλ' ἁπλῶς τὸ μέμψασθαι. φησὶ γάρ· ἀλλ' ὅτε δή μιν πάντες ἀγασσάμεθα, τότε δὴ εἶπε τάδε. (ηερς. 248.) Τὸ δὲ γόον ᾠΐετο θυμὸς, ἀντὶ τοῦ νόμισιν ἐδίδου καὶ ἐφάνταζε θρήνου δήλωσιν. (ηερς. 251.) Ὅτι ἐπαινοῦνται τῆς εὐρυθμίας τὰ δύο ἔπη ταῦτα, ᾔομεν ὡς ἐκέλευες ἀνὰ δρυμὰ φαίδιμ' Ὀδυσσεῦ. εὕρομεν ἐν βήσσησι τετυγμένα δώματα καλά, τὰ τῆς Κίρκης δηλαδή. καλὸν δ' ἐν τούτοις καὶ ἡ ἀσύνδετος εἰσ
βολή. Τοῦ δὲ ᾔομεν ἐνεστὼς ἐΐω. οὗ παρατατικὸς, ἤϊον. πληθυντικὸν ἠΐομεν. καὶ κατὰ συναίρεσιν, ᾔομεν. ἄλλως γάρ φασιν οὐδέ ποτε ἐν παρωχημένῳ κατάρχει μὲν τὸ ἦτα μόνον, ἐπάγεται δὲ τὸ ¯ο. διὸ καὶ ἐν τῷ ἑορτάζω δέον ὂν εἶναι τὸν παρατατικὸν ἠόρταζον, οὐ γίνεται οὕτως, ἀλλ' ἀντ' αὐτοῦ κατὰ μετάθεσιν χρονικὴν φαμὲν ἑώρταζον. καὶ μὴν τοῦτο ἔχει καὶ ἄλλως εὔλογον τὴν ἔνδον αὔξησιν. ἑορτὴ γὰρ, δι' ἧς ἑὰ ὅ ἐστιν ἀγαθὰ ὄρνυται. ὅθεν ἐν τῷ ἑώρταζον ἡ αὔξησις τοῦ ὄρνυσθαί ἐστιν, οὐ μὴν τοῦ ἑὰ, ἵνα φυλάττηται λείψανον τοῦ τοιούτου πρωτοτύπου, ἤγουν τοῦ ἑά. ὅ περ ἔν τε ἄλλοις παρατηρεῖται καὶ ἐν τῷ, ἔω εἰμί. ἴσως δὲ καὶ ἐν τῷ, γῆ γήδιον. καὶ τοιοῦτον μὲν τοῦτο. Τοῦ δὲ ἤϊον ἡ χρῆσις καὶ μετ' ὀλίγα ἐν τῷ, παρὰ νηὸς ἀνήϊον ἠδὲ θαλάσσης, καὶ πρὸ τούτων, παρὰ νηὸς ἀνήϊον ἐς περιωπήν. (ηερς. 259.) Ὅτι ἐπὶ ψηλαφωμένων μὲν μὴ φαινομένων δὲ, καλὸν εἰπεῖν τὸ, οἵδ' ἅμ' ἀϊστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν ἐξεφάνη. δηρὸν δὲ καθήμενος ἐσκοπίαζον. (ηερς. 261.) Ἀνδρείου δὲ ὁπλίτου ἐνδεικτικὸν τὸ, αὐτὰρ ἐγὼ περὶ μὲν ξίφος ἀργυρόηλον ὤμοιϊν βαλόμην μέγα χάλκεον. (ηερς. 262.) ἀμφὶ δὲ τόξα. τουτέστι τόξον ὃ πολλαχοῦ πληθύνει Ὅμηρος, ὥς που καὶ τὰ ἅρματα καὶ τὰ πρόσωπα. χαίρουσι δὲ Ἀττικοὶ τῷ τοιούτῳ σχήματι, παρ' οἷς καὶ ἀφύαι μὲν πληθυντικῶς τὸ ἰχθύδιον, σπανιώτατα δὲ ἀφύη, ὡς παρασημειοῦνται οἱ παλαιοί. (ηερς. 263.) Ὅτι ὥσπερ ὁδὸν ἡγεμονεῦσαι πολλαχοῦ, οὕτω καὶ νῦν αὐτὴν ὁδὸν ἡγήσασθαι φησὶν ἀντὶ τοῦ εἰς ὁδόν. Ὅτι ἐνδιαθέτου ἱκετείας τὸ, αὐτὰρ (ηερς. 264.) ὅ γ' ἀμφοτέρῃσι λαβὼν ἐλίσσετο γούνων. ἔστι δὲ λαβεῖν γούνων καὶ νῦν τὸ ἅψασθαι. (ηερς. 266.) Ὅτι δυσελπιστία ὁδοῦ τὸ, μή μ' ἄγε κεῖσε ἀέκοντα διοτρεφές, ἀλλὰ λίπ' αὐτοῦ. ἤγουν ὧδε· οἶδα γὰρ ὡς οὔτ' αὐτὸς ἐλεύσεαι ἤτοι ἐπανέλθῃς, οὔ τέ τιν' ἄλλον ἄξεις σῶν ἑτάρων. ἀλλὰ ξὺν τοῖσδεσι θᾶσσον φεύγωμεν, ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ. (ηερς. 271.) ὁ δὲ τοῦτο παρ' ἀνδρὸς ἀγεννοῦς ἀκούσας εἴποι ἂν προσφυῶς τὸ, ἤτοι μὲν σὺ μέν' αὐτοῦ τῷδ' ἐνὶ χώρῳ ἔσθων καὶ πίνων. αὐτὰρ ἐγὼν εἶμι, κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη. Καὶ ὅρα τὸ μένε αὐτοῦ τῷδ' ἐνὶ χώρῳ. ἐφερμηνευτικὸν γὰρ τοῦ μένε αὐτοῦ, τὸ, τῷδ' ἐνὶ χώρῳ. (ηερς. 275.) Ὅτι ἱερὰς βήσσας τὰς περὶ τὴν νῆσον τῆς Κίρκης λέγει, διὰ τὸ ἀστίβητον ὥς φασιν οἱ παλαιοὶ, ὥς που καὶ πρὸ τούτων ἱερὸν ἔφη ἄλσος Ἀθηνᾶς τὸ τοῖς πολλοῖς ἀπρόσβατον. (ηερς. 276.) λέγει δὲ καὶ πολυφάρμακον τὴν Κίρκην, ὁποία ἦν καὶ ἡ παλαιὰ Μήδεια καὶ ἡ Κροκοδίκη. (ηερς. 277.) Ὅτι πιθανῶς ὁ ποιητὴς ἱστορῶν μὴ καὶ τὸν Ὀδυσσέα ὑπὸ τῆς πολυφαρμάκου θελχθῆναι Κίρκης πλάττει τὸν Ἑρμῆν συμβαλλόμενον πρὸς τοῦτο τῷ Ὀδυσσεῖ, ὡς μὴ ἂν δυνατὸν ὂν ἄλλως ἐκφυγεῖν αὐτὸν τὸ ἐκ τῆς Κίρκης κακόν. φησὶ γοῦν Ὀδυσσεὺς ὅτι ὁπηνίκα ἔμελλον ἐς μέγα δῶμα ἵξεσθαι Κίρκης, ἔνθα μοι Ἑρμείας χρυσόῤῥαπις ἀντιβόλησεν ἐρχομένῳ πρὸς δῶμα, νεηνίῃ ἀνδρὶ ἐοικὼς (ηερς. 279.) πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη. ὃ καὶ ἐν Ἰλιάδι ἔγραψεν ἀπαραλλάκτως περὶ τοῦ αὐτοῦ Ἑρμοῦ. ἔν τ' ἄρα μοι φῦ χερί. καὶ εἶπε· πῆ δ' αὖτως δύστηνε (ηερς. 281.) δι' ἄκριας ἤγουν κατὰ τὰς ἄκρας τῶν ὀρῶν, ὡς καὶ ἀλλαχοῦ κεῖται, ἔρχεαι οἶος, χώρου ἄϊδρις ἐών. ἕταροι δέ τοι ἐν Κίρκης ἔρχαται ὥστε σύες πυκινοὺς κευθμῶνας ἔχοντες. ἢ τοὺς λυσόμενος δεῦρο ἔρχεαι; οὐδὲ σέ φημι αὐτὸν νοστήσειν. μενέεις δὲ σύ γ' ἔνθα περ ἄλλοι. ἄλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω. (ηερς. 287.) τῆ, τουτέστι λάβε τόδε φάρμακον ἐσθλὸν, ἔχων, ἐς δώματα Κίρκης ἔρχευ. ὃ κέν τοι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κρατὸς ἀλάλκησι κακὸν ἦμαρ. πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης. τεύξει τοι κυνεῶ, βαλέει δ' ἐν φάρμακα σίτῳ. ἀλλ' οὐδ' ὣς θέλξαι 1.381 σε δυνήσεται. οὐ γὰρ ἐάσει φάρμακον ἐσθλὸν ὅ τοι δώσω. ἐρέω δὲ ἕκαστα. ὁππότε κεν Κίρκη σ' ἐλάσῃ περιμήκεϊ ῥάβδῳ, δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ, Κίρκῃ ἐπαΐξαι ὥστε κτάμεναι μενεαίνων. ἡ δέ σ' ὑποδδείσασα κελήσεται εὐνηθῆναι. ἔνθα σὺ μηκέτ' ἔπειτ' ἀπανήνασθαι θεοῦ εὐνὴν, ὄφρα κέ τοι λύσηθ' ἑταίρους αὐτόν τε κομίσῃ, ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι, μή τι τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο, μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θείη. ὣς ἄρα φωνήσας πόρε φάρμακον ἀργειφόντης ἐκ γαίης ἐρύσας. καί μοι φύσιν αὐτοῦ ἔδειξε. ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ ἴκελον ἄνθος. μῶλυ δέ μιν καλέουσι θεοί. χαλεπὸν δέ τ' ὀρύσσειν ἀνδράσι γε θνητοῖσι. θεοὶ δέ τε πάντα δύνανται. ὅπερ ἑνικῶς λεχθὲν ὀρθῶς εὐσεβεῖται, ἵνα τις εἴπῃ, (ἡρς. 306.) θεὸς δέ τε πάντα δύναται. (ἡρς. 277.) Ἡ δὲ ἀλληγορία ἐν τούτοις Ἑρμῆν μὲν οἶδε συνήθως τὸν λόγον, μῶλυ δὲ τὴν παιδείαν, ὡς ἐκ μώλου ὅ ἐστι κακοπαθείας περιγινομένην. οὗ μώλυος ἡ μὲν ῥίζα, μέλαινα διὰ τὸ οἷον σκοτεινὸν καὶ δυσόρατον τοῦ τέλους τῶν ἐναρχομένων τῆς παιδείας, καὶ διὰ τοῦτο δυσέντευκτον καὶ οὐδὲ ἡδύ. διὸ καὶ Ἰσοκράτης πικρὰν ἔφη τὴν ῥίζαν αὐτῆς. τὸ δέ γε μώλυος ἄνθος λευκὸν κατὰ γάλα διὰ τὴν τοῦ τέλους φαιδρότητα καὶ λαμπρότητα, ἤδη δὲ καὶ τὸ ἡδὺ καὶ τρόφιμον. ὅθεν ὁ αὐτὸς Ἰσοκράτης τοὺς καρποὺς τῆς παιδείας εἰ καὶ μὴ γάλακτι ἰκέλους, ἀλλὰ γλυκεῖς ἔφη διὰ τὸ καὶ τὴν ῥίζαν προϋποθέσθαι πικράν. τοῦτο τὸ μῶλυ ὅ περ Ἑρμῆς ἐκφαίνει λογικαῖς μεθόδοις οὐκ ἔγνωσται μὲν ἁπλῶς ἀνθρώποις, ἔστι γὰρ θεόσδοτον ἀγαθόν. λαβὼν δὲ αὐτὸ ἐξ Ἑρμοῦ ὁ λόγιος Ὀδυσσεὺς συγγίνεται τῇ ἡδονῇ, ταχὺ περὶ αὐτὸν ἐλθούσῃ κατὰ τὸ ἑαυτῆς ἔθος διὰ τὸ τῆς κακίας εὔληπτον. οὐ περιγίνεται δὲ αὐτοῦ ἐκείνη καθὰ καὶ τῶν ἑταίρων, οὐ γὰρ ἀϊδρείῃσι κατ' ἐκείνους ἕπεται. συνὼν δὲ καὶ χρώμενος ἐπιστημόνως αὐτῇ κατὰ λόγον ὀρθὸν αὐτός τε ἄνθρωπος μένει, καὶ ἐκείνους λύεται σώζων. οὐ μόνον γὰρ ἐν χορείαις οὖσα ἥγε σώφρων οὐδὲν αἰσχρὸν πείσεται, ἀλλὰ καὶ ὁ φιλοσοφῶν ἐν ἡδοναῖς ὢν ἄχραντος διαμενεῖ. ἐπισείσει γὰρ τῇ καθ' ἡδονὴν Κίρκῃ ξίφος τὸν ἐμβριθῆ καὶ τμητικὸν τῆς κακίας λόγον. ἡ δὲ ὑποπτήξει, καὶ ὀμεῖται μηδὲν πῆμα κακὸν βουλεύσειν αὐτῷ, πεπυκασμένῳ καὶ καταφράκτῳ ἄλλως ὄντι. καὶ οὐκ ἀφελῶς ἀπογυμνωθέντα τοῦ ἀλληγορηθέντος ξίφους, κακὸν καὶ ἀνήνορα θήσει. ἀνιόντι δὲ τῷ Ὀδυσσεῖ ὁ Ἑρμῆς συναντᾷ, τουτέστιν ἀρθέντι πρὸς ἀκρώρειαν. ὅ ἐστιν ἄνω γενομένῳ τῶν περὶ γῆν, ὃν τρόπον καὶ ὁ Μίνως περὶ ὄρος ἐν Κρήτῃ ὀαριστὴς γίνεται τοῦ Διός. καὶ Ἡσίοδος δὲ ἐπὶ ὄρους τελεῖται τὰ τῶν Μουσῶν. Παρὰ πόδας δὲ τὸ μῶλυ εὑρίσκει Ἑρμῆς, καὶ ἐπικύψας αὐτόθεν λαμβάνει ὁποῖά τι εὐπόριστον φάρμακον, ἐπεὶ οὐχ' ἑνί τινι τόπῳ τὰ τῆς παιδείας περιγράφεται, ἀλλ' ὅποι περ ἂν γένοιτό τις, ἔστιν εὑρεῖν τὸ καλὸν τοῦτο φυτόν. ὥς που καὶ ὁ σοφὸς Θεμίστιος ἐπέστησε. χαλεπὸν δὲ ὀρύσσειν τὸ μῶλυ καὶ ἐκσπᾶν μέχρι πέρατος ῥίζης, ἐπεὶ παιδείας ἄκρος ὥσπερ καὶ ἀρετῆς, δυσχερὲς ἐξευρεῖν. μυθικῶς μέντοι, χαλεπόν ἐστιν ἡ τούτου ὀρυγὴ, ἐπειδὴ λόγος φέρεται, ἑλκόμενον αὐτὸ, θάνατον πρὸς τῷ τέλει τῆς ῥίζης ἐπιφέρειν τῷ ἀνασπῶντι, ὁποῖόν τι καὶ περὶ μανδραγόρου λέγεται. δῆλον δὲ καὶ ὅτι ἔγνωσται τοῖς Ἀσκληπιάδαις βοτάνη τὸ μῶλυ. εἰ δὲ καὶ ἀντικαθίσταται αὐτὸ Κιρκαίοις φαρμάκοις εἰδεῖεν ἂν ἐκεῖνοι. φασὶ δὲ οἱ παλαιοὶ καὶ μῶλυ λέγεσθαι παρὰ τὸ μωλύειν ὅ ἐστιν ἀφανίζειν τὰ φάρμακα. Ἀλέξανδρος δὲ ὁ Πάφιος μυθολογεῖ, Πικόλοον ἕνα τῶν Γιγάντων φυγόντα τὸν κατὰ Διὸς πόλεμον τὴν τῆς Κίρκης νῆσον καταλαβεῖν, καὶ πειρᾶσθαι ἐκβαλεῖν αὐτήν. τὸν πατέρα δὲ Ἥλιον ὑπερασπίζοντα τῆς θυγατρὸς ἀνελεῖν αὐτὸν, καὶ τοῦ αἵματος ῥυέντος εἰς γῆν φῦναι βοτάνην, καὶ κληθῆναι αὐτὴν μῶλυ διὰ τὸν μῶλον ἤτοι πόλεμον ἐν ᾧ ἔπεσεν ὁ ῥηθεὶς Γίγας. εἶναι δὲ αὐτῷ ἄνθος ἴκελον γάλακτι διὰ τὸν ἀνελόντα λευκὸν Ἥλιον, ῥίζαν δὲ μέλαιναν διὰ τὸ τοῦ Γίγαντος μέλαν αἷμα, ἢ καὶ διὰ τὸ τὴν Κίρκην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φοβηθεῖσαν ὠχριάσαι. οὐ λέγει δὲ ὁ ποιητὴς καὶ πῶς οἱ ἄνθρωποι καλοῦσι τὸ μῶλυ, ἐπειδὴ ἄγνωστόν ἐστιν αὐτοῖς. διὸ καὶ ἄκλιτον καὶ οὐ διώνυμον κατὰ τὸν Βριάρεών τε καὶ Αἰγαίωνα καὶ κατὰ τὴν χαλκίδα καὶ κύμινδιν, τὰ ἐν Ἰλιάδι κείμενα. καὶ τοιαῦτα μὲν τὰ κατὰ τὸ μῶλυ, οὗ τὸ ἄνθος ἐσχεδιάσθαι ὑπὸ Ἑρμοῦ δοκεῖ ὡς ἂν γνωρισθείη τῷ Ὀδυσσεῖ τότε, εἰ μή που τυχὸν καὶ ἔαρ ἦν τηνικαῦτα ἡ ἀνθηφόρος ὥρα. Χαιρήμων οὖν φασὶν ὁ τὸν κισσὸν χορῶν εἰπὼν ἐραστὴν κοινῶς μὲν τὰ ἄνθη ἔαρος τέκνα ἐκάλεσεν. ἰδίως δὲ τὰ ῥόδα ὀξυφεγγῆ καὶ ἔαρος τιθηνήματα. Ἔνθα ὅρα τὸ ὀξυφεγγῆ χρήσιμον ὂν εἰς τὸ νοῆσαι τοὔνομα τῆς ὀξείας βαφῆς. (ῃερς. 277.) Ἑρμῆς δὲ χρυσόῤῥαπις ἢ ὁ χρυσόῤῥαβδος, ὡς καὶ προδεδήλωται, ἢ ὁ χρυσᾶς 1.382
ῥάπιδας ἔχων ὅ ἐστιν ὑποδήματα κατὰ τοὺς παλαιούς. ἐξ ὧν καὶ αἱ κρηπίδες παράγονται. (ῃερς. 279.) Τίς δὲ ἡ ὑπήνη καὶ ἡ ἥβη, ἐδηλώθη ἐν ἄλλοις. ὥσπερ καὶ τὸ ἀντιβολεῖν ὅ ἐστι συναντᾶν ὅπερ οἱ μεθ' Ὅμηρον ἐπὶ παρακλήσεως τιθέασιν. (ῃερς. 277.) Ἑρμηνεία δὲ ὑπηνήτου παρὰ Δημοσθένει τῷ παραφραστῇ αὕτη. Ἑρμῆς τῷ Ὀδυσσεῖ ἐπιτυγχάνει, νεανίσκῳ προσεοικὼς, ἄρτι ὑποπιμπλαμένῳ γενείου. ὅπερ οἱ λατινοήθεις μεθοδεύσαντες ἀεὶ ἔχειν ὡς διὰ βίου ὑπηνῆται εἶναι, βιάζονται τὸν πώγωνα τῇ συνεχεῖ ἐν χρῷ κουρᾷ, δοκεῖν πάντοτε ἄρτι γενειάσκειν. καὶ αὐτοὶ μὲν ἀτιμούσθωσαν. (ῃερς. 280.) Κεῖται δ' ἐν τούτοις καὶ τὸ ἐξονομάζειν ἀντὶ τοῦ ἁπλῶς πλατικώτερον ὁμιλεῖν καὶ μάλιστα ἐφεξῆς ἐν τοῖς περὶ Κίρκης. ἄλλως γὰρ οὔτε ὁ Ἑρμῆς ἐξ ὀνόματος τὸν Ὀδυσσέα καλεῖ, οὔτε μὴν ἐν τοῖς παροῦσιν ἡ Κίρκη. αὐτὴ γὰρ ὕστερον ἐπιγνοῦσα ἐρεῖ θαυμαστικώτερον, ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος. (ῃερς. 281.) Τὸ δὲ δι' ἄκριας ἔρχεαι οἶος, ὅ ἐστι μόνος, ἑρμηνείαν τινὰ ὑποβάλλει τοῦ, ὄρεσιν οἰοπόλος. ἔνθα δηλαδὴ μόνος τις ἀναστρέφεται διὰ τὸ ἐρημάζον τοῦ τόπου. (ῃερς. 282.) Τὸ δὲ χώρου ἄϊδρις ἐὼν ἀϊδρείαν τινὰ προσμαρτύρεται καὶ τῷ Ὀδυσσεῖ, δι' ἣν ἔπαθε ἄν τι μὴ θελητὸν, εἰ μὴ ὁ Ἑρμῆς φροντίδα ἔθετο αὐτοῦ τιμῶν τὸν σπουδαῖον καὶ αὐτὸς ὡς λόγιος καθὰ καὶ ἡ Ἀθηνᾶ, ἣ καὶ εἰποῦσα ὡς οὐ δύναμαί σε προλιπεῖν οὕνεκα ἐπήτης ἐσσὶ, βαρυτόνως, ἢ καὶ ἐπητὴς ὀξυτόνως, τουτέστι λόγιος. ὅπου γε καὶ ἄλλως μετῆν τῆς ὁδοῦ ταύτης κατά τι καὶ τῷ Ἑρμῇ, ὃς εἶπέ ποτε τῇ Κίρκῃ, ἐλεύσεσθαι αὐτῇ τὸν Ὀδυσσέα, ὥς φησιν αὐτὴ ἐκείνη ἐν τοῖς ἑξῆς. Τὸ δὲ ἐν Κίρκης ἔρχαται, Ἀττικὴν ἔχει ἔλλειψιν, κεῖται γὰρ ἀντὶ τοῦ, ἐν δώμασι Κίρκης καθειργμένοι εἰσίν. Ἰωνικὸν δὲ τὸ ἔρχαται καθὰ καὶ πρὸ ὀλίγου τὸ ἔρχατο, τοῦτο μὲν ἀπὸ τοῦ εἶρκται παθητικοῦ παρακειμένου, ἐκεῖνο δὲ, ἀπὸ τοῦ εἶρκτο ὑπερσυντελίκου. πρὸς ὅπερ ὅμοιον καὶ τὸ, εἵλικτο εἰλίχατο. ὡς Ἡρόδοτος εἰλίχατο τουτέστι εἱλιγμένοι ἦσαν μίτραις. ὅ περ οὐκ ἀεὶ πολεμικὸν σκεῦος δηλοῖ ἀλλὰ καί τι περίθεμα κεφαλῆς, ὡς δηλοῖ παρὰ τῷ αὐτῷ τὸ, ἀντὶ πίλων μιτροφόροι ἦσαν. (ῃερς. 283.) Τὸ δὲ ὥστε σύες συμβάλλεταί τι πρὸς τὴν πρὸ βραχέων ῥηθεῖσαν ἀλληγορίαν, οἷα τῶν περιπεσόντων τῇ καθ' ἡδονὴν Κίρκῃ, μὴ ἄντικρυς γινομένων συῶν, ἀλλ' ὥστε ἤγουν ὡσανεὶ συῶν διὰ τὸ χοιρῶδες τοῦ βίου. Πυκινοὶ δὲ κευθμῶνες περιφραστικῶς οἱ συφεοὶ λέγονται. (ῃερς. 286.) Τὸ δὲ ἐκλύσομαι ἠδὲ σαώσω ὡς ἐπὶ αἰχμαλωσίας ἐῤῥέθη. διὸ καὶ λύτρα καὶ σῶστρα τῷ Ἑρμῇ ὁ Ὀδυσσεὺς ὀφείλει μὴ αἰχμαλωτισθεὶς τῇ Κίρκῃ δι' ἡδονῆς. καὶ ἄλλως δὲ ὥσπερ ἐκ δεσμῶν λύεταί τις, οὕτω καὶ κακῶν ἐνταῦθα λύεται τὸν Ὀδυσσέα ὁ Ἑρμῆς. ὥσπερ δὲ διχῶς λέγεται ὡς δεδήλωται τὸ νήχειν καὶ νήχεσθαι καὶ τὸ ἐκέρασαν καὶ ἐκεράσατο, οὕτω καὶ τὸ λύειν ἐνταῦθα καὶ λύεσθαι. οἷον, λῦσον ἵνα ὀφθαλμοῖσιν ἴδω ἑτάρους. καὶ, ὄφρα λύσῃ ἑτάρους. καὶ, ἄγε δὴ κακῶν ἐκλύσομαι. καὶ, λυσόμενος δεῦρ' ἔρχεαι. Φάρμακον δὲ ἐσθλὸν τὸ τοῦ Ἑρμοῦ δὶς ἐν τούτοις κεῖται πρὸς διαστολὴν τῶν τῆς Κίρκης, ἃ λυγρὰ καὶ κακὰ ὄντα τοὺς προσιεμένους μετέβαλλεν εἰς θηρία. (ῃερς. 288.) Τὸ δὲ κρατὸς ἀπαλάλκη κακὸν ἦμαρ, χρήσιμον καὶ αὐτὸ εἰς ἀλληγορίαν, ὡς μὴ σωμάτων ἀλλοιουμένων τοῖς περὶ τὴν Κίρκην, ἀλλὰ τοῦ κατὰ κεφαλὴν λογιστικοῦ. ἄλλως μέντοι διὰ τῆς κρατὸς ὁ πᾶς δηλοῦται ἄνθρωπος. (ῃερς. 289.) Τὸ δὲ πάντα δέ τοι ἐρέω


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀλοφώϊα δήνεα Κίρκης, ὃ μετ' ὀλίγα γοργότερον ἐρεῖ, ἐρέω δὲ ἕκαστα, παρῴδηται ἐκ τοῦ, πάντα δέ τοι ἐρέω ὀλοφώϊα τοῖο γέροντος, ὅπερ ἐν τῇ ¯δ ῥαψῳδίᾳ κεῖται. (ῃερς. 290.) Τὸ δὲ κυκεῶ ἀποκέκοπται ὁμοίως τῷ, ἱδρῶτα ἱδρῶ καὶ τοῖς τοιούτοις. (ῃερς. 291.) Τὸ δὲ θέλξαι καὶ ἐνταῦθα βλάβην τινὰ δηλοῖ, τὴν ἀποθηρίωσιν γὰρ, ὡς καὶ μετ' ὀλίγα τὸ, οὐδέ μ' ἔθελξε, καὶ, οὔτι πιὼν ἐθέλχθης. Ἐλάσαι δὲ ῥάβδῳ τὸ πλῆξαι ὡς καὶ ἐν ἄλλοις μυριαχοῦ. (ῃερς. 293.) Περιμήκης δὲ κατ' ἀλληγορίαν ἡ τῆς Κίρκης ῥάβδος διὰ τὸ μὴ συνεσταλμένως ζῆν τοὺς τρυφῶντας. ἀρετῆς γὰρ τοῦτό γε. (ῃερς. 294.) Ξίφος δέ φασιν ἐκφοβεῖ τὴν Κίρκην, ἢ ὡς δαιμόνιον οὖσαν μακροχρόνιον μὲν, θνητὸν δὲ ὅμως καὶ σωματοειδὲς καὶ πάθει δειλίας ἁλώσιμον, ἢ κατά τινα φυσικὴν ἰδιότητα. τῶν τινὰ γὰρ δαιμονίων, ὡς λόγος, ὕλας τινὰς πτοοῦνται. ἡ γοῦν ἴασπις κατὰ τὸν περιηγητὴν Διονύσιον ἐχθρὰ ἐμπούσαις καὶ ἄλλοις εἰδώλοις. καὶ τὰς Ἅιδου δὲ ψυχὰς ξίφει Ὀδυσσεὺς ἐκφοβῶν ἐπέχει τῆς ἐπὶ τὸ αἷμα ὁρμῆς. (ῃερς. 296.) Τοῦ δὲ κελήσεται ἡ κλίσις κατὰ τὴν τοῦ θελῶ θελήσω καὶ μελῶ μελήσω καὶ τῶν ὁμοίων. (ῃερς. 301.) Τὸ δὲ ἀνήνορα δηλοῖ μὲν τὸν ἄνανδρον, ἀντίκειται δὲ πρὸς τὸν εὐήνορα τε καὶ ἀγήνορα. ταυτὸν δὲ ἐνταῦθα τὸ κακὸν καὶ τὸ ἀνήνορα. (ῃερς. 307.) Σημείωσαι δ' ἐν τούτοις καὶ ὡς οὐκ ἐκ Διὸς ὁ Ἑρμῆς ἐλθὼν ἀλλ' 1.383 οἴκοθεν ὁρμηθεὶς ὠφελεῖ τὸν Ὀδυσσέα. εἶτα ἀπέβη πρὸς μακρὸν Ὄλυμπον, ὅθεν δηλαδὴ καὶ ἦλθεν οὐράνιον αὐτὸς ὢν ἀγαθόν. (ῃερς. 314.) Ὅτι πολλὴ μὲν ἡ τῆς Κίρκης καὶ πρὸς τὸν Ὀδυσσέα κολακεία τὸν τῷ Ἑρμῇ φίλον, ἀνύει δὲ ὅμως ἐκείνη οὐδὲν, ἀντιπράττοντος ταῖς κατ' αὐτὴν φαρμακείας τοῦ μώλυος. φησὶ γὰρ, ὡς ταχὺ ἐξελθοῦσα ἐκάλει καθὰ πρὸ αὐτοῦ καὶ τοὺς φίλους. αὐτὰρ ἐγὼν ἑπόμην ἀκαχήμενος ἦτορ, εἷσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου καλοῦ δαιδαλέου. ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν. τεῦξε δέ μοι κυκεῶ χρυσέῳ δέπαϊ ὄφρα πίοιμι. ἐν δέ τε φάρμακον ἧκε κακὰ φρονέουσ' ἐνὶ θυμῷ. αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον οὐδέ μ' ἔθελξε, ῥάβδῳ πεπληγυῖα, ἔφη· ἔρχεο νῦν συφεόνδε μετ' ἄλλων λέξαι ἑταίρων. (ῃερς. 321.) καὶ οὕτω μὲν αὐτή. ἐγὼ δέ φησιν ἄορ ὀξὺ ὡς ὁ Ἑρμῆς ὑπέθετο ἐρυσάμενος παρὰ μηροῦ, Κίρκη ἐπήϊξα, ὥστε κτάμεναι μενεαίνων. ἡ δὲ, μέγα ἰάχουσα, ὑπέδραμε καὶ λάβε γούνων. καὶ ὀλοφυρομένη καὶ τίς ποθεν εἶς ἀνδρῶν εἰποῦσα ἐπιφέρει θαῦμά μ' ἔχει ὡς οὔτι πιὼν τάδε φάρμακ' ἐθέλχθης. οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη ὅς κε πίῃ καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων. σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν. (ῃερς. 330.) εἶτα στοχάζεται Ὀδυσσέα τοῦτον εἶναι, ὃν ἀεὶ Ἑρμῆς ἔφασκεν ἐλεύσεσθαι αὐτῇ ἐκ Τροίης ἀνιόντα σὺν νηΐ. φησὶ γάρ· ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος. (ῃερς. 333.) ἐπὶ δὲ τούτοις ἀξιοῖ ἡ Κίρκη κολεῷ μὲν ἄορ ἐνθεῖναι. εὐνῆς δέ φησιν ἡμετέρης ἐπιβῆναι, ὄφρα μιγέντες εὐνῇ καὶ φιλότητι, (ῃερς. 335.) πεποίθομεν ἀλλήλοισι. Καὶ ὅρα τὸ πεποίθομεν, ἀσυνήθης γάρ ἐστιν ἐνεστώς. ὡς γὰρ ἐκ τοῦ πέπληγα γίνεται θέμα τὸ πεπλήγω κατὰ Συρακουσίους, καὶ ἐκ τοῦ πέφυκα τὸ πεφύκω καθὰ καὶ προεδηλώθη, οὕτω καὶ ἐκ τοῦ πέποιθα ἐνεστὼς πεποίθω. ἐξ οὗ τὸ πεποίθομεν. (ῃερς. 323.) ἀγεννὲς δὲ τὸ τῆς Κίρκης πλάττεται ἦθος, οὐ μόνον καθό τι οὕτω πρὸς εὐνήν ἐστιν εὐκατάφορος, ἀλλὰ καὶ ὅτι πάνυ δειλαίνεται, ὡς μὴ μόνον μέγα ἰάχειν ὃ δὴ γυναικεῖόν ἐστι, καὶ εἰς γουνασμὸν δὲ τραπῆναι, ἀλλὰ καὶ ὀλοφύρασθαι, εἰ καὶ ὁ γραμματικὸς Ἀριστοφάνης λισσομένη γράφει οὐ μὴν ὀλοφυρομένη. οὐδὲν γάρ φησιν ὀλοφυρτικὸν λέγει. δῆλον δὲ ὡς οὐ μόνον πρὸς μῦθον καὶ ἀλληγορίαν δὲ ἡ Κίρκη λαλεῖται, ἀλλὰ καὶ καθ' ἱστορίαν περιᾴδεται. καὶ παῖς Ὀδυσσέως καὶ αὐτῆς ἱστόρηται ὁ θρυλλούμενος πατροφόντης Τηλέγονος. (ῃερς. 325.) Τὸ δὲ μετ' ἄλλων λέξο ἢ λέξαι ἑταίρων, ἢ ἀντὶ τοῦ, ἀριθμήθητι, ἢ εὐνάσθητι, σῦς δηλαδὴ χαμαιευνὰς καὶ αὐτὸς γενόμενος. (ῃερς. 323.) Τὸ δὲ ὑπέδραμε, σχῆμά ἐστι προσώπου ὑποκεκυφότος τρέχοντος εἰς τὸ λαβεῖν ὅ ἐστιν ἅψασθαι γούνων. (ῃερς. 324.) Ὀλοφύρεσθαι δὲ πρὸ τούτων μὲν ἔλεον ἐδήλου τινὰ ἐν τῷ, εἰ μή τίς με θεῶν ὀλοφύρατο καί με σάωσεν, ἐνταῦθα δὲ πένθος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτόχρημα ἡ λέξις δηλοῖ. ἔστι δὲ κυρίως ὀλοφύρεσθαι τὸ ἐπί τινι ὀλοῷ φύρεσθαι δάκρυσιν. ἐκ τούτου δὲ ὀλοφυρμός. ὡς ἐκ τοῦ ὀδύρεσθαι. καὶ πτύρεσθαι ὀδυρμὸς καὶ πτυρμός. Τὸ δὲ ἀνέτλη ἐνταῦθα οὐ πόνον τινὰ δηλοῖ, ἀλλὰ στεῤῥότητα τὴν κατὰ νοῦν. οὕτω δὲ κατωτέρω ἐν τῷ, εἰ μή μοι τλαίης ὀμόσαι, οὐδὲ ἐκεῖ φερεπονίαν τινὰ ἡ λέξις δηλοῖ, ἀλλ' ἁπλῶς βεβαίαν θέλησιν. (ῃερς. 328.) Τὸ δὲ ἀμείψεται ἕρκος ὀδόντων, περίφρασίς ἐστι τοῦ, πίῃ. κεῖται δὲ κατὰ σχῆμα πρωθύστερον. τοῦ γὰρ πιεῖν προτερεύει τὸ ἀμείψεται ἕρκος ὀδόντων. ἔχει δέ τι καὶ ἐλλειπτικὸν ὁ λόγος, λέγων ὅτι οὐδεὶς ἀνέτλη τὰ φάρμακα ὃς ἂν πίῃ, καὶ οὗ πρῶτον ἀμείψεται ἤτοι παρέλθῃ τοὺς ὀδόντας, ληφθέντος τοῦ οὗ ἀπὸ κοινοῦ. (ηερς. 329.) Ἔστι δ' ἐνταῦθα ἀμείβεσθαι οὐ τὸ ἐκ τῶν ἔσω ἔξω καθὰ ἐν ἄλλοις, ἀλλὰ τὸ ἐκ τῶν ἔξω ἐπὶ τὰ ἔσω ἰέναι. Ἀκήλητος δὲ νόος, ἀπαθὴς καὶ ἄθελκτος, ἢ κατὰ τοὺς παλαιοὺς ἀκατάκλαστος. ἀπὸ τοῦ κλῶ γὰρ πλεονασμῷ τοῦ ¯η δοκεῖ γίνεσθαι τὸ κηλῶ. Πολύτροπος δὲ πῶς λέγεται Ὀδυσσεὺς, προδεδήλωται. (ῃερς. 332.) Τὸ δὲ ἐκ Τροίης ἀνιόντα ταυτόν ἐστι τῷ ἀναπλέοντα, ὡς ἐφάνη πολλαχοῦ. Ὅρα δὲ καὶ ἐν τούτοις κλυτὸν τὸ τοῦ Ὀδυσσέως ὄνομα, ὃς μελόμενος πᾶσιν ἀνθρώποις, ὡς ἀλλαχοῦ δηλοῦται, διήκει κατὰ χρησμοῦ δόσιν οὐ μόνον παρὰ Κύκλωπι, ἀλλ' ἰδοὺ καὶ παρὰ τῇ Κίρκῃ, ἐκεῖ μὲν γνωσθεὶς διὰ μάντεως, ἐνταῦθα δὲ δι' Ἑρμοῦ. (ῃερς. 334.) Τὸ δὲ εὐνῆς ἡμετέρης, κολακικῶς εἶπεν ἡ μυθικὴ Κίρκη, ὡς εἴπερ καὶ πρὸ πολλοῦ κοινὴ ἦν αὐτῇ τε καὶ τῷ Ὀδυσσεῖ εὐνή. Ὀδυσσεὺς μέντοι ἐλέγχων τὸ κολακικὸν ἄλλως μετ' ὀλίγα φησὶν ἐν τῷ, σῆς ἐπιβήμεναι εὐνῆς καὶ, τεῆς ἐπιβήμεναι εὐνῆς. σεμνῶς δὲ ταῦτα λαλεῖται ὡς καὶ τὸ, Κίρκης ἐπέβην περικαλλέος εὐνῆς. τῇ γὰρ προφορᾷ τῆς εὐνῆς τὴν μίξιν δηλοῖ. (ῃερς. 337.) Ὅτι πρέπων λόγος Ὀδυσσεῖ τῷ φιλοσόφῳ κατὰ τῆς ἡδονῆς Κίρκης τὸ, πῶς γάρ με κέλῃ σοὶ ἤπιον εἶναι, ἥ μοι σῦς μὲν ἔθηκας ἐνὶ μεγάροισιν ἑταίρους; 1.384 αὐτὸν δ' ἐνθά δ' ἔχουσα δολοφρονέουσα κελεύεις ἐς θάλαμόν τε ἰέναι καὶ σῆς ἐπιβήμεναι εὐνῆς. ὄφρα με γυμνωθέντα κακὸν καὶ ἀνήνορα θείης, ὡς καὶ προγέγραπται. (ῃερς. 343.) οὐδ' ἂν ἔγωγε θέλοιμι καὶ τὰ ἑξῆς. ἐν οἷς Κίρκη μὲν ἀπόμνυται μή τι κακὸν βουλεύσειν ἄλλο τῷ Ὀδυσσεῖ, αὐτὸς δ' ἐπιβαίνει τῆς κατ' αὐτὴν εὐνῆς, οὐ πάντῃ ἀπαξιώσας, ὡς καὶ προεδηλώθη, τὴν ἡδονὴν, ἀλλ' ἀσφαλισάμενος ἑαυτὸν φιλοσόφως εἰς τὸ σωφρόνως καὶ ἀβλαβῶς μετ' αὐτῆς γενέσθαι. (ῃερς. 337.) Ὅρα δὲ ὡς καὶ ἐνταῦθα καινότερον ἀπὸ τοῦ γ¯αρ συνδέσμου ἤρξατο, οὗ μετὰ τέσσαρας στίχους ἡ ἀπόδοσις ἐν τῷ, οὐ δ' ἂν ἔγωγε θέλοιμι. (ῃερς. 341.) Γύμνωσιν δὲ καὶ τὴν περιφρόνησιν ἐνταῦθα ἔστι νοῆσαι τὴν ἐκ τοῦ ἀποθέσθαι τὸ ἄορ. ὅπερ ἀφοπλισμῷ ἔοικε γυμνωτικῷ. διὸ καὶ ἐπῆκται τὸ, κακὸν καὶ ἀνήνορα θείης, ἅπερ ἐκ παραλλήλου τὸν δειλὸν δηλοῦσιν, ὁποῖοι δηλαδὴ καὶ οἱ ἐν δεινοῖς ἄοπλοι. (ῃερς. 343.) Ἰστέον δὲ ὅτι ἐν τῷ τόπῳ τέθεικεν Ὅμηρος καὶ τὰ ἐκ τοῦ ὀμῶ ὀμόσω πρωτοτύπου καὶ τὸ ἐκεῖθεν παράγωγον ὀμνύειν. δῆλον γὰρ ὡς καθὰ σὺν πολλοῖς ἄχω ἄχνω ἀχνύω ἄχνυμι, ὡς καὶ ἡ Ἰλιὰς ἐδήλωσεν, οὕτω καὶ ὀμῶ ὀμνῶ ὀμνύω ὄμνυμι. τοῦ δὲ ὀμῶ ὀμόσω πολλῶν ὄντων συνθέτων, ἐνθυμητέον ἐνταῦθα τὸν συνωμότην. περὶ οὗ φασὶν οἱ παλαιοὶ ὅτι συνωμότης μὲν ὁ κατὰ τοῦ δήμου ἀνιστάμενος, ξυναγωγεὺς δὲ ὁ τοὺς τοιούτους ὑποδεχόμενος. ἔτι δὲ καὶ τὴν ἀντωμοσίαν καὶ τὴν ὑπωμοσίαν καὶ τὴν ἐξωμοσίαν, ὧν κατὰ τοὺς αὐτοὺς ἀντωμοσία μὲν ἦν δίκη ἀντωμοσμένη. προώμνευε μὲν γὰρ ὁ διώκων δικαίως κατηγορεῖν, καὶ ἦν φασὶ τὸ αὐτὸ καὶ κατωμοσία, ἀντώμνυε δὲ ὁ φεύγων ἀδίκως ἐγκαλεῖσθαι καὶ ἐλέγετο οὐκ ἀντωμοσία μόνον ἀλλὰ καὶ διωμοσία ὁ ἀμφοῖν ὅρκος, τὴν δὲ ὡς ἐῤῥέθη διωμοσίαν κατωμοσίαν Ἡρόδοτος εἶπεν ἐν τῷ, μετὰ δὲ τὴν κατωμοσίην ἐδίωκε. καὶ τοιοῦτον μὲν ἡ ἀντωμοσία. ὑπωμοσία δέ φασιν ἐστὶν ἀπόδοσις αἰτίας δι' ἣν οὐκ ἀπήντησέ τις πρὸς τὴν δίκην. ἐξωμοσία δὲ, ὅταν φασὶν ὀμνύῃ τις ἀδύνατος εἶναι ποιεῖν τὸ προσταττόμενον. (ῃερς. 348.) Ὅτι ἀμφίπολοι τέσσαρες πλάττονται εἶναι τῇ Κίρκῃ τῇ μυθικῇ, πρέπουσαι αὐτῇ, νύμφαι δηλαδή. ἃς πολλαχοῦ ἡ ποίησις ἱστορεῖ ἐκ πηγῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἀλσέων καὶ ποταμῶν καὶ τοιούτων τινῶν γινομένας, ἀνιττομένη δι' αὐτῶν φυσικάς τινας δυνάμεις, τάς τε ἄλλας, καὶ ὅσαι ὑπουργοῦσι τοῖς τρυφῶσι κατὰ τὴν Κίρκην, διά τε γενέσεως ζῴων καὶ καρπῶν ὡραίων φορᾶς, καὶ ὅσων ἄλλων αἴτια τὰ στοιχεῖα. ὧν καὶ αἱ τοιαῦται νύμφαι γεγενῆσθαι λέγονται, ὡς ἐκεῖθεν προβεβλημέναι. τινὲς δέ γε τῶν παλαιῶν ἀσυμβιβάστως μὲν πρὸς πλάτος ἀλληγορίας, ὅμως δὲ ὑπενόησαν, ἐνιαυτὸν μὲν τὴν Κίρκην. τὰς δ' ἐνταῦθα τέσσαρας αὐτῆς διακόνους τὰς τέσσαρας ὥρας, οὐδέν τι γενναῖον ὑπειπόντες οὕτως. (ῃερς. 349.) ἄλλως μέντοι ἔστιν εἰπεῖν ὡς ἡ Κίρκη διακόνοις τέσσαρσι χρᾶται πρὸς ἀνάλογον ἔμφασιν τῆς τῶν ὡρῶν τετρακτύος, αἳ τὰ εἰς τρυφὴν πορίζουσι τοῖς ἐθέλουσιν. Ἔστι δὲ ὁ περὶ αὐτῶν Ὁμηρικὸς λόγος τοιοῦτος. ἀμφίπολοι δ' ἄρα τέως μὲν ἐνὶ μεγάροισι πένοντο τέσσαρες. αἵ οἱ δῶμα κάτα δρήστειραι ἔασι. γίνονται δ' ἄραταί γε, ἔκ τε κρηνέων, ἀπό τ' ἀλσέων, ἔκ θ' ἱερῶν ποταμῶν, οἵ τ' εἰς ἅλαδε προρέουσι. τάων ἡ μὲν ἔβαλε θρόνοις ἔνι ῥήγεα καλὰ πορφύρεα καθύπερθεν, (ῃερς. 353.) ὑπένερθεν δὲ λῖθ' ὑπέβαλλεν, ὅ ἐστι λῖτα ὑπετίθει. ἡ δ' ἑτέρη προπάροιθεν θρόνων ἐτίτανε τραπέζας ἀργυρέας. ἐπὶ δέ σφισι τίθει χρύσεια κύπελλα ἢ κάνεια. ἡ δὲ τρίτη κρητῆρι μελίφρονα οἶνον ἐκίρνα ἡδὺν ἐν ἀργυρέῳ. νέμε δὲ χρύσεια κύπελλα. ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει καὶ πῦρ ἀνέκαιε πολλὸν ὑπὸ τρίποδι μεγάλῳ. ἰαίνετο δ' ὕδωρ. (ῃερς. 355.) Καὶ ὅρα πολυσκευῆ παρασκευὴν τραπέζης τά γε περὶ σκεύη καὶ λοιπὴν ἑτοιμασίαν. τίνα δὲ καὶ τὰ εἰς δαῖτα παρατεθέντα, οὐ παρεσημήνατο ἡ Ὁμηρικὴ Μοῦσα, τὸ μέν τι καὶ ἀφιεῖσα νοεῖν τὸν ἀκροατὴν ἅπερ εἰκός ἐστιν ἐνταῦθα νοεῖσθαι, τὸ δὲ καὶ ὀκνοῦσα καὶ τοῖς τοιούτοις ἐνασχολῆσαι ἄρτι τοὺς λόγους, ἴσως δὲ καὶ αἰνιξαμένη τὴν δαῖτα ἀπὸ ἀλσέων καὶ ποταμῶν καὶ τοιῶν δέ τινων παρατεθεῖσθαι, ὁποῖα τά τε καθ' ὕλην ζῷα καὶ τὰ ἐξ αὐτῆς φυόμενά τε καὶ θάλλοντα, κρέα δηλαδὴ καὶ μέθυ ἡδὺ ὡς ἐν τοῖς ἑξῆς ὁ ποιητὴς λέγει, καὶ ἄλλα δέ τινα κατὰ τὸ εἰκὸς, ὡραῖα γεννήματα γῆς. ἐν τούτοις δὲ καὶ τὸ ἐγκρατὲς τοῦ φιλοσοφοῦντος Ὀδυσσέως ἐμφαίνεται. οὐ γὰρ εὕρηται ἐμφαγὼν οὔτε πρὸ τῆς τῶν φίλων λύσεως οὔτε εὐθὺς μετὰ τὸ ἐκείνους λύσασθαι, ἀρκεσθεὶς ὡς ἔοικε τηνικαῦτα καιροῦ ἀντὶ βρώσεως τῇ χαρᾷ. ἴσως δὲ καὶ κατὰ τὸ σιωπώμενον συμφαγὼν καὶ αὐτὸς ἐκείνοις μετὰ τὴν λύσιν. καὶ τοιαῦτα μὲν ταῦτα. (ῃερς. 360.) Ὅρα δὲ ὅτι ὁ ποιητὴς καὶ τὰ ἑξῆς ἐπάγων τοῖς προῤῥηθεῖσι φησίν· αὐτὰρ ἐπειδὴ ζέσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ, ἐς ῥ' ἀσάμινθον ἔσασα, (ῃερς. 361.) λό' ἐκ τρίποδος μεγάλοιο. ἤγουν ἔλουε, 1.385 θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων, ὄφρα μοι ἐκ κάματον (ῃερς. 363.) θυμοφθόρον εἵλετο γυίων, ὃ τελικόν ἐστιν αἴτιον τοῦ λούεσθαι. δῆλον γὰρ ὡς λούεταί τις, ἵνα ἐξέληται τοῖς θερμοῖς ὕδασι τὸ ἐκ τοῦ κάμνειν κακόν. ἄλλως γὰρ χάριν ἀποῤῥύψεως καὶ ψυχροῖς καταντλεῖταί τις, ἢ περὶ θάλατταν ἢ ἐν ποταμῷ. ἐπεὶ δέ φησιν ἔλουσε καὶ ἔχρισεν ἐλαίῳ καὶ ἐνέδυσε, τότε δὴ ἐπὶ θρόνου καθίσασά με ἀργυροήλου καλοῦ δαιδαλέου ἐσθίειν ἐκέλευσεν, ἐμῷ δ' οὐχ' ἥνδανε θυμῷ, (ῃερς. 374.) ἀλλ' ἥμην ἀλλοφρονέων, ἢ κατά τινα τῶν ἀντιγράφων, ἄλλα φρονέων, κακὰ δ' ὄσσετο θυμός. ἤτοι προεβλέπετο, ἐφαντάζετο. πάθος δὲ τοῦτο φρονίμου ἀνδρός. ὃς καὶ παρακειμένων τῶν ἡδέων οὐ μόνον οὐ μεταλήψεται, ἀλλὰ καὶ φοβηθήσεται μή πού τι ἔσται δεινὸν, ἄλλα φρονῶν παρὰ τὰ βλεπόμενα. τοιοῦτον γάρ τι νῦν τὸ ἀλλοφρονεῖν, εἰ καὶ ἐν Ἰλιάδι ἐπὶ τοῦ ἠλλοιῶσθαι τὴν φρόνησιν κεῖται, καὶ ὡς εἰπεῖν παραφρονεῖν. καθ' ὃ σημαινόμενον καὶ Ἡρόδοτος τῇ λέξει χρῆται, ἀλλοφρονῆσαι εἰπὼν τὸ οὕτω τινὰς μανῆναι ἀλλοιωθέντας τὴν φρόνησιν, ὡς καὶ κτείνειν φησὶν ἀλλήλους ἅτε πολεμίους. (ῃερς. 349.) Δρήστειραι δὲ αἱ δουλεύτριαι παρὰ τὸ δρᾶν τὸ ὑπουργεῖν, ἐξ οὗ καὶ δρηστὴρ καὶ μετὰ προθέσεως ὑποδρηστὴρ, ὁ ὑποεργός. ὅτι δὲ δρᾶν οὐ μόνον κοινότερον τὸ ποιεῖν ποιητικῶς δὲ καὶ τὸ ὑπουργεῖν, ἔστι δὲ ὅτε καὶ τὸ θύειν, ὁ Ἀθήναιος δηλοῖ. (ῃερς. 350.) Αἱ δὲ ἀπὸ κρηνῶν καὶ ποταμῶν αὗται δρήστειραι Νηΐδες ἂν εἶεν, ὥσπερ αἱ ἀπὸ ἀλσέων Δρυάδες, εἴτουν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἁμαδρυάδες καὶ Ὀρεστιάδες καὶ Μηλίδες, καὶ τοιαῦταί τινες. (ηερς. 351.) Ἱεροὶ δὲ ποταμοὶ οὐ μόνον οἱ κατὰ ῥοῦν ἱέμενοι, ἀλλὰ καὶ οἱ θεῖοι διὰ τὸ ἀένναόν τε καὶ τρόφιμον καὶ τὸ τοῦ ὕδατος δὲ ἀρχικόν. Περὶ δὲ τῶν εἰρημένων δουλίδων τῆς Κίρκης οὕτω λαλεῖ ἡ τῆς Ὀδυσσείας παράφρασις. γένεσις δὲ τούτων οὐχ' οἵα περ ἡ ἀνθρώπων ἐστὶν ἡ δι' ἀλλήλων, ἀλλὰ ποταμοὶ καὶ ἄλση καὶ πηγαὶ ἐκείνας φύουσιν. Ἐν δὲ τῷ εἰς ἅλαδε, περιττῶς κεῖται ἢ τὸ ε¯ις, ἢ τὸ δ¯ε, διὰ τὸ ἐκ παραλλήλου κεῖσθαι, ὁποῖόν τι γίνεται καὶ ἐν τῷ, ὅνδε δόμονδε, καθὰ καὶ προσεσημείωται. Τὸ δὲ προρέουσιν, ἀδιπλασίαστον ἔχει τὸ ¯ρ καθὰ καὶ ἐν ἄλλοις γίνεται, διὰ τὸ μὴ χρείαν ἐνταῦθα εἶναι Ἀττικισμοῦ. (ηερς. 353.) Τὰ δὲ ῥήγεα, πολυτελέστερα ἤπερ τὸ λῖτα ἢ τὰ λῖτα. ταῦτα μὲν γὰρ ὑποβέβληται εἴτουν ὑπέστρωται, τὰ δὲ ῥήγεα καλά τε ὄντα καὶ πορφύρεα ἐφήπλωται. εἰ δὲ πορφύρεα, βέβαπται ἄρα. τοιοῦτον γὰρ, ὡς πολλαχοῦ ἐδηλώθη, τὸ ῥῆγος. (ηερς. 354.) Τὸ μέντοι λῖτα οὐκ ἐξ ἀνάγκης τοιοῦτον. Ἐν δὲ τῷ ἡ δ' ἑτέρη ὡς καὶ ἐν ἄλλοις, δῆλον, ἐπὶ δύο τινῶν τὸ ἕτερον λέγεσθαι. ἡ μὲν γάρ φησιν ἐποίει τόδε, ἡ δ' ἑτέρη τόδε τι, ἡ δὲ τρίτη καὶ ἡ τετάρτη ἄλλα τινά. Τὸ δὲ ἐτίταινε τραπέζας, ἐμφαίνει μὴ στρογγύλας αὐτὰς ἀλλὰ προμήκεις εἶναι, ἢ καὶ ἄλλως ἀποδιπλουμένας καὶ οὕτω τεινομένας. καθὰ καὶ ὁ ὀκλαδίας δίφρος τέταται ὅτε εἰς καθέδραν ἑτοιμασθῇ. Πληθυντικῶς δὲ τραπέζας φησὶν, ἴσως μὲν, πληθύνων συνήθως τὸ ἑνικὸν πρὸς μεγέθους ἔμφασιν, ἴσως δὲ καὶ πολλὰς ὑποτιθεὶς, τὴν μὲν οἰνοχοεῖν, τὴν δὲ ἐσθίειν, τὴν δὲ ὑποδέχεσθαι τὰ περιττά. Τὸ δὲ πολλὸν πῦρ, οἰκεῖον μεγάλῳ τρίποδι. (ηερς. 359.) Ἰαίνετο δὲ ὕδωρ, ἀντὶ τοῦ, ἐχλιαίνετο, ἐθερμαίνετο. καὶ ἔστι τοῦτο κυρίως ἰαίνεσθαι. (ηερς. 360.) Τὸ μέντοι ζέσεν ὕδωρ, ἐπίτασις ἐστί τις τοῦ ἰαίνεσθαι. αὐτοῦ δὲ ἐπιτατικώτερον τὸ παφλάζειν ἢ καὶ καχλάζειν. τὸ γὰρ ζέειν οὔπω τραχὺ κατὰ ὀνοματοποιΐαν, ἀλλ' εἰς ὅσον ἡ τοῦ ζῆτα στοιχείου δηλοῖ ἐκφώνησις. τὸ δέ γε καχλάζειν καὶ παφλάζειν τραχυφωνότερα. Σημείωσαι δὲ ὅτι ἐν συνεχέσι δυσὶ στίχοις τὸ ὕδωρ ἐξέτεινε τὴν ἄρχουσαν ἐν τῷ, ἰαίνετο δ' ὕδωρ, καὶ συνέστειλεν ἐν τῷ, ἐπειδὴ ζέσεν ὕδωρ. Ἦνοψ δὲ καὶ νῦν χαλκὸς ἢ ὁ ἔμφωνος ὡς καὶ ἀλλαχοῦ καλῶς ἐγράφη ἢ ὁ διαυγὴς, δι' οὗ ἔστιν ἐνοπτρίζεσθαι. (ηερς. 361.) Τὴν δὲ ἀσάμινθον πύελον ὁ μεταβολεὺς ἑρμηνεύει, φράσας οὕτως· ἐπεὶ ἦν καιρὸς, ἐλουόμην ἐν πυέλῳ. Τὸ δὲ λόεν ἐκ τρίποδος πρωτότυπόν ἐστι τοῦ λοέω καὶ τοῦ λούω. ποιητὴς δὲ ἂν τὸ τοιοῦτον μόνος ῥῆμα φιλοίη. (ηερς. 362.) Τὸ δὲ θυμῆρες κεράσασα, ἀντὶ τοῦ, καταχέασα οὐ πάνυ τι ζέον, ἀλλὰ δηλαδὴ εὔκρατον. ἐκ τοῦ κρατῆρος δὲ ἡ μεταφορά. ἔστι δὲ τὸ θυμῆρες τοῦτο ἐναντίον τῷ θυμοφθόρῳ καμάτῳ, ὃς ἐξαιρεῖται γύων διὰ τοιούτου κράματος. (ηερς. 374.) Τὸ δὲ ἀλλοφρονεῖν παραφράζων ὁ ποιητὴς διὰ τῆς Κίρκης, ἶσον ἀναύδῳ καθῆσθαι λέγει τὸν οὕτως ἔχοντα. (ηερς. 378.) ἔνθα καὶ ἀστεῖον ἀντίθετον κεῖται εἰπούσης τῆς Κίρκης τῷ Ὀδυσσεῖ· τί δή ποτε κάθησαι ἶσος ἀναύδῳ θυμὸν ἔδων, βρώμης δ' οὐχ' ἅπτεαι οὐδὲ ποτῆτος; οἱονεὶ γάρ φησιν, ὡς τί δή ποτε κατεσθίεις ἑαυτὸν καὶ οὐ τὰ εἰς βρῶσιν προκείμενα. (ηερς. 364.) Ἰστέον δὲ καὶ ὅτι φιλοξενίας δηλωτικὰ τὸ, αὐτὰρ ἐπεὶ λοῦσέν τε καὶ ἔχρισε λίπ' 1.386 ἐλαίῳ, ἀμφὶ δέ με χλαῖναν καλὴν βάλεν ἠδὲ χιτῶνα, εἷσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου τοιοῦδε, ἐσθέμεναι δ' ἐκέλευσεν. (ηερς. 373.) εἰ δὲ ὁ ξενοδοχηθεὶς λυπούμενος οὐκ ἐσθίει, ἁρμόττει καὶ τῶν ἐφεξῆς τὸ, ἐμῷ δ' οὐχ' ἥνδανε θυμῷ, καὶ ἑξῆς ὡς προγέγραπται. (ηερς. 373.) εἰ δὲ ὁ ξενοδοχήσας παραμυθητικὸς εἴη τοῦ ξένου, εἴποι ἂν τάδε· τίφθ' οὕτως ἑταῖρε καθέζεαι ἶσος ἀναύδῳ καὶ ἑξῆς. ὡς καὶ αὐτὸ ἀνωτέρω κεῖται. (ηερς. 380.) τυχὸν δὲ οἰκεῖον ἔσται ἐπαγαγεῖν καὶ τὸ, ἤ τινά που δόλον οἴει; οὐδέ τί σε χρὴ δειδίμεν. ὁ δὲ μὴ θέλων φαγεῖν πρινὴ γενέσθαι ὃ θέλει ἐρεῖ ἄν· ὦ οὗτος, τίς γάρ κεν ἀνὴρ ὃς ἐναίσιμος εἴη, πρὶν τλαίη πάσασθαι ἐδητύος ἠδὲ ποτῆτος, πρὶν τόδε τι γενέσθαι. οἷον, λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι. (ηερς. 386.) Ὅτι πρόφρων μὲν ἐπὶ ἀνδρός. ἐπὶ δὲ γυναικὸς δύναται μὲν λέγεσθαι καὶ αὐτό. ἡ δὲ ποίησις ἐθέλει λέγειν πρόφρασσα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἤτοι τὰ ὑπέρ τινος φραζομένη. οἷον· ἀλλ' εἰ δὴ πρόφρασσα πιεῖν φαγέμεν τε κελεύεις, (ῃερς. 387.) λῦσον ἵν' ὀφθαλμοῖσιν ἴδω ἐρίηρας ἑταίρους. ὃ παρῳδηθήσεταί ποτε ἐπὶ φίλων λυτρώσει. (ῃερς. 386.) Καὶ ὅρα τὸ πιεῖν, ἄρτι προκείμενον τοῦ φαγεῖν. ἀνωτέρω μέντοι ἄλλως ἔχει ἐν τῷ, ἐδητύος ἠδὲ ποτῆτος. καὶ μετ' ὀλίγα ἐν τῷ, ἐσθίετε βρώμην καὶ πίνετε οἶνον. ὅλως δὲ εἰπεῖν, ἀδιάφορον οὕτως ἢ οὕτως φράζειν. Τὸ δὲ λῦσον, προσεχῶς παθητικῶς προεγράφη ἐν τῷ, πρὶν λύσασθ' ἑτάρους. (ῃερς. 387.) Τὸ δὲ ὀφθαλμοῖσιν ἴδω, τῆς ἐν φαντασίᾳ ὁράσεως καὶ νῦν ἔχει διαστολήν. (ῃερς. 389.) Ὅτι Κίρκη μετὰ τὴν Ὀδυσσέως παράκλησιν ῥάβδον ἔχουσα ἐν χειρὶ θύρας ἀνέῳγε συφειοῦ, ἐκ δ' ἔλασε σιάλοισιν (ῃερς. 390.) ἐοικότας ἐννεώροισι, τοὺς ἑταίρους δηλαδὴ τοῦ Ὀδυσσέως. οἱ μὲν ἔπειτ' ἔστησαν (ῃερς. 391.) ἐναντίοι τουτέστιν ἀντικρὺ τοῦ Ὀδυσσέως. ἡ δὲ, δι' αὐτῶν ἐρχομένη, προσάλειφεν ἑκάστῳ (ῃερς. 392.) φάρμακον ἄλλο, οἷα δηλαδὴ πολυφάρμακος. τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔῤῥεον ἃς πρὶν ἔφυσσε (ῃερς. 394.) φάρμακον οὐλόμενον, τὸ τοῦ κυκεῶνος δηλονότι. ἄνδρες δ' αἶψ' ἐγένοντο νεώτεροι ἢ πάρος ἦσαν. καὶ πολὺ καλλίονές τε καὶ μείζονες εἰσοράασθαι. ἔπαινος δὲ τοῦτο ἀνδρῶν ἐμφανῶν. (ῃερς. 392.) Ἰστέον δὲ ὅτι κατὰ ἀλληγορίαν τὸ ἄλλο φάρμακον ὅπερ ἑκάστῳ νῦν προσαλείφεται, τὸ μέτριόν ἐστι τῆς τρυφῆς, ὅσον εἰς σωμασκίαν στρατιωτικὴν καὶ ζωογόνον τροφὴν, ἵνα, ὡς μετ' ὀλίγα ἡ Κίρκη λέγει, ἐσθίοντες βρώμην καὶ πίνοντες οἶνον θυμὸν ἐνὶ στήθεσσι λάβωσιν οἷον ὅτε πρώτιστον ἔλιπον πατρίδα γαῖαν τρηχείης Ἰθάκης, καὶ μὴ σκελετεύωνται. νῦν γάρ φησιν ἀσκελέες καὶ ἄθυμοι αἰεὶ ἄλης χαλεπῆς μεμνημένοι. οὐδέ ποθ' ὑμῖν θυμὸς ἐν εὐφροσύναις, ἐπειὴ μάλα πολλὰ πέποσθε. τοῦτο τοίνυν τὸ δεύτερον φάρμακον οὐ μόνον εἰς ἀνθρωπείαν φύσιν ἐπανεσώσατο τοὺς ἀπὸ συῶν, (ῃερς. 395.) ἀλλὰ καὶ πολὺ κάλλος ἐνειργάσατο καθάπερ ἐῤῥέθη. ἐπείπερ οἱ μετὰ πεῖραν κακίας εἰς ἀρετὴν στραφέντες βελτίους ἑαυτῶν γίνονται, μαθόντες τὸ καλὸν οἷς κακῶς ἔπαθον. (ῃερς. 389.) Ὅρα δ' ἐν τοῖς ῥηθεῖσι τὸ, θύρας ἀνέῳγεν, ἀντὶ τοῦ, ἤνοιγεν κατὰ χρόνον παρατατικόν. ἢ ἀντὶ τοῦ, ἤνοιξεν, ἵνα ᾖ μέσος παρακείμενος. Τὸ δὲ συφειοῦ πλεονασμὸν ἔπαθεν ὁποῖον καὶ τὸ ἀδελφὸς ἀδελφειός. (ῃερς. 390.) Ἐννέωροι δὲ σύες ἢ οἱ ἐνναετεῖς, ἢ καὶ ἄλλως ἴσως οἱ ἐννέα ὡρῶν, ἤγουν ἐτῶν δύο καὶ ἑνὸς μηνός. κρεῖττον δὲ τὸ πρῶτον κατὰ τὸ, ἐννέωροι γὰρ τοίγε ἐννεαπήχεες, ὡς ἀπὸ τοῦ ὧρος ὁ ἐνιαυτὸς, ὃς ὁμώνυμος ὥρῳ ἡλίῳ ἐστί. (ῃερς. 392.) Τὸ δὲ ἐννεώροισι, συνίζησιν ἔπαθε τοῦ ¯ε καὶ ¯ω εἰς ἕνα πόδα μακρόν. (ῃερς. 393.) Τὸ δὲ φάρμακον ἄλλο ἤγουν ἀλλοίας φύσεως παρὰ τὸ ἐνταῦθα οὐλόμενον, ὡς εἶναι αὐτὸ μὴ τοιοῦτον ἀλλὰ σωτήριον. (ῃερς. 394.) Ῥέειν δὲ τρίχας ἀντὶ τοῦ ῥᾳδίως ἀποπίπτειν φησί. καὶ ἔστι καιριωτάτη λέξις. οὕτω δὲ καὶ ἄνθη ῥέειν καιριώτερον ἤπερ πίπτειν λέγονται. (ῃερς. 463.) Φάρμακον δὲ οὐλόμενον ὁμοίως ὡς εἰ καὶ ὀλοφώϊον εἶπεν. ἐκ τοῦ ὄλλω γὰρ καὶ ἐκεῖνο. (ῃερς. 417.) Τὸ δὲ τρηχείης Ἰθάκης, ἐπίτηδες ἔοικεν εἰπεῖν ἡ Κίρκη, ὡς οἷα κερτομοῦσα τοὺς ἐφιεμένους αὐτῆς, ἢ καὶ ἄλλως ἁπλῶς καθ' ἱστορίαν. (ῃερς. 463.) ὃ καὶ Ὀδυσσεὺς μετ' ὀλίγα ἐρεῖ, τρηχεῖαν Ἰθάκην καὶ αὐτὸς εἰπών. ἀσκέλεες δὲ ἀντὶ τοῦ, σκληροὶ, ἄγαν κατεσκληκότες, ἀπὸ τοῦ σκάλλω, καθὰ καὶ προδεδήλωται. ἢ ἀπὸ τοῦ σκέλλω, ἐξ οὗ καὶ τὸ σκέλος καὶ ὁ σκελετός. ὁ δὲ τοιοῦτος τόπος τηκτικὸν σώματος εἶναι δηλοῖ τὴν τῶν κακοπαθειῶν μνήμην, καθὰ καὶ μετ' ὀλίγα τὸ, φθινύθουσί μοι φίλον κῆρ ἀμφ' ἐμοὶ ὀδυρόμενοι. Ἄθυμοι δὲ οἱ μὴ εὔθυμοι, τουτέστιν οἷς οὐδέ ποτε θυμὸς ἐν εὐφροσύναις. (ῃερς. 464.) Ἄλη δὲ χαλεπὴ πρὸς διαστολὴν ἑτέρας ἀφ' ἧς κερδαίνουσιν οἱ ἀλώμενοι, ὁποῖος καὶ ὁ Μενέλαος. (ῃερς. 465.) Τὸ δὲ πέποσθε, οἱ μὲν ἐκ τοῦ πήθω τὸ πανθάνω παράγουσιν ἀκολου 1.387 θοῦντες Ἡρῳδιανῷ, λέγοντες ὅτι καθὰ λήχω τὸ λαγχάνω οὗ παρακείμενος τροπῇ τοῦ ¯η εἰς ¯ο λέλοχα, καὶ προσλήψει τοῦ ¯ν λέλογχα, ὥς που καὶ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται, οὕτω καὶ πείθω πέποθα. οὗ παθητικὸν πρινὴ προσληφθῆναι τὸ ¯ν, πεπόθατε, καὶ συγκοπῇ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλεονασμῷ τοῦ σίγμα, πέποσθε. καὶ οὕτω μὲν οἱ τοιοῦτοι. Ἀρίσταρχος δὲ τὸ πολλὰ κακὰ πέποσθε πέπασθε γράφει. ὅ πέρ ἐστι κέκτησθε. εἰς μέντοι τὸ διὰ τοῦ ¯ο γραφόμενον πέποσθε κρεῖττον ποιοῦσιν οἱ συγκόπτοντες αὐτὸ ἐκ τοῦ πεπόνησθε. (ηερς. 398.) Ὅτι θρήνου ἐπίτασιν δηλοῖ τὸ, πᾶσι δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα σμερδαλέον κανάχιζεν ἢ κονάβιζεν. ὡσαύτως καὶ τὸ οἰκτρὰ ὀλοφυρομένους θαλερὸν κατὰ δάκρυ χέοντας, καὶ τὸ κλαῖον ὀδυρόμενοι περὶ δὲ στεναχίζετο δῶμα. τοῦτο δὲ καὶ ἐπὶ ἡδονῆς ἐῤῥέθη πρὸ τούτων ἐν τῷ, κνισσῆεν δέ τε δῶμα περιστεναχίζεται. (ηερς. 404.) Ὅτι τὸ ἀποθεῖναι πελάσαι τόπῳ τινί φησιν ἐνταῦθα, εἰπών· κτήματα δ' ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα, ἤγουν ἐγγὺς τοῦ σπηλαίου θέσθε. λέγει καὶ νῦν ὅπλα οὐ μόνον τὰ τῶν νηῶν, ἀλλὰ καὶ τὰ στρατιωτικά. Ἰστέον δὲ ὅτι καὶ μετ' ὀλίγα κοινότερον ἐρεῖ τὸ πελάσαι, ἐν τῷ, κεφαλὴν οὖδασδε πελάσαι ἀποτμηθεῖσαν ξίφει. (ηερς. 410.) Ὅτι δεικνὺς ὁ ποιητὴς Ὀδυσσέα, ὅπως ἐχάρησαν ἰδόντες αὐτὸν οἱ ἑταῖροι ἐπανελθόντα ἐκ τῆς Κίρκης ἀβλαβῆ, φησὶ παραβολικῶς οὕτως· ὡς δ' ὅτ' ἂν ἄγραυλοι πόρτιες περὶ βοῦς ἀγελαίας ἤτοι κατὰ τοὺς παλαιοὺς, νομαίας, ἀζεύκτους, ἐλθούσας εἰς κόπρον ἐπὴν βοτάνης κορέσωνται, πᾶσαι ἅμα σκαίρουσιν ἢ σπαίρουσιν ἐναντίαι, οὐδέ τι συκοὶ ἴσχουσιν, ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφιθέουσι μητέρας, ὣς ἐμὲ κεῖνοι ἐπεὶ ἴδον ὀφθαλμοῖσι, (ηερς. 414.) δακρυόεντες ἔχυντο, περὶ ἐμὲ δηλαδή. ἤγουν κατὰ σπουδὴν ἔδραμον καὶ ὡσεί τι ὑγρὸν χεόμενον κατὰ πρανοῦς. εἶτα καὶ ἄλλως τὸ αὐτὸ σαφέστερον ὑποδηλῶν φησί· δόκησε δ' ἄρα σφίσι θυμὸς, ὣς ἔμεν ὡς εἰ πατρίδα ἱκοίατο καὶ πόλιν αὐτῶν τρηχείης Ἰθάκης, ἵνα τ' ἔτραφεν ἠδὲ γένοντο. (ηερς. 417.) ὃ δὴ πατρίδος ἐστὶν ὁρισμός. πατρὶς γὰρ πόλις τις περὶ ἣν ἐτράφη τις γεννηθείς. ὡς ὅγε μὴ τοιοῦτος ἀλλ' ἅμα τῷ γεννηθῆναι τῆς πατρίδος ἀποστερηθεὶς ἔκθετός τις ἐστὶ τῆς τοιαύτης πόλεως, καὶ οὐχ' οὕτως ἐκείνην εὐτυχεῖ πατρίδα, ὡς τὴν μετὰ ταῦτα θρεψαμένην. ἐπεὶ καὶ παροιμιακῶς πατρίς ἐστιν ἔνθα πράττει τις εὖ ἤγουν εὐπραγεῖ. (ηερς. 419.) τὸ δ' αὐτὸ νόημα καὶ ἄλλως φράζων ὁ ποιητὴς παραφραστικῶς πλάττει τοὺς τοῦ Ὀδυσσέως φίλους εἰπόντας οὕτω· σοὶ μὲν νοστήσαντι διοτρεφὲς, ὣς ἐχάρημεν, ὡς εἴτ' εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν. λέγουσι δὲ αὐτοὶ τὸ, σοὶ νοστήσαντι ἐχάρημεν πρὸς διαστολὴν τῶν ἄλλων ἑταίρων οὓς αὐτοὶ ἐδόκουν ἀπολωλέναι. (ηερς. 410.) ἡ δὲ ῥηθεῖσα παραβολὴ ἐδήλωσεν ὡς οὐ μόνον ἄρνες καὶ ἔριφοι σηκάζονται, ἀλλὰ καὶ πόρτιες ἤγουν νέαι βόες ἄρτι ἀρξάμεναι τοῦ πορεύεσθαι, καθ' ὁμοιότητα τοῦ νεβρὸς, ὃς καὶ αὐτὸς κατά τινας παρὰ τὸ νέον πορεύεσθαι λέγεται. ὅτι δὲ αἱ πόρτιες καὶ πόριες λέγονται καὶ πόρτακες, ἐδήλωσεν ἡ Ἰλιάς. Κόπρον δὲ καὶ νῦν τὰ βουστάσια λέγει. Σκαίρειν δὲ τὸ σκιρτᾶν. ὅθεν καὶ σκαρθμὸς ἡ κατὰ σκίρτημα κίνησις καὶ ἡ ἐν Ἰλιάδι πολύσκαρθμος μύριννα. ὥσπερ δὲ τὸ, ἀδινάων μυιῶν δι' ἑνὸς ¯δ καὶ συστολῆς τῆς ἀρχούσης φέρεται, οὕτω κἀνταῦθα τὸ, ἀδινὸν μυκᾶσθαι ὡς ἀπὸ τοῦ ἅδην, ὃ καὶ ἐπὶ κακοῦ κεῖται ἐν τῷ, ἅδην ἐλάαν κακότητος. Τρηχεῖαν δὲ Ὀδυσσεὺς παρασημειοῦται τὴν πατρίδα καὶ νῦν ὡς καὶ πρὸ τούτων, δεικνὺς τοῖς περὶ Ἀλκίνοον, ὡς οὐ μόνῳ αὐτῷ ἡ τραχεῖα πατρὶς φιλτάτη, ἀλλὰ καὶ τοῖς τότε ποτὲ περιοῦσι φίλοις. Ὅτι σπευστικὸν εἰς ὁδὸν τὸ, αὐτοὶ δ' ὀτρύνεσθε, ἐμοὶ ἅμα πάντες ἕπεσθε. εὐπείθειαν δὲ ὑπηκόων δηλοῖ τὸ ὣς ἐφάμην, οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο. κωλύων δέ τις τοὺς τοιούτους εἰς ὁδὸν ἐπικίνδυνον ἐρεῖ· ἆ δειλοὶ, πόσ' ἴμεν; τί κακῶν ἱμείρεται τούτων; Περὶ δὲ τοῦ, ἆ δειλοὶ ἀντὶ τοῦ, ὦ δείλαιοι, ἐν τῇ Ἰλιάδι δεδήλωται ἀκριβῶς. Οἱ δὲ τὸν οὕτω κωλύοντα μὴ ἀποδεχόμενοι εἴποιεν ἂν, τοῦτον μὲν ἐάσομεν εἰ σὺ κελεύεις αὐτοῦ μένειν, ἡμῖν δ' ἡγεμόνευε. (ηερς. 431.) Ὅτι θυμούμενος Εὐρύλοχος ἐνταῦθα λαλεῖ τινὰ παρὰ τὸ εἰκὸς, ἐνδεικνυμένου τοῦ ποιητοῦ, ὁποῖόν τι ἐστὶν ὁ ὑπὲρ μέτρον θυμός. φησὶ γὰρ κωλύων τοὺς τοῦ Ὀδυσσέως φίλους καταβῆναι εἰς τὸ τῆς Κίρκης μέγαρον, ὡς ἅπαντας ἐκείνη ἢ σῦς ἠὲ λύκους ποιήσεται, ἠὲ λέοντας, οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκῃ. ὥσπερ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Κύκλωψ ἔρξεν, ὅτε οἱ μέσαυλον ἵκοντο ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς. τούτου γὰρ κἀκεῖνοι ἀτασθαλίῃσιν ὄλοντο. (ῃερς. 432.) καὶ τὸ μὲν οἰηθῆναι αὐτὸν ἐξ ἀνθρώπων μεταβληθῆναι τοὺς παρὰ τῇ Κίρκῃ λύκους καὶ λέοντας καὶ μὴ φαρμάκοις τὰ θηρία κατακληθῆναι πρὸς ἡμερότητα, τῆς τοῦ Εὐρυλόχου ἀπειρίας εἶναι δοκεῖ φασί. (ῃερς. 435.) Τὸ δὲ ὡς Κύκλωψ ἐποίη 1.388 σεν, ἀδιανόητόν ἐστιν. οὐ γὰρ δή που καὶ ὁ Κύκλωψ μετέβαλε τοὺς περὶ τὸν Ὀδυσσέα ἐπὶ φυλακῇ τοῦ κατ' αὐτὸν σπηλαίου, ἀλλ' ἐθοινήσατο καὶ ἀπώλεσε κατὰ τὸ, (ῃερς. 437.) τούτου ἀτασθαλίαις ὤλοντο. μίμησις δὲ πάντως ἤθους τεταραγμένου τὸ ἀδιανοήτως πλάσαι λαλοῦντα τὸν Εὐρύλοχον. ὁ δὲ τοῦ Εὐρυλόχου ἐν τούτοις λόγος ἄρχεται οὕτως· (ῃερς. 431.) ἆ δειλοὶ, ὡς καὶ ἀνωτέρω κεῖται. πόσ' ἴμεν; ἤγουν ποῦ ἐρχόμεθα; τί κακῶν ἱμείρετε τούτων, Κίρκης ἐς μέγαρον καταβήμεναι, ἥ κεν ἅπαντας ἢ σῦς ἢ ἐλάφους ποιήσεται καὶ ἑξῆς. ἐν οἷς τὸ μὲν ἆ σχετλιαστικόν ἐστι κλητικὸν ἐπίῤῥημα λαμβανόμενόν ποτε καὶ ἀντὶ τοῦ αἴθε οὖ καὶ χρῆσιν παράγουσιν οἱ παλαιοί. Τὸ δὲ πόσε οὐ καθαρῶς εἴληπται ἀντὶ τοῦ ποῦ ὃ δηλοῖ τὸ ἐν τόπῳ. οἷον· ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα; ἀλλὰ μᾶλλον ἀντὶ τοῦ πῇ καὶ ποῖ, δι' ὧν δηλοῦται τὸ εἰς τόπον. οἷον· πῇ ἔβη Ἀνδρομάχη; καὶ, ποῖ φεύγεις; Τὸ δὲ ἴμεν ἢ ἐκ τοῦ εἶμι τὸ ἔρχομαι γίνεται τοῦ παραληγομένου τῇ ε¯ι διφθόγγῳ καὶ συστέλλει τὴν ἄρχουσαν τῷ λόγῳ τῶν εἰς μ¯ι, ἅπερ ἐπὶ πληθυντικῶν καὶ παθητικῶν συστέλλουσι τὰς παραληγούσας, ἢ ἀπὸ τοῦ ἑτέρου ἶμι ὃ καταμόνας τῷ ¯ι παραλήγεται ὡς ἀπὸ τοῦ ἴω. καὶ οὕτω φυλάσσει ἀναλόγως τὴν διὰ τοῦ βραχέος ἰῶτα γραφήν. (ῃερς. 433.) Σημείωσαι γὰρ ὅτι κατὰ τοὺς τεχνικοὺς διφορεῖται τὸ ἶμι παρὰ τοῖς παλαιοῖς μονοφθόγγῳ τε παραληγόμενον τῷ ἰῶτα, καὶ διφθόγγῳ τῷ διὰ τοῦ ¯ε καὶ ¯ι. (ῃερς. 432.) Τὸ δὲ σῦς ἢ ἐλάφους ποιήσεται Ἀττικῶς εἴρηται ἀντὶ τοῦ ποιήσει. Τὸ δὲ Κίρκης ἐς μέγαρον καταβῆναι ἢ ἁπλῶς ἀντὶ τοῦ βῆναι κεῖται, ἢ καὶ ἀστειότερον, ὡς εἴπερ ἔφη ἐς Ἅιδου καταβῆναι διὰ τὸν ἐλπιζόμενον ὄλεθρον. ἄλλως γὰρ ἀναβῆναι ἦν ἐκεῖ κατὰ τὸ, παρὰ νηὸς ἀνήϊον, εἰς τὴν Κίρκην δηλαδή. ἔχει δέ τινα τὸ ῥηθὲν ὁμοιότητα καὶ πρὸς τὸ, ἐς Τρώων κατέδυ πόλιν εὐρυάγυιαν. (ῃερς. 435.) Μέσαυλον δὲ καὶ νῦν, ὡς καὶ ἐν Ἰλιάδι, κατοικία ἀγροτικὴ, τουτέστιν ἔπαυλις. (ῃερς. 437.) Τὸ δὲ θρασύτητα καὶ ἀτασθαλίαν τοῦ Ὀδυσσέως κατειπεῖν πάνυ ὄντως αὐτὸ θρασὺ καὶ ἀτάσθαλον καὶ λόγος ἀλογίστου θυμοῦ. διὸ καὶ Ὀδυσσεὺς ἐπεί ποτε λυπεῖ καὶ τοὺς ἄγαν σοφοὺς τὰ τῆς ψευδοῦς ὕβρεως καὶ μᾶλλον, ὅτ' ἂν ἐφ' οἷς δέον ἐπαινεῖσθαι οἱ δὲ προσεξυβρίζωνται, βουλεύεται σπασάμενος τανύηκες (ῃερς. 440.) ἄορ παχέος παρὰ μηροῦ, τῷ οἱ ἀποτμήξας ἢ κατά τινα τῶν ἀντιγράφων ἀποπλήξας κεφαλὴν οὖδασδε πελάσαι (ῃερς. 441.) καὶ πηῷ περ ἐόντι μάλα σχεδόν. ἤγουν συγγενεῖ ἐξ ἀγχιστείας ἐγγίζοντι. γαμβρὸς γὰρ ἦν τῷ Ὀδυσσεῖ ἐπὶ τῇ ἀδελφῇ Κτιμένῃ. ἐκώλυσαν δὲ τὸ κακὸν οἱ ἑταῖροι, οἳ μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος. (ῃερς. 439.) Τὸ δὲ παχέος παρὰ μηροῦ ἀντὶ τοῦ ἀπὸ μηροῦ, ὡς καὶ παρὰ νηὸς ἀνήϊον ἀντὶ τοῦ ἀπὸ νηός. (ῃερς. 448.) Ὅτι Θρασύδειλος καὶ ὁ Εὐρύλοχος, ὃς οὕτω πολὺς φανεὶς τὴν ὀργὴν εἶτα ὑποκύπτει τοῦ ἀτενοῦς ἤθους. φησὶ γὰρ ὅτι καὶ αὐτὸς εἵπετο δείσας τὴν τοῦ Ὀδυσσέως ἐπίπληξιν. Χρήσιμον δὲ εἰς τοιοῦτον φόβον τὸ, ἀλλ' ἕπετ', ἔδδεισε γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν. Ἔνθα ὅρα ὅτι ἐκτείνει τὴν παραλήγουσαν ἡ ἐνιπή. μετ' ὀλίγα δὲ καὶ τὸ ὀδύρεσθαι ἐκτείνει τὸ δίχρονον. (ῃερς. 457.) Ὅτι παραμυθητικὸν πρός τινας πολυπαθεῖς τὸ, μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε. οἶδα καὶ αὐτὸς ἠμὲν ὅσα ἐν πόντῳ πάθετ' ἄλγεα ἰχθυόεντι, ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντο ἐπὶ χέρσου. περὶ τῶν Ὀδυσσέως δὲ φίλων ταῦτα, ἐπιτεμόντος τοῦ ποιητοῦ τὰ κατ' αὐτοὺς κακὰ ἐν στίχοις δυσίν· εἰσὶ δὲ ἀνάρσιοι, οὓς οὐκ ἔστιν ἄρσεσθαι ὅ ἐστιν ἀρέσασθαι καὶ φιλιωθῆναι. (ῃερς. 459.) Θαλερὸς δὲ γόος καθ' ὁμοιότητα τοῦ θαλερὸν δάκρυ τὸ ἄπαυστον καὶ ἀεὶ νεάζον. Ἀριστοφάνης δέ, φασι, στυγερὸν γράφει. (ῃερς. 467.) Ὅτι οἱ περὶ Ὀδυσσέα τελεσφόρον εἰς ἐνιαυτὸν παρὰ τῇ Κίρκῃ ἐκάθηντο δαινύμενοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κρέατ' ἄσπετα καὶ (ῃερς. 468.) μέθυ ἡδὺ, πίνοντες δηλαδή. ὃ δὴ καὶ μετ' ὀλίγα ὡσαύτως κεῖται. τούτου δὲ τὸ ἐντελὲς πρὸ ὀλίγου ἐν τῷ, ἐσθίετε βρώμην καὶ πίετε οἶνον. (ῃερς. 467.) Πῶς δὲ τελεσφόρος ὁ ἐνιαυτὸς, ἐῤῥέθη ἀλλαχοῦ, ὅτι δηλαδὴ, συντόμως εἰπεῖν, πάντα εἰς τέλος αὐτὸς ἄγει ἐντελέστατον διὰ τῶν τεσσάρων ὡρῶν. (ῃερς. 469.) Ὅτι τρόπος ὑστερολογίας ἤτοι σχῆμα πρωθύστερον καὶ τὸ, ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην περὶ δ' ἔτραπον ὧραι. περιτραπεῖσαι γὰρ ὧραι συντελοῦσιν ἐνιαυτόν. καὶ ἔστιν οἷον καὶ ὁρισμὸς ἐνιαυτοῦ τὸ, περὶ δ' ἔτραπον ὧραι. ἵνα ᾖ περιτροπὴ ὅ ἐστι κύκλος ὡρῶν ὁ ἐνιαυτός. δῆλον δὲ ὅτι πρῶτος ἐντεῦθεν ὁ ποιητὴς ἀφορμὴν ἐνδέδωκε, τροπικοὺς πόλους ὅ ἐστι κύκλους καλέσαι καὶ ὡρῶν τροπὰς εἰπεῖν. (ῃερς. 472.) Ὅτι προτρεπτικὸν εἰς ἐπάνοδον τὸ, δαιμόνιε ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης εἴ τοι θέσφατόν ἐστι σαωθῆναι καὶ ἱκέσθαι οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν. 1.389 (ῃερς. 474.) τὸ δὲ ὑψόροφον οἶκον ἀλλαχοῦ ὑψηρεφὲς διὰ τοῦ ¯η δῶμα λέγει, καὶ ὑψερεφὲς δὲ διὰ τῶν δύο ¯ε¯ε. (ῃερς. 483.) Ὅτι προκλητικὸν εἰς φιλικὴν προπομπὴν τὸ, ὁ δεῖνα τέλεσόν μοι ὑπόσχεσιν ἥν περ ὑπέστης ἤγουν ὑπέσχου, οἴκαδε πεμψέμεναι. θυμὸς δέ μοι ἔσσυται ἤδη ἠδ' ἄλλων ἑτάρων. (ῃερς. 489.) ὁ δὲ ἕτοιμος πέμπειν τοὺς τοιούτους ἐρεῖ ἂν τὸ τῆς Κίρκης πρὸς τὸν Ὀδυσσέα· μηκέτι νῦν ἀέκοντες ἐμῷ ἔνι μίμνετε οἴκῳ. (ῃερς. 490.) εἰ δὲ καὶ εἰς δεινόν τι πρόσωπον ἡ ὁδὸς, οἰκεῖον εἰπεῖν καὶ τὸ, ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι καὶ ἱκέσθαι εἰς Ἀΐδαο δόμους (ῃερς. 491.) καὶ ἐπαινῆς Περσεφονείης ἤγουν Φερσεφονείης. Ἔστι δὲ ἐπαινὴ Περσεφόνη, ἢ αἰανὴ, τουτέστιν ἐν σκότει διάγουσα, ἢ μᾶλλον αἰνὴ, ἡ δεινὴ, πλεοναζούσης καὶ νῦν προθέσεως ὡς καὶ ἐν ἄλλοις. Περσεφόνεια δὲ ἡ Περσεφόνη Ἰωνικῶς, ὁμοίως τῷ, Βερενίκη Βερενίκεια καὶ τοῖς τοιούτοις. πρωτότυπον δὲ τῆς ὕστερον Περσεφόνης ἡ ῥηθεῖσα Φερσεφόνη. λέγεται δὲ ἡ αὐτὴ καὶ Περσέφασσα καθ' ὁμοιότητα τινὰ τοῦ πρόφασσα. ἐκεῖνο μὲν ἐκ τοῦ φρῶ φράζω φράσω, τοῦτο δὲ ἐκ τοῦ φῶ φάζω φάσω τὸ φονεύω. δῆλον γὰρ ὅτι οὐ μόνον ἐκ τοῦ φέρω φέρσω ἡ Φερσεφόνη, ἀλλὰ καὶ μᾶλλον ἐκ τοῦ φθείρω φθέρσω Αἰολικοῦ καὶ αὐτοῦ ῥήματος. τοῦτο δὲ διὰ τὴν τῶν κατοιχομένων φθορὰν, ἧς μέρος καὶ τὰ ἐκ φόνου κακὰ, ἵνα πιθανῶς ἡ καταχθόνιος δαίμων ἐκ δύο ταυτοσήμων λέξεων εἴη συγκειμένη, τοῦ τε φθέρσω, καὶ τοῦ φένω φόνος, καθ' ὁμοιότητα τοῦ δάπεδον καὶ τῶν ἄλλων, ἃ καὶ ἐν τῇ Ἰλιάδι κεῖται. (ῃερς. 484.) Τὸ δὲ θυμός μοι ἠδ' ἄλλων ἑτάρων, καινῶς μὲν συντέτακται. θεραπεύεται δὲ ὡς ἀντίπτωσις, οἷον, θυμὸς ἐμοῦ καὶ τῶν ἄλλων, ἢ ἐμοὶ καὶ τοῖς ἄλλοις. (ῃερς. 489.) Ἰστέον δὲ ὅτι τὸ μηκέτι νῦν ἀέκοντες μίμνετε, λόγου ἤρτηται τοῦ παραινοῦντος ξεῖνον παρεόντα μὲν φιλεῖν, ἐθέλοντα δὲ πέμπειν. (ῃερς. 491.) Ὅτι τὸν Ὀδυσσέα ἡ Κίρκη πρὸ τοῦ εἰς τὴν πατρίδα πλόου χρῆναι φησὶν εἰς Ἅιδην ἐλθεῖν. καὶ αὐτὴ μὲν ποιεῖ τοῦτο, ἵνα ἐκεῖ ἐκ τοῦ μάντεως Τειρεσίου μαθὼν ὅτι θάνατος δέ σοι ἐξ ἁλὸς ἔσται ἢ ὀκνήσῃ πρὸς τὸν ἀπόπλουν ἢ ἀποπλεύσας ἐκ τῆς Κίρκης μηδὲ τῇ Καλυψοῖ πεισθείη ὕστερον ἀθανασίαν ὑπισχνουμένῃ. αὐτὴ μὲν ἡ Κίρκη οὐ προλέγει φασὶ τὰ ἐσόμενα τῷ Ὀδυσσεῖ δυσχερῆ, ἵνα μὴ ἀπιστηθῇ ὡς δι' ἔρωτα τερατευομένη καὶ φοβερὸν πλαττομένη τὸν πλοῦν. καὶ τοιοῦτον μὲν τὸ τῆς Κίρκης. ὁ δὲ Ὁμηρικὸς νοῦς τοῦ τὸν Ὀδυσσέα εἰς Ἅιδου ἐλθεῖν μέθοδός ἐστι τῶν ἐφεξῆς δηλωθησομένων μύθων τε καὶ ἱστοριῶν καὶ λοιπῶν, ἐκ τῆς τοιαύτης πλάσεως. στέλλει δὲ κατὰ τὸν ποιητὴν τοὺς περὶ τὸν Ὀδυσσέα ἡ Κίρκη ἐς Ἅιδου ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο, μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσι. τῷ καὶ τεθνειῶτι νόον (ῃερς. 494.) πόρε Περσεφόνεια οἴῳ πεπνύσθαι. τοὶ δὲ σκιαὶ ἀΐσσουσι. (ῃερς. 495.) τοῦτο δέ ποτε ἁρμόττει ἐπιλέγεσθαί τινι διαφέροντι τινῶν κατὰ νοῦν, ὃ καὶ δέεται τότε ἀκροατοῦ ἀπράγμονος. οὐ γὰρ ἁπλῶς οἰκεῖον τοῦτο ἐπὶ πάνυ συνετοῦ τινὸς λέγεσθαι, εἰ μὴ κατά τινα παρεκδοχὴν ἐννοίας. Ὅμηρος μὲν γὰρ τὸ οἱ δὲ ἐπὶ νεκρῶν φησὶν, ὁ δὲ ἄλλως εἰπὼν ἐν ἐπαίνῳ περί τινος ὡς οἷος πέπνυται, οἱ δὲ σκιαὶ ἀΐσσουσι, πάντως οὐ περὶ νεκρῶν ποιεῖται τὸν λόγον, ἀλλὰ ζῶντά τινα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συγκρίνει πρὸς ζῶντας, λέγων ὡς οἱ ἄλλοι ζῶντες σκιαὶ ὥσπερ ἀΐσσουσι. Σκιὰς δὲ τὰς τῶν τεθνεώτων λέγει ψυχὰς, οἷα τοιάσδε τινὰς ἐπιφαινομένας ἐν ταῖς ψυχαγωγίαις. ὡς γὰρ ἡ σκιαγραφία ζωγραφίας ἀτελεστέρα, οὕτω καὶ ἡ τῶν τοιούτων ἐπιφάνεια τῆς ἐμφανείας τῶν ζώντων. Ἰστέον δὲ ὅτι ὁ παρῳδὸς Μάτρων κέντρωνος λόγῳ συμφορήσας ἐν μεταποιήσει καὶ ἐκ τῶν κατὰ Τειρεσίαν εἴς τινα Κλεόνικον σοφὸν ἄνδρα ἔγραψεν οὕτως· οἱ μὲν δὴ πάντες ὅσοι πάρος ἦσαν ἄριστοι Εὔβοιός τε καὶ Ἑρμογένης δῖοί τε Φίλιπποι, οἱ μὲν δὴ τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν. ἔστι δέ τις Κλεόνικος ὃν ἀθάνατον λάχε γῆρας, οὔτε ποιητάων ἀδαήμων οὔτε θεάτρων, ᾧ καὶ τεθνειῶτι λαλεῖν πόρε Περσεφόνεια, διὰ τῶν αὐτοῦ δηλαδὴ βιβλίων καὶ τῶν ἐν αὐτοῖς λόγων. τοῦτο δὲ καὶ σκῶμμα ἔσται ποτὲ λάλου ἀνδρός. Ἰστέον δὲ ὅτι ἐν τῷ, οὔτε ποιητάων, ὃ ἀνωτέρω ἐγράφη, ὡς βραχεῖα ἐλήφθη ἡ ἄρχουσα, λόγῳ κοινῆς συλλαβῆς. οὕτω δὲ καὶ ἐν τῷ, Ἴστρος τοιαύτας παρθένους μνηστεύεται, ἡ δευτέρα χώρα βραχεῖαν ἔχει τὴν κατάρχουσαν λέξιν. (ηερς. 492.) Χρησομένους δὲ λέγει τοὺς μαντευσομένους, ὅθεν καὶ ὁ χρησμὸς, καὶ τὸ χρηματίζεσθαι. χρήσασθαι γὰρ τὸ χειρὶ δέξασθαι ὑστερογενής ἐστι λέξις. Ὅτι δὲ Θηβαῖος ὁ Τειρεσίας, καὶ ὡς παρὰ τὸ εἴρειν ἐτυμολογεῖται, ἢ παρὰ τὰ τείρεα ὅ ἐστιν ἄστρα, καὶ ὡς τυφλὸς ἦν, λέγουσιν οἱ παλαιοί. φέρεται δὲ περὶ αὐτοῦ μυθικὸς λόγος, ὅτι δράκοντας ἐν Κιθαιρῶνι μιγνυμένους ἰδὼν καὶ τὴν θήλειαν 1.390 ἀνελὼν μετέπεσεν εἰς γυναῖκα. εἶτα συγκατενεγκὼν μετὰ καιρὸν καὶ τὸν ἄῤῥενα τὴν οἰκείαν φύσιν ἀπέλαβε. τοῦτον Ζεὺς καὶ Ἥρα διαφερόμενοι κριτὴν εἵλοντο οἷα πεπειραμένον ἑκατέρας φύσεως, εἰ ἄρα μᾶλλον τὸ ἄῤῥεν ἢ τὸ θῆλυ ἐνεργοῦντα γέγηθεν. ὃ δ' ἐγνωμάτευσέ πως ἐμμέτρως ὡς εἴπερ ἐν δέκα μοιράων εἴη τὰ τῆς τερπωλῆς, τὰς ἐννέα ἐμπίπλησι γυνὴ τέρπουσα νόημα. ἐφ' ᾧ Ἥρα μὲν ὀργισθεῖσα ἐκτυφλοῖ αὐτὸν, Ζεὺς δὲ δωρεῖται τὴν μαντικὴν, ὡς ἔχειν οὕτω καὶ αὐτὸν ἀγαθόν τε κακόν τε, τὸ μὲν τὴν μαντοσύνην, τὸ δὲ καὶ ἀλαωτήν. Καλλίμαχος δὲ λέγει τὸν Τειρεσίαν ἰδόντα γυμνὴν λουομένην τὴν Ἄρτεμιν περί που τὴν Βοιωτίαν πηρωθῆναι. Σώστρατος δὲ ἐν Τειρεσίᾳ, ποίημα δέ ἐστιν ἐλεγειακὸν, φησὶ τὸν Τειρεσίαν θήλειαν τὴν ἀρχὴν γεννηθῆναι καὶ ἐκτραφῆναι ὑπὸ Χαρικλοῦς. καὶ ἑπτὰ ἐτῶν γενομένην ὀρειφοιτεῖν. ἐρασθῆναι δὲ αὐτῆς τὸν Ἀπόλλωνα. καὶ ἐπὶ μισθῷ συνουσίας διδάξαι τὴν μουσικήν. τὴν δὲ μετὰ τὸ μαθεῖν μηκέτι ἑαυτὴν ἐπιδιδόναι τῷ Ἀπόλλωνι κἀκεῖνον ἀνδρῶσαι αὐτὴν, ἵνα πειρῷτο Ἔρωτος. καὶ αὐτὴν ἀνδρωθεῖσαν κρῖναι Δία καὶ Ἥραν ὡς ἀνωτέρω ἐῤῥέθη. καὶ οὕτω πάλιν γυναικωθεῖσαν ἐρασθῆναι Κάλλωνος Ἀργείου ἀφ' οὗ σχεῖν παῖδα κατὰ χόλον Ἥρας τὰς ὄψεις διεστραμμένον. διὸ καὶ κληθῆναι Στράβωνα. μετὰ δὲ ταῦτα τοῦ ἐν Ἄργει ἀγάλματος τῆς Ἥρας καταγελῶσαν εἰς ἄνδρα μεταβληθῆναι ἀειδῆ, ὡς καὶ πίθωνα λέγεσθαι. ἐλεηθεῖσαν δὲ ὑπὸ Διὸς εἰς γυναῖκα μορφωθῆναι αὖθις ὡραίαν καὶ ἀπελθεῖν εἰς Τροιζῆνα, ὅπου ἐρασθῆναι αὐτῆς Γλύφιον ἐγχώριον ἄνδρα καὶ ἐπιθέσθαι αὐτῇ λουομένῃ. τὴν δὲ ἰσχύϊ περιγενομένην τοῦ μείρακος πνίξαι αὐτόν. Ποσειδῶνα δὲ οὗ παιδικὰ ἦν ὁ Γλύφιος ἐπιτρέψαι ταῖς μοίραις δικάσαι περὶ τούτου. καὶ αὐτὰς εἰς Τειρεσίαν αὐτὴν μεταβαλεῖν καὶ ἀφελέσθαι τὴν μαντικήν. ἣν αὖθις μαθεῖν ὑπὸ Χείρωνος καὶ δειπνῆσαι ἐν τοῖς Θέτιδος καὶ Πηλέως γάμοις. ἔνθα ἐρίσαι περὶ κάλλους τήν τε Ἀφροδίτην καὶ τὰς Χάριτας αἷς ὀνόματα, Πασιθέη, Καλὴ, καὶ Εὐφροσύνη. τὸν δὲ δικάσαντα κρῖναι καλὴν τὴν Καλὴν, ἣν καὶ γῆμαι τὸν Ἥφαιστον, ὅθεν τὴν μὲν Ἀφροδίτην χωλωθεῖσαν μεταβαλεῖν αὐτὸν εἰς γυναῖκα χερνῆτιν γραῖαν, τὴν δὲ Καλὴν χαῖτας αὐτῇ ἀγαθὰς νεῖμαι καὶ εἰς Κρήτην ἀπαγαγεῖν, ἔνθα ἐρασθῆναι αὐτῆς Ἄραχνον, καὶ μιγέντα αὐχεῖν τῇ Ἀφροδίτῃ μιγῆναι. ἐφ' ᾧ τὴν δαίμονα ὀργισθεῖσαν τὸν μὲν Ἄραχνον μεταβαλεῖν εἰς γαλῆν, Τειρεσίαν δὲ εἰς μῦν, ὅθεν καὶ ὀλίγα φησὶν ἐσθίει ὡς ἐκ γραὸς, καὶ μαντικός ἐστι διὰ τὸν Τειρεσίαν. ὅτι δὲ μαντικόν τι καὶ ὁ μῦς, δηλοῦσιν ὅ τε χειμὼν οὗ σημεῖον ἐν καιρῷ οἱ τῶν μυῶν τρισμοὶ, καὶ αἱ ἐκ τῶν οἰκιῶν φυγαὶ, ἃς διαδράσκουσιν, ὅτε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κινδυνεύοιεν καταπεσεῖν. τούτου δὲ τὸ διγενὲς δηλοῖ σὺν ἄλλοις καὶ ὁ Λυκόφρων, παρ' ᾧ φέρεται τὸ, τὸν Τειρεσίαν ἀνδρῶν γυναικῶν εἰδέναι ξυνουσίας. ὁποῖόν τινα καὶ τὸν Καινέα γενέσθαι φασί. καὶ τοιαῦτα μὲν ταῦτα. ὁ δὲ ποιητὴς οὐ μόνον μαντικώτατον ἐνταῦθα τὸν Τειρεσίαν ἐμφαίνει ὡς τοιοῦτον ὄντα ὑπὲρ τὰς ἄλλας ψυχὰς, ἀλλὰ καὶ στερέμνιόν τι ἔχοντα, εἴπερ αὐτῷ μὲν φρένες ἔμπεδοι νοοῦντι (ηερς. 495.) καὶ πεπνυμένῳ θειότερον. οἱ δὲ σκιαὶ ἀΐσσουσι. τουτέστιν οἱ περὶ τὸν Ἅιδην. ὃ καὶ σημείωσαι. μὴ προειπὼν γάρ τινας ὅμως ἐπήγαγε τὸ, τοὶ δὲ σκιαὶ ἀΐσσουσι. Σημείωσαι δὲ ὅτι περὶ Σειρήνων μὲν καὶ Σκύλλης καὶ Χαρίβδεως καὶ Ἡλίου βοῶν ἐρεῖ πρὸς Ὀδυσσέα ἡ Κίρκη ὡς γειτνιῶσα φασὶ, καθὸ Τυρσηνικὴ, τοῖς κατὰ τὸν Σικελικὸν πορθμὸν μέρεσι, περὶ ὧν οὐδὲν ὁ Τειρεσίας ἐρεῖ. περὶ δὲ τῶν λοιπῶν ἐπιτρέπει τῷ μάντει ὡς ἂν μὴ ἀπιστηθῇ, καθὰ καὶ προεγράφη, οἷα ὑπὲρ ἑαυτῆς τὰ τοιαῦτα εἰποῦσα. Σημείωσαι δὲ καὶ ὅτι ἡ πρὸς Ἅιδην κάθοδος τοῦ σοφοῦ Ὀδυσσέως αἰνίττεται ὡς οὐδὲ τὰ κάτω γῆς τὸν τοιοῦτον ἄνδρα διαπέφευγεν, ἀλλὰ τῇ κατὰ σκέψιν βαθύτητι γενόμενος ὑπὸ γῆν ἐντυγχάνοι καὶ τοῖς ἐκεῖ, τί τέ ἐστι ψυχὴ ἐμβαθύνων, καὶ τί ποτε δρᾷ ἢ πάσχει λυθεῖσα τοῦ σώματος, καὶ οἷα τὰ ὑπὸ γῆν, καὶ ἄλλα ὅσα τοιαῦτα διασκοπεῖσθαι εἰκός. τινὲς δὲ νεκυομαντίαν τεχνήσασθαι τὸν Ὀδυσσέα φασὶ Κίρκης ὑπαγορευσάσης πρὸς δυσμαῖς Ἡλίου γενόμενον ὡς ἐν τοῖς ἑξῆς φανεῖται, ἃς δὴ τόπον Ἅιδου ἡ ποίησις ὑπονοεῖ, καὶ τὴν τοιαύτην ψυχαγωγίαν καὶ πρὸς τοὺς κατοιχουμένους ὁμιλίαν, κάθοδον εἰς Ἅιδου φασίν. ἄλλως μέντοι ὁ ποιητὴς τὴν τοιαύτην εἰς Ἅιδου κάθοδον πλάττει πρὸς χορηγίαν γραφῆς πλείονα ὡς καὶ προδεδήλωται. Ἡ δὲ τοῦ πεπνύσθαι τὸν Τειρεσίαν πλάσις δοκεῖ γενέσθαι παρὰ τὸ, αὐτὸν μάλιστα ὑπὲρ τὰς ἄλλας ψυχὰς ἐν ταῖς νεκυομαντικαῖς ἀνακαλεῖσθαι ψυχαγωγίαις διὰ τὸ ἐν τοῖς ζῶσι μαντικὸν αὐτοῦ. Ὅτι λύπης πολλῆς παραστατικὸν τὸ, αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ. ὃ καὶ ἀλλαχοῦ κεῖται. κλαῖον δ' ἐν λεχέεσσι καθήμενος. οὐδέ τι θυμὸς ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο. (ηερς. 499.) Παύσεως 1.391 δὲ καὶ ἀνέσεως ἔνδειξις τὸ, αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τε κορέσθην. (ηερς. 501.) Ὅτι Ὀδυσσεὺς μὲν μαθὼν δεῖν αὐτὸν εἰς Ἅιδου πλεύσειν πυνθάνεται· ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει; εἰς Ἄϊδος δ' οὔπω τις ἀφίκετο νηῒ μελαίνῃ. ἡ δὲ μή τί τοι φησὶν ἡγεμόνος γε ποθὴ μελέσθω, ἱστὸν δὲ στήσας ἀνά θ' ἱστία λευκὰ πετάσας (ηερς. 507.) ἧσθαι, τουτέστι κάθησο. τὴν δὲ πνοιὴ Βορέαο φέρῃσιν, εἰς τοὺς περὶ τὸν Ἅιδην δηλαδὴ τόπους, εἰ καὶ μὴ ῥητῶς τοιοῦτον πρόσκειται. συνάγοιτο δ' ἂν ἐντεῦθεν σοφιστικῶς καὶ ἀστείως ναυτιλίας ψόγος. δεῖ γὰρ ἱστὸν στῆσαι καὶ ἀνέμοις ἑαυτόν τινα ἐπιτρέψαι, καὶ τοῦτό ἐστιν εἰς Ἅιδου στέλλεσθαι. (ηερς. 501.) Τὸ δὲ ταύτην ὁδὸν, ἔλλειψιν ἔχει καὶ νῦν προθέσεως, ἵνα ᾖ, εἰς ταύτην ὁδὸν ἡγεμονεύσει. (ηερς. 502.) Ἔχει δὲ καὶ τὸ, εἰς Ἄϊδος, ἔλλειψιν Ἀττικὴν τοῦ, δόμον ἢ τόπον ἢ τοιούτου τινὸς, ὥστε τρεῖς ἐλλείψεις τὸ ῥηθὲν ἴσχει χωρίον, ἤγουν τὰς δύο ταύτας, καὶ τὸ, πνοιὴ Βορέαο φέρῃσιν, εἰς Ἅιδην δηλαδή. Τὸ δὲ νηῒ μελαίνῃ, πρὸς ἀσφάλειαν κεῖται λόγου. εἰ γὰρ καί τινες εἰς Ἄϊδος ἀφίκοντο οἷον καὶ Ἡρακλῆς καὶ Θησεὺς καὶ Περίθους, ἀλλὰ νηῒ μελαίνῃ οὐδείς. ὁ γὰρ πορθμεὺς Χάρων καὶ τὸ κατ' αὐτὸν πλοιάριον μεθ' Ὅμηρον μεμύθευται. διὸ καὶ παρασημειοῦται τοῦτο ὁ ποιητὴς ὡς πάνυ τερατῶδες. Ἰστέον δὲ καὶ ὅτι Χάρων οὐ μόνον ὁ ῥηθεὶς δαιμονιώδης, ἀλλὰ καὶ λέοντος ἐπίθετον ἀπὸ τῆς κατ' αὐτόν φασι χαροπότητος. (ηερς. 501.) Σημείωσαι δὲ ὅτι ἐν τῷ, ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει, δοκεῖ πάντῃ καὶ ἐκ περισσοῦ κεῖσθαι ὁ αἰτιολογικὸς σύνδεσμος. θεραπευθείη δ' ἂν λόγῳ ἐλλείψεως, ἵνα λέγῃ ὅτι ὦ Κίρκη ἀδύνατα φής. τίς γὰρ εἰς Ἅιδου ἡγεμονεύσει; καὶ ἔχει πολὺ τὸ σεμνὸν ἡ τοιαύτη ἔλλειψις διὰ τὴν προσωπικὴν ποιότητα. (ηερς. 508.) Ὅτι οὐχ' ἁπλῶς πρὸς δύσιν τὰ τοῦ ποιητικοῦ Ἅιδου, ἀλλ' ὑπερέκεινα τοῦ Ὠκεανοῦ. φησὶ γοῦν ἡ ποιητικὴ Κίρκῃ· ἀλλ' ὁπότ' ἂν δὴ νηῒ δι' Ὠκεανοῖο περήσῃς, ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης, μακραί τ' αἴγειροι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἰτέαι ὠλεσίκαρποι· νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' Ὠκεανῷ βαθυδίνῃ. ἤγουν ἐπὶ τῷ ἐκεῖσε πέρατι τοῦ Ὠκεανοῦ, ὡς ἐκεῖ δῆθεν περατουμένου. αὐτὸς δ' εἰς Ἀΐδεω ἰέναι δόμον (ῃερς. 512.) εὐρώεντα, ἤγουν σκοτεινὸν ἢ καὶ πλατύν. Καὶ ὅρα τὸ εἰς Ἀΐδεω δόμον ἐντελῶς φρασθὲν καὶ οὐκ ἐλλιπῶς κατὰ τὸ, εἰς Ἄϊδος δ' οὔπω τις ἀφίκετο. ἡ δὲ τοπογραφία τῶν ἐκεῖθεν τοῦ Ὠκεανοῦ ἤγουν τοῦ κατὰ Περσεφόνην ἄλσους καὶ τῶν ἐφεξῆς, ἃ δὴ μετ' ὀλίγα εἰρήσεται, οὐκ ἂν εἶχον ἱστορικῶς ῥηθῆναι, εἰ μὴ Μοῦσα μυθικῶς ὑπέκειτο λέγουσα καὶ Κίρκη, δαιμόνια πρόσωπα. διὸ οἱ τοιαῦτα προτιθέμενοι λαλεῖν ποιηταὶ εἰκότως καὶ τοιούτοις προσώποις χρῶνται πρὸς ἀφήγησιν. Πιθανῶς δὲ πέπλασται τὰ κατὰ τὸ ῥηθὲν ἄλσος καὶ προσφυῶς τοῖς περὶ τὸν Ἅιδην. (ῃερς. 509.) ἀκτή τε γὰρ ὁ τόπος καὶ οὐ λιπαρὰ γῆ, καὶ ἄκαρπα τὰ ἐκεῖ δένδρα. τοιαῦτα γὰρ (ῃερς. 510.) αἴγειροι καὶ ἰτέαι, δένδρα προσήκοντα τόποις νεκρῶν. οἷς καὶ τρίχας ἔκειρον, τὰ ἐν ζῴοις ἄψυχα. καὶ ζωμάτων ἀπήρχοντο, καὶ ἀνθέων, καὶ ἀκροδρύων, καὶ τοιούτων τινῶν ἀψύχων. κἂν εἴ που ζῷόν τι ἔδει ἐπισφάξαι, στεῖραν βοῦν καὶ ἕτερα ζῷα ἔντομα, οὐ μὴν ἔνορχα καὶ γόνιμα, ἐκείνοις ἔθυον. ἀλλὰ τὰ, ὡς εἰπεῖν, ἐν ζῴοις ἄζωα διὰ τὸ ἄγονον. οὕτω δὲ καὶ οἱ ἐφεξῆς ῥηθησόμενοι ποταμοὶ προσφυῶς τοῖς ἐν Ἅιδου πλάττονται, ὁ Ἀχέρων καὶ οἱ λοιποί. (ῃερς. 508.) Ἰστέον δὲ ὅτι οἰκείως ἐντοῖς ἑξῆς καὶ ἀσφοδελὸς λειμὼν ἐν Ἅιδου πλάττεται διὰ τὸ τῶν ἀσφοδέλων ἄκαρπον ὡς κατὰ τόπον ῥηθήσεται. Ὅρα δὲ τὸ δι' Ὠκεανοῖο περήσῃς, οὐ γὰρ εἶπεν εἰς Ὠκεανὸν περάσεις, ἀλλὰ δι' Ὠκεανοῦ, ἵνδηλοῖ ὡς ἐκ τῆς ἑσπερίας θαλάσσης εἰς Ὠκεανὸν πλεύσας καὶ διὰ τοῦ τοιούτου Ὠκεανοῦ ἤγουν διὰ τῆς ἔξω θαλάσσης περάσας εἰς τὴν ἐκεῖθεν ἀκτὴν ὄψει τὰ κατὰ τὸν Ἅιδην. (ῃερς. 509.) Λάχεια δὲ, ἡ ἐλαχίστη κατὰ τοὺς παλαιούς. ὥστε γράφοιτ' ἂν τῷ λόγω τούτῳ καὶ ἡ ἐλάχεια. εἰ δὲ καὶ κύριόν ἐστι τοπικὸν ὄνομα κατὰ τὴν προῤῥηθεῖσαν νῆσον τὴν πρὸ τῶν Κυκλώπων, εἰδείη ἂν ἡ Ὁμηρικὴ Μοῦσα καὶ Κίρκη. Ἄλσεα δὲ καὶ νῦν χωρία φασὶν ἱερὰ σύνδενδρα. (ῃερς. 510.) Τὸ δὲ μακραὶ αἴγειροι ταυτὸν ὡς εἰ καὶ μακεδναὶ εἴποι. ἔφη γοῦν πρὸ τούτων φύλλα μακεδνῆς αἰγείρου. Ἰτέαι δὲ, κοινῶς μὲν δένδρα γνώριμα. ἦν δὲ καὶ ἀσπίδων ὄνομα αἱ ἰτέαι ὡς καὶ ἐν Ἰλιάδι ἐδηλώθη. Ὠλεσίκαρποι δὲ ἰτέαι ἢ ὅτι ἀποβάλλουσι φασὶ τὸ ἄνθος πρινὴ πεπανθῆναι ἢ διότι οἱ πιόντες τοῦ κατ' αὐτὰς ἄνθους ὄλλουσι τὸν καρπὸν ἤτοι ἄγονοι γίνονται, ὡς καὶ Θεόφραστος ἱστορεῖ. ἐκτείνει δὲ ἡ λέξις τὴν ἄρχουσαν ἀναγκαίως ὡς μέτρῳ χρήσιμον. ὁ γὰρ τρίβραχυς ποὺς ἀσυντελὴς τοῖς ἡρωΐζουσιν. οὕτω δὲ καὶ τὸ εὐρώεντα πρὸς εὐχρηστίαν μέτρου ἐκτείνει τὴν προπαραλήγουσαν ὁμοίως τῷ κητώεντα καὶ ὠτώεντα καὶ τοῖς 1.392 τοιούτοις. (ῃερς. 511.) Περὶ δὲ τοῦ κέλσαι νῆα, προγέγραπται ἱκανῶς. ἔστι δὲ καὶ νῦν τὸ κέλσαι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ὡς τὸ ἰέναι ἀντὶ τοῦ ἴθι καὶ ἄλλα ἐφεξῆς ὅμοια πολλά. (ῃερς. 513.) Ὅτι τοπογραφικῶς περιηγούμενος ὁ ποιητὴς ἐν ὀλιγίστῳ καθὰ καὶ ἐχρῆν ὥσπερ τὸ τῆς Περσεφόνης ἄλσος οὕτω καὶ τὰ ἐφεξῆς καὶ ἐνδοτέρω τοῦ Ἅιδου, φησίν· ἔνθα μὲν, τουτέστιν ἐν Ἅιδου, εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κωκυτός τε, ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀποῤῥώξ. πέτρη τε. (ῃερς. 515.) ξύνεσίς τε δύο ποταμῶν ἐριδούπων. Λέγει δὲ ξύνεσιν κατὰ τοὺς παλαιοὺς συνάφεσιν καὶ εἰς ταυτὸ συμβολὴν ποταμῶν τῶν ῥηθέντων δηλαδὴ, ὡς δῆθεν τοῦ Ἀχέροντος κοινουμένου τὸ αὐτῶν ῥεῦμα ξυνιόντων ἐκεῖ κατὰ σύῤῥοιαν. οἱ δέ γε μεθ' Ὅμηρον ἐπὶ φρονήσεως τιθέασι τὴν ξύνεσιν, παρὰ τὸ ξυνιέναι καὶ αὐτοὶ νοοῦντες τὴν λέξιν, ὡς πολλῶν συνιόντων εἰς βουλήν. κατὰ τὸ, πολλῶν ἀγρομένων, τῷ πείσεαι ὅς κεν ἀρίστην βουλὴν βουλεύει. διὸ καὶ ξυμβουλὴ τὸ τοιοῦτον ἔργον, ὡς ἄν τις εἴποι συμβολή. ὃ ταυτὸν ἦν τῷ ξύνεσις. ὁμοιοπαράγωγος δὲ τῇ ξυνέσει ταύτῃ καὶ ἡ παρὰ τῷ Ἡροδότῳ ἔξεσις, ὅπερ ἀπόπεμψιν δηλοῖ γυναικὸς ἤτοι διαζύγιον. ἐντεῦθεν δὲ καὶ ἐξεσία ἡ ἐπὶ πρεσβείαν ἔκπεμψις. (ῃερς. 513.) Ἰστέον δὲ ὅτι τὸ, εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κωκυτός τε, προδιεζευγμένον σχῆμα καλεῖται, ὅπερ ἐν ἄλλοις ἐῤῥέθη καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀλκμανικὸν λέγεσθαι διὰ τὸ τὸν Ἀλκμᾶνα κατακόρως αὐτῷ χρᾶσθαι. οἷον· Κάστωρ ὠκέων πώλων ἐλατῆρε καὶ Πολυδεύκεις. γίνεται δὲ, ὅτ' ἂν τὸ μετὰ δύο λέξεις τεθησόμενον μεσολαβηθῇ μετὰ μίαν τεθέν. οἷον· ἐγὼ ἤλθομεν καὶ σύ, τὸ γὰρ ἤλθομεν μεσολαβεῖται δυσὶ λέξεσι ὧν ὕστερον τεθῆναι ὤφειλεν. ὡς καὶ ἐνταῦθα τὸ ῥέουσι μέσον κεῖται τοῦ Πυριφλεγέθων καὶ Κωκυτὸς, ὀφεῖλον κεῖσθαι μετ' αὐτούς. Πέπλασται δὲ ὡς καὶ τοῖς παλαιοῖς δοκεῖ ὁ Ἀχέρων παρὰ τὸ ἄχεα ῥέειν, ὡς καὶ ὁ Πυριφλεγέθων παρὰ τὸ πῦρ ᾧ οἱ θνήσκοντες ἐφλέγοντο, (ηερς. 514.) καὶ ὁ Κωκυτὸς διὰ τὸν ἐπ' αὐτοῖς ἔνδακρυν θρῆνον. καὶ ἡ Στὺξ διὰ τὸ στυγητὰ εἶναι τὰ κάτω καὶ διὰ τὸ στυγνάζεσθαι δὲ τοὺς θνήσκοντας. ἡ μέντοι ἱστορία οἶδε ποταμὸν ἀληθῶς ὑπὲρ γῆς Ἀχέροντα καὶ Πυριφλεγέθοντα δὲ καὶ Κωκυτὸν, καὶ πηγήν τινα Στύγα, ἐξ ὧν τὰ ἐν Ἅιδου πλάττονται. οἱ γοῦν ἱστοροῦντες ἔθνος Εὐρωπαῖον τοὺς Κιμμερίους ἐπέκεινα Ἰταλίας οἰκοῦν ὑπὸ γῆν ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται φασὶ καὶ πηγὴν ἐν τοιούτοις τόποις Στύγα εἶναι νομιζομένην, καὶ Πυριφλεγέθοντα, καὶ Ἀχέροντα, ὡς καὶ αὐτίκα μετὰ βραχὺ εἰρήσεται. Λυκόφρων δὲ τὸν Πυριφλεγέθοντα ὥσπερ καὶ τὸν Κωκυτὸν Ἰταλικοὺς ἱστορεῖ ποταμοὺς, ἐκκύπτοντας τοῦ πολυδέγμονος, ὄρους τούτου ὑψηλοτάτου ἐν τοῖς ἐκεῖ. εἰ καὶ ὁ μῦθος παρεκνεύει μετοχετεύων εἰς τὸν Ἅιδην αὐτοὺς διὰ τὸ κατὰ τὰς κλήσεις οἰκεῖα δοκεῖν εἶναι τὰ τοιαῦτα τοῖς Ἅιδου τόποις. ἡ δὲ γεωγραφικὴ περὶ Στυγὸς καὶ Πυριφλεγέθοντος καὶ Ἀχέροντος ἱστορία τοιαύτη. πλησίον τῆς Σικελικῆς Κύμης Ἀχερουσία λίμνη, ἀνάχυσίς τις τεναγώδης θαλάσσης· περὶ δὲ τὸν ἐν Βαΐαις κόλπον κόλπος τις ἕτερος ποιῶν χερόννησον ἔχουσαν ἰσθμὸν ὀλιγοστάδιον, ὁ Ἄορνος, ἀγχιβαθής φησι καὶ ἀρτίστομος, περικυκλούμενος ὀφρύσιν ὀρθαῖς, συνηρεφὴς ἀγρίᾳ ὕλῃ μεγαλοδένδρῳ καὶ ἀβάτῳ. ἐν ᾧ μῦθος τοὺς ὄρνις ὑπερπετεῖς γενομένους καταπίπτειν εἰς τὸ ὕδωρ, φθειρομένους ὑπὸ τῶν ἀναφερομένων ἀέρων ὡς ἐν τοῖς Πλουτωνίοις. διὸ καὶ τοῦτο χωρίον Πλουτώνειόν τι ὑπελάμβανον, καὶ τοὺς Κιμμερίους ἐνταῦθα ἔλεγον. καὶ εἰσέπλεον τινὲς προθυσόμενοι καὶ ἱλασόμενοι τοὺς καταχθονίους, ἱερέων ὑφηγουμένων τὰ τοιάδε. καὶ ὕδατος δὲ αὐτόθι πηγὴ ποταμίου ἐπὶ τῇ θαλάσσῃ, οὗ ἀπείχοντο πάντες, τὸ τῆς Στυγὸς ὕδωρ αὐτὸ νομίσαντες. καὶ Πυριφλεγέθοντα δὲ ἐκ τῶν θερμῶν ὑδάτων ἐτεκμαίροντο τῶν πλησίον, ὥσπερ ἴσως καὶ ἐκ τῆς ῥηθείσης Ἀχερουσίας Ἀχέροντα. ἐν τούτῳ φησὶ τῷ Ἀόρνῳ κόλπῳ τὰ περὶ τὴν νεκύαν τὴν Ὁμηρικήν. καὶ νεκυομαντεῖον δὲ ἐνταῦθα ἱστοροῦσι γενέσθαι. καὶ Ὀδυσσέα εἰς τοῦτο ἀφικέσθαι. καὶ τοῦτο μὲν πλατύτερον. ἐκεῖνο δὲ συντομώτατον, ὡς ἐν Κύμῃ καὶ Δικαιαρχείᾳ Πυριφλεγέθων καὶ λίμνη Ἀχερουσία, καὶ νεκυομαντεῖον τὸ ἐν τῷ Ἀόρνῳ. ὁ δὲ ταῦτα γράψας γεωγράφος λέγει καὶ ὅτι ποταμὸς Ἀχέρων καὶ περὶ Θεσπρωτίαν ἐν τῇ χειμερίῳ ἄκρᾳ, ἐκβάλλων εἰς τὸν γλυκὺν λιμένα. ἔνθα δηλαδὴ ἡ χειμέριος ἄκρα κατὰ τὰ ἑῷα τῆς Κερκύρας, ῥέων ἐκ λίμνης Ἀχερουσίας, καὶ ὅτι ἐμβάλλει καὶ εἰς τὸν Ἀλφειὸν Ἀχέρων ποταμός. ἔνθα καὶ ὁ Ἅιδηἐκτετιμῆσθαι λέγεται ἱκανῶς, ὡς καὶ ἐν τοῖς τοῦ περιηγητοῦ γέγραπται. ὡς εἶναι καὶ ἐκεῖσε ποταμὸν τοιούτου Ἅιδου, τὸν αὐτόθι Ἀχέροντα. καὶ περὶ Φενεὸν δὲ τὸ τῆς Στυγὸς ὕδωρ ἱστορεῖ ὁ αὐτὸς, ἱερὸν νομιζόμενον. Ἡρόδοτος δὲ, περὶ Νώνακριν. ὃς καὶ αὐτὸς λέγει ὡς Ἀχέρων ποταμὸς ἐν Θεσπρωτίᾳ, ἔνθα 1.393 καὶ νεκυομαντεῖον, ὡς εἶναι στοχάσασθαί τινα πιθανῶς ἐκ τῶν τοιούτων πλασθῆναι καὶ τὰ ἐν Ἅιδου τῷ ποιητῇ. γέγραπται δὲ περὶ Στυγὸς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ταῦτα· Ἄορνος, λιμὴν περὶ Τυρσηνίαν. καὶ ἐν Κύμῃ δέ φησι τῇ Χαλκιδικῇ Ἄορνος λίμνη. περὶ ἣν πεφυκότων πολλῶν δένδρων μηδὲν τῶν ἀποπιπτόντων φύλλων ἐμπίπτειν εἰς αὐτήν. εἶναι δὲ καὶ νεκυομαντεῖον ἐκεῖ, ταυτὸν δὲ εἰπεῖν ψυχοπόμπιον, κατὰ τὸν γράψαντα ὅτι ἔστι καὶ ἐν Μολοττοῖς ψυχοπόμπιον. ὅθεν θεοὶ Μολοττικοὶ οἱ ἐν τούτῳ. (ηερς. 515.) Τὸ δὲ ἀποῤῥὼξ, κεῖται καὶ πρὸ τούτων ἐν τοῖς τοῦ Κύκλωπος. Ἡ δὲ πέτρα πλάττεται πρὸς πιθανότητα τοῦ ἐκεῖθεν τὴν Στύγα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατείβεσθαι, ὡς τὸ, καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ. ἴσως δὲ εἴη ἂν αὕτη ἡ ἐν τοῖς μετὰ ταῦτα λεχθησομένη Λευκὰς πέτρα. Ὅτι δὲ τὸ καθ' ἱστορίαν Στυγὸς ὕδωρ προσφυῶς παρελαλήθη ᾠκειῶσθαι τῷ Ἅιδῃ ὡς λιβάδιον ὀλεθρίου ὕδατος, ὁ γεωγράφος ἱστόρησε καὶ αὐτό. εἰσὶ δὲ, ὡς εἰκὸς, καὶ ἄλλα τοιαῦτα ὕδατα. ὁποῖον καὶ τὸ τῆς Τιλφώσσης κρήνης Βοιωτίας, ἧς πιὼν Τειρεσίας καὶ διὰ γῆρας οὐχ' ὑπομείνας τὴν ψυχρότητα τέθνηκεν, ὡς λέγεται ἱστορεῖν Ἀριστοφάνης. Πίνδαρος μέντοι μεμνημένος αὐτῆς καλλιλογεῖ τὰ κατ' αὐτὴν οὕτω. μελιγαθὲς ἀμβρόσιον ὕδωρ Τιλφώσσας ἀπὸ καλλικρήνου. μνηστέον δ' ἐνταῦθα καὶ Ὁμηρικοῦ ὕδατος τοῦ ἐν Ἰλιάδι ἐοικότος ἐν θέρους καιρῷ χιόνι ἢ χαλάζῃ ἢ ἐξ ὕδατος κρυστάλλῳ, καὶ οὐκ ἤδη οὐδ' αὐτοῦ προσήκοντος τοῖς ἐν Ἅιδου κατὰ τὴν ὀλοθρεύουσαν Στύγα τοὺς πίνοντας καὶ οὕτω προϊάπτουσαν αὐτοὺς Ἄϊδι, λοίσθιον ἐκεῖθεν σκύφον σπάσαντας. (ῃερς. 517.) Ὅτι περὶ τοὺς προσεχῶς ῥηθέντας τόπους ἡ Κίρκη κελεύει τῷ Ὀδυσσεῖ βόθρον ὀρύξαι ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα, ἤγουν εἰς πλάτος καὶ εἰς μῆκος, ὡς γενέσθαι αὐτὸν ἢ τετράγωνον ἰσόπλευρον κατὰ τὰς ἔνθα καὶ ἔνθα παραλλήλους πλευρὰς, ἢ στρογγύλον κατὰ τὸ, ἔνθα καὶ ἔνθα, ἤτοι πάντοθεν καὶ κύκλῳ πυγούσιον. ἀμφ' αὐτῷ δὲ χοήν φησι πᾶσι νεκύεσσι, πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ, (ῃερς. 5.) τὸ τρίτον αὖθ' ὕδατι ὡς εἶναι καὶ τοῦτο οἷον τριττύαν τινὰ ἢ τριττὺν, κατὰ τὴν τῶν θυομένων ζῴων. ἐπὶ (ῃερς. 517.) δ' ἄλφιτα λευκὰ παλύνειν, ὑποσχέσθαι τε τὰ ἐφεξῆς. Ἔστι δὲ πυγούσιος ὁ πηχυαῖος, μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς, ὁ πυγονιαῖος. καὶ κεῖται ἡ λέξις αὕτη παρὰ τῷ δειπνοσοφιστῇ, ἔνθα λέγει ὅτι ὅλμος καὶ ποτήριον, κερατίου τρόπον εἰργασμένον, ὕψος ὡς πυγονιαῖον. Καὶ σημείωσαι ὅτι ὅλμος οὐ μόνον σκεύους εἶδος τὸ σύνηθες οὗ χρῆσις καὶ ἐν Ἰλιάδι, ἀλλὰ καί τι ποτήριον. ἔστι δὲ πυγὼν τὸ ἀπὸ ἀγκῶνος μέχρι δακτύλων κεκαμμένων ὅ ἐστι συνεπτυγμένων διάστημα, ὅθεν καὶ οἱ ἐν Ἰλιάδι Πυγμαῖοι. αἰνίττεται δέ φασι διὰ τούτου ὁ λόγος τὸ μὴ ἀνεῖσθαι τοὺς τετελευτηκότας μήδ' ἐπ' ἐξουσίας εἶναι, ἀλλὰ μεμετρῆσθαι κατὰ τὸν σύμμετρον βόθρον, καὶ ὥσπερ ἔχεσθαι καὶ ἐγκεκλεῖσθαι καθὰ καὶ οἱ δάκτυλοι. (ῃερς. 518.) Τὸ δὲ χοὴν χέεσθαι, τρόπος ἐστὶν ἐτυμολογίας. οἰκεῖον δὲ νεκροῖς ἡ χοὴ, οὐ μὴν ἡ σπονδὴ ἢ ἡ λοιβή. (ῃερς. 519.) Μελίκρατον δὲ οἱ παλαιοὶ μίγμα φασὶ μέλιτος καὶ γάλατος ἐνταῦθα. οἱ μέντοι μεθ' Ὅμηρον μέχρι καὶ ἐσάρτι κράμα μέλιτος καὶ ὕδατος τὸ μελίκρατον οἴδασι. Νηφάλιον δὲ πόμα καθὰ τὸ ἐξ ὕδατος, οὕτω καὶ τὸ ἐκ μέλιτος, ψυχαῖς πρέπον, καὶ ὅλως τοῖς ἐν Ἅιδου. διὸ καὶ ἄνω ἡλίῳ θύοντες Ἕλληνες κατὰ τὴν Φυλάρχου ἱστορίαν, ἣν παραδίδωσιν ὁ δειπνοσοφιστὴς, μέλιτος ἔσπενδον, οἶνον οὐ προσφέροντες τοῖς βωμοῖς, δεῖν λέγοντες τὸν πάντα περιπολοῦντα καὶ συνέχοντα ἀλλότριον εἶναι μέθης. οὕτω δήπουθεν πρέπειν καὶ τῷ κλυτοπόλῳ Ἀΐδῃ, οὗ δηλαδὴ κλυτὴ ἡ πανταχοῦ γῆς ἐπιπόλησις. (ῃερς. 5.) Τὸ δὲ τῶν ἀλφίτων πάσμα νῦν μὲν ἐξαργεῖ πάντοθεν. τοῖς δὲ παλαιοῖς πάνυ σύνηθες ἦν εἰς ῥόφημα. Ἐνταῦθα δὲ ἡ ῥηθεῖσα χοὴ νεκρικός τις ἂν ῥηθείη κυκεών. (ῃερς. 521.) Ὅτι τὸ, πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα, οἰκεῖον ῥηθῆναι ὅτε μεσῖται τισὶν εἶεν χαῦνοι καὶ ἀνωφελεῖς. Ἀμενηνὰ δὲ τὰ τοιαῦτα, ἐπειδὴ καὶ αἱ σκιαὶ ἀΐσσειν οἱ τοιοῦτοι ἐῤῥέθησαν. προϊὼν δὲ αὐτὸς ὁ ποιητὴς ἑρμηνεύσει πῶς ἀμενηνοὶ οἱ νεκροὶ, ἐν οἷς ἐρεῖ ὡς οὐκέτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν. (ῃερς. 522.) Ὅτι οὐ θεοὺς μόνους τὰ δῶρα πείθει κατὰ τὴν παροιμίαν, ἀλλ' ἤδη κατὰ τὴν ποίησιν καὶ νεκροὺς, εἴγε παραγγέλλεται πρὸς τῆς Κίρκης Ὀδυσσεὺς ἐλθὼν εἰς Ἰθάκην, στεῖραν βοῦν ἥτις ἀρίστη ῥέξειν ἐν μεγάροισι πυρήν τ' ἐμπλησέμεν ἐσθλῶν. Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ παμμέλανα, ὃς μήλοισι μεταπρέπει. (ῃερς. 524.) Ἔστι δὲ τὸ Τειρεσίῃ ἀπάνευθεν ὄϊν ἱερεῦσαι μόνῳ, οἰκεῖον ῥηθῆναι ὅτε τις κατ' ἐξαίρετον τῶν ἄλλων δωροδοκεῖ τινὰ οὐκ εὐόφθαλμον ἄνδρα ὁποῖός τις καὶ ὁ Τειρεσίας ἦν. Στεῖρα δὲ βοῦς θύεται τοῖς κάτω 1.394 οἰκείως διὰ τὸ ἄγονον, ὡς καὶ προεῤῥέθη. (ῃερς. 525.) οὕτω δὲ καὶ ὄϊς οὐχ'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁπλῶς μέλας ἀλλὰ καὶ πάνυ μέλας. διὰ τὸ σκοτεινὸν τῶν ἐν Ἅιδου. Τὸ δὲ ὃς μήλοισι μεταπρέπει, οὐ πόῤῥω ἐστὶ τοῦ, τέλειος, κατὰ τὸ, αἰγῶν τε τελείων. (ῃερς. 521.) Τὸ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα, ὑποκαταβὰς οὕτω παραφράζει. αὐτὰρ ἐπῆν εὐχῇσι λίσσῃ κλυτὰ ἔθνεα νεκρῶν. (ῃερς. 523.) Τὸ δὲ ῥέξειν, κυριολεκτεῖσθαι δοκεῖ καὶ ἐπὶ νεκρῶν, καθὰ καὶ τὸ χοὴν χέεσθαι. διὸ φησίν· ἔνθα ὄϊν ἀρνειὸν ῥέζειν, θῆλύν τε μέλαιναν. οὕτω δὲ καὶ τὸ ἱερεύειν. οἷον· ὄϊν ἱερευσέμεν παμμέλανα. Καὶ ὅρα ὡς ἄῤῥην μὲν παμμέλας ὄϊς τῷ Τειρεσίᾳ, θῆλυς δὲ μέλαινα τοῖς λοιποῖς ἱερεύσεται, στεῖρα ἴσως καὶ αὐτὴ κατὰ τὴν ἀνωτέρω ῥηθεῖσαν βοῦν. Ἐν δὲ τῷ, πυρὴν ἐμπλησέμεν ἐσθλῶν, ἐσθλὰ λέγειν δοκεῖ, μέλι, ἄνθη, χλαίνας, ὅπλα, καὶ τοιαῦτά τινα ἐνιέμενα κατ' ἔθος ταῖς νεκρικαῖς πυραῖς. (ῃερς. 527.) Ἐν δὲ τῷ ὄϊν ἀρνειὸν, γενικὸν μέντοι ὁ ὄϊς, εἰδικὸν δὲ ὁ ἀρνειός. ὁμοίως τῷ βοῦς ταῦρος, καὶ, σῦς κάπριος. (ῃερς. 528.) ὥσπερ δὲ ὑπὲρ γῆς ἀνερύονται μὲν ζῷα, ὅτε τοῖς ἄνω θύονται, κάτω δὲ κλίνονται τὴν κεφαλὴν ὅτε ῥέζονται τοῖς κάτω, οὕτω καὶ τὸν ῥηθέντα ἀρνειὸν ὄϊν καὶ τὴν μέλαιναν θῆλυν ῥέξει Ὀδυσσεὺς εἰς Ἔρεβος στρέψας διὰ τὸ ἐν δυσμαῖς Ἡλίου ταῦτα τελεῖσθαι. Σημείωσαι δ' ἐνταῦθα καιὅτι τὸ, ἔνθα ῥέζειν εἰς Ἔρεβος στρέψας, αὐτὸς δ' ἀπὸ νόσφι τραπέσθαι, οἰκεῖον εἰπεῖν ὅτε ζημιωθείς τις πρός τινος εἶτα παραινεῖται μακρὰν γενέσθαι τοῦ ἀδικήσαντος, ἵνα μὴ κακῷ κακὸν προσλάβηται. (ῃερς. 527.) Τὸν δὲ ἀρνειὸν ὄϊν καὶ τὴν θήλην ὑποκαταβὰς μῆλα συνήθως ὀνομάζει. (ῃερς. 535.) Ὅτι ὁ παραθεὶς μὲν ἀγαθὰ εἰς ἀπόλαυσιν, κωλύων δὲ μετασχεῖν αὐτῶν πρός τινος ἑτέρου, ῥηθείη ἂν ἐοικέναι τῷ ποιητικῷ Ὀδυσσεῖ, ὃς ἐπεὶ ἔρεξε μῆλα καὶ πολλαὶ ψυχαὶ ἦλθον νεκύων εἶτα ξίφος ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ ἐκάθητο μὴ ἐῶν αὐτὰς αἵματος ἐγγὺς ἐλθεῖν πρὸ τοῦ Τειρεσίου. Νεκυομαντικῆς δέ φασι γοητείας καὶ ταῦτα, δοκεῖ γὰρ τῆς τοιαύτης τερατείας ἡ ἐπαοιδὴ μόνη ἐλλείπειν παρὰ τῷ ποιητῇ, τὰ δὲ τῆς λοιπῆς τερθρείας ἐκτεθεῖσθαι ἀνελλιπῶς. (ῃερς. 542.) Ὅτι καὶ ἐνταῦθα ἐπὶ τῆς Κίρκης, καθὰ καὶ ἐν τῇ ¯ε ῥαψῳδίᾳ ἐπὶ Καλυψοῦς, κόσμον φράζει γυναικὸς ἐν τῷ, ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη, λεπτὸν καὶ χαρίεν καὶ ἑξῆς. διὰ τὸ λογῶν συνήθως κατὰ τὸ πάντῃ ἀπαράλλακτον. (ῃερς. 545.) δῆλον δὲ ὅτι τὸ χαρίεν οὐδέτερον παροξύνεται ἀναλόγως, καθὰ καὶ ἐν Ἰλιάδι δηλοῦται, καὶ ὅτι ἐκ τοῦ χάρις χάριτος οὐ μόνον χαρίεις καὶ χαρίεν, ἀλλὰ καὶ ὁ χαρίσιος. ὅθεν καὶ χαρίσιοι πλακοῦντες τινές. (ῃερς. 548.) Ὅτι διέγερσις ῥαθυμούντων τὸ, μηκέτι νῦν εὕδοντες ἀωτεῖτε γλυκὺν ὕπνον, ἀλλ' ἴομεν. (ῃερς. 549.) Ὅτι δὲ τὸ ἀωτεῖν ὕπνον καὶ ὡς τὸ ἴομεν λόγῳ κοινοῦ ἐνεστῶτος συστέλλει τὴν παραλήγουσαν, ἐῤῥέθη ἀλλαχοῦ. (ῃερς. 551.) Ὅτι οὐδὲ μὲν οὐδὲ ἔνθεν περ ἤγουν ἐκ Κίρκης ἀπήμονας ἦγεν ἑταίρους ὁ Ὀδυσσεύς. Ἐλπήνωρ δέ τις ἔσκε νεώτατος, οὔτε τε λίαν ἄλκιμος ἐν πολέμῳ, οὔτε φρεσὶν ᾗσιν ἀρηρώς. ὃς ἄνευθ' ἑτάρων ἱεροῖς ἐν δώμασι Κίρκης (ῃερς. 555.) ψύχεος ἱμείρων τουτέστιν ἀναψύξαι θέλων καὶ αὔρας ἐπιθυμῶν διὰ τὸ ἐκ τῆς μέθης τυχὸν πνῖγος κατελέξατο οἰνοβαρείων. ὃ καὶ ἀλλαχοῦ ἐγράφη. κινυμένων δ' ἑτάρων ὅμαδον καὶ δοῦπον ἀκούσας ἐξαπίνης ἀνόρουσε καὶ ἐκλελάθετο φρεσὶν ἄψοῤῥον καταβῆναι. ἤγουν ἰὼν ἐς κλίμακα μακρήν, ἀλλὰ καταντικρὺ τέγεος πέσεν, ἐκ δέ οἱ αὐχὴν ἀστραγάλων ἐάγη. ψυχή δ' Ἄϊδόσδε κατῆλθεν. ὃ καὶ δώσει ἐν τοῖς ἑξῆς λαβὰς ἀστείου λόγου τῷ ποιητῇ. (ῃερς. 559.) Πίπτει δὲ κατ' ἀντικρὺ τέγεος ὁ Ἐλπήνωρ, ἐν ὑπαίθρῳ ἄνω κείμενος, διὰ τὸ τὰ δώματα μὴ κεραμωτὰ εἶναι, ἀλλ' ὁποῖα καὶ νῦν ὡς εἰκὸς μυριαχοῦ ὧν ταῖς δοκοῖς γῆ ἐπαμᾶται, ὡς ἐντεῦθεν τὴν στέγην χρήσιμον εἶναι καὶ πρὸς τὸ ἐγκοιμᾶσθαι, καὶ εὐχερὲς εἶναι καταπίπτειν ἐκεῖθεν τοὺς μὴ νήφοντας. (ῃερς. 556.) Τὸ δὲ κινυμένων ποιητικὸν ἐκτεῖνον καὶ τὴν ἄρχουσαν ὡς καὶ ἐν Ἰλιάδι. (ῃερς. 560.) Τὸ δὲ ἀστραγάλων ἐάγη ὅ ἐστι σπονδύλων, ἀρχὴ τοῖς μεθ' Ὅμηρον τοῦ εἰπεῖν ὡς ὁ δεῖνα κατεάγη τῆς κεφαλῆς. τὸ μέντοι κοινότερον ἐάγη ἀστραγάλους ἢ κεφαλήν. Ὅτι δὲ οὐκ ἐκ τοιούτων ἀστραγάλων ἀλλ' ἑτεροίων καὶ ποίων ἐκείνων τὸ ἀστραγαλίζειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἴρηται, ἐν τοῖς εἰς τὴν Ἰλιάδα κεῖται. οὕτω δὲ καὶ περὶ κλιμάκων, ὅτι καὶ πολεμικαί εἰσιν. ὧν ἐτυμολογία ἐκ τοῦ κλῶ κλίνω. οὐδεμιᾶς γὰρ κλίμακος ὄφελος, εἰ μὴ κλίνεται ἀλλὰ πάντῃ ὄρθιος ἵσταται. ὡς δὲ καὶ θεωρικὴ κλίμαξ ἐστὶν, εἰς τὴν Ἰλιάδα ζητητέον. Ὅτι δὲ καὶ κολαστήριος ἦν κλίμαξ καθὰ καὶ τροχὸς ἀναλεκτέον ἐκ τῶν παλαιῶν. οἱ δὲ ῥήτορες παράγωγον ἐξ αὐτῆς ἔχουσι σχῆμα τὸ κλιμακωτόν. ἔστι δ' αὐτῆς ὑποκοριστικὸν τὸ κλιμάκιον. ἐξ οὗ καὶ ἀστεΐσμά τι ἐῤῥέθη τὸ ἐν τοῖς μετὰ ταῦτά που ῥηθησόμενον. ἐκεῖθεν δὲ καὶ αἱ παρὰ 1.395 τῷ δειπνοσοφιστῇ κλιμακίδες, γυναῖκες ἐκεῖναι κολακίδες λεγόμεναι οὕτως, ἐπεὶ ἀρεσκευόμεναί φασι ταῖς μεταπεμψαμέναις αὐτὰς ἐνδόξοις γυναιξὶ, κλίμακα ἐξ ἑαυτῶν ἐποίουν οὕτως, ὥστε ἐπὶ νώτοις αὐτῶν ἀνάβασιν γίνεσθαι καὶ κατάβασιν ταῖς ἐπὶ τῶν ἁμαξῶν ὀχουμέναις. τοιοῦτον δέ τι καὶ ἡ νῦν γενεὰ ποιεῖ, ὅτε ὁ κελητίζων οὐ δύναται ῥᾷον ἀναβῆναι εἰς τὴν ἐφεστρίδα. κατακύψαντος γάρ τινος ἡ ῥάχις αὐτοῦ εἰς ἀναβολέα σχεδιάζεται τῷ κέλητι. Ὅτι δὲ ἡ κλίμαξ καὶ σύμβολον ὑποβάλλει τύχης ἀστατούσης διὰ τὸ τοὺς μὲν ἀνάγειν ὑψοῦ κατ' εὐπραγίαν, τοὺς δὲ ἀνάπαλιν ταπεινοῦν, ἐδήλωσεν ὁ σοφὸς Πιττακὸς, ὃς ἐν Μιτυλήνῃ ἀνετίθει ἐν τοῖς ἱεροῖς κλίμακας, αἰνιττόμενός φασι τὴν ἐκ τύχης ἄνω καὶ κάτω μετάπτωσιν, ὡς τῶν μὲν εὐτυχούντων ἀνιόντων, καταβαινόντων δὲ τῶν ἄλλως πασχόντων. (ῃερς. 552.) Σημείωσαι δὲ ὅτι, ὡς καὶ ἐν Ἰλιάδι ἐδηλώθη, ἐπὶ Θερσίτου καὶ ἀφελῆ τινὰ πρόσωπα καὶ οὐ πάνυ σπουδαῖα εἰς Τροίαν ἐστρατεύσατο. οἷος δή τις καὶ ὁ Ἐλπήνωρ ἐνταῦθα, ὃν Ὅμηρος οὐκ ἐθέλων σφοδρῶς κακολογεῖν προάγει τὸν περὶ αὐτοῦ λόγον ἀποφατικῶς εἰπὼν, οὔτε ἀνδρεῖον πάνυ οὔτε φρενήρη αὐτὸν εἶναι. πολυμαθείας δὲ χάριν οἱ παλαιοὶ καὶ τοιαῦτα παρενείρουσιν οἷς γράφουσιν, ἵνα καὶ τοιούτων εὐπορία τις γένοιτο τοῖς ἱστορεῖν ἐθέλουσιν, ἐκεῖθεν τὸν μωρὸν οἴδαμεν σάνναν καλεῖσθαι ὡς ἀπό τινος κυρίου ὀνόματος. καὶ παράγεται Κρατῖνος, κωμῳδῶν τοιοῦτον, τὸν Θεοδοτίδην σάνναν. ἐξ ἐκείνων δὲ καὶ κοροίβους τινὰς ἀποσκώπτομεν, μαθόντες τινὰ Κόροιβον εὐήθη Μυγδόνα Φρύγα τὸ γένος ὕστατον τῶν ἐπικούρων ἀφικόμενον τῷ Πριάμῳ δι' εὐήθειαν. οὕτως ἔγνωμεν καὶ τὸν ἄφρονα Μαργίτην τὸν ἀπὸ τοῦ μαργαίνειν ὅ ἐστι μωραίνειν. ὃν ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ὁμήρου Μαργίτην ὑποτίθεται εὐπόρων μὲν εἰς ὑπερβολὴν γονέων φῦναι, γήμαντα δὲ μὴ συμπεσεῖν τῇ νύμφῃ ἕως ἀναπισθεῖσα ἐκείνη τετραυματίσθαι τὰ κάτω ἐσκήψατο. φάρμακόν τε μηδὲν ὠφελήσειν ἔφη, πλὴν εἰ τὸ ἀνδρεῖον αἰδοῖον ἐκεῖ ἐφαρμοσθείη. καὶ οὕτω θεραπείας χάριν ἐκεῖνος ἐπλησίασεν. ὁμοίως καὶ τὸν Μαμμάκουθον, καὶ τὸν Μελιτίδην, καὶ τὸν Ἀμφιετίδην, οἳ διαβόητοι ἐπὶ μωρίᾳ ἦσαν, ὧν ὁ Μελιτίδης ἀριθμεῖν τε μὴ ἐπίστασθαι λέγεται εἰ μὴ ἄχρι τῶν πέντε, καὶ ἀγνοεῖν πρὸς ὁποτέρου τῶν γονέων ἀποκυηθείη, καὶ νύμφης μὴ ἅψασθαι, εὐλαβούμενος τὴν πρὸς μητέρα διαβολήν. ὥσπερ δὲ τούτους ἡ ἱστορία λόγου ἠξίωσεν ἐν οἷς καὶ τὸν τὰ κύματα μετροῦντα Πολύωρον, καὶ τὸν ἐν τῷ καθεύδειν θέμενον ὑδρίαν κενὴν ὑγροῦ πρὸς τῇ κεφαλῇ, καὶ θλιβούμενον τῇ σκληρότητι, καὶ διὰ τοῦτο ἄχυρα παραβύσαντα καὶ τὸ σκεῦος πλήσαντα ἵνα οἱ δῆθεν μαλακὸν εἴη προσκεφάλαιον, οὕτω παρέπληξε ἑαυτῇ καὶ τοὺς ἔμπαλιν πονηροτάτους. ὁποῖος τοὔνομα μὲν Ἀχαιός. τὸ δὲ ἐπίθετον καλλικῶν ἤγουν, ὡς εἰπεῖν, καλὸς εἰς τὸ κοεῖν ἤγουν νοεῖν, ἀναλόγως τῷ ἀμνοκῶν. ἤγουν ὁ ἀμνὸς τὰ ἐς νοῦν. ὅ πέρ ἐστι προβατώδης καὶ εὐήθης. ἦν δὲ καὶ προδότης ὁ καλλικῶν. προσιστορεῖται δὲ καὶ Φρυνώνδας, πανοῦργος καὶ κακοήθης, καθὰ καὶ οἱ ἐν τοῖς ἐφεξῆς δηλωθησόμενοι Εὐρύβατοι. ὁμοίως δὲ καὶ οἱ κέρκωπες, ἀφ' ὧν καὶ ἀγορὰ καλουμένη κερκώπων Ἀθήνῃσιν ἐν Ἡλιαίᾳ καὶ παροιμία, κερκωπίζειν. καὶ μὴν αὐτὸ εἰρῆσθαι φασί τινες ἀπὸ ζώων προσσαινόντων τῇ κέρκῳ. (ῃερς. 560.) Ἰστέον δὲ ὅτι οἱ ῥηθέντες σπόνδυλοι καὶ διὰ τοῦ ¯φ ἐλέγοντο σφόνδυλοι, ὧν παράγωγον ἐν Ἰλιάδι οἱ σφονδύλιοι. παρὰ δὲ τοῖς παλαιοῖς φέρεται καὶ ὅτι σφονδύλη, ῥίζα ὁμοία σιλφίῳ. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σφόνδυλος, ἡ δικανικὴ ψῆφος. (ηερς. 562.) Ὅτι ἀπόγνωσιν φράζει ἐπανόδου τῆς εἰς τὰ οἰκεῖα τὸ φάσθε νύ που ἤγουν λέγετε ἴσως, οἶκονδε φίλην ἐς πατρίδα γαῖαν ἔρχεσθαι. ἄλλην δ' ἡμῖν ὁδὸν τεκμήρατο ὁ δεῖνα. (ηερς. 565.) τοῖς δὲ τοῦτο μαθοῦσιν οἰκεῖον τὸ, τοῖσι δὲ κατεκλάσθη φίλον ἦτορ. ἑζόμενοι δὲ καταῦθι γόων τίλλοντό τε χαίτας. (ηερς. 568.) εἰ δὲ ἀναγκαίως ὅμως αὐτοὶ πορεύοιντο, καλὸν ἐπαγαγεῖν καὶ τὸ, ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν, ᾔομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες. (ηερς. 570.) Γίνεται δὲ τὸ ᾔομεν, ἀπὸ τοῦ εἴω ἠΐομεν παρατατικός. καὶ ἐν συναιρέσει, ᾔομεν, καθὰ καὶ πρὸ ὀλίγων, ᾔομεν ὡς ἐκέλευσες ἀνὰ δρυμά. (ηερς. 563.) Ἐν δὲ τῷ, ἄλλην δ' ἧμιν ὁδὸν τεκμήρατο Κίρκη, σημείωσαι ὅτι καθάπερ ἐν τῷ, μέγα δ' ἧμιν ὄρος πόλει ἀμφικαλύψειν, οὕτω καὶ νῦν ἀναπεμφθέντος τοῦ τόνου, συνεστάλη ἡ λήγουσα. (ηερς. 573.) Ὅτι τὸ λεληθότως διελθεῖν, ῥεῖα παρὲξ ἐλθεῖν, ἢ συνθέτως, ῥεῖα παρεξελθεῖν λέγεται, ὡς δηλοῖ τὸ, Κίρκη ῥεῖα παρεξελθοῦσα, τουτέστι παρὲξ ἡμῶν ἐλθοῦσα, ἤγουν ἐγγὺς μὲν ὅμως δὲ ἠρέμα πόῤῥω. ὃ δὴ καὶ παρεκτὸς λέγεται κοινότερον κατὰ τὴν κυρίως σημασίαν τοῦ παρέξ. Ἐνταῦθα 1.396 δὲ καί τι λέγεται γνωμικῶς τοιοῦτον, τίς ἂν θεὸν οὐκ ἐθέλοντα ὀφθαλμοῖσιν ἴδοιτο, ἢ ἔνθα ἢ ἔνθα κιόντα; ΥΠΟΘΕΣΙΣ ΤΗΣ Λ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ. Ἀπαγγέλλει πῶς κατὰ τὰς Κίρκης ἐντολὰς εἰς Ἅιδου κατῆλθεν, καὶ ὡς ἤκουσε Τειρεσίου τοῦ μάντεως περὶ τῆς ἑαυτοῦ καὶ τῶν ἄλλων ἑταίρων σωτηρίας, καὶ ὡς τοὺς ἥρωας καὶ τὰς ἡρωΐδας εἶδεν ἐν Ἅιδου, καὶ τὴν μητέρα, καὶ τῶν ἐς Ἴλιον συστρατευσάντων ἐνίους, καὶ τῶν ἐν Ἅιδου κολαζομένων τινάς. ΟΔΥΣΣΕΙΑΣ Λ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑ. Ὅτι οὐ νεκυομαντεία μόνον ἀλλὰ καὶ νεκύα τρισυλλάβως τὸ παρὸν ἐπιγράφεται γράμμα διὰ τὴν ἐν αὐτῷ τοῦ Ὀδυσσέως ὁμιλίαν πρὸς τοὺς ἐν Ἅιδου νέκυας. (ηερς. 2.) εὐθὺς δ' ἐξ ἀρχῆς ἡ ῥαψῳδία διασκευὴν λαλεῖ ἀνάπλου ἐν τῷ, νῆα μὲν ἂρ πάμπρωτον ἐρύσαμεν εἰς ἅλα δῖαν. ἐν δ' ἱστὸν τεθέμεσθα καὶ ἱστία νηὶ μελαίνῃ. ἐν δὲ καὶ αὐτοὶ βαίνομεν ἀχνύμενοι, (ηερς. 5.) θαλερὸν κατὰ δάκρυ χέοντες, ὡς εἰκὸς διὰ τὸ εἰς Κωκυτοῦ πλέειν. ἡμῖν δ' αὖ κατόπισθε νεὼς κυανοπρώροιο ἴκμενον οὖρον ἵει πλησίστιον ἐσθλὸν ἑταῖρον θεός. ἡμεῖς δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα ἥμεθα. τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνε. τῆς δὲ πανημερίης τέταθ' ἱστία ποντοπορούσης. (ηερς. 11.) Καὶ ὅρα τὸ ποντορούσης, ἐν ᾧ δηλοῦται ὡς εἰ καὶ ποταμὸν ἡ ποίησις τὸν Ὠκεανὸν λαλεῖ, ἀλλὰ πόντον αὐτὸν ἄλλως οἶδε, τουτέστι τὴν ἔξω θάλασσαν. διὸ καὶ ποντοπορεῖ ναῦς ἡ δι' αὐτοῦ πλέουσα. (ηερς. 7.) Ἑταῖρον δὲ καὶ νῦν οὖρον λέγει τὸν ἁπλῶς βοηθόν. (ηερς. 12.) εἶτα μετρῶν τὸν διὰ μέσου πλοῦν καὶ ἐμφαίνων ὡς οὐ μακρὰν ἦν τῶν πρὸς τῷ Ἅιδῃ τόπων ἡ τῆς Κίρκης νῆσος Αἰαίη ἐπάγει· δύσετό τ' Ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί. (ηερς. 13.) ἡ δ' ἐς πείραθ' ἵκανε βαθυῤῥόου Ὠκεανοῖο, ὃν καὶ βαθυδίνην πρὸ ὀλίγων ἔφη. πέρατα δὲ Ὠκεανοῦ νῦν οὐχὶ τοῦ πρὸς Γαδείροις, ἀλλὰ τοῦ ἐπέκεινα πρὸς ἑσπέραν ἄκρου, κατὰ τὸ πλάσμα τοῦ Ὀδυσσέως ἤτοι κατὰ τὸ μυθικὸν αἴτημα, ὅ που γῆς μὲν πέρας τῆς ἑσπερίας, ἀρχὴ δὲ τῶν ὑπὸ γῆν, ὅ ἐστι, τοῦ Ἅιδου καταρχή. (ηερς. 14.) ἔνθα πλάττει καὶ τοὺς Κιμμερίους οἰκεῖν, ἀθλίους τινὰς τούτους ἀνθρώπους. φησὶ γάρ· ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε, ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι. οὐδέ ποτ' αὐτοὺς Ἠέλιος φαέθων καταδέρκεται ἢ ἐπιδέρκεται ἀκτίνεσσιν. (ηερς. 17.) οὔθ' ὁπόταν στείχῃσιν ἤγουν ἄνεισι πρὸς οὐρανὸν ἀστερόεντα, οὔθ' ὅτ' ἂν ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτράπηται. ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται (ηερς. 19.) δειλοῖσι βροτοῖσιν, ἤγουν δειλαίοις, δι' αὐτὸ τοῦτο δηλαδὴ τὸ ἐν νυκτὶ εἶναι. (ηερς. 14.) Ἰστέον δὲ ὅτι καθάπερ ποταμοὺς ὑπὲρ γῆς ὄντας καὶ ἱστορουμένους μετήγαγεν ἡ μυθικὴ αὐτονομία εἰς Ἅιδην, ὀνόματα ἐπιλεξαμένη τοῖς κάτω προσήκοντα, ὡς καὶ προδεδήλωται, οὕτω καὶ τοὺς Κιμμερίους, ἔθνος ὄντας ἱστορίαις γνωστὸν, μετοικίζειν ἐθέλει πρὸς παροικίαν Ἅιδου διὰ ὁμοιότητα καὶ αὐτοὺς ὀνόματα ἐπιλεξάμενος. δοκεῖ γὰρ παραδηλοῦν κατὰ τὸν ἦχον τῆς προφορᾶς ἡ λέξις, τοὺς περὶ ἠρία κειμένους ἢ περὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔραν, ὡς οἷον νερτέρους. Κράτης μέντοι κερβερίους γράφει, ἀκολουθήσας οἶμαι τῷ κωμικῷ, τόπον τοὺς βερβερίους παίζοντι. ἕτεροι δὲ Χειμερίους τούτους ἔγραψαν, ἐκ τῶν ἀληθῶν ἴσως Κιμμερίων τοὔνομα πορισάμενοι. βορειότατοι γὰρ ἐκεῖνοι καὶ διὰ τοῦτο χειμέριοι. ἀλλ' οὕτω μὲν οἱ Ὁμηρικοὶ Κιμμέριοι ὡς ἐν πλάσματι περιφέρονται τῶν ἀρκτῴων ἐξοικισθέντων τόπων ἐπὶ δυσμάς, ὑπηρετοῦντος τῇ ποιήσει κἀνταῦθα τοῦ πολλὰ παρ' αὐτῇ δυναμένου μύθου, καὶ οὐ μόνον ἐκ τῆς ἄρκτου εἰς ἑσπέραν, ἀλλὰ καὶ εἰς αὐτὸν Ἅιδην ἀναστατοῦντος αὐτούς, ὃς οὐδὲ ἑξαμήνῳ γοῦν φωτὶ κατὰ τὸ θρυλλούμενον περιλάμπει αὐτούς. ἀλλὰ παρ' Ὁμήρῳ διὰ βίου ὑπὸ σκότει ποιεῖ. καὶ τί γὰρ ἀλλ' ἢ προσοίκους τῷ Ἅιδῃ; τοὺς δὲ τοιούτους, οὐδέ ποτε εἰκὸς Ἡλίῳ λάμπεσθαι. ἡ δὲ ἱστορία ἔθνος αὐτοὺς ἔχει Σκυθικὸν, νομαδικὸν, ἀρκτικὸν, 1.397 οὗπερ ἀπόμοιρα λέγεταί ποτε μικρόν τι πρὸ Ὁμήρου ἢ καὶ ἐπ' αὐτοῦ ἐκ τοῦ Κιμμερίου βοσπόρου ὁρμηθεῖσα, Τρῆρες δέ φασιν ἐκαλοῦντο, πολλὴν τῆς Ἀσίας καταδραμεῖν καὶ τὰς Σάρδεις ἑλεῖν, καὶ τῶν Μαγνήτων δὲ πολλοὺς ἀνελεῖν τῶν κατὰ τὸν Μαίανδρον, ἐμβαλεῖν δὲ καὶ ἐπὶ Παφλαγόνας καὶ Φρύγας, ὅτε καὶ Μίδας λέγεται αἷμα ταύρου πιὼν, ὡς Θεμιστοκλῆς ὕστερον, εἰς τὸ χρεὼν ἀπελθεῖν. φασὶ δὲ τὸ κατ' αὐτοὺς κλίμα ὁρῶν ὕψει περιεχόμενον ἐξ ἕω καὶ δύσεως καὶ ζοφῶδες ὂν ἑξάμηνον μὲν ἔχειν ἀχλύν. καὶ τοῦτο εἶναι οἷον νύκτα, κατὰ τὸ, ὀρώρει δ' οὐρανόθεν νὺξ, ὡς ἐφορῶντος μὲν ἡλίου αὐτοὺς, οὐ μὴν φαέθοντος, καθὰ δηλοῖ καὶ ὁ ποιητὴς, ὡς διασκεδάζειν τὸ τῆς ἀχλύος πάχος καὶ ἱλαρὰν ἡμέραν ἀγαγεῖν αὐτοῖς. τὸ δὲ λοιπὸν ἑξάμηνον, ἐκ μεσημβρίας, ἢ καὶ ἄλλοθέν ποθεν, ἥλιον καθαρὸν ἐπιλάμπειν αὐτοῖς. Ἀῤῥιανὸς δέ φησιν ὅτι Κιμμέριοι Σκυθικὸν ἔθνος ἐξ ἠθῶν τῶν οἰκείων ἀναστάντες καὶ πάντας τοὺς διὰ μέσον βλάπτοντες ἦλθον ἕως Βιθυνίας. Ἡρόδοτος δὲ ἱστορεῖ ὅτι βασιλεύοντος Ἄρδυος τοῦ Γύγου Κιμμέριοι ἐξαναστάντες τῶν οἰκείων ἠθῶν ὑπὸ Σκυθῶν τῶν νομάδων ἀφίκοντο εἰς Ἀσίαν, ὅτε καὶ τὰς Σάρδεις εἷλον. ἄλλοι δέ φασι καὶ ὅτι ἱερὰ θεῶν καταδραμόντες ἐσύλησαν ἐν Ἀσίᾳ. ὅθεν οἱ ἀοιδοὶ μὴ ἔχοντες ἄλλως αὐτοὺς βλάψαι μυθοπλάστῳ ἐκτοπισμῷ τὴν τοῦ ἔθνους κακίαν ἠμύναντο κατά τι φασὶ κοινὸν ἔχθος Ἰώνων πρὸς αὐτούς. Ἴων δὲ καὶ ὁ ποιητὴς ὁ τῶν τοιούτων ἀοιδῶν κορυφαῖος. εἰσὶ δὲ οἳ καὶ Εὐρωπαῖον ἔθνος ἐπέκεινα Ἰταλίας ἔχον ὑπόγαιον ὡς τὰ πολλὰ ζωὴν τοὺς Κιμμερίους ἱστόρησαν. καὶ τούτῳ τῷ τρόπῳ αὐτοὺς ἐνόησαν λέγεσθαι ὑπὸ γῆν εἶναι καὶ Ἅιδην, καὶ ζωὴν ἔχειν ἡλίῳ ἀνεπισκόπητον. τινὲς δὲ αὐτόθι καὶ νεκυομαντεῖον ἱστόρησαν εἰς ὃ τὸν Ὀδυσσέα φασὶν ἀφικέσθαι. καί τινα κόλπον Ἄορνον χωρίον Πλουτώνειον, περὶ οὗ προείρηται. κἀνταῦθα τοὺς Κιμμερίους οἰκίζουσι, λέγοντες τοὺς ἐκεῖ ἐν καταγείοις ἀργίλλαις οἰκεῖν, καὶ δι' ὑπονόμων παρ' ἀλλήλους φοιτᾶν, καὶ ζῆν ἀπὸ μεταλλείας, καὶ μαντεύεσθαι. εἶναι δὲ πάτριον ἔθος αὐτοῖς, μηδένα τὸν ἥλιον ὁρᾶν, ἀλλὰ νυκτὸς ἐκπορεύεσθαι διὰ τῶν χασμάτων. διὸ καὶ λέγεσθαι μηδέ ποτε ἥλιον φαέθοντα ἐπιδέρκεσθαι, φθαρῆναι δὲ αὐτοὺς ὕστερον ὑπὸ βασιλέως, ἐπεὶ ὁ χρησμὸς οὐκ ἀπέβη ἐκείνῳ λαβόντι μαντείαν. τὰ δὲ παλαιὰ σχόλια φασὶ καὶ ὅτι ἔθνος περιοικοῦν τὸν Ὠκεανὸν οἱ Κιμμέριοι. ἄλλως δὲ, ὅτι Κιμμερίους ὑποτίθεται ὁ ποιητὴς τοὺς κατὰ δύσιν οἰκοῦντας καὶ προσκειμένους τῷ Ἅιδῃ. λέγουσι δὲ καὶ ἱστορεῖσθαι, Σκύθας ὑπὸ Κιμμερίων ἐξελαθῆναι. Ἰστέον δὲ ὅτι τὸ, Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε, περιφραστικῶς εἴρηται ἀντὶ τοῦ οἱ Κιμμέριοι. διὸ ἐπάγει· ἠέρι καὶ νεφέλῃ (ῃερς. 15.) κεκαλυμμένοι. τοῦτο δὲ κατὰ τὸν γεωγράφον αἰνίττεται ζοφῶδες εἶναι τὸ κλίμα τῆς κατὰ τοὺς Κιμμερίους χώρας. οὗ ἐνδεικτικόν φησι καὶ τὸ, οὐδέ ποτ' αὐτοὺς ἠέλιος φαέθων ἐφορᾷ. ἔχουσι μὲν γὰρ ἥλιον εἰ καὶ μὴ οἱ τοῦ μύθου, ἀλλὰ γοῦν οἱ τῆς ἱστορίας Κιμμέριοι, ὑφ' ἥλιον ὄντες, ὅτι καὶ ὑπὲρ γῆς. οὐ μὴν (ῃερς. 16.) φαέθοντα ὅ ἐστι φαιεινὸν αὐτοῖς ἐπιλάμποντα. Τὸ δὲ ἀκτίνεσσιν, ἢ πρὸς τὸ φαέθων ἀποδοτέον ἵνα ᾖ φαέθων ἀκτίνεσσιν ἥλιος, ἢ πρὸς τὸ δέρκεται, ἵνα δοκῇ βλέπειν ἥλιος ταῖς ἀκτῖσιν, ὡς οἷα καὶ ὀφθαλμοῖς. (ῃερς. 17.) Ἀναστείχειν δὲ ἢ στείχειν πρὸς οὐρανὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἥλιος λέγεται, διὰ τὴν κατὰ στοῖχον ὅ ἐστι τάξιν πορίαν αὐτοῦ. ὅθεν καὶ στοιχεῖον τῶν τις μεγάλων ἡμετέρων σοφῶν λέγει αὐτόν. (ῃερς. 18.) τὸ δὲ ἐπὶ γῆν ἀπ' οὐρανόθεν προτράπηται, ἢ ἁπλοϊκῶς ἀντὶ τοῦ ἀποκλίνῃ, ὁδεύσει, ἢ μάλιστα κατὰ τοὺς σοφοὺς ἀντὶ τοῦ, προτραπεὶς καὶ οἷον κελευσθεὶς κατέλθῃ. δι' οὗ φασὶ δείκνυται, ὡς οἶδεν ὁ ποιητὴς ὅτι φύσει μὲν καὶ ὡς οἷον ἑκούσιος ὁ Ἥλιος πορεῖαν ποιεῖται ἀπὸ δύσεως ἐπ' ἀνατολάς. ὅμως μέντοι ἄλλως, ὑπὸ τοῦ παντὸς ἀνθέλκεται ὁσημέραι, καὶ τῇ ἀπλανεῖ ἄκων συγκαταδύεται, καὶ προτρεπόμενος τῇ τοῦ παντὸς κινήσει οὐχ' ἑκὼν συγκαθέλκεται. (ῃερς. 17.) Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν ὁπότ' ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα, τοῦ ἀνατέλλειν ἐστὶ περίφρασις. δύσεως δὲ, τὸ, ὅτ' ἂν ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτράπηται. (ῃερς. 16.) Ἰστέον δὲ καὶ ὅτι τὸ, οὐδέ ποτ' αὐτοὺς ἥλιος ἐπιδέρκεται, διασαφητικόν ἐστι τοῦ, ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι. τῶν μὲν γὰρ ἄλλων ἔστιν ὅτε καιρικὴ νεφέλη καὶ ἀὴρ καταπέπαπται, Κιμμερίους δὲ οὐδέ ποτε ἥλιος ἐφορᾷ. Ἰστέον δὲ ὅτι τὸ, (ῃερς. 19.) νὺξ ὀλοὴ πρὸς διαστολὴν ἐῤῥέθη τῆς κατὰ φύσιν νυκτός. ἐκείνη γὰρ ἀμβροσίη νὺξ λέγεται, καὶ πείθειν ἔχει ὡς ἀγαθὴ, κατὰ τὸ, ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι. ὅτι δὲ καὶ σωματικὴ νὺξ κατὰ τὸ, εἰ μὴ νὺξ δμήτειρα θεῶν ἐσάωσε, καὶ ὅτι νὺξ καὶ ἡ πυκνὴ νέφωσις ἦν καὶ ἠέρα φησὶν Ὅμηρος κατὰ τὸ, Ζεῦ πάτερ ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν, οἱ παλαιοὶ δηλοῦσι, λέγοντες ὅτι καὶ τοῖς 1.398 Κιμμερίοις τοιαύτη νὺξ τέτατο, ἤγουν ζοφώδης κατάστασις, ἀὴρ ἐπινέφελος, οὐ καθαρῷ ἡλίῳ λαμπόμενος. οὐ μὴν αὐτόχρημα νὺξ καθόλου, ὡς ὁ Κράτης ὑποτίθεται. πῶς γάρ φασιν εἶχον ζῆν; (ῃερς. 23.) Ὅτι Ὁμήρου εἰπόντος ἱερήϊα τὰ ἐν Ἅιδου σφάγια ἐπὶ χοῇ νεκρῶν, φασὶν οἱ παλαιοὶ οὐκόρθῶς εἰρῆσθαι τοῦτο, ἐπὶ γὰρ νεκρῶν τόμια φασὶ καὶ ἔντομα, ἐπὶ δὲ θεῶν ἱερεῖα. εἶτα θεραπεύοντες φασὶν ὅτι ἱερεῖα καὶ ἁπλῶς τὰ θρέμματα. ἐν ἄλλοις δὲ Ἀττικὴ λέγεται ἡ λέξις ἐπὶ τῶν ἁπλῶς σφαζομένων. (ῃερς. 34.) Ὅτι καθὰ πρὸ βραχέων Ἀττικὸν ἦν τὸ, Κιμμερίων δῆμός τε πόλις τε ἠέρι κεκαλυμμένοι, οὕτω καὶ νῦν τὸ, τοὺς δ' ἐπεὶ εὐχωλῆσι λιτῇσί τε ἔθνεα νεκρῶν ἐλισσάμην. ἔθνεα γὰρ νεκρῶν τοὺς νεκροὺς λέγει. πρὸς ὃ καὶ οἰκείως ἔχει τὸ, τοὺς δ' ἐπεὶ ἐλισσάμην. Ἰστέον δὲ ὅτι καὶ μετ' ὀλίγα, καινοπρεπὲς κεῖται σχῆμα τὸ, ψυχὴ Τειρεσίου ἔχων σκῆπτρον, ὡς μικρὸν ὅσον εἰρήσεται. Ἐτυμολογικὸν δὲ τὸ, λιτῇσιν ἐλισσάμην. τοῦτο δὲ καὶ γουνοῦσθαι ἀνωτέρω φησὶν, ὡς καὶ ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ. εἰς τοῦτο δὲ εἰπόντες οἱ παλαιοὶ πῶς γουνοῦται καὶ λίσσεται, εἰ μὴ προαισθάνονται πρινὴ πίωσιν αἱ ψυχαὶ; λύουσιν ἄλλως τε, καὶ διὰ τοῦ εἰπεῖν ὡς τιμὴν τοῦτο ποιεῖ τῶν δεσποτῶν, Πλούτωνος δηλαδὴ καὶ Περσεφόνης, ἐπαγγελλόμενος καὶ οὕτω δοκῶν γονυπετεῖν. (ῃερς. 36.) Ὅτι ἐν μὲν τῷ, Ζεὺς κελαινεφὴς, ἔγκειται τὸ νέφος. ἔστι γὰρ κελαινεφὴς ἐκεῖνος, ὡς τὰ νέφη μελαίνων τῇ πυκνώσει, νεφεληγερέτης γάρ. ἐν δὲ τῷ, (ῃερς. 35.) μῆλα λαβὼν ἀπεδειροτόμησα εἰς βόθρον, ῥέε δ' αἷμα κελαινεφὲς, ἡ λέξις τὸ κελαινεφὲς δηλοῖ, ἤγουν τὸ μέλαν. ἐπεὶ καὶ μέλαν αἷμα φησὶ πολλαχοῦ. καὶ μὴν καὶ Ζεὺς κελαινεφὴς κατὰ ἀλληγορίαν, ὁ μέλας ἰδεῖν καὶ οἱονεὶ αὐτὸς κελαινοφαὴς διὰ τὸ τοῦ νοῦ δυσόρατον. (ῃερς. 37.) Ὅτι ἐν τῷ, αἱ δ' ἀγέροντο ψυχαὶ ὑπ' ἐξ Ἐρέβους νεκύων κατατεθνηώτων, περιττεύει ὡς καὶ ἀλλαχοῦ τὸ κατατεθνηώτων καὶ οὐ πρὸς διαστολήν τινα κεῖται, ὡς καὶ ἐν Ἰλιάδι φαίνεται, ῥηθείη δ' ἂν τὸ τοιοῦτον ἔπος ἀστείως, (ῃερς. 38.) ὅτε πολλοί τινες ἀλιπεῖς καὶ λεπτόσαρκοι ὁμοῦ ἀγείροντο. τὸ δὲ ἐφεξῆς ἁρμόσει ποτὲ εἰπεῖν ἐπὶ συνάξεως προσώπων κινδυνευσάντων, τὸ, νύμφαι τ' ἠΐθεοί τε πολύτλητοί τε γέροντες, παρθενικαί τ' ἀταλαὶ, νεοπενθέα θυμὸν ἔχουσαι. πολλοὶ δ' οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν ἄνδρες ἀρηΐφατοι βεβροτωμένα τεύχε' ἔχοντες. Ἐν τούτοις δὲ ὅρα ὅτι ταῖς νύμφαις τοὺς ἠϊθέους ἀντέθετο διὰ ἡλικίας ταυτότητα, καὶ τοῖς πολυτλήτοις γέρουσι τὰς ἀταλὰς παρθένους κατά τι ἀντιθετικὸν σχῆμα. εἰσὶ γὰρ ἀταλαὶ παρθέναι αἱ μηδὲν δυνάμεναι τλῆναι διὰ τὸ τῆς ἡλικίας ἁπαλόν. τὸ δὲ τοιοῦτον τοῖς πολυτλήτοις ἀντίκειται. (ῃερς. 39.) Τὸ δὲ νεοπενθέα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θυμὸν, ἀπαιτεῖ τὰς μὴ νέας παλαιοπενθεῖς εἶναι. (ῃερς. 40.) Τὸ δὲ οὐτάμενοι γενικῶς καὶ νῦν κεῖται ἐπί τε τῶν τετρωμένων ἐπί τε τῶν βεβλημένων. οὐ γὰρ ἂν πιθανῶς εἴποι τις ὡς τῶν μὲν οὐταμένων ἦν τις φασία, τῶν δὲ βεβλημένων οὔ. Βεβροτωμένα δὲ τεύχεα τὰ δοκοῦντα βεβροτῶσθαι, ὅ ἐστιν αἵματι μεμολύνθαι. (ῃερς. 41.) Ἰστέον δὲ ὅτι φάντασμα ἦν τὰ τοιαῦτα τῷ Ὀδυσσεῖ. ἐπεὶ καὶ κλῆρος ἦν Ἑλληνικὸς, τὸν ἀέρα εἴδωλα τῶν τεθνεώτων σκιώδη καὶ ἀμενηνὰ ἐκματτόμενον καὶ ὡς οἷον ἐν σκιαγραφίᾳ εἰκονικῇ τυποῦντα φαντάζειν οὕτω τοὺς βλέποντας, ὡς τόν τε γέροντα τοιοῦτον εἶδος ἐναπλῦναι τῷ ἀέρι, καὶ τὸν βεβλημένον δὲ τοιαύτην θέαν ἐνθεῖναι αὐτῷ, καὶ τοὺς λοιποὺς ὁμοίως. ὥστε ἐκεῖνο βλέπεσθαι, ὃ καὶ ζώντων προεφαίνετο τὸν σωματικὸν δηλαδὴ χρῶτα καὶ τὰ περὶ αὐτὸν ἐπιπολάζοντα πάθη. διὸ καὶ αἱ νεοφανεῖς νύμφαι κατὰ νυμφικὸν σχῆμα προσπίπτουσι τοῖς τοῦ ὁρῶντος ὀφθαλμοῖς. καὶ οἱ πεσόντες νεοπενθεῖς ἐν σκυθρωπῇ καταστάσει φαίνονται, καὶ οἱ ἐν ὅπλοις θανόντες ὅμοιοι φαντασιοῦνται, καὶ οἱ θηρῶντες ἐν κυνηγετικῷ σκιαγραφοῦνται σχήματι, καὶ οἱ μετὰ συμμάχων πεσόντες ἀγηγερμένον ἔχουσι περὶ ἑαυτοὺς τὸ συμμαχικὸν, ὡς ἐν τοῖς ἑξῆς δηλοῖ τὰ κατὰ τὸν Ἀγαμέμνονα, καὶ αἱ τῶν βεβλημένων φαντασίαι μετὰ ὠτειλῶν ἐπιφαίνονται, καὶ αἱ τῶν γερόντων ῥικναὶ, καὶ αἱ τῶν κατηφιώντων στυγναὶ, ὥσπερ δῆτα καὶ ἐν ὀνείροις. διὸ καὶ ἡ τῆς μητρὸς τοῦ Ὀδυσσέως ψυχὴ μετ' ὀλίγα σκιᾷ ἰκέλη ἢ καὶ ὀνείρῳ ἔπτατο ὑποχωροῦσα. τοιοῦτον δὲ καὶ τὸ, ψυχὴ ὡς ὄνειρος ἀποπταμένη πεπότηται. ὅθεν καὶ τὸν Αἴαντα, οὐδ' ἂν εἴ τι καὶ πάθοι Ὀδυσσεὺς, μεταβαλεῖ ἐν Ἅιδου τῆς μήνιδος, ἐσχηματισμένον κατὰ τὴν ἄνω διάθεσιν, ὅτε δηλαδὴ ἦν ἐν τοῖς ζῶσι. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. τὰ δὲ ἐφεξῆς τοῦ Ὁμήρου (ῃερς. 42.) θορύβου δηλωτικά. φησὶ γὰρ ὡς πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος θεσπεσίῃ ἰαχῇ. (ῃερς. 43.) ἐμὲ δὲ χλωρὸν δέος ᾕρει, τουτέστι χλωροποιὸν, ὠχρότητος ποιητικὸν, ὥσπερ καὶ νωθροὶ νότοι παρ' Ἱπποκράτει οἱ 1.399 νωθροποιοί. καὶ τυφλὸν ὁ ἔρως ἤγουν τυφλοποιὸν, ἐπεὶ καὶ τυφλώττει τὸ φιλοῦν περὶ τὸ φιλούμενον. (ῃερς. 38.) Ἰστέον δὲ ὅτι τὰ ῥηθέντα Ὁμηρικὰ ἓξ ἔπη, τὸ, νύμφαι τ' ἠΐθεοί τε καὶ ἑξῆς ἕως τοῦ, ἐμὲ δὲ χλωρὸν δέος ᾕρει, ἀθετοῦσιν οἱ παλαιοί. οὔπω γάρ φασι καιρὸς τοῦ ἔρχεσθαι, καὶ οὐδὲ δυνατὸν τὰς ψυχὰς φέρειν σωμάτων πληγάς. οἱ δὲ λυτικοὶ περὶ μὲν τῶν πληγῶν λαλοῦσιν ὡς ἀνωτέρω ἐγράφη. περὶ δὲ τοῦ μήπω καιρὸν εἶναι προσιέναι τῷ βόθρῳ ψυχὰς φασὶν ὡς προανακεφαλαίωσις ταῦτα τῶν ῥηθησομένων εἰσί. ταυτὸν δ' εἰπεῖν, δηλοῦσα προέκθεσις ὡς οὐκ ἔρχονται νῦν ἀλλ' ὅτι ἐλεύσονται. (ῃερς. 46.) Ὅτι ἔστι καὶ ὧδε σχῆμα τὸ κατὰ τὸ σιωπώμενον ἐν τῷ, ἐκέλευσε μῆλα δείραντας κατακῆαι πυρὶ πάντως, ὅπερ ἐπεφέροντο οἱ περὶ τὸν Ὀδυσσέα, εἰ καὶ ὁ ποιητὴς αὐτὸ σιωπᾷ. (ῃερς. 48.) Ὅτι ξίφος ἐκφοβεῖ καὶ τοὺς νέκυας καὶ οὐκ ἐᾷ αἵματος ἆσσον ἐλθεῖν πρὸ τοῦ Τειρεσίου. ἐφοβεῖτο δὲ οὕτω καὶ πρὸ τούτων καὶ ἡ Κίρκη ὡς ἐν τοῖς περὶ ἐκείνης ἐφάνη. (ῃερς. 51.) Ὅτι δόξα ἦν τοῖς Ἕλλησι τὰς τῶν ἀθάπτων ψυχὰς μὴ ἀναμίγνυσθαι ταῖς λοιπαῖς, ἀλλὰ καὶ ἐν ταῖς νεκρικαῖς ἐπικλήσεσιν ἐπιφαίνεσθαί τε πρινὴ τῆς χοῆς γεύσασθαι, καὶ προλέγειν τι μαντικῶς διὰ τὸ μή πω γενέσθαι τῆς λήθης ἧς καὶ πόμα φασὶν ἐν Ἅιδου εἶναι οἱ μεθ' Ὅμηρον. Ἐλπήνωρ γοῦν ἐνταῦθα ὁ πρὸ ὀλίγωνρηθεὶς οὗπερ ἡ ἀναλογία κατὰ τὸ ῥηξήνωρ ἀγήνωρ Ἐλεφήνωρ Προθοήνωρ Ἀντήνωρ καὶ τὰ ὅμοια, τοιοῦτος ἐν Ἅιδου τῷ Ὀδυσσεῖ φαίνεται. φησὶ γὰρ ἡ ποίησις οὕτω. Πρώτη δὲ ψυχὴ Ἐλπήνορος ἦλθενἑταίρου. οὐ γάρ πω ἐτέθαπτο. σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ ἐλέλειπτο ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε. (ῃερς. 66.) καὶ μετ' ὀλίγα γουνάζεται περὶ ἑαυτοῦ, εἰπὼν πρὸς Ὀδυσσέα, νῦν δέ σε τῶν ὄπισθεν γουνάζομαι οὐ παρεόντων, καὶ ἑξῆς. (ῃερς. 70.) εἶτα καὶ μαντικῶς εἰπὼν ὅτι οἶδεν ὡς ἐνθένδε κιὼν νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα, κέλεται μνήσασθαι αὐτοῦ τὸν Ὀδυσσέα. μή με γάρ φησιν ἄκλαυτον ἄθαπτον ἰὼν ὄπισθε καταλείπειν νοσφισθεὶς, μή τί τοι θεῶν μήνιμα γένωμαι. (ῃερς. 74.) ἀλλά με κακκῆαι ἤτοι κατάκαυσον σὺν τεύχεσιν ἅσσα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μοι ἐστί. σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης ἀνδρὸς δυστήνου καὶ ἐσσομένοισι πυθέσθαι, πῆξαί τ' ἐπὶ τύμβῳ ἐρετμὸν, τῷ καὶ ζῶον ἔρεσσον ἐὼν μετ' ἐμοῖς ἑτάροισι. (ῃερς. 75.) Καὶ ὅρα ὅτι κατὰ τὰ προειρημένα οὐδὲ ἐν Ἅιδου φρεσὶν ἄρηρεν ὁ Ἐλπήνωρ, οὐ μόνον ὅτι ἀφελῶς περὶ εὐτελῶν ἀξιοῖ, ἀλλὰ καὶ ὅτι εἰς οὐδὲν χρήσιμον ζητεῖ τὸ τύμβου χῶμα ἐπὶ θινὶ θαλάσσης καὶ τὴν ὡσανεὶ διὰ τοῦ ἐρετμοῦ ἀναστήλωσιν. (ῃερς. 76.) ποίοις γὰρ ἐσομένοις ἔμελλε τὸ σῆμα φαίνεσθαι ἐν παράπλῳ εἴπερ ἀοίκητος ἡ τῆς Κίρκης νῆσος ὑπόκειται; εἰ μὴ ἄρα ἐμφαίνει διὰ τούτων ὁ ποιητὴς, ψευδῆ μὲν εἶναι τὸν ὠκεανισμὸν ἢ ἄλλως ἐκτοπισμὸν τῆς νήσου Αἰαίης, ἀληθῶς δὲ ἐν τόποις περιπλεομένοις κεῖσθαι αὐτήν. (ῃερς. 53.) Ὅρα δὲ ὅτι σῶμα καὶ νῦν τὸ νεκρωθὲν λέγει οὐ μὴν δέμας. χρῆσις δὲ σώματος οὐ πάνυ συνήθης οὐδὲ μὴν ἐσφαλμένη ἐν τῷ· τῶν δὲ κιόνων τὰ μὲν σώματα ἦν κιπαρίσσινα. αἱ δὲ κεφαλαὶ κορινθιουργεῖς, ἐλεφάντιναι καὶ χρυσῷ διακεκοσμημέναι, τὸ δὲ ἐπιστύλιον ἐκ χρυσοῦ τὸ ὅλον. (ῃερς. 62.) Τὸ δὲ ἐν Κίρκης μεγάρῳ, ἐντελῶς ἐγράφη. τὸ γὰρ ἄλλως ἐν Κίρκης εἰπεῖν ἐλλιπῶς ἔχει κατὰ ἀττικισμόν. (ῃερς. 54.) Τὸ δὲ ἄκλαυτον οἱ μεθ' Ὅμηρον καὶ ἄκλαυστον γράφουσι. (ῃερς. 73.) Τὸ δὲ ἐπεὶ πόνος ἄλλος ἔπειγε, καὶ παροιμιῶδες ἐστὶν ἐπὶ τῶν ἀναγκαῖα προτιμωμένων τῶν μὴ τοιούτων. ὥσπερ καὶ τὸ, μή τί τοι θεοῦ μήνιμα γένωμαι ἐπὶ τῶν παρακαλουμένων μὴ ἀδικεῖν. (ῃερς. 66.) Τοῦ δὲ τῶν ὄπισθε γουνάζομαι, ἐφερμηνευτικὸν ἑξῆς αὐτίκα τὸ, οὐ παρεόντων. τούτου δὲ αὖθις τὸ, πρός τε ἀλόχου καὶ πατρὸς καὶ Τηλεμάχου, ἵνα ὄπισθεν μὲν εἶεν οἱ μὴ παρόντες. μὴ παρόντες δὲ ἡ ἄλοχος καὶ ὁ υἱὸς καὶ ὁ πατὴρ τὰ ὄντως φίλτατα ἐν τῇ Ἰθάκῃ τῷ Ὀδυσσεῖ. καὶ ἄλλως δὲ εἰπεῖν τὸ, νῦν δέ σε τῶν ὄπισθεν γουνάζομαι, ἀντὶ τοῦ ὑπὲρ τῶν μελλόντων, τοῦ ἰδεῖν δηλονότι τὴν ἄλοχον καὶ τὸν πατέρα καὶ τὸν υἱὸν, ὃν μόνον ἐνὶ μεγάροισιν ἔλιπες. δῆλον δὲ ὅτι ἐν τῷ γουνάζομαι τῶν ὄπισθεν ἀπὸ κοινοῦ ληπτέον τὴν πρὸς πρόθεσιν, ὡς δηλοῖ τὸ, πρός τ' ἀλόχου. καὶ ὅτι διὰ μέτρου ἀνάγκην ὄπιθεν ἐνταῦθα ἔφη κατὰ ἔνδειαν τοῦ σίγμα, ὡς καὶ ἐν τῷ, ἄθαπτον ἰὼν ὄπιθεν καταλείπεις. (ῃερς. 70.) Τὸ δὲ σχήσεις νῆα καὶ νῦν ἀντὶ τοῦ ἐλλιμενίσεις. Τὸ δὲ νοσφισθεὶς ἀντὶ τοῦ νόσφι γενόμενος, χωρισθεὶς, ὑποχωρήσας. (ῃερς. 73.) Τὸ δὲ σῆμα εἰ καὶ μυριαχοῦ τάφον δηλοῖ, ὡς κἀνταῦθα, ἀλλὰ γενικῷ λόγῳ τὸ ἁπλῶς σημεῖον ἑρμηνεύει, ὃ καὶ συγγενές ἐστι τῷ τεκμηρίῳ. χρῆσις δὲ τούτου καὶ ἐν τῷ, σῆμα δέ τοι ἐρέω, τουτέστι γνώρισμα, ὁποῖον δή τι καὶ τὸ ἀνάχωμα τοῦ τάφου, σημεῖον ὂν, καθὰ καὶ μνῆμα καὶ μνημεῖον ἤγουν μνημοσύνη, τοῦ ἐπὶ νεκρῷ 1.400
αὐτὸ γενέσθαι. Τοῦ δὲ ὡς ἐῤῥέθη γενικοῦ σήματος πολλὰ μὲν καὶ ἄλλα παράγωγα. ἐν ἐκείνοις δὲ καὶ παράσημος ὁ ἀδόκιμος, ὡς ἀπὸ νομίσματος. ὃ κίβδηλον ὂν παράσημον ἐκαλεῖτο, εἰ καὶ ὕστερον δεδόξασται καὶ ἡ τοιαύτη λέξις διὰ τὰ βασιλικὰ παράσημα ἢ καὶ ἄλλως ἀρχοντικά. (ῃερς. 76.) Τὸ δὲ ἀνδρὸς δυστήνοιο καινότερον πέφρασται. τὸ γὰρ κοινὸν οὕτω· σῆμα τέ μοι χεῦαι ἀνδρὶ δυστήνῳ. αἴτιον δὲ καὶ νῦν ἡ τῆς δοτικῆς καὶ γενικῆς φιλίωσις. δῆλον δ' ὅτι πολλῶν καὶ τοιούτων καὶ ἀλλοίων καινότερον φραζομένων καὶ παρά τε ἄλλοις καὶ παρὰ τῷ ποιητῇ οὐκ ἔστι κατειπεῖν τῶν οὕτω σχηματιζομένων σολοικισμὸν εἴτουν βαρβαρισμόν. κέκριται δὲ σολοικοφανῆ τε σχήματα καλεῖν ταῦτα καὶ ἁπλῶς οὕτω σχήματα. πᾶν μὲν γάρ φασι τοιοῦτον λάλημα ἤγουν σχῆμα ἁμάρτημά ἐστιν ἑκούσιον διὰ τέχνην ἢ ξενοφωνίαν ἢ καλλωπισμόν. σολοικισμὸς δὲ ἁμάρτημα ἀκούσιον ἐξ ἀμαθίας λαληθὲν παρὰ ὄνομα ἢ ῥῆμα ἢ ἄλλο τι ὧν λέγουσιν οἱ τεχνικοί. Ἐπὶ τούτοις (ῃερς. 75.) ὅρα καὶ ὅτι σῆμα καὶ τύμβος ταὐτὰ νοοῦσι πολυωνυμίας λόγῳ σὺν καὶ τῷ τάφῳ καὶ τῷ μνήματι. τούτων δὲ τύμβος μὲν καθ' αὑτόν ἐστι, τὰ δὲ λοιπὰ τρία σχίζονται δι' ὁμωνυμίας, εἴγε σῆμα καὶ μνῆμα καὶ τάφος οὐκ ἀεὶ τύμβον δηλοῦσιν, ἀλλὰ τὸ μὲν καὶ σημείου, τὸ δὲ μνήμης, τὸ δ' ἐκπλήξεως ἀντιλαμβάνονται. ὅτε μέντοι ταυτίζονται πολυωνυμικῶς, τότε σήματος μὲν οὐ παρῆκταί τι, τῶν δ' ἄλλων, τάφου μὲν παρώνυμον σὺν ἄλλοις, καὶ ὁ ἐπιτάφιος λόγος ἢ ἀγὼν, τύμβου δὲ ὁ ἐπιτύμβιος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μνήματος δὲ ὁ μνηματίτης. δοκεῖ δὲ ταῦτα καὶ μᾶλλον ὅτ' ἂν ἐν λόγοις θεωρῶνται εἰς ταυτὸν ἥκειν τοῖς ὕστερον καλουμένοις ἐπικηδείοις καὶ θρήνοις. ὧν διαφορὰ, καθότι θρῆνος μέν φασιν ᾄδεται παρ' αὐτῇ τῇ συμφορᾷ πρὸ ταφῆς καὶ μετὰ ταφὴν καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον τῆς κηδείας, ᾀδόμενος ὑπὸ θεραπαινίδων καὶ τῶν σὺν αὐταῖς ὁ δὲ ἐπικήδειος ἔπαινός ἐστι τοῦ τελευτήσαντος, μετά τινος μετρίου σχετλιασμοῦ, ὥστε συγγενῶς ἔχει ὁ ἐπικήδειος λόγος τῷ μνηματίτῃ καὶ ἐπιταφίῳ. οἱ μέν τοι θρῆνοι διεκπίπτουσιν εἰς ἀλλόφυλον, προσήκοντες αὐτοὶ τοῖς παρ' Ὁμήρῳ ἀοιδοῖς θρήνων ἐξάρχοις. οἷς ἐοίκασι καὶ οἱ τοὺς ἐλεγείους ᾄδοντες, εἴγε παρὰ τὸ ἐλέγειν ὁ ἐλεγεῖος παράγεται στίχος. καὶ ταῦτα μὲν τοιαῦτα. (ηερς. 57.) Ἐν τοῖς Ὁμηρικοῖς δὲ κεῖται καί τι νόημα λυπηρόν τε καὶ ἀστεῖον, ἄλλως μέντοι καὶ ἄλλως ἐν τῷ· Ἐλπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα; (ηερς. 58.) ἔφθης πεζὸς ἐὼν ἢ ἐγὼ σὺν νηῒ μελαίνῃ; Ὀδυσσεὺς μὲν γὰρ δακρύσας καὶ ἐλεήσας ἔφη οὕτως, ὡς δηλοῖ τὸ, τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ. οἴκτου γὰρ ταῦτα ῥήματα. ὁ μέντοι ἀκροατὴς διαχεθεὶς μειδιάσοι ἂν ἐπὶ τῷ νοήματι, ὡς τοῦ πεζοῦ δῆθεν Ἐλπήνορος παραδραμόντος τάχει τὸν πλέοντα. (ηερς. 55.) Ἰστέον δὲ καὶ ὅτι φιλοίκτου μὲν ἀνδρὸς τὸ, τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ. βλαβέντος δ' ἐκ μέθης τὸ, (ηερς. 61.) ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος. Ἐλπήνωρ δὲ τοῦτο λέγει ἀφηγούμενος ὡς διὰ μέθην καθὰ καὶ προεγράφη καταπεσὼν τέγεος ἐξετραχηλίσθη. Κακὴν δὲ αἶσαν λέγει τὴν ἀντιδιαστελλομένην ἀγαθῇ τύχῃ, ταυτόν δ' εἰπεῖν, ἀγαθῷ δαίμονι. (ηερς. 83.) Ὅτι παρήχησιν τινὰ ἔχει ὡς καὶ ἐν ἄλλοις ἐδηλώθη τὸ, εἴδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευεν. (ηερς. 87.) Ὅτι διδάσκων ὁ ποιητὴς προτιμᾶσθαι τῶν ἡδέων τὰ συμφέροντα πλάττει τὸν καρτερικὸν Ὀδυσσέα οἰκτιζόμενον μὲν ἐπὶ τῇ μητρὶ φανείσῃ καὶ πυκινὸν ἀχεύοντα, μὴ ἐῶντα δὲ ὅμως αἵματος ἆσσον ἐλθεῖν αὐτὴν, πρὶν Τειρεσίαο πυθέσθαι. (ηερς. 85.) Αὐτολύκου δὲ γενεαλογεῖ ὁ ποιητὴς Ἀντίκλειαν τὴν τοῦ Ὀδυσσέως μητέρα. περὶ οὗ ὅτι κλεπτίστατος ἦν, ἐν τοῖς μετὰ ταῦτά που δηλωθήσεται. (ηερς. 85.) Πυκινὸν δὲ ἀχεύειν ὥσπερ καὶ πυκινὸν ἄχος, ἢ τὸ κατὰ συνέχειαν καὶ μὴ ἀραιῶς ἐκ διαλειμμάτων, ἢ ἐπεὶ διαχέει μὲν ἡ χαρὰ, πυκνοῖ δὲ καὶ συστέλλει ἡ λύπη. (ηερς. 90.) Ὅτι εἰ καὶ αἱ λοιπαὶ τῶν τεθαμμένων ψυχαὶ μὴ πιοῦσαι χοῆς καὶ αἵματος οὔτε ἐπεγίνωσκον οὔτε τι προσεφώνουν, ἀλλ' ἐλθοῦσαι ἀνεχώρουν ὀπίσω καθὰ μετ' ὀλίγα ὁ Τειρεσίας ἐρεῖ δίχα γε, ὡς ἐῤῥέθη, τοῦ Ἐλπήνορος τοῦ μή πω ταφέντος, ἀλλ' ὁ Τειρεσίας καὶ μὴ πιὼν αἵματος ἐπιγινώσκει τὸν Ὀδυσσέα καὶ προσφωνεῖ ὁμιλητικῶς (ηερς. 94.) καὶ τοῦτό ἐστιν αὐτῷ διάφορον πρὸς τὰς ἄλλας ψυχὰς ὡς πεπνυμένῳ πρὸς σκιάς. δεδιὼς δὲ ὅμως τὴν ἐπισειομένην ὕλην καὶ αὐτὸς, τὸ ξίφος δηλαδὴ, ἀναχωρεῖν τε τοῦ βόθρου κελεύει τὸν Ὀδυσσέα, καὶ τὸ φάσγανον ἀπίσχειν, ὅ ἐστιν ἄπο ἔχειν, ἤτοι ἀφιστᾶν, ἵνα πιὼν εἴπῃ τὸ ἀληθές. ὥστε καὶ ὁ Τειρεσίας εἰ καὶ γνωρίζει πρὸ τοῦ πιεῖν, ἀλλ' οὐ μαντεύεται, μισθὸν δὲ αὐτὸ τοῦ πιεῖν ἀντιδίδωσιν. (ηερς. 91.) Ἐν τούτοις δὲ τὸν σεμνὸν Τειρεσίαν σχήματι καινῷ ἐξαγγέλλει, ὡς καὶ 1.401 προεδηλώθη, καινῶς φράζων τὸ καινὸν, ὡς ἡ ποιητικὴ δηλοῖ φράσις, ἔχουσα οὕτως. ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο, (ηερς. 94.) χρύσεον σκῆπτρον ἔχων, ἐμὲ δ' ἔγνω καὶ προσέειπεν. ἔδει μὲν γὰρ εἰπεῖν ψυχὴ Τειρεσίου χρύσεον σκῆπτρον ἔχουσα. καὶ οὐκ ἦν οὐδὲν τοῦτο κώλυμα τῷ μέτρῳ. ἀπεδόθη δὲ ὅμως πρὸς τὸ σημαινόμενον τὸ, ὁ Τειρεσίας. οὕτω δέ πως καὶ ἀνωτέρω ἐπὶ τῆς τοῦ Ὀδυσσέως μητρὸς καινῶς ἐσχημάτισεν, εἰπών· ἦλθε ψυχὴ μητρὸς Ἀντίκλεια, τουτέστιν ἡ μήτηρ Ἀντίκλεια. πρὸς δὲ ψυχὴ Τειρεσίου ἔχων σκῆπτρον ὅμοιον καὶ τὸ, ἤτοι Ἀθηναίη ἀκέων ἦν. δηλοῖ δὲ ὁ ποιητὴς, ὡς οὐκ ἐχρῆν εἰπεῖν ἐνταῦθα ψυχὴ Τειρεσίου, εἴπερ αὐταὶ μὲν εἴδωλα καὶ σκιαὶ ἀΐσσουσιν, ὁ δὲ πέπνυται, ἀλλὰ ἔδει Τειρεσίαν εἰπεῖν. διὸ εἰπὼν ψυχὴ ἐπάγει τὸ οἰκεῖον, ἤγουν τὸ ἔχων, ὁ Τειρεσίας δηλαδὴ οὐχ' ἡ ψυχὴ τοῦ Τειρεσίου. ἃ δέ γε προσέειπεν ὁ Τειρεσίας τὸν Ὀδυσσέα, εἰσὶ ταῦτα· διογενὲς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, τί ποτε ὦ δύστηνε λιπὼν φάος Ἠελίοιο ἤλυθες ὄφρα ἴδῃς νέκυας καὶ ἀτερπέα χῶρον; ἀλλ' ἀποχάζεο βόθρου. ἄπισχε φάσγανον ὀξὺ, αἵματος ὄφρα πίω καί τοι νημερτέα εἴπω. (ῃερς. 92.) Ἁρμόττει δὲ τὸ, τί ποτε λιπὼν Ἥλιον ἦλθες καὶ ἑξῆς ὁ στίχος ὅλος, ῥηθῆναι ὅτε τις ἀγαθοῦ τόπου φαῦλον ἀλλάξεται. Ἰστέον δὲ ὅτι συχνὰ ὁ ποιητὴς ἀπορεῖ περὶ τῆς εἰς Ἅιδην καθόδου τοῦ Ὀδυσσέωςδιὰ τὸ ἄγαν μυθῶδες. ἐνταῦθα μὲν γὰρ ὁ Τειρεσίας ἔφη· τί δή ποτε ὦ δύστηνε, καὶ τὰ ἑξῆς. Ὀδυσσεὺς δὲ πρὸ τούτου ἐπέστησεν ὅτι εἰς Ἅιδην οὔπω τις ἀφίκετο νηῒ μελαίνῃ. ἡ δὲ μήτηρ Ἀντίκλεια ἐν τοῖς ἑξῆς ἐρωτᾷ· τέκνον ἐμὸν, πῶς ἦλθες ὑπὸ ζόφον; καὶ Ἀχιλλεὺς ὁμοίως· σχέτλιε, πῶς ἔτλης Ἄϊδόσδε κατελθεῖν; ἔνθα καὶ τὸ τοῦ πράγματος ἀναιδὲς ἐπισημαινόμενος ὁ ποιητὴς φησί· σχέτλιε τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον; δηλῶν, ὡς καὶ ἄλλα μὲν ἐτόλμησε περὶ Ὀδυσσέως τερατεύσασθαι, τοῦτο δὲ τῶν ἄλλων τὸ τερατωδέστερον. Χρύσεον δὲ σκῆπτρον φανταστικῶς μὲν ὁ μῦθος τῷ Τειρεσίᾳ δίδωσι. τιμᾷ δὲ ὅμως αὐτὸν διὰ τὸ εἰσάγαν μαντικόν. ἀμύμονα γοῦν μάντιν αὐτὸν μετ' ὀλίγα ἐρεῖ. εἰκασθήσεται δὲ τοιούτῳ παραδείγματι ὁ πρὸς μόνην φαντασίαν κιβδήλως χρυσοφορῶν, ὥσπερ καὶ ὁ ἀξιῶν μὴ φόβον ἔχειν ποθὲν, ἵνα μεγάλα βλάπτοι, δοκοίη ἂν καὶ αὐτὸς λέγειν τῷ νόμῳ, ἄπισχε φάσγανον ὀξὺ αἵματος ὄφρα πίω, ἤγουν μή με ἐκφόβει ἵνα ἀδεῶς βλάπτοιμι. (ῃερς. 99.) Ὅτι νόστου δυσχέρειαν δηλοῖ τὸ, νόστον δίζηαι μελινδέα, τὸν δέ τοι ἀργαλέον θήσει θεός. οὐ γὰρ ὀΐω λήσειν αὐτὸν, ὅ, τοι κότον ἔνθετο θυμῷ, χωόμενος. Ὀδυσσεὺς δὲ ταῦτα διηγεῖται περὶ ἑαυτοῦ, μαθὼν ἐκ τοῦ Τειρεσίου ὡς ἐγκοτοῦντα ἔχει τὸν Ποσειδῶνα τὸν τοῦ Ἀλκινόου καὶ τῆς Ἀρήτης πρόγονον. ἐπεὶ δὲ τοῦτο ἐμποδὼν αὐτῷ ἐδόκει γενέσθαι πρὸς τὸν οἴκαδε πλοῦν, οὐ γὰρ ἂν οἱ τοῦ Ποσειδῶνος τὸν ἐκείνου ἐγκοτούμενον ῥᾳδίως ἀπέπεμψαν, ἐπάγει καὶ ὅτι ἀλλὰ καὶ οὕτω κακὰ πάσχοντες ἵκοισθε ἂν εἰς πατρίδα εἰ τῶν Ἡλίου βοῶν ἀπόσχησθε· εἰ δὲ μὴ τοῦτο, οὐκέτι ἂν πάντες ἀλλὰ σὺ μόνος εἴπερ ἀλύξῃς ὀψὲ κακῶς νοστήσεις ὀλέσας ἄπο πάντας ἑταίρους νηὸς ἐπ' ἀλλοτρίης. ὃ δὴ καὶ γίνεται. οὕτω τε γοῦν τῷ πεπρωμένῳ πείθει τοὺς Φαίακας πρὸς ἑαυτοῦ εἶναι ὡς ἤδη τελουμένων ὧν ὁ Τειρεσίας ἔφη, καὶ οἷς δὲ εἶπεν ὅτι ἀργαλέον θήσει θεὸς τὸν νόστον οὐ μὴν καὶ ἀδύνατον. Εἰ δὲ μελινδὴς ὡς ἐῤῥέθη ὁ νόστος, εἰκότως καὶ τὸ κατὰ τρυφὴν ἡδὺ νόστιμον λέγεται. (ῃερς. 100.) Τὸ δὲ θήσει θεὸς, ἐτυμολογικόν ἐστιν, ἐκ τοῦ θῶ γὰρ ὁ θεός. ὥσπερ καὶ τὸ, κότον ἔνθετο θυμῷ. κότος γὰρ ἐκ τοῦ κεῖσθαι. ὃ ταυτόν ἐστι τῷ τίθεσθαι. (ῃερς. 102.) Ὅτι ἐν ἄλλοις εἰπὼν ὃν ὀφθαλμοῦ ἀλάωσεν, ἐνταῦθα φησίν· ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσεν, ἄλλως μὲν συντάξας ἐκεῖ, ἄλλως δὲ ἐνταῦθα. (ῃερς. 106.) Ὅτι Θρινακία νῆσος ἡ Σικελία, οἱονεὶ Τριακρία, ἐπεὶ τρία ἔχει ἄκρα ὅ ἐστιν ἀκρωτήρια, Πέλωρον, Πάχυνον, Λιλύβαιον, ἢ καὶ ἄλλως, Πελωρίδα, Πάχυνον, καὶ Λιλύβην. καὶ ἔδει μὲν Τρινακρίαν γράφεσθαι, διὰ δὲ τὸ εὐφωνότερον οὕτως ὠνόμασται. γέγραπται δὲ περὶ αὐτῆς καὶ ἐν τοῖς τοῦ περιηγητοῦ. (ῃερς. 107.) Ὅτι δὲ περὶ αὐτὴν αἱ τοῦ Ἡλίου βόες, δῆλον ἔσται μάλιστα ἐν τοῖς ἑξῆς. νῦν δὲ εἰς τοσοῦτον δεδηλώσθω, ὅτι αὐτόθι ἐβόσκοντο βόες καὶ ἴφια μῆλα Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει. ἃς εἰ μὲν ἀσινέας ἐάσει ἐν τοῖς ἑξῆς Ὀδυσσεὺς κατὰ τὴν παραγγελίαν τοῦ Τειρεσίου νόστου μεδόμενος, ἵκοιτο ἂν εἰς Ἰθάκην μετὰ καὶ τῶν ἑταίρων κακά περ πάσχων. (ῃερς. 111.) εἰ δέ κε σίνηται τουτέστι βλάψῃ τὰ βοσκήματα, τότε τοι τεκμαίρομαι φησὶ ἤτοι σημειοῦμαι καὶ μαντεύομαι ὄλεθρον νηΐ τε καὶ ἑτάροις. αὐτὸς δ' εἴπερ ἀλύξῃς, ὀψὲ κακῶς νοστήσεις ὀλέσας ἄπο πάντας ἑταίρους, νηὸς ἐπ' ἀλλοτρίης. δήεις δ' ἐν πήματα οἴκῳ. ποῖα ἐκεῖνα; ἄνδρας ὑπερφιάλους οἵ τοι βίοτον κατέδουσι, μνώμενοι ἀντιθέην 1.402 ἄλοχον καὶ ἕδνα διδόντες. (ῃερς. 117.) εἶτα λέγει καὶ ὡς ἐκείνων βίας ὁ Ὀδυσσεὺς ἀποτίσεται ἐλθὼν, τουτέστι κτενεῖ ἠὲ δόλῳ ἢ ἀμφαδὸν ὀξέϊ χαλκῷ. εἶτα χρὴ ποιῆσαι αὐτὸν τὰ ἐφεξῆς εἰρησόμενα. προεκθέσεις δὲ ταῦτα τῶν ἐφεξῆς, τοῦ εἰς Θρινακίαν δηλαδὴ πλόου, τοῦ μετὰ ταῦτα κινδύνου, τῆς ἐκ Φαιάκων εἰς Ἰθάκην



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πομπῆς, καὶ τῆς μνηστηροκτονίας, ἣν δυνατὸν ὂν καὶ δόλῳ καταπράξασθαι, Ὀδυσσεὺς ὅμως ἀμφαδὸν ποιεῖται, τὸ ἀνδρικώτερον ἐπιλεξάμενος. (ῃερς. 107.) Ἰστέον δὲ ὅτι ἴφια μὲν μῆλα ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη τὰ ἰσχυροποιὰ, ἢ καὶ ἄλλως, τὰ εὐτραφῆ. (ῃερς. 114.) Τὸ δὲ δήεις, πρωτότυπόν ἐστι τῆς μυθικῆς Δηοῦς ἤτοι Δήμητρος ἥ φασιν ἁρπαγείσης αὐτῇ τῆς θυγατρὸς Περσεφόνης περιώδευεν ἐρευνῶσα, καὶ ὡς ἤκουε συχνὰ ἐκ τῶν παραμυθουμένων τὸ, δήεις τουτέστιν εὑρήσεις, ἐκλήθη ἐντεῦθεν Δηώ. (ῃερς. 115.) Τὸ δὲ τῶν μνηστήρων δοκεῖ ἀστεῖον εἶναι, εἰ ἐκ μέρους μὲν βιάζονται κατέδοντες τὰ τοῦ Ὀδυσσέως, ἐκ μέρους δὲ καταβάλλονται ἕδνα, ὡς οἷον ἀντισηκοῦντες τὸ ἀδίκημα, καὶ τῇ βίᾳ καὶ ἀδικίᾳ παραμιγνύντες δικαιοπράγημα. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι τὸν μὲν Ὀδυσσέα περιφρονοῦντες ὡς μηκέτι ὄντα κατέδουσι τὰ ἐκείνου, βίοτον τοῦτον ἀλλότριον, τὴν δὲ Πηνελόπην ἕκαστος ὡς γυναῖκα ἕξων θεραπεύει δώροις. (ῃερς. 116.) Ἀντιθέαν δὲ αὐτὴν Ὀδυσσεὺς λέγει κληθῆναι παρὰ τοῦ Τειρεσίου, ὑποδεικνὺς τῷ Ἀλκινόῳ ἀγαθῆς ἀντιποεῖσθαι γυναικὸς, δι' ἣν οὐκ ἂν ἐθέλοι μένειν παρὰ τοῖς Φαίαξιν, ἀλλὰ ταχὺ ἀπελθεῖν ἵνα νικήσας τοὺς μνηστῆρας ὁποῖά τι μέγα ἔπαθλον νίκης αὐτὴν λήψεται. (ῃερς. 119.) Σημείωσαι δὲ καὶ ὅτι τὸ, ἠὲ δόλῳ ἢ ἀμφαδὸν, ἀντὶ τοῦ καὶ δόλῳ καὶ ἀμφαδὸν νοοῦσιν οἱ παλαιοὶ, δόλῳ μὲν τὰ πρῶτα, δι' οὗ ἐπέκρυψεν ἑαυτὸν, ὕστερον δὲ ἀμφαδὸν ὀξέϊ χαλκῷ. ἄλλως γὰρ οὐκ ἐχρῆν λοξὰ τὸν Τειρεσίαν μαντεύσασθαι. (ῃερς. 1.) Ὅτι συμβουλεύει Τειρεσίας τῷ Ὀδυσσεῖ, ἐπειδὰν περιγένηται τῶν μνηστήρων, τότε δὴ ἔρχεσθαι λαβόντα εὐῆρες ἐρετμὸν, εἰσόκε τοὺς ἀφίκηται οἳ οὐκ ἴσασι θάλασσαν ἀνέρες, οὐδέθ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν. οὐδ' ἄρα τοί γ' ἴσασι νέας φοινικοπαρῄους, οὐδ' εὐήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται. βούλεται δὲ ἡ τοῦ Τειρεσίου παραίνεσις λαβεῖν τὸν Ὀδυσσέα κώπην ἐπὶ τοῖς ὤμοις καὶ ὁδεύειν ἕως ἂν εἰς ἄνδρας ἔλθοι μὴ εἰδότας θάλασσαν ἢ ἐμβρωματιζομένους μετὰ ἁλῶν ἢ ἐπιστήμονας νηῶν, ἵνα δηλαδὴ τιμηθῇ Ποσειδῶν ἠπειρώτης ἐν τόποις οἷς οὐ φέρεται αὐτοῦ ὄνομα. φιλοτιμία γάρ τις καὶ τὸ τιμᾶσθαί τινας παρ' οἷς οὐ γνωρίζονται. διόπερ ὁ πρὸς εἰδότας λέγων ἐπαίνους τινῶν ἀκούσοι ἂν τὸ, εἰδόσιν Ἀχαιοῖς ταῦτ' ἀγορεύεις. τίνες δ' ἂν εἶεν οἱ μὴ εἰδότες Ποσειδῶνα; ὅσοι οὐκ ἴσασι τὰ ἀνωτέρω ῥηθέντα. οἱ δὲ παλαιοὶ καί τινων τοπικῶν ὀνομάτων βαρβαροφώνους δούπους ἱστοροῦσι, Βουνίμαν λέγοντές τινα ἢ Κελκέαν, ἐν οἷς Ὀδυσσεὺς τὸν Ποσειδῶνα ἐτίμησε. καὶ ταῦτα μὲν τοιαῦτα. (ῃερς. 125.) Ὁ δὲ Ὁμηρικὸς Τειρεσίας μὴ ὀνομάζων μὲν, ἄλλως δὲ σημαίνων σαφῶς ποῖος ἂν εἴη τοιοῦτος τόπος προσήκων εἰς τιμὴν τῷ Ποσειδῶνι, φησὶν οὕτως· Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, ἤγουν εὔγνωστον. διὸ οὐδ' ἂν σελήσει. ὁππότε κεν δή τοι (ῃερς. 126.) συμβλήμενος ἤγουν συναντήσας ἄλλος ὁδίτης, φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ, καὶ τότε δὴ γαίῃ πήξας εὐῆρες ἐρετμὸν, ἔρξας ἢ μάλιστα ῥέξας ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι, ἀρνειὸν ταῦρόν τε, συῶν τ' ἐπιβήτορα κάπρον, οἴκαδ' ἀποστείχειν. (ῃερς. 131.) ἕρδειν θ' ἱερὰς ἑκατόμβας ἐκεῖσε κοινῇ τοῖς οὐρανίοις. (ῃερς. 133.) εἶτα καὶ οἷος ἔσται θάνατος τῷ Ὀδυσσεῖ λέγων ἐκ περιττοῦ διὰ τὸ τῆς ἱστορίας ἐντελὲς, φησί· θάνατος δέ τοι ἐξ ἁλὸς ἢ ἔξαλος αὐτῷ ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ γήρᾳ ὑπὸ λιπαρῷ ἀρημένον. ἀμφὶ δ' ἑταῖροι ἢ μᾶλλον ἀμφὶ δὲ λαοὶ ὄλβιοι ἔσονται. (ῃερς. 136.) ἐφ' οἷς τὸν λόγον περαίνων κομματικῶς φησί· τάδε τοι νημερτέα εἴρω. καὶ ἔστιν ὁ λόγος οἰκεῖος μάντεϊ ὃς θαῤῥεῖ μηδὲν ψεύδεσθαι. (ῃερς. 125.) Ἰστέον δὲ ὅτι σήματος ὅ πέρ ἐστι σημείου ὑποκοριστικὸν κοινότερον εὕρηται σημάτιον, κατὰ τὸ γράμμα γράμματος γραμμάτιον. σημάδιον δὲ εἰπεῖν ἀκολουθεῖ μὲν ἀναλογίᾳ τῇ, χεῖμα χειμάδιον, κατὰ τὸ βασιλέων χειμάδιον. δοκεῖ δὲ ὅμως ἰδιωτικώτερον εἶναι. (ῃερς. 127.) Τὸ δὲ ῥηθὲν ὑπὸ τοῦ Τειρεσίου σῆμα τοιοῦτόν ἐστιν. ὡς ἐπεὶ ἀπορεῖν σε εἰκὸς ὦ Ὀδυσσεῦ ποῖ δή ποτε τοιούτους ἄνδρας εὑρήσεις, μὴ εἰδότας δηλαδὴ θάλασσαν καὶ νῆας, ἔστω σοι τῶν τοιούτων σημεῖον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ γνώρισμα, τόδε, εἴ τις ὁδίτης ἀντώμενος καὶ ἰδὼν φέροντά σε ἐπὶ ὤμου τὸ ἐρετμὸν ἤτοι τὴν κώπην εἴποι φέρειν σε ἀθηρηλοιγὸν, ὅ ἐστι πτύον, λικμητήριον, τὸ τῶν ἀθέρων ὀλοθρευτικόν. ἐξ ὧν καὶ τὸ ἀθερίζειν ἐν Ἰλιάδι. ἐν γὰρ τῷ λικμᾶσθαι σῖτος μὲν ἀποτίθεται καὶ ἄχυρον δὲ τημελεῖται, ἀθέρες δὲ οὐδαμοῦ εἰσὶν, ἅτε 1.403 λεπτυνθέντες καὶ ῥιπισθέντες ἀνέμοις. ἔχει δὲ λόγον ἡ τοιαύτη ἑρμηνεία καὶ διὰ τὸ πλάτην καλεῖσθαι ἄμφω. πλάτη γὰρ θαλασσία τὸ ἐρετμόν. καὶ πλάτη χερσαία τὸ πτύον. Σοφοκλῆς δὲ, φασὶ, παραφράζων τὸ Ὁμηρικὸν φησίν· ὤμοις ἀθηρόβρωτον ὄργανον φέρων. καὶ ὤφειλε μὲν ἀθερόβρωτον εἶναι, ἀθὴρ γὰρ ἀθέρος ὡς αἰθὴρ αἰθέρος, ἠκολούθησε δὲ τῷ ἀθηρολοιγός. ὃ καὶ αὐτὸ ἀθερηλοιγὸς ὀφεῖλον εἶναι, ὅμως δι' ἐκτάσεως ἐγράφη διὰ τοῦ ¯η ὁμοίως τῷ, Μεθώνη Μηθώνη. Φέρης Φέρητος Φηρητιάδης, καὶ τοῖς τοιούτοις. πρὸς ὁμοιότητα δὲ τοῦ βροτολοιγὸς, σύγκειται ὁ ἀθηρηλοιγός. τοῦτο δὲ ἰσοδύναμον τῷ ἀθηρόβρωτος. καὶ οἱ μὲν παλαιότεροι οὕτως. οἱ δὲ νεώτεροι ἀθηρηλοιγὸν νοοῦσι τὴν κώταλιν, ἤγουν τὸ τῆς ἀθήρης κίνητρον, ἵνα ἀστείως ὁ ἠπειρώτης ἐκεῖνος ἐκφλυαρίζῃ τὴν κώπην τῇ πρὸς τορύνην ὅ ἐστι δοίδυκα ὁμοιότητι, καὶ ἔχει ἀκριβέστερον ἡ τοιαύτη ἑρμηνεία τοῦ ἀθηρηλοιγοῦ. ἀθὴρ γὰρ οὐκ ἀμφιλέκτως τὸ τοῦ στάχυος λεπτότατον ἄκρον ὃ δίκην αἰχμῆς προβέβληται κατὰ τῶν ἀφανίζειν ἐθελόντων σπερμολόγων ὀρνέων, ἀλλὰ μάλιστα, ὡς ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐγράφη, ἀθέρες ἐλέγοντο, οἱ ἀγενεῖς ἀστάχυες, οὓς δηλαδὴ οὐκ ἔστι θερίζειν. ἀθήρη δὲ, ἡ ἑψημένη σεμίδαλις. ἣν καὶ ἀθάραν φησὶν ὁ κωμικός. Ἰστέον δὲ ὅτι τὴν ῥηθεῖσαν εἰκασίαν τῆς κώπης πρὸς ἀθηρηλοιγὸν οὐ τοσοῦτον παίζων ὁ ἀθάλαττος ὁδίτης ἐκεῖνος δόξει ποιήσασθαι, ὅσον ἀγνοῶν ἀγροικώτερον διὰ τὸ πάντη ἀσύνηθες. οὕτω καὶ ὁ Προυσαεὺς Δίων ἀγρότην τινὰ γράφει τὸν τῆς Εὐβοϊκῆς ἀγορᾶς κύκλον εἰκάζοντα φάραγγι, ὁποίων πολλῶν οἱ κυνηγετοῦντες πειρῶνται. καὶ βρέφος δὲ τριετὲς μὴ πειραθέν πω χειμῶνος ἔγνωσται περὶ τὸ τρίτον ἔτος χιόνα κατενεχθεῖσαν ἣν οὔπω εἶδεν, εἰς ἄλευρον εἰκάζων καὶ εἰς τίτανον καὶ εἰς τυρὸν, ὧν πεπείρατο. εἰκὸς δὲ καὶ περιεργότερον τὸν ὁδίτην οὕτως εἰκάσαι ὡς ἐν ἀστεϊσμῷ, καθὰ καὶ νῦν τῶν τινες εὐτραπέλων τοὺς ξίφη περιεζωσμένους τῶν στρατιωτῶν οἰακίζεσθαι τῇ σπάθῃ φασὶ κατὰ ναυτικόν τινα εἰκασμόν. Τὸ δὲ ἀνὰ φαιδίμῳ ὤμῳ, δύναται μὲν καὶ δυϊκῶς νοηθῆναι ἀντὶ τοῦ, ἀνὰ τοὺς ὤμους, Ὁμηρικώτερον δὲ εἰπεῖν αὐτὸ εἰρῆσθαι κατὰ δοτικὴν ἑνικὴν πτῶσιν. καὶ εἰσὶ τοιαύτης παραδείγματα συντάξεως καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. συντελεῖ δ' ἐνταῦθα καὶ τὸ, ἀνὰ σοὶ τάδε πάντα λέπαργε, ταυτὸν ὂν τῷ, ἀνὰ τοῖς σοῖς ὤμοις ἢ ἀνὰ τῷ σῷ ὤμῳ. βοὸς δὲ ἐπίθετον τὸ λέπαργε, λευκοῦ ἴσως κατὰ τὸ λεπτιζόμενον ἐξ αὐτοῦ, ἤγουν κατὰ τὸ δέρμα. παροιμία δέ ἐστι τὸ ῥηθὲν ἐπὶ τῶν οὐδὲ μετὰ κάματον ἀνιεμένων. καὶ γάρ φασι βοῒ λυθέντι ἔργον ἐπιτίθεται ὁ ζυγὸς καὶ τὰ σκεύη τῷ δυνατωτάτῳ. Ὅρα δ' ἐν τούτοις τὸ, βοῒ λυθέντι ἔργου. ὅθεν σύγκειται ὁ δειλινὸς βουλυτός. Ἐνταῦθα δὲ σημειωτέον καὶ ὅτι ὁ γράψας τὴν ἀν¯α πρόθεσιν εἰλῆφθαι ἀντὶ τῆς ἐπ¯ι ἐν τῷ, ἀνὰ Γαργάρῳ ἄκρῳ ἤδη δὲ καὶ ἐν τοῖς ἄλλοις τοῖς ὁμοίοις οὐκ ἠλλοίωσε τὸ τὴν ἀν¯α πρόθεσιν ἐν τοῖς τοιούτοις τὴν ἄνω σχέσιν δηλοῦν. καὶ γὰρ καὶ ἡ ἐπ¯ι πρόθεσις ἐπὶ τοιούτου ἔστιν ὅτε σημαινομένου τίθεται. εὖ δὲ πάντως λέγει ἐκεῖνος καὶ ὅτι ἡ ἀν¯α πρόθεσις ἐν μὲν τῷ ἀνάθορε τὴν ἄνω σχέσιν δηλοῖ, ἐν δὲ τῷ ἀνέλαβε τὸ ἐξ ὑστέρου, ἐν δὲ τῷ χρυσέῳ ἀνὰ σκήπτρῳ ἀντὶ τῆς σ¯υν εἴληπται, ἐν δὲ τῷ ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς τῇ κατ¯α ἰσοδυναμεῖ, ἐν δὲ τῷ κτείνονται δ' ἀν' αὐτὰς ἶσον δύναται τῇ παρ¯α, βαρυνομένη δὲ ὡς ἐν τῷ, ἀλλ' ἄνα εἰ μέμονάς γε, τὸ ἀνάστηθι σημαίνει. Ἰστέον δὲ ὅτι ὁ ἐπικρίνας τραχὺν εἶναι τῷ ῥυθμῷ στίχον τὸ, τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρὸς, ἐκεῖνος λέγει κακοφώνου μὲν ῥυθμοῦ εἶναι τὸ, φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ. μαλακοειδῆ δὲ τὸν ὁμαλῶς ἀκοῇ προσπίπτοντα, οἷον, αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι. λογοειδῆ δὲ τὸν καὶ πολιτικὸν, ὃς ἄνευ πάθους φησὶν ἢ τρόπου λέγεται, οἷον, ἵππους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα. καὶ τοιάδε μὲν ταῦτα. (ῃερς. 123.) Εὐῆρες δὲ ὅτι οὐ μόνον ἐπὶ ἐρετμοῦ οὐδὲ μόνον ἐπὶ πλοίου ἀλλὰ καὶ τὸ ἁπλῶς ἐπιεικὲς καὶ πρᾷον ἡ λέξις δηλοῖ καὶ εὐάγωγον, καὶ ἀλλαχοῦ ἐδηλώθη. καιρία δὲ ὡς ἐν ποιήσει λέξις τὸ, εὐῆρες ἐρετμόν. διὸ καὶ τρὶς ἐνταῦθα χρῆται Ὅμηρος ταύτῃ κατὰ σχῆμα ἐπιμονῆς. (ῃερς. 121.) Τὸ δὲ εἰσόκε τοὺς ἀφίκηαι οἳ οὐκ ἴσασι θάλασσαν γέγονέ ποτε χρήσιμον κατὰ παρῳδίαν Ἀμαρδίωνι τῷ Ἀχαιῷ, ὃς φεύγων Φίλιππον καὶ εὑρεθεὶς καὶ ἐρωτηθεὶς ἕως πότε οὕτω ποιήσει, ἔφη, εἰσόκε τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι Φίλιππον. (ῃερς. 122.) Ἐν δὲ τῷ, οὐδέθ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν, ὀκνοῦσι τινὲς τοὺς ἅλας νοῆσαι, λέγοντες ὡς καὶ παρὰ ἠπειρώταις, οἳ οὐκ ἴσασι θάλασσαν, ἅλες εὑρίσκονται, οἷον ὀρυκτοὶ, ἢ καὶ ἄλλως, ἐκ τοῦ ἀναβράττειν ἁλμυρὰ φρεατιαῖα ὕδατα. ὃ δή που καὶ περὶ τὰ ἀρκτῷα γίνεται. ἤδη δὲ καὶ ἀπὸ ῥιζῶν τινῶν ὑφαλμύρων καύσεως. 1.404 ἑρμηνεύουσιν οὖν τὸ ἅλεσσι μεμιγμένον εἶδαρ, ἀντὶ τοῦ τοῖς ἐκ θαλάττης βρώμασι. τὸ μέντοι εἰπεῖν ἅλεσσι ταῖς θαλάσσαις οὐδόλως προσδέδεκται, διὰ τὸ τὴν κλῆσιν τῆς ἁλὸς μὴ διαβαίνειν. ἐπέκεινα τῶν ἑνικῶν, ὁμοίως τῇ γαίᾳ. ἐκείνη γὰρ καὶ εἰς πληθυντικὰ μεταβαίνει ὡς πολλαχοῦ φαίνεται. κρεῖττον μέντοι νοεῖν τοὺς κοινῶς λεγομένους ἅλας, ἵνα δηλοῖ ἄκραν ἀγροικίαν ἀνθρώπων ἐκείνων οἳ οὐδαμῶς ἅλας οἴδασιν, οὔτε θαλασσίους οὔτε ὀρυκτοὺς οὔτε τοὺς ἄλλοθεν. (ῃερς. 123.) Νῆες δὲ φοινικοπάρῃοι αἱ ἀλλαχοῦ μιλτοπάρῃοι διὰ τὸ τῆς μίλτου φοινικοῦν. (ῃερς. 124.) Πτερὰ δὲ νηὸς, τὰς κώπας λέγει, κρεῖττον ἤπερ ὁ Λυκόφρων τὰ ἱστία. εἰ γὰρ καὶ τάχους αἴτια τῇ νηῒ καὶ τὰ ἱστία καθὰ καὶ αἱ κῶπαι, ἀλλὰ τὸ σχῆμα τῶν πτερῶν μᾶλλον αἱ κῶπαι σώζουσιν ἤπερ τὰ λαίφεα. καί πως κατὰ τὰ σχιζόπτερα πέτεται ἡ ναῦς ταῖς κώπαις ὅσα καὶ πτεροῖς. (ῃερς. 127.) Ἐν δὲ τῷ, ἀνὰ φαιδίμῳ ὤμῳ, δοτικῇ συντάσσεται ἡ ἀν¯α πρόθεσις ὡς καὶ ἐν τῇ Ἰλιάδι σεσημείωται. (ῃερς. 129.) Τὸ δὲ ἱερὰ καλὰ τὸ ὕστερον καλλιερεῖν καὶ τὸ καλλιέρημα συνέθηκεν. (ῃερς. 130.) Ἀρνειὸς δὲ, ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, θύεται Ποσειδῶνι διὰ τὸ πρᾷον τῆς θαλάσσης ὅτε ἠρέμα πορφύρει γαλήνιον, ταῦρος δὲ διὰ τὸ κατὰ σφοδρότητα κινήσεως πληκτικὸν, ἔτι δὲ καὶ διὰ τὸ μυκητικὸν καὶ διὰ τὰς ἐν τῷ ὕδατι δὲ καμπτὰς δίκην κεράτων. κάπρος δὲ διὰ τὸ τοῦ ὑγροῦ γόνιμον. συνουσιαστικὸν γὰρ ὁ ἄῤῥην καπρός. ὅθεν καὶ καπρᾶν τὸ οὕτως ὀρέγεσθαι, καὶ καπρῶσα γυνὴ ἡ οὕτως ἐφιεμένη. Τὸ δὲ συῶν ἐπιβήτορα περίφρασίς ἐστι τοῦ κάπρου. Ἰστέον δὲ ὅτι ἡ τοιαύτη θυσία τριττύα λέγεται παρὰ τοῖς παλαιοῖς, οἳ τριττύαν ἔλεγον τὴν ἐκ τριῶν ζώων θυσίαν, οἷον, δύο μήλων καὶ βοὸς, ὡς Ἐπίχαρμος, ἢ βοὸς καὶ αἰγὸς καὶ προβάτου, ἢ κάπρου καὶ κριοῦ καὶ ταύρου. ἡ δὲ τοιαύτη καὶ βούπρωρος φασὶν ἐλέγετο διὰ τὸ προηγεῖσθαι αὐτῆς οἷα νηὸς πρώραν τὸν βοῦν. φράζει δέ τινα τριττύαν καὶ (ῃερς. 431.) ὁ κωμικὸς ἐν τῷ, βουθυτεῖ ὗν, καὶ τράγον καὶ κριόν. ἐλέγετο δὲ καὶ δωδεκαῒς θυσία ἡ ἐκ δώδεκα ζῴων. ἡ δ' αὐτὴ καὶ διὰ τοῦ ¯η δωδεκηΐς. ὡς δὲ καὶ ἑκατόμβη ἐλέγετο ἡ ἐξ ἑκατὸν, καὶ χιλόμβη ἡ ἀπὸ χιλίων, δῆλόν ἐστιν. οὕτω δὲ καὶ ὅτι ἀρνειὸς μὲν ὀξυτόνως ζῷον, ἀρνεῖος δὲ μὴν προπερισπωμένως. (ῃερς. 133.) Τὸ δὲ νοστῆσαι περιφράζων οἴκαδε ἀποστείχειν λέγει. Θάνατος δὲ ἔξαλος ὁ ἠπειρωτικὸς καὶ ἔξω θαλάσσης, ἵνα λέγῃ ὅτι εἰ καὶ δυστυχεῖς ὦ Ὀδυσσεῦ κατὰ θάλασσαν, ἀλλ' ὁ θάνατός σοι οὐκ ἐν αὐτῇ ἔσται ἀλλ' ἔξω αὐτῆς. τινὲς δὲ ἐξ ἁλὸς γράφουσι κατὰ παράθεσιν ἐν δισὶ μέρεσι λόγου, λέγοντες ὡς Τηλέγονος ὁ Κίρκης καὶ Ὀδυσσέως ἡφαιστότευκτον δόρυ ἔχων οὗ ἀδαμαντίνη μὲν ἡ ἐπιδορατὶς, αἰχμὴ δὲ κέντρον θαλαττίας τρυγόνος, χρυσοῦς δὲ ὁ στύραξ. καὶ ἐλθὼν ἐκ Τυρσηνίας εἰς ἀναψηλάφησιν τοῦ πατρὸς καὶ λεηλατῶν ἀγνοίᾳ τὰ ἠπειρωτικὰ τοῦ Ὀδυσσέως κτήματα καὶ εὑρὼν ἀντίπαλον τὸν πατέρα, ἀνεῖλεν οὐκ εἰδώς. καὶ οὕτω τῷ κατὰ θάλασσαν ἀεὶ κακῶς πράττοντι ἐκ θαλάττης αὖθις ὁ θάνατος, ὃς ἔπεφνεν αὐτὸν, καθὰ καὶ Ὀππιανὸς ἱστορεῖ, τῷ τῆς τρυγόνος κέντρῳ, ἣν Φόρκυς φασὶν ἀνεῖλεν φθείρουσαν τοὺς ἐν τῇ Φορκίδι λίμνῃ ἰχθῦς. Ἰστέον δὲ ὡς εἰ καὶ ἐγράφη προσεχῶς οἷά τι ἕτερον ἡ ἐπιδορατὶς καὶ ἡ αἰχμὴ, ἀλλ' οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πλείους ἰσοδύναμα ταῦτα κατὰ πολυωνυμίας οἴδασι. διὸ εἴη ἂν καὶ ἐνταῦθα ἐπιδορατὶς μὲν ἀδαμαντίνη, τὸ ἐπὶ τῷ δόρατι ἤγουν τὸ μετὰ τὸ δόρυ ἐξ ἀδάμαντος ὀξύ. αἰχμὴ δὲ τρυγόνος τὸ ἐπὶ τῷ ἀδάμαντι ὀξύτατον, εἰ μὴ ἄρα τυχὸν μεμέρισται ἄλλως πως ἡ ἱστορία, καὶ οἱ μὲν ἀδαμαντίνην τὴν ὅλην εἶπον ἐπιδορατίδα, οἱ δὲ πάλιν τὴν ὅλην ἀπὸ κέντρου τρυγόνος. Ἰστέον δὲ καὶ ὅτι εἴτε ἔξαλος γράφει τις εἴτε ἐξ ἁλὸς, λοξότητα χρησμοῦ μιμεῖται ὁ τοιοῦτος λόγος τοῦ Τειρεσίου διὰ τὸ ἀσαφὲς καὶ δυσεξήγητον. Ἰστέον δὲ ὅτι ὁ παρὰ τοῖς μεθ' Ὅμηρον ἐν δυσὶ ¯λ ἔξαλλος ἄλλο τι παντελῶς ἐστὶ παρὰ τὸν Ὁμηρικὸν ἔξαλον. καὶ δηλοῖ αὐτὸ καὶ ἡ ἔξαλλος στολὴ, ὅ πέρ ἐστιν ἡ ἐξέχουσα τῶν ἄλλων καὶ οὕτω παρεξηλλαγμένη. (ῃερς. 134.) Ἀβληχρὸς δὲ θάνατος ὁ ἀσθενὴς καὶ ἠρεμαῖος διὰ τὸ ἄνοσον, ὁποῖος ὁ ἐν γήρᾳ μάλιστα λιπαρῷ. καὶ τοῦτο μὲν κατὰ τὴν ἔννοιαν τοῦ ἔξαλος. εἰ δὲ πληγεὶς τέθνηκεν Ὀδυσσεὺς, εἴη ἂν ἀβληχρὸς θάνατος καθόλου ὁ ἀβληχροποιὸς, ὡς ἀσθενεῖς ποιῶν τοὺς θνήσκοντας. (ῃερς. 135.) Γῆρας δὲ λιπαρὸν τὸ δίχα νόσου καὶ τῆς ἐκεῖθεν τηκεδόνος, καὶ ἄλλως δὲ τὸ εὔδαιμον, ᾧ ἐναντίον μετ' ὀλίγα τὸ, χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει. (ῃερς. 136.) Ὄλβιοι δὲ λαοὶ οἱ εὐδαίμονες. μέρος δὲ πάντως εὐτυχίας βασιλεῖ τομέγιστον, ὀλβίους ὑπ' αὐτῷ εἶναι τοὺς λαούς. διὸ καὶ ἀλλαχοῦ φησίν· ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτῷ. (ῃερς. 138.) Ὅτι ὁ ἐφ' οἷς ἂν μάθοι κακοῖς μὴ ἔχων τί ποιήσειν, εἴποι ἂν τὸ, τὰ μὲν ἄρ που ἐπέκλωσε θεὸς αὐτός. (ῃερς. 142.) Λύπης δὲ γονικῆς φραστικὸν τὸ, ἀκέουσα ἧ ἀκέων ἧσται οὐ 1.405 δ' ἑὸν υἱὸν ἔτλη ἐσάντα ἰδεῖν οὐδὲ προτιμυθήσασθαι. σαφοῦς δὲ καὶ συντόμου λόγου ἐνδεικτικὸν τὸ, ῥηΐδιόν τοι ἔπος ἐρέω καὶ ἐνὶ φρεσὶ θείω. (ῃερς. 145.) Πρὸς δὲ ἀνομίλητον εἰπεῖν ἁρμόττει τὸ, ὅν τινα μὲν ἂν ἐᾷς ᾇσσον ἴμεν, ὁ δέ τοι νημερτὲς ἐνίψει. ᾧ δ' ἂν ἐπιφθονέοις, ὁ δέ τοι πάλιν εἶσιν ὀπίσσω. τὸ δὲ τοιοῦτον καὶ ἐπὶ τῶν ἐπὶ μισθῷ βαρεῖ διδασκόντων παρῳδήσεταί ποτε. (ῃερς. 147.) Ὅρα δὲ τὸ, νημερτὲς ἐνίψει, ἀντὶ τοῦ ἁπλῶς εἴπῃ, οὐ μὴν μετά τινος κακολογίας, ὡς ἀλλαχοῦ λέγεται. (ῃερς. 143.) Ἐν τούτοις δὲ καὶ τὸ ἀναγνωρίσαι ἀναγνῶναι κεῖται, οἷον· πῶς κέν με ἀναγνοίη. μετ' ὀλίγα δὲ τὸ αὐτὸ καὶ δίχα προθέσεως. (ῃερς. 152.) ἐρεῖ γάρ· αὐτίκα δ' ἔγνω, ἤγουν ἀνεγνώρισεν, ἡ μήτηρ δηλαδὴ Ἀντίκλεια μετὰ τὸ πιεῖν αἷμα. ὃ δὴ καὶ ἐπὶ τῶν ἄλλων κοινῶς ψυχῶν γίνεται. κατὰ γὰρ τὸν Τειρεσίαν, ὃν μὲν ἐᾷ νεκύων ὁ Ὀδυσσεὺς αἵματος ἐγγὺς ἐλθεῖν, ἐκεῖνος νημερτές τι ἐρεῖ. ὁ δὲ φθονηθεὶς πάλιν εἶσιν ὀπίσσω. τοῦτο δὲ γραφῆναι χρήσιμον ἐπί τινος οὐκ ἂν ἄλλως ὠφελοῦντος, εἰ μὴ μετὰ βαρὺ κέρδος, καὶ οἷον πόσιν αἵματος τοῦ ἐκ τῶν ὠφελουμένων. Ὅτι δὲ τὸ οὕτω πιεῖν καὶ ἀναγνωρισμοῦ ἦν αἴτιον κατὰ τὸν ποιητικὸν λῆρον καὶ τοῦ μαντεύεσθαι, δηλοῖ καὶ Ἀντίκλεια πιοῦσα καὶ εὐθὺς γνωρίσασα, καὶ ὑπονοήσασα ὡς Τροίηθεν ἀλώμενος ὁ υἱὸς ἐνθάδ' ἱκάνει οὐδέπω ἐλθὼν εἰς Ἰθάκην οὐδὲ τὴν γυναῖκα ἰδών. (ῃερς. 154.) Ὅτι πρὸς τὸν παραβαλόντα δυσδαίμονι καὶ σκυθρωπῷ τινι τόπῳ λεχθείη ἂν τὸ, τέκνον ἐμὸν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα ζωὸς ἐών; χαλεπὸν δὲ ταῦτα ζωοῖσιν ὁρᾶσθαι. (ῃερς. 156.) Ὅτι φανερῶς ἐνταῦθα ὁ ποιητὴς δηλοῖ τὴν Ὀδυσσέως μυθικὴν εἰς Ἅιδου κατέλευσιν ἐπὶ τὰ πέραν ἐκεῖθεν τέρματα γενέσθαι τοῦ Ὠκεανοῦ, ἔνθα καὶ τοὺς ἀστέρας δηλαδή φασιν δύνειν. λέγει γάρ· πῶς ἦλθες ὑπὸ ζόφον, καὶ ἑξῆς, ὡς προεγράφη. μέσσῳ γὰρ, ἤγουν διὰ μέσου, μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα. Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ πως ἔστι περῆσαι πεζὸν ἰόντα, ἢν μή τις ἔχῃ εὐεργέα νῆα. διὰ μέσου ἄρα τοῦ Ὠκεανοῦ μυθεύεται εἰς Ἅιδην Ὀδυσσεὺς ἐλθεῖν πλεύσας νηῒ πανημέριος, ὡς προδεδήλωται, οἷα τῆς κατὰ τὴν Κίρκην νήσου ἢ ἐν Ὠκεανῷ πεπλασμένης εἶναι ἢ πρὸς τῷ Ὠκεανῷ κατὰ τὴν ποιητικὴν τερατείαν. Τὰ δὲ δεινὰ ῥέεθρα αἰπὰ ἐν ἄλλοις φησί. (ῃερς. 157.) Τὸ δὲ Ὠκεανὸς μὲν πρῶτα ἀντὶ τοῦ, πρὸ τῶν ἄλλων, ἤγουν ὑπὲρ τοὺς ἄλλους ποταμούς. καὶ ἄλλως δὲ, πρῶτος τοῖς ἐκεῖθεν ἐπὶ τὴν οἰκουμένην πλεύσουσιν, ἵνα ὁ αὐτὸς Ὠκεανὸς ὕστατος μὲν εἴη τοῖς ἐρχομένοις ἐκεῖ, πρῶτος δὲ τοῖς ἐκεῖθεν ἀπαίρουσιν. (ῃερς. 165.) Ὅτι πλάνητος ἀνδρὸς λόγος τὸ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ γάρ πω σχεδὸν ἦλθον πατρίδος, οὐδέ πω ἀμῆς γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχων ἀλάλημαι ὀϊζύν. Τὸ δὲ ἀμῆς γῆς καθ' ὁμοιότητα τοῦ ὑμῆς, ὅ πέρ ἐστιν ὑμετέρας κατὰ δεύτερον ἀντωνυμικὸν πρόσωπον. (ῥερς. 170.) Ὅτι εὑρὼν Ὀδυσσεὺς μέθοδον τοῦ πρὸς τὸν Φαίακα βασιλέα τὰ οἴκοι ἀφηγήσασθαι, μάλιστα μὲν οὖν μεθοδεύσας δεξιῶς ὁ ποιητὴς ἱστορῆσαι αὐτὰ ποιεῖται τοιαύτην ἐρώτησιν πρὸς Ἀντίκλειαν· τίς νύ σε κὴρ ἐδάμασε τανηλεγέος θανάτοιο, ἢ δολιχὴ νοῦσος, ἢ Ἄρτεμις ἰοχέαιρα οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν. (ῥερς. 173.) εἰπὲ δέ μοι πατρός τε καὶ υἱέος ἤγουν περὶ πατρὸς καὶ υἱοῦ, ἢ παρ' ἐκείνοις (ῥερς. 174.) ἐστὶν ἐμὸν γέρας, τὸ τῆς βασιλείας δηλαδὴ, ἠέ τις ἤδη ἀνδρῶν ἄλλος ἔχει. εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε νόον τε, ἢ μένει παρὰ τῷ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσει, ἢ ἤδη αὐτὴν ἔγημεν Ἀχαιῶν, (ῥερς. 178.) ὅς τις ἄριστος, ὡς ἐπαξίαν οὖσαν τοιούτου ἀνδρός. καὶ τοιαῦτα μὲν τὰ τοῦ Ὀδυσσέως ὡς ἐν εἴδει προεκθέσεως. (ῥερς. 180.) ἡ δὲ ἐρωτηθεῖσα μήτηρ ἀμείβεται ὅτι καὶ λίην κείνη γε μένει τετληότι θυμῷ πενθοῦσα, καὶ (ῥερς. 183.) ὅτι σὸν οὔπω τις ἔχει καλὸν γέρας, τὸ τοῦ βασιλεύειν δηλονότι, ἀλλὰ ἕκηλος Τηλέμαχος τεμένη νέμεται, ὅ ἐστιν ἀγροὺς, καὶ δαῖτας ἐΐσας δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν. πάντες γὰρ καλέουσιν. (ῥερς. 186.) εἶτα διηγεῖται ἡ τεθνηκυῖα μήτηρ καὶ τὰ κατὰ τὸν Λαέρτην, οὕτω· πατὴρ δὲ σὸς αὐτόθι μίμνει ἀγρῷ οὐδὲ πόλινδε κατέρχεται οὐδέ οἱ εὐναὶ δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα, ἀλλ' ὅγε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ οἴκῳ ἐν κόνι ἄγχι πυρὸς, κακὰ δὲ χροῒ εἵματα εἶται. αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος τε θαλυῖά τ' (ῥερς. 191.) ὀπώρη, ἡ μετὰ τὸ θέρος δηλαδὴ ὥρα, πάντῃ οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναὶ, ὅ πέρ ἐστιν ὑπογραφὴ στιβάδος. ἔστι γὰρ στιβὰς βολὴ ὅ ἐστι ῥίψις ἢ θέσις φύλλων κεκλιμένων χαμαί. ταῦτα δὲ πτωχικοῦ βιότου εἰσὶ φραστικά. (ῥερς. 194.) τὸ δὲ ἐφεξῆς ἔπος λύπην φράζει γεροντικὴν ἐπὶ συγγενεῖ ἀποδήμῳ, τὸ, ἔνθ' ὅγε κεῖτ' ἀχέων. μέγα δὲ φρεσὶ, πένθος ἀέξει τὸν πότμον γοόων ἢ σὸν νόστον ποθέων, χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει (ῥερς. 196.) καὶ 1.406 ταῦτα εἰποῦσα ἡ μήτηρ ἐπιφέρει· οὕτω γὰρ καὶ ἐγὼ ὀλόμην καὶ πότμον ἐπέσπον, τουτέστι, σὲ ποθοῦσα τέθνηκα. (ῥερς. 197.) εἶτα καὶ πλατύνουσα τὸν λόγον ὡς πρὸς τὴν τοῦ Ὀδυσσέως ἐρώτησιν πυθομένου εἰ δολιχὴ νοῦσος ἢ Ἄρτεμις ἀπήγαγεν αὐτὴν φησίν· οὔτε με ἐν μεγάροισιν ἐΰσκοπος ἰοχέαιρα κατέπεφνεν, οὔτε τις νοῦσος ἐπήλυθεν, ἥ τε μάλιστα τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν· ἀλλά με σός τε πόθος, σά τε μήδεα φαίδιμ' Ὀδυσσεῦ, σή τ' ἀγανοφροσύνη (ῥερς. 2.) μελιηδέα θυμὸν ἀπήυρα. ὅθεν δῆλον, ὡς καὶ ἡ ἄκρα λύπη ἐπιτέμνει τὴν ζωήν. Οἰκεῖα δὲ τὰ προσεχῶς γραφέντα ῥηθῆναι καὶ ὅτε τις ἐπὶ ἀποδημίᾳ φίλου ἀγαθοῦ πολλὰ λυπεῖται. Ὅρα δὲ ὡς οἱ νεώτεροι μὲν ἀπάγξασθαι φασὶ τὴν τοῦ Ὀδυσσέως μητέρα πεπυσμένην δόλῳ Ναυπλίου Ὀδυσσέως τελευτὴν, ὃς δὴ Ναύπλιος πολλοὺς δολίως κατειργάσατο λυπηθεὶς ἐπὶ τῷ τοῦ σοφοῦ υἱοῦ Παλαμήδους θανάτῳ. ὁ δέ γε ποιητὴς λύπῃ μεταλλάξαι τὸν βίον ἱστορεῖ. οἱ δέ γε εἰπόντες ἀπάγξασθαι αὐτὴν, φασὶν ὡς τὴν ἀγχόνην ἐσίγησεν ὁ ποιητὴς διὰ τὸ μιαρὸν τοῦ τοιούτου θανάτου, αἰτίαν γὰρ ἤγουν αἰτίασιν εἶχον οἱ οὕτω τοῦ βίου ὑπεξάγοντες ἑαυτοὺς, καὶ οὐκ ἐδόκει καθαρὸς ὁ τοιοῦτος θάνατος. διὸ καὶ ὁ Τηλέμαχος ὕστερον τὰς κακὰς δουλίδας κρεμάσας ἀπάγει τοῦ βίου καὶ, ὡς ὁ ποιητός φησιν, ὑψόσε ἐπεντανύσας. καὶ ἐπισημειοῦται, ὅτι μὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην. (ῥερς. 171.) Ἰστέον δὲ ὅτι ἐν τῷ, ἢ δολιχὴ νοῦσος ἢ Ἄρτεμις, ὁ ¯η σύνδεσμος διαπορητικός ἐστι κατὰ τοὺς παλαιοὺς, δίχα δηλαδὴ ἐρωτήσεως ὡς ἐν τοῖς εἰς τὴν ἄλφα ῥαψῳδίαν τῆς Ἰλιάδος γέγραπται. ἔνθα δεδήλωται καὶ ὅτι πολλαχῶς ὁ τοιοῦτος νοεῖται σύνδεσμος. διαζευκτικός τε γάρ ἐστι καὶ διασαφητικὸς καὶ παραδιαζευτικὸς καὶ διαπορητικὸς ὅτε τις μὴ ἐρωτᾷ, καὶ ἰσοδύναμος τῷ εἰ καὶ ἐρωτηματικὸς καὶ βεβαιωτικὸς καὶ συγκριτικός. ἐνταῦθα δὲ ῥητέον ὅτι καὶ λυτικὸς νόμῳ φιλοσόφων, οἷον· διὰ τί ἐπαινεῖται ἡ μέλισσα. τοῦτο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπορία. λύσις δὲ αὐτῆς τὸ, ἢ ὅτι ἀγαθὴ ἐργάτις ἐστί. λαμβάνεται δέ ποτε καὶ ἀντὶ τοῦ εἰ μὴ, οἷον· τί ἂν καλὸν ἐποίησα ἢ τὸν ἄνδρα τοῦτον θαυμάσας, ἤγουν εἰ μὴ θαυμάσας. τοῦτο δὲ ἰσοδύναμόν ἐστι τῷ ἀλλ¯α συνδέσμῳ. λαμβάνεται δέ ποτε τὸ ἢ καὶ ἀντὶ τοῦ καθό, φασιν, ἢ ¯ως. αὐτὸ δὲ καὶ ἦχι μετ' ἐπεκτάσεως γίνεται ἀντὶ τοῦ ὅ που. ἔστιν ¯η καὶ ὅρκιον μετὰ τοῦ μὴν, οἷον· ἦ μὴν ποιήσω τόδε. οὕτω δὲ καὶ μετὰ τοῦ μὲν, οἷον· ἦ μέν μοι πρόφρων ἔπεσι καὶ χερσὶν ἀρήξειν. Περὶ δὲ τοῦ ἦ ἀντὶ τοῦ ἔφη, ῥήματος ὄντος, ἕτερος λόγος. ὅτι δὲ ὁ ¯η σύνδεσμος λαμβάνεταί ποτε μετὰ ψιλῆς καὶ περισπωμένης ἀντὶ τοῦ ἄρα τοῦ κατ' ἐρώτησιν προπερισπωμένου, οὐκ ἄδηλόν ἐστιν. ἐκεῖνο δ' ἐν τοῖς τοιούτοις καινὸν φέρεται, ὅτι τὸ ¯η, ἀντὶ τοῦ δή, ὅτε φασὶ καὶ ἐγκλίνεται, οἷον· ἐπείη. καὶ μὴν περὶ τούτου ἀλλοῖόν τι ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐγράφη, ὃ καὶ ζητητέον ἐκεῖ. Ἐπὶ τούτοις ἰστέον καὶ ὅτι δολιχὴ μὲν ὀξυτόνως ἡ μακρὰ Δολίχη δὲ βαρυτόνως, ὄνομα πόλεως, ὥσπερ καὶ δολιχὸς μὲν ὁ μακρὸς, δόλιχος δὲ προπαροξυτόνως ὄσπριόν τι. καὶ ὅτι οὐ μόνον Ἰώνων ἴδιον ἡ τοῦ ¯υ ἐπένθεσις ἐν τῷ, νόσος νοῦσος, ὅρος οὖρος, ὅλος οὖλος. οἷον· οὖλος ἄρτος καὶ τοῖς ὁμοίοις, ἀλλὰ καὶ Αἰολεῖς ποιοῦσι τοιοῦτόν τι ἐν οἷς τὸ ἀτὰρ αὐτὰρ λέγουσι, καὶ τὸ θέω χέω πλέω ῥέω, οὐ διὰ μόνου τοῦ ¯ε κλίνουσι κατὰ τὸ τελέω τελέσω, ἀλλὰ σὺν τῷ ¯υ, θεύσω χεύσω πλεύσω ῥεύσω. Καὶ ὅτι ἡ δολιχὴ νόσος ἀντιδιαστέλλεται πρὸς τὸν ἐκ βολῆς Ἀρτέμιδος, ἀλλαχοῦ δὲ καὶ Ἀπόλλωνος,γινόμενον θάνατον, ὡς τοῦ τοιούτου αἴφνης ἐπισυμβαίνοντος, καθὰ πολλαχοῦ ἐδηλώθη, καὶ μὴ διὰ νόσου δολιχῆς γινομένου, ἢ μάλιστα διὰ τηκεδόνος θανατοῖ. Ἰοχέαιραν δὲ ὅτι τὴν ἰοτρόφον ἀσπίδα δριμέως οἱ μεθ' Ὅμηρον ἐκάλεσαν, καὶ ἀλλαχοῦ δηλοῦται. Ἰστέον δὲ καὶ ὅτι Δίφιλος ἐν τῷ, Λητοῦς Διός τε τοξόδαμνε παρθένε, τὴν ἰοχέαιραν παρέφρασεν εἰς τοξόδαμνον. (ῃερς. 173.) Σημείωσαι δὲ καὶ ὅτι τριῶν οὐσῶν ἐρωτήσεων ἐφεξῆς τῷ Ὀδυσσεῖ πρὸς τὴν μητέρα, ἤγουν, τίς νόσος αὐτὴν ἐδάμασε, καὶ εἴπερ τὸ αὐτοῦ γέρας παρὰ τῷ Λαέρτῃ καὶ τῷ Τηλεμάχῳ ἐστὶ, καὶ πῶς ἔχει τὰ κατὰ τὴν γυναῖκα. διὸ καὶ τρὶς ἐν τούτοις κεῖται τὸ, εἰπέ μοι τόδε, καὶ πάλιν, εἰπὲ δέ μοι πατρὸς καὶ υἱέος, καὶ, εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν. (ῃερς. 180.) ἡ μήτηρ ἐν τῷ ἀποκρίνεσθαι ἀναποδίζει. καὶ ἀπὸ τοῦ τέλους ἀρξαμένη ἄνεισιν εἰς τὸ πρῶτον κατὰ βαθμίδα τινά. καὶ πρῶτα μὲν φησὶ περὶ τῆς γυναικὸς ὡς λίαν μένει παρὰ τῷ υἱῷ τετληότι θυμῷ, εἶτα περὶ τοῦ υἱοῦ, καὶ μετ' αὐτὸν περὶ τοῦ πατρός. ἐφ' οἷς ἐπαναβᾶσα εἰς τὸ πρῶτον λέγει περὶ τῆς νόσου. ὅθεν δῆλον ὡς οὐ πάντῃ ἀναγκαῖον ἐν ταῖς πεύσεσι πρῶτον ἀπαντᾶν πρὸς τὸ πρῶτον καὶ ἑξῆς πρὸς τὰ καθ' εἱρμὸν, ἀλλ' ὅπῃ τύχῃ γίνεσθαι τὰ τῆς ἀποκρίσεως καὶ ὅπως ἂν συμφέρῃ τῷ ἀποκρινομένῳ. (ῃερς. 171.) Ὅτι δὲ Ἄρτεμις καὶ Ἀπόλλων τοῖς 1.407 αἰφνιδίοις ἐπιστατεῖν θανάτοις λέγονται οἷς ἐναντίαι αἱ δολιχαὶ νόσοι, δῆλόν ἐστι, (ῃερς. 172.) καὶ ὅπως ἀγανὰ βέλη τὰ τῶν αἴφνης θνησκόντων. (ῃερς. 180.) Τὸ δὲ μένει παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσει, παρηχεῖται κατὰ τὸ παιδὶ καὶ ἔμπεδα. καθὰ καὶ πρὸ τούτου τὸ, εἴδωλον ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευε. (ῃερς. 178.) Τὸ δὲ ἔγημεν ὅτι διαφέρει τοῦ ἐγήματο, οὐκ ἄδηλον οὐδ' αὐτὸ, καθὰ δηλοῖ καὶ τὸ, θάλαμον ἐν ᾧ οὐκ ἔγημεν ἀλλ' ἐγήματο. ἀφ' οὗ δοκεῖ παραξέσας Αἰθέριος εἰπεῖν τὸ βαινόμενος βαίνων ὅ τε νυμφίος ἄλλο τε νύμφη. (ῃερς. 180.) Τὸ δὲ τετληότι θυμῷ, τλήμονα καὶ τὴν Πηνελόπην εἶναι δηλοῖ πρεπόντως τῷ τλήμονι ἀνδρὶ Ὀδυσσεῖ. (ῃερς. 185.) Τὸ δὲ δαῖτας δαίνυται τρόπος ἐτυμολογίας ἐστίν. (ῃερς. 186.) Ὅρα δὲ καὶ τὸ, πάντες καλέουσι, κοινότερον ῥηθὲν ἐπὶ τῆς εἰς δεῖπνον κλήσεως. δοκεῖ δὲ ἀρχαῖον ἔθος εἶναι εἰς δαῖτας δημοσίας προκαλεῖσθαι τοὺς βασιλεῖς τε καὶ τοὺς δικαστὰς ὡς δηλοῖ καὶ τὸ, δαῖτας ἃς ἐπέοικε δικασπόλον ἄνδρα ἀλεγύνειν, ὅ ἐστιν ἀλέγειν, ἐν λόγῳ ποιεῖσθαι, φροντίζειν. ἐνταῦθα δὲ καὶ εἰς ταυτὸν ἄγει τῷ βασιλεῖ τὸν δικασπόλον, διὰ τὸ πρέπειν τοιοῦτον εἶναι τὸν βασιλέα. (ῃερς. 190.) Τὸ δὲ ἐν κόνι γράφεται μὲν καὶ διὰ διφθόγγου Ἀττικῶς, μάλιστα δὲ διὰ τοῦ ¯ι ἐκ τοῦ κόνις κόνιος κόνιϊ καὶ κατὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κρᾶσιν κόνι. (ῃερς. 192.) Τίς δὲ ὁ γουνὸς τῆς οἰνοπέδου ἀλωῆς, προγέγραπται. Ἡ δὲ κατὰ τὸ θέρος πάντῃ χαμαὶ βεβλημένη τῶν φύλλων χύσιν δαψίλειαν τε εἶναι στιβάδων δηλοῖ τῷ τοῦ Ὀδυσσέως πατρὶ, καὶ αὐτὸν δὲ πάντῃ ἀσθενῆ τυγχάνειν παρασημαίνει, εἴπερ οὕτω συχνὰ πίπτει κατὰ στιβάδων. Κεκλιμένα δὲ φύλλα λέγει, οὐχ' ὅτι φυλλοχόος μὴν τηνικαῦτα, ἀλλὰ τὰ ἐπίτηδές φασι κεκλαδευμένα. Εὐναὶ δὲ χθαμαλαὶ πρὸς διαστολὴν ἑτέρων ὑψηλοτέρων στιβάδων, ἵνα εἶεν αὗται πάνυ εὐτελεῖς διὰ τὸ καὶ πεδιναὶ εἶναι καὶ διατοῦτο ταπειναί. ὁποῖαι ἴσως καὶ αἱ χαμαιεῦναι. (ῃερς. 197.) Τὸ δὲ ἐΰσκοπος ἄλλως μὲν ἐπὶ Ἑρμοῦ κεῖται, δηλοῖ γὰρ τὸν ἀγαθὸν σκοπευτὴν, ἑτέρως δὲ ἐπὶ τῆς τοξικῆς Ἀρτέμιδος, ἵνα ᾖ ἐΰσκοπος Ἄρτεμις ἡ εὖ καταστοχαζομένη τοῦ σκοποῦ. (ῃερς. 181.) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ, ὀϊζυραὶ δέ οἱ αἰεὶ φθίνουσι νύκτες τε καὶ ἤματα δακρυχεούσῃ. ὃ παρωδηθὲν ἁρμόττει καὶ ἐπὶ ἀνδρὸς πάνυ παθαινομένου. (ῃερς. 1.) Πόθου δὲ ποιητικώτερον ἡ ἐν ἄλλοις ποθὴ, ἧς ἡ κίνησις κατὰ τὸ χόλος χολὴ, βίοτος βιοτὴ, καὶ ὅσα ἄλλα πολλὰ τοιαῦτα. ἐκ τοῦ πείθω δὲ καὶ ὁ πόθος καὶ ἡ ποθὴ, ἀπελεύσει δηλαδὴ τοῦ ¯ι τῆς ε¯ι διφθόγγου, εἶτα ἀντενθέσει κανονικῇ τοῦ ¯ο μικροῦ. ἄλλως γὰρ ποῖθος καὶ ποιθὴ ὤφειλον εἶναι κατὰ τὸ λείβω λοιβὴ καὶ τὰ ὅμοια. Ἰστέον δὲ, ὅτι καὶ ὄνομα ἄνθους ὁ πόθος, καθὰ δηλοῖ καὶ Ἀθήναιος γράψας οὕτως· ἄνθη θερινὰ, λυχνίς, κρίνον, ἴφυον, ἀμάρακος ὁ Φρύγιος. ἔστι δέ φασιν ὁ πόθος καλούμενος. διττὸς δὲ οὗτος, ὁ μὲν ἔχων ἄνθος ὅμοιον ὑακίνθῳ, ὁ δ' ἕτερος ἄχρως, ἔκλευκος, ᾧ χρῶνται πρὸς τοὺς τάφους. καιρία δὲ λέξις ἐν τοῖς Ὁμηρικῶς εἰρημένοις ὁ πόθος ὥσπερ καὶ τὸ ποθεῖν. ποθεῖν μὲν γὰρ ἐπὶ τῶν ἀπόντων, ἐρᾶν δὲ ἐπὶ τῶν ἐν ὄψει, οἷον· ὡς σέο νῦν ἔραμαι, τῆς παρούσης δηλαδὴ Ἥρας. (ῃερς. 2.) Ἀγανοφροσύνην δὲ τὴν πραότητα λέγει. Εἰς δὲ τὸ ἀνωτέρω γνωμικῶς παρασημανθὲν ἤγουν εἰς τὸ, ὅτι καὶ ἡ ἄκρα λύπη ἐπιτέμνει τὴν ζωὴν καθὰ καὶ τὴν τῆς Ἀντικλείας, σημείωσαι ὅτι καὶ τὸ, αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι, τοιοῦτόν τι δηλοῖ ὡς καὶ ἡ κατ¯α πρόθεσις ἐμφαίνει, καὶ οὐ μόνον τὴν ἁπλῶς ὑπολαλεῖ πολίωσιν, ὡς ὁ κωμικὸς ἀστεΐζεται ἐν τῷ πολιὰ γεγένησαι ταχύ γε νὴ τὸν οὐρανὸν, ἀλλὰ καὶ τὴν εἰς Ἅιδου κατένεξιν διὰ γῆρας. ὁ δὲ εἰπὼν τοὺς ποθοῦντας ἐν ἄματι γηράσκειν ἤγουν ἐν μιᾷ ἡμέρᾳ διὰ λύπην τὴν ἐπὶ τῇ ἐξ ἀλλήλων ἀποδημίᾳ, ὑπερβολικῶς ἐπέτεινεν, ὡς ἀλλαχοῦ δηλοῦται, τὸ νόημα. οἷα τὸ Ὁμηρικὸν αἶψα, καὶ τὸ ταχὺ τοῦ κωμικοῦ, ἀποστενώσας εἰς ἓν ἦμαρ. τί δὲ δεῖ καταῤῥητορεύειν λύπης τε καὶ κακότητος κακῶς διατιθεμένων τὰ κατ' ἄνθρωπον, εἴγε καὶ τὸ ταύταις ἀνάπαλιν ἡ ἄγαν τρυφὴ ταυτὸ δύναται; καὶ ἐρανιστέον ἐνταῦθα ἐκ τῶν τοῦ δειπνοσοφιστοῦ ὡς λίαν χρήσιμον, ὅτι καὶ τὰ φιλητὰ τοῖς τρυφῶσι μύρα τὴν ὀνομασίαν κατὰ Χρύσιππον ἀπὸ τοῦ μόρου ἔλαβον, ἐπειδὴ οὐ μόνον πολλῷ μόρῳ καὶ πόνῳ ματαίῳ γίνονται, ἀλλὰ καὶ ὅτι εὐοδοῦσιν εἰς μόρον διὰ ξηρότητα. ὡς γάρ φησιν Ἀριστοτέλης, καὶ μυριζόμενοι ἄνθρωποι πολιώτεροι γίνονται. τὸ γὰρ μύρον ξηραντικόν. αὐχμηροὶ δέ φησιν οἱ μυριζόμενοι. ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ. εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτ' ἔνδεια θερμοῦ ἡ ξηρότης μαραίνει. διό φησι καὶ τὰ πιλία θᾶττον ποιεῖ πολιούς. ἐκπίνεται γὰρ ἡ οἰκεία τῆς τριχὸς ὑγρότης. οὐκ ἄχαρι δ' ἐνταῦθα προσεννοήσασθαι, ὡς διὰ τὴν ὡς εἴρηται τῆς ὑγρότητος ἔνδειαν, δι' ἣν καὶ ἀλίβαντες οἱ 1.408 νεκροὶ λέγονται, ῥηθείη ἂν οὐκ ἀπροσφυῶς ἀλίβας, καὶ ὁ τρυφερῶς μυρούμενος καὶ οὕτω ξηραινόμενος, οἰκεῖος ὢν αὐτὸς καὶ ἄλλως τῇ τοῦ ἀλίβαντος κλήσει, καὶ διὰ τὰ πολιοῦσθαι γερόντων δίκην καὶ ἀπονεύειν ὅπου καὶ ἐκεῖνοι νεκρικώτερον. καὶ οὕτω μὲν ταῦτα καὶ ὅσα τοιαῦτα οὐκ ἂν εἰρημένα εἴη ἀχρήστως. ὅτι δὲ ἀλίβας καὶ ποταμὸς ἐν Ἅιδου πλάττεται, καὶ ὅτι καὶ ὁ ὀξὺς οἶνος ἀλίβας καὶ αὐτὸς ἐκαλεῖτο λόγῳ δριμύτητος, οὐ παρὰ στέρησιν λιβάδος τοσοῦτον οἷα νενεκρωμένος, ἀλλὰ παρὰ τὸ μὴ λείβεσθαι ἐν σπονδαῖς, οἱ παλαιοὶ παραδιδόασι. τῆς δὲ Αἰολικῆς τροπῆς τοῦ ¯ο εἰς ¯υ ἐν τῷ μόρον μύρον, ὡς πρὸ βραχέων κεῖται, πολλὰ παραδείγματα, οἷον τὸ, μῆλα ταναΰποδα. ὀνυμαίνω τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀνομάζω ἐκ τοῦ ὄνυμα. οἷς σύστοιχα τὸ ὁμώνυμος, συνώνυμος, καὶ ὅσα τοιαῦτα ἐξ Αἰολίδος γλώσσης ἐκοινώθησαν. δοκεῖ δὲ καὶ ἐκ τοῦ ὄπτω οὕτω γενέσθαι ὁ ὕπτιος. ὁρᾷ γὰρ ὁ τοιοῦτος τὴν ὄψιν ἔχων ἄνω, οὐ μὴν κάτω, ὡς οἱ πρανεῖς κείμενοι. τοιοῦτον δὲ καὶ παρὰ τῷ κωμικῷ τὸ, ἀπεπυδάρισα. λέξις δὲ αὕτη οὐ σεμνὴ, δηλοῦσα, ἢ τὸ λὰξ ποδὶ καθ' Ὅμηρον ἐνθορεῖν ἰσχύῳ ἀφραδίῃσιν, ἢ τὸ ἀποπνευματίσαι ἄραντα τὸν πόδα. περὶ δὲ μύρων γέγραπταί τινα λόγου ἄξια καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. (ηερς. 5.) Ὅτι ὁ πολλάκις μὲν ἐγχειρήσας τινὶ θελητῷ, τοσαυτάκις δὲ ἀποτυχὼν, ἐρεῖ τὸ, αὐτὰρ ἔγωγ' ἔθελον φρεσὶ μερμηρίξας ἑλέειν, τρὶς μὲν ἐφωρμήθην, ἑλέειν τέ με θυμὸς ἀνώγει. τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον καὶ ὀνείρῳ ἔπτατο. ἐμοὶ δ' ἄχος ὀξὺ γενέσκετο κηρόθι μᾶλλον, εἰς ὁμοίαν δὲ ἔννοιαν ἁρμόττει καὶ τὸ, τί νύ με οὐ μίμνεις ἑλέειν μεμαῶτα; (ηερς. 4.) καιρία δὲ λέξις τὸ ἑλεῖν, διὸ καὶ τρὶς ἐνταῦθα κεῖται. (ηερς. 7.) Ὅρα δὲ τὸ γενέσκετο, ἀσυνήθως παραχθὲν ἐκ τοῦ γενέσω ἀχρήστου μέλλοντος, ἐξ οὗ καὶ ἡ γένεσις. Τὸ δὲ ἔπτατο καὶ ἐπτάμην πρῶτος μέσος ἀόριστός ἐστι τοῦ ἑπτόμην ὡς τὸ περιχαρὶς δ' ἀνεπτόμην, ἐξ οὗ καὶ πτέσθαι τὸ πετάσαι. ἐκ δὲ τοῦ ἐπτάμην καὶ μετοχὴ ὁ ἀποπτάμενος, ὡς δηλοῖ μετ' ὀλίγα τὸ, ψυχὴ ἀποπταμένη. (ηερς. 210.) Ὅτι πόθον πολὺν δηλοῖ ἐπί τινι τεθνεῶτι τὸ, ὄφρα καὶ εἰν Ἀΐδαο φίλας περὶ χεῖρε βαλόντε, ἀμφοτέρω κρυεροῖο τεταρπώμεσθα γόοιο. ἔστι γάρ τις τέρψις καὶ τοῦ κλαίειν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. Τὸ δὲ φίλας χεῖρε σύνησθες τῷ ποιητῇ σχῆμα. οἷα μυριαχοῦ συζευγνύντι τὰ πληθυντικὰ καὶ τὰ δυϊκὰ ὡς ἰσοδύναμα. (ηερς. 212.) Ὅτι τὸ εἴδωλον καὶ σκιᾶς δοξάζει ἀμενηνότερον ὁ ποιητὴς, καὶ διὰ τοῦτο καὶ ψυχῆς, ἣν σκιᾷ φθάσας εἴκασεν ἐν τῷ, τοὶ δὲ σκιαὶ ἀΐσσουσι. διὸ μὴ δυνάμενος Ὀδυσσεὺς λαβέσθαι τῆς μητρικῆς ψυχῆς φησίν· ἦ τί μοι εἴδωλον τόδε Περσεφόνη ὤτρυνεν ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω. ἄλλως δέ γε εἰπεῖν ἀκριβέστερον, ταυτὸν εἶδεν εἴδωλον καὶ σκιὰν καὶ ὄνειρον, κατά γε τὸ ἀμενηνόν. ἄλλο δέ γε τὴν ψυχὴν παρὰ τὰ τρία ταῦτα. ὅθεν ὥσπερ μὴ δυνάμενος δράξασθαι ψυχῆς, ἀπορεῖ μή ποτε οὐ ψυχὴ τὸ φαινόμενον τοῦτο ἀλλὰ εἴδωλον. οὕτω καὶ πρὸ βραχέων ἔφη ὡς ἡ τῆς μητρὸς ψυχὴ ἐξέφυγέ με σκιῇ ἴκελον καὶ ὀνείρῳ. καὶ μετ' ὀλίγα δὲ ὅτι ψυχὴ ἠΰτ' ὄνειρον ἀποπταμένη πεπότηται. οὐ γὰρ σκιάν φησι καὶ ὄνειρον αὐτὴν εἶναι, ἀλλ' ἀποπτέσθαι δίκην ὀνείρου καὶ σκιᾶς. οὕτω δὲ καὶ τὸ, σκιαὶ ἀΐσσουσιν, ἀντὶ τοῦ, ὡς σκιαί. (ηερς. 217.) Ὅτι δὲ οὐ σῶμα ἢ σωματοειδὴς ἡ ψυχὴ καὶ διατοῦτο καὶ ἀναφὴς, δηλοῖ εἰπὼν· αὕτη δίκη ἐστὶ βροτῶν, τουτέστι θέμις καὶ ἀνάγκη, ὅτε τις θάνῃσι, τὸ μὴ δύνασθαι δηλαδὴ ἑλεῖν τὴν ψυχήν. διατί; (ηερς. 218.) οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν, ἤγουν οὐ νεύροις ἔτι κατὰ φύσιν ζωτικῶς διοικουμένοις συνέχονται αἱ σάρκες καὶ τὰ ὀστᾶ, ἀλλ' αὐτὰ μὲν πυρὶ δάμναται, ἐπειδὰν πρῶτα (ηερς. 2.) λίπῃ λεύκ' ὀστέα θυμὸς, ὃ πολλαχοῦ κεῖται. ψυχὴ δὲ, ὡς ἀνωτέρω ἐῤῥέθη, ἀποπταμένη πεπότηται. Ὅτι δὲ ἶνες οὐ μόνον ἐπὶ νευρῶν, ὅθεν καὶ τὸ ἰνίον παράγεται, ἀλλὰ καὶ ἐπὶ δυνάμεως τῆς κατὰ τὰ νεῦρα, δηλωθήσεται ἐν τοῖς ἑξῆς. ἔνθα φανεῖται τίς μὲν ἡ ἲς, τίς δὲ ἡ κίκυς. Ἐν τούτοις δὲ κεῖται καὶ τὸ, (ηερς. 215.) ὤ μοι τέκνον ἐμὸν περὶ πάντων κάμμορε φωτῶν, οἰκεῖον ὂν ἐπιλεχθῆναί τινι δυστυχεῖ, ὥσπερ τὸ, ἀλλὰ φόως δὲ τάχιστα λιλαίεο, ἁρμόττει ῥηθῆναι ἐπὶ μεταβολῆς τινὸς ἀπὸ κακοῦ εἰς ἀγαθόν. (ηερς. 222.) λείπει δὲ ἀπαρέμφατον ἐνταῦθα τὸ ἱκέσθαι ἢ ἐλθεῖν ἤ τι τοιοῦτον, ἵνα λέγῃ, ὅτι τάχιστα λιλαίεο εἰς φῶς ἐλθεῖν. (ηερς. 223.) Ἰστέον δὲ ὅτι Ἀντικλείας εἰπούσης τῷ υἱῷ Ὀδυσσεῖ τὸ, ταῦτα δὲ πάντα ἴσθ' ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικὶ, πρὸς ἔνδειξιν δηλαδὴ φιλίας, φέρεται ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους, ὅτι τὸ ἴσθι ἀντὶ τοῦ γίνωσκε εἶδεν Ὅμηρος. ἀντὶ δὲ τοῦ ὕπαρχε τὸ ἔσο τίθησιν, οἷον· καὶ σὺ φίλος, μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε, ἄλκιμος ἔσσο. καὶ οὕτω μέν φησι παρ' Ὁμήρῳ ἔχει καὶ οὐκ ἄλλως. Ἀττικοὶ δὲ ἅπαντες τὸ ἴσθι καὶ ἐπὶ
1.409 τοῦ ὕπαρχε τάττουσιν. Εὔπολις· μὴ τρηχὺς ἴσθι, καὶ, ὦ δαιμόνι' ἀνδρῶν, μὴ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φθονερὸν ἴσθ' ἀνδρίον, ἤγουν μὴ φθονερῶς ἔσο ἄνθρωπος. Καὶ ὅρα τὸ ἀνδρίον ὑποκοριστικῶς γενόμενον ἐκ τοῦ ἀνδρὸς κατὰ τὸ, χρυσὸς χρυσίον καὶ χαλκὸς χαλκίον παρὰ τῷ κωμικῷ, καὶ φανὸς φανίον. κοινότερον δὲ τοῦ ἀνδρίον τὸ ἀνδράριον. (ηερς. 225.) Ὅτι πάνυ δεξιῶς ὁ ποιητὴς τὴν ῥαψῳδίαν ταύτην ἡρώων ἅμα καὶ ἡρωΐδων πεποίηκε κατάλογον, Ἡσιόδου μόνων γυναικῶν ποιησαμένου κατάλογον. καὶ ἔστιν ἰδεῖν αὐτὸν ἐνταῦθα τῇ τῆς νεκυίας ἀφορμῇ πῇ μὲν ἱστορικῶς ἐμπλατυνόμενον καὶ διηγήσεσιν ἐγκροαίνοντα, πῇ δὲ ἐπιτρέχοντα τὰ πολλὰ καὶ στενολεσχοῦντα καὶ τὴν πολυλογίαν ἐπιτέμνοντα καὶ μικροῖς μακρὰ παραβύοντα, ὡς ἐν τῷ, Φαίδρην τε Πρόκριν τε ἴδον καὶ Μαῖραν Κλυμένην τε. ἀφ' ὧν δῆλον ὡς καὶ τῷ σκοτεινῷ καὶ στενῷ τὴν ἱστορίαν Λυκόφρονι αὐτὸς ἐνδοῦναι φαίνεται ἀρχάς τινας τῆς ἐκείνου ποιήσεως. ἐρεῖ δέ τι καὶ περὶ Ἀχιλλέως καὶ Ἀγαμέμνονος καὶ Αἴαντος, ἀναπληρῶν τε, ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, ἅπερ τῇ Ἰλιάδι ἐλλέλειπται, καὶ ἅμα πλατύνων οὕτω τὴν ποίησιν. εὐταξίαν δὲ τῇ ποιήσει τεχνώμενος καὶ ἀκμὴν καταλέγει πρῶτον ἡρωΐδας, εἶτα διαναπαύσας τὸν λόγον βραχὺ πρὸς ἥρωας μεταβαίνει ἀρχόμενος ἀπὸ Ἀγαμέμνονος. Ἰστέον δὲ καὶ ὡς πρὸς ὄνομα μὲν πλειόνων μέμνηται ἡρωΐδων, ἐμπλατύνεται δὲ ὅμως φαιδρότερον τοῖς τῶν ἡρώων διηγήμασι. μεθοδεύει δὲ τέως τὰ κατὰ τὰς ἡρωΐδας οὕτως ὡς ἐπεὶ Περσεφόνη γυναῖκας ὤτρυνεν ἐλθεῖν ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες. τοιαύτας γὰρ ἱστορήσει καὶ οὐ μικροπρεπεῖς τινας. αἱ δ' ἀμφ' αἷμα κελαινὸν ἀολλέες ἠγερέθοντο, αὐτὰρ ἐγὼ βούλευον ὅπως ἐρέοιμι ἑκάστην. ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή. σπασάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ οὐκ εἴων πίνειν ἅμα πάσας αἷμα κελαινόν. αἱ δὲ προμνηστεῖναι ἐπήεσαν, ἡ δὲ ἑκάστη ὃν γόνον ἐξαγόρευεν (ηερς. 223.) ἐγὼ δ' ἐρέεινον ἁπάσας. Καὶ ὅρα ὅτι ταυτὸν ἐνταῦθα τὸ ἐρέειν καὶ τὸ ἐρεείνειν, ὡς δηλοῖ τὸ, ἐρέοιμι ἑκάστην καὶ ἐρέεινον ἁπάσας. ἔνθα καὶ ταυτὸν ὡς καὶ ἀλλαχοῦ τὸ ἑκάστην καὶ τὸ ἁπάσας. (ηερς. 224.) Ἰστέον δὲ ὅτι τε δύο οὐσῶν εὐθειῶν, τοῦ γυνὴ καὶ τοῦ γύναιξ ἀῤῥήτου, ἧς ἡ γενικὴ γυναικὸς, ἐκ μὲν γυναικὸς ῥῆμά τε τὸ γυναικίζω καὶ ὄνομά τε ὁ γυναικίας, ἐκ δὲ τοῦ γυνὴ ὁ γύνις. δηλοῖ δὲ αὐτὸς οὐ μόνον τὸν λάγνον, ἔτι δὲ καὶ τὸν δειλὸν, ἀλλὰ καὶ τὸν μὴ ἱκανὸν δι' ἀτονίαν γυναικὶ συνεῖναι, ὡς δηλοῖ παρ' Ἀθηναίῳ τὸ, Ὀλυμπιὰς παρέκλινέ ποτε τῷ υἱῷ Ἀλεξάνδρῳ Φιλίππου συνειδότος, Θετταλὴν ἑταίραν Καλλιξείναν, περικαλλεστάτην οὖσαν, εὐλαβοῦντο γάρ φησι μὴ γύνις εἴη, ἐπεὶ οὐκ εὖ διέκειτο πρὸς τὰ ἀφροδίσια, ὡς ἱστορεῖ Θεόφραστος. Ὅρα δ' ἐν τοῦτοις τὸ, δι' ἀτονίαν, ῥηθὲν ἀντὶ τοῦ, διὰ τὸ μὴ ἔχειν ἐντείνειν τὸν καυλόν. ὅθεν ἴσως ὁρμηθείς φασι Διονύσιος ὁ ἐπίκλην μεταθέμενος, μὴ δυνάμενος διὰ γῆρας χρῆσθαι τῇ παρειλημμένῃ ἑταίρᾳ, ἔφη πρὸς τοὺς συνδειπνοῦντας οἰκέτας ἐκ τῶν Ὀδυσσειακῶν ἐπῶν τὸ, οὐ δύναμαι τανύσαι, λαβέτω δὲ καὶ ἄλλος. τοῦτό τε οὖν οὕτως. (ηερς. 226.) ἰστέον καὶ ὅτι τὸ ἀριστέων ἄλοχοι καὶ θυγατέρες εὐγενείας ἐστὶν ἐπίτασις. οὕτω γὰρ μέγα γενέσθαι ἀριστέως γυναῖκα τινὰ, ὡς τὸ, καὶ ἀριστέως θυγατέρα εἶναι. (ηερς. 228.) Τὸ δὲ βούλευον, ἐνεργητικῶς καὶ νῦν παρὰ τῷ ποιητῇ. Τὸ δὲ παχέος παρὰ μηροῦ πρὸς διαστολὴν κεῖται κνήμης καὶ ποδός. (ηερς. 230.) Προμνηστῖναι δὲ, ὡς οἷον εἰπεῖν προμενετῖναι, ὅ ἐστι μία τὴν ἄλλην μένουσα ἐν τῷ ἐπὶ στίχον καὶ κατὰ μίαν προϊέναι. καὶ ἁρμόττει ὁ (ηερς. 232.) Ὁμηρικὸς τόπος οὗτος προσώποις οὕτω καθ' ἕνα ἐρχομένοις καὶ μὴ κατὰ στίφος. Ἰστέον δὲ ὅτι ὥσπερ νεμῶ νεμέσω καὶ νεμήσω, οὕτω καὶ τοῦ μενῶ δύω εἰσὶν ἀσυνήθεις μέλλοντες, μενῶ μενέσω, καὶ μενῶ μενήσω. ἐκ μὲν τοῦ μενέσω γίνεται τὸ ὑπομενετέον παρὰ τοῖς παλαιοῖς, ἐκ δὲ τοῦ μενήσω ὁ προμνηστῖνος συγκέκοπται. (ηερς. 233.) Γόνον δὲ τὴν γέννησιν λέγει ἢ τὸ γένος. καὶ ἔστι καὶ ἡ λέξις αὕτη χρήσιμος εἰς τὸ, οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω. Ἐξαγορεύειν δὲ τὸ σαφῶς ἀγορεύειν φησίν. ἔνθα γράφουσιν οἱ παλαιοὶ, ὅτι ἐν τῷ, (ηερς. 232.) ἠδὲ ἑκάστη ἐξαγόρευεν, οὐκ ἀρθρικῶς κεῖται τὸ ¯η, ἀλλὰ δηλονότι σύνδεσμός ἐστι. διό


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φασιν οὐδὲ δασυντέον αὐτό. (ηερς. 227.) Ὁ δὲ περὶ τοῦ ἐνταῦθα αἵματος λόγος οὐκ ἂν εἴη ἀπᾴδων ἀγρίαις γυναιξὶ καὶ αἱμοχαρέσι προσαρμοσθῆναι ὡς ἂν ἡ ῥητορικὴ διδῷ τινὶ δύναμις. (ηερς. 234.) Ὅτι τὴν Τυρὼ, ἧς που καὶ πρὸ τούτων ἐμνήσθη, εὐπατέρειαν λέγει ὅ ἐστιν εὐγενῆ, καὶ Σαλμωνέως μὲν θυγατέρα ἱστορεῖ, Κρήθεως δὲ γυναῖκα υἱοῦ Αἰόλου. οὗ τὴν εὐθεῖαν προπαροξύνει Φιλόπονος ἐν τῷ περὶ λέξεων διαφόρως τονουμένων πρὸς διάφορον σημασίαν, λέγων, ὅτι Αἴολος μὲν κύριον, αἰόλος δὲ ὁ ποικίλος. ἔνθα καὶ τὴν παρὰ τῷ Στράβωνι Ἀγχιάλην Ἀγχια 1.410 λὸν λέγει πόλιν Θρᾴκης ὀξυτόνως. ἐρασθῆναι δέ φησιν Ὅμηρος τὴν Τυρὼ ποταμοῦ Ἐνιπέως. αὐτῆς δὲ αὖ πάλιν ἐρῶντα Ποσειδῶνα ὁμοιωθῆναι τῷ ῥηθέντι ἐραστῇ ποταμῷ καὶ οὕτως αὐτῇ μιγῆναι. τὴν δὲ ἐκ Ποσειδῶνος τεκέσθαι Πελίαν καὶ Νηλέα, ὧν Πελίας μὲν ἐν Ἰωλκῷ ἐβασίλευσε, Νηλεὺς δὲ ἐν Πύλῳ. καὶ τούτους μὲν τοὺς δύο οὕτω γενέσθαι αὐτῇ ἐκ Ποσειδῶνος, ἀπὸ δέ γε Κρηθέως Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. καὶ τοιαύτη μὲν ἡ περὶ τῆς Τυροῦς ἐνταῦθα ἱστορία. ἡ δὲ Ὁμηρικὴ περὶ τούτων φράσις τοιαύτη. ἔνθα δὴ πρώτην Τυρὼ ἴδον εὐπατέρειαν, ἧς τὸ πρωτότυπον εὐπάτηρ εὐπάτερος, ὃ οἱ μεθ' Ὅμηρον εὐπάτωρ φασὶν, ὁμοίως τῷ προπάτωρ καὶ τοῖς τοιούτοις. ἡ δὲ Τυρὼ αὕτη φάτο Σαλμωνέως ἀμύμονος ἔκγονος εἶναι. φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο, ἣ ποταμοῦ ἠράσσατο Ἐνιπῆος θείοιο, ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησι, καὶ δὴ ἐπ' Ἐνιπῆος πωλέσκετο καλὰ ῥέεθρα. (ηερς. 240.) τῷ δ' ἄρα εἰσάμενος ἤτοι ὁμοιωθεὶς γαιήοχος ἐννοσίγαιος ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος. πορφύρεον δ' ἄρα κῦμα περιστάθη οὔρεϊ ἶσον κυρτωθὲν, κρύψεν δὲ θεὸν θνητήν τε γυναῖκα. λῦσε δὲ παρθενίην ζώνην κατὰ δ' ὕπνον ἔχευεν. αὐτὰρ ἐπεί ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα, τουτέστιν ἐρωτικὰ, ἔντ' ἄρα οἱ φῦ χειρὶ, καὶ εἶπε· χαῖρε γύναι φιλότητι, περιπλομένου δ' ἐνιαυτοῦ τέξεις ἀγλαὰ τέκνα. (ηερς. 249.) ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ ἀθανάτων, ἀλλὰ δηλαδὴ ἀγλαὰ γεννῶσι. σὺ δὲ τοὺς, ἤγουν τούτους Ἀττικῶς, τὰ ῥηθέντα δηλαδὴ τέκνα, γένους ἄῤῥενος ἐσόμενα, κομέειν ἀτιταλλέμεναί τε. εἶτα ὁ Ποσειδῶν ἐκφήνας ἑαυτὸν ἐπὶ πόντον ἔδυ. (ηερς. 253.) καὶ αὐτὴ ὑποκυσαμένη, ὅ ἐστιν ὑπ' αὐτοῦ ἐγκύμων γεγονυῖα, Πελίην τέκε καὶ Νηλῆα, τὼ κρατερὼ (ηερς. 254.) θεράποντε Διὸς μεγάλοιο γενέσθην, τουτέστι βασιλεῖς διογενεῖς καὶ διοτρεφεῖς, (ηερς. 254.) καὶ Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαωλκῷ ναῖε πολύῤῥηνος, ὅ ἐστι (ηερς. 256.) πολυθρέμμων, ὁ δ' ἐν Πύλῳ ἠμαθόεντι, ὁ Νηλεὺς δηλαδή. τοὺς δ' ἑτέρους Κρηθῆϊ τέκε βασίλεια γυναικῶν, Αἴσονά τ' ἠδὲ Φέρητα Ἀμυθάονά τε (ηερς. 258.) ἱππιοχάρμην, ἤγουν ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, ἵπποις χαίροντα, ἢ ἐφ' ἵππων ποιούμενον χάρμην, ὃ δηλοῖ τὴν μετὰ χαρᾶς μάχην. (ηερς. 253.) Ἰστέον δὲ ὅτι τὸ κύω, ἐξ οὗ καὶ ἡ ὡς ἐῤῥέθη ὑποκυσαμένη, ὁμωνυμίαν πάσχει. λαμβάνεται γὰρ καὶ ἀντὶ τοῦ φιλῶ, τοῦ τε κατὰ χείλη καὶ τοῦ ἄλλως κατὰ διάθεσιν. ὅθεν καὶ ὁ κύων. ἔτι δὲ καὶ ἀντὶ τοῦ γεννᾶν κοινότερον καὶ μὴν καὶ ἀντὶ τοῦ συλλαμβάνειν. ὅθεν καὶ τὸ ἐγκυμονεῖν, καὶ ἡ ἔγκυος, οὗ χρῆσις καὶ παρὰ τῷ Ἀθηναίῳ ἐν τῷ, αἱ θήλειαι πέρδικες ἐπὶ θῆραν ἀγόμεναι, ὁπόταν ἴδωσιν ἢ ὄσφρωνται τῶν ἀῤῥένων κατ' ἄνεμον στάντων ἢ περιπετομένων ἔγκυοι γίνονται. καὶ οἱ ἄῤῥενες δὲ, ὡς καὶ οἱ στρουθοὶ, προΐενται γονὴν οὐ μόνον ἰδόντες τὰς θηλείας, ἀλλὰ κἂν ἀκούσωσι φωνὴν αὐτῶν. τούτου δέ φησιν αἴτιον ἡ τῇ ψυχῇ ἐγγινομένη φαντασία περὶ πλησιασμῶν. ὅτι δὲ τοῦ τοιούτου κύειν καὶ παράγωγόν ἐστι κῦμα, ὃ σύλληψιν δηλοῖ, παρὰ τῷ Εὐριπίδῃ ἔστιν εὑρεῖν ἐν τῷ κατ' αὐτὸν, ὡς καὶ προείρηται Κερκυόνι, ὅπου λέγει τὴν ἐκείνου θυγατέρα, γέμουσαν κύματος θεοσπόρου τοῦ κατὰ σύλληψιν. Τὸ δὲ κύειν, ὅ πέρ ἐστι φιλεῖν, ὅτι προσλήψει τοῦ νῦ κυνεῖν γίνεται κατὰ τὸ, οἴχω οἰχνῶ, ἵκω ἱκνῶ, δῆλον καὶ ἐκ τοῦ, κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους. ἀοίδιμοι δὲ ἐν ἱστορίαις οἱ ῥηθέντες πέντε τῆς Τυροῦς παῖδες, καὶ ὡς μὲν ὁ Πελίας Ἰωλκοῦ ἐβασίλευσε, Νηλεὺς δὲ Πύλου, περιᾴδεται. (ηερς. 257.) Οἱ δὲ Κρηθεῖδαι ποίους εἶχον τόπους, ἔστιν ἄλλοθεν μαθεῖν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δῆλον δὲ, ὡς καὶ αὐτοὶ περί που τὰ Θετταλικὰ ᾤκουν. ὁμοίως δῆλον καὶ ὅτι Πελίας μὲν δόλῳ τῆς φαρμακίδος Μηδείας ἀφετήθη. Νηλεὺς δὲ, ὁ τοῦ Νέστορος πατὴρ, ὑφ' Ἡρακλέος ἐδυστύχησε. καὶ ὅτι Αἴσων πατὴρ Ἰάσονος διαλυθέντος τοῦ Αἴσονος πατρικοῦ ὀνόματος καὶ καθ' ὑπέρθεσιν ποιήσαντος τὸν Ἰάσονα, ὁμοίως τῷ, αἵματα ἰάματα. Φέρης δὲ υἱὸν ἔσχε τὸν Ἄδμητον, οὗ υἱὸς Εὔμηλος ὁ ἐν Ἰλιάδι καλλίστους ἔχων ἵππους. Ἀμυθάονος δὲ προήχθη Μελάμπους ὁ μαντικώτατος, ὃν δὴ Ἀμυθάονα ὁ Πίνδαρος Ἀμυθᾶνα λέγει, ὡς καὶ τὸν ἈλκμάονἈλκμᾶνα. (ηερς. 253.) Ἰστέον δὲ καὶ ὅτι φέρεται λόγος ὡς Τυρὼ δύο γεννήσασα παῖδας παρὰ τοῖς Ἐνιπέως ῥείθροις ἔλιπεν, ὧν τὸν ἕτερον μὲν κύων ἀφαιρεθεῖσα τῶν σκυλάκων ἔτρεφε θηλὴν ἐμπαρέχουσα, τὸν δὲ ἕτερον ἵππος πατήσας κατὰ τὸ μέτωπον ἐκ συνδρομῆς αἵματος ἐπελίωσε, τουτέστιν ἐμέλανε, πελιδνὸν ἐποίησεν. ὅθεν τοῦτον μὲν ἱπποφορβὸς ἀνελόμενος Πελίαν ἐκάλεσε, τὸν δὲ ἕτερον Νηλέα διὰ τὸ παραδόξως ἐλεηθῆναι, ἢ διὰ τὸ ὑπὸ τῆς μητρὸς μὴ ἐλεηθῆναι. ὅτι δὲ καὶ ἕτερος παραφέρεται ἥρως, φωνῆς μὲν κοινωνῶν τῷ εἰρημένῳ Νηλεῖ, γραφῆς δὲ οὔ, ἐκεῖνος γὰρ ἐν διφθόγγῳ ἔχει τὴν 1.411 παραλήγουσαν, δηλοῖ σὺν τοῖς ἄλλοις ἱστορικοῖς καὶ ὁ γράψας τεχνικὸς τὸ Νειλεὺς ἐν διφθόγγῳ, οὐχ' ὁ πατὴρ τοῦ Νέστορος ἀλλ' ὁ Ἀττικὸς, ὁ καὶ Νείλεως, οὗ γενικὴ Νείλεω, ὡς Μενέλεω. τούτου δὲ Νειλεῖδαι οἱ ἀπόγονοι, ὡς καὶ Εὐνεῖδαι φησὶν οἱ τοῦ Εὔνεω. τοῦ δὲ τοιούτου Νειλέως καὶ τῶν ἐξ αὐτοῦ Νειλειδῶν, ἀποικία περιᾴδεται εἰς Ἀσίαν ἀξία λόγου. καὶ οὕτω μὲν καὶ τοῦτο. (ηερς. 255.) περὶ δὲ Ἰαωλκοῦ εἴτουν Ἰωλκοῦ ἡ Βοιωτία δηλοῖ. (ῃερς. 256.) Περὶ δὲ Πύλου ἠμαθόεντος ὡς οὐχ' οὕτω παρὰ τὴν ἄμαθον γίνεται ἀλλ' ὁμωνύμως ποταμῷ οὕτω καλεῖται, ἐπειδὴ τριῶν ὄντων Πύλων, ποταμοὶ αὐτοὺς παραῤῥέουσι καλούμενοι ἀμαθόεντες ἀφ' ὧν ἐοίκασι καὶ αὐτοὶ οὕτω καλεῖσθαι, ἀλλαχοῦ ἱκανῶς ἐῤῥέθη. (ηερς. 235.) Κρηθεὺς δὲ Σαλμωνέως ἦν ἀδελφός. ἀμφότεροι δὲ παῖδες Αἰόλου καὶ Λαοδίκης τῆς Ἀλωέως. περὶ δὲ Σαλμωνέως φασὶν οἱ νεώτεροι, ὡς ἄρα ὁ ἀνὴρ ἀσεβὴς ἦν, ἀντιβροντῶν τε καὶ ἀνταστράπτων τῷ Διΐ, δι' ἃ καὶ ἐκεραυνώθη. Ὅμηρος μέντοι οὐκ οἶδε τοιοῦτόν τι, ἀλλὰ ἀμύμονα τὸν Σαλμωνέα φησίν. ἱστορεῖται δὲ καὶ περί που τὴν Ἠλεῖαν βασιλεῦσαι ὁ Σαλμωνεύς. ὅθεν καὶ μία τῶν ὀκτὼ περὶ Πίσαν πόλεων αἳ καὶ Πισάτιδες λέγονται Σαλμώνη ἐκλήθη ἀπ' αὐτοῦ. Ἰστέον δὲ ὡς εἰ καὶ ἀντιβροντᾶν καὶ ἀνταστράπτειν ὁ Σαλμωνεὺς τῷ Διΐ λέγοιτο, οὐκ ἂν θεομαχοίη Διὸς νοουμένου τοῦ ἀέρος, ἀλλὰ σοφὸς ἂν εἴη μηχανικός. καθ' ἣν σοφίαν καὶ ἄλλοι ἐποίησαν ὅμοια. τό τε γὰρ βροντεῖον παρὰ τοῖς παλαιοῖς σκεῦος ἦν ἀποτελεστικὸν μυκήματος βροντῆς διὰ ψηφίδων ἐνιεμένων. καὶ αἱ τοῦ Ἀρχιμήδους δὲ καυστικαὶ διὰ κατόπτρων ἀστραπαὶ δηλοῦνται ἐξ ἱστοριῶν. ἱστορεῖται δὲ καὶ σοφός τις ὃς σεισμόν τε οἴκου τινὰ διὰ μηχανῆς καὶ ἀστραπηβόλους δὲ ἀκτῖνας τεχνησάμενος κατὰ ἐχθροῦ ἐνοσίχθων τε ὑπ' ἐκείνου ἐπεκαλεῖτο καὶ τερπικέραυνος. (ηερς. 237.) Τὸν δὲ ῥηθέντα Ἐνιπέα ὁ γεωγράφος Πελοποννήσιον οἶδε ποταμὸν ἐμβάλλοντα εἰς τὸν Ἀλφειόν. ὁ γὰρ ἐν Θετταλίᾳ Ἐνισεύς φησι λέγεται καὶ οὐ διὰ τοῦ ¯π Ἐνιπεύς. λέγει δὲ καὶ ὅτι ἀπὸ Ὄθρυος ῥέων ὁ τοιοῦτος Ἐνισεὺς δέχεταιτὸν Ἀπιδανὸν κατενεχθέντα ἐκ Φαρσάλων. (ῃερς. 238.) ὄνομα δὲ ὄρους ἡ Ὄθρυς. εἰ δὲ νῦν μέν φασι κάλλιστον ποταμῶν τὸν Ἐνιπέα ὁ ποιητὴς λέγει, ἐν δὲ Ἰλιάδι τοιοῦτον εἶπε τὸν ἄξιον ποταμὸν, ἔστι νοῆσαι, ὡς ἐκεῖ μὲν τοῦ ἀξίου τὸ ὕδωρ ἐσέμνυνεν, ἐνταῦθα δὲ τὸ σῶμα τοῦ μυθικοῦ Ἐνιπέως. ὅθεν καὶ ἐρᾶται ὡς ἐπαφρόδιτος. ὅτι δὲ τὰς αἰσχρὰς ἐν ποταμοῖς φιλότητας μυθοποιΐαις οἱ παλαιοὶ ἐσέμνυνον ὁποῖά τις ἐνταῦθα ἡ κατὰ τὸν Ἐνιπέα καὶ τὴν Τυρὼ καὶ τὸν Ποσειδῶνα, εἴσεταί τις ἐντυχὼν καὶ τῷ τοῦ Αἰσχίνου ἐπιστολιμαίῳ Κίμωνι, καὶ μαθὼν τὸ ἐκεῖ λεχθὲν ὑπό τινος ἐγχωρίου κόρης· λάβε μου Σκάμανδρε τὴν παρθενίαν. ποῖον δὲ προσφωνεῖ ἐκεῖ Σκάμανδρον ἡ παῖς, δῆλον. Κίμωνα γὰρ τὸν τοῦ Αἰσχίνου ἑταῖρον, ὃς ἐν Σκαμάνδρῳ λουομένην ἔγνω αὐτήν. δῆλον δὲ καὶ ὅτι τὸ νυμφικὸν λοῦμα ταῖς παρθένοις ἐν ποταμοῖς ἐγίνετο διὰ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κουροτρόφους μὲν τοὺς ποταμοὺς λέγεσθαι, ἔφεσιν δὲ καὶ αὐταῖς εἶναι, κούρους καὶ κούρας ἀπὸ γάμου τεκεῖν, καὶ γονίμως ἔχειν κατὰ τὸ ἐν ποταμοῖς γόνιμον. (ηερς. 235.) Ὅρα δὲ ὅτι κἀνταῦθα ἔκγονος διὰ τοῦ ¯κ ἡ παῖς οὐ μὴν ἔγγονος διὰ τοῦ γάμμα. καὶ τηρεῖ, φασὶν, Ὅμηρος τοῦτο δι' ὅλης τῆς ποιήσεως αὐτοῦ, οἷον καὶ ἐν τῷ, κείνου ἔκγονός ἐσσι. ἀπόγονος δέ φασιν ἤτοι υἱὸς ἢ ἔτι ἄνωθεν. καταχρῶνται δέ φασιν ἔσθ' ὅτε οἱ ἱστορικοὶ τῷ ἀπογόνῳ ἀντὶ τοῦ υἱοῦ. εἴη ἂν οὖν κυριολεκτικῶς ἔκγονος μὲν ὁ προσεχῶς ἔκ τινος γεννηθεὶς, ἔγγονος δὲ ὁ ὡς εἰπεῖν ἐγγύγονος. ἀπόγονος δὲ ὁ ἀποτέρω γόνος. (ηερς. 236.) Ἔτι ὅρα καὶ ὅτι ποικιλίαν θηρώμενος ἐνταῦθα ὁ ποιητὴς φάτο εἰπὼν καὶ εἶναι ἐν τῷ ἐφεξῆς στίχῳ, φῆ καὶ ἔμμεναι λέγει. (ηερς. 238.) Τὸ δὲ πολὺ κάλλιστος πρὸς πλείω ἐῤῥέθη ἐπίτασιν, ἤρκει γὰρ τὸ κάλλιστος. (ηερς. 238.) Τοῦ δὲ καλλίστου ποταμοῦ καλὰ πάντως καὶ τὰ ῥέεθρα. (ηερς. 241.) Τὸ δὲ παρελέξατο καὶ τὸ ἐτέλεσε φιλοτήσια ἔργα, σεμνῶς ἐῤῥέθη. καθὰ καὶ τὸ, (ηερς. 244.) λῦσε δὲ παρθενίην ζώνην, ὡς καὶ Ἑρμογένης παρασημαίνεται. Ὅτι δὲ ἐν τῷ παρθένος, ἐξ οὗ καὶ παρθενία ζώνη, ἡ παρ¯α πρόθεσις κεῖται, παρθένος γὰρ ἡ ἐστερημένη τοῦ θεῖσθαι ἤγουν θηλάζειν, δηλοῦσιν οἱ παλαιοί. (ηερς. 242.) Τοῦ δὲ περιστάθη κῦμα οὐκ ἔστι καιριωτέραν λέξιν εὑρεῖν. (ηερς. 243.) Τὸ δὲ κυρτωθὲν κῦμα ὡς εἰς θαλάμου ὄροφον ἐσχεδίασται, ἵνα κρύψῃ ἔσω τοὺς ἐραστάς. διὸ καὶ εἰς ὅρον ἐξισοῦται ὡς ἂν ἐξαρκέσῃ καὶ περιστῆναι καὶ καμφθῆναι κυρτωθὲν, ὡς εἰς θάλαμον. (ηερς. 247.) Τὸ δὲ χαῖρε φιλότητι ἀντὶ τοῦ, τῇ μίξει. ὅθεν καὶ φιλοτήσια ἔργα τὰ κατὰ τὸν ἔρωτα. (ηερς. 248.) Τὸ δὲ περιπλομένου ἐνιαυτοῦ ἀντὶ τοῦ συμπληρουμένου, οὐ μὴν καὶ πεπληρωμένου ἤδη. ὥστε καὶ τὸ, περιπλομένων ἐνιαυτῶν, οὕτω πως χρὴ 1.412 νοεῖν. Τὸ δὲ τέξεις κυριολεκτεῖσθαι λέγεται ἐπὶ μητρὸς, ὡς δηλοῖ ὁ γράψας ὅτι τεκεῖν μὲν ἐπὶ μητρὸς, γεννῆσαι δὲ ἐπὶ πατρός. οὐ κυρίως οὖν φησὶν εἴρηται τὸ, ἀθάνατος τέκετο Ζεὺς, οὐδὲ τὸ, τίκτε μ' ἀνὴρ πολλοῖς ἀνάσσων Μυρμιδόνεσσι. καὶ οὕτω μὲν αὐτός. ἡ δὲ κοινὴ χρῆσις κοινοῦται ἀμφοῖν τοῖν τοῦ καθ' ἡμᾶς γένους ἀρχηγοῖν τὰς εἰρημένας λέξεις. γεννήτορας γὰρ αὐτούς φαμεν καὶ γειναμένους καὶ τεκόντας. ὡς τὸ, ἆρ' οἱ τεκόντες διαφέρουσι; καὶ μὴν καὶ τὰ ἐξ αὐτῶν, τέκνα ἐπίσης καὶ ἐκείνου καὶ ἐκείνης καθωμίληνται. Ἀποφώλιοι δὲ εὐναὶ οὐκ αὐτὸ τοῦτο ἀπαίδευτοι, ἀλλὰ μᾶλλον ἀδόκιμοι κατὰ τοὺς παλαιοὺς, ἄγονοι, ἄκαρποι. ἐκ μεταφορᾶς δὲ ὠῶν καὶ τοῦτο ἅπερ ἀποῤῥιπτοῦνται τῶν φωλεῶν ὡς οὔρια. ἐνταῦθα δὲ μνηστέον τοῦ εἰπόντος ὅτι ἐπὶ ἑρπετῶν ὁ φωλεὸς ἐφ' ὧν καὶ τὸ φωλεύειν. καὶ ῥητέον, ὡς οὐ πάντη ἐκεῖνος ἠλήθευσεν. ἄρκτοι γὰρ μὴ ἑρπετὰ οὖσαι φωλεῖν λέγονται, ὃ ταυτόν ἐστι τῷ φωλεύειν. ᾧ παράκειται ὁ φωλεός. αἱ τοιαῦται δὲ καὶ φωλάδες λέγονται, ὅτε φωλοῦσιν. ἀποφωλίου δὲ χρῆσις παρ' Ὁμήρῳ καὶ ἐν τοῖς πρὸ τούτων. (ηερς. 249.) Κομέειν δὲ καὶ ἀτιτάλλειν, ὅ ἐστιν ἀτάλλειν, τῆς αὐτῆς σημασίας εἰσίν. ἔστι δὲ κομεῖν μὲν, ὥσπερ καὶ κομίζειν, τὸ ἐπιμελεῖσθαι καὶ κομιδῆς ἀξιοῦν. ἀτάλλειν δὲ τὸ ἀναπαύειν καὶ μὴ ἐᾶν τλῆναί τι πρὸς πόνον. (ηερς. 256.) Ἑτέρους δὲ τοὺς Κρηθείδας λέγει κατὰ κυριολεξίαν, ὡς πρὸς δύο γένη τό τε ἐκ τοῦ Κρηθέως. τὸ γὰρ ἕτερος ἐπὶ δυεῖν τινῶν λεγόμενον τὸ ἓν ἐκ τῶν δύο δηλοῖ. (ηερς. 250.) Ὅτι ἐποχὴν λόγου παραινεῖ τὸ, νῦν δ' ἔρχευ πρὸς δῶμα καὶ ἴσχεο μὴ δ' ὀνομήνῃς ἤτοι ἐξ ὀνοματός με εἴποις. (ηερς. 259.) Ὅτι Ἀντιόπη κατὰ μὲν Ὅμηρον θυγάτηρ ἦν Ἀσωποῦ Θηβαίου ποταμοῦ. οἱ δὲ νεώτεροι Νυκτέως αὐτὴν ἱστοροῦσι. ταύτης καὶ Διὸς υἱοὶ, Ζῆθος καὶ Ἀμφίων, (ηερς. 262.) οἰκισταὶ Θηβῶν, οἳ θεσπέσιόν τι χρῆμα ἔσχον ἐκ Διὸς ἢ Ἀπόλλωνος. διὰ λύρας γὰρ ἀνακρουόμενοί φασι μέλος ἐτείχισαν Θήβας, τῶν λίθων ὥσπερ ὑπὸ τῷ θρυλουμένῳ Ὀρφεῖ, οὕτω καὶ ὑπὸ τούτοις κηλουμένων ὁποῖα ἐμψύχων, καὶ κινουμένων, καὶ ἀλλήλοις ἐπιστοιβαζομένων εἰς τειχισμόν. ὡς τάγε πρῴην ἀτείχιστοι οὖσαι ὑπὸ Φιλεγύων ἐβλάπτοντο, οἳ τοὺς ἐκεῖ ἐσίνοντο. Ζήθου δὲ καὶ Ἀμφίονος θανόντων, Εὐρύμαχος Φλεγύων βασιλεὺς, περὶ ὧν ἀκριβέστερον ἐν τοῖς εἰς τὴν Ἰλιάδα κεῖται, τὰς Θήβας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἠρήμωσε. Κάδμος δὲ ὕστερον ἀνέκτισε. καὶ οὕτω μὲν ἕτεροι. Ὅμηρος δὲ οὐκ οἶδε τὸν ῥηθέντα διὰ λύρας τειχισμὸν, ἀλλὰ τὴν ἱστορίαν ἀποστενῶν φησὶν οὕτως· Ἀντιόπην ἴδον Ἀσωποῖο θύγατρα, ἣ δὴ καὶ Διὸς εὔχετ' ἐν ἀγκοίνῃσιν ἰαῦσαι. καί ῥ' ἔτεκε δύο παῖδε Ἀμφίονά τε Ζῆθόν τε, οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο, πύργωσάν τε. ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ' ἐδύναντο ναιέμεν εὐρύχορον Θήβην κρατερώ περ ἐόντε. (ηερς. 264.) καὶ τὸ μὲν κρατερὸν συνεβάλετο αὐτοῖς εἰς τὸ ἀπερύκειν τοὺς εἴτε παροξυτόνως Φλεγύας, εἴτε προπαροξυτόνως Φλέγυας. (ηερς. 263.) οἱ δὲ ἀλλὰ καὶ ἀγαθοὶ βασιλεῖς εἶναι φαίνονται καὶ μειλίχιοι. διὸ καὶ μετὰ λύρας πυργῶσαι τὰς Θήβας ᾄδονται, ὡς ἐμμελῶς καὶ ἱλαρῶς καὶ ὡς εἰπεῖν ἐμμούσως καὶ δίχα τοῦ ἄπῳδόν τι τοῖς ὑπηκόοις ἐνδείξασθαι, τειχίσαι τὴν πόλιν, ἣν ἑπτάπυλόν φασιν ἤνοιξαν ἐκεῖνοι διὰ τὸ ἑπτάχορδον εἶναι τὴν λύραν αὐτοῖς, ὡς εἶναι τὰς ἐκεῖ πύλας ἰσαρίθμους ταῖς ῥηθείσαις χορδαῖς. ὁ δὲ γεωγράφος καὶ τὴν Τερπάνδρου ἑπτάχορδον ἱστορεῖ. (ηερς. 260.) Τὸ δὲ Διὸς ἐν ἀγκοίναις ἰαῦσαι, σεμνῶς εἴρηται ἐπὶ μίξεως. λειότερον ἐκφωνηθὲν τοῦ ἀγκὰς ἔμαρψεν ἣν παράκοιτιν. τούτοις δὲ ὅμοιον μετ' ὀλίγα ἐπὶ Ἀλκμήνης τὸ, ἐν ἀγκοίναις Διὸς μεγάλοιο μιγεῖσα. (ηερς. 262.) Τὸ δὲ πρῶτοι ἔκτισαν, διαστέλλει αὐτοὺς τοῦ μεταταῦτα, ὡς ἐῤῥέθη, ἀνακτίσαντος Κάδμου. Τὸ δὲ πύργωσαν τειχισμὸν πόλεως διασαφεῖ. τὸ γὰρ ἔκτισαν καὶ ἐπὶ ἑτέρων οἰκοδομημάτων λέγεται. (ηερς. 265.) Ὅτι τὸν πολὺν Ἡρακλέα πολλαχοῦ τῆς τε Ἰλιάδος καὶ τῆς Ὀδυσσείας καταμερίσαἱστορικῶς ὁ ποιητὴς, ἐνταῦθα μικροῦ τινὸς αὐτὸν ἀξιοῖ λόγου. διὸ καὶ περὶ τὴν αὐτοῦ μητέρα σμικρολογεῖται, εἰπών· Ἀλκμήνην ἴδον Ἀμφιτρύωνος ἄκοιτιν, ἥπερ Ἡρακλέα γείνατο Διῒ μιγεῖσα. καλεῖ δὲαὐτὸν θρασυμέμνονα θυμολέοντα καὶ μένος αἰὲν ἀτηρῆ. Ἰστέον δὲ ὅτι φθάσας εἰπεῖν, ὡς πρώτην Τυρὼ ἴδον, εἶτα ὅτι Ἀντιόπην ἴδον, ἐνταῦθα τρεῖς ἡρωΐδας εἰς ἓν συνάγει ῥῆμα, εἰπών· Ἀλκμήνην ἴδονκαὶ Μεγάραν καὶ Ἐπικάστην. ἐπαναπαυσάμενος δὲ τῷ τοιούτῳ ῥήματι ἐρεῖ ἐφεξῆς καὶ Χλῶριν ἴδον, καὶ Λήδην ἴδον, καὶ Ἰφιμέδειαν εἰσίδον. εἶτα καθ' ὑπαλλαγήν τινα εἰπὼν Φαίδρην τε Πρόκριν τε ἴδον καὶ Ἀριάδνην ἐπάγει πάλιν· Μαῖράν τε Κλυμένην τε ἴδον καὶ Ἐριφύλην. καὶ οὕτω διὰ πασῶν τῶν ἡρωΐδων ἀρκεσθήσεται ἀγαγὼν ἓν ῥῆμα τὸ ἐκ τοῦ ἰδεῖν. (ηερς. 280.) Ἰστέον δὲ ὡς ἐν τούτοις Χλῶρις 1.413 ἡ τῆς Χλώριδος νοεῖται ψυχή, (ηερς. 268.) καθὰ ὁ παραφραστὴς Δημοσθένης δηλοῖ ἐν τῷ, ἴδον ἐνταῦθα Χλῶριν, λέγω δὲ τὴν ψυχὴν τῆς Χλώριδος. καὶ τοῦτό φησιν ἔστω μοι ἐπὶ πάσης. Ὅτι Μεγάρα Κρέοντος θυγάτηρ βασιλέως Θηβῶν Ἡρακλεῖ γημαμένη ἔσχε παῖδας τρεῖς. Ἡρακλέος δὲ σταλέντος τὴνεἰς Κέρβερον ἐκάκου τοὺς Ἡρακλείδας τούτους Λύκος βασιλεὺς τηνικαῦτα Θηβῶν. Ἡρακλῆς δὲ ἄνω γενόμενος ἀνεῖλεν ἐκεῖνον αὐτῇ γυναικὶ καὶ τέκνοις. Ἥρας δὲ χόλῳ εἰς μανίαν συνελαθεὶς διεχειρίσατο καὶ τοὺς παῖδας, ὧν χάριν ἀνεῖλε τὸν Λύκον. διὸ καὶ τεκνοραίστης κεῖται παρὰ Λυκόφρονι. ὡς δέ τινές φασι, καὶ τὴν Μεγάραν διεχειρίσατο. μέλλων δέ φασι καὶ τὸν ἀδελφὸν Ἰφικλέα διαθέσθαι τὰ ὅμοια, ἐκωλύθη φθάσαντος ἐκείνου κατὰ φύσιν θανεῖν. ἑτέρωθεν δὲ τὰ τῆς ἱστορίας ταύτης. Ὅμηρος γὰρ στίχῳ ἑνὶ περιέγραψε τὴν Μεγάραν οὐδέν τι προσεπειπὼν, ὃ καὶ ἐφ' ἑτέρων τινῶν ποιήσει ἐν τοῖς ἑξῆς, ποικιλίαν καὶ οὕτω τεχνώμενος τῷ λόγῳ ἐκ τοῦ, τῶν μὲν πλατύτερον μεμνῆσθαι, τῶν δὲ πρὸς μόνα ὀνόματα διὰ τὸ δῆλα εἶναι τὰ περὶ τῶν τοιούτων ἱστορούμενα. Τὸν δὲ Κρέοντα Κρείοντα ἔφη ὁ ποιητὴς ὡς ταυτὸν ὂν οὕτως ἢ οὕτως εἰπεῖν. (ηερς. 270.) Ὅτι τὴν τοῦ Οἰδίποδος φύσει μὲν μητέρα, δυσποτμίᾳ δὲ γυναῖκα Ἰοκάστην Ἐπικάστην ὁ ποιητὴς οἶδεν. ἣν καὶ καλὴν ὀνομάζει. καὶ ἱστορῶν ἐν βραχεῖ τὰ κατ' αὐτὴν οἷα ὡς εἰκὸς φειδόμενος ἐμπλατύνεσθαι τοῖς περὶ τούτων λόγοις φησίν· (ηερς. 271.) ἣ μέγα ἔργον ἔρεξαν ἀϊδρείῃσι νόοιο, ἤγουν κατὰ ἄγνοιαν, γημαμένη ᾧ υἱεῖ, ἤγουν τῷ ἑαυτῆς υἱῷ. ὁ δ' ὃν πατέρ' ἐξεναρίξας γῆμεν. ἄφαρ δ' ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισιν. ἀλλ' ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων Καδμείων ἤνασσε θεῶν ὀλοὰς διὰ βουλάς. (ηερς.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

276.) ἡ δ' ἔβη εἰς Ἀΐδαο πυλάρταο κρατεροῖο, ἤγουν τέθνηκεν, ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου, ᾧ ἄχεϊ σχομένη, ἤγουν οἰκείαν σχοῦσα λύπην. τῷ δ' ἄλγεα κάλλιπεν ὀπίσσω πολλὰ μάλα, ὅσσα τε μητρὸς (ῥηρς. 279.) Ἐριννύες ἐκτελέουσιν. εἶεν δ' ἂν ταῦτα οὐ τὰ ὑπ' ἄλλων ἱστορηθέντα, ἡ λεγομένη φυγὴ τῆς πατρίδος καὶ ἡ πλάνη καὶ ἡ τύφλωσις, ἀλλ' ἡ κατάῤῥησις τῶν εἰδότων, ἡ ἐκ τῶν πολιτῶν περιφρόνησις, ἡ τῶν προσγενῶν ἀποστροφὴ, τηκεδόνες νόσων, φόβοι ὡς εἰκὸς νύκτεροι, τὸ δὲ μεῖζον, ἡ σύνεσις, ὅτι σύνοιδεν εἰργασμένος δεινά. τῇ δὲ τῶν ἄλλων προσγενῶν ἀποστροφῇ συνεισακτέα καὶ ἡ τῶν ἀῤῥένων παίδων, οἳ καὶ ἀπώλοντο ἀλληλοκτονήσαντες διὰ τὰς ἐκ τοῦ πατρὸς ἀράς. ὧν αἴτιον κατά τινας, ὅτι παρέθεντο ἐκεῖνοι τῷ πατρὶ ἐκπώματα ἅπερ ἐκεῖνος ἀπηγορεύκει. ἦσαν δὲ ἐκεῖνα κατὰ τὸν πεποιηκότα τὴν κυκλικὴν Θηβαΐδα πατρὸς ἑοῖο τιμήεντα γέρα, τουτέστι τοῦ Λαΐου. ἐλύπησε γὰρ ὡς ἔοικε τὸν γέροντα οὐ μόνον ἡ τῶν τέκνων παρακοὴ, ἀλλὰ καὶ ἡ ἀνάμνησις τοῦ πατρικοῦ φόνου. ἄλλοι δέ γε βρωμάτων τινῶν χάριν τὸν Οἰδίπουν καταράσασθαι τοῖς τέκνοις ἱστόρησαν, λυπεῖ γάρ ποτε καὶ τράπεζα μὴ γέρας ἔχουσα, ὁποία τις καὶ ἡ κατὰ τὸν εἰπόντα, γεραρὴ τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη. Δοκεῖ δὲ ἀπορίαν ἔχειν, πῶς αἱ μὲν τῆς μητρὸς Ἐριννύες ἄλγεα τῷ Οἰδίποδι ἐκτελέουσιν, αἱ δὲ τοῦ φονευθέντος πατρὸς, οὔ. καὶ ἔστιν εἰπεῖν, ὡς τυχὸν ὁ Οἰδίπους ἐλύπησέ τι πλέον ἤπερ ἔδει τὴν μητέρα γνωσθέντος τοῦ κακοῦ, διὸ καὶ μετῆλθον αὐτὸν αἱ μητρικαὶ Ἐριννύες. εἰ γὰρ διὰ μόνον τὸν ἔκθεσμον γάμον μετέρχονται αὐτὸν, οὐκ ἂν ἀφῆκαν αὐτὸν ἔξω ποινῆς οὐδὲ διὰ τὸν πατέρα οὐχ' ὁσίως πεφονευμένον. Σημείωσαι δ' ἐν τούτοις καὶ ὡς εἴπερ ἄλγεα πάσχων ἤνασσε Καδμείων ὁ Οἰδίπους μέχρι τέλους, ὡς φαίνεται δοκεῖν Ὁμήρῳ, οὐκ ἄρα ἔφευγεν ἢ ἐπλανᾶτο κατὰ τοὺς τραγικούς. εἰ δὲ καὶ ἐτύφλωσεν αὑτὸν, οὐκ ἂν αὐτὸ ἐσίγησεν ὁ ποιητὴς, ὡς οὐδὲ τὴν ἀγχόνην τῆς Ἐπικάστης. Ἰστέον δὲ καὶ ὅτι ἀνέστρεψε τὴν τοῦ διηγήματος ἀρχὴν Ὅμηρος μνησθεὶς πρῶτον τοῦ γάμου τῆς μητρὸς, εἶτα τοῦ φόνου τοῦ πατρός. καὶ τοῦτο οὐχ' ἁπλῶς κοινότερον, ἀλλὰ στρυφνότερον. οὐ γὰρ ἔφη γημαμένη τῷ υἱῷ ἐξεναρίξαντι τὸν πατέρα, ἀλλὰ γημαμένη τῷ υἱῷ. (ῥηρς. 273.) ὁ δὲ, τὸν πατέρα ἐξεναρίξας, ἔγημε, τὴν μητέρα δηλαδὴ, σιγηθεῖσαν διὰ τὸ μὴ καλὸν εἶναι διασαφεῖσθαι τὰ αἰσχρά. (ῥηρς. 270.) Ὁ δὲ Οἰδίπους καὶ Οἰδιπόδης λέγεται ποιητικῶς, κληθεὶς οὕτω διὰ τὸ οἴδημα, ὃ ἔπαθε τρυπηθεὶς τοὺς ἀστραγάλους τῶν ποδῶν, ὅτε βρέφος ὢν ἐξετέθη ὡς ἱστοροῦσιν οἱ τραγικοί. ὅτι δὲ ἄλλως καὶ ἄλλως τὰ κατὰ τὸν Οἰδίποδα καὶ τὸν Λάϊον λέγεται, δῆλον μὲν ἐξ ἄλλων, οὐχήκιστα δὲ καὶ ἐκ τοῦ ἱστορήσαντος ὅτι Σφὶγξ γυνή τις ἦν εἰδεχθὴς περί που Βοιωτίαν, λῃστρικὴ καὶ φονία, ὡς Παλαιφάτῳ δοκεῖ. Οἰδίπους δὲ ἀνεῖλεν αὐτὴν, προσποιησάμενος φιλίαν καὶ συμμαχίαν. ὅθεν ἐτιμήθη ἄγαν ὑπὸ Θηβαίων. ἐφ' οἷς φθονήσας Λάϊος ἐπέξεισι καὶ θνήσκει ἐν τῇ μάχῃ, καὶ τότε ἡ μήτηρ λαμβάνει αὐτόν. ὡς δὲ ἔγνω ἀπο 1.414 βάντα τὸν πάλαι τῷ Λαΐῳ δεδομένον χρησμὸν, ἐξετύφλωσεν ἑαυτόν. Ὅτι δὲ κατὰ τὴν εἰρημένην Σφίγγα κακὴ τὸ εἶδος ἦν καὶ ἡ Μέδουσα μία τῶν Γοργόνων, καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται. δοκεῖ δὲ τοιαύτη καὶ ἡ Ἑκάτη εἶναι, καθὰ καὶ ἡ Ἔμπουσα, διὸ καὶ οἱ μῦθοι φοβερὰς αὐτὰς τοῖς βλέπουσι πλάττονται. Ἔτι ἰστέον καὶ ὅτι καθ' ὁμοιότητα τοῦ Οἰδιπόδης εὕρηται παρὰ τοῖς παλαιοῖς καὶ ἰσχιοίδης ὁ μεγάλα ἰσχία ἔχων, οὕτω δὲ καὶ γαστροοίδης τις καλεῖται ὑπὸ Ἀττικῶν, καὶ ὠμοίδης δὲ ὁ τοὺς ὤμους ἐξοιδηθεὶς, καὶ πεοίδης ὁ τὸ πέος ὅ ἐστι τὸ αἰδοῖον. ἐξ οὗ καὶ ὁ πειώλης ἐπὶ κιναίδου. οὕτω δὲ καὶ χελυνοίδης ὁ μεγάλα φασὶ χείλη ἔχων. χελύνη γὰρ τὸ χεῖλος. Ἀριστοφάνης Ἀχαρνεῦσιν· ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων. Τὸν δὲ Οἰδιπόδην σχηματίζων Ἡρῳδιανὸς ἔνθα λέγει περὶ τοῦ φαινόλης φαινόλου γενειόλης γενειόλου, παραδίδωσιν ὡς ἡ γενικὴ τοῦ Οἰδίποδος μεταθέσει τῆς ¯ο¯ς εἰς ¯η¯ς ποιεῖ τὸ Οἰδιπόδης Οἰδιπόδου, ὅπερ ὅμοιον τῷ, τριπόδος τριπόδης καὶ ἑπτάποδος ἑπταπόδης παρ' Ἡσιόδῳ. (ῥηρς. 271.) Τὸ δὲ μέγα ἔργον ἔρεξε, σεμνῶς ῥηθὲν, τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξάγιστον δηλοῖ μίξιν. οὕτω δὲ καὶ ἐπὶ Αἰγίσθου ἔφη μάλα μέγα ἔργον ἐκεῖνον μήσασθαι, τὴν τολμηθεῖσαν δηλαδὴ παρ' αὐτοῦ μοιχείαν. (ῃερς. 272.) Τὸ δὲ γημαμένη καὶ τὸ ἔγημε φανερὰν διαφορὰν δηλοῖ τοῦ γῆμαι καὶ τοῦ γήμασθαι, ὡς καὶ οὐ πρὸ πολλῶν δεδήλωται. (ῃερς. 273.) Ἀνάπυστα δὲ τὰ ἀκουστὰ ἢ φανερὰ, καὶ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἀνὰ στόμα πᾶσι κείμενα πυνθάνεσθαι. γίνεται δὲ ἡ λέξις ἀπὸ τοῦ πεύθω πεύσω, ἐξ οὗ πύστις ἡ δι' ἐρωτήσεως μάθησις, ὡς ἐκ τοῦ κεύσω ἡ κύστις. ἐκ δὲ τοῦ πύστις ἄπυστον καὶ ἀνάπυστον, καὶ ἄλλως δὲ εἰπεῖν, ἐκ τοῦ πέπυσμαι, πέπυσται, πυστὸν τὸ ἀκουστὸν καὶ ἄπυστον τὸ ἀνήκουστον. καὶ μετὰ δευτέρας στερήσεως ἀάπυστον τὸ μὴ ἀνήκουστον, ἀλλὰ δηλαδὴ ἀκουστὸν, καὶ πλεονασμῷ τοῦ ¯ν δι' εὐφωνίαν ἀνάπυστον. οὕτω καὶ γνωστὸν ἄγνωστον ἀάγνωστον καὶ ἀνάγνωστον, κατὰ τὸν εἰπόντα μηδὲν ἐθέλειν καλὸν ἔχειν ἀνάγνωστον ἀλλὰ δηλονότι πᾶσι γνωστόν. (ῃερς. 274.) Πολυήρατον δέ φασι Θήβην ἄρτι λέγει τὴν πολλὰς ἀρὰς ὅ ἐστι βλάβας θεόθεν ὑπομείνασαν, οὐ γὰρ δή που φασὶ τὴν ἐράσμιον, οὐ γὰρ ἀκόλουθον τοῦτο ἐνταῦθα τοῖς ἐπαγομένοις. (ῃερς. 275.) Τὸ δὲ θεῶν ὀλοὰς διὰ βουλὰς πρὸς τὸ ἄλγεα πάσχων συντακτέον. (ῃερς. 276.) Πυλάρτης δὲ ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη Ἅιδης ὁ τὰς πύλας ἀραρυίας ἔχων διὰ τὸ ἐκεῖθεν δυσεξίτητον. (ῃερς. 277.) Τὸ δὲ ἁψαμένη βρόχον αἰπὺν ἀντὶ τοῦ κρεμάσασα, ἢ μᾶλλον ἐκδήσασα ὑψόθεν. τοῦτο γὰρ δηλοῖ τὸ αἰπὺν, ὡς δηλοῖ ἐπαχθὲν καὶ τὸ, ἀφ' ὑψηλοῖο μελάθρου. Ἰστέον δὲ ὅτι πολλῶν προσώ

πων ἁψαμένων βρόχους ἐπὶ λύπαις ἔπαθον οὕτω κατὰ τὴν παλαιὰν ἱστορίαν καὶ οἱ Λυκαμβίδαι ἐπὶ τοῖς Ἀρχιλόχου ποιήμασι, μὴ φέροντες τὴν ἐπιφορὰν τῶν ἐκείνου σκωμμάτων. ἦν γὰρ ὁ ἀνὴρ δεινὸς ὑβρίζειν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν οὕτω σκώπτειν εὐφυῶν τὸ, Ἀρχίλοχον πεπάτηκας, ὡς εἴ τις εἴπῃ, σκορπίον ἢ ὄφιν ἢ κακὴν ἄκανθαν. καὶ κόρη δέ τις φασὶν Ἰάμβη αἰσχρῶς ὑβρισθεῖσα κατέλυσε τὸν βίον ἀγχόνῃ. διὸ καὶ ὁ παρωνομασμένος αὐτῇ ἴαμβος ἐκ βραχείας ὢν καὶ μακρᾶς αἰνίττεται, ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, τὸ καὶ τὴν ὕβριν ἧς εἶδος καὶ τὸ σκώπτειν ἀπό τινος βραχέος αἰτίου ἀρχομένην εἰς κακὸν μέγα καταλήγειν ζήλῳ τῆς Ὁμηρικῆς ἔριδος. ἣ ὀλίγη ταπρῶτα κορυσσομένη τέλος ὑψοῦται ὅ που φησὶν ὁ ποιητής. ὅτι δὲ σκωπτόλης ταπρῶτα ὁ ἴαμβος, δηλοῖ καὶ ὁ πικρὸς Ἱππῶναξ, χωλιαμβοποιῶν ἀκράχολα. ὅτι δὲ καὶ ἱλαροί τινες ᾔδοντο ἴαμβοι, δηλοῖ ὁ ἱστορήσας ὡς Δημήτηρ λυπουμένη ἐπὶ ἡρπαγμένῃ τῇ κόρῃ παρεξενώθη Κελεῷ καὶ τῇ γυναικὶ Μετανείρῃ ἐν τῇ Ἀττικῇ. θεράπαινα δὲ αὐτῶν Ἰάμβη παρεμυθεῖτο αὐτὴν ὀρχουμένη τοιούτῳ μέτρῳ. Μητρὸς δὲ Ἐριννύες αἱ ὑπὲρ τῆς μητρός, ἢ καὶ ἄλλως κατὰ ἔλλειψιν, αἱ τῆς μητρὸς τιμωροὶ ὅ ἐστιν ἐπίκουροι. (ῃερς. 279.) Ὅτι Νηλεὺς ὁ Ποσειδῶνος καὶ Τυροῦς, ὡς πρὸ βραχέων ἐῤῥέθη, ἐν Ἰωλκῷ πόλει Θετταλικῇ γεννηθεὶς τῇ πρὸ ὀλίγων εἰρημένῃ, ἣν ὑπερκεῖσθαί φασι τῆς κατὰ Δημητριάδα θαλάσσης ἑπτὰ σταδίους. ὁ τοίνυν τοιοῦτος Ἰώλκιος Νηλεὺς μετὰ θάνατον τοῦ κατὰ τὸν μῦθον θέσει πατρὸς Κρηθέως ὑπὸ τοῦ ἀδελφοῦ Πελίου ἐξελαθεὶς ἀφίκετο εἰς τὴν Πελοποννησίαν Μεσσήνην. (ῃερς. 282.) καὶ ἔγημε Χλῶριν μετὰ κάλλος τουτέστι διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα, ὁπλοτάτην κούρην Ἀμφίονος Ἰασίδαο. ὅς ποτ' ἐν Ὀρχομενῷ Μινυηΐῳῖφι ἄνασσεν ἠδὲ Πύλου βασίλευε. τέκε δέ οἱ ἀγλαὰ τέκνα, Νέστορά τε Χρόμιόν τε Πολυκλύμενόν τ' ἀγέρωχον. τοῖσι δ' ἐπ' ἰφθίμην Πηρὼ τέκε, (ῃερς. 286.) θαῦμα βροτοῖσιν, ὅπερ ἐφερμηνεύων φησί· τὴν πάντες μνώοντο περικτίται. οἷς δηλαδὴ ὡς εὖ εἰδόσι, θαῦμα ἦν ἡ Πηρώ. Νηλεὺς δὲ οὐκ ἤθελέ τινι δοῦναι αὐτὴν, ὃς μὴ ἕλικας βόας εὐρυμετώπους ἐκ φυλάκης ἐλάσειε βίης Ἰφικληείης. 1.415 (ῃερς. 290.) ἀργαλέας, ἤγουν δυσκόλους καὶ ἐργώδεις κτηθῆναι καὶ ἀπελαθῆναι. τὰς δ' οἷος ὑπέσχετο μάντις ἀμύμων ὁ Μελάμπους ἐξελάαν. χαλεπὴ δὲ θεοῦ κατὰ μοῖρ' ἐπέδησε, δεσμοί τ' ἀργαλέοι καὶ (ῃερς. 292.) βουκόλοι ἀγροιῶται. ὧν ἕνεκα καὶ αἱ βόες ἀργαλέαι ἦσαν. ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο, ἂψ περιτελλομένου


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔτεος, καὶ (ῃερς. 294.) ἐπήλυθον ὧραι, αἱ τοῦ ἐφεξῆς δηλαδὴ ἔτους, (ῃερς. 295.) καὶ τότε δή μιν ἤγουν τὸν μάντιν ἔλυσε βίη Ἰφικληείη, θέσφατα πάντ' εἰπόντα, Διὸς δ' ἐτελείετο βουλή. καὶ οὕτω μὲν ὁ ποιητὴς ἀσαφῶς καὶ μᾶλλον τὰ περὶ τὸ τέλος τοῦ διηγήματος ἐξέθετο διὰ συντομίαν ἐπίτηδες, οὐδὲ γὰρ προέθετο τοιαῦτα ἱστορεῖν. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ μεσολαβεῖται, αὐτὸς δὲ σπεύδει ἐπὶ τὰ ἑξῆς τὰ κατὰ τὸν Ὀδυσσέα. (ῃερς. 292.) οἱ δέ γε ἱστοροῦντες οὕτω φασὶ σαφέστερον ἐπεὶ καὶ πλατύτερον. μετὰ θάνατον Σαλμωνέως κομιζομένη Τυρὼ, τουτέστιν ἐπιμελῶς ἐκτρεφομένη παρὰ Δηϊονεῖ τῷ θείῳ, κορεύεται ὑπὸ Ποσειδῶνος. εἶτα Κρηθεῖ τῷ τοῦ πατρὸς ἀδελφῷ δίδοται εἰς γάμον, ἐξ ἧς γεννᾶται Νηλεύς. καὶ αὐξηθεὶς ἀπῄτει τὸν Δηϊονέως Ἴφικλον τὰ τῆς μητρὸς Τυροῦς ὅσα φθάσας ἐκεῖνος ἐνοσφίσατο. ἐν οἷς ὡς εἰκὸς ἦσαν καὶ καλόν τι χρῆμα βοῶν. τοῦ δὲ μὴ ἀποδιδόντος ἀμυνόμενος ὁ Νηλεὺς ἐκεῖνον ὑπέσχετο τὸν γάμον τῆς θυγατρὸς Πηροῦς, ἣν ἀπὸ τῆς ῥηθείσης Χλώριδος ἔσχε, τῷ ἀνασωσομένῳ ἐκ τοῦ Ἰφίκλου τὰ τῆς μητρὸς Τυροῦς. Μελάμπους δὲ πειραθεὶς ἀπελάσαι τὰς βοῦς, ἵνα τῷ ἀδελφῷ Βίαντι τὸν τῆς Πηροῦς καταπράξηται γάμον, ἠγρεύθη. καὶ περὶ παιδοποιΐας μαντευσάμενος τῷ Ἰφίκλῳ, ἦν γὰρ ἄπαις, καὶ ἐπιτυχὼν, ἀπελύθη, λαβὼν καὶ τὰς ὀφειλομένας βόας τῇ Τυροῖ. καὶ οὕτω περιεποιήσατο τὸν ἐκείνης γάμον τῷ ἀδελφῷ, ἐξ ὧν ὕστερον οἱ Βιαντίδαι. καὶ οὕτω μὲν οἱ τοιοῦτοι. ἄλλοι δὲ πλατύτερον οὕτω φασί. Τυρὼ μετὰ θάνατον Σαλμωνέως τοῦ πατρὸς ἦλθεν ἐκ φυλάκης πρὸς Δηϊονέα τὸν τοῦ πατρὸς ἀδελφὸν, ἢ καὶ ἄλλως εἰπεῖν, ἐξ Ἰωλκοῦ εἰς φυλάκην πρὸς τὸν αὐτῆς θεῖον, ὑφ' οὗ καὶ ἐξεδόθη ἀνδρὶ τῷ Κρηθεῖ. θανόντος δὲ Δηϊονέως, ὃν καὶ Δηΐονα καλοῦσι τινὲς, βασιλεύει φυλάκης ὁ ἔγγονος Ἴφικλος ὁ καὶ Ἰφικλῆς. ὃς ἰδιοποιησάμενος καί τινα τῶν τῆς Τυροῦς ἀπισχυρίζετο μὴ ἂν ἀποδοῦναι, Νηλεὺς δὲ τῇ μητρὶ Τυροῖ ἐπαμύνων ἐδίδου τὴν θυγατέρα Πηρὼ κάλλει διαφέρουσαν τῷ ἐξ Ἰφίκλου λαβόντι τὰς βοῦς, ὅσαι διέφερον τῇ μητρί. ἐπεχείρει δὲ οὐδείς, ἦσαν γὰρ ἄμαχοι τῷ Ἰφίκλῳ βουκόλοι τε ἀγροιῶται καὶ κύνες. Βίας δὲ ὁ Ἀμυθάονος θαῤῥήσας ἀνῦσαι ἂν τὰ τοῦ ἄθλου τοῦδε Μελάμποδα τὸν ἀδελφὸν, ἄνδρα τὴν μαντικὴν ἄριστον, ὑφίσταται τὸ ἔργον κατὰ ἔρωτα τῆς Πηροῦς, καὶ πείθει τὸν ἀδελφὸν ὑποδῦναι τὸν ἀγῶνα. ὁ δὲ, καί τοι εὖ εἰδὼς ὅτι ἁλώσεται, τολμᾷ ὅμως διὰ τὸν ἀδελφόν. καὶ δὴ ἀπελθὼν ἑάλω, καὶ παραδοθεὶς Ἰφίκλῳ καὶ καθειρχθεὶς ἐφυλάσσετο. δοθέντων δὲ πρὸς ὑπουργίαν αὐτῷ ἀνδρὸς καὶ γυναικὸς, ὁ μὲν ἀνὴρ ἐπιεικῶς ἦν πρὸς αὐτοῦ, ἡ δὲ γυνὴ ἐλύπει. ἐπεὶ δὲ ὁ χρόνος προὔβαινεν, ἀκούει σκωλήκων ψόφου τινὸς εἴτε τρισμοῦ ὕπερθεν τοῦ τέγους. οἱ δὲ ἐδήλουν οἷς ἔτριζον καθάπερ ἂν μάντις αἴσθοιτο δεινὸς ἐπαΐειν τοιούτων φωνῶν, ὡς ἄρα βεβρώκοιεν ἤδη τὴν δοκόν. ἦν δέ φασι καὶ τὰ τοιαῦτα δεξιὸς ὁ Μελάμπους, οἷα ὑπὸ δρακόντων καθαρθεὶς τὰ ὦτα ὡς καὶ τῶν ἀλόγων κατακούειν ζῴων. καὶ τοίνυν τὸ τῆς δοκοῦ πάθος μαθὼν προσποιεῖται μαλακῶς ἔχειν, καὶ ἀναπεσὼν προκαλεῖται τοὺς διακόνους ἐξαγαγεῖν αὐτὸν τοῦ οἰκίσκου, δραξαμένους τὴν μὲν γυναῖκα τῶν κάτω τῆς κλίνης, τὸν δὲ ἄνδρα τῶν πρὸς τῇ κεφαλῇ. τῶν δὲ οὕτω πεποιηκότων καὶ τῆς κλίνης ἀπενεχθείσης τῷ πλείονι ἔξω πρὸς τοῦ ἀνδρὸς ἐν τοσούτῳ κλᾶται ἡ δοκὸς καὶ ἐμπίπτει τῇ γυναικὶ ἔσω καὶ κτείνει αὐτήν. καὶ ὁ περισωθεὶς ἀνὴρ ἀγγέλλει τὸ γεγονὸς τῷ Φυλάκῳ, κἀκεῖνος τῷ Ἰφίκλῳ. ὁ δὲ ἐρωτᾷ τὸν Μελάμποδα, τίς τε εἴη καὶ ἐφ' ᾧ ἔλθοι. καὶ πάντα μαθὼν ὑπισχνεῖται δώσειν τὰς βοῦς εἴπερ ὁ Μελάμπους ἐξεύροι τρόπον τινὰ γονῆς αὐτῷ, ἦν γὰρ παίδων ἄγονος. ὁ δὲ βουθυτήσας διαιρεῖ μοίρας τοῖς ὄρνισι, καὶ ἐπικαλεσάμενος πάντας πλὴν Αἰγυπιοῦ ἐρωτᾷ εἰ ἔστι μηχανὴ παίδων γονῆς τῷ Ἰφίκλῳ. μὴ ἐχόντων δὲ εἰπεῖν, ἥκει ἐπὶ πᾶσιν ὁ Αἰγυπιὸς, καὶ τὰς τῆς ἀπαιδίας αἰτίας λέγει. αἱ δὲ ἦσαν, τὸ διωχθῆναι ὑπὸ Φυλάκου ποτὲ τοῦ πατρὸς μετὰ μαχαίρας τὸν Ἴφικλον παῖδα ὄντα κατά τινα ὀργήν, καὶ τὸν Φύλακον μὴ καταλαβόντα ἐμπῆξαι τὴν μάχαιραν ἀχέρδῳ, ἤτοι ἀπίῳ κατά τινας ἀγρίᾳ, καὶ περιφῦναι τῇ μαχαίρᾳ τὸν τοῦ φυτοῦ φλοιὸν καὶ καλύψαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περισχόντα ἐντός. καὶ τὸν Ἴφικλον τὸ ἐντεῦθεν μὴ παιδοποιεῖν διὰ τὸ ἐκεῖθεν δέος. ὑπέδειξε δὲ καὶ τὴν ἄχερδον ὁ Αἰγυπιὸς, καὶ ὅποι κρύπτει τὴν μάχαιραν, ἣν καὶ ἐκέλευσεν ἐκκαλύψαι τοῦ φλοιοῦ ἐκλέψαντα καὶ κομισάμενον καὶ ἀποσμήξαντα διδόναι πίνειν τοῦ ἰοῦ ἐν 1.416 οἴνῳ ἐπὶ δέκα ἡμέρας τὸν Ἴφικλον. ποιεῖ δὴ κατὰ ταῦτα ὁ Ἴφικλος, καὶ ῥώνυσι τὴν γονήν. ἐν δὲ ὑπομνήματι Θεοκρίτου φέρεται καὶ ὅτι ἐκτέμνοντί ποτε τῷ Φυλάκῳ ζῷα παρειστήκει παῖς ὢν Ἴφικλος. ὃν ἐκπλῆξαι θέλων ὁ πατὴρ καὶ ἀνατείνας ἣν κατεῖχε μάχαιραν, εἶτα εἰς τὸ πλησίον δένδρον ἐμπῆξαι θελήσας, ἐπήνεγκεν αὐτοῦ τοῖς μορίοις οὕτω συμβάν. Μελάμπους δὲ αὐτὴν ἀνευρὼν ἐκέλευσε τὸν Ἴφικλον ξέσαντα τὸν ἰὸν πίνειν. καὶ αὐτὸς ποιήσας οὕτω γίνεται παίδων πατήρ. κεῖται δὲ παρὰ τοῖς παλαιοῖς καὶ ὅτι Μελάμπους, ὡς ἐῤῥέθη, παρ' Αἰγυπιοῦ μαθὼν τὸ τῆς ἀτεκνίας αἴτιον, καὶ ἀναζητήσας τὴν μάχαιραν ἀχέρδου φλοιῷ κεκαλυμμένην ἣν ἐπήνεγκε Φύλακος τῷ Ἰφίκλῳ κατὰ τὸν ἀγρὸν ἐκτέμνοντι τετράποδα, θύσας τε θεοῖς τοῖς μηνίουσι ὑπὲρ τῆς τῶν τετραπόδων εὐνουχίας, τὸν Ἴφικλον ἀπέφηνε πατέρα Πρωτεσιλάου τε, τοῦ ἐν Τροίᾳ πρώτου πεσόντος, καὶ Ποδάρκους. καὶ λαβὼν οὕτω τὰς βόας καὶ ἀγαγὼν εἰς Πύλον δίδωσιν εἰς ἕδνον τῷ Νηλεῖ, καὶ τὴν Πηρὼ λαμβάνει πρὸς γάμον Βίαντι τῷ ἀδελφῷ. ἐξ ἧς γίνονται παῖδες Περιάλκης, Ἄρητος, καὶ Ἀλκεσίβοια. φασὶ δὲ καὶ ὅτι μετὰ τὸ ἐνεχθῆναι τὰς βόας οὐκ ἐδίδου τὴν κόρην ὁ Νηλεὺς, οἷα μὴ βουλόμενος Βίαντι συνοικίσαι αὐτήν. μάχῃ δὲ νικηθεὶς ὑπὸ τῶν περὶ Ἀμυθάονα ἔδωκεν ἄκων. διὸ καὶ ἔφυγε τὴν Πύλον ὁ Μελάμπους, ὡς ἐν τοῖς ἑξῆς που ἱστορήσει ὁ ποιητὴς, ἵνα μὴ προσκρούῃ τῷ Νηλεῖ θείῳ τε πρὸς πατρὸς ὄντι καὶ βασιλεῖ. καὶ τοιαύτη μὲν ἡ περὶ Χλώριδος καὶ τῶν κατ' αὐτὴν ἱστορία. τὰ δὲ πρὸς μέρος τοῦ ῥηθέντος Ὁμηρικοῦ χωρίου τοιαῦτα. (ῃερς. 280.) Ἐν τῷ Χλῶριν εἶδον διὰ διφθόγγου γράφεται τὸ ῥῆμα καθὰ καὶ ἐν τῷ, Λήδην εἶδον, λόγῳ παρατατικοῦ, καί τοι τὸ Τυρὼ ἴδον καὶ τὸ, Ἀλκμήνην ἴδον καὶ Ἰφιμέδειαν εἴσιδον καὶ Φαίδρην ἴδον καὶ Μαῖραν ἴδον, διὰ τοῦ ¯ί γράψας κατὰ χρόνον δευτέρου ἀορίστου. Περικαλλέα δὲ τὴν Χλῶριν λέγει, ἐπεὶ καὶ διὰ κάλλος αὐτὴν ὁ Νηλεὺς ἔγημεν, οὗ χάριν καὶ μυρία ἔδωκεν ἕδνα. (ῃερς. 281.) ἔνθα φανερῶς, ὡς καὶ ἐν ἄλλοις, ἕδνα Ὅμηρος λέγει, τὰ τοῦ νυμφίου πρὸς τὴν νύμφην. Ἰασίδης δὲ ὁ ῥηθεὶς Ἀμφίων, πρὸς διαστολὴν τοῦ ἑτέρου ὃς ἦν ὡς ἐῤῥέθη ἐκ Διός. (ῃερς. 282.) Περὶ δὲ Ὀρχομενοῦ ἱκανῶς ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐδηλώθη. ἐνταῦθα δὲ εἰπεῖν ἀρκέσει, ὅτι τε πολλοὶ Ὀρχομενοί. (ῃερς. 283.) καὶ ὅτι Μινύος Ὀρχομενὸς ἢ ἀπὸ παραῤῥέοντος ποταμοῦ ἢ ἀπὸ ἔθνους ἢ γένους τῶν Μινυῶν. ὧν τινὲς καὶ εἰς Ἰωλκὸν ἀπῴκησαν τὴν Θετταλικήν. ὅθεν Μινύαι οἱ ἀργοναῦται παρά τε ἄλλοις καὶ Λυκόφρονι. δῆλον δὲ ὡς διαλυθεὶς ὁ Μινύος πεντασύλλαβος ἐκ τετρασυλλάβου γίνεται, Μινυήϊος γὰρ ὡς τὸ Χαλκήϊος καὶ τὰ τοιαῦτα. (ῃερς. 284.) Τὸ δὲ, ὅς ποτ' ἐν Ὀρχομένῳ ἄνασσεν ἠδὲ Πύλου βασίλευεν, οὐ πάνυ ἔχει σαφῶς εἴτε περὶ Ἀμφίονος εἴτε περὶ Νηλέως λέγεται. ὁμοίως καὶ τὸ, ἠδὲ Πύλου βασίλευεν, ἑτέρως ἀμφιβάλλεται εἴτε νοητέον ἀντὶ τοῦ, καὶ Πύλου ἐβασίλευεν, εἴτε καὶ ὅτι ὁ πατὴρ μὲν Ἀμφίων, ἐν Ὀρχομενῷ ἄνασσεν. ἡ δὲ θυγάτηρ Χλῶρις Πύλου ἐβασίλευε διὰ τὸν ἄνδρα Νηλέα. (ῃερς. 285.) Ὁ δὲ Χρομίος παροξύνεται ὁμοίως τῷ Δολίος, Τυχίος καὶ τοῖς τοιούτοις, ὡς τρίβραχυ. τὸν δὲ Περικλύμενον Ἡσίοδός φησι δῶρον εἰληφέναι παρὰ Ποσειδῶνος, ἀμείβειν ἑαυτὸν εἰς οἵου ἂν ζῴου ἢ δένδρου αἱροῖτο εἰκόνα. τοῦτο δὲ καὶ ἡ τοῦ Ἐρυσίχθονος θυγάτηρ εὐτυχεῖ κατὰ Λυκόφρονα, καὶ ἡ Θέτις δὲ, καὶ ὁ Πρωτεὺς, οἱ τοῦ μύθου χαμαιλέοντες. διό φασι καὶ ὁ ποιητὴς ἀγέρωχον αὐτὸν ἐνταῦθα καλεῖ, ὡς ἀγόμενον ῥᾳδίως καὶ χεόμενον εἰς ὃ ἂν βούλοιτο. ὤνησε δὲ ὅμως οὐδὲν τὸν τοιοῦτον Περικλύμενον τὸ εἰς πολλὰ εὐμετάβλητον, ὅτε τῷ Ἡρακλεῖ πολιορκοῦντι τὴν Πύλον συνέμιξεν. εἰς μέλισσαν γάρ φασι μεταβληθεὶς καὶ ὅμως ἐπιτυχῶς βληθεὶς ἀπήχθη τοῦ ζῆν. δοκεῖ δὲ ὁ ἀνὴρ πολυειδὴς εἶναι τὰ εἰς μεθόδους πολεμικὰς καὶ εἰς λοιπὰς ἐπιτεχνήσεις, διὸ καὶ μῦθον ἐκπεσεῖν περὶ αὐτοῦ, ὡς πολύμορφος ἦν ταῖς εἰς πολλὰ μεταβολαῖς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δώδεκα δὲ παίδων τῷ Νηλεῖ γενομένων, τριῶν ἐνταῦθα μέμνηται ὁ ποιητὴς, ἴσως μὲν, ἐπεὶ οὗτοι μόνοι αὐτῷ ἀπὸ τῆς καλῆς Χλώριδος ἦσαν, ἴσως δὲ καὶ ὅτι οὗτοι τῶν ἄλλων ὑπεξῄρηντο, Νέστωρ μὲν κατὰ σύνεσιν, Χρομίος δὲ ὡς πρεσβύτερος, Περικλύμενος δὲ ὡς γενναιότερος, ἢ καὶ ὡς δεξιώτερος, καθὰ εἴρηται. (ῃερς. 286.) Τὸ δὲ ἰφθίμην τὴν Πηρὼ εἰπεῖν συντελεῖ εἰς τὸ καὶ γυναῖκας οὕτω δαΐφρονας λέγεσθαι. (ῃερς. 286.) Περικτίται δὲ, οἱ περίοικοι. καὶ σημείωσαι τοῦτο εἰς τὸς Θήβης ἕδος ἔκτισαν πύργωσάν τε, (ῃερς. 262.) ἵνα τὸ μὲν ἔκτισαν εἴη ἀντὶ τοῦ οἰκισθῆναι ἐποίησαν, τὸ δὲ πύργωσαν ἀντὶ τοῦ ἐπόλισαν, ἤγουν ὡς πόλιν ἐτείχισαν. (ῃερς. 288.) Τὸ δὲ οὐδέ τι Νηλεὺς τῷ ἐδίδου ὃς μὴ βόας ἐκ φυλάκης ἐλάσειε κατὰ σχῆμα κάλλους ἔφρασεν ἀποφατικῶς ὁ ποιητής. ἦν δὲ σαφέστερον εἰπεῖν καταφατικῶς 1.417 ὅτι Νηλεὺς δὲ τὴν θυγατέρα ἐδίδου ὃς ἂν τὰς μητρικὰς βόας ἐξελάσῃ τῆς Φυλάκης πόλεως Θετταλικῆς. (ῃερς. 289.) Ὅτι δὲ τὸ βίη Ἰφικληείη περιφραστικῶς δηλοῖ τὸν Ἰφικλῆν, δῆλον, καθὰ καὶ τὸ βίη Ἡρκληείη τὸν Ἡρακλῆν. Ἀγροιῶται δὲ οἱ ἀγρόται, κατὰ διπλοῦν πλεονασμὸν τοῦ τε ¯ι δηλαδὴ καὶ τοῦ ¯ω μεγάλου. (ῃερς. 293.) Τὸ δὲ ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι καὶ ἑξῆς ἕως τοῦ, ἐπήλυθον ὧραι, φράσις ἐστὶν ἐνιαυσίας ἀνακυκλήσεως. (ῃερς. 294.) Καὶ ὅρα τὸ, ἐπήλυθον ὧραι, αἱ τοῦ δευτέρου δηλαδὴ ἔτους τοῦ ὡς οἷον εἰπεῖν μετὰ τὸν πρῶτον ἀνατέλλοντος, τοιοῦτον γάρ τι τὸ περιτέλλεσθαι. Ἐκ δὲ τοῦ ἐπήλυθον ὧραι αἱ ἐπίβδαι τοῖς Δωριεῦσιν ἐλήφθησαν, αἳ μεθέορτοι εἰσὶν ἡμέραι, ῥηθεῖσα οὕτω παρὰ τὸ ἐπιβαίνειν ταῖς ἑορταῖς ἤγουν ἐπ' αὐταῖς ἔρχεσθαι, τουτέστι μετ' αὐτάς. (ῃερς. 296.) τὸ δὲ Διὸς ἐτελείετο βουλὴ, καθὰ καὶ ἐν Ἰλιάδι, ἀντὶ τοῦ, ἐπληροῦτο τὸ πεπρωμένον. ἔστι δὲ ταυτὸν Διὸς βουλὴν εἰπεῖν καὶ θεοῦ μοῖραν, ὅπερ ἀνωτέρω ἐῤῥέθη ἐν τῷ, θεοῦ κατὰ μοῖρ' ἐπέδησεν. (ῃερς. 297.) Ὅτι ἡ Λήδα ἐξ Αἰτωλῶν ἦν Πλευρωνία, παῖς μὲν Θεστίου, ὡς καὶ ἀλλαχοῦ προεδηλώθη, Τυνδαρέου δὲ κατὰ τὸν ποιητὴν παράκοιτις τοῦ ἐκ Λακεδαίμονος, ἣ δὴ ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε, Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα. τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα, οἳ καὶ νέρθεν γῆς τιμὴν παρὰ Ζηνὸς ἔχοντες, (ῃερς. 302.) ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε τεθνᾶσι. τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι. τούτων δὲ κατὰ τοὺς νεωτέρους Πολυδεύκης μὲν θείου αἵματος λέγεται εἶναι, Κάστωρ δὲ θνητοῦ, τοῦ Τυνδάρεω γάρ. ὃν Ὅμηρος μὲν κοινῶς κλίνει καθὰ δηλοῖ τὸ, Τυνδαρέου παράκοιτιν ὡς Πανδαρέου, καὶ τὸ, ὑπὸ Τυνδαρέω παροξυτόνως λεχθέν. οἱ μέντοι μεθ' Ὅμηρον Ἀττικοὶ Τυνδάρεων προπαροξυτόνως φασὶν, ὡς Μενέλεων. οὕτω δὲ καὶ τὸν Πηνέλεων Ἀττικοὶ μὲν διὰ μακρᾶς ληγούσης προάγουσι καὶ προπαροξυτονοῦσι κατὰ πᾶσαν τὴν κλίσιν. ὁ δὲ ποιητὴς κοινότερον προφέρει, ὡς δηλοῖ καὶ τὸ, Πηνελέοιο ἄνακτος. (ῃερς. 299.) Ἰστέον δὲ ὅτι θρυλοῦνται οἱ ῥηθέντες Διόσκουροι ἐπὶ φιλαδελφίᾳ, καθὰ καὶ οἱ Ἀκτορίωνες, περὶ ὧν ἐν τῇ Ἰλιάδι ἐγράφη, οἳ καὶ Διόσκοροι δίχα τοῦ ¯υ λέγονται, ἀδελφοὶ (ῃερς. 302.) ὄντες Ἑλένης, ἐφ' ὧν τὸ ἑτερήμεροι ζώουσιν, ἀντὶ τοῦ παρημέραν, ὡς μιᾷ μὲν τεθνάναι ἀμφοτέρους, τῇ ἑτέρᾳ δὲ ζῆν. ἡμισεύθη γὰρ τῷ Πολυδεύκει τὸ τῆς ἀθανασίας ἀΐδιον τῷ πρὸς ἡμέραν θανάτῳ, ἐν ᾗ συγκατακρύπτεται τῷ ἀδελφῷ. οὕτω δὲ καὶ τὸ συνεχὲς τοῦ θανάτου τῷ Κάστορι τῇ ἐφ' ἡμέραν ζωῇ ὁπηνίκα συναναβαίνεται τῷ ἀδελφῷ. καὶ ταῦτα παρατεθέντα ἓν παρ' ἓν τὸ ἑτερήμερον αὐτοῖς ἐξήρτυσαν. αἰνίττεται δέ φασιν ὁ μῦθος ταῦτα εἰς τοὺς ἐν οὐρανῷ διδύμους, οἷς οἱ αὐτοὶ λέγονται εἶναι οἱ Διόσκουροι. οἳ γενόμενοι μὲν κατὰ γῆς δοκοῦσιν οἷον τεθνάναι, ἀνατέλλοντες δὲ ζῆν λέγονται. ἕτεροι δὲ οὐ πάνυ πιθανῶς νοοῦντες τὸ ἑτερήμερον ἐπὶ τοῦ, τὸν μὲν, τῇ δὲ ζῆν τῇ ἡμέρᾳ ὡς τοῦ ἑτέρου ἐν νεκροῖς ὄντος, τῇ δὲ ἑτέρᾳ τὸν λοιπὸν ὡς θατέρου τεθνεῶτος εἰς τὰ δύο κατ' οὐρανὸν ἡμισφαίρια τοὺς Διοσκούρους ὑπονοοῦσιν, ὧν θάτερον μὲν ὑπὲρ γῆς ἀεί ἐστι, θάτερον δὲ ὑπὸ γῆν. ὅπερ ἀνατρέπων ὁ παραβάτης φησὶν, ὡς οὐκ ἔχει λόγον εἰρῆσθαι Διοσκούρους παρ' Ὁμήρῳ τὰ δύο ἡμισφαίρια τοῦ παντός. διὰ γὰρ τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνεπαίσθητον τῆς τοῦ φωτισμοῦ φησὶ παραυξήσεως ἐν ἑκάστῃ ἡμέρᾳ οὐδὲ ἐπινοῆσαι ῥᾴδιον πῶς ἔστιν ἑκάτερον αὐτῶν ἑτερήμερον. λέγει δὲ μᾶλλον τοῖς κύκλοις ἐφαρμόζειν τὸ ἑτερήμερον τοῖς τε ἄλλοις καὶ τοῖς τροπικοῖς. καὶ ταῦτα μὲν κατὰ ἀλληγορίαν. ἡ δὲ ἱστορία πολλὰ τοὺς Διοσκούρους σεμνύνει. τὸ δὲ ἐξ ᾠοῦ γενέσθαι αὐτοὺς τῶν νεωτέρων ἔστι πλάσμα, κείμενον καὶ παρὰ Λυκόφρονι. Ὅμηρος δὲ οὐδὲν τοιοῦτον μυθολογεῖ, ἀρκούμενος μετριάζειν ἐν τοῖς τοιούτοις. οὕτω δέ πως καὶ Κλέαρχος αἰδούμενος οἷον ἐπὶ τῷ μυθικῷ τούτῳ λήρῳ εὑρὼν τὰ ὑπερῷα καλούμενα παρὰ τοῖς παλαιοῖς καὶ ᾠὰ εἶπε τὴν Ἑλένην ἐν τοιούτοις οἰκήμασι τραφεῖσαν φήμην πέμψαι πολλοῖς ὡς ἐξ ᾠοῦ εἴη γεγεννημένη. Καὶ Νεοκλῆς μέν φασιν ὁ ἐκ Κρότωνος ἀπὸ σελήνης τὸ τοιοῦτον ἔφη ᾠὸν πεσεῖν. ᾠοτοκεῖν γὰρ τὰς σεληνίτιδας γυναῖκας φησὶ, καὶ τοὺς ἐκεῖ γενομένους πεντεδεκαπλασίους ἡμῶν εἶναι. καὶ οὕτω μὲν αὐτός. ὁ δὲ Ἔριφος, λόγιος δὲ ἦν καὶ αὐτὸς ἀνὴρ, χήνεια ληρεῖ ᾠά τε καὶ Μεγάλα τὴν Λήδαν τεκεῖν, ἐξ ὧν οἱ καὶ ἐν τῇ Ἰλιάδι κείμενοι Διόσκουροι. ὁ δὲ μελοποιὸς Ἴβυκος καὶ τοὺς μολιονίδας ὁμοίως παράγει ἐξ ᾠοῦ, εἰπὼν αὐτοὺς, ἅλικας ἰσοκεφάλους ἑνιγύους ἀμφοτέρους γεγαῶτας ἐν ᾠέῳ ἀργυρέῳ καθὰ καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐγράφη. ἡ δὲ λυρικὴ Σαπφὼ καὶ αὐτὴ στοιχοῦσα τῷ εἰρημένῳ περὶ τῶν Διοσκούρων μύθῳ, ἀλλ' αὐτὴ οὔτε ᾠὸν δυσυλλάβως οὔτε ὤεον διὰ τοῦ ¯ε τρισυλλάβως γράφει, ἀλλὰ στίξασα καὶ οὕτως ἐκφωνήσασα τὸ ¯ι προσγέγραπται ἐν τῷ ᾠὸν, τρισυλλάβως 1.418 προφέρει ἐν τῷ, φασὶ δή ποτε Λήδαν ὤϊον εὑρεῖν. καὶ ἀλλαχοῦ, ὠΐου πολὺ λευκότερον. καὶ οὕτω μὲν ἡ Σαπφώ. Ἐπίχαρμος δέ φασι καὶ αὐτὸς διὰ τοῦ ¯ε λέγει ὤεον ὁμοίως τῷ Ἰβύκῳ, ἐν τῷ, ὤεα χανός. καὶ Σιμωνίδης ἐν τῷ, οἷόν τε χηνὸς ὤεον Μαιανδρίου. Ἀθήναιος δὲ ὁ ταῦτα παραδοὺς καὶ ᾠάριον οἶδε διὰ τεσσάρων, ἤγουν τετρασυλλάβως. ὡς καὶ σταμνάριον τὸ σταμνίον, ἐξ οὗ καὶ Ζεὺς παρὰ τῷ κωμικῷ Στάμνιος, παίζοντι τὰ συνήθη, ἔνθα σταμνίου Διὸς υἱὸν λέγει τὸν Διόνυσον. καὶ ταῦτα μὲν τοιαῦτα. (ῃερς. 297.) ἡ δὲ Λήδα ἴσως ἂν ἀπὸ τοῦ λῄδιον γίνοιτο. ἔστι δὲ λῄδιον Ἀττικῶς, λειόν τι περιβόλαιον οἰκεῖον τοῖς τρυφῶσιν. εἰ δὲ τοῦθ' οὕτως ἔχει, ἔστιν ἀπορῆσαι πῶς μὴ καὶ ἡ Λήδα προσγεγραμμένον ἔχει τὸ ¯ι ἐν τῇ παραληγούσῃ κατὰ τὸ λῄδιον. ὃ διαλυθὲν ἐκ τοῦ λεῖον, εἶτα τρέψαν τὸ προπαραλῆγον ¯ε εἰς ¯η καὶ γενόμενον ὑποκοριστικῶς ἐν τετρασυλλαβίᾳ ληΐδιον, συνηρέθη τῇ προσγραφῇ τοῦ ¯ι εἰς λῄδιον. περὶ οὗ φησὶν Ἀθήναιος, ὅτι περιᾴδονται τὰ Κορίνθια λῄδια. τό δέ γε παρὰ Ἡροδότῳ λήδανον ἀπέοικε τῶν τοιούτων βάρβαρον ὂν, ὡς αὐτὸς ἐκεῖνος ἐπισημαίνεται. (ῃερς. 299.) Περὶ δὲ Διοσκούρων διείληπται μὲν καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα, ῥητέον δὲ καὶ νῦν ὅτι κατ' ἐξαίρετον αὐτοὶ ἔχουσι τὸ ὑφὲν λέγεσθαι συγκειμένως. ἄλλως μέντοι ἐν παραθέσει πολλοὶ ἐλέγοντο τοῦ Διὸς κοῦροι, καθότι καὶ Ἑλένη κούρη Διός. ἔτι δὲ καὶ Ἀφροδίτη. ἱστορία δὲ, ἡ λέγουσα ὅτι Ξενοφῶν ὁ γλυκὺς ἐκεῖνος Ἀττικὸς μέλισσα ἐπωνομάζετο, παραδίδωσι καὶ ὅτι οἱ ἐξ ἐκείνου καὶ Φιλησίας υἱοὶ Γρύλος καὶ Διώδωρος Διόσκουροι ἐπεκαλοῦντο. (ῃερς. 300.) Ἰστέον δὲ ὅτι Τυνδαρίδας εἰπών τις τοὺς Διοσκούρους ἀπορήσοι ἂν εἰκότως διὰ τί μὴ διὰ διφθόγγου ἡ παραλήγουσα γράφεται, ὡς ἀπὸ τοῦ Τυνδάρεως, ἵνα συναιροῖτο ὡς ἐκ τοῦ Τυνδαρεΐδης. καὶ ἔχει μὲν λόγον ἡ ἀπορία. κρατεῖ δὲ ἡ διὰ τοῦ ¯ι γραφὴ ὡς ἀποβληθέντος τοῦ ¯ε πρὸς χρησιμότητα μέτρου δακτυλικοῦ. Ἐξαίρετα δὲ τοῖς Διοσκούροις τῷ μὲν τὸ ἱππόδαμον, τῷ δὲ τὸ πὺξ ἀγαθόν. Ἰστέον δὲ ὅτι τὸ, οὓς ζωοὺς κατέχει φυσίζοος αἶα, ῥηθείη ἂν καλῶς ἐπὶ τῶν καὶ μετὰ θάνατον τιμωμένων. ὁμοίως κατὰ παρῳδίαν καὶ τὸ οἳ καὶ νέρθεν γῆς τιμὴν ἔχοντες ζώουσι, τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι. (ῃερς. 302.) Τὸ δὲ ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι ἄλλοτε δ' αὖτε τεθνᾶσιν, οἰκεῖον ἐπὶ τῶν νῦν μὲν εὐτυχούντων, νῦν δὲ οὔ. Παρήχησιν δέ τινα ἔχει τὸ, (ῃερς. 300.) ζωοὺς κατέχει φυσίζοος αἶα. τίς δὲ ἡ φυσίζοος, ἡ Ἰλιὰς δηλοῖ. (ῃερς. 302.) Ἰστέον δὲ ὅτι τὸ ἄλλοτε μὲν ζώουσιν ἄλλοτε δ' αὖ τεθνᾶσιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιδιόρθωσίς ἐστι τοῦ, οὓς ἄμφω ζωοὺς κατέχει ἡ γῆ. ἐκεῖνο μὲν γὰρ ἁπλοϊκῶς ἐῤῥέθη. πῶς γάρ ἐστιν ἄμφω ζῆν ἁπλῶς τοὺς καὶ θνήσκοντας; τοῦτο δὲ διαρθροῖ τὸν μυθικὸν νοῦν, ὃς βούλεται καὶ ζῆν αὐτοὺς ἑτερημέρους, καὶ αὖ πάλιν θνήσκειν. (ηερς. 303.) Τὸ δὲ λελόγχασι, δηλοῖ μὲν τὸ ἔλαχον, μᾶλλον δὲ ἐξαιρέτως ἔσχον, ἀπὸ τοῦ λέγω. ἐξ οὗ ὁ ἐπίλεκτος καὶ τὸ ἐπιλέγδην ἐπίῤῥημα. καὶ οἱ λογάδες οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ λίθοι. ἔστι δὲ χρόνου ἢ παρακειμένου καθ' ὁμοιότητα τοῦ κέκλοφα καὶ κέκοφα, ἵνα ᾖ λέλοχα καὶ πλεονασμῷ τοῦ ¯ν δι' εὐφωνίαν λέλογχα, ἢ μέσος παρακείμενος λέλογα προσλαβὼν καὶ τὸ ¯χ, ἢ καὶ ἀμφοτέρων μίγμα τοῦ τε λέλογα καὶ τοῦ λέλοχα. οὕτω δὲ μικτόν τι καὶ τὸ ἐνήνοχα καὶ τὰ ἐξ αὐτοῦ σύνθετα. τὸ μὲν γὰρ μικρὸν ¯ο μέσου παρακειμένου ἴδιον, ἐνεργητικοῦ δὲ τὸ σύμφωνον τῆς παραληγούσης. καὶ οὕτω μὲν κοινότερον. Ἡρῳδιανὸς δὲ ἐκ τοῦ λήχω τὸ λαγχάνω παράγων τὸ λέλοχα τροπῇ τοῦ ¯η εἰς ¯ο μικρὸν ὁμοίως τῷ πήθω πέποθα λέγει καὶ πλεονάζειν ἐν αὐτοῖς τὸ ¯ν, ὡς καὶ ἐν τῷ κέχανδα, οἷον, οἶκον κεχανδότα πολλὰ καὶ ἐσθλά. Σημείωσαι δὲ ὅτι τὸ λελόγχασι συστέλλει τὴν παραλήγουσαν, παρὰ τὴν κοινὴν μὲν παρατήρησιν, ἣ μακροπαράληκτα οἶδε τὰ τῶν τοιούτων παρακειμένων τρίτα πρόσωπα, πλὴν ἄλλως, ἀναλόγως τῇ πρὸ αὐτοῦ ὅλῃ κλίσει τοῦ λέλογχα. εἰ δ' ἴσως εὑρεθείη που κατ' ἔκθλιψιν τῆς ληγούσης γραφόμενον, τιμὴν δὲ λελόγχασ' ἶσα θεοῖσι, τότε δὴ καὶ αὐτὸ ἐκτεταμένον ἔσται κατὰ τὸ τετύφασι καὶ πεποιήκασι καὶ τὰ ὅμοια. (ηερς. 297.) Ἰστέον δὲ ὅτι τὸ Λήδη Λῆδα λέγεται κατὰ Ἡρῳδιανὸν Δωρικῶς. Δώρια δέ φησι καὶ ἡ Φιλομήλα καὶ ἡ Ἀνδρομέδα, τροπῇ τοῦ ¯η εἰς ¯α πεποιημένα. καὶ λέγει ἐκεῖνος καί τινα αἰτίαν εἰς τοῦτο, προπερισπῶν τὸ Λῆδα κατὰ τὸ Μοῦσα. ἴσως δὲ Δώριον καὶ ἡ τόλμα, ὃ ἀναλογώτερον τοῦ τόλμη φησὶν Ἡρῳδιανός. (ηερς. 307.) Ὅτι Ἰφιμεδείας καὶ Ἀλωέως υἱοὶ Ὦτοτ' ἀντίθεος, τηλεκλειτός τ' Ἐφιάλτης. οὓς δὴ μηκίστους θρέψαι ζείδωρος ἄρουρα καὶ πολὺ καλλίστους μετά γε κλυτὸν Ὠρίωνα. ἐννέωροι γὰρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι, οἳ καὶ ἀθανάτοισιν ἀπειλείτην ἐν Ὀλύμπῳ φυλόπιδα στήσειν πολυάϊκος πολέμοιο. 1.419 (ηερς. 314.) ἐπεὶ δὲ οὐκ ἦν πιθανῶς βουλευθῆναι τοῦτο ἐκ γῆς γενέσθαι, διενοήσαντο ἵνα ἐξ ἴσου φασὶ μεγέθους πολεμῶσιν, ἀλλοκότους ἀναβάσεις ὡς οἵά τινας κρόσσας πολεμικάς. φησὶ γὰρ ὅτι Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη. Καὶ ὅρα ὡς ἐν τούτοις Ὄλυμπον καὶ τὸ ὄρος ἔφη ἐφ' ᾧ ἤθελον οἱ ῥηθέντες θεῖναι τὴν Ὄσσαν, καὶ τὸν οὐρανὸν δὲ, ἐν τῷ, ἀθανάτοις ἠπείλουν ἐν Ὀλύμπῳ φυλόπιδα στήσειν. ἐνταῦθα γὰρ Ὄλυμπος ὁ οὐρανὸς κατὰ ἀλληγορίαν. διὸ καὶ ἐπήγαγεν· ἵν' οὐρανὸς ἀμβατὸς εἴη. ἄλλως γὰρ εἰ τοῖς ἐν Ὀλύμπῳ τῷ ὄρει θεοῖς πολεμεῖν ἔμελλον ἐκεῖνοι, ἀδιανόητόν ἐστιν Ὄσσαν ἐπὶ Ὀλύμπῳ θεῖναι, αὐτὰρ ἔπ' Ὄσσῃ Πήλιον, καὶ μὴἐν αὐτῷ τῷ Ὀλύμπῳ τῷ ὄρει συμμῖξαι πρὸς μάχην, ἀλλὰ καταμηχανᾶσθαι τῶν ὀρέων εἰκῇ. καὶ ἦν μὲν ἀδύνατον τὸ τῶν παίδων βούλευμα, καὶ αὐτὸ τοῦτο παιδικόν. διὸ καὶ ἀθετοῦνται πρός τινων τὰ τοιαῦτα ἔπη τοῦ Ὁμήρου, εἰ καὶ οἱ λυτικοὶ φασὶν ὅτι μέμασαν οἱ παῖδες ποιῆσαι τὸ ἀδύνατον, οὐ μὴν ἔπραξαν. (ηερς. 316.) ἡ δὲ ποίησις τερατευομένη ἐπὶ πλέον λέγει καὶ ὅτι καὶ νύ κεν ἐξετέλεσσαν εἰ ἥβης μέτρον ἵκοντο. ἀλλ' ὄλεσε Διὸς υἱὸς Ἀπόλλων ἀμφοτέρους πρὶν σφῶϊν ὑπὸ κροτάφοισιν ἰούλους ἀνθῆσαι, πυκάσαι τε γένυν εὐανθέϊ λάχνῃ. ἔστι δὲ ὁ ἐνταῦθα ποιητικὸς νοῦς κατὰ τὸν Πορφύριον λόγος ὑποθετικὸς, ὃς ἀδύνατον ἀδυνάτῳ συμπλέκων τῇ τοῦ ἑνὸς ἀναιρέσει συναναιρεῖ καὶ τὸ ἕτερον. τοιοῦτος δὲ λόγος τὸ, εἰ ἐπετάσθη ὁ δεῖνα, πτέρυγας ἔσχεν. ἀλλὰ μὴν οὐκ ἔσχε πτέρυγας, οὐδ' ἄρα ἐπετάσθη. ὅμοιον γοῦν κἀνταῦθα τὸ, ἐξετέλεσαν ἂν, εἴπερ ἥβης μέτρον ἵκοντο, ἀλλὰ μὴν οὐ δυνατὸν τοὺς θεομαχοῦντας ἡβῆσαι, οὐδ' ἄρα δυνατὸν ἐκτελέσαι αὐτοὺς ὃ ἤθελον. δοκοῦσι δὲ θανάτῳ αἰφνηδὸν ἁρπαγῆναι οἱ τοιοῦτοι, ὁποίοις ὁ Ἀπόλλων ἐπιστατῶν ῥίπτειν τοὺς οὕτω πίπτοντας λέγεται. οἱ μέντοι νεώτεροι φασὶ τὴν Ἄρτεμιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κυνηγετούντων αὐτῶν ἔλαφον μέσον παρεισαγαγεῖν. τοὺς δὲ, ἀφέντας ἐπ' αὐτὴν δόρατα, τοῦ ζῴου μὲν μὴ τυχεῖν, ἀλλήλων δὲ κατευστοχῆσαι εἰς θάνατον. περὶ Νάξον δὲ Πίνδαρος γενέσθαι φησὶ τὰ κατ' αὐτούς. ταχεῖα δὲ μυθολογεῖται ἡ τῶν παίδων τῆς Ἰφιμεδείας εἰς αὔξην τελείωσις, εἰ οὕτω μεγάλα ἐφρόνουν καὶ πρὸ τῆς καθ' ἡλικίαν ἄνθης. καὶ ἴσως ἐντεῦθεν λαβὼν Καλλίμαχος ἔφη περὶ Διὸς τὸ, ταχὺ μὲν ἠέξευ οὐράνιε Ζεὺς καὶ τὰ ἑξῆς. εἰ δὲ ταχὺ ἀνθήσαντες ταχὺ ἀπεῤῥύησαν, καινὸν οὐδέν. οὕτω γὰρ αἱ εἰς ἄκρον εὐεξίαι σφάλλονται. Ἡ δὲ τοῦ μηκίστου καὶ καλλίστου ὑπέρθεσις ἐπὶ τούτων ὡς πρὸς ὁμογενεῖς πάντως ἀνθρώπους ἐῤῥέθη. (ῃερς. 308.) Τιτυὸς γὰρ ἐν τοῖς ἑξῆς ἐπὶ ἐννέα μὲν κεῖσθαι φαίνεται πέλεθρα, οὗ μεῖζον οὐκ ἂν εἴη κατ' ἄνθρωπον μῆκος. ἀλλ' ἐκεῖνος οὐχ' ἁπλῶς ἄνθρωπος ἀλλὰ γηγενής. καὶ ἄλλως δὲ, εἴπερ ἐνναετεῖς ὄντες τοιοῦτοι ἦσαν, τελειωθέντες ὑπερεβάλλοντο ἂν καὶ τὸν ῥηθέντα Τιτυόν. Ὅρα δὲ καὶ ὅτι οὐχ' ἁπλῶς μακροὶ οἱ Ἀλωεῖδαι ἀλλὰ μήκιστοι, οὐδ' ἁπλῶς καλοὶ καὶ κάλλιστοι, ἀλλὰ πολὺ κάλλιστοι. εἰ δὲ αὐτοὶ μετὰ τὸν Ὠρίωνα εἰσὶ τοιοῦτοι, συλλογιστέον τὴν τοῦ κάλλους ὑπερβολὴν τῷ Ὠρίωνι, ἴσως δὲ καὶ τὴν τοῦ μήκους. Ὅτι δὲ καὶ ἀλληγοροῦνται ὁ Ὦτος καὶ ὁ Ἐφιάλτης, καὶ ὅτι καὶ ἀνδρεῖοι ἦσαν, καὶ ὡς ὁμώνυμοι λέξεις ὁ Ὦτος καὶ ὁ Ἐφιάλτης, ἐν τοῖεἰς τὴν Ἰλιάδα δεδήλωται. νῦν δὲ ῥητέον, (ῃερς. 315.) ὡς οἱ ἀμβατὸν θέσθαι τὸν οὐρανὸν μυθευόμενοι ἐθέλειν Ἀλωεῖδαι αἰνίττοιντο ἂν ἢ ὅτι οὐρανολέσχαι ἦσαν, ἢ ὅτι ὑπερήφανοι καὶ ὑψίκομποι, ὡς εἴπερ μὴ ἦσαν ἐκ γῆς ἀλλ' οὐράνιοι. διὸ καὶ οἱ παρὰ τῷ δειπνοσοφιστῇ τῶν Ἀθηναίων κόλακες εἰπόντες ὡς τὴν ἐπ' οὐρανὸν ἀναφέρουσαν ὁδὸν Ἀθηναῖοι οἴδασι μόνοι, τοιοῦτον ἴσως ᾐνίξαντο καὶ αὐτοί. ἔτι προσθετέον καὶ ὡς τὸ ἐκεῖ ῥηθὲν πάθος ἤγουν τὸν Ἐφιάλτην Ἐπιάλτην κατὰ παλαιὰν παρασημείωσιν ὁ Ἀλκαῖοςλέγει. τὸ δ' αὐτὸ πάθος καὶ Ἠπίαλόν τινες ἔλεγον, ἔτι δὲ καὶ Ἠπιόλην, ὡς τὸ Φαινόλην, καθὰ δηλοῖ ὁ εἰπὼν ὅτι Ἠπίαλος οὐ μόνον σημαίνει τὸ ῥιγοπύρετον, ἀλλὰ καὶ δαίμονα τοῖς κοιμωμένοις ἐπερχόμενον ὃν οἱ πλείους Ἠπιόλην φασὶ διὰ τοῦ ¯η. Περὶ δὲ τοῦ πτερωτοῦ ὤτου, ὃν δηλοῦσι καὶ τὰ τῆς Ἰλιάδος, ἱστορεῖ ὁ καλὸς Ἀθήναιος, ὅτι ὄρνεόν ἐστιν ἐν Ἀλεξανδρείᾳ μάλιστα μιμητικὸν ὧν ἂν ἴδῃ ποιοῦντα ἄνθρωπον. διὸ στάντες οἱ κυνηγοὶ κατantικρὺ αὐτῶν ὑπαλείφονταί τινι φαρμάκῳ τοὺς ὀφθαλμοὺς, παρασκευάσαντες ἄλλα φάρμακα κολλητικὰ βλεφάρων ἐν λεκανίσκαις, καὶ παραθέντες. καὶ οἱ ὦτοι θεώμενοι ὑπαλείφονται καὶ αὐτοὶ ἐκ τῶν λεκανιδίων ἀναλαβόντες, καὶ οὕτω ταχέως ἁλίσκονται. λέγονται δὲ οἱ τοιοῦτοι ὦτοι καὶ τὴν τροφὴν αὐτῶν ἀναμαρυκᾶσθαι, ἥδεσθαί τε ἵππῳ καὶ θηρᾶσθαι εἴ τις δορὰν ἵππων περιθεῖτο. προσίασι γὰρ αὐτῷ. ἱστορεῖ δὲ καὶ Ἀριστοτέλης μιμητὴν ἀνθρώπων εἶναι ὦτον κατὰ πάντα, διὸ καὶ ἀντορχούμενος ἁλίσκεται. ὅθεν οἱ ῥᾳον ὑπὸ τοῦ τυχόντος ἐξαπατώμενοι ὦτοι 1.4 ἐλέγοντο. προσφυέστερον δ' ἂν ὦτοι καλοῖντο οἱ ἐκ μόνης ἀκοῆς ἀπεριέργως καὶ ἀνεξετάστως ἀπάτην πάσχοντες. (ῃερς. 308.) Τὸ δὲ θρέψε ζείδωρος ἄρουρα πρὸς διαστολὴν ἴσως κεῖται τοῦ Τιτυοῦ, ὃν οὐ μόνον ἔθρεψεν, ἀλλὰ καὶ ἔτεκεν ἡ γῆ. καὶ ὅμως ἔστι καὶ τούτους γαιηΐους λέγειν οὐ μόνον διὰ τὸ ὑπὸ γῆς θρεφθῆναι, ἀλλὰ καὶ διὰ τὸ μήκιστον. ἐπεὶ καὶ δοκοῦσιν οἱ μεγαλοσώματοι γῆς εἶναι. διὸ καὶ βουγάϊος τῇ γῇ παρωνόμασται, ὡς καὶ οἱ Γίγαντες. ἄλλως δὲ εἰκὸς καὶ τούτους Ποσειδῶνος ὄντας μηκίστους εἶναι κατὰ τὸν Πολύφημον καὶ τὸν Ἱλάωνα τοὺς προῤῥηθέντας. (ῃερς. 310.) Ἐν δὲ τῷ ἐννεαπήχεες εὖρος, μῆκος δὲ ἐνεόργυιοι, ἐπαινοῦσιν οἱ παλαιοὶ τὸ δαιμόνιον τῆς ἐν συμμετρίᾳ σωματικῆς ἀκριβείας. ἀνάλογον γάρ φασι σῶμα, οὗ τὸ πλάτος τρίτον τοῦ μήκους, ὡς καὶ ἐνταῦθα ἑκάστης ὀργυίας ἀνὰ τριῶν πήχεων οὔσης τὸ ἐννεάπηχυ εὖρος τρίτον ἐστὶ τοῦ ἐννεαοργυίου μήκους. (ῃερς. 312.) Τὸ δὲ ἀπειλήτην ἢ καύχημα ἢ σφοδρότητα λόγου δηλοῖ. διττὴ δὲ ἡ γραφὴ τῆς παραληγούσης τοῦ ἀπειλείτην. διὰ διφθόγγου μὲν, ὡς ἀπὸ παρατατικοῦ τοῦ ἠπείλεον, διὰ τοῦ ¯η δὲ, ὡς ἀπὸ τοῦ ἠπειλησάτην κατὰ συγκοπήν. (ῃερς. 313.) Ὅρα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ καὶ τὸ φύλοπις ὡς μάχης ἐστὶν ἐπίθετον, καθὰ δηλοῖ τὸ, φυλόπιδα στήσειν πολέμοιο, ὥστε ὅτε ἡ φύλοπις μόνη που κεῖται, λείπει ἐκεῖ τὸ, πολέμου, ἢ τοιοῦτόν τι. Τὸ δὲ στήσειν ὅμοιον τῷ ἤγειρε μάχην, κειμένην ὡσανεὶ τὰ πρὸ τούτου καὶ ἡσυχάζουσαν. ἐντεῦθεν δὲ λαβόντες οἱ μεθ' Ὅμηρον, συστήσασθαι φασὶ πόλεμον, καὶ πολεμικὴν ἐπισύστασιν, καὶ στάσιν δὲ μάχιμον, καὶ ὅσα τοιαῦτα. (ῃερς. 315.) Ὄσσα δὲ καὶ Πήλιον, ὄρη Θετταλικὰ ἐγγίζοντα τῷ Ὀλύμπῳ, ὄρει Μακεδονικῷ. εἰσὶ δὲ καὶ ἐν Πελοποννήσῳ ὁμώνυμα ὄρη, καθὰ καὶ ἐν τοῖς τοῦ περιηγητοῦ δεδήλωται. Εἰνοσίφυλλον δὲ, τί ἐστι καὶ πῶς παράγεται, προδεδήλωται. (ῃερς. 318.) τὸν δὲ καιρὸν τῆς ἥβης ὑποδηλῶν ὁ ποιητὴς ἔφη τὸ, πρὶν σφῶϊν ὑπὸ κροτάφοισιν ἰούλους ἀνθῆσαι, τότε γάρ τις καὶ ἡβᾷ ὅτε ἀπὸ κροτάφου ἡ τρίχωσις ἀρξαμένη ἐπισχερὼ ἐς γένυν ἕρπει κατὰ τὸν εἰπόντα. Περὶ δὲ κροτάφων ἱκανῶς ἐν τοῖς εἰς τὴν Ἰλιάδα ἐγράφη. Ἴουλοι δέ, φασιν, αἱ κατὰ τῶν γεννείων πρῶται τρίχες, λεγόμενοι οὕτως, ἐπεί περ οἱ τούτους ἔχοντες ἵενται ἤδη ἐπὶ τὸ ὅλον, ἤγουν τὸ τέλειον ὡς ἐξανδρούμενοι. ἀπὸ δὲ τούτων καθ' ὁμοιότητα ἔοικε λέγεσθαι πολύπουν ζωΰφιον ὁ ἴουλος. (ῃερς. 319.) τοὺς δὲ ἀνθοῦντας τούτους ἰούλους καὶ λάχνην εὐανθέα καλεῖ φιλοτιμούμενος τῷ διαφόρῳ τῆς φράσεως. καὶ ἔστι ταυτὸν, κροτάφοις ἰούλους ἀνθεῖν, καὶ γένυν πεπυκάσθαι ὅ ἐστιν ἐσκεπάσθαι εὐανθέϊ λάχνῃ. (ῃερς. 3.) ὃ πρὸς διαστολὴν εἴρηται λάχνης ἑτεροίας, ὁποία καὶ ἡ παρὰ τῷ Θερσίτῃ ψεδνή. Ὅτι Φαίδρα Μίνωος ἦν θυγάτηρ, γυνὴ Θησέως, ἣ ἐρῶσα τοῦ σώφρονος Ἱππολύτου καὶ ἐκπεσοῦσα οὗ ἤθελεν αὐτή τε ἀπήγξατο καὶ ἐκεῖνον διαβαλοῦσα τῷ ὑπὸ κόλπου γράμματι, φθαρῆναι καταραθέντα πρὸς τοῦ πατρὸς πεποίηκε, καθὰ καὶ Εὐριπίδης ἱστορεῖ. Ὅτι Κέφαλος ὁ Δηϊονέως, περὶ οὗ καὶ ἐν τῇ Βοιωτίᾳ ἐγράφη, γήμας Πρόκριν τὴν Ἐρεχθέως καὶ θέλων ἀποπειράσασθαι εἰ σωφρονοίη, ἀπεδήμησεν ἐξ αὐτοῦ τοῦ νυμφῶνος. μετὰ δὲ χρόνον συσκιάσας ἑαυτὸν ἑτεροίῳ σχήματι ἔρχεται εἰς τὴν οἰκίαν, καὶ κόσμον χρυσοῦν εἰς πειθὼ προβαλόμενος πείθει τὴν Πρόκριν μιγῆναι αὐτῷ. καὶ πεισθείσης ἐκφαίνει ὁ Κέφαλος ἑαυτὸν, καὶ αἰτιᾶται μὲν ἐκείνην ὡς μὴ ἑαυτῆς ἐγκρατῆ, ὅμως δὲ καταλλάττεται. τὸ δ' ἐντεῦθεν ἐξιόντα τὸν ἄνδρα συχνάκις ἐπὶ θήραν ὑποπτεύει ἐκείνη καὶ καλέσασα τὸν συνεπακτῆρα ἐρωτᾷ τί ποιεῖ ὁ Κέφαλος συχνάκις ἀποδημῶν. ὁ δὲ ἔφη ὡς ἐπί τινος κορυφῆς ὄρους ἐκεῖνος ἱστάμενος βοᾷ ὦ νεφέλη, παραγενοῦ, καὶ ἡ Πρόκρις ὑπονοήσασα τὸ τῆς νεφέλης ὄνομα μή ποτε λανθάνῃ κύριον ὂν ἀπελθοῦσα ἐκεῖ κρύπτεται. καὶ τοῦ Κεφάλου ἀναβοωμένου τὸ σύνηθες ἔξεισιν αὐτὴ καὶ τρέχει εἰς αὐτόν. ὁ δὲ τῷ ἀδοκήτῳ διαταραχθεὶς βάλλει αὐτὴν τῷ μετὰ χεῖρας ἀκοντίῳ καὶ κτείνει. Ἰστέον δὲ ὅτι τε περιᾴδεται ἐπ' ἀνδρίᾳ καὶ ἡ Πρόκρις αὕτη καθὰ καί τις Ἀργαθώνη καὶ ἑτέρα Ῥοδογοὺ, ἢ καὶ ἄλλη Ἀταλάντη, καὶ ὅτι παροιμία ἐξ αὐτῆς φέρεται τὸ, Πρόκριδος ἄκοντα, ἐπὶ τῶν εὐστόχως ἀκοντιζόντων καὶ μὴ ἀποτυγχανόντων. καὶ ὅτι ἀπὸ τοῦ προκεκρίσθαι ἡ τοιαύτη Πρόκρις ἐτυμολογεῖσθαι δοκεῖ. εὕρηται δὲ καὶ Πρόκνις διὰ τοῦ ¯ν ἐν ῥητορικῷ λεξικῷ θηλυκὸν ὄνομα. αὐτὸ δὲ γένος ἰσχάδων δηλοῖ. (ῃερς. 3.) Ὅτι Ἀνδρόγεων τὸν Μίνωος υἱὸν ἀπερχόμενον Κρήτηθεν Ἀθήναζε κατὰ καιροὺς ἀγώνωνκαὶ νικῶντα τὸ πένταθλον ἀνεῖλον Ἀθηναῖοι φθόνῳ. κακωθέντες δὲ κοινῇ ἐκ θεομηνίας διὰ τὸ τοῦ φόνου ἄδικον ἠναγκάσθησαν χρησμῷ στέλλειν εἰς Κρήτην ὅσα ἔτη ἑπτὰ ἠϊθέους καὶ παρθένους ἑπτὰ τοὺς κλήρῳ λαχόντας, βορὰν Μινωταύρῳ ἐσομένους. ὃν Πασιφάη μὲν ἔτεκε ταύρῳ μιγεῖσα τέχναις Δαιδάλου, 1.421 λαβύρινθος δὲ σπήλαιον ἐκεῖνο ὑπόγεων Κρητικὸν πολυέλικτον εἶχεν ἐνδιαιτώμενον. χρόνῳ δέ ποτε Θησεὺς ἀνδρωθεὶς ἐπιῤῥίπτει ἑκὼν ἑαυτὸν τῷ τοῦ Μινωταύρου δασμῷ ἐπὶ καλῷ τῆς πατρίδος. ὡς οὖν συνέπλευσεν εἰς Κρήτην, ἔτυχέ πως ἔρωτα παθεῖν τὴν καλὴν Ἀριάδνην κούρην Μίνωος ὀλοόφρονος. καὶ τοίνυν αὐτὴ τρόπον ὑποτίθεται τῷ Θησεῖ δι' οὗ καὶ τοῦ θηρίου περιγενήσεται καὶ τὸν τοῖς ἄλλοις ἀδιεξόδευτον λαβύρινθον διεκφεύξεται. καὶ ὑποθεμένου Δαιδάλου δίδωσι τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐρωμένῳ ἀγαθίδα μίτου τὴν καὶ ἐν Ἰλιάδι λεχθεῖσαν, ἐφ' ᾧ εἰσελθόντα τὸ σπήλαιον ἐκδῆσαι τοῦ τῆς θύρας ζυγοῦ. καὶ ἀνελίσσοντα ἰέναι μέχρι καὶ εἰς τὸν τοῦ λαβυρίνθου μυχόν. καὶ εἰ περιέσται τοῦ κακοῦ, ὀπίσω ἐπανελίσσοντα ἐξελθεῖν. ὡς δὲ ἐπράχθη πάντα κατὰ νοῦν τῷ Θησεῖ, λαβὼν τὴν Ἀριάδνην καὶ τοὺς σὺν αὐτῷ Ἀττικοὺς ἠϊθέους καὶ τὰς παρθένους, ἀποπλεῖ μέσης νυκτός. καὶ προσορμισθεὶς τῇ Δίᾳ, νῆσος δὲ αὕτη πρὸ τῆς Κρήτης ἱερὰ Διονύσου (ηερς. 324.) ἣ καὶ Νάξος ἐκλήθη, ὁμιλεῖ τῇ Ἀριάδνῃ. ἐπιστᾶσα δὲ Ἀθηνᾶ κελεύει, αὐτὴν ἐάσαντα πλεῖν εἰς Ἀθήνας. ὁ δὲ ἀναστὰς ποιεῖ οὕτω. Διόνυσος δὲ καταμαρτυρήσας τῆς γυναικὸς ἀσέβειαν ἐπεὶ ἐν τῷ αὐτῆς ἱερῷ ἐγνώσθη τῷ Θησεῖ, ἐποίησεν ἀναιρεθῆναι αὐτήν. ἔοικε δὲ ἡ γυνὴ αἰφνιδίῳ θανάτῳ ἀπαχθῆναι τοῦ ζῆν. οὐ γὰρ ἂν οὕτω ῥαδίως ὁ καλὸς Θησεὺς περιεῖδε τὴν εὐεργέτιν. καὶ δηλοῖ τὸ τοῦ θανάτου ἀνεπαίσθητον ἡ ἐπιστατοῦσα τοῖς τοιούτοις Ἄρτεμις. φησὶ γὰρ ὁ ποιητὴς συντομώτατα ἱστορῶν οὕτως· ἥν ποτε Θησεὺς ἐκ Κρήτης ἐς γουνὸν Ἀθηνάων ἱεράων ἦγε μὲν οὐδ' ἀπόνητο. (ηερς. 323.) πάρος δέ μιν Ἄρτεμις ἔκτα, ἢ ἔσχε, τουτέστιν ἐπέσχε θανάτῳ, τοῦ ἀπεπλεῦσαι, Δίῃ ἐν ἀμφιρύτῃ, Διονύσου μαρτυρίῃσιν, ἤγουν καταμαρτυρίαις κατηγορίαις. (ηερς. 324.) οἱ μέντοι νεώτεροι φασὶ τὸν Διόνυσον ἐπιστάντα μετὰ τὸν Θησέως ἀπόπλουν δοῦναι αὐτῇ στέφανον χρυσοῦν, καὶ μιγέντα παραμυθήσασθαι. τὴν δὲ Ἄρτεμιν ἀνελεῖν αὐτὴν ὡς προδοῦσαν τὴν παρθενίαν. ὕστερον δὲ ἐν τοῖς ἄστροις τεθῆναι αὐτήν τε καὶ τὸν ῥηθέντα στέφανον καὶ τὸν αὐτῇ ἀκολουθοῦντα κύνα. (ηερς. 321.) Ἰστέον δὲ ὅτι λαβύρινθος οὐ μόνον περὶ Κρήτην, ἀλλὰ καὶ ἐν ἑτέροις τόποις, καθὰ καὶ περὶ Ναυπλίαν οἱ τῶν ἐκεῖσε Κυκλώπων τῶν καὶ ἐγχειρογαστόρων οἰκοδομητοὶ καὶ αὐτοί. περὶ ὧν ἐδηλώθη καὶ ἀλλαχοῦ. Δῆλον δὲ ὅτι καὶ ὁ λαβύρινθος εἶδός τι κοιλίας ὑπογαίου ἢ καὶ ὑπονόμου. ἡ μέντοι γοργύρα ἢ καὶ Ἰωνικῶς γοργύρη ἄλλο τι παντελῶς παρὰ ταῦτα, ὑπόνομος μὲν καὶ αὐτὴ οὖσα, βορβορώδης δέ γε. Ὁ δὲ Μίνως ἐκτείνει τὴν ἄρχουσαν. ὀλοόφρων δὲ ὁ τοιοῦτος. τοῖς κακούργοις δηλαδή. ἐξεκάθηρε γὰρ ληστῶν τὴν θάλασσαν, οἳ καὶ φεύγοντες τοῦτον ἐκάλουν κρησφύγετα τὰς καταγωγὰς τῆς ἐκ τοῦ τοιούτου κρητὸς φυγῆς αὐτῶν. Τὸ δὲ πρὸς τοὺς κακοὺς ἀδυσώπητον αὐτοῦ δηλοῖ καὶ ἡ τοῦ Νίσου Σκύλλα. ἣν προδοῦσαν αὐτῷ τὸν πατέρα ἐκεῖνος ἀνεῖλεν, ὡς ἐν τοῖς τοῦ περιηγητοῦ γέγραπται. (ηερς. 322.) Ὅρα δὲ καὶ ὅτι εἰ καὶ κραναὴ κατὰ τὴν ἱστορίαν ἡ Ἀττική, ἀλλ' ὁ ποιητὴς γουνὸν Ἀθηνάων λέγει, σεμνύνων αὐτὴν ὡς γόνιμον, ἀφ' ἧς αἱ τῶν καρπῶν πανταχοῦ διαδόσεις, ὡς δηλοῖ τὰ κατὰ Κελεὸν καὶ Τριπτόλεμον. Καλεῖ δὲ καὶ ἱερὰς τὰς Ἀθήνας διὰ τὰς ἐκεῖ πολλὰς τελετάς. (ηερς. 323.) Τὸ δὲ οὐδ' ἀπόνητο, σύνηθες τοῖς παλαιοῖς, καθὰ καὶ τὸ ὀνήμενος. τὸ γὰρ ἀπώνατο καὶ ἀπονάμενος οἱ μεθ' Ὅμηρον λέγουσιν. (ηερς. 324.) Ἡ δὲ ῥηθεῖσα νῆσος Δῖα ἱερὰ Διονύσου γενέσθαι λέγεται. περὶ δὲ τοῦ ῥηθέντος Δαιδάλου καὶ ὡς ἄριστος ἦν ἀνδριαντοποιὸς, ἔτι δὲ καὶ περὶ Μινωταύρου δεδήλωται καὶ ἀλλαχοῦ. (ηερς. 325.) Ὅτι Μαῖρα Προίτου καὶ Ἀντείας θυγάτηρ βασιλέων Ἄργους, καλὴ τὸ εἶδος, παρθενίαν ἑλομένη, συνῆν Ἀρτέμιδι, ἐπεὶ δὲ συνῆλθε Διϊ, ἐξ ὧν Λοκρὸς ὁ τὰς Θήβας συνοικίσας Ζήθῳ καὶ Ἀμφίονι, τοξεύεται ὑπ' Ἀρτέμιδος. ἕτεροι δὲ παρθένον φασὶ τὴν Μαῖραν ἀποθανεῖν. Ὅτι Κλυμένη θυγάτηρ Ἴφιος ἢ Μινύου, ὑπὸ Φυλάκῳ τῷ Δηϊονέως Ἴφικλοτίκτει παῖδα ποδώκη τὸν οὐ πρὸ πολλῶν γραφέντα. ὃν φασὶ διὰ τὴν τῶν ποδῶν ἀρετὴν καὶ ἀνέμοις ἁμιλλᾶσθαι, καὶ ἐπ' ἄκρων ἀνθερίκων θέειν καὶ μὴ κατακλᾶν αὐτούς. Ἡσίοδος δέ φησι προμιγῆναι αὐτὴν Ἡλίῳ καὶ τεκεῖν Φαέθοντα. Ὅτι μάντις ἄριστος καὶ Ἀμφιάραος υἱὸς Ὀϊκλέος, ὃς γήμας Ἐριφύλγυναῖκα οὐ μόνον καλὴν, ἀλλὰ καὶ ὡς εἰκὸς συνετὴν, θυγατέρα Ταλαοῦ ἀδελφοῦ Ἀδράστου, καὶ διενεχθείς ποτε πρὸς Ἄδραστον, εἶτα διαλυθεὶς, συνέθετο, ὑπὲρ ὧν ἂν εἰς τὸ μέλλον διαφέρωνται αὐτοὶ, κρίνειν αἱρετῶς τὴν Ἐριφύλην αὐτοῖς. καὶ αὐτοὺς στοιχεῖν τοῖς κριθεῖσι. τῆς οὖν ἐπὶ Θήβας στρατείας προκειμένης, Ἀμφιάραος μὲν ἐκώλυεν εἰδὼς τὸ ἐσόμενον, Ἄδραστος δὲ ἤθελε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μάχην. Ἐριφύλη δὲ δώροις προληφθεῖσα, τάδε ἦν ὅρμος χρύσεος, δοθεὶς αὐτῇ παρὰ Πολυνείκους ἢ Ἀδράστου, καὶ αἱρεθεῖσα 1.422 εἰς κρίσιν, ἔκρινε δεῖν εἶναι στρατεύσασθαι τοὺς Ἀργείους. καὶ ὁ Ἀμφιάραος πολλὰ τὴν γυναῖκα μεμψάμενος ἐξώρμησεν ὅμως καὶ αὐτὸς εἰς πόλεμον. τῷ δέ γε υἱῷ Ἀλκμαίωνι, ὃν Πίνδαρος Ἀλκμᾶνα καλεῖ, ἐπέταξεν ὁπότ' ἂν ἡβήσῃ, μὴ πρότερον μετὰ τῶν ἐπιγόνων εἰς Θήβας ἐλθεῖν, πρινὴ κτεῖναι τὴν μητέρα, ὃ καὶ ποιήσας ὁ Ἀλκμαίων ἐτιμωρήθη μὲν παρὰ Ἐριννύων, καθὰ καὶ Ὀρέστης, ἀπελύθη δὲαὖθις, οἷα τιμωρήσας πατρί. διὸ στυγερὰν τὴν Ἐριφύλην ὁ ποιητὴς καλεῖ. (ῃερς. 326.) ἣ χρυσόν φησι φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα, ἤγουν ἐδωροδοκήθη κατὰ τοῦ ἀνδρὸς, ἢ καὶ ἄλλως χρυσὸν ἔλαβεν ἀντὶ τοῦ ἀνδρὸς ὡς οἷον ἀπεμπολήσασα ἐκεῖνον ὅρμου χρυσοῦ. Τιμήεις δὲ πολλαχοῦ λέγεται ὁ χρυσὸς διὰ τὸ ὑπερέχειν τῶν λοιπῶν ὑλῶν. (ῃερς. 327.) Ὅτι σχῆμα παραλείψεως τὸ, πάσας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω ὅσσας ἡρώων ἀλόχους ἴδον ἠδὲ θύγατρας. λέγει δὲ ὁ ποιητὴς τοῦτο ἐμφαίνων, ὡς, πολλὰ ἔχων εἰπεῖν παρέδραμεν. εἰ δὲ ταύτας νῦν οὐκ ἔχει ὀνομῆναι Ὅμηρος διὰ τοῦ σοφοῦ Ὀδυσσέως, συγγνωστέος ἂν εἴη καὶ ἐν Ἰλιάδι, μὴ ἔχων τὴν τῶν Ἀχαιῶν ὀνομῆναι πληθύν. δῆλον δὲὅτι ἐκεῖθεν ὁ στίχος οὗτος παρείλκυσται. παρῳδία δὲ τοῦ ῥηθέντος στίχου καὶ ἐν τοῖς ἑξῆς τὸ, πάντας δ' ἐγὼν οὐκ ἂν μυθήσομαι οὐδ' ὀνομήνω. (ῃερς. 327.) ἔστι δὲ μυθήσασθαι μὲν τὸ ἄλλως ἀφηγήσασθαι, ὀνομῆναι δὲ τὸ πρὸς μόνον εἰπεῖν ὄνομα. Ἰστέον δὲ καὶ ὅτι καὶ ἐφεξῆς ἐν τῷ περὶ τῶν ἡρώων λόγῳ σχήματι ὁμοίῳ χρήσεται, εἰπὼν, ὡς ἴδον ἂν καὶ ἄλλους οὓς ἤθελον, οἷον καὶ Θησέα καὶ Πειρίθοον, εἰ μή τι δέος ἐκώλυεν, ὑποδηλῶν κἀνταῦθα οἵαν μὲν ἐξεῦρεν εὐπορίαν γραφῆς ἔκ τε τῶν ἡρωΐδων ἔκ τε τῶν ἡρώων, ὅπως δὲ αὐτὴν παρεᾷ διὰ τὸ τῆς ἱστορίας μὴ καίριον, ἔτι δὲ καὶ διὰ τὴν ἄκαιρον μακρολογίαν. πρὶν γάρ κεν καὶ νύξ φησι (ῃερς. 329.) φθεῖσθαι ἄμβροτος, ἤγουν οὐκ ἂν διὰ πάσης νυκτὸς περατωθείη ὁ περὶ τούτων λόγος. Τὸ δὲ φθεῖται οὐκ εὔδηλον εἴτε διὰ διφθόγγου, ὡς ἀπὸ τοῦ φθέω φθῶ, εἴτε διὰ τοῦ ¯ι ὡς ἐκ τοῦ φθίω. πλεονάζει δὲ ἡ διὰ διφθόγγου γραφὴ, ὡς ἀπὸ τοῦ ῥηθέντος φθῶ. οὗ περ οὐ μόνον τὸ φθείρω παράγωγον, ὡς τοῦ φθῶ τὸ φθείρω, ἀλλὰ καὶ τὸ φθίνω, ὁμοίως τῷ κλῶ κλίνω. Ὅτι παροιμιῶδες τὸ, ἀλλὰ καὶ ὥρη εὕδειν, νυκτὸς δηλαδὴ οὔσης, ὥσπερ αὖ πάλιν ἡμέρας ἐρεῖ τις τὸ, ἀλλὰ καὶ ὥρη ἔργου. Ἰστέον ὅτι πρὸς τὸ, ἀλλὰ καὶ ὥρη εὕδειν, προϊὼν ὁ Ἀλκίνοος ἐρεῖ τὸ, οὐδέ πω ὥρη εὕδειν ἐν μεγάρῳ. Ἔνθα καὶ ὅρα τὸ εὕδειν ἐν μεγάρῳ. εἰ γὰρ καὶ ὥρα εὕδειν, ἀλλ' οὐ τοῖς ἐν μεγάρῳ ἔχουσιν ἄδειαν ἀναπαύσεως. ἄλλως δὲ εἰπεῖν, Ὀδυσσεὺς μὲν λέγει τὸ, ἀλλὰ καὶ ὥρη εὕδειν, ὡς τῆς νυκτὸς ἤδη φθινούσης, ὁ δὲ Ἀλκίνοος φησὶν οὐδέπω εἶναι ὥραν εὕδειν διὰ τὸ τὴν νύκτα μάλα εἶναι μακράν. (ῃερς. 332.) Ὅτι θαυμάσαντες οἱ τῶν Φαιάκων ἄριστοι τὸν σοφὸν Ὀδυσσέα ἐφ' οἷς εἶπε, πάντες ἀκὴν ἐγένοντο σιωπῇ, (ῃερς. 333.) κηληθμῷ δ' ἔσχοντο, τουτέστι κάτοχοι ἐγένοντο εὐφροσύνῃ πολλῇ. ἐπίτασις γὰρ ἡδονῆς ὁ κηληθμός. διὸ καὶ ὁ Πλούταρχος ἐν συμποσιακοῖς ὡς διάφορά τινα λέγει τὴν εὐφροσύνην καὶ τὴν κήλησιν. Ἐκ δὲ τοῦ κηλεῖν καὶ αἱ παρὰ τῷ Πινδάρῳ κηληδόνες παράγονται, ὧν Ἀθήναιος μέμνηται, ὡς θελγουσῶν οὐδὲν ἔλαττον ἤπερ αἱ τοῦ μύθου Σειρῆνες. ἀναλογίας δέ ἐστιν ὁ κηληθμὸς τῆς κατὰ τὸν ὀρχηθμὸν καὶ βρυχηθμὸν καὶ τὰ τοιαῦτα. Ἰστέον δὲ δὲ ὅτι ἐκ τοῦ κηλεῖν καὶ γλωσσοκηλόμπης κωμικώτερον παρὰ τοῖς παλαιοῖς ὁ γλώσσῃ κηλῶν καὶ κόμποις. δόξοι δ' ἂν καὶ ὁ κήλων ἐκ τοῦ αὐτοῦ γίνεσθαι ῥήματος. ἴσως δὲ καὶ κήλη ἐξ ἀντιφράσεως. (ῃερς. 335.) Ὅτι ἐναβρυνομένη τῷ πρόσφυγι ῥήτορι Ἀρήτη ἡ βασίλεια ἐρωτᾷ τοὺς ἀκροατὰς αὐτοῦ Φαίακας, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔΐσας; ἅπερ ἔπαινός ἐστιν ἀνδρὸς ἀγαθοῦ. εἶτα ἐπάγει ταῦτα. (ῃερς. 337.) ξεῖνος δ' αὖτ' ἐμός ἐστιν, ἕκαστος δ' ἔμμορε τιμῆς, δύο ταῦτα προβαλλομένη πρὸς τὸ μὴ μετριολογεῖσθαί φασιν, ἤγουν σμικρολογεῖσθαι ἐπὶ τῷ Ὀδυσσεῖ τοὺς Φαίακας τὸ (ῃερς. 338.) αὐτῆς τε ξεῖνον εἶναι τὸν Ὀδυσσέα τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεγάλης Ἀρήτης.καὶ τὸ, ἕκαστον τῶν ἀκροατῶν τιμῆς μοῖραν ἔχειν ἔν τε ἄλλοις καὶ ἐπὶ τῷ πλουτεῖν. διὸ φησί· μὴ ἐπειγόμενοι ἀποπέμπετε, τουτέστι μὴ κατεπείγετε ὑμεῖς τὸν πλοῦν, εἰ καὶ αὐτὸς ἐθέλοι ὀτρύνεσθαι ὑμᾶς ἅμα ἠοῖ φαινομένῃ εἰς πομπὴν, ἐφ' οἷς προκαλουμένη τε εἰς ξενίαν καὶ ἑρμηνεύουσα ὅτι τὸ, ἕκαστος ἔμμορε τιμῆς, διὰ τὸν παρ' ἑκάστῳ πλοῦτον λέγει, φησί· μὴ δὲ τὰ δῶρα οὕτω χρηΐζοντι κολούετε. πολλὰ γὰρ ὑμῖν κτήματα (ηερς. 340.) ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται, ὡς κειμήλια δηλαδή. Καὶ ὅρα ὅπως εὐτύχησεν Ὀδυσσεὺς πρώτην ἱκετεύσας τὴν δέσποιναν. (ηερς. 339.) Τὸ δὲ μὴ οὕτω κολούετε, ἀντὶ τοῦ, μὴ διὰ τὸ ἐπείγεσθαι κολοβοῦτε τῷ ξείνῳ τὴν δόσιν πολλὰ ἔχοντες. (ηερς. 340.) Τὸ δὲ θεῶν 1.423 ἰότητι, θεόσδοτον ἀποτίθεσθαι πλοῦτον παραινεῖ καὶ μὴ ἑτεροῖον. (ηερς. 343.) Ὅτι Ἀρήτης εἰπού1.423 σης περὶ Ὀδυσσέως τὰ προσεχῶς εἰρημένα ὁ γέρων ἥρως Ἐχένηος, ὃς καὶ νῦν Φαιάκων προγενέστερος λέγεται, προμαρτυρηθεὶς καὶ συνετὸς εἶναι καὶ λόγιος, ἐπαινεῖ τοὺς βασιλικοὺς λόγους, καὶ πεισθῆναι συμβουλεύει αὐτοῖς, εἰπών· ὦ φίλοι οὐ μὰν ἧμιν ἄπο σκοποῦ οὐδ' ἄπο δόξης μυθεῖται βασίλεια περίφρων, ἀλλὰ πίθεσθε. Ἔστι δὲ τὸ μὲν οὐκ ἄπο σκοποῦ ἢ ἀντὶ τοῦ, εὔστοχα ἐκ μεταφορᾶς τῶν εὖ τοξευόντων κατὰ σκοποῦ, ἢ ἀντὶ τοῦ, οὐ πόῤῥω τοῦ ἡμετέρου ἤθους. φιλόξενοι γὰρ ἐσμέν. Τὸ δὲ οὐδ' ἄπο δόξης ἀντὶ τοῦ οὐ μακρὰν ὧν περὶ αὐτῶν δοξάζομεν, ὑπολαμβάνοντες ὅτι δηλαδὴ εὖ περὶ τοὺς ξένους διάκειται. (ηερς. 343.) σεμνύνων δὲ ὡς ἐχρῆν ὁ αὐτὸς γέρων καὶ τὸν βασιλέα καὶ προκαλούμενος αὐτὸν κατάρξαι τοῦ ἐπιδοῦναι ἐπάγει· Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε ἔπος τε, ἤγουν αὐτὸς κατάρχει τοῖς ἄλλοις τῶν τε ἔργων τῶν τε λόγων. ἔπαινος δὲ καὶ τοῦτο ἐνδόξου ἀνδρός. (ηερς. 347.) εἶτα ὁ βασιλεὺς συγκατατιθέμενος τῷ τοῦ γέροντος λόγῳ, προσχὼν δὲ καὶ τῇ γυναικὶ ἐφ' οἷς εἶπε μὴ ἐπειγομένους ἀποπέμπειν τὸν ξένον μηδὲ κολοβοῦν οὕτω τὰ δῶρα φησὶ, τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος αἴ κεν ἔγωγε ζωὸς ἀνάσσω, ἤγουν ἀεὶ ἐμὴ ἔσται (ηερς. 348.) ἡ ἐν ἔργοις καὶ λόγοις ἐνταῦθα ἰσχύς. ξεῖνος δὲ τλήτω ἐπιμεῖναι εἰσαύριον ἕως πᾶσαν δωτίνην τελέσω. (ηερς. 352.) πομπὴ δ' ἄνδρεσσι μελήσει πᾶσι, μάλιστα δ' ἐμοί. τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμῳ. ὃ παρῴδηται ἀπὸ τοῦ, μῦθος δ' ἄνδρεσσι μελήσει πᾶσι, μάλιστα δ' ἐμοί. τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ. ἔτι δὲ καὶ ἄλλοθεν ἐκ τοῦ, πόλεμος δ' ἄνδρεσσι μελήσει καὶ ἑξῆς, (ηερς. 348.) Ὅρα δὲ τὸ, ζωὸς ἀνάσσω, πρὸς διαστολὴν τοῦ τε μετὰ θάνατον περιᾳδομένου ἐν βασιλείᾳ, καὶ τοῦ διὰ τῶν διαδόχων ἀνάσσοντος. (ηερς. 351.) Τὸ δὲ πᾶσαν δωτίνην τελέσω, διέσταλται πρὸς τὸ τὰ δῶρα κολούειν. ἐπεὶ καὶ ἀντίκειται τὸ κολοβὸν καὶ τὸ ἐντελές. (ηερς. 352.) Τὸ δὲ, τοῦ γὰρ κράτος ἔστιν ἐνὶ δήμῳ, ἑρμηνεία τίς ἐστι καὶ παράφρασις τοῦ, ἐξ Ἀλκινόου ἔχεσθαι ἔργον τε ἔπος τε. (ηερς. 343.) Σημείωσαι δὲ ὅτι καὶ ἐν τῷ, οὐ μὰν ἧμιν ἄπο σκοποῦ, συστολὴ γέγονε τῆς ληγούσης τοῦ ἡμῖν καὶ τοῦ τόνου ἀναδρομή. (ηερς. 354.) Ὅτι Ἀλκινόου εἰπόντος ὡς ὁ ξένος τλήτω ἐπιμεῖναι ἐσαύριον διὰ τὸ ἐντελὲς τῆς δωτίνης, λέγει Ὀδυσσεὺς ὑπούλως καὶ κερδαλέως· Ἀλκίνοε, εἴ με καὶ εἰς ἐνιαυτὸν ἀνώγοιτε αὐτόθι μίμνειν, πομπὴν δ' ὀτρύνοιτε καὶ ἀγλαὰ δῶρα διδοῖτε, καί κε τὸ βουλοίμην καί κεν πολὺ κέρδιον εἴη, πλειοτέρῃ σὺν χειρὶ φίλην ἐς πατρίδ' ἱκέσθαι, καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴην πᾶσι, τοῖς ἐκεῖ δηλαδή. (ηερς. 360.) ὃ δὴ ἔπαινος πλούτου ἐστίν, ὡς τῶν πλουσίων καὶ φιλουμένων τοῖς πλείοσι καὶ δι' αἰδοῦς ἀγομένων. καὶ οὕτω μὲν Ὀδυσσεύς. (ηερς. 362.) ἐπεὶ δὲ οὐκ ἔδει ταῦτα εἰπεῖν τὸν κατεπείγοντα τὴν πομπὴν, ὑπωπτεύθη γὰρ ἂν, ὡς εἰκὸς, ψευδὴς εἶναι καὶ κερδαλέος, ἀπάγων Ἀλκίνοος ἑαυτοῦ τὴν τοιαύτην κατὰ Ὀδυσσέως δόξαν ἐπαίνους εἰς αὐτὸν λαλεῖ ἐπί τε ἀληθείᾳ καὶ ἁπλότητι καὶ λογιότητι, εἰπών· ὦ Ὀδυσσεῦ, τὸ μὲν οὔ τί σ' ἐΐσκομεν εἰσορόωντες ἠεροπῆά τε εἶναι καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους, ψεύδεά τε ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο, σοὶ δ' ἔνι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί. μῦθον δ' ὡς ὅτ' ἀοιδὸς, ἐπισταμένως καταλέξας (ηερς.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

368.) εἶτα ἑρμηνεύων τὸν τοιοῦτον μῦθον φησί· πάντων Ἀργείων σέο τ' αὐτοῦ κήδεα λυγρά. (ῃερς. 367.) Καὶ ὅρα κἀνταῦθα τὴν τοῦ λέγειν ἐπιστήμην τοῖς ἀοιδοῖς ἀνατίθησιν Ὅμηρος, ὧν εἷς καὶ αὐτός. (ῃερς. 355.) Τὸ δὲ εἰς ἐνιαυτὸν πρὸς τὸ ἐσαύριον ἐῤῥέθη, λέγοντος ἀστείως τοῦ Ὀδυσσέως, ὡς οὐ μόνον εἰσαύριον μενῶ εἰ κερδαίνω, ἀλλὰ καὶ εἰς ἐνιαυτόν. (ῃερς. 358.) Πλειοτέρα δὲ χεὶρ, ἡ γέμουσα καὶ μὴ ὑπόκενος, ἀλλὰ πεπληρωμένη. (ῃερς. 359.) Τὸ δὲ αἰδοιότερον εἶναι τὸν πλουτοῦντα συμφωνεῖ τῷ τοῦ Ἡσιόδου· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ. (ῃερς. 363.) Ἐπίκλοπος δὲ μύθων κατὰ τοὺς παλαιοὺς, ὁ παραλογιστικὸς, ἢ ὁ τῶν ἀλλοτρίων ἐπιθυμητικός. κλέπτου γὰρ καὶ ἄμφω ταῦτα ἴδια. Τὸ δὲ οἷά τε πολλοὺς βόσκει γῆ, δύναταί ποτε μὴ κωλύοντος τοῦ μέτρου κοινότερον φράζεσθαι καὶ οἵους πολλοὺς βόσκει. (ῃερς. 365.) Καλῶς δὲ τὸ βόσκει, ὡς τῶν τοιούτων ἀνδρῶν ἀλογίστως ζώντων κατά τινα βοσκήματα, οἷς οἰκεῖον καὶ τὸ πολυσπερέας, ὡς δηλοῖ καὶ Ὀππιανὸς εἰπών· πολυσπερέας φάλαγγας νεπόδων. (ῃερς. 365.) Τὸ δὲ ἀρτύνειν ψεύδεα, ὅθεν ἄν τις οὐδὲ ἴδοιτο, τὴν μυθικὴν τεχνικὴν δηλοῖ πιθανότητα, καθ' ἣν περιαγόμενός τις οὐκ ἂν ἔχοι συνιδεῖν, εἰ μῦθος ἐστὶ τὸ λεγόμενον. δῆλον γὰρ ὅτι ἀρετὴ μύθου ἡ κατὰ εὐπλαστίαν πιθανότης καὶ τὸ ἐκεῖθεν τῆς ἀληθείας εἰκόνισμα, ὡς δηλοῖ καὶ τὸ, ψεύδεα 1.424 πολλὰ λέγειν ἐτύμοις ὁμοῖα, ὥστε δοκεῖν τὸν ποιητὴν καθηγήσασθαι καὶ τοῦ κατὰ τὸν μῦθον ὁρισμοῦ τοῖς ὕστερον κατὰ τὸ εἰδέναι πλάττειν πιθανῶς τὰ ψεύδη, ὡς εἶναι αὐτὰ ἐτύμοις ὁμοῖα, ὅ πέρ ἐστι καὶ μύθου ἔργον, ὃς λόγος ἔστι ψευδὴς ἀληθείας ἔχων ἔμφασιν. οὕτω καὶ ποιητὴς ἕτερος τὴν γνώμην πρὸ τῶν ὑστέρων ῥητόρων ὁρίζεται ἐν τῷ, εἶπε πρός με βαιὰ ἀεὶ δ' ὑμνούμενα. ὃ προθεωρήσας ἐκεῖνος ἐπάγει γνωμικὸν τὸ, γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. εἰ γάρ ἐστι γνώμη παραίνεσις κεφαλαιώδης καθολικὴ, δῆλον ὡς καὶ ἐκεῖνος οὕτω πως τὴν γνώμην ὁρίζεται. τὸ γὰρ καλὸν ἡ σιγὴ ταῖς γυναιξὶ, βαιός ἐστι παραινετικὸς λόγος, ἤτοι κεφαλαιώδης καὶ σύντομος. ὁ δ' αὐτὸς καὶ καθολικὸς διὰ τὸ ἀεὶ ὑμνεῖσθαι. αἰώνια γάρ πως τὰ ἀληθῆ γνωμολογήματα. Ἰστέον δὲ ὅτι εἰ καὶ μὴ νῦν ἴσως δοκεῖ λέγειν ὁ Ὀδυσσεὺς ψεύδεα, ὅθεν ἄν τις οὐδὲ ἴδοιτο, ἀλλ' ὅτε εἰς Ἰθάκην παραγένηται, πολλὰ τοιαῦτα λαλεῖ. ὅθεν καὶ τὰ πολλὰ τῆς ποιήσεως ὕποπτα τίθησι. (ῃερς. 366.) Τὸ δὲ μορφὴ ἐπέων καὶ φρένες ἐσθλαὶ δηλοῖ δύνασθαι μὲν τὸν Ὀδυσσέα μορφάζειν τὰ ψευδῆ καὶ οὕτως εἰκονίζειν ἀλήθειαν, μὴ ἂν δὲ ποιεῖν τοῦτο εἰκῇ καὶ ἁπλῶς διὰ τὰς ἐσθλὰς φρένας, κατὰ τὸ ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί. Τὸ δὲ ἔπι μὲν μορφὴ ἐπέων γράφεται καὶ ἔνι μὲν μορφὴ ἐπέων ὅ ἐστι κάλλος ἢ πιθανότης. (ῃερς. 368.) Τὸ δὲ πάντων Ἀργείων ἢ παρέλκον ἔχει τὸ πάντων ἢ ἁπλοϊκῶς αὐτὸ λέγει ὁ βασιλεὺς, ὡς καὶ ἐν τῷ, ἀέθλων πειρηθῶμεν πάντων. οὔτε γὰρ ἐκεῖ πάντων ἀέθλων πεῖρα γίνεται, οὔτε ἐνταῦθα πάντων Ἀργείων νόστος κατελέχθη. (ῃερς. 367.) Σημείωσαι δὲ ὅτι ἁπλοϊκώτερον ὁ βασιλεὺς ἔφη τὸν Ὀδυσσέα ἐπιστημόνως εἰπεῖν ἃ κατέλεξεν. εἰ γὰρ κατὰ τὸν μῦθον ἐκτετόπισται, οὐκ οἶδεν ἄρα. μὴ εἰδὼς δὲ, οὐκ εὖ κρίνει τὸν Ὀδυσσέα λαλεῖν. εἰ δὲ πρὸς ἀκρίβειαν λαλεῖ καὶ εἰδὼς λέγει ὃ λέγει, οὐκ ἄρα που οἰκεῖ ἔκτοπος. (ῃερς. 372.) Ὅτι ἐθέλων ὁ ποιητὴς δηλῶσαι τὴν ὥραν ὅτε τὰ νῦν ποιούμενα γίνεται, καὶ ὅτι φθινόπωρον ἦν ἢ καὶ περαιτέρω τοιαύτης ὥρας, φησί· νὺξ ἥδε μάλα μακρὴ ἀθέσφατος. Ἀλκίνοος δὲ τοῦτο φησὶ λέγων καὶ ὅτι οὐδέπω ὥρη εὕδειν ἐν μεγάρῳ καθὰ καὶ πρὸ ὀλίγων ἐγράφη. (ῃερς. 373.) εἶτα ἐνδεικνύμενος, ὅπως χαίρει τοῦ σοφοῦ Ὀδυσσέως ἀκούων, ἐπάγει· σὺ δέ μοι λέγε θέσκελα ἔργα. καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην ὅτε μοι σὺ τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυθήσασθαι, ἤτοι τὰ τῶν σῶν ἑτάρων. κοινὰ γὰρ τὰ τῶν φίλων. οὐ γὰρ τὰ ἑαυτοῦ νῦν ἐρεῖ Ὀδυσσεὺς, ἀλλ' ὡς ὁ βασιλεὺς ἀπήτησε τὰ τῶν ἀντιθέων ἑτάρων, οἳ ἅμα αὐτῷ εἰς Ἴλιον ἑπόμενοι ἔθανον. διὸ καὶ Ὀδυσσεὺς οὕτως ἑρμηνεύων ἐρεῖ· (ῃερς. 378.) Ἀλκίνοε, ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου, τουτέστιν, ἡ παροῦσα νὺξ ἐξαρκεῖ καὶ εἰς τὸ πολλὰ εἰπεῖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ εἰς τὸ ἱκανῶς ὑπνῶσαι. μάλιστα δὲ γνωμικώτερον, ἔστι μὲν καιρὸς καὶ τοῦ λαλεῖν πολλὰ, οἷον ὁ ἐν ἡμέρᾳ, ἔστι δὲ καιρὸς καὶ τοῦ ὑπνοῦν, ὡς ἄρτι ὁ τῆς νυκτός. (ῃερς. 379.) εἰ δὲ ἀκουέμεναί γε λιλαίεαι, ὅ ἐστιν εἰ δὲ ἀκούειν ἐπιθυμεῖς, οὐκ ἂν ἔπειτα τούτων σοι φθονέοιμι καὶ οἰκτρότερ' ἄλλ' ἀγορεύειν (ῃερς. 381.) κήδεα ἐμῶν ἑτάρων, ὥστε τὰ τῶν φίλων ἄρτι λαλήσει ὁ Ὀδυσσεὺς, Ἀγαμέμνονος, Ἀχιλλέως, καί τινων ἑτέρων, πρός γε τὸ παρὸν,ὡς ἐζήτησεν ὁ βασιλεύς. προϊὼν δὲ καὶ ἀλλοῖά τινα εὐμεθόδως ἐκθήσεται καταποικίλλων οὕτω τοὺς λόγους. εἶτα ἑρμηνεύων ποίων ἑτάρων κήδεα ἐρεῖ, φησίν· οἳ δὴ μετόπισθεν ὄλοντο, τουτέστιν ὕστερον, ὡς δηλοῖ καὶ τὸ, οἳ Τρώων μὲν ὑπεξέφυγον στονόεσσαν ἀϋτὴν, ἐν νόστῳ δ' ἀπόλοντο κακῆς ἰότητι γυναικός. (ῃερς. 372.) Ἰστέον δὲ ὅτι τε τὸ μάλα καὶ τὸ ἀθέσφατος εἰς διασάφησιν κεῖνται τοῦ τῆς νυκτὸς μήκους, καὶ ὅτι καθὰ νῦν ὁ βασιλεὺς καὶ ἐς ἠῶ ἀνασχέσθαι λέγει τοῦ Ὀδυσσέως μυθουμένου, οὕτω που καὶ ἐν τοῖς ἑξῆς ἡ Πηνελόπη ἐρεῖ· ὡς εἴ μοι ἐθέλεις ξεῖνε παρήμενος ἐν μεγάροις τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη. Ἔτι ἰστέον ὅτι τε Ὁμηρικῷ ζήλῳ λέγει τις παρὰ Ἀθηναίῳ τὸὥρη δ' ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ παύεσθαι, ᾧ σύγκειται καὶ τὸ ἡνίκ' ἐχρῆν δύνειν, τότ' ἄρχεσθαι ἡδύνεσθαι, ῥηθὲν ἐπὶ γηραιῷ τρυφητῇ. (ῃερς. 380.) καὶ ὅτι Ὁμήρου εἰπόντος οἰκτρὰ κήδεα, ἐντεῦθεν ἐπορίσατο Φιλόξενος νοῦν ἀστεῖον ὅτε τοῦ τυράννου Διονυσίου τραγῳδίαν οἰκείαν ἀναγινώσκοντος ὑπὸ ἀκροατῇ Φιλοξένῳ μετὰ τὸ ἐπανακληθῆναι τῶν λατομιῶν καὶ ἐρωτήσαντος τὸν Φιλόξενον τί δή ποτέ οἱ δοκεῖ περὶ αὐτῆς καὶ ὁποῖά τις ἂν εἴη, ψέγειν μὲν οὐκ ἔχων τὴν τοῦ τυράννου γραφὴν, ἐπαινεῖν δὲ μὴ ἐθέλων οἰκτρὰ εἶπε. καὶ οὕτω τὸν Διονύσιον ἐσοφίσατο, νοήσαντα ὡς οἰκτηρὰ ἡ τραγῳδία ἐστὶν, ὅ πέρ ἐστιν ἀρετὴ λόγου τραγῳδικοῦ. τὸ δ' ἦν ἄλλως ὑπὸ Φιλοξένου λεχθὲν, ὅτι μοχθηρὰ καὶ οἴκτου ἀξία ἦν ᾧ λόγῳ καὶ οἰκτρὸν ἀνδράποδον λέγομεν. (ῃερς. 382.) Στονόεσσα δὲ ἀϋτὴ, ἡ μάχη πρὸς 1.425 διαστολὴν ἑτέρας τινὸς μὴ τοιαύτης. (ῃερς. 383.) Κακῆς δὲ ἰότητα γυναικὸς λέγει ἢ τὴν τῆς ἀρχεκάκου Ἑλένης, δι' ἣν τὰ μεγάλα κακὰ, ἧς ἀπώλοντο εἵνεκα πολλοὶ, ἢ τὴν τῆς Κλυταιμνήστρας ὅσον ἐπὶ τῷ ἀνδρὶ καὶ τοῖς κατ' αὐτόν. ἣν καὶ ἔξοχα λυγρὰ εἰδέναι μετ' ὀλίγα ἐρεῖ Ὀδυσσεὺς, καὶ δόλον ἀρτύσαι τῷ ἀνδρὶ τηλόθ' ἐόντι. ἑρμηνεύων γοῦν μετ' ὀλίγα τὴν γυναικείαν ταύτην ἰότητα ἐρεῖ τὸν τοῦ Ἀτρέως γόον μισηθῆναι ὑπὸ Διὸς γυναικείας διὰ βουλὰς ἐξ ἀρχῆς. Ἑλένης μὲν γὰρ ἀπωλόμεθα εἵνεκα πολλοὶ, τῷ δὲ Ἀγαμέμνονι δόλον ἤρτυεν ἡ γυνὴ τηλόθ' ἐόντι. τινὲς δὲ κακὴν γυναῖκα νῦν τὴν Κασάνδραν φασί. τοῦτο μέντοι οὐ καλῶς. οὐδὲν γὰρ ἡ Κασάνδρα τῷ τῶν Ἀχαιῶν ὀλέθρῳ συνήνεγκεν, ἀλλὰ τοῦ παντὸς κακοῦ αἴτιος ὁ φθείρας αὐτὴν Λοκρός. εἰ δέ γε τὸ, κακῆς ἰότητι γυναικὸς νοηθείη ἀντὶ τοῦ τῆς κακοθείσης Κασάνδρας κατὰ τοὺς παλαιοὺς, ἔχοι ἂν καὶ τοῦτο λόγον. ἡ γὰρ κατὰ τῆς γυναικὸς βουλὴ τοῦ Λοκροῦ πολλοὺς ἐν νόστῳ ἀπώλεσε. διὸ κακὴ λέγοιτ' ἂν καὶ αὐτὴ θυμικώτερον διὰ τὸ ἕνεκα αὐτῆς φαῦλον ἀποτέλεσμα. εἰκὸς δὲ καὶ ἄλλως αὐτὴν κακὴν λέγεσθαι πρὸς τοῦ Ὀδυσσέως, οἷα μισουμένην διὰ τὸ ὑπὲρ Τροίας καὶ τοῦ κατὰ δουρείου ἵππου ταύτης μάντευμα. (ῃερς. 385.) Ὅτι ἁγνὴν Περσεφόνην λέγει, ὡς ἁγνισμοῦ δεομένων τῶν θνησκόντων κατὰ τὸ, πυρὶ καθήγνισται δέμας. Σοφοκλῆς δὲ ἄλλως λαβὼν ἐντεῦθεν δυσκάθαρτον Ἅιδου λιμένα φησί. τινὰ δὲ τῶν ἀντιγράφων αἰνὴ Περσεφόνη γράφουσιν. (ῃερς. 390.) Ὅτι θρηνῶδες τὸ, κλαῖε δ' ὅγε λιγέως θαλερὸν κατὰ δάκρυον εἴβων, (ῃερς. 391.) πιτνὰς, ὅ ἐστι προσπίπτων, εἰς ἐμὲ χεῖρας ὀρέξασθαι μενεαίνων. λέγει δὲ ὀρέξασθαι καὶ νῦν τὸ ἐκτεῖναι. (ῃερς. 392.) Ὅτι τὸ, οὐ γάρ οἱ ἔτι ἦν ἲς ἔμπεδος οὐδέτι κίκυς οἵηπερ πάρος ἔσκεν ἐνὶ γαμπτοῖσι μέλεσσιν, ἐῤῥέθη μὲν περὶ Ἀγαμέμνονος, ἁρμόσει δέ ποτε ῥηθῆναι καὶ περί τινος ἰσχανθέντος ἢ νόσῳ ἢ γήρᾳ. λέγει δὲ ἶνα μὲν τὴν ἐκ τῶν νεύρων ἰσχὺν, ὡς καὶ προεδηλώθη, ἢ καὶ νεῦρά τινα, κίκυν δὲ τὴν τοῦ κίειν ὅ ἐστι πορευέσθαι δύναμιν. ἔστι δὲ τὸ, οὐ γάρ οἱ ἔτι ἦν ἲς, ἀκόλουθον τῷ, οὐ γὰρ ἔτι σάρκας καὶ ὀστέα ἶνες ἔχουσι. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραπέφρασται ἐκεῖθεν γοργῶς. ὅτι δὲ καὶ ποταμός τις ἦν καλούμενος Ἶς, ἔστι καὶ ἐκ τοῦ Λυκόφρονος ἀναλέξασθαι. (ῃερς. 396.) Ὅτι Ὀδυσσεὺς μὲν ἐκ τῶνκαθ' ἑαυτὸν στοχαζόμενος ὅμοια παθεῖν τὸν Ἀγαμέμνονα ἐρωτᾷ ἐκεῖνον ἐν Ἅιδου, τίς κὴρ αὐτὸν ἐδάμασε θανάτου; καὶ ἢ Ποσειδῶν ἐδάμασε πλέοντα ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον πνοὴν, ὃ καὶ αὐτὸς ἔπαθεν, ἢ ἀνάρσιοι αὐτὸν ἄνδρες ἐδηλήσαντο ἐπὶ χέρσου, (ῃερς. 399.) βοῦς περιταμνόμενον, ἤγουν πέριξ τῆς ἀλλοτρίας γῆς τέμνοντα, καὶ οἰῶν πώεα καλὰ, (ῃερς. 401.) ἢ περὶ πόλεως μαχόμενον καὶ γυναικῶν, (ῃερς. 402.) ὁποῖα δή τινα ἐποίησεν Ὀδυσσεὺς καὶ ἔπαθε περὶ τὴν τῶν Κικόνων γῆν. καὶ τοιαῦτα μὲν ὁ Ὀδυσσεὺς, (ῃερς. 399.) ἐν οἷς ἀμέγερτος ἐῤῥέθη πνοὴ ἡ πολλὴ καὶ ἄφθονος ἢ ἄζηλος καὶ ἀφθόνητος. (ῃερς. 605.) ὁ δὲ Ἀγαμέμνων ὡς ἐν ἠθοποιΐας λόγῳ ἀποφήσας μή τε περὶ θάλασσαν παθεῖν τι δεινὸν μήτε περὶ χέρσον ἐπάγει ὅτι Αἴγισθος αὐτῷ τεύξας θάνατόν τε μόρον τε ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ οἶκονδε καλέσσας, δειπνίσσας, καθὰ καὶ προεγράφη, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ, ὣς θάνον φησὶν οἰκτίστῳ θανάτῳ. περὶ δ' ἄλλοι ἑταῖροι νωλεμέως κτείνοντο, σύες ὣς ἀργιόδοντες, οἳ δὴ ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο ἢ γάμῳ ἢ ἐράνῳ ἢ (ῃερς. 414.) εἰλαπίνῃ τεθαλυίῃ, κτείνονται δηλαδή. (ῃερς. 415.) εἶτα σαφηνίζων τὸ τοῦ πάθους τραγῳδικὸν καὶ οἴκτιστον ἐπιφέρει· ἤδη μὲν πολέων φόνῳ ἀνδρῶν ἀντεβόλησας (ῃερς. 416.) μουνὰξ κτεινομένων ἤγουν καταμόνας ἐν μονομαχίᾳ καὶ αὖ πάλιν ἐνὶ κρατερῇ ὑσμίνῃ, ἤγουν τῇ ὁμιλαδὸν μάχῃ. ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῷ, ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας κείμεθ' ἐνὶ μεγάρῳ. δάπεδον δ' ἅπαν (ῃερς. 419.) αἵματι θῦεν, ἤγουν, ὡς καὶ ἐν ἄλλοις ἐῤῥέθη, ἐθύετο καὶ περιεῤῥεῖτο αἵματι, ἢ φαντασίαν εἶχε τοῦ θύειν ὅ ἐστιν ὁρμᾶν καὶ κινεῖσθαι διὰ τὸ ἐπ' αὐτοῦ ῥέον αἷμα. (ῃερς. 4.) ἐφ' οἷς ἐπάγων καὶ τὰ οἰκτρότερα φησίν· οἰκτροτάτην δ' ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς Κασσάνδρης, ἣν κτεῖνε Κλυταιμνήστρα δολόμητις ἀμφ' ἐμοί. αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων βάλλον ἀποθνήσκων περὶ φασγάνῳ. ἡ δὲ κυνῶπις νοσφίσατο, οὐ δέ μοι ἔτλη ἰόντι περ εἰς Ἀΐδαο χερσὶ κατ' (ῃερς. 425.) ὀφθαλμοὺς ἑλέειν ἤγουν καθελεῖν καὶ συγκλεῖσαι, σύν τε στόμα ἐρεῖσαι, ὅ ἐστιν ἁρμόσαι χάριν εὐπρεπείας ὡς μὴ διαχάσκειν. (ῃερς. 426.) εἶτα διακόπτων τὸ τῆς φράσεως ἀφηγηματικὸν καὶ ὕπτιον ἐπάγει γνωμικόν· ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς, ἥτις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται. (ῃερς. 428.) καὶ οὕτω γνωματεύσας εὐθὺς, οὐ γὰρ ἔδει πλείω φιλοσοφεῖν 1.426 ἐν λόγῳ πενθίμῳ, γίνεται τῶν ἐφεξῆς, καὶ φησίν· οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικὲς, κουριδίῳ τεύξασα πόσει φόνον. ἤτοι ἔφην γε ἀσπάσιος τοῖς ἐμοῖς οἴκαδ' ἐλεύσεσθαι. ἡ δ' ἔξοχα λυγρὰ εἰδυῖα ἑαυτῇ τε κατ' αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω θηλυτέρῃσι γυναιξὶ, καὶ ἣ ἂν εὐεργὸς ἔῃσι, τουτέστιν ἀγαθή. (ῃερς. 413.) ἀληθῶς γὰρ ἐκ τῆς Κλυταιμνήστρας καὶ τῶν κατ' αὐτὴν αἱ γυναῖκες ἅπασαι σκώπτονται. οἴδασι γὰρ καὶ ἐκ τῶν ἅπαξ ποτὲ γενομένων οἱ ῥήτορες ὥσπερ ἐπαίνους οὕτω καὶ ψόγων τόπους πορίζεσθαι. καὶ τοιαύτη μὲν ἡ κατὰ τὸν Ἀγαμέμνονα ἠθοποιΐα, ὃς ἐρεῖ καί τινα ἕτερα ἐν τοῖς ἐφεξῆς. (ῃερς. 4.) Ἰστέον δὲ ὅτι σεμνῶς ἔφη ὡς βοῦν ἐπὶ φάτνῃ τὸν βασιλέα φονευθῆναι, ὃν ἐν ἄλλοις καὶ βοΐ ταύρῳ εἴκασεν ἐκπρεπεστάτῳ ἐν ἀγέλῃ. τοὺς μέντοι ἑταίρους οὐκ ἐσέμνυνε μὲν, οἰκτρῶς δὲ θανεῖν ἔφη κατὰ σύας. ἔχει δὲ οἶκτον πρὸς τῷ σεμνῷ, καὶ εἰ μὴ ἐργαζομένῳ βοΐ ὁ βασιλεὺς παραβάλλεται οὐδὲ μαχομένῳ πρὸς ἀντίπαλον οὐδ' ἄλλο τι ποιοῦντι γενναίου βοὸς ἄξιον, ἀλλὰ πρὸς τῇ φάτνῃ ἀναγκαίως ὄντι καὶ κρύφα πεσόντι, μὴ καὶ αἰσθόμενος ἀμύνηται τοὺς φονευτάς. Τὸ δὲ περὶ βοὸς τοῦτο ῥητὸν ἐχρησίμευσεν ὕστερον εἰς ἀστειότητα ἣν ἱστορεῖ Ἀθήναιος. μεθυσθεὶς γάρ τις ὑπὸ ψάλτου κακοῦ καὶ πεσὼν εἰς βαρὺν ὕπνον, εἶτα ἔξοινος γεγονὼς, καὶ ἐρωτηθείς τί πάθοι, ἔφη ὡς ὁ ἐπίβουλος καὶ ἐναγὴς ψάλτης ὡς βοῦν ἐπὶ φάτνῃ δειπνίσας ἀπέκτεινέ με. Ἐνταῦθα δὲ ὅρα καὶ ὅτι φθάσας ἐν δυσὶ στίχοις γοργῶς διηγήσασθαι τὸν τοῦ βασιλέως θάνατον ἐν τῷ δηλῶσαι, ὡς Αἴγισθος αὐτὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ, νῦν καὶ ἐν τοῖς ἑξῆς αὐξάνει καὶ πλατύνει τὸ ἁπλῶς ἤδη καὶ συντόμως διηγηθέν. (ῃερς. 414.) περὶ δὲ γάμου καὶ ἐράνου καὶ εἰλαπίνης ἱκανῶς προείρηται, ἔνθα καὶ παρεσημάνθη καὶ ὡς ὁ ἐνταῦθα ἔρανος οὐκ ἐκ ταπεινῆς εἶναι φαίνεται συμβολῆς ἀλλὰ πολυτελής ἐστιν ὡς ὑπὸ ἀφνειοῦ τινὸς γεγονώς. (ῃερς. 418.) Κρητῆρα δὲ ἑνικῶς διὰ τὸ μέτρον ἔφη, οὐ γὰρ ἐνεδέχετο κρητῆρας εἰπεῖν. ἄλλως γὰρ οὐκ εἰκὸς ἐν τοσαύταις τραπέζαις κρητῆρα ἕνα εἶναι. καὶ ὅμως τῷ ἑνικῷ ἐμφαίνεται τὸ πλῆθος εἰδικώτερον. Ἐνταῦθα δὲ σημείωσαι τὸ τοῦ παλαιοῦ, ὃς εἰπὼν ἐπιθυμίαν εἶναι μέθης τοῖς δυνάσταις διό φησι ποιεῖ Ὅμηρος τὸν Ἀχιλλέα λοιδορούμενον τῷ βασιλεῖ, οἰνοβαρὲς κυνὸς ὄμμα τ' ἔχων, λέγει καὶ ὡς ἐφ' ὁμοίοις ὁ ποιητὴς καὶ τὸν ἐκείνου θάνατον ἀποσημαίνει ἐν τῷ, ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας ἐκείμεθα. καὶ ἔστι γελοῖον καὶ ἐν Ἅιδου τοιούτων μεμνῆσθαι τὸ τοῦ βασιλέως εἴδωλον, ὡς οἷον ἐν οἴκτῳ μεμνημένου τῆς ὑπὲρ γῆν τρυφῆς. Τράπεζαι δὲ πλήθουσαι καθ' ὁμοιότητά τε ποταμοῦ πλήθοντος, καὶ πρὸς διαστολὴν δὲ τῶν κενῶν, ὡς τὸ, κεναῖς δ' ἀμφίσταμαι τραπέζαις. ἡ δὲ Ἰλιὰς καὶ σελήνην οἶδε πλήθουσαν. ὅθεν τοῖς ὕστερον συντέθειται τὸ πλησισέληνον, ὅπερ ἄλλοι μετέλαβον εἰς τὸ πλησιφαές. (ῃερς. 418.) Ὅρα δ' ἐν τοῖς ῥηθεῖσι καὶ ὅτι δάπεδον καὶ νῦν ἴσως τὸ τοῦ μεγάρου ἔδαφος εἶπεν, ἔνθα καὶ αἱ τράπεζαι καὶ οἱ κρατῆρες. (ῃερς. 422.) Τὸ δὲ ἔκτεινεν ἀμφ' ἐμοὶ, ἢ ἀντὶ τοῦ δι' ἐμὲ ἀνεῖλε τὴν Κασάνδραν, ἢ ἀντὶ τοῦ ἐπ' ἐμοὶ, τουτέστιν ἐπάνω ἐμοῦ ὡς οἷα ἐπί τινος ἐπιξήνου, ὅ ἐστιν ἐπικόρμου, ὁποῖόν τι καὶ ἐν Ἰλιάδι γίνεται. (ῃερς. 4.) Τὸ δὲ αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων βάλλον καὶ ἑξῆς, καὶ πρὸ αὐτῶν δὲ τὸ, οἰκτροτάτην ἤκουσα ὄπα Κασάνδρης, ἀμφιβόλως ἔχουσι. τὸ μὲν γὰρ οἰκτροτάτην ἤκουσα ὄπα Κασάνδρας ἣν κτεῖνε Κλυταιμνήστρα ἀμφ' ἐμοὶ, διττὴν ἔννοιαν προβέβληται. ἢ γὰρ οἰκτράν φησιν ἤκουσα φωνὴν τῆς Πριαμίδος ἐπ' ἐμοὶ, ὡς ἐῤῥέθη, ἢ οἰκτροτάτην περὶ τῆς Πριάμου ἤκουσα φωνὴν διὰ τὸ ὡς εἰκὸς ὑπὸ Κλυταιμνήστρας ὀνειδίζεσθαι αὐτὴν ἀμφ' ἐμοί. καὶ τοῦτο μὲν οὕτω διπλοῦν κατὰ ἔννοιαν, ἐπίτηδές ποτε καὶ τοιαῦτα τεχνωμένου τοῦ ποιητοῦ χάριν ποικιλίας κατὰ λόγον δεινότητος. ὅμοια δὲ καὶ τὰ ἐφεξῆς, ἤγουν τὸ, αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων ἔβαλλον ἀποθνήσκων περὶ φασγάνῳ, ἡ δὲ κυνῶπις νοσφίσατο. (ῃερς. 422.) ἢ γὰρ λέγει ὅτι ἐγὼ μὲν πρὸς τῇ γῇ θνήσκων ἐπέβαλλον χεῖρας αἴρων πρὸς τῷ φασγάνῳ ὡς ἐπὶ ἀμύνῃ, ἡ δὲ Κλυταιμνήστρα φθάσασα ἐστέρησέ με τοῦ ἀμυντηρίου, νόσφι ἐμοῦ ποιησαμένη αὐτὸ, ἢ ὅτι ἐγὼ μὲν πρὸς τῇ γῇ τὰς χεῖρας αἴρων ἔβαλλον σφαδαστικῶς προσαρμόττων ἐν τῷ θνήσκειν περὶ φασγάνῳ. ἡ δὲ γυνὴ ἐχωρίσθη νόσφι γενομένη καὶ μὴ τὰ ὅσια ἐπ' ἐμοὶ τελέσασα. διὸ ἐπάγει· οὐ δέ μοι ἔτλη ἀπιόντι τούς τε ὀφθαλμοὺς καθελεῖν καὶ τὸ στόμα συνερεῖσαι. Ὅρα δὲ τὴν ἡρωϊκὴν καὶ ἐν τοῖς ῥηθεῖσι σεμνότητα. τὴν γὰρ χειρίστην γυναῖκα ἠρκέσθη ὁ παθὼν οἴκτιστα βασιλεὺς οὐλομένην μόνον προσειπεῖν καὶ κυνώπιδα. Τὸ δὲ κύντερον πάνυ ἐνταῦθα προσφυὲς τῇ ὡς ἐῤῥέθη κυνώπιδι Κλυταιμνήστρᾳ. (ῃερς. 426.) Κουρίδιον δὲ πόσιν τὸν Ἀγαμέμνονα τῇ Κλυταιμνήστρᾳ εἶναι, τουτέστιν 1.427 ἐξ ἔτι κόρης οὔσης αὐτῆς, Ὁμήρῳ μὲν ἀρέσκει, (ῃερς. 429.) Εὐριπίδης δὲ ἄλλως οἶδεν, ὃς προγαμηθεῖσαν αὐτὴν τῷ Ταντάλῳ γνωρίζει, ἐν οἷς αὐτὴν εἰσάγει λέγουσαν· ἔγημας ἄκουσάν με καὶ λάβες βίᾳ, τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανών. (ῃερς. 432.) Τὸ δὲ κατ' αἶσχος ἔχευεν ἤτοι κατέχεεν αἰσχύνην, Ὅμηρος μὲν δοτικῇ ἐνταῦθα συνέταξεν, οἱ δὲ ὕστερον μετὰ γενικῆς ποιοῦνται τὴν σύνταξιν. (ῃερς. 433.) Τὸ δὲ εὐεργὸς διαφέρει τοῦ εὐεργὴς, καθότι εὐεργὴς μὲν ἡ τεχνικῶς εἰργασμένη εἴτε ναῦς εἴτε οἰκία. οὕτω δὲ καὶ ἅρμα εὐεργὲς τὸ κατὰ τέχνην εἰργασμένον. ἔτι εὐεργὴς καὶ ὁ εὐεργετῶν, ὡς τὸ, οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων. εὐεργὸς μέντοι ἐνταῦθα ἡ ἀγαθουργὸς, ὡς εἴρηται. (ῃερς. 435.) Ὅτι διακόψαντος Ὀδυσσέως τοὺς τοῦ Ἀγαμέμνονος λόγους, καὶ εἰπόντος·ὢ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος Ζεὺς ἐκπάγλως ἤχθηρε γυναικείας διὰ βουλὰς, ἐξ ἀρχῆς. ὃ δύναταί ποτε παρῳδηθῆναι εἴ τις ἀνέκαθεν ὑπὸ γυναικῶν βλάπτοιτο. καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσθεμένου ὡς δι' Ἑλένην μὲν ἀπωλόμεθα πολλοὶ, σοὶ δὲ Κλυταιμνήστρη δόλον ἤρτυε τηλόθι ἐόντι, ἔνθα συννοητέον καὶ τὴν τοῦ Ἀτρέως γυναῖκα Ἀερόπην, δι' ἣν καὶ αὐτὴν μοιχευθεῖσαν ὑπὸ Θυέστου πολλὰ ἐγένετο δεινὰ, φησὶν ὁ ἐν Ἅιδου Ἀγαμέμνων παραινετικῶς τῷ Ὀδυσσεῖ ταῦτα διὸ νῦν μή ποτε (ῃερς. 440.) καὶ σὺ γυναικίπερ ἤπιος εἶναι, ἤγουν ἔσο. μὴ δέ οἱ μῦθον ἅπαντα (ῃερς. 441.) πιφασκέμεν ἤγουν φάσκε ὃν ἂν εὖ εἰδῇς, ἀλλὰ τὸ μὲν φάσθαι, (ῃερς. 442.) τὸ δὲ κεκρυμμένον εἶναι, ἤγουν τὸ μὲν εἰπὲ διὰ τὴν κατὰ βίον κοινωνίαν, τὸ δὲ ἐπίκρυψον δι' ὑπόνοιαν ἀπιστίας. καὶ ὅρα τὸ κεκρυμμένον εἶναι ἐλλειπτικῶς ῥηθὲν ἀντὶ τοῦ ἐθέλησον κεκρυμμένον εἶναι, ἢ καὶ ἄλλως ἀντὶ τοῦ κεκρυμμένον ἔστω. (ῃερς. 443.) ἐπεὶ δὲ ἦν ὁ Φαίαξ βασιλεὺς ἕτοιμος ἐπέχειν τῷ Ὀδυσσεῖ τὴν πομπὴν, εἰ οὕτως ἔχει τὰ κατὰ τὴν γυναῖκα ὑπόπτως, ἐπάγει· ἀλλ' οὐ σοί γ' Ὀδυσσεῦ φόνος ἔσται ἔκ γε γυναικὸς, εἰ καὶ τυχὸν ἄλλοθέν ποτε κεῖταί σοι δηλαδὴ τοιοῦτον κακόν. (ῃερς. 444.) λίαν γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδεν. ὃ δὴ ἔπαινός ἐστι σώφρονος γυναικός. (ῃερς. 446.) εἶτα καὶ ἱστορῶν εὐμεθόδως τὰ κατ' ἐκείνην φησίν· ὡς νύμφην μὲν αὐτὴν νέην κατελείπομεν ἡμεῖς ἐρχόμενοι (ῃερς. 447.) πόλεμόνδε τὸν εἰς Τροίαν δηλαδή. πάϊς δέ οἱ ἦν ἐπὶ μαζῷ νήπιος. (ῃερς. 448.) ὅ που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῷ, τουτέστι συντιμᾶται τοῖς ἀνδράσι ἢ ἐν ἀνδράσι τελείοις τέτακται αὐξηθείς. ὄλβιος, ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθὼν, καὶ κεῖνος πατέρα προσπτύξεται, ᾗ θέμις ἐστί. (ῃερς. 449.) καὶ ὅρα ὡς ὄλβιον εἶπεν υἱὸν ἐνταῦθα, ὃς ἂν ἀξιωθῇ ἀγαθὸς ὢν ἀγαθῷ συνεῖναι πατρί. (ῃερς. 451.) ὃ μὴ σχὼν ὁ Ἀγαμεμνονίδης Ὀρέστης εἴη ἂν ἄνολβος. φησὶ γοῦν, ἡ δ' ἐμὴ οὐδέ περ υἷος ἤγουν τοῦ υἱοῦ ἐμπλησθῆναι ἄκοιτις ὀφθαλμοῖσιν ἔασε, πάρος δέ με πέφνε καὶ αὐτόν. (ῃερς. 453.) οἷς πάλιν ἐπιπλέκων παραίνεσιν καὶ τῷ παθητικῷ εἴδει τοῦ λόγου συγκεραννὺς βουλὴν φησίν· ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι, κρύβδην μὴ δ' ἀναφανδὰ φίλην ἐς πατρίδα γαῖαν νῆα κατισχέμεναι, ἤτοι κάτισχε καὶ ἐλλιμένιζε, ἐπεὶ οὐκέτι πιστὰ γυναιξί. (ῃερς. 455.) τοῦτο δὲ ὡς οἷον γνωμικῶς ῥηθὲν ἐλλειπτικῶς πέφρασται, ἵνα λέγῃ ὅτι οὐκέτι πιστὰ ἐστὶ τὰ τῶν γυναικῶν, ὃ ταυτόν ἐστι τῷ, οὐκέτι πιστευτέον γυναιξί, μηδὲ συγχωρητέον αὐταῖς ἐξονυχίζειν ὃ δὴ λέγεται, πάντα τὰ προσπίπτοντα τοῖς ἀνδράσιν. ἔχει δὲ ὁ λόγος καὶ προαναφώνησιν τῶν εἰσέπειτα, ὡς τοῦ Ὀδυσσέως μὴ παῤῥησιασομένου τὴν οἴκοι ἔλευσιν. (ῃερς. 457.) εἶτα καὶ ἐρωτᾷ ὁ ἐν Ἅιδου Ἀγαμέμνων ὡς εἰκὸς περὶ τοῦ υἱοῦ, εἴ που ἔτι ζῶν ἐκεῖνος ἀκούεται, ἤ που ἐν Ὀρχομενῷἢ ἐν Πύλῳ ἤ που παρὰ Μενελάῳ ἐν Σπάρτῃ. οὐ γάρ που φησὶ τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης, ὃ πρὸ τούτων ἔφη τις ἐπὶ Ὀδυσσέως. λέγει δὲ ὁ Ἀγαμέμνων οὕτως οὐ μαντευόμενος. Τειρεσίᾳ γὰρ τοῦτο καὶ μόνῳ δέδοται, ὃς οἷος ἐν Ἅιδου πέπνυται, ἀλλ' ὅτι οὐκ οἶδε τὸν υἱὸν ἔτι αὐτὸς ἐν Ἅιδου, διὸ οἶδε ζῆν ἐκεῖνον. (ῃερς. 458.) Ἰστέον δὲ ὅτι ἐν Πύλῳ μὲν στοχάζεται κατὰ τὸ εἰκὸς εἶναι τὸν Ὀρέστην ὁ πατὴρ διὰ τὴν τοῦ φιλοβασιλέως Νέστορος φιλίαν. (ῃερς. 459.) παρὰ δὲ Μενελάῳ διὰ τὴν ἀδελφικὴν συγγένειαν, ἐν Ὀρχομενῷ δὲ διὰ τὸ πάνυ ἀσφαλὲς τοῦ τόπου καὶ ἄσυλον. ἔνθα καὶ τὰ τῶν πέριξ πόλεων ἀπετίθεντο χρήματα ὡς καὶ ἡ Ἰλιὰς ἐδήλωσε. τῷ ὄντι γὰρ ἐχρῆν τὸν Ὀρέστην ἢ παρὰ γνησίῳ συγγενεῖ φυλάττεσθαι, ἢ παρὰ φίλῳ ἀγαθῷ, ἢ παρὰ ἀλλοτρίῳ ἐν τόπῳ ἐχυρῷ, οἷος καὶ ὁ Ὀρχομενός. καὶ τοῦτο μὲν κατὰ φύσιν ἐνταῦθα ἐγράφη. Ὅμηρος δὲ προτάσσει μὲν τὸν Ὀρχομενὸν, δεύτερον δὲ τίθησι τὴν Πύλον, τρίτην δὲ τὴν τοῦ Μενελάου Σπάρτην, οὕτω δόξαν αὐτῷ διὰ τὸ καινότερον. Ἰστέον δὲ ὡς εἰ καὶ πιθανῶς ἐνταῦθα στοχάζεται ὁ βασιλεὺς, ἀλλ' οὐχ' εὑρίσκει τὸ ἀληθὲς, οἷα σκιά τις ἀΐσσων 1.428 καὶ αὐτός. ὁ γάρ τοι Ὀρέστης ἐν τῇ πατρίδι ἐστὶν, ἀνύσας ἅπερ ἤθελεν. (ῃερς. 462.) Ὀδυσσεὺς δὲ μηδὲν εἰδὼς μήδ' αὐτὸς φησὶν, ὡς οὔ τι οἶδα, ζώει ὅ γε ἢ τέθνηκε, τουτέστιν ὡς καὶ ἀλλαχοῦ κεῖται, ἢ ζῇ ὁ Ὀρέστης ἢ τέθνηκεν. (ῃερς. 463.) ἀπὸ κοινοῦ γὰρ νοητέον τὸ ἢ καὶ ἐν τῷ ζώει. τοιοῦτόν τι καὶ παρὰ Σοφοκλεῖ ἐν Φιλοκτήτῃ τὸ, ἑκόντα μήδ' ἄκοντα, ἤγουν μήτε ἑκόντα μήτε


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄκοντα. καὶ ἐκεῖ γὰρ ἐκ τοῦ δευτέρου καὶ εἰς τὸ πρῶτον μεθείλκυσται τὸ μὴ, κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα. ὅμοιόν τι καὶ ἐν τοῖς ἑξῆς τὸ, ἁλὸς ἢ ἐπὶ γῆς, ἤγουν ἢ ἐπὶ ἁλός. εἶτα ἐπαγαγὼν Ὀδυσσεὺς γνωμικὸν σύνηθες τὸ, κακὸν δ' ἀνεμώλια βάζειν, περαιοῖ τὸ κατὰ τὸν Ἀγαμέμνονα. (ῃερς. 464.) ἐν τούτοις δὲ κεῖται καὶ ἔπος στυγερὸν, οὔτε τὸ μισητὸν οὔτε τὸ φρικτὸν, ἀλλὰ τὸ στυγνόν. φησὶ γὰρ Ὀδυσσεὺς, ὅτι ἡμεῖς μὲν ἱστάμεθα, ἐπέεσσιν ἀμειβόμενοι στυγεροῖσιν. ὃ καὶ ἐφερμηνεύων ἐπάγει· ἀχνύμενοι, (ῃερς. 465.) θαλερὸν κατὰ δάκρυ χέοντες, ἃ δὴ οἰκεῖα ἐπὶ λυπουμένων λέγεσθαι. (ῃερς. 466.) Ὅτι πλάττει ὁ ποιητὴς ἐμφανισθῆναι τῷ Ὀδυσσεῖ μετὰ τὸν Ἀγαμέμνονα ἥρωας, τὸν Ἀχιλλέα, τὸν Πάτροκλον, τὸν Ἀντίλοχον, καὶ τὸν Αἴαντα. καὶ περὶ μὲν Ἀχιλλέως, ὃν Ὅμηρος φιλεῖ ἐπιμάλιστα, ὡςῄ Ἰλιὰς ἐδήλωσε, διηγεῖται πλείονα. περὶ δὲ Πατρόκλου καὶ Ἀντιλόχου οὐδὲν οὐδόλως, ἀλλ' ἀρκεῖται εἰπὼν ἀορίστως καὶ παραλειπτικῶς τὸ, αἱ δ' ἄλλαι ψυχαὶ ἔστασαν ἀχνύμεναι, εἴροντο δὲ κήδεα ἑκάστη, τουτέστιν ἔλεγον εἴτε τοῦ Ὀδυσσέως ἐρωτῶντος, εἴτε καὶ ἄλλως μὴ ἐρωτώμεναι. τὸν Αἴαντα δὲ πλάττει προσφωνούμενον μὲν, μὴ ἀπαμειβόμενον δὲ, διὰ τὸ πρὸς τὸν Ὀδυσσέα μῖσος περὶ Τροίαν ἐπὶ τῇ τῶν ὅπλων κρίσει. εἰ δὲ ὁ Αἴας μισῶν οὐ προσφθέγγεταί τι, πιθανῶς ἄρα ὁ ποιητὴς οὐ πλάττει ψυχὴν Τρωϊκὴν ἐπιφανεῖσαν τῷ Ὀδυσσεῖ, ὃς ἐπὶ τῷ τῆς Τροίας ἀφανισμῷ ἔσχε πτολίπορθος λέγεσθαι. ἐν δὲ τοῖς ῥηθεῖσι προσώποις Πατρόκλου μὲν πρὸς μόνον ὄνομα ἐμνήσθη, τὸν δὲ Ἀντίλοχον ἀμύμονα ἔφη, καθὰ καὶ τὸν Ἀχιλλέα μετ' ὀλίγα. (ῃερς. 468.) τὸν δὲ Αἴαντα ἐπαινῶν λέγει· ὃς ἄριστος ἔην εἶδός τε δέμας τε τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα, ὃν εὐθὺς καὶ ποδώκη Αἰακίδην φησὶν, ἀνωτέρω Πηληϊάδην Ἀχιλλέα εἰπών. καὶ νῦν μὲν οὕτω τὸν Αἴαντα ὑπήγαγε τῷ Ἀχιλλεῖ, ἄριστον εἶναι εἰπὼνπάντων μετὰ τὸν Ἀχιλλέα. προϊὼν δὲ καὶ πάλιν εἰπών· ὃς πέρι μὲν εἶδος πέρι δ' ἔργα τέτυκτο τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα, εἶτα καὶ ἶσον μετ' ὀλίγα φησὶν αὐτὸν τῷ Ἀχιλλεῖ, κατά γε τιμὴν, οὐ μὴν κατὰ εἶδος καὶ ἔργα, ἐν τῷ, τοῖος γάρ σφιν πύργος ἀπώλετο. σεῖο δ' Ἀχαιοὶ ἶσον Ἀχιλλῆος κεφαλῇ ἀχνύμεθα φθιμένοιο διαμπερὲς, ἔνθα καὶ ἐπὶ κακῷ τῶν Ἀχαιῶν ὑποδηλῶν γενέσθαι τὸν τοῦ Αἴαντος θάνατόν φησιν, ὡς ἐκπάγλως ἤχθηρε Ζεὺς Δαναοὺς, καὶ διατοῦτο σοὶ ἐπὶ μοῖραν ἔθηκε, τὴν τοῦ θανάτου δηλαδή. καὶ οὕτω τὸν Αἴαντα σεμνύνας ὁ Ὀδυσσεὺς μειλιχίοις ὅμως οὐκ ἐξίσχυσε πεῖσαι τὸν βαρύμηνιν ὁμιλῆσαι αὐτῷ, οὐδὲ ἀκούσας δάμασον μένος καὶ ἀγήνορα θυμὸν ἐπείσθη. σημείωσαι δ' ἐν τοῖς ῥηθεῖσι περὶ Αἴαντος καὶ ὅτι τὸ, πέρι μὲν εἶδος πέρι δ' ἔργα τέτυκτο, καλλίων ἔπαινος τοῦ, ἄριστος ἔην εἶδός τε δέμας τε. τοῦτο γὰρ οὐ βλάπτει καὶ πράξεων ἀρετήν. καὶ τοιαῦτα μὲν τὰ κατὰ τὸν Αἴαντα. (ῃερς. 477.) τὸν μέν τοι Ἀχιλλέα σεμνολογῶν διὰ τοῦ Ὀδυσσέως ὁ ποιητὴς, ὦ Ἀχιλλεῦ μέγα φέρτατέ φησιν Ἀχαιῶν. καὶ, σεῖο δ' Ἀχιλλεῦ οὔτις ἀνὴρ προπάροιθε μακάρτατος,(ῃερς. 482.) οὔτ' ἂρ ὀπίσσω, ἤγουν εἰς τὸ μέλλον, βραχὺν τοῦτον ἔπαινον τοῦ τηλικούτου εἰπὼν, ὅτι μηδὲ ἦν καιρὸς πλείω λαλεῖν. (ῃερς. 483.) εἶτα καὶ τὸν τοιοῦτον στίχον κατασκευάζων καὶ ἅμα ἐπισυνείρων καὶ παραμυθητικὴν ἔννοιαν, φησί· πρὶν μὲν γάρ σε ζωὸν ἐτίομεν ἶσα θεῷ Ἀργεῖοι. νῦν αὖτε μέγα κρατέεις νεκύεσσι, διὸ μή τι θανὼν ἀκαχίζευ Ἀχιλλεῦ. καὶ τοιόνδε μὲν καὶ τὸ ὑπὲρ Ἀχιλλέως. τὸν μέντοι υἱὸν αὐτοῦ πλατὺ ἐγκωμιάσει, ὡς μετ' ὀλίγα εἰρήσεται. (ῃερς. 473.) Ἰστέον δὲ ὅτι ἀποσεμνύνων καὶ πάλιν ἑαυτὸν Ὀδυσσεὺς ἐπὶ τῇ εἰς Ἅιδην καθόδῳ καὶ ἄλλως δὲ εἰπεῖν ἐνδεικνύμενος ὁ ποιητὴς, καθὰ καὶ αὐτὸ προεῤῥέθη, ὡς πάντῃ τολμηρῶς ἡ τοῦ Ὀδυσσέως ἐπλάσθη κάθοδος, ποιεῖ τὸν Ἀχιλλέα ἐρωτῶντα· Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ, σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον; πῶς ἔτλης Ἄϊδόσδε κατελθέμεν, ἔνθα τε νεκροὶ ἀφραδέες ναίουσι βροτῶν εἴδωλα καμόντων; Ὅρα δὲ τὸ σχέτλιε, ὡς οὔτε τὸν ἄδικον δηλοῖ· τί γὰρ ἠδίκησεν Ὀδυσσεὺς εἰς Ἅιδου ἐλθών; ἀλλ' οὐδὲὅλως ἐπὶ ὕβρει τέθειται. οὐ γὰρ ἂν τὸν διογενῆ καὶ πολυμήχανον φίλον εἰκῇ οὕτως ἔσκωψε. (ῃερς. 475.) σημαίνει δὲ κἀνταῦθα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνήθως ἡ λέξις τὸν σφοδρὸν καὶ ὁρμητίαν καὶ ἄξιον σχέσθαι καὶ τλῆναι. διὸ καὶ ἐπήγαγε· πῶς ἔτλης Ἄϊδόσδε κατελθεῖν. Ἀφραδέες δὲ νεκροὶ κατὰ τοὺς παλαιοὺς, 1.429 οἱ ἄφραστοι καὶ ἀθεώρητοι, ἢ οἱ ἀσώματοι, τουτέστι φρένας μὴ ἔχοντες, αἵ εἰσι κρεμαστῆρες τοῦ ἥπατος, κατὰ τὸ, ὅθι τε φρένες ἧπαρ ἔχουσι. καὶ ἄλλως δὲ ἀφραδέες νεκροὶ ὡς πρὸς σύγκρισιν τοῦ Τειρεσίου ὃς μόνος ἐπέπνυτο. πῶς δὲ εἴδωλα καμόντων οἱ ἐν Ἅιδου νεκροὶ, προγέγραπται. (ηερς. 478.) Ὅτι χρέος οὐ μόνον ἐπὶ ὀφειλῆς, ὃ καὶ ἐξέτεινον οὐκ ὀλίγοι τῶν παλαιῶν, ὡς προεῤῥέθη, ἀλλὰ καὶ τὸ χρειῶδες πρᾶγμα καὶ αὐτὴ ἡ χρεία. οἷον· ἦλθον Τειρεσίαο κατὰ χρέος. τινὲς δὲ τὸ Τειρεσίαο κατὰ χρέος ἀντὶ τοῦ χρησμώδημα φασίν. (ηερς. 480.) Ὅτι ὁ πατρίδος ἐπὶ πολὺ ἀποδημῶν ἐρεῖ ἄν· οὐ γάρ πω σχεδὸν ἦλθον τῆς δεῖνος χώρας, οὐδέ πω ἐμῆς γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχω κακά. (ῃερς. 487.) Ὅτι φιλόζωος ἐνταῦθα πλάττεται Ἀχιλλεὺς, ὃς ἐξ Ὀδυσσέως ἀκούσας, μὴ χρῆναι ἀκαχίζεσθαιαὐτὸν ἐπεὶ μέγα κρατεῖ νεκύεσσι, προκρίνει τοῦ εὐκλεῶς οὕτω ζῆν τὴν τυχοῦσαν βιοτὴν, καὶ ταῦτα ἐν Τροίᾳ, τὸν ὀλιγοχρόνιον ἔντιμον βίον τοῦ μὴ τοιούτου ἀνθαιρούμενος. φησὶ γάρ· μὴ δή μοι θάνατόν μοι παραύδα φαίδιμ' Ὀδυσσεῦ. βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ ἀνδρὶ παρ' ἀκλήρῳ ᾧ μὴ βίοτος πολὺς εἴη ἢ πᾶσι νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν. (ῃερς. 494.) τοῦτο δὲ πᾶς ἂν εἴποι ὁ μὴ θέλων οὐδαμινῶν καὶ ἀχρείων τινῶν ἄρχειν, ἀλλὰ τῆς τοιαύτης τιμῆς ἔλαττόν τι προστιθέμενος. ὡς φιλοπάτωρ δέ φασιν Ἀχιλλεὺς ταῦτα αἱρεῖται, φιλότιμος καὶ νῦν ὢν καὶ διὰ τὴν τοῦ πατρὸς τιμὴν τοιαῦτα αἱρούμενος, οἷα στοχαζόμενος, ἀτιμάζεσθαι ὡς εἰκὸς τὸν πατέρα, ἐπεὶ μὴ ἔχει ἀρωγὸν κατ' αὐτόν. διὸ καὶ ἐρωτήσας τὸν Ὀδυσσέα περὶ τοῦ πατρὸς εἰ ἔχει τὴν βασιλικὴν τιμὴν ἐν τοῖς Μυρμιδόσιν, ἤ μιν ἀτιμάζουσιν ἀν' Ἑλλάδα τε Φθίην τε οὕνεκά μιν κατὰ γῆρας ἔχει χεῖράς τε πόδας τε, ἐπάγει· οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο τοῖος ἐὼν οἷός ποτε ἐν Τροίᾳ πέφνον λαὸν ἄριστον, ἀμύνων Ἀργείοισιν. εἰ τοῖος δ' ἔλθοιμι, μίνυνθά περ ἐς πατέρος δῶ, τῷ κέ τεῳ στύξαιμι μένος καὶ χεῖρας ἀάπτους, (ηερς. 501.) οἵ κεῖνον βιόωνται ἐέργουσί τ' ἀπὸ τιμῆς, τουτέστιν, εἴπερ ἀνεβίων ἔχων τὴν πάλαι ἀνδρίαν, στυγητὸν ἂν καὶ φρικτὸν ἐποίησα τὸ ἐμὸν μένος καὶ τὰς ἀπροσπελάστους χεῖρας τινὶ τῶν βιαζομένων τὸν Πηλέα. Καὶ ὅρα τὸ τέῳ ἀντὶ τοῦ τινὶ πλεονασμὸν ἔχον τοῦ ¯ε, ὁμοίως τῷ ὁτέοισι καὶ τοῖς τοιούτοις ἃ προγέγραπται. καὶ ὅτι τὸ στύξαιμι οὐ μόνον αὐτοπαθῶς ἀντὶ τοῦ φρίξαιμι καὶ μισήσαιμι, ἀλλ' ἰδοὺ νῦν καὶ ἀλλοπαθῶς ἀντὶ τοῦ, εἰς μῖσος καὶ ἔκπληξιν ἀγάγοιμι. σημειωτέον δ' ἐνταῦθα τὸ στύξαιμι διπλόην ἐμφαῖνον κινήσεως κανονικῆς. ἢ γὰρ ἀπὸ ἀσυνήθους βαρυτόνου κανονίζεται θέματος τοῦ στύγω στύξω, ἢ ἴσως ἀπὸ τοῦ στυγῶ στυγήσω γίνεται κατὰ ἀπέλευσιν τοῦ ¯η τῆς παραληγούσης στύγσω, καὶ τροπῇ τοῦ ¯γ εἰς ¯κ διὰ τὸ εὐφωνότερον στύκσω. εἶτα τροπῇ τοῦ ¯κ καὶ ¯σ εἰς ¯ξ, ὃ γίνεται καὶ ἐπὶ τοῦ δοκήσω δόκσω δόξω, ἀποτελεῖται τὸ στύξω. ἐξ οὗ τὸ ἔστυξα καὶ τὸ στύξαιμι. ὡς δὲ φιλίως ἔχει τὸ ¯γ καὶ τὸ ¯κ, δηλοῖ καὶ ἡ τοῦ ¯κ εἰς τὸ ¯γ μεταχώρησις ἐν τῷ ἔοιγμεν ἀντὶ τοῦ ἐοίκαμεν, ὃ κεῖται παρὰ Σοφοκλεῖ. ὅτι δὲ εἰ καὶ τὸ στυγέω στυγῶ περισπώμενον τέτριπται, οἷον, στυγέει δὲ καὶ ἄλλος, ὅθεν καὶ τὸ στυγερὸν καὶ ὁ στυγητὸς, ὅμως ἔχει χώραν εἶναι καὶ βαρύτονον στύγω στύξω, δῆλον καὶ ἐκ τοῦ στὺξ, ὃ πάντως ἐκ τοῦ στύξω παρῆκται. τοιούτου δὲ ἴσως θέματος καὶ τὸ, κατὰ δ' ἔστυγον αὐτήν. δοκεῖ γὰρ εἶναι ἀπὸ τοῦ στύγω στύξω ἔστυγα ἔστυγον, εἰ μή που ἄρα, ὥσπερ ἐκ τοῦ ἐδούπησα καὶ ἐκτύπησα γίνεται τὸ ἔδουπον καὶ ἔκτυπον, οὕτω καὶ ἐκ τοῦ ἐστύγησα τὸ ἔστυγον. καὶ οὕτω μὲν ταῦτα. (ηερς. 487.) Παραυδᾶν δὲ, τὸ παραμυθεῖσθαι. ὡς γὰρ ἐκ τοῦ μυθεῖσθαι καὶ φάσκειν καὶ ἀγορεύειν καὶ αἰνεῖν γίνεται τὸ παραμυθεῖσθαι καὶ τὸ παραιφάσκειν καὶ τὸ παρηγορεῖσθαι καὶ τὸ παραινεῖν, οὕτω καὶ ἐκ τοῦ αὐδᾶν ἰσοδυνάμου ἐκείνοις ῥήματος τὸ παραυδᾶν. οὐ μὴν οὕτως καὶ ἐκ τοῦ λέγειν καὶ τοῦ ἐκεῖθεν λόγου παραμυθίαν δηλοῖ καὶ τὸ παραλογίζεσθαι ἀλλ' αὐτὸ ἐπὶ κατασοφισμοῦ καὶ ἀπάτης τινὸς τίθεται. (ῃερς. 488.)


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Τὸ δὲ βουλήμην κ' ἐπάρουρος διττὴν ἔχει γραφήν. ἢ γὰρ ἐπάρουρος ὁ γῆν ἐργαζόμενος εἴτε καὶ ἁπλῶς ἐπίγειος, ἢ τρισυλλάβως πάρουρος ὁ εἰς φυλακήν τινα τεταγμένος μισθωτικῶς. οὗρος γὰρ καὶ ὁ φύλαξ, ὁ καὶ ἐπίουρος. Ἄκληρος δὲ ἀνὴρ ὁ ὀλιγόκληρος. διὸ ἑρμηνεύων ἐπήγαγεν, ᾧ μὴ βίοτος εἴτουν κλῆρος πολύς. (ηερς. 495.) Ὅρα δὲ καὶ ὅτι πόλις καὶ ἐνταῦθα ἡ Ἑλλὰς ὑπὸ τῷ Πηλεῖ οὖσα καθὰ καὶ ἡ Φθία. λαμπραὶ δὲ ἄμφω καὶ περιώνυμοι. διὸ καὶ Ὀδυσσεὺς εὐρὺ κλέος ἔχειν ἐῤῥέθη που καθ' Ἑλλάδα καὶ μέσον Ἄργος. καὶ Εὐριπίδης δὲ ἐν τῷ ἀπορεῖν περί που τὰ τῆς Ἑκάβης εἰ Δωρίδαγῆν ἀφίξεται ἢ Φθίαν ὁ ἐκεῖσε χορὸς, τὴν αὐτὴν δηλοῖ ἔννοιαν τὸ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος ἐν διαφόροις λέξεσι. Δωριεῖς τε γὰρ οἱ περὶ τὸ Ἄργος ἤτοι τὴν Πελοπόννησον, καὶ ἡ Φθία δὲ Θετταλικὴ καθὰ 1.430 καὶ ἡ Ἑλλάς. ὡς γοῦν μεγάλων τμημάτων ἐν Ἀχαιοῖς ἡ ποίησις μνημονεύει τῶν τε κατὰ Θετταλίαν, τῶν τε κατὰ Πελοπόννησον. (ηερς. 496.) Τὸ δὲ γῆρας κατέχει χεῖρας καὶ πόδας, δίδωσιν ἀστείως τὸ γῆρας δεσμὸν φύσεως εἰπεῖν. (ηερς. 499.) Τὸ δὲ οἷος ποτὲ ἐν Τροίᾳ ἔπεφνον λαὸν ἄριστον τὸ τοῦ Ἀχιλλέως δηλοῖ φιλότιμον μεμνημένου ὧν ἠρίστευσεν, ἔτι δὲ καὶ τὸ ἀνδρεῖον, ὡς μὴ λαὸν ἁπλῶς φονεύοντος, ἀλλὰ καὶ ἄριστον. (ηερς. 505.) Ὅτι ὁ ἐφ' οἷς ἠρωτήθη ἀληθευτικῶς ἐρεῖ τὸ, πᾶσαν ἀληθείην μυθήσομαι ὥς με κελεύεις. Ἰστέον δὲ ὅτι ἐνθυμούμενός τις Ἀχιλλέα καὶ Αἴαντα καὶ Νεοπτόλεμον, ἤδη δὲ καὶ Πάτροκλον, τοὺς ἀνέκαθεν Αἰγινήτας, εὔξαιτ' ἂν εἴπερ εὐροεῖ τὰ κατὰ βίον καὶ ἄριστα τύχης ἔχει, μὴ ἀκοῦσαι παροιμιωδῶς πρὸς τῷ τέλει τοῦ βίου τό· ταπρῶτ' ἀρίστους παῖδας Αἴγιν' ἐκτρέφει. καὶ γάρ τοι καὶ οἱ ῥηθέντες ἥρωες ἀκμαῖοι μὲν ἔθαλλον, ὕστερον δέ φασιν ἐπὶ τὸ χεῖρον μετέβαλλον, ὡς αἱ κατ' αὐτοὺς ἱστορίαι δηλοῦσιν. (ηερς. 507.) Ὅτι τὸν Νεοπτόλεμον Ὀδυσσεὺς ἤγαγεν εἰς Τροίαν ἀπὸ Σκύρου, ἢ τῆς νήσου κατά τινας ὧν εἷς καὶ ὁ Σοφοκλῆς, ἢ καθ' ἑτέρους ἀπό τινος πόλεως Δολόπων Σκύρου καλουμένης. (ηερς. 510.) τὸν δὲ Νεοπτόλεμον τοῦτον ὃς καὶ Πύῤῥος ἐκαλεῖτο, καθὰ καὶ ἀλλαχοῦ ἐδηλώθη, ἐγκωμιάζων ὁ Ὁμηρικὸς Ὀδυσσεὺς φησίν· ὅτε ἀμφὶ πόλιν Τρώων φραζοίμεθα βουλὰς, αἰεὶ πρῶτος ἔφραζε καὶ οὐχ' ἡμάρτανε μύθων. (ηερς. 511.) Νέστωρ ἀντίθεος καὶ ἐγὼ νικάσκομεν οἴω, τουτέστι μόνοι, αὐτὰρ ὅτ' ἐν πεδίῳ Τρώων μαρνοίμεθα χαλκῷ, οὔτε ποτ' ἐς πληθὺν μένεν ἀνδρῶν οὐδ' ἐν ὁμίλῳ, ἀλλὰ πολὺ προθέεσκεν, ἑὸν μένος οὐδενὶ εἴκων. πολλοὺς δ' ἄνδρας ἔπεφνεν (ηερς. 515.) ἐν αἰνῇ δηϊοτῆτι, τουτέστι, πολλοὺς ἀνεῖλε μαχόμενος. πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω ὅσσον λαὸν ἔπεφνεν ἀμύνων Ἀργείοισιν, ἀλλ' οἷον τὸν Τηλεφίδην κατενήρατο χαλκῷ ἥρω' Εὐρύπυλον. πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι Κήτειοι κτείνοντο γυναίων εἵνεκα δώρων. κεῖνον δὴ κάλλιστον ἴδον μετὰ Μέμνονα δῖον. αὐτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν ὃν κάμ' Ἐπειὸς Ἀργείων οἱ ἄριστοι, ἐμοὶ δ' ἐπὶ πάντ'ἐτέταλτο, ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον ἠδ' ἐπιθεῖναι. ἔνθ' ἄλλοι Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες (ηερς. 526.) δάκρυά τ' ὠμόργνυντο, οἷα δηλαδὴ δακρύοντες, τρέμεν δ' ὑπὸ γυῖα ἑκάστου, κεῖνον δ' οὔ ποτε πάμπαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν οὔτ' ὠχρήσαντα χρόα κάλλιμον, οὔτε παρειῶν (ηερς. 529.) δάκρυ' ὀμορξάμενον, ὅ πέρ ἐστι περίφρασις τοῦ δακρύσαντα. ὁ δέ με μάλα πόλλ' ἱκέτευεν (ηερς. 530.) ἱππόθεν ἐξίμεναι, ὅ ἐστιν ἐξελθεῖν. ξίφεος δ' ἐπεμαίετο κώπην, καὶ δόρυ χαλκοβαρὲς, οὐ κατ' ἐμοῦ δηλαδὴ τοῦ λοχαγοῦ ὡς κωλύοντος αὐτὸν, ἀλλὰ κατὰ τῶν Τρώων, ὡς ἕτοιμος ὢν συμμίξαι αὐτοῖς. διὸ ἑρμηνεύων ἐπάγει· (ηερς. 531.) κακὰ δὲ Τρώεσσι μενοίνα, ἤγουν προεθυμεῖτο. ἀλλ' ὅτε δή φησι Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν, μοῖραν καὶ γέρας ἐσθλὸν ἔχων ἐπὶ νηὸς ἔβαινεν, (ηερς. 534.) ἀσκηθὴς, ὅ ἐστιν ἀβλαβὴς ὡς πολλαχοῦ δηλοῦται. ὃ καὶ ἑρμηνεύων ἐπάγει· οὔτ' ἂρ βεβλημένος ὀξέϊ χαλκῷ οὔτ' αὐτοσχεδίην οὐτασμένος, οἷά τε πολλὰ γίνεται ἐν πολέμῳ. ἐπιμὶξ δὲ μαίνεται Ἄρης. (ηερς. 538.) ταῦτα δὲ τοῦ Ὀδυσσέως εἰπόντος γηθόσυνος ἐπὶ τοῖς τοῦ παιδὸς ἀγαθοῖς ὁ καλὸς Ἀχιλλεὺς γενόμενος ᾤχετο. φησὶ γάρ· ὣς ἐφάμην. ἡ δὲ τοῦ Ἀχιλλέως ψυχὴ φοίτα μακρὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βιβῶσα κατ' ἀσφοδελὸν λειμῶνα, γηθοσύνη, ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι. τοιοῦτον οἱ ἀγαθοὶ πατέρες ἐπὶ ἀξιεπαίνοις παισί. Καὶ ὅρα ὅπως δεξιῶς ὁ ποιητὴς κἀνταῦθα ἱστορίας παρενέθετο πολλάς τε καὶ εὐχρήστους μετὰ γοργότητος, ἵνα μὴ τῷ μονοειδεῖ τῶν φθασάντων ὑπτιάζῃ ἀποκναιόμενος ὁ ἀκροατὴς, μάλιστα δὲ τὸ καινὸν ἡ φράσις ἔχῃ ἐν τῷ καὶ ἀνηκούστους ἱστορίας ἐνταῦθα τεθῆναι, αἷς οὐχ' εὕρηται ἐνδιατρίψας ὁ ποιητὴς ἀλλαχοῦ. Ἰστέον δὲ ὅτι Ὁμήρου καὶ τῶν πλειόνων ἕνα παῖδα λεγόντων Δηϊδαμείας καὶ Ἀχιλλέως τὸν Νεοπτόλεμον, Δημήτριος ὁ Ἠλιεὺς δύο ἱστορεῖ, Ὄνειρόν τε καὶ Νεοπτόλεμον. ὃν ἀνελών φησιν ἐν Φωκίδι Ὀρέστης ἀγνοίᾳ, ὕστερον δὲ γνοὺς, τάφον αὐτῷ ἐποίησε περὶ Δαυλίδα, καὶ ἀναθεὶς τὸ ξίφος ᾧ ἀνεῖλεν αὐτὸν ἀπῆλθεν εἰς τὴν λευκὴν νῆσον ἣν ὁ Λυκόφρων φαληριῶσαν σπῖλον καλεῖ καὶ τὸν Ἀχιλλέα ἐξιλεώσατο. Ἀχιλλέα δὲ ὅτι Πάρις ἀνεῖλε τοξεύσας καθωμίληται. Σώστρατος δὲ ἱστορεῖ Ἀλέξανδρον Ἀπόλλωνος ἐρώμενον καὶ μαθητὴν τοξείας, ὑφ' οὗ τόξον ἐλεφάντινον σχόντα τοξεῦσαι Ἀχιλλέα κατὰ γαστρός. Τέλλης δὲ ἱστορεῖ Πενθεσίλειαν ἀνελεῖν τὸν Ἀχιλλέα, αἰτησαμένης δὲ Θέτιδος τὸν Δία, ἀναστῆναι αὐτὸν καὶ ἀντανελεῖν ἐκείνην. Ἄρεα δὲ πατέρα Πενθεσιλείας δίκην λαχεῖν Θέτιδι. κριτὴν δὲ γενόμενον Ποσειδῶνα κατακρῖναι Ἄρην. καὶ τοιάδε μὲν ταῦτα. (ηερς. 505.) Ἐν δὲ τοῖς προσεχῶς ὑπὸ τοῦ ποιητοῦ ῥηθεῖσιν ἔστιν ἰδεῖν ὡς πολὺ τὸ τοῦ Νεοπτολέμου ἔν τε τοῖς πρὸ 1.431 τῆς πολιορκίας καὶ τοῖς ἐν αὐτῇ καὶ μετ' αὐτὴν ἐγκώμιον, οὗ τὸ κεφάλαιον τὸ καὶ λόγοις αὐτὸν ἐμπρέπειν καὶ ἔργοις ἐνευδοκιμεῖν. καὶ ὀξύτητα δὲ νοὸς αὐτῷ ἐπιμαρτύρεται τὸ ἀεὶ πρῶτον βάζειν, εὐμάθειαν δὲ καὶ ἀγχίνοιαν τὸ μὴ ἁμαρτάνειν μύθων. ἄλλως γὰρ πολλοὶ πρῶτοι μὲν βάζουσι προπετεῖς ὄντες, ἁμαρτάνουσι δὲ μύθων, πιστούμενοι μὴ ἀσφαλεῖς εἶναι τοὺς φρονεῖν ταχεῖς κατὰ τὸν τραγικόν. εἰ δὲ τοῦ ἀντιθέου Νέστορος καὶ τοῦ πολυμηχάνου Ὀδυσσέως δεύτερος ἐξέπιπτεν ἐν βουλαῖς ὁ Νεοπτόλεμος, οὐκ ἂν εἴη μεμπτέος, εἴγε ἡ ἐμπειρία ἔχει τι λέγειν τῶν νέων σοφώτερον. Ἔστι δ' εἰπεῖν ἐνταῦθα καὶ ὅτι πάνυ φιλαχιλλεὺς ὢν ὁ ποιητὴς, ὡς ἡ Ἰλιὰς ἔδειξε, καὶ τὸ τῆς ἱστορίας βαθὺ φρέαρ τῆς ἐπ' ἐκείνῳ ἐξηντληκὼς ἐκεῖ ἐνταῦθα βραχὺ μέν τι ἐλάλησεν ἐπὶ τῷ πατρί. φιλοτιμεῖται δὲ σεμνύναι τὸν υἱὸν, ὡς ἐγχωρεῖ, οἷα πατρῴζοντα, μεθοδεύσας δεξιῶς καὶ τῷ μεγάλῳ Αἴαντι τοῦτον παραβαλεῖν, εἴγε ὥσπερ ἐκεῖνος παραδέδοται μὴ παθεῖν πληγὴν ἓν ὅλῳ τῷ Ἰλιακῷ πολέμῳ οὕτως ἐξέβη καὶ ὁ Νεοπτόλεμος εἴτουν Πύῤῥος, ὃν φάμενοί τινες πρῶτον τοῦ δουρείου ἵππου ἐκπηδῆσαι αὐτῷ παρονομασθῆναι τὸν δίβραχυν πυῤῥίχιον ᾠήθησαν. παρ' οἷς καὶ ὕμνος αὐτῷ ἐτίθη μέτρῳ πυῤῥιχιακῷ χρησίμῳ καὶ εἰς πυῤῥίχην ὄρχησιν, περὶ ἧς ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. (ηερς. 510.) Τὸ δὲ οὐχ' ἡμάρτανε μύθων οὐκ ἀφαμαρτοεπῆ τὸν Νεοπτόλεμον εἶναι δηλοῖ, ὅπερ ἐν Ἰλιάδι τῷ Μενελάῳ ἐπεμαρτυρήθη. (ηερς. 513.) Τὸ δὲ οὐκ ἐν πληθύϊ οὐδ' ἐν ὁμίλῳ, ἀντὶ τοῦ οὔτε ἐν τῷ κοινῷ τῶν Ἀχαιῶν ὄχλῳ, οὔτε ἐν τοῖς κατὰ ἴλας μαχομένοις. ἴσως δὲ καὶ ταυτὸν ἐκ παραλλήλου τὸ ἐν πληθύϊ καὶ τὸ ἐν ὁμίλῳ. (ηερς. 514.) Τὸ δὲ ἑὸν μένος, ἢ τοῖς ὄπισθεν συντακτέον, ἵνα λέγῃ ὅτι πολὺ προθέεσκε κατὰ τὸ ἑὸν μένος, ἢ τοῖς ἐφεξῆς ἵνα ᾖ, οὐδενὶ εἴκων τὸ ἑαυτοῦ μένος. δῆλον δὲ ὅτι ὁ πολὺ προθέων τῶν ἄλλων οὔτε ἐν πληθύϊ μένει οὔτε ἐν ὁμίλῳ. (ηερς. 515.) Τὸ δὲ πολλοὺς ἔπεφνεν ἀναγκαίως ἐπῆκται. πολλοὶ γὰρ προθέουσι μὲν, πέφνουσι δὲ οὐδένα. εἰ δὲ καὶ ἀλογίστως προθέουσιν, οἱ τοιοῦτοι ὡς ταπολλὰ καὶ προπίπτουσι. Τὸ δὲ πολλοὺς ἔπεφνεν ἐφερμηνεύων ἔφη τὸ, πάντας οὐκ ἂν ἐγὼ μυθήσομαι ὅσσον λαὸν ἔπεφνεν. (ηερς. 518.) Ὅτι δὲ περιώνυμος ἐν ταῖς ἱστορίαις ὁ Τήλεφος, ὃς καὶ παροιμίαν παρήγαγε τὴν, ὁ τρώσας ἰάσεται, καὶ ὅτι ἀνδρεῖος καὶ ὁ Τηλεφίδης Εὐρύπυλος, πολλαχοῦ δηλοῦται. ὁ δὲ γεωγράφος ἱστορεῖ καὶ ὡς ἐν τοῖς περὶ Κάϊκον τόποις φαίνεται βασιλεύειν καθ' Ὅμηρον ὁ Εὐρύπυλος. ὃς δὴ Κάϊκος διέχει φασὶν Ἐλαίας Αἰολικῆς πόλεως σταδίους δώδεκα. ἡ δὲ Ἐλαία διέχουσα τοῦ Περγάμου σταδίους



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑκατὸν εἴκοσιν ἐπίνειον εἶναι λέγεται Περγαμηνῶν. (ηερς. 519.) Ἐν δὲ τῷ, ἥρω Εὐρύπυλον, οἱ μὲν ἥρωα νοοῦσι κατ' ἔκθλιψιν, οἱ δὲ ἥρω φασὶ δισυλλάβως ἢ κατὰ κλίσιν ἰσοσύλλαβον, ἢ μᾶλλον κατὰ ἀποκοπὴν, ὁμοίως τῷ γέλω ἔκθανον. Ὅρα δὲ καὶ ὅτι Εὐρύπυλος μὲν τὸ κύριον, τὸ δὲ ἐπιθετικὸν εὐρυπυλὲς, ὡς δηλοῖ τὸ, εὐρυπυλὲς Ἄϊδος δῶ. ἔχει δέ τινα ὁμοίαν διφόρησιν καταλήξεως καὶ τὸ ἄτερπος καὶ ἀτερπὴς, ὧν τοῦ μὲν χρῆσις ἐν τῷ, ἀτέρπου ὀϊζύος, τοῦ δὲ ἐν τῷ, ἀτερπέα δ' αὖλιν ἔκυρσαν. (ηερς. 5.) Κήτειοι δὲ κατὰ μὲν Ἀρίσταρχον οἱ μεγάλοι παρὰ τὸ κῆτος, κατὰ ἀναλογίαν τοῦ, κῆδος κήδειος καὶ τῶν ὁμοίων. ἐν οἷς καὶ ἀπὸ τοῦ γῆρος ἀκάνθης ἐξάνθημα παρὰ τῷ Ἀράτῳ τὸ γήρειον, ὡς ἐν τοῖς εἰς τὴν Ἰλιάδα διεσαφήθη. ἐν δὲ τοῖς τοιούτοις εἰ ζητεῖται διὰ τί τὸ σκότιος, οἷον, σκότιον δὲ ἐγείνατο μήτηρ, ἔτι δὲ καὶ τὸ, σκοτίους ἀπιόντας διὰ τῆς πολεμίας, οὐκ ἐγράφησαν διὰ τῆς ε¯ι διφθόγγου ὡς ἀπὸ τοῦ σκότος, ὁμοίως τῷ, κῆτος κήτειος καὶ τοῖς κατ' αὐτὸ, ῥητέον ὅτι γίνεται μὲν σκότιος ἐκ τοῦ σκότος, πλὴν οὐκ ἐκ τοῦ οὐδετέρου ἀλλὰ τοῦ Ἀττικωτέρου ἀρσενικοῦ, κατὰ τὸ, δόλος δόλιος, νόμος νόμιος. Ἔτι ἰστέον καὶ ὅτι κητείους τοὺς μισθωτοὺς εἶπον διὰ τὸ ἀκόρεστον ἐκ μεταφορᾶς κήτους. ἕτεροι δὲ ἔθνος Μυσίας φασὶ τοὺς ὕστερον Ἐλεάτας ἀπὸ Κητείου ποταμοῦ χειμαῤῥώδους ἐν τῇ Ἐλεάτιδι, ὃν καὶ κητώεντα φασίν. ἄλλοι δὲ κητείους τοὺς Περγαμηνοὺς ἐνόησαν. ἔνιοι δὲ γράφουσι κήδειοι, τουτέστι κηδεσταὶ, συγγενεῖς, ἢ καὶ ἄλλως εἰπεῖν, κήδιστοι. εἰσὶ δὲ οἳ γράφουσι καὶ χήτειοι γυναίων εἵνεκα δώρων, τουτέστιν ἐστερημένοι γυναικῶν ἕνεκα δώρων ἤγουν μισθοῦ. ἐπεὶ δώροις ὁ Ἕκτωρ καὶ ἐδωδῇ κατέτρυχε τοὺς λαοὺς, διὰ τοὺς συμμάχους, ὧν εἷς καὶ ὁ Εὐρύπυλος. τινὲς δὲ τὸ γυναίων καὶ τὸ δώρων ὁμοῦ ἀναγινώσκουσι, νοοῦντες κτητικῶς γύναια δῶρα, τουτέστι γυναικεῖα, ἢ τὸν Ἑρμιόνης γάμον, ὃν ἐν Τροίᾳ τῷ Νεοπτολέμῳ ὑπέσχετο καὶ κατένευσεν ὁ Μενέλαος, ἢ χρυσῆν τινά φασιν ἄμπελον, ἣν Ζεὺς μὲν ἐχαρίσατο ἀντὶ Γανυμήδους τῷ πατρὶ Τρωΐ, Πρίαμος δὲ ἐκ διαδοχῆς ἐλθοῦσαν εἰς αὐτὸν ὑπέσχετο Ἀστυόχῃ τῇ ἑαυτοῦ μὲν 1.432 ἀδελφῇ, Εὐρυπύλου δὲ μητρὶ, εἰ πέμψει ἐπὶ συμμαχίᾳ τὸν υἱὸν, φάμενον ἐπὶ τῇ μητρὶ κεῖσθαι τὴν εἰς πόλεμον ἐξέλευσιν αὐτοῦ, ἵνα δηλοῖ ὁ λόγος, ὡς διὰ γυναικὸς δωροδοκίαν Εὐρύπυλος συνεμάχησε. ἄλλοι δέ φασι τῇ Εὐρυπύλου γυναικὶ ὑποσχῆσθαι δῶρα πρὸς Πριάμου, εἰ ἀναπείσει τὸν ἄνδρα συμμαχῆσαι Τρωσίν. ἔδοξε δέ τισι κρεῖσσον ἀποδοῦναι, ὡς ὑπόσχεσιν ἔθετο Πρίαμος Εὐρυπύλῳ, καθὰ καὶ πρὸ αὐτοῦ τῷ Ὀδρυονεῖ, μίαν τῶν θυγατέρων δώσειν ἐπικουρήσαντι. καὶ τοῦτο εἶναι φασὶ τὰ γυναικεῖα δῶρα. ὁ δὲ γεωγράφος εἰς ταῦτα γράφει τοὺς παρ' Ὁμήρῳ κητείους μὴ εἰδέναι οὓς δεῖ δέξασθαι ἤτοι νοῆσαι, οὐδὲ τὸ γυναίων εἵνεκα δώρων, τοὺς δὲ γραμματικοὺς μυθάρια παραβάλλοντας εὑρεσιλογεῖν μᾶλλον ἢ λύειν τὸ ζητούμενον. λέγει δὲ καὶ τὸν Κήτειον ποταμὸν ῥέειν εἰς τὸν Κάικον, οὗ περὶ τὴν Ἴδην αἱ πηγαί. Ἰστέον δὲ ὅτι οὐ μόνον ἐπὶ τῇ δεδηλωμένῃ Ἀστυόχῃ δῶρον ἴσχυσε κατὰ φίλου παιδὸς,ἀλλὰ καὶ ἐπὶ Ἐριφύλῃ κατὰ ἀνδρὸς τοῦ καλοῦ Ἀμφιάρεω. ἦν δὲ τὸ ἐπὶ ταύτῃ δῶρον ὅρμος χρυσοῦς ὃς ὕστερον περιῆλθε τῷ Φοίβῳ ἐξ αἰτίας τοιαύτης. Ἀλκμαίων ὁ ἐξ Ἀμφιάρεω καὶ Ἐριφύλης, τὴνμητέρα κτανὼν χόλῳ τῷ ὑπὲρ τοῦ πατρὸς ὁμοίως Ὀρέστῃ καὶ διατοῦτο μανίᾳ περιπεσὼν, καθὰ καὶ ἐκεῖνος, εἶτα τοῦ μεμηνέναι ἀπαλλαγεὶς καὶ εὐχόμενος μηκέτι ταυτὸ παθεῖν, καὶ ἀκούσας ἐξ Ἀπόλλωνος τὸ, τιμῆέν μ' αἰτεῖς δῶρον μανίης ἀποπαῦσαι καὶ σὺ φέρειν τιμῆεν ἐμοὶ γέρας ᾧ ποτε μήτηρ Ἀμφιάραον ἔκρυψ' ὑπὸ γαῖαν αὐτοῖσι σὺν ἵπποις, ἔδωκε τὸν ζητηθέντα χρύσεον ὅρμον τῆς Ἐριφύλης καὶ ἀπηλλάγη. ἔοικε δὲ χαίρειν τὸ ῥηθὲν δαιμόνιον ἄλλοις τε ἀναθήμασιν, ὡς πολλαχοῦ δηλοῦται, καὶ κόσμοις δὲ γυναικῶν. Μενελάῳ γοῦν ἐρομένῳ τὸν Πύθιον πῶς ἂν Ἀλέξανδρον τίσαιτο, ἔφη ἐκεῖνος οὕτω· πάγχρυσον φέρε κόσμον ἑλὼν ἀπὸ σοῦ ἀλόχοιο δειρῆς, ὅν ποτε Κύπρις ἔδωχ' Ἑλένῃ μέγα χάρμα. ὥς σοι Ἀλέξανδρος τίσιν ἐχθίστην ἀποδώσει. καὶ ἀνέθηκεν ἐκεῖνος τὸν ζητηθέντα ὅρμον καὶ ἀπηλλάγη τέλεον. (ηερς. 521.) κάλλιστον δὲ ὁ ποιητὴς τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εὐρύπυλον ἱστορεῖ μετά γε τὸν Αἰθίοπα Μέμνονα περὶ Τρωϊκῶν ἐπικούρων λαλῶν. ἦν δὲ πάντως τοιοῦτος καὶ ὁ Νεοπτόλεμος, οὗ χρόα κάλλιμον φησί. Περιᾴδεται δὲ ὁ Μέμνων, καὶ δοκεῖ διὰ τὸ κάλλος ἡμέρας υἱὸς εἶναι, ὡς καὶ ἐν ἄλλοις ἐῤῥέθη. ὡς δὲ καὶ Τιθωνοῦ ἦν υἱὸς, καὶ ὡς ἐξ Αἰθιόπων ἐπικουρήσων ἦλθεν εἰς Τροίαν, καὶ ὡς Ἀχιλλεὺς αὐτὸν κατέῤῥιψε κρατερῶς ἀνθιστάμενον τοῖς Ἀχαιοῖς, τοῖς ἱστοροῦσι τεθρύληται. ὅτι δὲ ὁ τοιοῦτος Μέμνων καὶ τὸν καλὸν ἀνεῖλε Νεστορίδην Ἀντίλοχον, ἡ ἱστορία δηλοῖ. περὶ οὗ ἱστορεῖ Ἀσκληπιάδης ὁ Μυρλεανὸς, ὡς χρησμοῦ δοθέντος Νέστορι, φυλάττεσθαι ἐπὶ τῷ υἱῷ Ἀντιλόχῳ τὸν Αἰθίοπα, ἔδοτο αὐτῷ μνήμονα ὁ πατὴρ καὶ ὑπασπιστὴν Χάλκωνα Κυπαρισσέα, ὃς ἐργασθεὶς Πενθεσιλείας καὶ βοηθῶν αὐτῇ ἀνῃρέθη ὑπ' Ἀχιλλέως, καὶ τὸ σῶμα ὑπ' Ἑλλήνων ἀνεσκολοπίσθη. ἐδόθησαν δὲ καὶ ἄλλοις τῶν ἡρώων μνήμονες, οἷον τῷ Ἀχιλλεῖ πρὸς τῆς μητρὸς, ὡς ἱστορεῖ καὶ Λυκόφρων. καὶ τῷ Πατρόκλῳ δὲ ὑπ' Ἀχιλλέως Εὔδωρος μετὰ τὴν μῆνιν ἐν τῇ ναυμαχίᾳ, ὥστε μὴ πρόσω χωρεῖν. ἀναιρεθῆναι δ' αὐτὸν εὐθὺς ἐν τῇ συμβολῇ ὑπὸ Πυραίχμου, διὸ καὶ αὐτὸν πρῶτον ἀναιρεθῆναι ὑπὸ Πατρόκλου ἱστορεῖ Τιμόλαος ὁ Μακεδών. Ἀντίπατρος δὲ ὁ Ἀκάνθιος φησὶ καὶ τῷ Ἕκτορι Δάρητα Φρύγα δοθῆναι μνήμονα,μὴ ἀνελεῖν φίλον τοῦ Ἀχιλλέος, Ἀπόλλωνος τοῦ Θυμβραίου τοῦτο χρήσαντος, τὸν δὲ αὐτομολήσαντα ὑπὸ Ὀδυσσέως ἀναιρεθῆναι. Ἐρέσιος δὲ ἱστορεῖ καὶ Πρωτεσιλάῳ δοθῆναι μνήμονα Δάρδανον Θετταλὸν, δοθέντος χρησμοῦ Φυλάκῳ τῷ πατρὶ, ἀναιρεθῆναι εἰ προπηδήσει, ὃ καὶ γέγονε. μή ποτε οὖν φασὶ παρ' Ὁμήρῳ οὕτω λύεται τὸ, τὸν δ' ἔκτανε Δάρδανος ἀνὴρ, ὡς τοῦ Δαρδάνου μὴ ἐνθυμήσαντος αὐτὸν τὴν ἀπόβασιν. καὶ μὴν Φιλόστρατος ὑπὸ Ἀχάτου φίλου Αἰνείου τὸν Πρωτεσίλαον ἀναιρεῖ. καὶ οὗτός ἐστι κατ' αὐτὸν ὁ παρ' Ὁμήρῳ Δάρδανος ἀνὴρ, εἰς δὲ τοῦτο πλείω ἐν τῇ Ἰλιάδι γέγραπται. καὶ οὕτω μὲν καὶ ταῦτα. (ῃερς. 522.) Τὸ δὲ εἰς ἵππον κατεβαίνομεν, τὸν δούρειον δηλαδὴ, σχήματι ἐμφάσεως ἤτοι συλλογισμοῦ, ὧν ἴδιον δι' ὑπονοίας αὔξειν τὸ δηλούμενον, βάθος δηλοῖ καὶ εὐρυχωρίαν τῆς ἐκείνου γαστρός. φασὶ δὲ τοὺς εἰς αὐτὸν καταβάντας τινὲς μὲν, ὧν καὶ Στησίχορος, ἑκατὸν εἶναι, ἕτεροι δὲ δώδεκα, Μενέλαον, Διομήδην, Φιλοκτήτην, Μηριόνην, Νεοπτόλεμον, Εὐρύπυλον, Εὐρυδάμαντα, Φείδιππον, Λεοντέα, Μέγητα, Ὀδυσσέα, καὶ Εὔμηλον. εἰ δὲ τοῦθ' οὕτως ἔχει, ποῦ ἔστιν Ἄντικλος οὗ φθάσας ἐμνημόνευσεν ὁ ποιητής; Τὸ δὲ ὃν κάμ' Ἐπειὸς, ἀντὶ τοῦ, περὶ ὃν ἔκαμεν, ἢ καὶ ἄλλως ἀντὶ τοῦ, ὃν καμὼν ἐποίησε, κατὰ τὸ, ὃν Ἐπειὸς ποίησε σὺν Ἀθήνῃ. (ῃερς. 524.) Τὸ δὲ ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον ἠδ' ἀναθεῖναι παρῴδηται ἀπὸ τῆς Ἰλιάδος ἐκ τοῦ, ἠμὲν ἀνακλῖναι 1.433 πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι. (ῃερς. 523.) οὕτω γὰρ καὶ ἐν τῷ ἵππῳ ἐπετέταλτο τῷ Ὀδυσσεῖ πάντα, ἤγουν καὶ κλεῖσαι καὶ αὖθις ἀνοῖξαι τοῖς ἀριστεῦσιν ὅτε καιρός. διὸ καὶ ὁ Νεοπτόλεμος αὐτὸν μάλα ἱκέτευεν ἐξελθεῖν, φρονίμῳ δὲ πάντως ἀνδρὶ, ὁποῖος καὶ Ὀδυσσεὺς, τὸ τοιοῦτον ἔργον ἔπρεπεν, ἤγουν τὸ ὡσανεὶ πυλωρεῖν ἐν τῷ δουρείῳ ἵππῳ. (ῃερς. 525.) Τὸ δὲ ἡγήτορες καὶ μέδοντες τῆς αὐτῆς κἀνταῦθα ἐννοίας εἰσίν. ἔστι δὲ καὶ ἄλλως νοῆσαι ἡγήτορας μὲν τοὺς κατ' ἀνδρίαν καὶ ῥωμαλεότητα ἡγουμένους, μέδοντας δὲ τοὺς κατὰ τὸ μήδεσθαι ἤγουν βουλεύεσθαι. (ῃερς. 526.) Τὸ δὲ δακρύειν καὶ τρέμειν οὐ παντελῶς τῶν ἀνδρείων ἀποφάσκεται, ἀλλ' ἔστιν αὐτοῖς ἐν καιρῷ καὶ τοιαῦτα πάσχειν κατὰ τοὺς τῆς ἀρετῆς κανόνας, ὡς καὶ ὁ ποιητὴς ἐνταῦθα ὑποδηλοῖ. (ῃερς. 528.) περὶ δὲ τοῦ ὀμόργνυσθαι προγέγραπται. ἐκ δὲ τοῦ ὠχρῆσαι τὸ ὠχριάσαι γίνεται καθ' ὁμοιότητα τοῦ μειδῆσαι καὶ μειδιάσαι, καὶ τοῦ κατηφεῖν καὶ κατηφιᾶν. (ῃερς. 5.) Τὸ δὲ ἱππόθεν ἐξίμεναι γράφεται καὶ ἐξέμεναι ἀντὶ τοῦ ἐκπέμψαι. ὅτε μέντοι ἐξῆλθον τοῦ δουρείου ἵππου οἱ ἐντὸς, ἱππόθεν ἐκχύμενοι ἔφη ὁ ποιητὴς, καὶ κεῖται ἡ τοιαύτη λέξις πολλαχοῦ ἐπὶ συντόνου κινήσεως στρατιωτικῆς. Τὸ δὲ κώπη ξίφους εἰκασμὸν ἐμποιεῖ τοῖς πολλοῖς τῆς σπάθης πρός γε τὴν θαλασσίαν πλάτην ἐν ἀστειότητι, ὡς εἰρῆσθαι κώπην ξίφους πρὸς διαστολὴν τοιαύτης κώπης εἴτουν πλάτης. δῆλον δὲ ὅτι καὶ κωπῆεν ξίφος ἐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ταύτης λέγεται. (ῃερς. 534.) Ἐν δὲ τῷ, οὔτε βεβλημένος οὔτε αὐτοσχεδίην οὐτασμένος, διαφορὰ ὡς καὶ ἐν ἄλλοις φαίνεται τοῦ τε πόῤῥωθεν βάλλεσθαι καὶ τοῦ ἐγγύθεν οὐτάζεσθαι. (ῃερς. 536.) Τὸ δὲ ἐπιμὶξ μαίνεται Ἄρης τὸ τοῦ Ἄρεος δηλοῖ ἀλλοπρόσαλλον καὶ ὅπως κοινὸς ὁ ἐνυάλιος. Τὸ δὲ μαίνεται ἀντὶ τοῦ κινεῖται. τοῦτο δὲ οὐχ' ἁπλῶς, ἀλλ' ὡς τῆς κατὰ μάχην κινήσεως μανίᾳ ἐοικυίας διὰ τὸ ἐνθουσιᾶν. (ῃερς. 538.) Τὸ δὲ ἐφοίτα μακρὰ βιβῶσα γηθοσύνῃ χαρᾶς παραστατικόν. Τὸ δὲ κατ' ἀσφοδελὸν λειμῶνα οἱ μὲν συναλείφουσι καὶ φασὶ τετρασυλλάβως ἀσφοδελὸν, εἰσὶ δὲ οἳ καὶ χωρὶς τοῦ ¯α γράφουσι σφοδελὸν, καὶ φέρεται ἀμφοτέρως, ὡς καὶ ἀσταφὶς καὶ σταφὶς, καὶ ἄσταχυς καὶ στάχυς, ἄλλοι δὲ σποδελὸν διὰ τὴν σποδὸν τῶν καιομένων νεκρῶν. διὸ καὶ ὁ ἀσφοδελὸς ἢ σφοδελὸς ᾠκείωται νεκροῖς διὰ τὸ πρὸς τὴν σποδὸν ὁμοιόφωνον καὶ ἐφυτεύετο ἐν τοῖς τάφοις τὸ τοιοῦτον φυτὸν, ὡς δηλοῖ καί τι τῶν παρὰ τῷ Πορφυρίῳ ἐπιγραμμάτων, λέγον, ὡς ἀπό τινος τάφου, ὅτι νώτῳ μὲν μαλάχην καὶ ἀσφόδελον πολύριζον, κόλπῳ δὲ τὸν δεῖνα ἔχω. ὅτι δὲ καὶ πολύριζον ὁ ἀσφόδελος, ἡ πεῖρα δηλοῖ. γνώριμος δέ ἐστι καὶ ἐξ ὀνόματος εἰ καὶ βαρβαρίζεται παρά τισιν. ὀξύνεται δὲ ὁ Ὁμηρικὸς οὗτος ἀσφοδελὸς πρὸς διαστολὴν, ὡς περιεκτικὸς ὢν ἀσφοδέλων. ἀσφόδελος μὲν γὰρ προπαροξυτόνως τὸ φυτὸν κατὰ Ἐρέννιον Φίλωνα, ἀσφοδελὸς δὲ ὀξυτόνως, ὁ αὐτοῦ τόπος. Τρύφων δέ φασι προκρίνει ὁμοτονεῖν ἄμφω, ἐπεὶ πολλάκις ὁμότονα τοῖς περιέχουσι τὰ περιεχόμενα. σκόροδον γοῦν καὶ ὁ τόπος ἐν ᾧ τὸ φυτὸν πωλεῖται καὶ αὐτὸ τὸ φυτόν. ὁμοίως καὶ κρόκος ὁ τόπος τε καὶ τὸ ἐν αὐτῷ πεφυκός. Ἀττικοὶ δὲ οὕτω ποιοῦσιν ἐπὶ πολλῶν. Σημείωσαι δὲ καὶ ὅτι ὥσπερ ἀσφοδελὸς ὀξυτόνως κατά τινας περιεκτικῶς ἐῤῥέθη, οὕτω καὶ ἀχυρὸς κατὰ Αἴλιον Διονύσιον ὁ ἀχυροβολών. ἕτερος δέ τις καὶ χρῆσιν εἰς τοῦτο φησίν· Ἑκάβην ὀτοτύζουσαν καὶ καιόμενον τὸν ἀχυρόν. οὕτω δὲ καὶ ὁ ἐν Ἰλιάδι Τρωϊκὸς ἐρινεὸς περιεκτικοῦ τύπου ἐστί. τόπον γὰρ δηλοῖ περιέχοντα ἐρινεούς. ὅμοιον δέ πως καὶ τὸ ἄστρον κατά γε τὸ περιεκτικὸν εἶναι ἀστέρων, εἰ καὶ μὴ ἐσχημάτισται μήδ' αὐτὸ κατὰ τὰ περιεκτικὰ ὢν εἰς ¯ων ὀξύτονος ἡ κατάληξις. ἐν οἷς καθ' Ἡρῳδιανὸν καὶ ὁ πλαταμὼν, ἔτι δὲ πρὸς ἄλλοις καὶ ὁ ἑορτὼν, μὴν Ἀττικός. δῆλον δὲ ὅτι καὶ ἡ πτερὺξ κατὰ τὴν Ἀριστάρχειον ἔκδοσιν περιεκτικῆς ἐννοίας ἐστὶν, ὡς καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. κοινοῦ δὲ πάντως τύπου περιεκτικοῦ καὶ τὸ ᾠδεῖον σχολεῖον μουσεῖον βαλανεῖον κουρεῖον χαμαιτυπεῖον καὶ ὅσα τοιαῦτα. καὶ ὁ νομὸς δὲ περιεκτικόν τι ἐστί. τόπον γὰρ δηλοῖ ἐν ᾧ ἡ νομή. καὶ ἡ ἀχυρμιὰ δὲ καὶ ἡ μυρμηκιὰ, μιᾶς λέξεως προφορᾷ, τόπον τε δηλοῦσι καὶ τὸ ἐν αὐτῷ περιεχόμενον. (ῃερς. 543.) Ὅτι ἐπὶ ἐχθρῷ νικηθέντι καὶ διὰ μῖσος ἀφεστηκότι ἔστιν εἰπεῖν τὸ, νόσφιν ἀφεστήκει κεχολωμένος εἵνεκα νίκης ἥν μιν ἐγὼ νίκησα. Ὀδυσσεὺς δὲ τοῦτο φησὶ περὶ Αἴαντος ὃν ἐνίκησε δικαζόμενος παρὰ νηυσὶ τεύχεσιν ἀμφ' Ἀχιλῆος. (ῃερς. 545.) ἔθηκε δὲ αὐτὰ Θέτις. παῖδες δὲ Τρώων (ῃερς. 548.) δίκασαν καὶ Παλλὰς Ἀθήνη, τουτέστι φρόνησις, καθ' ἣν καὶ περιεγενέτο τοῦ ἀνδρείου Αἴαντος ὁ συνετὸς Ὀδυσσεὺς καὶ διατοῦτο τῇ Ἀθηνᾷ φίλτατος. (ῃερς. 547.) ὃς καὶ δυσχεραίνων ἐπὶ τῷφόνῳ τοῦ ἥρωός φησιν ἐνδιαθέτως, ὡς δὴ μὴ ὄφελον νικᾷν τοιῷδ' ἐπ' ἀέθλῳ, ὃ δὴ ἔστι λέγεσθαι ὅτε τις 1.434 νικήσει ἐφ' οἷς οὐ χρή. τοίην γάρ φησι κεφαλὴν ἕνεκ' αὐτῶν γαῖα κατέσχεν. ἐφ' οἷς εἰπόντος τοῦ ποιητοῦ (ῃερς. 549.) ὅτι ὁ Αἴας πέρι μὲν εἶδος πέρι δ' ἔργα τετύκτο ἤγουν περιττὸς καὶ πολὺς ἦν κατά τε εἶδος κατά τε πράξεις, καὶ ἐπαγαγόντος τὸ, (ῃερς. 550.) τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα, γέγραπται σχόλιον παλαιὸν σύμφωνον τοῖς τοῦ ποιητοῦ, τὸ, παῖ τε Τελαμῶνος Αἴας αἰχμητὰ, λέγουσί σ' ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν καὶ Ἀχιλλέα. συλλαλεῖ δὲ τῷ τοιούτῳ λόγῳ καὶ ἡ Ἰλιάς. (ῃερς. 546.) Ἰστέον δὲ ὡς οἱ μὲν ἁπλοϊκώτερον φασὶ Τρῶας καὶ Ἀθηνᾶν δικάσαι Ὀδυσσεῖ καὶ Αἴαντιπερὶ τῶν Ἀχιλλέως ὅπλων ἐρίζουσι. καὶ δὴ Κόϊντος διασκευάζει ἐν τοῖς αὐτοῦ τὴν δίκην ῥητορικῶς. ἕτεροι δέ φασιν ὅτι ἐπίτηδες Ἀγαμέμνων φυλαττόμενος τὸ δόξαι θατέρῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῶν ἡρώων χαρίσασθαι αἰχμαλώτους τῶν Τρώων συναγαγὼν ἤρετο αὐτοὺς ὁπότερος τῶν δύο τούτων ἡρώων πρὸς κακοῦ μᾶλλον αὐτοῖς ἐγένετο, τῶν δὲ εἰπόντων ὡς ὁ Ὀδυσσεὺς, ἐκρίθη λοιπὸν ἄριστον εἶναι τὸν πλεῖστα μάλιστα λυπήσαντα τοὺς ἐχθρούς. καὶ εὐθὺς (ηερς. 554.) Ὀδυσσεὺς μὲν ἔλαβε τὰ ὅπλα, Αἴας δὲ ἀπῆλθε ξίφει πεσών. τὰ δὲ τοιαῦτα ὅπλα καὶ οὐλόμενα λέγει Ὀδυσσεὺς διὰ τὸν τοῦ Αἴαντος θάνατον, καὶ πῆμα θεόθεν αὐτὰ τεθῆναι τοῖς Ἀργείοις φησίν, (ηερς. 553.) εἰπὼν καὶ πρὸς τὸν Αἴαντα λόγον ἐπιπρέποντα μνησικάκῳ ἀνδρὶ, τὸ, οὐκ ἄρ' ἔμελλες οὐδὲ θανὼν λήσεσθαι ἐμοὶ χόλου εἵνεκα τευχέων. (ηερς. 560.) ἐν τούτοις δὲ κεῖται καὶ ἔπος δυσωπητικὸν θυμουμένου τὸ, ἀλλ' ἄγε δεῦρο ἄναξ ἵν' ἔπος καὶ μῦθον ἀκούσῃς ἡμέτερον, δάμασον δὲ μένος καὶ ἀγήνορα θυμόν. ἔνθα ὅρα καὶ τὸ ἔπος καὶ μῦθον ταυτὰ ὄντα κατὰ θέσιν παράλληλον. κεῖται δ' ἐν τῷ ῥηθέντι Ὁμηρικῷ χωρίῳ καὶ τὸ, (ηερς. 564.) ἔνθα κεν ὁμῶς προσέφη κεχολωμένος ἤ κεν ἐγὼ τὸν, (ηερς. 564.) ἤγουν τότε δὴ ἂν ἐπέμεινα ἕως ὁ Αἴας καί τοι κεχολωμένος προσέφη ἂν ἐμὲ καθὰ ἐγὼ αὐτὸν, ἀλλά μοι ἤθελε θυμὸς ἐνὶ στήθεσσι φίλοισι τόδε τι ποιήσειν. οἰκεῖον δὲ τοῦτο εἰπεῖν, ὅτε δυνάμενός τις πεῖσαί τινα ὅμως ἀπόσχηται διά τι ἀναγκαιότερον. ἔστι δὲ τοῦτο καὶ δεινότης Ὁμηρικὴ, δηλοῦσα ὡς ἔπλασεν ἂν λαλοῦντα τὸν Αἴαντα, εἰ μὴ πρὸς τὰ ἐφεξῆς ἠπείγετο. Ἰστέον δὲ ὅτι Παῤῥάσιος ὁ Ἐφέσιος ζωγράφος ἐκ τῆς εἰρημένης κατὰ τὸν Αἴαντα περιπετείας ἐπὶ τῇ ἀποτυχίᾳ τῶν Ἀχιλλείων ὅπλων ἔννοιαν ἀστείαν ἐπορίσατο τοιαύτην. ἀγωνιζόμενος γάρ ποτε τὸν Αἴαντα ἐν Σάμῳ φασὶ πρὸς ἀντίτεχνον καταδεέστερον καὶ ἡττηθεὶς, συναχθομένων αὐτῷ τῶν φίλων, ἔφη, ὡς αὐτὸς μὲν ὀλίγον φροντίζει, Αἴαντι δὲ συνάχθεται δεύτερον ἡττηθέντι. (ηερς. 566.) Ὅτι προθέμενος Ὅμηρος εἰπεῖν καὶ περί τινων ἐν Ἅιδου μὲν κολαζομένων, ἄλλως δὲ ὅτε ἐβίουν εὖ ἐχόντων ὡς ἐν τρυφαῖς ὁποῖος ὁ Τιτυὸς καὶ ὁ Τάνταλος καὶ ὁ Σίσυφος, πρό γε τέως αὐτῶν λέγει περὶ δικαστηρίου τοῦ δικαιοῦντος τὴν ἐπ' αὐτοῖς ἐν Ἅιδου κόλασιν, οὗπερ ὁ Μίνως προκάθηται. εἶτα γράψας περὶ Ὠρίωνος λαλεῖ καὶ περὶ τῶν ῥηθέντων ἀθλίων τριῶν ἡρώων. μεθ' οὓς περατοῖ τὸν λόγον εἰς τὸν σκιοφανῆ Ἡρακλέα, οὐ κόλασιν ἔχοντα, ὥσπερ οὐδὲ ὁ Ὠρίων, σκιὰν δὲ καὶ αὐτὸν ἀΐσσοντα κατὰ τοὺς ῥηθῆναι φθάσαντας. ἔστι δὲ ἃ λέγει περὶ Μίνωος ταῦτα· ἔνθ' ἤτοι Μίνωα ἴδον Διὸς ἀγλαὸν υἱὸν, χρύσεον σκῆπτρον ἔχοντα, (ηερς. 569.) θεμιστεύοντα νεκύεσσιν, ἥμενον, ἐν οἵῳ δηλαδὴ σχήματι καὶ ζῶν ἦν. οἱ δέ μιν ἀμφὶ δίκας εἴροντο ἄνακτα ἥμενοι ἑσταότες τε, (ηερς. 570.) οἱ μὲν δηλονότι ὡς συνδικασταὶ οἱ δ' ὡς κρινόμενοι, κατ' εὐρυπυλὲς Ἄϊδος δῶ, περὶ οὗ πρὸ ὀλίγων γέγραπται, (ηερς. 571.) οὕτω δὲ κατὰ ὅμοιον βιωτικὸν σχῆμα βλέπει Ὀδυσσεὺς καὶ τὸν Ὠρίωνα. φησὶ γάρ· τὸν δὲ μετ' Ὠρίωνα πελώριον εἰσενόησα, θῆρας ὁμοῦ εἰλεῦντα κατ' ἀσφοδελὸν λειμῶνα τὸν προῤῥηθέντα, τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι, περὶ ὧν ἐδηλώθη ἐν ἄλλοις, χερσὶν ἔχων ῥόπαλον παγχάλκεον αἰὲν ἀαγὲς (ηερς. 574.) ἤγουν ἄκλαστον, ἄθραυστον, μὴ ἀγνύμενον. καὶ νῦν μὲν ἀορίστως ἔφη θῆρας ἐπὶ Ὠρίωνος τοῦ προϊστορηθέντος, μετ' ὀλίγα δὲ ὁ τοῦ Ἡρακλέος τελαμὼν ἄρκτους ἔφαινε καὶ σύας καὶ λέοντας. ἦσαν δὲ ἐκεῖνα μὲν ὡς ἐντετυπωμένα ζωγραφικῶς, ταῦτα δὲ κατὰ σκιάν τινα κινουμένην ἰδίᾳ φανταστικῶς, καθὰ καὶ προγέγραπται. (ηερς. 571.) Ὅρα δὲ ἐν τῷ, Ὠρίωνα πελώριον, ὅτι ἐκτείνεται μὲν ἡ προπαραλήγουσα τοῦ Ὠρίωνος, οὐ συστέλλεται δὲ ἡ παραλήγουσα, ὃ δὴ ἐπὶ Ἰξίονος καὶ Ἰάσονοςκαὶ τῶν ὁμοίων γίνεται. (ηερς. 574.) Σημείωσαι δὲ καὶ ὡς οὐ μόνον Ἡρακλῆς ῥοπαλοφόρος ἱστόρηται, ἀλλ' ἰδοὺ καὶ Ὠρίων ῥοπάλῳ χρῆται κυνηγετῶν κατά τινα ὁμοιότητα τοῦ ἐν Ἰλιάδι κορυνήτου. (ηερς. 568.) Χρύσεον δὲ σκῆπτρον φαντασιωδῶς δέδοται καὶ τῷ Μίνωι, τὸ μὲν ὡς δικαστῇ, τὸ δὲ ὡς θείῳ ἀνδρί. Τοῦ δὲ θεμιστεύειν πρωτότυπον τὸ θεμίσσω, ἐξ οὗ καὶ παρὰ Παυσανίᾳ τὸ θεμισσέτω, 1.435 τουτέστι νομοθετείτω, δικαζέτω, καὶ ἡ θέμις. ἧς γενικὴ Δωρικὴ θέμιστος, ὡς καὶ ἐν ἄλλοις ἐῤῥέθη. καὶ ἀπ' αὐτῆς τὸ θεμιστεύειν. ὅτι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ θέμιστες οὐ μόνον δίκαι ἀλλὰ καὶ μαντεῖαι καὶ βουλαὶ, δῆλον ἐκ τῶν παλαιῶν. Ἰστέον δὲ ὅτι ἡ μὲν πλείων ἱστορία δίκαιον οἶδε τὸν Μίνωα. εἰσὶ δὲ οἳ ἀπεναντίας τυραννικόν φασιν αὐτὸν καὶ βίαιον καὶ δασμολόγον, τραγῳδοῦντες καὶ τὰ περὶ μινώταυρον καὶ λαβύρινθον, ὡς ὁ γεωγράφος φησίν. (ῃερς. 575.) Ὅτι Τιτυὸς γῆς υἱὸς βιασάμενος ὑπὲρ γῆς τὴν Λητὼ κακῶς ἔπασχεν ἐν Ἅιδου τὸ ἧπαρ κειρόμενος ὑπὸ γυπῶν. λέγει δὲ τὰ κατὰ τοῦτον ὁ ποιητὴς οὕτω· (ῃερς. 576.) καὶ Τιτυὸν ἴδον Γαίης ἐρικυδέος υἱὸν, κείμενον ἐν δαπέδῳ. ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα, ὡς δῆθεν τοιοῦτός τις ὢν καὶ ὅτε ζῶν ἦν. γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον δέρτρον ἔσω δύνοντες. ὁ δ' οὐκ ἀπαμύνετο χερσί. Λητὼ γὰρ ἥλκησε Διὸς κυδρὴν παράκοιτιν. (ῃερς. 579.) Καὶ ὅρα ὡς ἐνδοξότερον ἐπὶ τῆς γῆς τὸ ὡς ἐῤῥέθη ἐρικυδὲς ἤπερ ἐπὶ τῆς Λητοῦς τὸ ἁπλῶς κυδρόν. (ῃερς. 575.) θρασὺς δὲ ὁ Τιτυὸς καὶ λῃστρικὸς καὶ ὡς οἷον τιτανώδης, ὅθεν καὶ δοκεῖ λαχεῖν τοὔνομα. δηλοῖ δὲ τὸν ἄνθρωπον καὶ ὁ γράψας ὅτι Τιτυὸς κατεῖχε τὸν Βοιωτικὸν Πανοπέα, βίαιος ἀνὴρ καὶ παράνομος, ὃν ἀνεῖλεν Ἀπόλλων, ὥσπερ καὶ Πύθωνα, ἐπίκλησιν δράκοντα. ὃ δὲ καθ' Ὅμηρον πάσχει ὁ Τιτυὸς, δικαιωθῆναι φαίνεται πρὸς τοῦ Μίνωος. οὕτω δὲ καὶ ἡ τοῦ Ταντάλου καὶ τοῦ Σισύφου δίκη ἐκεῖθεν κατεψήφισται. ἔοικε δὲ καὶ μεριμνητικός τις ἐν ζῶσιν εἶναι ὁ Τιτυὸς, καὶ ὑπὸ φροντίδων οἷά τινων γυπῶν συνεχῶς ἀεὶ κείρεσθαι τὰ ἐντὸς, κάτω κείμενος, τουτέστι περὶ γῆν κεκυφὼς ταπολλὰ διὰ τὸ γεωργικὸν, ὅθεν ταύτην τὴν φαντασίαν παρέπεσθαι αὐτῷ καὶ ἐν Ἅιδου. διὸ καὶ γῆς υἱὸς, διὰ τὸ ἄγαν αὐτῆς ἐπιμελεῖσθαι. τοῦτο δὲ καὶ διὰ τὸ μεγαλοσώματον, ὡς ἐν τοῖς περὶ Ἀλωειδῶν προγέγραπται. ἴσως δὲ οὕτω καὶ ὁ Ἀνταῖος υἱὸς ἐμυθεύθη γῆς. ἐκεῖνος μέντοι καὶ ὡς κατακυλίων εὐμεθόδως τοὺς ἀντιπαλαιστὰς τῷ δοκεῖν καταπίπτειν εἰς γῆν τῇ γῇ τε βοηθεῖσθαι κατὰ τὴν πάλην ἐλέγετο καὶ γῆς υἱὸς εἶναι. Ἰστέον δὲ ὅτι τῶν τις πάλαι ἀστείων παρῴδησε ἐν τοῖς ῥηθεῖσιν οὕτως ἐπὶ συκῶν μεγάλων· καὶ σικυὸν ἴδον γαίης ἐρικυδέος υἱὸν, ὁ δ' ἐπ' ἐννέα κεῖτο τραπέζας. Μάτρων δέ φασιν ἐκεῖνος ἦν ὁ παρῳδός. (ῃερς. 576.) Τὸ δὲ ἐπὶ ἐννέα πέλεθρα κεῖσθαι τὸν Τιτυὸν ὑπερβολικόν ἐστι καὶ οὐδὲ πιθανὸν, εἴπερ ἐν Ἰλιάδι ὁ Ἄρης πεσὼν ἑπτὰ ἐπέσχε πέλεθρα. Πέλεθρον δὲ καὶ πλέθρον μέτρον τι γῆς περιφερόμενον μέχρι καὶ νῦν πολλαχοῦ. οἱ δέ φασι καὶ ὅτι μέρος ἕκτον σταδίου ἐστίν, ὥστε κατέχειν τὸν Τιτυὸν τόπον σταδίου ἑνὸς καὶ ἡμίσεος. εἴρηται δὲ περὶ πλέθρου καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα. (ῃερς. 577.) Καλῶς δέ φασιν εἰς ἧπαρ κολάζεται ὁ φαύλως ἐπιθυμήσας Τιτυός. ὡς γὰρ καρδία θυμοῦ τις ἑστία καὶ λογιστικοῦ κεφαλὴ, οὕτω καὶ ἧπαρ ἐπιθυμίας, ὁ δ' αὐτὸς οἰκείως οὐδ' ἀπαμύνεσθαι χερσὶν ἔχει αἷς ἐβιάσατο. (ῃερς. 579.) Δέρτρον δὲ οἱ μὲν τὸν ἐν τοῖς ἐγκάτοις ἐπίπλουν, ὡς Ἀντίμαχος ὁ Κολοφώνιος δηλοῖ ἐν τῷ, χολάδας δέρτροισι καλύψας, Ἀπολλόδωρος δὲ τὸν περὶ κοιλίαν ἐπίπλουν, ὃν καὶ ἀργέτην δημὸν ἐκεῖνος καλεῖ· Δωριεῖς δὲ τὴν ὑπὸ τὴν δορὰν σάρκα τὴν περικαλύπτουσαν τὴν κοιλίαν δέρτρον φασὶ, καὶ ἄλλως δὲ κατὰ τοὺς παλαιοὺς γοργότερον εἰπεῖν, δέρτρον ἡ ὑπὸ τὴν σάρκα πιμελή, ἢ ὁ ὑποκείμενος ὑμὴν τῷ ἥπατι, ἢ ὁ ἐπίπλους, ἢ ἡ δορὰ, ἢ τὸ ἦτρον, ἄλλοι δὲ τὸ ἐφήβαιον δέρτρον εἶπον. Ἱπποκράτης δὲ ἐν τῷ περὶ τραυμάτων φησίν· οὐ σαρκοφυήσει ἐντέρου τὸ λεπτὸν δέρτρον. (ῃερς. 579.) Τὸ δὲ ἥλκησεν ἀντὶ τοῦ ἐβιάσατο. Καὶ ὅρα ὡς ἄλλο μὲν τὸ εἵλκυσε κοινῶς, ἕτερον δὲ νῦν τὸ ἥλκησε. τὸ πειρᾶν γὰρ δηλοῖ, ἐπὶ βίας τεθὲν γυναικός. τὸ δέ γε ἑλκῶσαι ὕστερόν ἐστι παρὰ τοῖς μεθ' Ὅμηρον ἐπὶ τραυματισμοῦ λεγόμενον. Ἡ δὲ Λητὼ Διὸς παράκοιτις λεγομένη ἄλλως πάντως λέγεται ἤπερ ἡ Ἥρα, καὶ καθὰ μνηστήρων ἀλόχους ὁ ποιητὴς φησί που τὰς τοῦ Ὀδυσσέως δμωΐδας, οὕτω δὲ καὶ τῷ Πριάμῳ ἔτεκε μὲν παῖδας καὶ ἡ κατ' ἐξαίρετον γυνὴ Ἑκάβη, ἔτικτον δὲ αὐτῷ καὶ γυναῖκες ἄλλαι. (ῃερς. 580.) Τὸ δὲ Πυθώδε ἀντὶ τοῦ εἰς Πυθὼ, ἣ διφορεῖται Πυθών τε λεγομένη καὶ κλινομένη Πυθῶνος καὶ Πυθὼ, ὡς ἡ Σαπφὼ, ἧς δοτικὴ Πυθοῖ ὡς Σαπφοῖ. Δῆλον δὲ ὅτι τόποι Φωκίδος καὶ ἡ Πυθὼ καὶ ὁ Πανοπεὺς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περὶ οὓς ἦν ἄρχων ὁ Τιτυός. ἔοικε δὲ καὶ καλὸς εἶναι τόπος ὁ Πανοπεὺς, διὸ εὐηρέστηται τῷ ποιητῇ μὴ εὐρύχορον αὐτὸν εἰπεῖν ἀλλὰ καλλίχορον. (ῃερς. 581.) Ὅτι τὸν Τάνταλον Εὐριπίδης μὲν ἀέρι ᾐωρημένον τίνειν δίκην φησὶν ὑπὸ λίθου ἠρτημένου ὑπὲρ κεφαλῆς καὶ ἐκθροοῦντος αὐτόν. ἕτεροι δὲ τὸ Σίπυλον ὄρος αὐτῷ ἐπικατεστράφθαι φασὶ ὑπὸ Διὸς, ἐπειδὴ κύνα χρυσοῦν ἔμψυχον ἔχων αὐτὸς, ὃν ἐκ Κρήτης κλέψας Πανδάρεος ἀπὸ τεμένους Διὸς αὐτῷ παρακατέθετο, 1.436 εἶτα ὑπὸ Ἑρμοῦ ἀπαιτούμενος καὶ ὀμόσας μὴ ἔχειν ἐφωράθη αὖθις ἔχων διὰ τοῦ Ἑρμοῦ. Ὅμηρος δὲἄλλως πλάττων διψᾶν φησὶν ἐν Ἅιδου ἀεὶ καὶ πεινᾶν αὐτὸν, καὶ ἅλις μὲν ἔχειν τῶν εἰς χρείαν, μὴ ἔχειν δὲ ἀπολαύειν αὐτῶν. φησὶ γὰρ ὁ παρ' αὐτῷ Ὀδυσσεὺς οὕτω· καὶ μὴν Τάνταλον εἰσεῖδον κρατέρ' ἄλγε' ἔχοντα, ἑσταότ' ἐν λίμνῃ. ἡ δὲ προσεπέλαζε γενείῳ. στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι. ὁσσάκι γὰρ κύψει' ὁ γέρων πιέειν μενεαίνων, τοσσάχ' ὕδωρ ἀπόλεσκεν ἀναβροχέν. ἀμφὶ δὲ ποσσὶ γαῖα μέλαινα φάνεσκε. καταζήνασκε δὲ δαίμων. δένδρεα δ' ὑψιπέτηλα κατακρῆθεν χέε καρπὸν, ὄχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι, συκαῖ τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι, τῶν, ὁπότ' (ῃερς. 590.) ἰθύσει' ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι, ἤτοι ἐφάψασθαι, τάσδ' ἄνεμος φέρεσκε ποτὶ νέφεα σκιόεντα, ἅρπυιά τις ὧν αὐτὸς οἷς ἔμελλε φαγεῖν Τάνταλος. (ῃερς. 582.) Σημείωσαι δὲ ὅτι τε τὸ ἑσταότα εὑρίσκεται γραφόμενον καὶ ἑστεότα, καὶ ὅτι περὶ αὐτοῦ καὶ τῶν κατ' αὐτὸ Ἡρακλείδης γράφει ὡς αἱ ὁμοφωνίαι τῶν ῥημάτων διαλανθάνειν ποιοῦσι καὶ θέματα καὶ κλίσεις. οἷον πολλάκις ἑνὸς παρακειμένου πολλοὶ ἐνεστῶτες εὑρίσκονται. ἑνὸς δέ φημι ἐν φωνῇ μόνῃ νοουμένου καὶ μὴ ἐν γραφῇ, καὶ μᾶλλον εἰ καὶ πνεῦμα διάφορον εἴη αὐτῷ. τοῦ γοῦν ἦκα παρακειμένου δυσὶ πνεύμασι χρωμένου εἰσὶν ἐνεστῶτες εἰ μὲν ψιλοῦται, ἔθω, οἷον ἔθων Οἰνῆος ἀλωὴν, αἴδω, οἷον αἰδομένων δ' ἀνδρῶν, αἴθω τὸ καίω, αἴσθω, ᾄδω, ἔδω τὸ ἐσθίω. δασυνομένου δὲ ἐνεστὼς ἂν γένοιτο ἥδω, καὶ ἕξω, καὶ ἕω, οὗ σύνθετον τὸ ἀφῆκα, καὶ ἥκω, ἔτι δὲ καὶ τὸ ἵημι. καὶ οὕτω μὲν παρακειμένου ἑνὸς πολλοὶ ἐνεστῶτες εὕρηνται. ἑνὸς δὲ αὖθις ἐνεστῶτος παρακείμενοι πολλοὶ, ὡς οἷον ἐπὶ τοῦ φιλῶ καὶ γηθῶ. ἐφ' ὧν εἷς μὲν παρακείμενος ὁλόκληρος πεφίληκα γεγήθηκα, δεύτερος δὲ γέγηθα πέφιλα, τρίτος παρ' Ἴωσι δίχα τοῦ κάππα, πεφίληα. γεγήθηα. οἷς φησὶ καὶ Ὅμηρος χρῆσθαι εἴωθεν ἐφ' ἑτέρων ῥημάτων, ὡς ὅτε ἐκ τοῦ τετύχηκα τετύχηα λέγει, διαπρύσιον τετυχηώς. τέταρτος δέ φησι παρακείμενος τοῦ φιλῶ, πεφίλεια, πρὸς ὃν Ὅμηρος ἔγραψε τὸ, νεκύων κατατεθνειώτων ἐκ τοῦ τέθνεια παρακειμένου. πέμπτος παρακείμενος ἐκ τοῦ πεφίλεια ὁ πεφίλεα δίχα τοῦ ἰῶτα, οὗ πρὸς ἀκολουθίαν τὸ ἑστεότ' εἰν Ἀΐδαο, ἀπὸ τῆς ἑστεώς φασι μετοχῆς τοῦ στῶ ῥήματος. πολλάκις δέ φησι ὑπαλλάττουσι καὶ ἕκτην διαφορὰν παρακειμένων ἐκ τοῦ ¯ε εἰς τὸ ¯α. τὸ γοῦν ἕστεα ἕσταα λέγουσιν, ἀφ' οὗ μετοχὴ ἑσταώς. τοῦτο δέ φησιν ἢ μετάπτωσίς ἐστι τοῦ ¯ε εἰς ¯α Ἰωνικῶς, ἢ τοῦ ¯η εἰς ¯α. Κατὰ δὲ τὸ ἕσταα ἑσταὼς, γίνεται καὶ δεδαὼς ἐκ παρακειμένου τοῦ δέδαα. οὕτω δὲ καὶ βεβαὼς μεμαὼς γεγαὼς καὶ ἄλλα. ἐν τούτοις δὲ ὁ αὐτὸς Ἡρακλείδης καὶ τὸ πεπαθυῖα διασαφῶν ὅπερ ἐν τοῖς ἑξῆς που κεῖται παρ' Ὁμήρῳ λέγει ὅτι τὰ ὑποτακτικὰ, ὧν αἱ μετοχαὶ εἰς ¯ων ὀξύτονοι, οἷον τύχω τυχὼν εὕρω εὑρὼν, ὁμοίως τοῖς περισπωμένοις ὁριστικοῖς κατὰ τὸν παρακείμενον κλίνονται, οἷον τετύχηκα εὕρηκα, ἐξ ὧν μετοχαὶ τετυχηκὼς εὑρηκώς. οὐκοῦν καὶ τοῦ πάθω παθὼν κίνησις ὅμοια, πεπάθηκα πεπαθηκὼς, θηλυκὸν πεπαθηκυῖα, ὥσπερ δὲ λεληκηκὼς λεληκὼς, γεγηθηκὼς, γεγηθὼς Ἰωνικῇ συγκοπῇ, οὕτω καὶ πεπαθηκὼς πεπαθὼς, οὗ θηλυκὸν πεπαθυῖα. Σημείωσαι δ' ἐν τοῖς προειρημένοις τὸ ἐν φωνῇ μόνῃ καὶ μὴ ἐν γραφῇ, ὃ δηλοῖ παρακείμενον φωνούμενον μὲν ἀκολουθίᾳ κλίσεως καὶ νοήσει μόνῃ, μὴ γραφόμενον δὲ, ὡς ἄχρηστον δηλαδὴ καὶ ἀνέξοιστον, ὡς Ἡρακλείδης φησίν. (ῃερς. 580.) Ἔτι ἰστέον καὶ ὅτι λέγεται τὰ εἰρημένα πάσχειν ὁ Τάνταλος, ἐπειδὴ συνὼν θεοῖς τῶν ἀποῤῥήτων μετέδωκε τοῖς ὁμήλιξι, καὶ οὐ μόνον μυστηρίων τῶν ἐν λόγοις, ἀλλὰ καὶ ἀμβροσίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ νέκταρος. τοιαῦτα δ' ἂν λέγοιτο πάσχειν καὶ ἅπας ἢ φαντασιοκόπος ὢν καὶ ἐλπίσι κεναῖς ἐφ' οἷς οὐ χρὴ βοσκόμενος, ἢ μοχθῶν μὲν ἐπὶ χρησταῖς ἐλπίσι καὶ καραδοκίᾳ κέρδους τινὸς καὶ μᾶλλον ἀγροτικώτερον, εἶτα ἐκπίπτων αὐτῶν ὅτε πρὸς τοῖς ἐλπιζομένοις γένηται καὶ πρὸ χειρῶν ἔχει τὸ ἀγαθόν. καὶ ὁ Τάνταλος δὲ τοιοῦτός τις ἂν δόξειεν εἶναι, πρὸς οὐδέν τι τέλος χρηστὸν ἀεὶ ἐλπιδοκοπούμενος. τῶν δέ γε πλασμένων ᾐωρῆσθαι αὐτὸν οὐρανοῦ μέσον καὶ γῆς οἱ μὲν αἰτίαν τῆς κολάσεως εἶπον καὶ αὐτοὶ τὴν προσεχῶς ῥηθεῖσαν, καὶ μάλιστα τὴν ἀκόλαστον γλῶσσαν, διὸ καὶ μέσος κρέμαται τῶν τε ἄνω ἀποστὰς περὶ οὓς ἠδίκησε, καὶ μηδὲ τοῖς κάτω συνὼν οὓς φιλεῖν ἔδοξεν, ὡς ἂν ἐπίσης καὶ ἀμφοτέρων στέροιτο. καὶ εἰσὶ τοιοῦτοι, ὅσοι κακῆς ὑπολήψεως ἁλόντες ὧν τε εἶχον πρῴην ἐξέπεσον, καὶ ὧν δὲ εἶχον ἐρωτικῶς. ἄλλοι δὲ φιλόσοφον γεγονότα τὸν Τάνταλον δοξάσαι εἶπον μύδρον εἶναι τὸν Ἥλιον καὶ μὴ σῶμά τι θεῖον καὶ γέμον ἀῤῥήτων δυνάμεων. ὅθεν Ἡλίου χόλῳ τιμωρεῖσθαι λίθου διηνεκεῖ καταφορᾷ, ἠρτημένου χρυσῆς καὶ ὡς εἰπεῖν ἡλιώδους ἁλύσεως Ἡλίῳ γὰρ ἡ τοῦ χρυσοῦ ὕλη ἀνάκειται, 1.437 ἵνα περὶ ὃ ἔσφαλτο, ἐκεῖθεν εἴη αὐτῷ ἡ ποινὴ, ἄνωθεν δηλαδὴ καὶ διὰ ἡλιώδους ὕλης καὶ διὰ λίθου, ὃς δὴ ὁμοειδής τις τῷ μύδρῳ ἐστίν. ἐν δὲ τοῖς τοῦ Ἀθηναίου κεῖται ὅτι φιλήδονος καὶ ὁ ἀρχαῖος γέγονε Τάνταλος· συνδιατρίβων γὰρ θεοῖς ἐξουσίας ἔτυχε παρὰ τοῦ Διὸς αἰτήσασθαι ὅτου ἐπιθυμεῖ. ὁ δ' ἀπλήστως ὢν ἀπολαυστικὸς πρὸς τοῖς ἄλλοις μνείαν ἔθετο καὶ τοῦ ζῆν κατὰ θεούς. ἐφ' οἷς ἀγανακτήσας ὁ Ζεὺς τὴν μὲν εὐχὴν ἐπετέλεσε διὰ τῆς ὑποσχέσεως, ὅπως δὲ μηδὲν ἀπολαύῃ τῶν παρακειμένων, ἀλλὰ διατελῇ ταραττόμενος, ὑπὲρ κεφαλῆς ἐξήρτησεν αὐτῷ πέτρον, δι' ὃν οὐ δύναται τυχεῖν οὐδενός. Σημείωσαι δὲ ὅτι ἐκ τοῦ ῥηθέντος ἀερίου Ταντάλου καὶ ταντaλίζεσθαι παρὰ τραγικοῖς τὸ σαλεύεσθαι καὶ σείεσθαι. ὅθεν τὸ, ταλάντοις ἐκτανταλωθεὶς παρὰ Σωπάτρῳ, σκώπτειν βούλεταί τινα ὡς ἐκ πλούτου κατασεσεισμένον εἰς νοῦν διὰ τρυφήν. καὶ παροιμία δέ φασιν ἴσως ἐκεῖθεν τὸ, Ταντάλου τάλαντα. ἐπεὶ πλούσιός ποτε ἦν, ὡς δηλοῖ φασὶ Φιλήμων, εἰπών· Κροίσω λαλῶ σοι καὶ Μίδᾳ καὶ Ταντάλῳ. ἢ καὶ ἀπὸ τῆς τοῦ ὀνόματος φασὶν ὁμοιότητος, ὡς ἀγαθίδες ἀγαθίδων, ἢ ἀγαθίδες ἀγαθῶν. λέγουσι δὲ οἱ τοιοῦτοι ὀνόματος ὁμοιότητα τὴν ὡσανεὶ παρήχησιν τοῦ Ταντάλου καὶ τοῦ ταλάντου, ὥσπερ δὴ παρηχεῖται καὶ τὸ ἀγαθῶν ἀγαθίδες, περὶ οὗ εἴρηται ἀλλαχοῦ. ὁ δὲ τὸν Τάνταλον ὑποπτεύσας πρὸς τῇ ἄλλῃ τρυφῇ καὶ ὀπώραις χαίρειν ἀστείως ἔγραψεν ὅτι Τάνταλος οὐδὲ θανὼν ἀπαλλάττεται τῆς τούτων ἐπιθυμίας, εἴπερ ὁ κολάζων αὐτὸν θεὸς προσιὼν, καθά περ οἱ τὰ ἄλογα τῶν ζῴων θαλλοῖς ἄγοντες, τοιούτοις καρποῖς ἀποκρούεται αὐτὸν τῆς ἀπολαύσεως ὅτε τῆς ἐλπίδος ἐγγὺς ἔλθῃ. ὅτι δὲ καὶ φιλικώτατος ἀνθρώπων ἦν Τάνταλος ὁ Φιλόστρατος ἱστορεῖ, ἐξ οὗ καὶ παροιμιωδῶς, φησὶν, εἴρηται τὸ, ἡ Ταντάλου φιλοτησία πινέσθω. ἦν δὲ αὕτη παρ' Ἰνδοῖς πόσις ἐν ποτηρίοις μεγάλοις, ἐξ ὧν ἐκεῖνοι καθεύδειν μέλλοντες ἔπινον, κύπτοντες ἐπὶ τὰς φιάλας ὡς λέγεται. φασὶ δὲ καὶ ὑπὲρ φιλότητος τὸ ποτὸν τοῦτο εὑρῆσθαι τοῖς Ἰνδοῖς. καὶ ποιοῦνται αὐτοῦ οἰνοχόον Τάνταλον, ὡς δηλαδὴ καὶ ἐκείνου οὕτως ὁσιουμένου τὸ φιλοτήσιον, ἢ ἐν τῷ παρὰ θεοῖς εἶναι ἢ ἐν τῷ κατ' ἀνθρώπους βίῳ. Καὶ ὅρα τὸ περιώνυμον τοῦ Ταντάλου εἰ καὶ Ἰνδοῖς ἔγνωσται. εἰ δὲ καὶ τὸ Φρύγιον ὄρος ἡ Σίπυλος ἢ τὸ Σίπυλον ἐπέπεσεν αὐτῷ κατὰ Διὸς μῆνιν, ἔχει πάντως ἐντεῦθεν συγκρότησιν ἑρμηνείας τὸ τανταλωθῆναι, κείμενον παρὰ Σοφοκλεῖ ἐν τῷ, ἀντίτυπα δ' ἐπὶ γᾷ πέσε τανταλωθεὶς, ἤγουν τὸ τοῦ Ταντάλου παθών. τὸ δὲ ἦν, φασὶ, κατασεισθῆναι. μάλιστα μὲν οὖν τὸ ἄνωθεν κάτω πεσεῖν κατὰ γῆς ἀντιτύπου, ᾗ τινι πτώσει παρηκολούθησε καὶ ἐπίκρυψις ἐπικαταστραφέντος αὐτῷ τοῦ Σιπύλου, ὅπερ οὐκ ἐξανάγκης καὶ ὁ τοῦ Σοφοκλέους ἔπαθε Καπανεύς. ἐτανταλώθη γὰρ ἐκεῖνος μόνῳ τῷ τῆς πτώσεως ἀντιτύπῳ, οὐ μὴν καὶ τῷ λόγῳ τῆς ἐπικρύψεως. ὅτι δὲ φαντασία ἦν καὶ τὰ ἐπὶ Σισύφῳ ῥηθησόμενα πλάσματα, δηλοῖ ὁ Ἀλκμὰν ἐν τῷ, ὁρέοντι μὲν οὐδὲν, δοκέοντι δέ. ἔνθα ὅρα τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀρέοντι, ἐξ οὗ φαίνεται ὅτι τρισὶν ὑποπέπτωκε συζυγίαις τὸ ὀρῶ. καὶ τὸ μὲν ὁράω ὡς βοάω τέτριπται κοινότερον. ἔστι δὲ καὶ ὀρόω πολλαχοῦ. ἰδοὺ δὲ καὶ ὀρέω παρὰ Ἀλκμᾶνι, οὗ μετοχὴ ὀρέων. καὶ οὕτω μὲν ταῦτα. (ῃερς. 582.) Τὸ δὲ προσέπλαζεν ἐκ τοῦ προσπελάζειν συγκέκοπται. ὁμώνυμον οὖν ἐντεῦθεν τὸ πλάζειν, τὸ μὲν ἀντὶ τοῦ πελάζειν, τὸ δὲ ἀντὶ τοῦ πλανᾶν. (ῃερς. 583.) Τὸ δὲ στεῦτο ἀντὶ τοῦ ἵστατο, χρησαμένου φασὶ τοῦ διασκευαστοῦ τῇ λέξει παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ. ἐν Ἰλιάδι γὰρ στεῦταί τι ἔπος ἐρεῖν Ἕκτωρ, ἀντὶ τοῦ ὑπισχνεῖται, διαβεβαιοῦται, ἢ φαίνεται. ἔστι δὲ ὅμως καὶ τούτου θεραπεία ἐκ τοῦ ποιητοῦ, παρ' ᾧ ἐν Ἰλιάδι κεῖται τὸ στέωμεν ἀντὶ τοῦ σταθμῶμεν. ὅθεν ὡς εἰκὸς στέετο καὶ πλεονασμῷ στεύετο, καὶ συγκοπῇ στεῦτο. Τὸ δὲ διψάων ἐνταῦθα μὲν κυριολεκτεῖται, παρ' ἄλλοις δὲ καὶ αὐτὸ καὶ τὰ κατ' αὐτὸ ἰσχυρὰν ἐπιθυμίαν μεταφορικῶς δηλοῦσιν, οἷον ἐν τῷ, ἰσχύειν κελεύω χεῖρα διψῶσαν φόνου. καὶ ἐν τῷ, διψῶ ὑμῖν χαρίσασθαι, καὶ ἐν τῷ, ὅταν οἶμαι δημοκρατουμένη πόλις, ὃ δὴ Πλάτων φησὶν, ἐλευθερίας διψήσασα κακῶν οἰνοχόων προστατούντων τύχοι καὶ πоῤῥωτέρω τοῦ δέοντος ἀκράτου μεθυσθῇ. ἐκ τοῦ τοιούτου διψᾶν καὶ πολυδίψιον κατά τινας Ἄργος, ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, τὸ πολυπόθητον. (ῃερς. 584.) Ἐν δὲ τῷ, κύψει' ὁ γέρων καὶ ἰθύσει' ὁ γέρων, ἠθικῶς τὸ γέρων παρείληπται ὡς ἐν οἴκτῳ. (ῃερς. 585.) Τὸ δὲ ἀναβροχὲν ἀντὶ τοῦ ἐῤῥοφήθη, κατὰ ὀνοματοποιίαν καὶ μίμησιν ἤχου. τραχύτερον δὲ αὐτοῦ τὸ ἀναβροχθὲν, ἐξ οὗ καὶ ὁ βρόχος καὶ τὸ βροχίζειν, ὡς καὶ τὸ ῥοχθεῖν τραχυφωνότερον τοῦ ῥοθεῖν. τινὲς δὲ καὶ διὰ τοῦ ¯υ γράφουσιν ἀναβρυχὲν καθ' ὁμοιότητα τοῦ βέβρυχεν. Ἰστέον δὲ καὶ ὅτι ἐπείπερ ἡ ἀν¯α πρόθεσις κωλύειν δοκεῖ νοεῖν τὸ ἀναβροχὲν ἀντὶ τοῦ καταποθὲν, ἐπάγει πρὸς 1.438 ἑρμηνείαν τὸ, ἀμφὶ δὲ ποσσὶ γαῖα φαίνεσκε, καὶ ἔτι μᾶλλον τὸ, καταζήνασκε δὲ δαίμων, τουτέστιν οὐχ' ἁπλῶς γῆ ἐφαίνετο ἀλλὰ καὶ ξηρὰ, ὥστε ἐν τῷ ὕδωρ ἀναβροχὲν περιττὴ κεῖται ἡ πρόθεσις. οὕτω γάρ ἐστιν ἀναπιεῖν εἰπεῖν τὸ καταπιεῖν. ἴσως δὲ καὶ διὰ τὸ πολλάκις τὴν τοιαύτην βρόξιν γίνεσθαι ἐῤῥέθη τὸ ἀναβροχέν. κεῖται γὰρ μυριαχοῦ ἡ ἀν¯α πρόθεσις ἐπὶ τοῦ πάλιν καὶ πάλιν τὸ αὐτὸ γίνεσθαι. (ῃερς. 586.) Τοῦ δὲ ἀζήνασκε πρωτότυπον μὲν ἄζω. παράγωγον δὲ ἀπ' αὐτοῦ τὸ ἀζαίνω. ἀφ' οὗ κατὰ δευτέραν παραγωγὴν τὸ ἀζηνάσκω, λέξις μόνοις ποιηταῖς χρήσιμος. Κατακρῆθεν δὲ, ὡς καὶ ἐν Ἰλιάδι, ἀντὶ τοῦ κατακάρηθεν ἤτοι κατὰ κεφαλῆς. (ῃερς. 587.) Τὸ δὲ χέε καρπὸν δαψίλειαν ὀπώρας δηλοῖ, ὄμβρου δίκην γινομένης ὑπὲρ κεφαλῆς τοῦ Ταντάλου. (ῃερς. 588.) Τὸ δὲ ὄγχναι καὶ ῥοιαὶ καὶ ἑξῆς οἱ δύο στίχοι ἐν τοῖς περὶ Φαιάκων ἐγράφησαν. (ῃερς. 590.) Τὸ δὲ ἰθύσει' δηλοῖ μὲν τὸ ὁρμήσει' παραχθὲν ἐκ τοῦ ἰθύω τὸ ὁρμῶ. ἐκτείνει δὲ τὴν ἄρχουσαν. γίνεται δὲ ἀπ' αὐτοῦ τὸ ἰθὺς καὶ τὸ ἰθὺ ἐπιῤῥήματα. Ἰστέον δὲ καὶ ὡς πολλὴ διαφορὰ κήπου Ἀδώνιδος καὶ δένδρων Ταντάλου. διὸ τοῦτο μὲν παροιμιακῶς ἐπὶ τῶν ἀκερδῶν τίθεται, ἐκεῖνο δὲ ἐπὶ τῶν ἀκάρπων καὶ ὠκυμόρων. κῆποι γὰρ Ἀδώνιδος φυτάρια ταχὺ ἀναθάλλοντα ἔσω χύτρας ἢ ἀῤῥίχου, καὶ ὅλως κοφίνου τινὸς, καὶ αὐτίκα ῥιπτούμενα κατὰ θαλάσσης καὶ ἀφανιζόμενα καθ' ὁμοιότητά τινα τοῦ κατὰ τὸν ὠκύμορον Ἄδωνιν θανάτου, ὃς ἀνθήσας νεοτήσιον ταχὺ ἀπήνθησε, καταβληθεὶς ὑπὸ Ἄρεος κατὰ τὸν μῦθον. γυναῖκες δὲ τοὺς τοιούτους τημελοῦσαι κήπους ὡσίουν ἐπιταφίους Ἀδώνιδι. (ῃερς. 592.) Ὅτι ὁ Σίσυφος, περὶ οὗ καὶ ἡ Ἰλιὰς δηλοῖ, θανὼν κατὰ μῦθον καὶ δόλῳ αὖθις ἀναβιοὺς οὐκ ἤθελε κάτω ἐλθεῖν, καθὰ συνέθετο, εἰ μὴ βαθὺ γῆρας λαβὸν αὐτὸν κατήγαγεν, ὅθεν κόλασιν εὗρεν ἐν Ἅιδου. διὸ καὶ φαντάζεται αὐτὸν Ὀδυσσεὺς ἐκεῖ κρατερὰ ἄλγεα ἔχοντα λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν, ἤτοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον. ἀλλ' ὅτε μέλλοι ἄκρον ὑπερβαλέειν, τότ' ἀποστρέψασκε κραταιΐς αὖθις, ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής. αὐτὰρ ὅγε ἂψ ὤσασκε τιταινόμενος, κατὰ δ' ἱδρὼς ἔῤῥεεν ἐκ μελέων. κονίη δ' ἐκ κρατὸς ὀρώρει. πολλὰ δὲ τῶν τοιούτων ἐπῶν ἁρμόσοι ἂν καματηρῷ καὶ ἐπιμόχθῳ ἀνδρὶ, ὁποῖός τις ἔοικεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἶναι καὶ ὁ Σίσυφος, ἀνὴρ φαινόμενος ἐγχειρεῖν μὲν ἀεὶ μοχθηραῖς πράξεσι καὶ ὡς οἷον εἰπεῖν ἀναγωγοῖς, μὴ ἀνύειν δὲ τὰ ἐγχειρούμενα διὰ τὸ δυσκατέργαστον, καὶ θέλει μὲν εἶναι μεγαλουργὸς, μὴ ἔχειν δὲ τοῦ τοιούτου τέλους τυχεῖν, ἀλλὰ πονεῖν ἄπρακτα. διὸ καὶ φαντασίαν τοιαύτην ἐν Ἅιδου πέμπει τῷ βλέποντι. ὅτι δὲ κλεπτίστατος ἦν ἀνθρώπων καὶ ὅτι βασιλικὸς ἀνὴρ καὶ ὡς διαβάλλεται Ὀδυσσεὺς ἐξ αὐτοῦ εἶναι, διὸ καὶ Σισυφίδην αὐτὸν ὁ παρὰ τῷ Σοφοκλεῖ χορὸς καλεῖ εἰ καὶ Λαερτιάδης λέγεται, πολλαχοῦ δηλοῦται. ὁ δὲ θάνατος αὐτοῦ καὶ ἡ αὖθις ἀναβίωσις κρύψιν τινὰ δηλοῖ τοῦ ἀνδρὸς δολερὰν καὶ ἀνδρὶ κλέπτῃ πρέπουσαν, καθὰ καὶ Ζάμολξις κατάγαιον φασὶν οἴκημα πεποιηκὼς, ὡς καὶ Πυθαγόρας, καὶ ἀφανισθεὶς ἐκ Θρᾳκῶν αἰφνίδιος τετάρτῳ ἔτει ἐφάνη, καὶ οἱ Θρᾷκες αὐτῷ πάντα τὰ κατ' αὐτοὺς ἐπίστευσαν, ὅτε καὶ ἦν εἰκὸς λογίσασθαι καὶ αὐτὸν τὸ Σοφόκλειον καὶ εἰπεῖν· τί γάρ με λυπεῖ τοῦθ' ὅταν λόγοισι θανὼν ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος; εἰκὸς δὲ καὶ νόσῳ θανασίμῳ κάτοχον γεγονότα τὸν Σίσυφον, εἶτα δὴ ἀνασφήλαντα φήμην πέμψαι, ὡς ἐξ Ἅιδου πέφευγε. δῆλον δὲ καὶ ὅτι Δωρικὸν ἅμα καὶ Αἰολικὸν ὄνομα τὸ Σίσυφος. σιοὺς μὲν γὰρ οἱ Δωριεῖς φασὶ τοὺς θεοὺς, ὡς καὶ ὁ κωμικὸς δηλοῖ ἐν τῷ, ναὶ τὼ σιὼ, ἀντὶ τοῦ νὴ τοὺς θεοὺς ἢ τὰς θεάς. σύφος δὲ ὁ σοφὸς παρὰ Αἰολεῦσιν. ὅθεν Σίσυφος ὁ θεόσοφος. καὶ εἰκὸς Κορινθίων διαλέκτου εἶναι τὴν λέξιν, παρ' οἷς δωρίζουσιν ἦρχεν ὁ Σίσυφος. ὡς δὲ οἱ Δωριεῖς ἔχαιρον καὶ αἰολίζοντες, δηλοῖ Πίνδαρος ἀναμὶξ οὕτω ποιῶν, ἤτοι καὶ Δωρικῶς γράφων καὶ Αἰολικῶς. ὡς δὲ καὶ τὸν θάνατον ὁ Σίσυφος ἔδησεν, ἐν τοῖς εἰς τὴν Ἰλιάδα δεδήλωται. Τοῦ δὲ εἰρημένου σιοῦ παράγωγον καὶ ὁ θίασος, καθὰ δηλοῖ ὁ δειπνοσοφιστὴς, λέγων, ὅτι ἔρανοι εἰσὶ κατὰ τοὺς πολλοὺς αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαὶ, ἀπὸ τοῦ συνερᾶσθαί φησι καὶ συμφέρειν ἕκαστον. ἐκαλοῦντο δὲ καὶ θίασοι. καὶ οἱ συνιόντες ἐπὶ τὰ τοιαῦτα ἐρανισταὶ καὶ συνθιασῶται. ἐκαλεῖτο δέ φησι θίασος καὶ ὁ τῷ Διονύσῳ παρεπόμενος ὄχλος ἀπὸ τοῦ θεοῦ ὃν σιὸν ἐκάλουν οἱ Λάκωνες. οὐκοῦν σίασος καὶ τροπῇ θίασος, καθὰ καὶ ὁ βρυχησμὸς ὡς μαχησμὸς, καὶ τροπῇ ὁμοίᾳ βρυχηθμός. οὕτω δὲ καὶ ὠρύω ὠρυσμὸς, ὡς ῥύω καὶ ξύω ῥυσμὸς καὶ ξυσμὸς, καὶ μεταβολῇ ὁμοίᾳ τοῦ ¯σ εἰς ¯θ ὠρυθμὸς παρὰ Κοΐντῳ. Ὅρα δ' ἐν τοῖς ῥηθεῖσι τὸ συνερᾶσθαι καινὸν ὄν. καὶ ἴσως ἀπ' 1.439 αὐτοῦ γίνεται κατ' ἔννοιαν ἐναντίαν τὸ ἐξερᾶν, οὗ πλείων χρῆσις, ἔτι δὲ καὶ τὸ συμφέρειν γλυκέως ῥηθὲν καὶ δηλοῦν τὸ συνάγειν, ὅπερ ἐπὶ βαστάγματος συνδιαφέρειν λέγεται. ἀφ' οὗ τροπικῶς εἴρηται τὸ, συνδιαφέρει ὁ δεῖνα τῷ δεῖνι τὴν ἀρχήν. ἔτι ὅρα καὶ τὸ, αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαὶ, ὅ πέρ ἐστι περίφρασις τοῦ, αἱ συμβολαὶ, αἱ συμποσιακαὶ δηλαδὴ, ὧν δήλωσις καὶ ἐν τῇ ¯α ῥαψῳδίᾳ τέθειται. (ῃερς. 598.) Τὸ δὲ λᾶαν βαστάζειν καὶ τὸ ὠθεῖν ἐοίκασιν ἀντικειμένως ἔχειν. βαστάζεται μὲν γὰρ τὸ φερόμενον, ὠθεῖται δὲ τὸ ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω βιαζόμενον. πῶς οὖν τὸν αὐτὸν λίθον καὶ βαστάζει καὶ ὠθεῖ ὁ Τάνταλος; ἔστι δὲ εἰπεῖν ὡς ἴσως εἰς μὲν τὸν λόφον ὤθει, ὅτε δὲ κατακυλισθεὶς ὁ λίθος ἀπεστράφη πέδονδε, τότε βαστάζων αὐτὸν ἕως τῶν ποδῶν τοῦ λόφου εἶτα πάλιν ὤθει ἄνω. (ηερς. 594.) Τὸ δὲ σκηρίπτεσθαι, ἀφ' οὗ συγκοπὲν τὸ σκήπτεσθαι ποιεῖ τὸ σκῆπτρον καὶ τὸ σκηπάνιον, ἀντέρεισιν δηλοῖ. (ῃερς. 595.) Τὸ δὲ λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον, ἐπαινεῖται χάριν τῆς συνθήκης. ἐμφαίνει γὰρ τὴν δυσχέρειαν τοῦ τῆς ὠθήσεως ἔργου τῇ τῶν φωνηέντων ἐπαλληλίᾳ, δι' ὧν ὀγκούντων τὸ στόμα οὐκ ἐᾶται τρέχειν ὁ λόγος, ἀλλ' ὀκνηρὰ βαίνει συνεξομοιούμενος τῇ ἐργῳδίᾳ τοῦ ἄνω ὠθεῖν. (ηερς. 597.) ἀμέλει τὸ, ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδὴς ἀχάσμητον ὂν καὶ διατοῦτο οἷον τροχαστικὸν τῇ φράσει, τὸ εὐπετὲς δηλοῖ τῆς τοῦ λίθου καταφορᾶς. Λᾶας δὲ οὐ μόνον λίθος ἐνταῦθά τε καὶ ἀλλαχόθι μυριαχοῦ κλινόμενος λάαος καὶ κατὰ κρᾶσιν λᾶος, ἀλλὰ καὶ Ἦλιδος ἐπίνειον κατὰ τοὺς παλαιοὺς, οὗ μέμνηται καὶ Λυκόφρων κατὰ κρᾶσιν ἐν τῷ· καὶ Λᾶν περήσεις. Λόφος δὲ δῆλον ὡς οὐ μόνον γῆς ὕψος, ἀλλὰ καὶ μέρος ποτὲ τραχήλου ζωϊκοῦ, ἐξ οὗ καὶ καταλοφάδια,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς καὶ προεδηλώθη, ἀντὶ τοῦ κατὰ τοῦ τραχήλου. ὅθεν καὶ λωφῆσαι φασὶ κυρίως τὸ ἀποθέσθαι ἄχθος τὸ ἐπὶ τῷ τραχήλῳ, ἐκταθείσης δηλαδὴ τῆς ἀρχούσης, ὡς καὶ ἐν Ἰλιάδι γέγραπται. (ῃερς. 596.) Ἄκρον δὲ ὑπερβαλεῖν τὸ ὑπὲρ ἄκρον λόφον ῥῖψαι τὸν λίθον, τουτέστιν ἐπὶ τὸ ἐκεῖθεν μέρος τοῦ λόφου. καὶ ἔστιν ἡ μεταφορὰ ἐκ τῶν ἀκοντιζόντων καὶ τῶν τοιούτων, οἳ κατ' ἐπίτασιν βολῆς ὑπερβάλλουσι τὸν σκοπόν. Τὸ δὲ κραταιῒς, ἐπίῤῥημά ἐστιν ἀντὶ τοῦ κραταιῶς. ἀναλογεῖ δὲ τῷ λικριφὶς καὶ τοῖς τοιούτοις. γράφεται δὲ καὶ ἐν δυσὶ λέξεσι, κραταῖ' ἲς, ἤγουν ἡ κραταιὰ ἰσχὺς τοῦ λίθου. εἰ δὲ ἶνα λέγει ἐπὶ λίθου ποιητικώτερον, καινὸν οὐδὲν, εἴγε καὶ ἀναιδῆ τὸν τοιοῦτον λέγει, ἐκ τῶν ἐμψύχων καὶ τοῦτο μεταγαγών. εἰ δὲ τὸ μακρὸν ¯α τοῦ κραταιὰ ἐξεθλίβη, καινὸν οὐδὲ αὐτὸ τάγε εἰς ποίησιν. ἐνθυμητέον γὰρ ἐνταῦθα δίχα μυρίων ἄλλων καὶ τὸ, ἐὰν χρεῖ' ᾖ, ἤγουν εἰ χρεία ὑπάρχει. Ἰστέον δὲ καὶ ὅτι ὁ τὴν Ὀδύσσειαν παραφράσας καλὸς ῥήτωρ τὸ κραταῖ' ἲς οὐ φιλεῖ, ἐθέλει δὲ ἢ κραταιῒς γράφειν ἢ γοῦν ἀλλὰ κραταῒς ὥς τινα τῶν ἀντιγράφων φέρει. γράφει γὰρ οὕτως. Ὁ Σίσυφος ἐώθει πρὸς τὸν ὦμον πέτρον μέγαν καὶ ἐμβριθῆ, χαλεπωτάτην δὴ καὶ οὗτος αὖ συμφορὰν διαντλῶν. κυλινδεῖν γὰρ ἦν ἀνάγκη αὐτῷ πρός τινα ὄρθιον καὶ ὑψηλὴν λόφου ἄκραν τὸν λίθον. καὶ ἐποίει τοῦτο τοῖς ποσὶ καὶ ταῖς χερσὶ γλίσχρως καὶ χαλεπῶς ἀντιλαμβανόμενος, ὡς δὴ ὑπερκυλίσων τῆς ἄκρας εἰς τὸ ἐπίκεινα, ὁπότε δὲ ἐγγυτάτω γένοιτο τῇ ἐλπίδι κατειργάσασθαι τοῦτο, δαίμων τις ἰσχυρὸς ὀνόματι Κραταῒς ὑποφέρεσθαι ἐποίει κάτω τὴν πέτραν ἀποστρέψασα. (ῃερς. 598.) Τὸ δὲ τιταινόμενος σχῆμα ὠθοῦντος δηλοῖ, ὃς χεῖράς τε καὶ πόδας τιταίνει βιαζόμενος τὸ ὠθούμενον. (ῃερς. 597.) Ὅρα δὲ φανερὰν καὶ ἐνταῦθα διαφορὰν τοῦ κυλίειν καὶ τοῦ ὠθεῖν. ὠθεῖται μὲν γὰρ λίθος κάτωθεν ἄνω, κυλίνδεται δὲ ἀνάπαλιν. (ῃερς. 598.) ὁ δὲ καταῤῥέων ἱδρὼς φάντασμα καὶ αὐτὸς καὶ οὐκ αὐτόχρημα ἱδρώς. (ῃερς. 600.) Ὅτι ἐκ τοῦ γνωρίμου Ἀγαμέμνονος Ὀδυσσεὺς ἀρξάμενος λαλεῖν τὰ περὶ ἡρώων εἰς τὸν ἀνδρειότατον Ἡρακλέα παύει τὸν λόγον, ὃν καὶ σκιαγραφεῖ ἐν Ἅιδου δεινὸν, καὶ κατ' αὐτὸ τοῦτο ἐοικότα νυκτὶ, καὶ δεινὸν παπταίνοντα, καὶ τόξον ἔχοντα γυμνὸν, ὡς καὶ δοκεῖν βαλεῖν ἂν, καὶ τελαμῶνι χρώμενον, ὃς τῷ Ἡρακλεῖ συνεξηγρίωτο οἷς ἔφερε δεινοῖς ποικίλμασιν, ἵνα φαντάζοιτο καὶ αὐτὸς καθ' ἣν ἐν ζῶσιν εἶχε σμερδαλεότητα. διαβάλλουσι δὲ καὶ τὸν τοιοῦτον τόπον οἱ ὁμηρομάστιγες διὰ τὸ εἰπεῖν τὸν ποιητὴν ὅτι τε τὴν Ἥβην ἔχει τὸν Διὸς καὶ Ἥρας θυγατέρα κατὰ τὸν μῦθον, καὶ ὅτι εἴδωλον μὲν αὐτοῦ ἐν Ἅιδου,αὐτὸς δὲ σὺν θεοῖς ἄνω τέρπεται, καὶ ὅτι ὁπλοφορεῖ, ὡς ἐῤῥέθη, καὶ ὅτι αὐτίκα ἰδὼν τὸν Ὀδυσσέα λαλεῖ πρινὴ πιεῖν αἵματος. ἀλλὰ τοῦτο μὲν λυθείη ἂν διὰ τοῦ νοηθῆναι ὡς κατὰ τὸ σιωπώμενον ἔπιε. πρὸς δὲ τὰ ἄλλα ὅσα φασὶν ἐκεῖνοι, ὅτι δηλαδὴ οὐκ ἂν πιθανῶς λέγοι τὴν Ἥβην Ἡρακλέος γυναῖκα ἣν ὁ μῦθος θεοῖς φησὶ παρθένον οὖσαν οἰνοχοεῖν, καὶ πῶς οἷόν τε τὸν αὐτὸν ἐν Ἅιδου τε εἶναι 1.440 καὶ ἐν οὐρανῷ, καὶ ὡς οὐδὲ πιθανὸν οὐδὲ τὸ τοιαύτην ἔχειν σκευήν. καὶ τοιαῦτά τινα ἐγχειροῦσιν ἕτεροι λυτικῶς ὡς αὐτοὶ ἐθέλουσι. Σημειοῦνται δὲ οἱ παλαιοὶ, ὅτι τε διάφοροι Ἡρακλεῖς, ὡς καὶ ἀλλαχοῦ ἐῤῥέθη, ὧν εἷς καὶ ὁ Διὸς καὶ Ἀστερίας, ὅς φασι πορευόμενος εἰς Λιβύην ἀνῃρέθη μὲν ὑπὸ Τυφῶνος, Ἰολάου δ' αὐτῷ προσενεγκόντος ὄρτυγα ὀσφρανθεὶς ἀνεβίω. ἔχαιρε γάρ φασι καὶ περιὼν τῷ ζῴῳ τούτῳ, καὶ ὅτι ἐνταῦθα μόνον παρὰ τῷ ποιητῇ θεὸς Ἡρακλῆς πέπλασται. παραπηγνύουσι δὲ τῷ εἰρημένῳ περὶ ὄρτυγος λόγῳ, ὅτι καὶ ὀρτύγιον λέγεται παρὰ τοῖς κωμικοῖς ὑποκοριστικῶς, οὗ χρῆσις τὸ, τίσυον ποιεῖν δύνασαι ὀρτυγίου ψυχὴν ἔχων. φράζει δὲ τὸν περὶ Ἡρακλέος τόπον ὁ ποιητὴς οὕτω, εἰσενόησα βίην Ἡρακληείην, εἴδωλον, αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι τέρπεται ἐν θαλίῃς. καὶ ἔχει καλλίσφυρον Ἥβην παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου. ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν οἰωνῶν ὣς, (ῃερς. 605.) πάντοσε ἀτυζομένων ἤτοι ταρασσομένων, ὁ δ' ἐρεμνῇ νυκτὶ ἐοικὼς, γυμνὸν τόξον ἔχων καὶ ἐπὶ νευρῆφιν ὀϊστὸν, δεινὸν παπταίνων, αἰεὶ βαλέοντι ἐοικὼς, σμερδαλέος δέ οἱ ἀμφὶ περὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

στήθεσσιν ἀορτὴρ, χρύσεος ἦν τελαμὼν, ἵνα θέσκελα ἔργα τέτυκτο. ἄρκτοι τ' ἀγρότεροί τε σύες χαροποί τε λέοντες, ὑσμῖναί τε μάχαι τε, φόνοι τ' ἀνδροκτασίαι τε. (ηερς. 612.) εἶτα ἐπισημαινόμενος καινόν τι καὶ ἐπιτυχὲς χρῆμα τὸν ἀορτῆρα εἶναι φησί· (ηερς. 613.) μὴ τεχνησάμενος μηδ' ἄλλο τι τεχνήσαιτο, ὃς κεῖνον τελαμῶνα ἑῇ ἐγκάτθετο τέχνῃ, τουτέστιν, ὃς ἐκεῖνον τὸν τελαμῶνα ἐποίησε, τοῦτο γάρ ἐστι περιφραστικῶς τὸ, ἑῇ ἐγκάτθετο τέχνῃ, ἐκεῖνος τεχνήσαιτο ἤτοι ἐτεχνήσατο αὐτὸν, μὴ τεχνησάμενος μήδ' ἄλλο τι, τουτέστιν οὐδὲν ἄλλο διὰ βίου ποιήσας ἔργον ἀλλ' ἢ μόνον ἐκεῖνον, ἢ καὶ ἄλλως, οὐδὲν ἕτερον τοιοῦτον ἔργον τεχνησάμενος. ὡς εἴτις φασὶν εἴποι ὅτι Φειδίας ποιήσας τὸν Δία τοιοῦτον οὐδὲν ἄλλο τῇ ἑαυτοῦ τέχνῃ ἐγκατέθετο. Ἕτεροι δὲ τὸν λόγον εἰς ἀρᾶς δεξάμενοι σχῆμα φασὶν ὡς μὴ γένοιτο τῷ τεχνησαμένῳ τὸν τελαμῶνα ἐκεῖνον ἄλλο τι τεχνήσασθαι, ὃς οὕτω σμερδαλέον καὶ φοβοποιὸν πρᾶγμα ἐσκεύασεν, ἢ μᾶλλον, μὴ ὁ τεχνησάμενος ποιήσοι τι ἕτερον ἔργον, ὃς περὶ ἕνα μόνον ἐκεῖνον τὴν τέχνην ἀνάλωσε καὶ οὐ πολλοὺς τοιούτους ἀσχοληθεὶς ἐτεχνήσατο. καὶ ἔστι τὸ μὴ τεχνησάμενος μήδ' ἄλλο τι τεχνήσαιτο περιττότητα ἔχον τοῦ ἑνὸς ἀπαγορευτικοῦ ἐπιῤῥήματος. ἤρκει γὰρ εἰπεῖν, μὴ τεχνησάμενος ἄλλο τι, ἢ τεχνησάμενος μήδ' ἄλλο τι. ὁ δὲ, τὴν ἄκραν ἐμφαίνων ἀπαγόρευσιν, ἐδίπλασε τὸ μ¯η καθ' ὁμοιότητα τοῦ, οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς, καὶ τῶν τοιούτων. τινὲς δὲ τὸν τοιοῦτον στίχον δυσσὶ κόμμασι μερίσαντες τὸ μὲν πρῶτον ἐλλειπτικῶς νοοῦσι, τὸ δὲ δεύτερον ἐντελῶς, ἵνα ᾖ, μὴ τεχνησάμενος εἴη, μήδ' ἄλλο τι τεχνήσαιτο. καὶ ἔστιν ὅμοιον τῷ, μὴ μνηστεύσαντες μήδ' ἄλλοθ' ὁμιλήσαντες. καὶ ἐκεῖνο γάρ τινες τοιῶσδε εἶπον, μὴ μνηστεύσαντες εἶεν καὶ ἑξῆς. (ηερς. 600.) Σημείωσαι δὲ ὅτι ἐν μὲν τοῖς ἄλλοις ἅπασιν ἡρωϊκοῖς προσώποις τοῖς ἀπὸ τοῦ ἰδεῖν ἐχρᾶτο ῥήμασιν ὁ ποιητὴς, οἷον· τὰς δεῖνα ἴδον, ἢ εἰσεῖδον, ὁμοίως καὶ τοὺς δεῖνα, ἐπὶ δέ γε Ἡρακλέος καὶ Ὠρίωνος τὸ εἰσενόησα εἶπε. καὶ ὅτι καθὰ περὶ τὸν Ἀγαμέμνονα ψυχαὶ ἄλλαι ἀγειγέρατο ὅσαι ἅμα αὐτῷ ἔθανον, καὶ τῷ πελωρίῳ δὲ Ὠρίωνι θῆρες οὓς αὐτὸς κατέπεφνε, οὕτω καὶ περὶ τὸν Ἡρακλέα, τρόπον μέντοι ἄλλον, θῆρες φαίνονται, οὐ παρ' αὐτοῦ πεσόντες, ἀλλὰ τῷ παρ' αὐτῷ τελαμῶνι σκιαστικῶς ἐμφαινόμενοι. (ηερς. 605.) Καὶ ὅτι τὸ, ἐρεμνῇ νυκτὶ ἐοικὼς καὶ ἑξῆς ἕως τοῦ, βαλέοντι ἐοικὼς, χρήσιμον εἰς τὸν ἀπειλούμενον ἀτέλεστα, καθὰ καὶ τὸ τοῦ Ἡρακλέος ἐν Ἅιδου εἴδωλον οὐκ εἶχε βλάπτειν εἰ καὶ βαλέοντι ἐῴκει. σπαταλῶντα δέ τινα δηλοῖ τὸ, αὐτὸς δὲ τέρπεται ἐν θαλίαις καὶ ἔχει καλλίσφυρον Ἥβην. (ηερς. 600 ετ 601.) Τὸ δὲ βίην Ἡρακληείην, εἴδωλον, ἣν μὲν ἂν κοινὸν εἴπερ ἐγράφη βίης Ἡρακλέος εἴδωλον. ὡς δὲ νῦνκεῖται, Ὁμηρικόν ἐστι καὶ Ἀττικὸν, τελείας μὲν στιζομένης ἐν τῷ βίην Ἡρακληείην, εἶτα πρὸς σαφήνειαν ἐπαγομένου τοῦ εἴδωλον, ἵνα μὴ νοοῖτο ἄρτι Ἡρακλῆς αὐτὸς ἐκεῖνος, ἀλλὰ τὸ αὐτοῦ εἴδωλον, ὡς τοῦ μὲν σώματος καυθέντος κατὰ τὴν Τραχινίαν Οἴτην, τῆς δὲ ψυχῆς ἄνω οὔσης, τοῦ δὲ εἰδώλου περὶ τὸν Ἅιδην, οὗ καταπαίζει εὐφυῶς ὁ Λουκιανός. (ηερς. 603.) Ἡ δὲ Ἥβη ἀλληγορικῶς Διὸς καὶἭρας λέγεται διὰ τὸ ἀκάματον καὶ ἀεὶ νεάζον τῶν στοιχείων εἰς ἅπερ ἀλληγορεῖται Ἥρα καὶ Ζεύς. ἀπὸ Ἥβης δὲ οὐ ταύτης τῆς μυθικῆς οὐδὲ μὴν τῆς καθ' ἡλικίαν, ἀλλὰ τῆς κατὰ μέρος σωματικὸν, ὅθεν καὶ τὸ ἐφήβαιον, ἔτι δὲ καὶ τὸ ἡβυλλιᾶν παρὰ τῷ κωμικῷ, ἔπαιξέ τις τῶν παλαιῶν ἐξ ἀφορμῆς τῆς κατὰ τὸν μῦθον Ἥβης οὕτως· ἐκαυχήσατό τις φιλεῖν τράχηλον γυναικὸς καὶ τιτθοὺς καὶ ὀμφαλόν. καὶ αὐτὸς μὲν οὕτως ἔφη, ὁ δὲ ἀκούσας εἶπεν ὡς πονηρὸν τοῦτ' ἤδη. καὶ γὰρ ὁ Ἡρακλῆς ἀπὸ 1.441 τῆς Ὀμφάλης ἐπὶ τὴν Ἥβην μεταβέβηκεν. (ηερς. 604.) Νεκύων δὲ κλαγγὴν ἐνταῦθα εἰπὼν ὡς οἰωνῶν ἐρεῖ ἀλλαχοῦ τρισμὸν ψυχῶν τῶν ἐν Ἅιδου οἷα νυκτερίδων, ὡς ἐκεῖ φανεῖται. (ηερς. 605.) Τὸ δὲ ἐοικὼς οὕτω καίριον, ὥστε δὶς αὐτὸ εἶπεν ἐν τῷ, νυκτὶ ἐοικὼς, καὶ βαλέοντι ἐοικώς. ἔνθα καὶ κάλλος ἐστὶν, ὡς ἐν τέλει στίχων κειμένων τῶν τοιούτων μετοχῶν. Γυμνὸν δὲ τόξον λέγει τὸ ἔξω γωρυτοῦ. (ηερς. 606.) Ἀορτὴρ δὲ καὶ τελαμὼν ταυτά εἰσι κατὰ πολυωνυμίαν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς καὶ ὁ ποιητὴς δηλοῖ εἰπὼν ἀορτὴρ, εἶτα πρὸς ἑρμηνείαν ἐπαγαγὼν τὸ, χρύσεος τελαμών. γίνεται δὲ ὁ ἀορτὴρ παρὰ τὸ ἀείρω, τὸ κρεμῶ καὶ μετεωρίζω, καὶ δηλοῖ τὸν κρεμαστῆρα τοῦ ξίφους. (ηερς. 610.) Σύες δὲ ἀγρότεροι πρὸς διαστολὴν τῶν οἰκοτραφῶν σιάλων. Χαροποὶ δὲ λέοντες οἱ τοιούτους ἔχοντες τοὺς ὀφθαλμούς. χρώματος δὲ ὀφθαλμῶν δηλωτικὸν καὶ τὸ χαροπὸν, λεγόμενον καὶ ἐπὶ παρδάλεων. ἀπὸ δὲ τῆς τοιαύτης χαροπότητος καὶ χάρων ὁ λέων ἐν ῥητορικῷ κεῖται λεξικῷ. ἐκεῖνο δὲ ἴσως καὶ κατ' ἀντίφρασιν. μᾶλλον γὰρ φοβερὸς ὁ λέων καὶ οὐ χαρὰν ποιῶν, ἤδη δὲ καὶ κατὰ τὸ θανατοποιόν. ἐπεὶ καὶ ὁ Χάρων ἐν Ἅιδου διακονεῖ. (ηερς. 611.) Τὸ δὲ ὑσμῖναί τε μάχαι τε ταυτά εἰσιν, ὥσπερ καὶ τὸ, φόνοι τ' ἀνδροκτασίαι τε. (ηερς. 613.) Τὸ δὲ ἑῇ ἐγκάτθετο τέχνῃ, δηλοῖ μὲν, ὡς ἐῤῥέθη, κατὰ περίφρασιν τὸ ἐτεχνήσατο. πάνυ δὲ καλῶς ἐνταῦθα ἔχει τὸ ἐγκατέθετο, διὰ τὸ μὴ ῥᾷον καὶ ἀπόνως κατεσκευάσθαι τὸν ἀορτῆρα, ἀλλὰ κειμηλιωθῆναι οἷον εἰς χρονίαν κατασκευήν. (ηερς. 616.) Ὅτι ὁ ποιητής τε καὶ ὁ Ὀδυσσεὺς ὁ μὲν συνιστῶν παρὰ Φαίαξιν ἑαυτὸν ὡς Ἡράκλειον ἆθλον μικροῦ ἀνύσαντα καὶ τῶν Ἡρακλέος ἄθλων τὸν δυσκατεργαστότερον, ὁ δὲ τὸ ἄπιστον τῆς εἰς Ἅιδου καθόδου τοῦ Ὀδυσσέως θεραπεύων ῥητορικῷ νόμῳ δι' ὁμοίου διηγήματος ὡς μηκέτι καινὸν ὂν τὸ κατὰ τὸν Ὀδυσσέα, εἰ καὶ ἄλλοτε τοιοῦτόν τι γέγονε, πλάττουσι τὸν Ἡρακλέα ἐν Ἅιδου, ὡς ἔγνω τε τὸν Ὀδυσσέα καὶ διογενῆ καὶ πολυμήχανον ὀνομάσας προσφωνεῖ οὕτως· ἆ δειλέ, (ηερς. 617.) ἦ δή τινα καὶ σὺ κακὸν μόρον ἡγηλάζεις, ὅν περ ἐγὼν ὀχέεσκον ὑπ' αὐγὰς ἠελίοιο. Ζηνὸς μέν φησι πάϊς ἦα Κρονίονος. αὐτὰρ ὀϊζὺν (ηερς. 6.) εἶχον ἀπειρεσίην. μάλα γὰρ πολὺ χείρονι φωτὶ (ηερς. 621.) δεδμήμην. ὁ δέ μοι χαλεποὺς ἐπετέλλετ' ἀέθλους, ὃ δὴ ἔχει τι λέγειν ἀγαθὸς ἀνὴρ ὑποτεταγμένος χείρονι τινὶ καὶ δεινὰ ἐπιτασσόμενος. εἶτα ἐπιφέρει· (ηερς. 622. 623.) καὶ ποτέ μ' ἐνθάδ' ἔπεμψε κύν' ἄξοντα, οὐ γὰρ ἔτ' ἄλλον φράζετο τοῦδέ τί μοι κρατερώτερον εἶναι ἄεθλον. (ηερς. 624.) τὸν μὲν ἐγὼν ἀνένεικα, τὸν κύνα δηλαδὴ Κέρβερον, καὶ ἤγαγον ἐξ Ἀΐδαο. (ηερς. 625.) Ἑρμείας δέ μ' ἔπεμψεν ὁ κλεπτικὸς καὶ γλαυκῶπις Ἀθήνη. Ἰστέον δὲ ὅτι καὶ Ἡρακλῆς, ὡς καὶ ἐν Ἰλιάδηλοῦται, εἰς φιλόσοφον ἄνδρα ἐκλαμβάνεται παρὰ τοῖς παλαιοῖς. διὸ καὶ οὐκ ἀπίθανον Ὀδυσσέα τε καὶ Ἡρακλέα φιλοσοφίας τροφίμους ἄνδρας, τὰ αὐτὰ ποιεῖν ἐνεργήματα. ὅθεν καὶ καθὰ τῷ Ὀδυσσεῖ Ἀθηνᾶτὰ πλείω κατορθοῖ, δι' ἧς καὶ τῆς Καλυψοῦς ἀπολέλυται συμπράξαντός τι καὶ τοῦ Ἑρμοῦ, οὕτω καὶ τὸν Ἡρακλῆ Ἀθηνᾶ πέμπει καὶ Ἑρμῆς, ἀνάξοντα τὸν θρυλούμενον Κέρβερον. οὗ ἡ ἀλληγορίαἑτέρωθι κεῖται. (ηερς. 617.) Ἰστέον δὲ ὅτι τὸ, ἆ δειλὲ καὶ ἆ δειλοὶ, πολλαχοῦ κείμενον πολλάκις καὶ ἐδηλώθη τί δηλοῦν βούλεται. Ἠγηλάζειν δὲ κατὰ τοὺς παλαιοὺς τὸ διώκειν, ἄγειν, φυγαδεύειν, πορθεῖν, ἵνα ᾖ τὸ κακὸν μόρον ἡγηλάζεις ἀντὶ τοῦ κακὴν τύχην ἄγεις, καὶ τὸ πάγχυ κακὸν ἡγηλάζει ἀντὶ τοῦ ὁδηγεῖ, ἄγει. πρωτότυπον δὲ αὐτοῦ, τὸ ἄγειν καὶ τὸ ἐλᾶν, ὅθεν ἀγηλᾶν, καὶ κατὰ παραγωγὴν ἀγηλάζειν, καὶ κατὰ τροπὴν ἡγηλάζειν. διὸ οὐδὲ δασύνεται ἡ ἄρχουσα. ἐκ τοῦ ἄγειν γάρ. χρήσιμον δὲ εἰς τοῦτο καὶ τὸ ἀγηλατεῖν παρὰ Σοφοκλεῖ. ἐκεῖνο μέντοι καὶ δασύνεται παρὰ τὸ ἄγος. (ηερς. 618.) Τὸ δὲ ὀχέεσκον ἀντὶ τοῦ ᾤχουν ἤτοι ἔφερον, ἐβάσταζον, καὶ ἔστι τὸ, κακὸν μόρον ἡγηλάζειν, ἤγουν ἄγειν, καὶ κακὸν μόρον ὀχεῖν ἀντὶ τοῦ φέρειν ταυτόσημα. (ηερς. 619.) Τὸ δὲ Κρονίονος ἐκτείνει μὲν καὶ ἐνταῦθα κατὰ ἀναχρονισμὸν τὴν προπαραλήγουσαν, συστέλλει δὲ τὴν παραλήγουσαν. (ηερς. 6.) Ὡς δὲ πολὺ χείρων Ἡρακλέος ὁ ἐπιτάσσων αὐτῷ Εὐρυσθεὺς, καὶ ὅπως τοῦτο συνέβη, ἡ Ἰλιὰς δηλοῖ.(ηερς. 621.) Τὸ δὲ ἐπιτέλλεσθαι διφορεῖται. λέγεται γάρ ποτε καὶ ἐπιτέλλειν ἐνεργητικῶς. (ηερς. 622.) Τὸ δὲ ἔπεμψε δὶς ἐνταῦθα λεχθὲν διαφόρως εἴρηται. Εὐρυσθεὺς μὲν γὰρ πέμπει ἤτοι συστέλλει τὸν Ἡρακλέα. Ἑρμῆς δὲ καθ' ὁδηγίαν πέμπει. (ηερς. 623.) Δὶς δὲ καὶ τὸ ἔτι ἐνταῦθα εἶπεν ἐν τῷ, οὐ γὰρ ἔτι ἄλλον φράζετο τοῦδ' ἔτι κρατερώτερον ἄεθλον, περιττῶς τοῦτό γε ποιήσας καὶ οὐ κατά τινα διαφοράν. Τὸ δὲ ἀνένεικα ἀντὶ τοῦ ἀνήνεγκα, λέγεται δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ αὐτὸ καὶ ἀνενείκασθαι, ὅτε καὶ δηλοῖ τὸ ἀνελθεῖν, ὡς τὸ, ἀνενείκαντο εἰς τὸ Κωρύκιον παρὰ Ἡροδότῳ. ἴσως δὲ καὶ τότε ἀνακομιδήν τινα δηλοῖ 1.442 ὡς καὶ τὸ, ἐς Σπάρτην ἀνενείκαντο καὶ αὐτοὶ ἀνέβησαν. τοιοῦτον δέ τι καὶ τὸ ἀνενείκατο φώνησέν τε, ἤγουν ἀναγαγὼν πνεῦμα, ἐμελῴδησεν. (ηερς. 629.) Ὅτι ἐμφαίνων ὁ ποιητὴς πολλὰ μὲν ἔτι ἔχειν διηγήσασθαι περὶ παλαιῶν ἡρώων, οἷον καὶ τὰ κατὰ Θησέα καὶ Πειρίθοον, περιττὸν δὲ κρίνειν ἐμβραδύνειν τοῖς κάτω, ὃς καὶ Πατρόκλου καὶ Ἀντιλόχου πρὸ βραχέων μνησθεὶς, οὐδὲν ἱστόρησε περὶ αὐτῶν, ὡς ἂν μὴ ἐπιπολὺ παρατείνῃ τὸ ἐπεισόδιον, φησί· καὶ δὴ ἂν ἔτι προτέρους ἴδον ἀνέρας, οὓς ἔθελόν περ, Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα. (ηερς. 631.) ἀλλὰ πρὶν ἐπὶ ἔθνε' ἀγείρετο μυρία νεκρῶν ἠχῇ θεσπεσίῃ. ἐμὲ δὲ χλωρὸν δέος ᾕρει. τοῦτο δὲ παρῳδηθῆναι δύναται εἴς τινα δεινὴν πολυπλήθειαν. (ηερς. 630.) Ἀοίδιμος δὲ ἐν ἱστορίαις καὶ ὁ Πειρίθοος καὶ ὁ Θησεύς. οὓς καὶ ἐθέλειν διατοῦτο ἰδεῖν εἶπεν ὁ Ὀδυσσεύς. (ηερς. 632.) χλωρὸν δὲ καὶ νῦν δέος τὸ χλωροποιὸν ἤτοι ὠχροποιὸν, ὡς καὶ οἶνος ἐρυθρὸς κατὰ τοὺς παλαιοὺς οὐ μόνον ὁ μέλας, ἀλλὰ καὶ ὁ ἐρυθροποιὸς τοῖς πίνουσιν. (ηερς. 633.) Ὅτι δέδιεν Ὀδυσσεὺς ἐν Ἅιδου, μή μοι γοργείην κεφαλήν φησιν δεινοῖο πελώρου ἐξ Ἀΐδος πέμψειεἀγαυὴ Περσεφόνεια βραδύνοντι κάτω. Λέγει δὲ γοργείαν κεφαλὴν δαιμόνιόν τι φοβερὸν, ὅλην γοργόνα, κατὰ τὸ, Τεῦκρε, φίλη κεφαλή. φασὶ δὲ οἱ παλαιοὶ γελοῖον εἶναι τὸν φόβον, ὡς εἴπερ μὴ εἴδωλον καὶ ἡ γοργὼν ἐν Ἅιδου ἦν, ἀλλ' αὐτὴ ἐκείνη, ἐμφαίνει δὲ ὅμως Ὀδυσσεὺς ἀκολούθως τοῖς πεπλασμένοις, ὡς δεινὴ κατὰ τὴν ποτὲ ἀληθῆ γοργόνα, οὕτω καὶ ἡ τῆς Γοργόνος εἰκασία, γοργείην γὰρ κεφαλὴν οἱ παλαιοὶ τὴν τῆς Γοργόνος εἰκόνα φασί. κεῖται δὲ περὶ γοργείας κεφαλῆς καὶ ἐν Ἰλιάδι, ὅπου περὶ τῆς κατὰ τὴν Ἀθηνᾶν αἴγιδος ἐῤῥέθη. ἔνθα ὥσπερ ἡ ἔρις καὶ ἡ ἀλκὴ οὐκ αὐτὰ ἐκεῖνα εἰσὶ τὰ σωματοειδῆ, οὕτως οὐδὲ γοργεία αὐτόχρημα κεφαλὴ τῇ αἰγίδι ἐντέθειται, ἀλλὰ ἢ ἀντίμιμόν τι αὐτῆς, ἢ κατάπληξις δηλοῦται γινομένη διὰ τῆς αἰγίδος οἷα καὶ Γοργόνος τινός. Ἰστέον δὲ ὅτι τε καὶ πᾶς ἄγριος ἀνὴρ καὶ φοβερὸς λέγοιτο ἂν γοργείη κεφαλὴ δεινοῖο πελώρου. καὶ ὅτι ἄλλων ἄλλα φαμένων περὶ Γοργόνος ἤτοι Γοργοῦς, διττὴ γὰρ αὐτῆς ἡ κλίσις καθὰ καὶ τῆς ἀηδόνος καὶ τῆς χελιδόνος, Ἀλέξανδρος ὁ Μύνδιος ἱστορεῖ ὡς ἐν τοῖς τοῦ Ἀθηναίου φέρεται, ὅτι τὴν Γοργόνα τὸ ζῷον καλοῦσιν οἱ ἐν Λιβύῃ νομάδες, ὅπου καὶ γίνεται, κατώβλεπτα ἢ κατώβλεπτον. ἔστι δὲ προβάτῳ ἀγρίῳ ὅμοιον, κατὰ δέ τινας μόσχῳ. τῇ δ' ἀναπνοῇ πάντα τὰ ἐντυχόντα διαφθείρει. καὶ ἐμβλέψαν δὲ κτείνει, οὐ πνεύματι ἀλλὰ τῇ γινομένῃ ἀπὸ τῶν ὀμμάτων φορᾷ. τοιούτῳ δ' ἂν εἰκάζοιτο ζῴῳ πᾶς ὁ κατὰ πρόσχημα μὲν ἀρετῆς κάτω νεύων εἰς γῆν, ἄλλως δὲ πῦρ, ὅ φασιν ὢν εἰς φθοράν. Ἰστέον δὲ ὅτι ἐκ τῆς ἐνταῦθα γοργείας κεφαλῆς καὶ ἐκ τοῦ ἐπέῤῥεεν ἔθνεα νεκρῶν λαβὼν ὁ Πλάτων ἔφη τὸ, ἐπιῤῥεῖ μοι ὄχλος τοιούτων Γοργόνων καὶ Πηγάσων καὶ ἑξῆς. παράγωγον δὲ ἡ γοργεία κεφαλὴ ἢ τῆς Γοργοῦς ἢ ἀλλὰ τῆς Γοργόνος, (ηερς. 634.) ἵνα ᾖ γοργονείη καὶ ἐν συγκοπῇ γοργείη. Γοργόνος δὲ παράγωγον κτητικῷ τύπῳ καὶ τὸ γοργόνειον, εἴδωλόν τι αὐτὸ Γοργόνος ἀνακείμενον Ἀθηνᾷ πολιάδι, οὗ χρῆσις ἐν τῷ, τῆς θεοῦ τὸ γοργόνειον ἐκ τῆς ἀκροπόλεως ὑφελόμενος. ὅτι δὲ ἡ Περσεφόνη καὶ κόρη παρὰ τοῖς ὕστερον φέρεται λέγεσθαι κατά τινα ἐξοχὴν καὶ μᾶλλον παρ' Ἀττικοῖς, δῆλόν ἐστι. Πέμπει δὲ Περσεφόνη πρὸς ἐκφόβησιν γοργείαν κεφαλὴν, καθὰ καὶ Ἔμπουσαν ἢ Ἑκάτη. Ἔμπουσα γάρ, φασι, φάσμα δαιμονιῶδες ὑπὸ Ἑκάτης πεμπομενον, ὃ τινὲς μὲν Ὀνόκωλιν λέγουσιν, οἱ δὲ Ὀνόσκελιν. (ηερς. 638.) Ὅτι εἰ καὶ ἐν ἄλλοιςό ποιητὴς ἐμφαίνει θάλασσαν εἶναι τὸν Ὠκεανὸν κατὰ τοὺς φιλοσόφους, ἀλλ' ἐνταῦθα ποταμὸν φανερῶς αὐτὸν λέγει ποιητικῶς φράζων, οὔτε τῆς ἀληθείας ἐθέλων ἀπέχεσθαι, καὶ τῇ ποιήσει δὲ τὰ εἰκότα χαριζόμενος. φησὶ οὖν· τὴν δὲ νῆα κατ' Ὠκεανὸν ποταμὸν φέρε κῦμα ῥόοιο. πρῶτα μὲν εἰρεσίη, ἔπειτα δὲ κάλλιμος οὖρος. ὡσαύτως δὲ καὶ ἐν τῇ εὐθὺς ἐφεξῆς ῥαψῳδίᾳ. αὐτὰρ ἐπεὶ ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο νηῦς. ἴσως δὲ καὶ Ἀντίκλεια εἰποῦσα ὅτι μέσσῳ γὰρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα Ὠκεανὸς μὲν πρῶτα ποταμὸν δοξάζει καὶ τὸν Ὠκεανὸν, δηλοῦσα ἐκεῖ καὶ αὐτὴ, ὅτι πέραν Ὠκεανοῦ ἡ νεκύα πλάττεται τῷ ποιητῇ. καὶ τοῦτο μὲν ἁπλοϊκώτερον. ὁ δὲ γεωγράφος φησὶν ἐν τῷ· ἐπεὶ ποταμοῦ λίπε ῥόον Ὠκεανοῦ, μέρος τι Ὠκεανοῦ ὁ ποταμός. ἄλλως γάρ φησιν οὐκ ἂν λέγοιτο ὅτι ἐκ τοῦ Ὠκεανοῦἦλθεν εἰς τὸν Ὠκεανὸν, ὥστε κατὰ τὸν γεωγράφον δοκεῖ λέγειν Ὅμηρος ὡς ἐκ τοῦ μεγάλου Ὠκεανοῦ,τῆς ἔξω δηλαδὴ θαλάσσης, περὶ ἣν πλάττεται μυθικῶς καὶ ἡ τῆς Κίρκης εἶναι νῆσος, πλεύσας εἰς Ἅιδην διὰ ποταμοῦ Ὠκεανοῦ, εἶτα διὰ τοῦ αὐτοῦ αὖθις ποταμοῦ ἐπαλιννόστησεν εἰς τὴν θάλασσαν ἔνθα ἦν ἡ Κίρκη. ἐπάγει γὰρ, ἀπὸ δ' ἵκετο κῦμα θαλάσσης εὐρυπόροιο νῆσον Αἰαίην, ὥστε ἀπὸ 1.443 θαλάσσης Ὀδυσσεὺς διὰ ποταμοῦ Ὠκεανοῦ εἰς Ἅιδην ἐλθὼν εἶτα διὰ τοῦ αὐτοῦ ποταμοῦ ἐνεχθεὶς εἰςτὴν κατὰ Κίρκην εὐρύχορον ἀποκατέστη θάλασσαν ἥ τίς ποτε αὕτη θάλασσα, εἴτε ἡ ἔξω κατὰ τὸν Ὠκεανὸν, εἴτε καὶ μάλιστα ἡ καθ' ἡμᾶς ἑσπερία ἡ μετὰ τὸν μέγαν Ὠκεανὸν, πρὸς τῇ οἰκουμένῃ μὲν ἀληθῶς οὖσα περί που τὰ Τυῤῥηνικὰ ἢ Σικελικὰ, τῷ δὲ μύθῳ μεταγομένη ὅποιπερ ἐκείνῳ δοκεῖ τῷ καὶ ἀποστενώσαντι τὸν ἀπείριτον ἢ ἀπέραντον ποταμὸν εἰς πανημέριον πλοῦν καθὰ προδεδήλωται. πανημερίης γὰρ νηὸς ποντοπορούσης καὶ ἡλίου δύντος ἡ ναῦς εἰς Κιμμερίους ἦλθε, καὶ διὰ τοσούτου ἄρα ἐπανῆλθε καιροῦ, δι' ἡμέρας γὰρ, ὡς τῆς μεταξὺ νυκτὸς ἐν Ἅιδου διαγενομένου τοῦ Ὀδυσσέως. οὐ γὰρ ἔδει τὰ τοῦ Ἅιδου ὑπὸ φωτὶ βλέπεσθαι. δηλοῖ δὲ τὸ ταχὺ τῆς ἐπανόδου καὶ τὸ μηδὲ ἐφόδια παρὰ Κίρκης τῇ τοῦ Ὀδυσσέως ἐντεθῆναι νηΐ. ὡς δὲ καὶ δύντος ἡλίου εἰς τὴν νῆσον ἡ ναῦς ἐπανεχώρησε, δῆλον ἐκ τοῦ εὐθὺς ἐν ψαμάθοισιν ἀποβρίξαι τοὺς περὶ Ὀδυσσέα, τουτέστι κοιμηθῆναι, ὡς προδεδήλωται. (ῃερς. 639.) Τὸ δὲ εἰρεσίη, τὰ παλαιὰ τῶν ἀντιγράφων ἐν δοτικῇ πτώσει ἔχουσιν, ἵνα λέγῃ ὡς πρῶτα μὲν τὸ κῦμα ἔφερε τὴν νῆα ἐν εἰρεσίᾳ, ἔπειτα δὲ οὖρος καλός. κῦμα δὲ καὶ ἐνταῦθα ποταμοῦ, ὡς καὶ πρὸ τούτου πορφύρεον κῦμα περιστάθη οὔρεϊ ἶσον τὸ τοῦ Ἐνιπέως.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.